659

ΣΥΝΤΑΓΜΑ
ΤΩΝ ΘΕΙΩΝ
ΚΑΙ ΙΕΡΩΝ ΚΑΝΟΝΩΝ
ΤΩΝ ΤΕ ΑΓΙΩΝ ΚΑΙ ΠΑΝΕΥΦΗΜΩΝ
ΑΠΟΣΤΟΛΩΝ,
ΚΑΙ ΤΩΝ ΙΕΡΩΝ ΟΙΚΟΥΜΕΝΙΚΩΝ ΚΑΙ ΤΟΠΙΚΩΝ
ΣΥΝΟΔΩΝ,
ΚΑΙ ΤΩΝ ΚΑΤΑ ΜΕΡΟΣ ΑΓΙΩΝ
ΠΑΤΕΡΩΝ,
ΕΚΔΟΘΕΝ,
Σὺν πλείσταις ἄλλαις τὴν ἐκκλησιαστικὴν κατάστασιν διεπούσαις διατάξεσι,
ΜΕΤΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΕΞΗΓΗΤΩΝ,
Καὶ διαφόρων ἀναγνωσμάτων,
ΥΠΟ
Γ. Α. ῬΑΛΛΗ ΚΑΙ Μ. ΠΟΤΛΗ,
Ἐγκρίσει τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ, 2
Περιέχων τοὺς Κανόνας τῶν Οἰκουμενικῶν Συνόδων.

ΑΘΗΝΗΣΙΝ,
ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Γ. ΧΑΡΤΟΦΥΛΑΚΟΣ.
1852.

~~Dia Can Jectiv...~~ 2 (2)

ΣΥΝΤΑΓΜΑ
ΤΩΝ ΘΕΙΩΝ
ΚΑΙ ΙΕΡΩΝ ΚΑΝΟΝΩΝ
ΤΩΝ ΤΕ ΑΓΙΩΝ ΚΑΙ ΠΑΝΕΥΦΗΜΩΝ
ΑΠΟΣΤΟΛΩΝ,
ΚΑΙ ΤΩΝ ΙΕΡΩΝ ΟΙΚΟΥΜΕΝΙΚΩΝ ΚΑΙ ΤΟΠΙΚΩΝ
ΣΥΝΟΔΩΝ,
ΚΑΙ ΤΩΝ ΚΑΤΑ ΜΕΡΟΣ ΑΓΙΩΝ
ΠΑΤΕΡΩΝ,

ΕΚΔΟΘΕΝ,

Σὺν πλείσταις ἄλλαις τὴν ἐκκλησιαστικὴν κατάστασιν διεπούσαις διατάξεσι,

ΜΕΤΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΕΞΗΓΗΤΩΝ,

Καὶ διαφόρων ἀναγνωσμάτων,

ΥΠΟ

Γ. Α. ῬΑΛΛΗ ΚΑΙ Μ. ΠΟΤΛΗ,

Ἐγκρίσει τῆς Ἁγίας καὶ Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.



ΑΘΗΝΗΣΙΝ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Γ. ΧΑΡΤΟΦΥΛΑΚΟΣ.

1852.

ΟΙ ΘΕΙΟΙ ΚΑΙ ΙΕΡΟΙ

ΚΑΝΟΝΕΣ

ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΠΑΝΕΥΦΗΜΩΝ

ΑΠΟΣΤΟΛΩΝ,

ΤΩΝ ΕΝ ΝΙΚΑΙᾼ, ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ, ΕΝ ΕΦΕΣῼ,
ΕΝ ΧΑΛΚΗΔΟΝΙ, ΕΝ Τῼ ΤΡΟΥΛΛῼ ΤΟΥ ΒΑΣΙΛΙΚΟΥ
ΠΑΛΑΤΙΟΥ, ΕΝ ΝΙΚΑΙᾼ ΤΟ Β΄.

ΟΙΚΟΥΜΕΝΙΚΩΝ ΣΥΝΟΔΩΝ,

ΚΑΙ ΤΩΝ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ, ΤΗΣ ΤΕ ΕΝ Τῼ
ΝΑῼ ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ ΠΡΩΤΗΣ ΚΑΙ ΔΕΥΤΕΡΑΣ,
ΚΑΙ ΤΗΣ ΕΝ Τῼ ΤΗΣ ΑΓΙΑΣ ΣΟΦΙΑΣ, ΓΕΝΟΜΕΝΩΝ ΙΕΡΩΝ
ΣΥΝΟΔΩΝ,

Μετὰ τῆς ἐξηγήσεως

**ΙΩΑΝΝΟΥ ΤΟΥ ΖΩΝΑΡΑ, ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΑΛ-
ΣΑΜΩΝΟΣ ΚΑΙ ΑΛΕΞΙΟΥ ΤΟΥ ΑΡΙΣΤΗΝΟΥ,**

Καὶ πίνακος ἀναλυτικοῦ ἁπάντων τῶν ἐν τῷ δευτέρῳ
τόμῳ κανόνων, μετὰ τῆς συμφωνίας αὐτῶν.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.





ΑΘΗΝΗΣΙΝ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Γ. ΧΑΡΤΟΦΥΛΑΚΟΣ.

1852.

Ἀριθ. Πρωτ. 2243
Διεκπ. 246.

ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ.

Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ ΤΟΥ ΒΑΣΙΛΕΙΟΥ ΤΗΣ ΕΛΛΑΔΟΣ.

Πρὸς τὸν Κύριον Γεώργιον Α. Ῥάλλην.

Πέμπει πρὸς ὑμᾶς ἡ Σύνοδος ἐμπερικλεισμένως ἐνταῦθα ἰδιαίτερον αὐτῆς ἔγγραφον, δι᾽ οὗ ἐγκρίνει καὶ αὐτὴ κατὰ τὴν ἀπὸ 11 τοῦ ἐνεστῶτος μηνὸς αἴτησίν σας τὴν τύπωσιν τοῦ κατὰ Βευερέγιον Συνοδικοῦ.

Καὶ ταῦτα κατ᾽ ἔγκρισιν.

Ἐν Ἀθήναις, τὴν 25 Ἀπριλίου 1852.

Ὁ Ἀθηνῶν	Ὁ Λοκρίδος	Ὁ Καλαβρύτων
† ΝΕΟΦΥΤΟΣ.	† ΑΓΑΘΑΓΓΕΛΟΣ.	† ΒΑΡΘΟΛΟΜΑΙΟΣ.
Πρόεδρος		Ὁ Γραμματεὺς
(Τ. Σ.)		Ἀρχιμανδρ. Μ. ΑΠΟΣΤΟΛΙΔΗΣ.

Ἀριθ. Πρωτ. 2243.
Διεκπ. 246.

ΗΙΕΡΑ ΣΥΝΟΔΟΣ ΤΟΥ ΒΑΣΙΛΕΙΟΥ ΤΗΣ ΕΛΛΑΔΟΣ.

Τῷ Κυρίῳ Γ. Α. Ῥάλλῃ, Προέδρῳ τοῦ Ἀρείου Πάγου, κτλ.

Ἀνενεχθέντος ἡμῖν διὰ τῆς ἀπὸ 11 τοῦ λήγοντος ἤδη μηνὸς Ἀπριλίου ἀναφορᾶς ὑμῶν, ὅτι ἐπιβάλλεσθε τύποις ἐκδοῦναι τὸ τοῦ Βευερεγίου Συνοδικὸν, συμπληρούμενόν τε καὶ διορθούμενον ἐκ τῶν διαφόρων ἀναγνωσμάτων τοῦ παρ᾽ ὑμῖν ἀντιγράφου τοῦ ἀρχαίου Κώδηκος, τοῦ ἐν τῇ Βιβλιοθήκῃ τῆς μητροπόλεως Τραπεζοῦντος σωζομένου, καὶ περιέχοντος τὸ ὑπὸ τοῦ σοφωτάτου Πατριάρχου Φωτίου φιλοπονηθὲν Σύνταγμα τῶν ἱερῶν κανόνων, καὶ τὸν Νομοκάνονα τοῦ αὐτοῦ, ἔτι δὲ καὶ τὰς ὑπὸ Θεοδώρου τοῦ Βαλσαμῶνος ἐξηγήσεις αὐτῶν, καὶ τὴν εἰς τοὺς ἱεροὺς κανόνας ἑρμηνείαν Ἰωάννου τοῦ Ζωναρᾶ· ἐπὶ τούτοις δὲ προσθεῖναι τῇ ἐκδόσει ταύτῃ καὶ τὸ κατὰ στοιχεῖον Σύνταγμα

Ματθαίου τοῦ Βλαστάρεως, καὶ τὰς ἐν τῇ συλλογῇ τοῦ Λεϋγκλαβίου Πατριαρχικὰς καὶ Αὐτοκρατορικὰς διατάξεις, τὰς πρὸς τὴν ἐκκλησιαστικὴν κατάστασιν ἀφορώσας, μετὰ καὶ προχείρου λεξικοῦ τῶν ἐν ἁπάσῃ τῇ βίβλῳ δυσνοήτων ὅρων, καὶ πίνακος ἀναλυτικοῦ τῶν ἐμπεριεχομένων, καὶ ἐξαιτεῖσθε τὴν πρὸς τοῦτο ἔγκρισιν καὶ συνδρομὴν τῆς Συνόδου·

Ἡ Σύνοδος, ἀπιδοῦσα εἴς τε τὸ εὐσεβὲς φρόνημα καὶ τὸν θεοφιλῆ ζῆλον ὑμῶν τε καὶ τοῦ συνεργαζομένου ὑμῖν εἰς τὴν ἔκδοσιν διασήμου νομικοῦ Κυρίου Μιχαὴλ Ποτλῆ, οὐχ ἧττον, ἢ εἰς τὰς βαθείας ἐπιστημονικὰς γνώσεις ὑμῶν ἐν τοῖς νόμοις, καὶ ἐπὶ ταῦτα πεποιθυῖα, ὅτι, διὰ τῆς ὑμετέρας εὐσεβοῦς φιλοπονίας, ἕξει πρόχειρον, ἀνελλιπῆ τε καὶ ἀπαραχάρακτον τὴν συλλογὴν τῶν ἱερῶν κανόνων Ἀποστολικῶν τε καὶ Συνοδικῶν, μετὰ τῆς ἐπισήμου αὐτῶν ἑρμηνείας, ὁ τῆς Ὀρθοδόξου ἡμῶν Ἐκκλησίας ἱερὸς κλῆρος, καὶ πᾶς τις τῶν βουλομένων εἰδέναι σαφῶς τὴν τῆς Ὀρθοδόξου Ἐκκλησίας διακόσμησίν τε καὶ πνευματικὴν διοίκησιν, τὴν κατὰ τὴν παράδοσιν τῶν Πατέρων ἐνεργουμένην, οὐ μόνον *Ἐγκρίνει τὴν ἔκδοσιν, ἐπιδοκιμάζουσα ταύτην ἐντελῶς*, ἀλλὰ καὶ εὐλογίαις ὑμᾶς καταστέφουσα, εὔχεται ὑμῖν τὴν παρὰ Θεοῦ ἀντίληψιν, ὅπως εἰς τὸ ἐφετὸν πέρας ἀγάγητε τὸ ἔργον τοῦτο. Διὰ γὰρ τὴν σπάνιν καὶ τὸ δυσπόριστον τῶν τοιούτων συλλογῶν, ἀναγκαῖον ὄντως τυγχάνει τὸ ἐπιχείρημα ὑμῶν, καὶ πᾶσι μέν, ὡς εἴρηται, τοῖς εὐσεβέσιν, ἐξαιρέτως δὲ τῷ ἱερῷ κλήρῳ, ὅπως ἔχῃ ῥᾳδίως εἰδέναι, «Πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος, στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας».

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἴη μεθ' ὑμῶν, ὁδηγοῦσά τε καὶ ἐπιρρωνύουσα ὑμᾶς εἰς τὸ τοῦ ἔργου ἀκριβὲς καὶ ἀναμάρτητον πέρας.

Ἐν Ἀθήναις, τὴν 25 Ἀπριλίου 1852.

Ὁ Ἀθηνῶν † ΝΕΟΦΥΤΟΣ. Πρόεδρος

Ὁ Λοκρίδος † ΑΓΑΘΑΓΓΕΛΟΣ.

Ὁ Καλαβρύτων. † ΒΑΡΘΟΛΟΜΑΙΟΣ.

(Τ. Σ.)

Ὁ Γραμματεύς, Ἀρχιμανδρ. ΜΙΣΑΗΛ ΑΠΟΣΤΟΛΙΔΗΣ.

ΠΙΝΑΞ

Τῶν ἐν τῷ Δευτέρῳ Τόμῳ τοῦ Συντάγματος τῶν Θείων καὶ Ἱερῶν Κανόνων περιεχομένων.

ΚΑΝΟΝΕΣ τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων. Σελ. 1

» Τῆς ἐν Νικαίᾳ πρώτης οἰκουμενικῆς συνόδου. » 113

» Τῆς ἐν Κωνσταντινουπόλει δευτέρας οἰκουμενικῆς συνόδου. » 165

» Τῆς ἐν Ἐφέσῳ τρίτης οἰκουμενικῆς συνόδου. » 192

ΕΠΙΣΤΟΛΗ τῆς τρίτης οἰκουμενικῆς συνόδου πρὸς τὴν ἐν Παμφυλίᾳ εὐαγῆ σύνοδον περὶ Εὐσταθίου τοῦ γενομένου αὐτῶν μητροπολίτου. » 206

ΚΑΝΟΝΕΣ τῆς ἐν Χαλκηδόνι τετάρτης οἰκουμενικῆς συνόδου. » 216

ΠΕΡΙ ΤΗΣ πέμπτης οἰκουμενικῆς συνόδου. » 292

ΠΕΡΙ ΤΗΣ ἕκτης οἰκουμενικῆς συνόδου. » 293

ΠΕΡΙ ΤΗΣ λεγομένης ϛ'. οἰκουμενικῆς συνόδου. » 294

ΚΑΝΟΝΕΣ τῆς ἐν τῷ Τρούλλῳ τοῦ βασιλικοῦ παλατίου ἕκτης οἰκουμενικῆς συνόδου. » 295

» Τῆς ἐν Νικαίᾳ τὸ β'. ἑβδόμης οἰκουμενικῆς συνόδου » 555

» Τῆς ἐν Κωνϛαντινουπόλει ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποϛόλων Α'. καὶ Β'. συνόδου. » 647

» Τῆς ἐν τῷ περιωνύμῳ ναῷ τῆς ἁγίας Σοφίας συστάσης συνόδου. » 705

ΠΙΝΑΞ ἀναλυτικὸς ἁπάντων τῶν ἐν τῷ δευτέρῳ τόμῳ περιεχομένων κανόνων, μετὰ τῆς συμφωνίας αὐτῶν. » 713

Πᾶν ἀντίτυπον μὴ φέρον τὴν ἰδιόχειρον ὑπογραφήν μου θεωρεῖται κλεψίτυπον, καὶ καταδιώκεται κατὰ τὸν νόμον.



ΚΑΝΟΝΕΣ

ΤΩΝ

ΑΓΙΩΝ ΚΑΙ ΠΑΝΣΕΠΤΩΝ ΑΠΟΣΤΟΛΩΝ (1).

Κανὼν Α'.

Ἐπισκοπος χειροτονείσθω ὑπὸ ἐπισκόπων δύο ἢ τριῶν.

ΕΞΗΓΗΣΙΣ ΤΩΝ ΙΕΡΩΝ ΚΑΙ ΘΕΙΩΝ ΚΑΝΟΝΩΝ

τῶν τε ἁγίων καὶ σεπτῶν Ἀποστόλων, καὶ τῶν ἱερῶν οἰκουμενικῶν συνόδων, ἀλλὰ μὴν καὶ τῶν τοπικῶν ἤτοι μερικῶν, καὶ τῶν λοιπῶν ἁγίων πατέρων, πονηθεῖσα Ἰωάννῃ μοναχῷ τῷ Ζωναρᾷ, τῷ γεγονότι μεγάλῳ Δρουγγαρίῳ τῆς Βίγλης, καὶ πρωτοασηκρῆτις (2).

ΠΡΟΟΙΜΙΟΝ ΖΩΝΑΡΑ. Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ καὶ συνετιεῖ νηπίους, πρὸς τὸν Θεόν φησιν ὁ προφήτης καὶ Θεοπάτωρ Δαβίδ· λόγους δὲ τοῦ Θεοῦ εἰκότως ἄν τις καὶ τὰ τῶν θείων Ἀποστόλων καὶ πατέρων λογίσαιτο διατάγματα· ἐπεὶ τῷ θείῳ πνεύματι ἐνηχούμενοι ἐκεῖνοι ταυτὶ διετάξαντο. Εἴ τις οὖν ποιήσαιτο τὴν τῶν ἱερῶν κανόνων σαφήνειαν, καὶ τὸν τούτων νοῦν ἀναπτύξας δηλώσειε, φωτιεῖ τοὺς δι' ἁπλότητα καὶ ἀπλαστίαν ἠθῶν νηπιάζοντας, καὶ μὴ πεφυκότας τοῦ βάθους ἐξικνεῖσθαι τῶν κανόνων τῶν ἱερῶν. Διὰ ταῦτά μοι ἐγχειρητέον τῷ ἔργῳ, ὡς εἰς ὠφέλειαν ἴσως ἐσομένῳ πολλοῖς· καὶ ὡς δύναμις ἑκάστῃ διαταγῇ τῶν ἱερῶν Ἀποστόλων, καὶ σεπτῶν πατέρων, μᾶλλον μέν τοι, ὡς ἂν δοίη Θεός, ἰδιάζουσαν ποιητέον καὶ συντετμημένην ἐξήγησιν· μή τις δέ μου καταγνοίη προπέ-

(1) Βρ. — τῶν ἁγίων Ἀποστόλων. Βευερ. — (2) ἡ ἐπιγραφὴ αὕτη οὐ κεῖται παρὰ Βευερ. ἀναγινωσκομένη μόνον ἐν τοῖς προλεγομένοις αὐτοῦ· εὕρηται δὲ κατὰ τὴν παροῦσαν τάξιν ἐν Χ. Τρ. καὶ Κ.

τειαν· οὐ γὰρ ἀφ' ἑαυτοῦ τῷ πονήματι ἐγχειρῶ, ἀλλὰ παρακληθεὶς ὑπέκυψα, καὶ τῷ πόνῳ δέδωκα ἐμαυτὸν, ἵνα μὴ δι' ἀνηκοΐαν κατακριθῶ (1).

Εἰς τὸν Κανόνα ά.

ἙΡΜΗΝΕΙΑ ΖΩΝΑΡΑ. Νῦν μὲν χειροτονία καλεῖται ἡ τῆς καθιερώσεως τοῦ ἱερᾶσθαι λαχόντος τελεσιουργία τῶν εὐχῶν, καὶ τοῦ ἁγίου πνεύματος *ἡ* (2) ἐπίκλησις, ἀπὸ τοῦ τὸν ἀρχιερέα τείνειν τὴν χεῖρα εὐλογοῦντα τὸν χειροτονούμενον· πάλαι δὲ καὶ αὐτὴ ἡ ψῆφος χειροτονία ὠνόμαστο. Ὅτε γὰρ τοῖς τῶν πόλεων πλήθεσιν ἐξῆν ἐκλέγεσθαι τοὺς ἀρχιερεῖς, συνήεσαν τὰ πλήθη, καὶ οἱ μὲν τόνδε ᾑροῦντο, οἱ δὲ τόνδε. Ἵνα οὖν ἡ τῶν πλειόνων κρατοίη ψῆφος, λέγεται τείνειν τὰς χεῖρας τοὺς τὴν ἐπιλογὴν (3) ποιουμένους, καὶ διὰ τούτων ἀριθμεῖσθαι τοὺς ἕκαστον ψηφιζομένους, καὶ τὸν παρὰ τῶν πλειόνων αἱρούμενον εἰς τὴν ἀρχιερωσύνην προκρίνεσθαι· κἀντεῦθεν ἐξελήφθη τῆς χειροτονίας τὸ ὄνομα. Τούτῳ δὲ καὶ οἱ τῶν συνόδων πατέρες οὕτως εὑρίσκονται χρησάμενοι, καὶ τὴν ψῆφον χειροτονίαν καλέσαντες. Ἡ γὰρ ἐν Λαοδικείᾳ σύνοδος ἐν πέμπτῳ κανόνι φησὶ μὴ δεῖν τὰς χειροτονίας ἐπὶ παρουσίᾳ ἀκροωμένων γίνεσθαι· χειροτονίας δὲ τὰς ψήφους ὠνόμασαν· ἐν γὰρ τῇ τελεσιουργίᾳ τοῦ ἀρχιερέως μᾶλλον ἔθος πολλοὺς συνέρχεσθαι· ἐν δὲ ταῖς ψήφοις, διὰ τὸ εἰσάγεσθαί τινα αἰτιάματα κατὰ τῶν ψηφιζομένων ἀνδρῶν, ἀπηγόρευται τὸ παρεῖναί τινας, καὶ ἀκροᾶσθαι τούτων. Χειροτονεῖσθαι δὲ οὗτος (4) ὁ κανὼν διατάττεται ἐπίσκοπον *καὶ* (5) παρὰ δύο ἐπισκόπων· ψηφίζεσθαι δὲ ἐπίσκοπον ὁ τέταρτος κανὼν τῆς πρώτης συνόδου ὁρίζει, παρὰ πάντων τῶν τῆς ἐπαρχίας ἐπισκόπων, ἢ τέως τριῶν, ἐγγράφως καὶ τῶν λοιπῶν συναινούντων.

---

(1) Τὸ προοίμιον τοῦτο οὐ κατεχώρισεν ὁ Βευερήγιος ἐνταῦθα, ἀλλὰ δημοσιεύει αὐτὸ ἐν τῇ προεισαγωγικῇ αὐτοῦ ἐκθέσει. Τὸ καθ' ἡμᾶς, ἂν καὶ μὴ ἀναφερόμενον ἰδίως εἰς τὸν ά. ἀποστολικὸν κανόνα, ἐκρίναμεν δέον μὴ χωρίσαι αὐτὸ ἀπὸ τῆς ὅλης ἑρμηνείας τοῦ Ζωναρᾶ, ἧς ἐστι τρόπον τινὰ ἡ κεφαλή. — (2) Χ. Τρ. — οὐχ εὕρηται παρὰ Βευερ. — (3) τοὺς τὸν ἐπίλογον ποιουμένους Κ. — (4) Χ. Τρ. — τούτους Βευερ. — (5) Χ. Τρ. Ἐ. — ὁ καὶ οὐχ εὕρηται παρὰ Βευερ.

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟΥΣ ΑΥΤΟΥΣ ΚΑΝΟΝΑΣ

τῶν ἁγίων καὶ σεπτῶν Ἀποστόλων, καὶ εἰς τὰς μετέπειτα οἰκουμενικὰς συνόδους τῶν ἁγίων πατέρων, πονηθεῖσα παρὰ Θεοδώρου διακόνου τῆς τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας, νομοφύλακος, χαρτοφύλακος, καὶ πρώτου τῶν Βλαχερνῶν, τοῦ Βαλσαμῶνος (1).

ΕΡΜΗΝΕΙΑ ΒΑΛΣΑΜΩΝΟΣ. Ὁ ἀποστολικὸς οὗτος κανὼν περὶ χειροτονίας διαλέγεται τῆς παρὰ ἀρχιερέως τελουμένης ἐπ' ἐκκλησίας, καθὼς καὶ ὁ μέγας Παῦλός φησι, χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἀλλοτρίαις ἁμαρτίαις, οὐ μὴν περὶ ψήφου, καθώς τινες εἶπον ἀκολουθήσαντες τοῖς ἀγράφως λεγομένοις, διὰ τὴν τῶν χειρῶν ἔκτασιν, τὴν γενομένην ὅτε παρὰ τοῦ πλήθους τῶν πόλεων αἱ ψῆφοι τῶν ἀρχιερέων ἐγίνοντο· κἂν γὰρ ἡ ἐν Λαοδικείᾳ σύνοδος ἐν ε. κανόνι φησὶ μὴ δεῖν τὰς χειροτονίας παρουσίᾳ (2) ἀκροωμένων γίνεσθαι, κἀκ τούτου τινὲς ὑπέλαβον καὶ τὸν κανόνα τοῦτον περὶ ψήφου διαλέγεσθαι, ἀλλ' ἐμοὶ δοκεῖ μὴ καλῶς τούτους λέγειν, ὅτι καὶ ἡ ἐπ' ἐκκλησίας χειροτονία διὰ μυστικῶν εὐχῶν τελεῖται, κἂν ἐνώπιον πολλῶν γίνηται. Ἄλλως τε τοῦ δ'. κανόνος τῆς ἐν Νικαίᾳ α. ἁγίας συνόδου διοριζομένου τὴν τοῦ ἐπισκόπου ψῆφον γίνεσθαι παρὰ πάντων τῶν τῆς ἐπαρχίας ἐπισκόπων ἢ τέως τριῶν, ἐγγράφως καὶ τῶν λοιπῶν συναινούντων, ἀπορῶ πῶς εἶπόν τινες τὸν κανόνα τοῦτον νοεῖσθαι περὶ ψήφου ἀρχιερέως, λέγοντα ὑπὸ ἐπισκόπων δύο ἢ τριῶν χειροτονεῖσθαι ἐπίσκοπον.

ΑΡΙΣΤΗΝΟΥ. Δύο ἢ τρεῖς ἐπίσκοποι χειροτονοῦσιν ἐπίσκοπον.

Τρεῖς δὲ ἐξάπαντος ὀφείλουσι ψηφίζεσθαι ἐπίσκοπον, καὶ μὴ ἥττονες τούτων, εἴπερ δυσχερές ἐστι πάντας τοὺς ἐπαρχιώτας ἐπισκόπους ἐπὶ τὸ αὐτὸ συναχθῆναι· καὶ ζήτει κανόνα τέταρτον τῆς ἐν Νικαίᾳ συνόδου, καὶ ιγ'. τῆς ἐν Καρθαγένῃ, καὶ ιθ'. τῆς ἐν Ἀντιοχείᾳ.

---

(1) Ἡ ἐπιγραφὴ αὕτη οὐ κεῖται παρὰ Βευερ. ἀλλ' ἐν Χ. Τρ. — (2) Χ. Τρ. — ἐν παρουσίᾳ Βευερ.

Κανὼν Β'.

Πρεσβύτερος ὑπὸ ἑνὸς ἐπισκόπου χειροτονείσθω, καὶ διάκονος, καὶ οἱ λοιποὶ κληρικοί.

—

ΖΩΝΑΡ. Καὶ τὴν ἐπιλογὴν, καὶ τὴν χειροτονίαν τῶν πρεσβυτέρων καὶ διακόνων τῷ ἐπισκόπῳ ἀνατίθησιν ὁ κανὼν, ᾧ ὑποκεῖσθαι μέλλουσιν οἱ χειροτονούμενοι.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν περὶ χειροτονίας ἀκολούθως νομοθετῶν παρίστησι καὶ τὸν πρὸ αὐτοῦ κανόνα ἐκλαμβάνεσθαι περὶ ἐπισκόπων χειροτονίας, οὐ περὶ ψήφου αὐτῶν. Οὐδὲ γὰρ ψηφίζεσθαι πρότερον πρεσβύτερον, ἢ διάκονον, ἢ ἕτερον κληρικὸν, ἐδιδάχθημεν (1), καὶ οὕτω χειροτονεῖσθαι αὐτόν.

ΑΡΙΣΤ. Εἷς ἐπίσκοπος χειροτονεῖ πρεσβύτερον καὶ διάκονον. Σαφής.

Κανὼν Γ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, παρὰ τὴν τοῦ κυρίου διάταξιν τὴν ἐπὶ τῇ θυσίᾳ, προσενέγκῃ ἕτερά τινα ἐπὶ τὸ (2) θυσιαστήριον, ἢ μέλι, ἢ γάλα, ἢ ἀντὶ οἴνου σίκερα ἐπιτηδευτὰ (3), ἢ ὄρνεις, ἢ ζῶά τινα, ἢ ὄσπρια, παρὰ τὴν διάταξιν (4), καθαιρείσθω· πλὴν νέων χίδρων, ἢ σταφυλῆς, τῷ καιρῷ τῷ δέοντι. Μὴ ἐξὸν δὲ ἔστω προσάγεσθαί τι ἕτερον πρὸς τὸ θυσιαστήριον, ἢ ἔλαιον εἰς τὴν λυχνίαν, καὶ θυμίαμα τῷ καιρῷ τῆς ἁγίας προσφορᾶς (5).

—

ΖΩΝΑΡ. Ὁ κύριος παραδιδοὺς τοῖς μαθηταῖς αὐτοῦ τὴν ἐπὶ τῇ ἀναιμάκτῳ θυσίᾳ τελετὴν, ἄρτῳ καὶ οἴνῳ ταύτην τελεῖν παραδέδωκε. Διὸ καὶ οἱ Ἀπόστολοι ἕτερόν τι πρὸς θυσίαν προσάγεσθαι ἀπηγόρευσαν· καὶ ἀντὶ οἴνου δὲ, ἑτέρῳ *εἴδει*(6) πό-

---

(1) Χ. Τρ. — ἢ διάκονον, ἀνεδιδάχθημεν, ἢ ἕτερον κληρικὸν, Βευερ. — (2) τὸ τοῦ Θεοῦ θυσιαστήριον Ἀρδ. — (3) ἤ τινα ἐπιτηδευτά. Ἀρδ. — (4) ὡς παρὰ τὴν διάταξιν κυρίου ποιῶν Βρ. —(5) τῆς θείας ἀναφορᾶς Ἀρδ. — (6) Χ. Τρ. — ἑτέρῳ πόματι Βευερ.

ματος κεχρῆσθαι ἐκώλυσαν, οἷον σίκερα. Σίκερα δέ ἐστι πᾶν τὸ ἄνευ οἴνου μέθην ἐμποιοῦν, οἷά εἰσιν ἃ ἐπιτηδεύουσιν ἄνθρωποι, ὡς ἡ λεγομένη χουμέλη, καὶ ὅσα ὁμοίως σκευάζονται. Σταφυλὰς δὲ ἄρτι γενομένας πεπείρους, καὶ νέα χίδρα, ἤτοι ἀρτιφανῆ καὶ πρὸς βρῶσιν ἤδη καθεστηκότα ὄσπρια, (τοῦτο γὰρ δηλοῦται διὰ τοῦ εἰπεῖν, τῷ καιρῷ τῷ δέοντι) προσάγεσθαι συνεχώρησαν· πλὴν οὐχ ὡς θυσίαν (1) ταῦτα προσφέρεσθαι, ἀλλ' ὡς ἀπαρχὰς τῶν ὡρίμων καρπῶν. Συγκεχώρηται δὲ προσάγεσθαι καὶ ἔλαιον, ὥστε φῶς διὰ τούτου ἀνάπτεσθαι τῷ ἀληθινῷ φωτὶ, καὶ θυμίαμα τῷ καιρῷ τῆς ἁγίας προσφορᾶς. Ἀνάγνωθι τῆς ἐν Τρούλλῳ συνόδου κανόνας κή. λβ'. νζ'.

ΒΑΛΣ. Τὰς ἐκ τοῦ παλαιοῦ νόμου γινομένας ἐπὶ τοῦ ἱεροῦ θυσίας δι' αἵματος καὶ ζώων σφαγῆς ἀπαγορεύσαντες (2) οἱ θεῖοι Ἀπόστολοι, τὴν ὑπὸ τοῦ Κυρίου παραδοθεῖσαν ἀναίμακτον θυσίαν ἐκέλευσαν γίνεσθαι, καὶ τὸν παρὰ ταῦτα ποιοῦντα ἱερέα καθαιρεῖσθαι διωρίσαντο. Σίκερα δέ ἐστι πᾶν τὸ ἄνευ οἴνου μέθην ἐμποιοῦν. Ἀκούων δὲ τοῦ κανόνος λέγοντος πλὴν νέων χίδρων, ἤγουν ὀσπρίων, μὴ νομίσῃς συγκεχωρῆσθαι τὴν διὰ τούτων θυσίαν· καὶ τοῦτο γὰρ ἀπηγόρευται· ἀλλὰ λέγε προσφέρεσθαι ταῦτα τῷ ἱερεῖ ὡς ἀπαρχὰς τῶν ἐτησίων καρπῶν, καὶ ἵνα λαμβάνοντες αὐτὰ ἀπὸ τῶν χειρῶν τοῦ ἱερέως μετ' εὐλογίας εὐχαριστίαν τῷ Θεῷ ἀναπέμπωμεν, τῷ οἰκονομοῦντι (3) τὰ πρὸς ζωάρκειαν καὶ θεραπείαν ἡμῶν· διὰ γὰρ τοῦτο, ὡς ἔοικε, καὶ σταφυλὰς τῷ Πατριάρχῃ προσφέρουσιν ἐν τῷ θυσιαστηρίῳ τοῦ θείου ναοῦ τῶν Βλαχερνῶν, μετὰ τὴν ἱεροτελεστίαν κατὰ τὴν ἑορτὴν τῆς κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου. Ἐγὼ δὲ εἶδον καθαιρεθέντα καὶ τῆς ἡγουμενίας ἐκβληθέντα τινὰ προεστῶτα τῆς σεβασμίας μονῆς τῆς Χώρας, διὰ τὸ τυροὺς καὶ κρέα ἐν τῷ θυσιαστηρίῳ εἰσαγαγεῖν ἀπὸ συμβουλῆς ἀνθρώπου κακοῦ, πλανήσαντος αὐτὸν, καὶ εἰπόντος ἐκ τοῦ τοιούτου τρόπου (4) πολλῶν ἀῤῥωστημάτων θεραπείαν γενέσθαι. Θυμίαμα δὲ καὶ ἔλαιον χάριν θυσίας οὐ προσάγεται, ἀλλ' εἰς φωταγω-

(1) Χ. Τρ.—θυσίας Βευερ. — (2) ἀπαγορεύοντες Χ. Τρ. — (3) Χ. Τρ. — οἰκονομήσαντι Βευερ. Ε. — (4) Χ. Τρ. — ἐκ τούτου τοῦ τρόπου Βευερ.

γίαν τοῦ ναοῦ, καὶ εὐχαριστίαν τοῦ ἀληθινοῦ φωτὸς καὶ Θεοῦ. Ἀνάγνωθι τῆς ϛ'. συνόδου κανόνας κή. καὶ λϐ'.

ἈΡΙΣΤ. Ἱερεὺς, ὁ γάλα, ἢ μέλι, ἢ σίκερα, ἢ ζῶα, ἢ ὄσπρια τῷ θυσιαστηρίῳ προσάγων, πλὴν νέων χίδρων, καὶ σταφυλῆς, καὶ ἐλαίου, καὶ θυμιάματος, καθαιρείσθω.

Τὸ προσάγειν τῷ θυσιαστηρίῳ τὰ ἀπηριθμημένα, τὸ μὲν ὡς ἑλληνικὸν, τὸ δὲ ὡς Ἰουδαϊκὸν ἀπηγόρευται· ἀπαρχὰς δὲ τῶν νέων καρπῶν, ἤτοι ὀσπρίων, καὶ σταφυλῆς, προσφέρειν κατὰ τὸν τῆς γεωργίας καιρὸν, εἰς εὐχαριστίαν τοῦ δόντος Θεοῦ, ἐπιτέτραπται.

Κανὼν Δ'.

Ἡ ἄλλη πᾶσα ὀπώρα εἰς οἶκον ἀποστελλέσθω, ἀπαρχὴ τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις, ἀλλὰ μὴ πρὸς τὸ θυσιαστήριον. Δῆλον δὲ ὡς ὁ ἐπίσκοπος καὶ οἱ πρεσβύτεροι ἐπιμερίσουσι (1) τοῖς διακόνοις, καὶ τοῖς λοιποῖς κληρικοῖς.

ΖΩΝΑΡ. Τὰς ὀπώρας οὐκ εἰς τὸ θυσιαστήριον δεῖ προσάγεσθαι, ἀλλὰ τὸν βουλόμενον ἀπαρχὰς ἐξ αὐτῶν προσαγαγεῖν τῷ Θεῷ εἰς εὐχαριστίαν, τῷ ἐπισκόπῳ ταύτας προσφέρειν καὶ τοῖς πρεσβυτέροις· κἀκείνους δεχομένους ταύτας μὴ εἰς οἰκείαν μόνην ἔχειν ἀπόλαυσιν, ἀλλὰ καὶ τῷ κλήρῳ διανέμειν παντί.

ΒΑΛΣ. Σημείωσαι καὶ ἀπὸ τούτου τοῦ κανόνος, ὅτι ἐν τῷ ναῷ μόνα ὄσπρια καὶ σταφυλαὶ ὡς ἀπαρχαὶ τῷ ἐπισκόπῳ προσάγονται· αἱ ὀπῶραι δὲ καὶ τὰ λοιπὰ ἀποστέλλονται τῷ ἐπισκόπῳ χάριν τοῦ δι' αὐτοῦ ἀξίαν τῷ Θεῷ εὐχαριστίαν δοθῆναι. Ὅπως δὲ καὶ τὰ ἐπὶ ταῖς μνήμαις τῶν ἁγίων καὶ τῶν κατοιχομένων προσφερόμενα, καὶ κανίσκια λεγόμενα, διὰ πολυειδῶν ὀπωρῶν κοσμούμενα τῷ θυσιαστηρίῳ προσφέρονται, μαθήσῃ ἀπὸ τοῦ εἰς τοὺς κεκοιμημένους λόγου τοῦ μεγάλου Ἀθανασίου. Σὺ δὲ

---

(1) Πηδ. — διαμερίζουσι Χ. Τρ. — ἐπιμερίσουσι Σ. Ῥ. — ἐπιμερίζουσι Βευερ. Βρ.

εἰπὲ, ὅτι καὶ ἀπὸ τοῦ παρόντος κανόνος ἀναγκάζονται οἱ ἐπίσκοποι παρηγορεῖν (1) τοὺς κληρικοὺς αὐτῶν ἀπὸ τῶν εἰσόδων τῶν ἐκκλησιῶν.

ΑΡΙΣΤ. Αἱ ὀπῶραι οἴκοι πεμπέσθωσαν, ἃς οἱ πρῶτοι τοῖς ἑξῆς διανέμοιεν.

Ἄνευ σταφυλῆς, τὰς ἀπαρχὰς τῶν ἄλλων ὀπωρῶν οὐ τῷ θυσιαστηρίῳ προσφέρειν δεῖ, ἀλλ᾿ οἴκοι στέλλεσθαι τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις, ἐπὶ τῷ διανείμασθαι ταῦτα τοῖς διακόνοις καὶ τοῖς λοιποῖς κληρικοῖς· ἡ γὰρ σταφυλὴ ἐν τῇ ἐκκλησίᾳ προσαχθήσεται, κατ᾿ ἐξαίρετον τῶν ἄλλων ὀπωρῶν, ὡς καὶ τοῦ ἐξ αὐτῆς οἴνου εἰς τελεσιουργίαν παραλαμβανομένου τῆς ἀναιμάκτου θυσίας.

Κανὼν Ε'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλλέτω προφάσει εὐλαβείας· ἐὰν δὲ ἐκβάλῃ, ἀφοριζέσθω (2)· ἐπιμένων δὲ, καθαιρείσθω.

—

ΖΩΝΑΡ. Τὸ παλαιὸν ἐξῆν διαζεύγνυσθαι τοὺς συνοικοῦντας, καὶ χωρὶς αἰτίας, ὁπηνίκα ἐβούλοντο· ὁ δὲ Κύριος, ὡς ἐν τοῖς εὐαγγελίοις γέγραπται, τοῦτο ἀπηγόρευσε. Κατὰ γοῦν τὴν τοῦ Κυρίου διαταγὴν, καὶ οἱ Ἀπόστολοι τοῦτο κωλύουσι· καὶ τέως νῦν περὶ τῶν ἱερωμένων φασὶν, ὡς εἰ προφάσει εὐλαβείας ἱερωμένος τὴν γυναῖκα αὐτοῦ ἀποπέμψεται, ἀφοριζέσθω, ἕως ἂν δηλαδὴ πεισθῇ προσλαβέσθαι αὐτήν· εἰ δὲ ἐπιμένοι μὴ προσλαμβάνων αὐτὴν, καὶ καθαιρεθήσεται· ἔοικε γὰρ εἰς διαβολὴν εἶναι τοῦτο τοῦ γάμου, ὡς ἀκαθαρσίαν τῆς μίξεως ἐμποιούσης· τὸν δὲ, τίμιον ἡ γραφὴ λέγει, καὶ τὴν κοίτην ἀμίαντον. Μέμνηται δὲ ὁ κανὼν καὶ ἐπισκόπων ἐχόντων γυναῖκας, ὅτι τότε ἀκώλυτον εἶχον καὶ οἱ ἐπίσκοποι τὴν πρὸς γυναῖκας νόμιμον συζυγίαν· ἡ γὰρ ἐν τῷ Τρούλλῳ σύνοδος, ἡ λεγομένη ἕκτη, τοῦτο ἐκώλυσεν ἐν δωδεκάτῳ αὐτῆς κανόνι. Καὶ ὁ πολιτικὸς δὲ νόμος τὰ ἀναίτια

(1) Χ. Τρ. — παρηγορεῖσθαι Βευερ. — (2) Π. Βρ. — ἐκβάλλῃ Βευερ. ἐκβαλῇ Μάνσ. ἐν περισελ.

διαζύγια ἀπηγόρευσε, ῥητὰς ὁρίσας αἰτίας, δι' ἃς νομίμως ὀφείλουσι τὰ διαζύγια γίνεσθαι.

ΒΑΛΣ. Πρὸ τῆς ϛ'. συνόδου τῆς ἐν τῷ Τρούλλῳ τοῦ παλατίου γενομένης, ἐξῆν τοῖς ἐπισκόποις ἔχειν γυναῖκας καὶ μετὰ τὸ ἐπισκοπικὸν ἀξίωμα, ὥσπερ ἔχουσιν αὐτὰς καὶ οἱ μετὰ τὸν γάμον χειροτονούμενοι ἱερεῖς ἢ διάκονοι. Ἐπεὶ οὖν πρὸ τῆς Ἰουστινιανείου ριζ'. νεαρᾶς, τῆς κειμένης ἐν βιβλίῳ τῶν βασιλικῶν κή. τίτ. ζ'. ἄδειαν εἶχεν ὁ βουλόμενος ἐκ πάσης αἰτίας ἀποστέλλειν τῇ γυναικὶ αὐτοῦ διαζύγιον, φησὶν ὁ παρὼν κανὼν, μὴ ἔχειν ἄδειαν τὸν ἐπίσκοπον, ἢ τὸν πρεσβύτερον, ἢ τὸν διάκονον, προφάσει εὐλαβείας ἐκβάλλειν τὴν οἰκείαν γυναῖκα. Τὰ τοῦ τοιούτου δὲ κανόνος ἐσχόλασαν ὅσον τέως εἰς τοὺς πρεσβυτέρους καὶ διακόνους· οἱ γὰρ ἐπίσκοποι γυναῖκας ἔχειν, ὡς εἴρηται, μετὰ τὴν ἐπισκοπὴν οὐ δύνανται· ἐκ τοῦ μὴ λύεσθαι σήμερον ἄλλως πως συνοικέσιον οἱονδηποτοῦν, εἰμὴ ἐκ τῶν αἰτιῶν τῶν ἐν τῇ ῥηθείσῃ νεαρᾷ περιεχομένων, αἳ καὶ εἰσὶν αὗται· τὸ φρονῆσαί τινα ἐκ τῶν ὁμοζύγων κατὰ βασιλέως (1)· τὸ μοιχευθῆναι τὴν γυναῖκα· τὸ ἐπιβουλεύσασθαι θάτερον τῇ τοῦ ἑτέρου ζωῇ· τὸ συμποσιάζειν, ἢ συλλούεσθαι τὴν γυναῖκα ἀνδράσιν ἐξωτικοῖς, μὴ βουλομένου τοῦ ἀνδρός· τὸ ἔξω τῆς οἰκίας τοῦ ἀνδρὸς μεῖναι τὴν γυναῖκα, εἰ μή τοιγε τυχὸν παρὰ τοῖς ἰδίοις γονεῦσι· τὸ τὴν γυναῖκα ἀπελθεῖν εἰς ἱπποδρόμιον (2) δίχα γνώμης τοῦ ἀνδρός· τὸ ἑλέσθαι τὸν μονήρη βίον θάτερον ἐκ τῶν ὁμοζύγων· καὶ ἄλλαι τινὲς ἀπογεγραμμέναι ἐν τῇ ῥηθείσῃ νεαρᾷ, ἣν καὶ ἀνάγνωθι.

ΑΡΙΣΤ. Τὴν βοηθὸν ἱερεὺς ἐκβάλλων ἀποβαλλέσθω· μὴ εἰσάγων δὲ, καθαιρείσθω.

Εἴ τις πρεσβύτερος, ἢ διάκονος, τὴν αὐτοῦ βοηθὸν, προφάσει εὐλαβείας, ἐκβάλλει, ἄνευ εὐλόγου αἰτίας, ἀφοριζέσθω· εἰ δὲ καὶ μετὰ τὸν ἀφορισμὸν ἀδιόρθωτος μένει, καθαιρείσθω· καὶ ζήτει τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου κανόνα ιβ'. καὶ τρισκαιδέκατον τὰ αὐτὰ διαλαμβάνοντα.

---

(1) Χ. Τρ. — κατὰ βασιλέα Βευερ. Ε. — (2) εἰς ἱπποδρομίαν Χ. Τρ.

Κανὼν ΣΤ'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, κοσμικὰς φροντίδας μὴ ἀναλαμβανέτω· εἰ δὲ μὴ (1), καθαιρείσθω.

—

ΖΩΝΑΡ. Ἀποτέτραπται τοῖς ἀπηριθμημένοις τὸ εἰς πράγματα ἑαυτοὺς κοσμικὰ παρεμβάλλειν· βούλεται γὰρ ὁ κανὼν τῇ θείᾳ ὑπηρεσίᾳ σχολάζειν αὐτοὺς, καὶ ἔξω συγχύσεως καὶ θορύβου δημώδους τηρεῖν ἑαυτούς· εἰ δὲ μὴ τοῦτο ποιοῦσι, καθαιρεῖσθαι αὐτοὺς προστάττει· περὶ τούτου δὲ καὶ συνόδων κανόνες διάφοροι διατάττονται. Καὶ οἱ πολιτικοὶ δὲ νόμοι κωλύουσι τοὺς ἱερωμένους εἰς πράγματα ἑαυτοὺς ἐμβάλλειν· εἰς δὲ μόνην διοίκησιν ὀρφανῶν παίδων καλουμένους ὑπὸ τοῦ νόμου, παραχωροῦσι ταύτην ὑπεισιέναι.

ΒΑΛΣ. Περὶ τῶν ἱερωμένων ἐνεργούντων δουλείας κοσμικὰς ἱκανῶς ἐγράψαμεν ἐν τῷ ιγ'. κεφ. τοῦ ή. τίτλου τοῦ παρόντος συντάγματος. Τούτου δὲ τοῦ ἀποστολικοῦ κανόνος λέγοντος καθαιρεῖσθαι τὸν οὕτω ποιοῦντα κληρικὸν, τοῦ δὲ πά. ἀποστολικοῦ κανόνος καὶ ἑτέρων κανόνων λεγόντων, ἢ παυσάσθω, ἢ καθαιρείσθω, ἐρωτήσει τις, τίνι προσχεῖν ὀφείλομεν· καὶ οἶμαι ὅτι τῷ φιλανθρωποτέρῳ· ὅτι καὶ τὸν ὑπέρτιμον ἐκεῖνον καὶ μέγαν οἰκονόμον τὸν Ἀριστηνὸν, διὰ τριακονθημέρων ἐπιφωνημάτων τριῶν ἐπεφωνήσατο ἡ ἁγία σύνοδος ἀποσχέσθαι (2) τοῦ δικαιοδοτικοῦ ὀφφικίου.

ΑΡΙΣΤ. Κοσμικὰς φροντίδας δεχόμενος ἱερεὺς, ἀνίερος.

Κοσμικὰς φροντίδας ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος ἀναδέχεσθαι οὐ συγκεχώρηται δι' αἰσχροκέρδειαν οἰκείαν, εἰ μή που ὑπὸ νόμων καλεῖται εἰς πραγμάτων ἀφηλίκων διοίκησιν, ἢ ἄλλως πως ἀπαιτεῖται ἀντιλαβέσθαι χηρῶν, καὶ ὀρφανῶν, καὶ ἀσθενῶν διοικήσεως· εἰ δὲ ἐπιφωνηθεὶς ἀποστῆναι οὐ πείθεται, ἀλλ' ἐπιμένει τῇ διοικήσει, καθαιρεῖται.

---

(1) μὴ ἀναλαμβανέσθω· εἰ δὲ μή γε Ἀρδ. — (2) Βευερ. Ἑ. — ἀπέχεσθαι Χ. Τρ.

Κανὼν Ζ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τὴν ἁγίαν τοῦ πάσχα ἡμέραν πρὸ τῆς ἐαρινῆς ἰσημερίας μετὰ Ἰουδαίων ἐπιτελέσοι, καθαιρείσθω.

—

ΖΩΝΑΡ. Ἐαρινὴν ἰσημερίαν τινὲς τὴν κέ. τοῦ Μαρτίου φασὶ μηνὸς, τινὲς δὲ τὴν κέ. τοῦ Ἀπριλίου· οἶμαι δὲ μήτε ταύτην μήτ' ἐκείνην τὸν κανόνα λέγειν· ὡς ἐπὶ τὸ πολὺ γὰρ τὸ πάσχα πρὸ τῆς κέ. τοῦ Ἀπριλίου ἑορτάζεται (1)· ἔστι δ' ὅτε καὶ πρὸ τῆς κέ. τοῦ Μαρτίου, ὡς συμβαίνειν (2) (εἰ οὕτω νοοῖτο ἡ ἐαρινὴ ἰσημερία) παρὰ τὸν κανόνα τοῦτον τὸ πάσχα ἑορτάζεσθαι· ἔοικεν οὖν ἄλλο τι ἐαρινὴν ἰσημερίαν τοὺς σεπτοὺς (3) Ἀποστόλους ὀνομάζειν· ἡ δὲ πᾶσα τοῦ κανόνος διαταγὴ τοῦτό ἐστι, τὸ μὴ μετὰ Ἰουδαίων, ἤγουν κατὰ τὴν αὐτὴν ἡμέραν(4), ἑορτάζειν τὸ πάσχα χριστιανούς· χρὴ γὰρ προηγεῖσθαι τὴν ἐκείνων ἀνέορτον ἑορτὴν, καὶ οὕτω τὸ καθ' ἡμᾶς τελεῖσθαι πάσχα· ὁ δὲ μὴ τοῦτο ποιῶν ἱερωμένος καθαιρεθήσεται. Τοῦτο δὲ καὶ ἡ ἐν Ἀντιοχείᾳ σύνοδος ἐν πρώτῳ κανόνι διετάξατο, λέγουσα τῆς ἐν Νικαίᾳ πρώτης συνόδου ὅρον εἶναι περὶ τῆς ἑορτῆς τοῦ πάσχα· εἰ καὶ μὴ εὑρίσκεται ἐν τοῖς κανόσι τῆς ἐν Νικαίᾳ συνόδου τοιοῦτος κανών.

ΒΑΛΣ. Οἱ θεῖοι Ἀπόστολοι συνεορτάζειν ἡμᾶς μετὰ τῶν (5) Ἰουδαίων οὐ θέλουσι· διορίζονται οὖν τὸ κυριακὸν πάσχα γίνεσθαι παρ' ἡμῶν μετὰ τὸ ἐκείνους τελέσαι τὸ νομικὸν πάσχα. Καὶ ἐπεὶ ἐκεῖνοι πρὸ τῆς ἐαρινῆς ἰσημερίας τὸ πάσχα ἑορτάζουσιν, ὀφείλομεν ἡμεῖς ἑορτάζειν μετὰ τὴν ἐαρινὴν ἰσημερίαν· ἐαρινὴ δὲ ἰσημερία γίνεται οὐχ ὥς τινές φασι κατὰ τὴν κέ. τοῦ Μαρτίου μηνὸς, ἢ τὴν κ'. ἢ ἑτέραν οἱανδήτινα ὡρισμένην ἡμέραν, ἀλλ' ὅτε τύχῃ. Ἀπὸ γὰρ τῆς κυκλικῆς (6) ψήφου τοῦ ἡλιακοῦ δρόμου καὶ τῆς σελήνης ἄλλοτε ἄλλως ἡ ἐαρινὴ γίνεται ἰσημερία. Ὅτι οὖν ἐνομοθέτησεν ὁ Μωσῆς πάσχα τελεῖν τοὺς Ἰου-

(1) Χ. Τρ. — ἑορτάζεσθαι εἴωθε Βευερ. — (2) Χ. Τρ. — ὡς συμβαίνει Βευερ. — (3) Χ. Τρ. — συνετοὺς Βευερ. — (4) Χ. Τρ. — κατ' αὐτὴν τὴν ἡμέραν Βευερ. — (5) τὸ, τῶν οὐ κεῖται παρὰ Βευερ. — (6) τοῦ κυκλικοῦ Βευερ.

δαίους ἐτησίως, ἤτοι διάβασιν τῶν κακῶν, εἰς ἀνάμνησιν τῆς ἀπολυτρώσεως τῆς Αἰγυπτιακῆς δουλείας· καὶ τοῦτο δὲ οὐκ ἄλλως ἀλλ' ἢ πρὸ τῆς ἐαρινῆς ἰσημερίας, τεσσαρεσκαιδεκαταίας οὔσης τῆς σελήνης ἐν τῷ πρώτῳ μηνὶ, ἤτοι τῷ Μαρτίῳ· ἑορτάζομεν καὶ ἡμεῖς τὸ κυριακὸν πάσχα, ἤτοι τὴν ἐκ τῆς δουλείας τοῦ διαβόλου ἐλευθερίαν ἡμῶν, ἣν διὰ τοῦ οἰκείου πάθους ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν ἡμῖν ἐχαρίσατο. Ἑορτάζομεν δὲ τοῦτο, οὐχ ὅτε τὸ Ἰουδαϊκὸν πάσχα ἐπιτελεῖται (1), ἀλλὰ μετὰ τοῦτο, δηλονότι μετὰ τὸ γενέσθαι τὴν ἐαρινὴν ἰσημερίαν, καὶ μετὰ τὴν ιδ'. ἡμέραν τοῦ πρώτου μηνὸς, ἤτοι τῆς πρώτης σελήνης τοῦ Μαρτίου μηνὸς, ἐν τῇ αὐτῇ μέντοι ἑβδομάδι, ὅτι καὶ τὸ πάθος τοῦ Χριστοῦ καὶ ἡ ἀνάστασις οὕτω τότε γεγόνασι. Ζήτει καὶ τὸν ή. λόγον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, ὃν συνεγράψατο εἰς τὸ πάσχα· ζήτει καὶ τὸν ογ'. (2) κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ τὰ ἐν αὐτῷ παρ' ἡμῶν παραγραφέντα περὶ τοῦ πάσχα.

ΑΡΙΣΤ. Καθαιρεῖται ὁ τελῶν μετὰ Ἰουδαίων τὸ πάσχα.

Σαφής.

Κανὼν Η'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ἐκ τοῦ καταλόγου τοῦ ἱερατικοῦ, προσφορᾶς γενομένης μὴ μεταλάβοι, τὴν αἰτίαν εἰπάτω· καὶ ἐὰν ᾖ εὔλογος, συγγνώμης τυγχανέτω· εἰ δὲ μὴ λέγοι, ἀφοριζέσθω, ὡς αἴτιος βλάβης γενόμενος τῷ λαῷ, καὶ ὑπόνοιαν ἐμποιήσας κατὰ τοῦ προσενέγκαντος, ὡς μὴ ὑγιῶς ἀνενέγκαντος (3).

ΖΩΝΑΡ. Ἑτοίμους πάντας ἀεὶ καὶ ἀξίους τῆς τῶν ἁγιασμάτων μεταλήψεως ὁ κανὼν βούλεται εἶναι, καὶ μάλιστα τοὺς ἱερωμένους. Διό φησιν, ὡς εἴτις τούτων μὴ μεταλάβοι προσφορᾶς γινομένης (προσκομιδῆς δηλαδὴ), ἢ τὴν αἰτίαν εἰπάτω,

---

(1) Χ. Τρ. — τελεῖται Βευερ. — (2) ὁ κανὼν οὗτος ἠρίθμηται ἐν Πηδ. πά. — (3) Πηδ. Σ. Ῥ. Βευερ. — αἱ λέξεις, ὡς μὴ ὑγιῶς ἀνενέγκαντος οὐχ εὕρηνται ἐν Χ. Τρ. Βρ. Κ. Ε.

καὶ εἰ εὔλογος εἴη συγγνωσθήσεται, ἡ μὴ λέγων ἀφορισθήσεται· δίδωσι γὰρ κατὰ τοῦ ἱερέως, τοῦ τὴν ἀναίμακτον θυσίαν ποιήσαντος, ὑπόνοιαν οὐκ ἀγαθὴν τῷ λαῷ, ὡς ἐξ ἐκείνου μεταλαβεῖν μὴ βουλόμενος, οἷά (1) τι συνειδὼς αὐτῷ κώλυμα πρὸς ἱερουργίαν.

ΒΑΛΣ. Ἐπίσκοπον μὲν ἢ πρεσβύτερον οὐκ οἶδέ τις εἰσιόντα εἰς τὸ θυσιαστήριον καὶ ἱερουργήσαντα, καὶ μὴ μεταλαβόντα τῶν θείων ἁγιασμάτων. Εἰ δέ τις ἐκ τούτων τοιοῦτόν τι εὑρεθῇ ποιήσας, οὐ μόνον ἀφορισθήσεται, ἀλλὰ καὶ μεγάλως κολασθήσεται, εἰ μὴ εὐλογωτάτην αἰτίαν καὶ προφανῆ εἴπῃ, τὴν θείαν μετάληψιν κωλύουσαν· οὐδὲ γὰρ τυχὸν σκάνδαλον ἐκ τούτου ἀναφύεται. Ἐκ τῶν διακόνων δὲ τοὺς πλείους βλέπομεν εἰς τὸ θυσιαστήριον εἰσιόντας καὶ μὴ μεταλαμβάνοντας, ἀλλὰ μηδὲ ἁπτομένους τῶν ἁγίων· εἰ δέ τις ἐξ αὐτῶν χειραπτήσῃ, καὶ οὐ μεταλάβῃ, ἀφορισθήσεται κατὰ τὸν κανόνα. Καί τινες μὲν οὕτως ἡρμήνευσαν τὸν κανόνα· τινὲς δὲ λέγουσιν, ὑπὸ τοῦ κανόνος ἀφορίζεσθαι πάντα ἱερωμένον μὴ μεταλαμβάνοντα, κἂν ἔξωθεν τοῦ ἁγίου βήματος ἵσταται, ὅπερ βαρύτατόν ἐστι.

Ἑτέρα ἑρμηνεία.

Τὰ περὶ τοῦ η΄. καὶ θ΄. κανόνος ἄλλοι μὲν ἄλλως ἡρμήνευσαν, ἡμεῖς δὲ ἄλλως· ὅθεν συνάπτοντες τὰ περὶ (2) τούτων λέγομεν, ὅτι οἱ μὲν συναριθμούμενοι τῷ ἱερατικῷ (3) καταλόγῳ καὶ ὑπουργοῦντες εἰς τὰ τῶν ἁγιασμάτων μυστήρια, μὴ μεταλαμβάνοντες, προσφορᾶς γενομένης, ἀφορίζονται, εἰ μὴ εὔλογον εἴπωσιν αἰτίαν· οἱ δὲ μὴ χειριζόμενοι τὰ ἅγια ἐν τῷ θυσιαστηρίῳ ἱερωμένοι, καὶ πάντες οἱ λαϊκοὶ πιστοὶ μὴ περιμένοντες ἤτοι μὴ προσκαρτεροῦντες μέχρι τέλους, καὶ ἔστ' ἂν ἡ ἁγία γένηται μετάληψις παρὰ τῶν ἀξίων, ὡς ἄτακτοι ἀφορίζονται· τὸ γὰρ λέγειν ἡμᾶς ὀφείλειν πάντας τοὺς πιστοὺς λαϊκούς, καὶ τοὺς μὴ χειριζομένους τὰ ἅγια ἱερωμένους καθεκάστην μεταλαμβάνειν τῶν ἁγιασμάτων, εἰ δὲ μή, ἀφορί-

---

(1) Κ. — διά τι Χ. Τρ. Βευερ. — (2) Χ. Τρ. — παρὰ Βευερ. — (3) Χ. Τρ. — τῷ ἱερῷ Βευερ.

ζεσθαι, οὔτε τῷ κανόνι δοκεῖ, οὔτε δυνατόν ἐστι γενέσθαι· διὰ γὰρ τοῦτο καὶ ὁ θ'. κανὼν εἶπε τοὺς μὴ παραμένοντας (1) πιστοὺς κολάζεσθαι, καὶ οὐ προσέθετο τοὺς μὴ μεταλαμβάνοντας. Οὕτως ἑρμήνευσον τοὺς κανόνας κατὰ τὸν β'. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου.

ΑΡΙΣΤ. Ἱερεὺς ὁ μὴ μεταλαμβάνων λεγέτω τὸ αἴτιον· ἀφοριζέσθω δὲ μὴ λέγων· ὕποπτον γὰρ πεποίηκε τὸν προσάγοντα.

Ἱερεύς, ἢ ἕτερός τις τοῦ ἱερατικοῦ καταλόγου μὴ μεταλαμβάνων, καὶ τὴν αἰτίαν, δι' ἣν τοῦτο ποιεῖ, μὴ λέγων, ὡς ὑποψίαν διδοὺς κατὰ τοῦ προσάγοντος τὴν ἀναίμακτον θυσίαν, ἀφοριζέσθω.

Κανὼν Θ'.

Πάντας τοὺς εἰσιόντας πιστοὺς (2), καὶ τῶν γραφῶν ἀκούοντας, μὴ παραμένοντας δὲ τῇ προσευχῇ καὶ τῇ ἁγίᾳ μεταλήψει, ὡς ἀταξίαν (3) ἐμποιοῦντας τῇ ἐκκλησίᾳ ἀφορίζεσθαι χρή.

—

ΖΩΝΑΡ. Πάντας ὁ παρὼν κανὼν ἀπαιτεῖ, τῆς ἁγίας ἐπιτελουμένης θυσίας, μέχρι τέλους προσκαρτερεῖν τῇ προσευχῇ (4), καὶ τῇ ἁγίᾳ μεταλήψει· καὶ οἱ λαϊκοὶ γὰρ συνεχῶς μεταλαμβάνειν τότε ἀπητοῦντο· κανὼν γάρ ἐστι τῆς ἐν Σαρδικῇ συνόδου, καὶ τῆς ἐν τῷ Τρούλλῳ ἕτερος, καὶ ἄλλος τῆς ἐν Ἀντιοχείᾳ, ὡς, εἴ τις ἐπὶ τρεῖς κυριακὰς παρὼν μὴ μεταλάβοι, ἀφοριζέσθω. Διὸ καὶ ὁ παρὼν κανὼν τοὺς μὴ παραμένοντας, ὡς τὴν τάξιν συγχέοντας, ἀφορίζει· καὶ ὁ δεύτερος κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου περὶ τούτου φησίν.

ΒΑΛΣ. Ὁ τοῦ παρόντος κανόνος διορισμὸς δριμύτατός ἐστιν· ἀφορίζει γὰρ τοὺς ἐκκλησιάζοντας καὶ μὴ παραμένοντας μέχρι τέλους, μηδὲ μεταλαμβάνοντας. Καὶ ἄλλοι δὲ (5) κανόνες παρομοίως διορίζονται, πάντας ἑτοίμους εἶναι καὶ ἀξίους τῆς μετα-

(1) τοὺς μὴ περιμένοντας Χ. Τρ. — (2) εἰς τὴν ἐκκλησίαν Ἀρδ. — (3) ἀταξίας Βευερ. — (4) Χ. Τρ. — τῇ εὐχῇ Βευερ. — (5) Χ. Τρ. — ἄλλοι δὲ κανόνες (ἄνευ τοῦ καὶ) Βευερ.

λήψεως, καὶ τοὺς ἐπὶ τρισὶ κυριακαῖς μὴ μεταλαμβάνοντας ἀφορίζουσιν.

ΑΡΙΣ. Ἀφορίσεις τὸν τῇ εὐχῇ καὶ τῇ μεταλήψει μὴ παραμένοντα.

Τὸν μὴ μέχρι τέλους προσκαρτεροῦντα τῇ ἐκκλησίᾳ, ἀλλ' ἔτι τῆς ἁγίας λειτουργίας τελουμένης τῆς ἐκκλησίας ἐξερχόμενον, ὡς ἀταξίαν ἐμποιοῦντα τῇ ἐκκλησίᾳ ἀφορίζεσθαι χρή.

Κανὼν Ι'.

Εἴ τις ἀκοινωνήτῳ κἂν ἐν οἴκῳ συνεύξηται, οὗτος ἀφοριζέσθω.

ΖΩΝΑΡ. Οἱ ἀφοριζόμενοι, δι' ἁμαρτήματα δήπουθεν (1) ἀφορίζονται. Χρὴ οὖν τούτοις μὴ συγκοινωνεῖν τινα· τοῦτο γὰρ εἰς καταφρόνησιν τοῦ ἀφορίσαντος ἀφορᾷ, ἢ μᾶλλον καὶ εἰς διαβολὴν, ὡς κακῶς ἀφορίσαντος. Εἴ τις οὖν ἀκοινωνήτῳ ἤγουν ἀφωρισμένῳ συνεύξηται, κἂν μὴ ἐν ἐκκλησίᾳ ἀλλ' ἐν οἴκῳ, κἀκεῖνος ἀφορισθήσεται· τοῦτο καὶ ὁ θ'. κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου φησί.

ΒΑΛΣ. Τὸ ῥῆμα τὸ τῆς ἀκοινωνησίας ἀφορισμός ἐστιν. Ὁ τοίνυν ἀφωρισμένῳ συνευξάμενος ὁπουδήποτε ἀφορισθήσεται, κἂν ἐπίσκοπός ἐστι, κἂν λαϊκός. Τοῦτο δὲ γέγραπται διὰ τοὺς λέγοντας, ὅτι ὁ ἀφωρισμένος ἀπὸ τῆς ἐκκλησίας ἐξεβλήθη· εἴτις οὖν μετ' αὐτοῦ συμψάλλει ἐν οἴκῳ, ἢ ἐν ἀγρῷ, οὐκ αἰτιαθήσεται· ταυτὸν γάρ ἐστι τὸ ἐν ἐκκλησίᾳ ἢ ἔξωθεν ταύτης συνεύξασθαι μετὰ τοῦ ἀφωρισμένου· συνομιλεῖν δὲ μετὰ τοῦ ἀφορισθέντος οὐ κωλυόμεθα. Ἀνάγνωθι καὶ τὸν θ'. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου.

ΑΡΙΣΤ. Ὁ συνευχόμενος ἀκοινωνήτῳ ταυτοκατάκριτος.

Ὁ συνευχόμενος αἱρετικοῖς ἐν ἐκκλησίᾳ, ἢ ἐν οἴκῳ, ἀκοινώνητος ὡσαύτως ἔστω καὶ αὐτός.

---

(1) οὐχ εὕρηται ἐν Χ. Τρ. καὶ Κ. τὸ δήπουθεν.

Κανὼν ΙΑ'.

Εἴ τις καθῃρημένῳ κληρικὸς ὢν κληρικῷ (1) συνεύξηται, καθαιρείσθω καὶ αὐτός.

—

ΖΩΝΑΡ. Τῶν καθαιρουμένων τινὲς μὲν μόνης ἱερουργίας κωλύονται, οὐ μέν τοι καὶ κοινωνίας, ἢ τοῦ συνεκκλησιάζειν· οἱ δὲ σὺν τῇ καθαιρέσει καὶ ἀκοινώνητοί εἰσι, καὶ ἀφωρισμένοι. Ἡ γοῦν ὁ κανὼν οὗτος περὶ καθαιρεθέντος ἐνταυτῷ καὶ ἀφορισθέντος νοηθήσεται, καὶ ὁ συνευξάμενος τούτῳ ὑπὸ καθαίρεσιν ἔσται, ἢ τὸ συνεύξασθαι ἀντὶ τοῦ συνιερουργῆσαι παραληφθήσεται. Κἂν γὰρ μὴ καὶ ἀφωρισμένος ἦν ὁ καθαιρεθείς, ὁ συνιερουργήσας αὐτῷ καθαιρεθήσεται (2).

ΒΑΛΣ. Τινὲς τὸ συνεύξασθαι ἐνταῦθα ἀντὶ τοῦ συνιερουργῆσαι ἐξελάβοντο· οὐ δοκεῖ δὲ καὶ ἐμοί· περὶ γὰρ παντὸς κληρικοῦ καθαιρεθέντος ἐξελήφθη ὁ κανών, οὐ μὴν περὶ μόνου ἱερέως. Ἄλλοι δὲ εἶπον ἐνταῦθα τὸν καθαιρεθέντα ὑποβληθῆναι καὶ ἀφορισμῷ, καὶ διὰ τοῦτο κωλυθῆναι τὴν μετ' αὐτοῦ προσευχήν. Ἐμοὶ δὲ κατανοεῖται ὅτι σκοπὸς τῷ κανόνι ἐνταῦθά ἐστι, κολάζεσθαι πάντα κληρικὸν συνευξάμενον ὁπωσδήποτε κληρικῷ οἱῳδήτινι καθαιρεθέντι, καὶ μετὰ τὴν καθαίρεσιν ἐνεργήσαντι ἱερατικόν τι. Διὰ γὰρ τοῦτο καὶ ἡ καθαίρεσις αὐτῷ ἐπάγεται· ἀπὸ μέντοι τοῦ συνεύξασθαί τινα ἀφορισμένῳ τινὶ, καθαίρεσις οὐκ ἐπάγεται, ἀλλὰ ἀφορισμὸς, ὡς ὁ ί. κανὼν παρακελεύεται.

ΑΡΙΣΤ. Ὁ συνευχόμενος καθῃρημένῳ ταυτοκατάκριτος.

Ὁ συνευχόμενος ἤτοι συλλειτουργῶν καθῃρημένῳ καθῃρημένος ἔστω καὶ αὐτός.

Κανὼν ΙΒ'.

Εἴ τις κληρικὸς ἢ λαϊκὸς ἀφωρισμένος ἤτοι ἄδεκτος

(1) κληρικὸς ὢν ὡς κληρικῷ Βρ. — καθηρ. κληρικῷ ὡς κληρικῷ Μάνσ. ἐν περισελ. — (2) Χ. Τρ. Κ. — ἅπασα ἡ τελευταία φράσις οὐχ εὑρηται παρὰ Βευερ.

ἀπελθὼν ἐν ἑτέρᾳ πόλει (1) προσδεχθῇ ἄνευ γραμμάτων συστατικῶν, ἀφοριζέσθω καὶ ὁ δεξάμενος, καὶ ὁ δεχθείς (2).

—

ΖΩΝΑΡ. Τὸ, ἤτοι, ἐνταῦθα οὐχ ἑρμηνευτικόν ἐστι τοῦ ἀφορισμοῦ, ἀλλ' ἀντὶ τοῦ, ἢ, διαζευκτικοῦ κεῖται· περὶ δύο γὰρ εἰπεῖν βούλεται, περὶ ἀφωρισμένου καὶ ἀδέκτου· καὶ τέως περὶ ἀδέκτου πρότερον διαλέγεται. Τινὲς γὰρ ἐν κλήρῳ τεταγμένοι, ἀναγνῶσται τυχὸν, ἢ ψάλται, ζητοῦσι χειροτονηθῆναι διάκονοι, ἢ (3) πρεσβύτεροι· οἱ δὲ μέλλοντες χειροτονῆσαι αὐτοὺς ἐξετάζοντες τὰ κατ' αὐτοὺς, καί τινας ἴσως ἀμφιβολίας εὑρίσκοντες, ὑπερτίθενται τὴν χειροτονίαν, μέχρις ἂν αἱ περὶ αὐτῶν ἀμφιβολίαι λυθῶσιν· οἱ δὲ ἀποδυσπετοῦντες ἑτέροις προσέρχονται, καὶ παρ' ἐκείνων προσδέχονται. Τοῦτο γοῦν ὁ παρὼν κωλύει κανὼν, καὶ τὸν ἀπρόσδεκτον εἰς χειροτονίαν τῷδε τῷ ἀρχιερεῖ νομιζόμενον μὴ προσδέχεσθαι παρ' ἑτέρου κελεύει, ἄνευ συστατικῶν ἐπιστολῶν τοῦ παρ' ᾧ ἐξητάζετο ἐπισκόπου. Συστατικαὶ δὲ ἐπιστολαί εἰσιν αἱ διδόμεναι κληρικοῖς, ἢ λαϊκοῖς ἀφωρισμένοις, ἢ ἀγνώςοις (4), ἐν ἑτέρᾳ πόλει ἀπιοῦσι, καὶ συνιστῶσαι τῷ ἐκεῖ ἐπισκόπῳ αὐτοὺς, ὡς λυθέντας τῶν ἐπιτιμίων, ἢ πιστοὺς ὄντας. Περὶ τούτου πλατύτερον εἴρηται ἐν τῷ ιά. κανόνι τῆς τετάρτης συνόδου. Εἰ δέ τις τοιοῦτόν τινα δέξηται, καὶ τὸν δεξάμενον καὶ τὸν δεχθέντα ὑπάγει ἀφορισμῷ. Ἀνάγνωθι τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα ἕκτον, καὶ τῆς ἐν Χαλκηδόνι δέκατον τρίτον (5).

Κανὼν ΙΓ'.

Εἰ δὲ ἀφωρισμένος εἴη, ἐπιτεινέσθω αὐτῷ ὁ ἀφορισμὸς, ὡς ψευσαμένῳ καὶ ἀπατήσαντι τὴν ἐκκλησίαν τοῦ Θεοῦ (6).

—

ΒΑΛΣ. Ἕτερός ἐστιν ὁ ἀφωρισμένος, καὶ ἕτερος ὁ ἄδεκτος,

---

(1) δεχθῇ Χ. Τρ. Σ. Ῥ. Βρ. — (2) ἀφοριζέσθωσαν οἱ δεξάμενοι καὶ ὁ δεχθεὶς Ἀρδ. — (3) καὶ Χ. Τρ. — (4) Χ. Τρ. — ἀναγνώσταις Βευερ. Κ. — (5) τρίτον Βευερ. — (6) Ἐ. Πηδ. Βρ.—παρὰ δὲ Βευερ. οὐχ εὕρηται τὸ, ὡς ψευσαμένῳ . . ; Θεοῦ.

Κανὼν ΙΑ'.

Εἴ τις καθῃρημένῳ κληρικὸς ὢν κληρικῷ (1) συνεύξηται, καθαιρείσθω καὶ αὐτός.

—

ΖΩΝΑΡ. Τῶν καθαιρουμένων τινὲς μὲν μόνης ἱερουργίας κωλύονται, οὐ μέν τοι καὶ κοινωνίας, ἢ τοῦ συνεκκλησιάζειν· οἱ δὲ, σὺν τῇ καθαιρέσει, καὶ ἀκοινώνητοί εἰσι, καὶ ἀφωρισμένοι. Ἢ γοῦν ὁ κανὼν οὗτος περὶ καθαιρεθέντος ἐνταυτῷ καὶ ἀφορισθέντος νοηθήσεται, καὶ ὁ συνευξάμενος τούτῳ ὑπὸ καθαίρεσιν ἔσται, ἢ τὸ συνεύξασθαι ἀντὶ τοῦ συνιερουργῆσαι παραληφθήσεται. Κἂν γὰρ μὴ καὶ ἀφωρισμένος ἦν ὁ καθαιρεθεὶς, ὁ συνιερουργήσας αὐτῷ καθαιρεθήσεται (2).

ΒΑΛΣ. Τινὲς τὸ συνεύξασθαι ἐνταῦθα ἀντὶ τοῦ συνιερουργῆσαι ἐξελάβοντο· οὐ δοκεῖ δὲ καὶ ἐμοί· περὶ γὰρ παντὸς κληρικοῦ καθαιρεθέντος ἐξελήφθη ὁ κανὼν, οὐ μὴν περὶ μόνου ἱερέως. Ἄλλοι δὲ εἶπον ἐνταῦθα τὸν καθαιρεθέντα ὑποβληθῆναι καὶ ἀφορισμῷ, καὶ διὰ τοῦτο κωλυθῆναι τὴν μετ' αὐτοῦ προσευχήν. Ἐμοὶ δὲ κατανοεῖται, ὅτι σκοπὸς τῷ κανόνι ἐνταῦθά ἐστι, κολάζεσθαι πάντα κληρικὸν συνευξάμενον ὁπωσδήποτε κληρικῷ οἱῳδήτινι καθαιρεθέντι, καὶ μετὰ τὴν καθαίρεσιν ἐνεργήσαντι ἱερατικόν τι· διὰ γὰρ τοῦτο καὶ ἡ καθαίρεσις αὐτῷ ἐπάγεται· ἀπὸ μέντοι τοῦ συνεύξασθαί τινα ἀφωρισμένῳ τινὶ, καθαίρεσις οὐκ ἐπάγεται, ἀλλὰ ἀφορισμὸς, ὡς ὁ ι'. κανὼν παρακελεύεται.

ΑΡΙΣΤ. Ὁ συνευχόμενος καθῃρημένῳ, ταυτοκατάκριτος.

Ὁ συνευχόμενος, ἤτοι συλλειτουργῶν, καθῃρημένῳ, καθῃρημένος ἔστω καὶ αὐτός.

Κανὼν ΙΒ'.

Εἴ τις κληρικὸς, ἢ λαϊκὸς, ἀφωρισμένος, ἤτοι ἄδεκτος,

---

(1) κληρικὸς ὢν ὡς κληρικῷ Βρ. — καθηρ. κληρικῷ ὡς κληρικῷ Μάνσ. ἐν περισελ. — (2) Χ. Τρ. Κ. — ἅπασα ἡ τελευταία φράσις οὐχ εὕρηται παρὰ Βευερ.

ἀπελθὼν ἐν ἑτέρᾳ πόλει προσδεχθῇ (1) ἄνευ γραμμάτων συστατικῶν, ἀφοριζέσθω καὶ ὁ δεξάμενος, καὶ ὁ δεχθείς (2).

—

ΖΩΝΑΡ. Τὸ, ἤτοι, ἐνταῦθα οὐχ ἑρμηνευτικόν ἐστι τοῦ ἀφορισμοῦ, ἀλλ᾽ ἀντὶ τοῦ, ἤ, διαζευκτικοῦ κεῖται· περὶ δύο γὰρ εἰπεῖν βούλεται, περὶ ἀφωρισμένου, καὶ ἀδέκτου· καὶ τέως περὶ ἀδέκτου πρότερον διαλέγεται. Τινὲς γὰρ ἐν κλήρῳ τεταγμένοι, ἀναγνῶσται τυχὸν, ἢ ψάλται, ζητοῦσι χειροτονηθῆναι διάκονοι, ἢ (3) πρεσβύτεροι· οἱ δὲ μέλλοντες χειροτονῆσαι αὐτοὺς, ἐξετάζοντες τὰ κατ᾽ αὐτοὺς, καί τινας ἴσως ἀμφιβολίας εὑρίσκοντες, ὑπερτίθενται τὴν χειροτονίαν, μέχρις ἂν αἱ περὶ αὐτῶν ἀμφιβολίαι λυθῶσιν· οἱ δὲ ἀποδυσπετοῦντες ἑτέροις προσέρχονται, καὶ παρ᾽ ἐκείνων προσδέχονται. Τοῦτο γοῦν ὁ παρὼν κωλύει κανὼν, καὶ τὸν ἀπρόσδεκτον εἰς χειροτονίαν τῷδε τῷ ἀρχιερεῖ νομιζόμενον μὴ προσδέχεσθαι παρ᾽ ἑτέρου κελεύει, ἄνευ συστατικῶν ἐπιστολῶν τοῦ παρ᾽ ᾧ ἐξητάζετο ἐπισκόπου. Συστατικαὶ δὲ ἐπιστολαί εἰσιν αἱ διδόμεναι κληρικοῖς, ἢ λαϊκοῖς ἀφωρισμένοις, ἢ ἀγνώστοις (4), ἐν ἑτέρᾳ πόλει ἀπιοῦσι, καὶ συνιστῶσαι τῷ ἐκεῖ ἐπισκόπῳ αὐτοὺς, ὡς λυθέντας τῶν ἐπιτιμίων, ἢ πιστοὺς ὄντας. Περὶ τούτου πλατύτερον εἴρηται ἐν τῷ ιά. κανόνι τῆς τετάρτης συνόδου. Εἰ δέ τις τοιοῦτόν τινα δέξεται, καὶ τὸν δεξάμενον, καὶ τὸν δεχθέντα ὑπάγει ἀφορισμῷ. Ἀνάγνωθι τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα ἕκτον, καὶ τῆς ἐν Χαλκηδόνι δέκατον τρίτον(5).

ΑΡΙΣΤ. Ὁ δεξάμενος τὸν ἀλλαχόθι ἄδεκτον, ἀδεκτότερος.

Ὁ παρ᾽ ἐπισκόπου τινὸς ἐξεταζόμενος, εἰ προσδεκτέος ἐστὶ τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ, καὶ ἐν τῷ τὰ κατ᾽αὐτὸν ἐξετάζεσθαι ἐκεῖθεν ἀναχωρήσας, καὶ ἀπελθὼν εἰς ἕτερον ἐπίσκοπον, προσδεχθείη παρ᾽ ἐκείνου ἄνευ γραμμάτων συστατικῶν, δηλούντων τὸ ἀνεπίληπτον τῆς θρησκείας καὶ τοῦ βίου αὐτοῦ, ἀφωρισμένος ἔσται αὐτός τε, καὶ ὁ προσδεξάμενος αὐτόν.

---

(1) δεχθῇ Χ. Τρ. Σ. ʽΡ. Βρ. — (2) ἀφοριζέσθωσαν οἱ δεξάμενοι καὶ ὁ δεχθεὶς Ἀρδ. — (3) καὶ Χ. Τρ. Κ. — (4) Χ. Τρ. — ἀναγνώσταις Βευερ. Κ. — (5) τρίτον Βευερ.

Κανὼν ΙΓ'.

Εἰ δὲ ἀφωρισμένος εἴη, ἐπιτεινέσθω αὐτῷ ὁ ἀφορισμὸς, ὡς ψευσαμένῳ, καὶ ἀπατήσαντι τὴν ἐκκλησίαν τοῦ Θεοῦ (1).

—

ΖΩΝΑΡ. Ὁ μὲν προγεγραμμένος κανὼν περὶ ἀδέκτου ἐξεφωνήθη, καὶ μήπω χειροτονηθέντος, μηδὲ ἀφορισθέντος· ὁ δὲ παρὼν κανὼν περὶ κεχειροτονημένου διατάττεται, καὶ ἀφωρισμένου, ὃς μετὰ τὸν ἀφορισμὸν ἀποδυσπετήσας, ἑτέρῳ προσῆλθεν ἀρχιερεῖ, καὶ ἐδέχθη παρ' ἐκείνου, τὸν ἀφορισμὸν ἀγνοοῦντος· τῷ γοῦν τοιούτῳ (2) ἐπιτείνεσθαι κελεύει ὁ κανὼν τὸν ἀφορισμόν.

ΒΑΛΣ. Ἕτερός ἐστιν ὁ ἀφωρισμένος, καὶ ἕτερος ὁ ἄδεκτος, ἤγουν ὁ παρὰ ἐπισκόπου εἰς τόδε τι μὴ παραδεχόμενος· ὁ μὲν γὰρ ἀφωρισμένος ἐκ τῆς ἐκκλησιαστικῆς συνάξεως κωλύεται· ὁ δὲ ἄδεκτος ἐκ πολλῶν τρόπων οὐ δέχεται. Καὶ τὸ, ἤτοι, γὰρ ἀντὶ τοῦ, ἢ, διαζευκτικοῦ κεῖται ἐντὸς, καθὰ τοῦτο παρίσταται ἀπὸ τοῦ ἐφεξῆς κανόνος, τοῦ λέγοντος, εἰ δὲ ἀφωρισμένος εἴη, καὶ τὰ ἑξῆς. Φασὶ γοῦν οἱ παρόντες κανόντες ὁ ιβ'. καὶ ὁ ιγ'. ὅτι ὁ τὸν καθάπαξ ἄδεκτον εἶναι εἰς τόδε τι κατακριθέντα ἄνευ γραφῶν συστατικῶν τοῦ οἰκείου ἐπισκόπου δεξάμενος ἐν εἰδήσει ἀφοριζέσθω· συναφοριζέσθω δὲ καὶ ἐκεῖνος ὁ δεχθείς. Εἰ δὲ ἄδεκτος οὐκ ἔστιν ὁ τοιοῦτος, ἀλλ' ἀφωρισμένος, πάλιν ὁ μὲν τοῦτον δεξάμενος ἀφοριζέσθω, τοῦ δὲ ἀφωρισμένου ἐπιτεινέσθω ὁ ἀφορισμός. Ζήτει καὶ τὸν ιά. κανόνα τῆς δ'. συνόδου, καὶ τῆς ἐν Ἀντιοχείᾳ κανόνα ς'. καὶ τῆς ἐν Χαλκηδόνι κανόνα ιγ'.

ΑΡΙΣΤ. Ὁ τὸν ἀφορισμὸν ψευσάμενος, ἀδεκτότατος.

Εἴ τις παρὰ τοῦ ἰδίου ἐπισκόπου ἀφορισθῇ, καὶ ἀπελθὼν εἰς ἕτερον ἐπίσκοπον, κρύψῃ τὸν ἀφορισμὸν, καὶ παρ' ἐκείνου προσ-

---

(1) Ε. Πηδ. Βρ. — παρὰ δὲ Βευερ. οὐχ εὕρηται τὸ, ὡς ψευσαμένῳ . . . Θεοῦ. — (2) Χ. Τρ. Κ. — τοῦ γοῦν τοιούτου Βευερ.

δεχθείη, ἐπιτεινέσθω ὁ ἀφορισμὸς αὐτῷ, ὡς ψευσαμένῳ καὶ ἀπατήσαντι τὴν ἐκκλησίαν τοῦ Θεοῦ.

Κανὼν ΙΔ΄.

Ἐπίσκοπον μὴ ἐξεῖναι καταλείψαντα τὴν ἑαυτοῦ παροικίαν ἑτέρᾳ ἐπιπηδᾷν, κἂν ὑπὸ πλειόνων ἀναγκάζηται, εἰ μή τις εὔλογος αἰτία ᾖ (1), τοῦτο βιαζομένη αὐτὸν ποιεῖν, ὡς πλέον τι (2) κέρδος δυναμένου αὐτοῦ τοῖς ἐκεῖσε λόγῳ εὐσεβείας συμβάλλεσθαι· καὶ τοῦτο δὲ οὐκ ἀφ᾽ ἑαυτοῦ, ἀλλὰ κρίσει πολλῶν ἐπισκόπων, καὶ παρακλήσει μεγίστῃ.

—

ΖΩΝΑΡ. Διάφοροι συνοδικοὶ κανόνες κωλύουσι τοὺς ἐπισκόπους ἀπὸ τῶν οἰκείων ἐκκλησιῶν εἰς ἑτέρας μεταβαίνειν· ἕκαςον γὰρ τῇ λαχούσῃ αὐτὸν ἐκκλησίᾳ ἐμμένειν διατάττονται, ἵνα μὴ πρὸς ἀλλήλους στασιάζωσιν· οὐκ ἐναντία τοίνυν οἱ κανόνες διατάττεσθαι λογισθήσονται· ἀλλ᾽ἐκεῖνοι μὲν περὶ τοῦ μὴ διαμείβειν τὰς ἐκκλησίας τοὺς ἐπισκόπους νομοθετοῦσι, καὶ τοῦτο κωλύουσιν· ὁ δὲ παρὼν κανὼν περὶ τοῦ ἀπιέναι εἰς ἑτέραν ἐκκλησίαν, χρείας κατεπειγούσης, διδαχῆς χάριν, ἐπίσκοπον διαλέγεται· ἴσως γὰρ ὁ τῆς ἐκκλησίας ἐκείνης ἐπίσκοπος οὐ πάνυ τοι πρὸς τὸ διδάσκειν ἐπιτήδειος ἔσται· ὁ δὲ προσκαλούμενος τυχὸν λογιώτερος ὤν, καὶ πρὸς διάλεξιν ἐπιτηδειότερος, διά τι συμβεβηκὸς ἀναγκαῖος ἂν εἴη τῇ πόλει ἐκείνῃ ἐπιδημῆσαι· καὶ τότε δὲ μὴ ἀφ᾽ ἑαυτοῦ ἀπιέναι, ἀλλὰ προσκαλούμενον ὁ κανὼν αὐτὸν βούλεται, ἢ μᾶλλον κρίσει πολλῶν ἐπισκόπων παρακαλούμενον. Οἱ μέντοι τῶν συνόδων κανόνες ἀποτρέπουσι πάντῃ τὸ ἐκ παροικίας εἰς ἄλλην μεταπηδᾷν παροικίαν ἐπίσκοπον, καὶ τὴν ἐκείνης ἐκκλησιαστικὴν ὑφαρπάζειν (3) διοίκησιν, κἂν ἡ ἐκκλησία ἐκείνη χηρεύῃ ἐπισκόπου, κατὰ τὸν ις΄. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου. Ὁ δὲ παρὼν τῶν ἁγίων Ἀποστόλων κανὼν προσκαίρως ἀπελθεῖν ἐπίσκοπον εἰς ἄλλην παροικίαν διδαχῆς χάριν καὶ διαλέξεως, δι᾽ ὠφέλειαν τοῦ ἐκεῖσε λαοῦ, καὶ τότε οὐκ

(1) ἢ τοῦτο Π. — (2) ποιῆσαι ὡς πλεῖόν τι Ἀρβ. — (3) Χ. Τρ. Κ. — ἐφαρπάζειν Βευερ.

ἀφ' ἑαυτοῦ, ἀλλὰ προσκαλούμενον καὶ ἀξιούμενον, οὐ κωλύει.

ΒΑΛΣ. Ὁ μὲν παρὼν ιδ'. κανὼν διορίζεται μὴ ἔχειν ἐπ' ἀδείας ἐπίσκοπον ἐκ τῆς ἑαυτοῦ παροικίας εἰς ἑτέραν ἐπιπηδᾷν (1), κἂν ὠφελείας χάριν τοῦ λαοῦ τοῦτο ποιῇ, κἂν ὑπὸ τοῦ πλήθους τῆς ἀλλοτρίας ἐνορίας εἰς τοῦτο παραβιασθῇ, εἰμὴ συνοδικὴ ἐπιτροπὴ τοῦτο ποιήσει· ὁ δὲ ιϛ'. κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου ἀπόβλητον εἶναι λέγει τὸν ἄνευ συνοδικῆς γνώμης ὑφαρπάσαντα σχολάζουσαν ἐκκλησίαν. Σὺ δὲ ἴσθι, ὅτι κἂν ὁ παρὼν ιδ'. ἀποστολικὸς κανὼν οὐ κολάζῃ τὸν παρ' ἐνορίαν διδάσκοντα, ἀλλ' ἕτεροι διάφοροι κανόνες τοὺς παρ' ἐνορίαν ἐπισκοπικόν τι ἐνεργήσαντας καθαιρέσει καθυποβάλλουσι. Τὸ δὲ παρ' ἐνορίαν σημειοῦσθαι κατὰ πρόσταξιν βασιλικὴν ἐκκεχώρηται. Μητροπολίτης δέ τις εἰς ἐπισκοπὰς αὐτοῦ διαφόρους διδάξας παρὰ γνώμην τῶν ἐπισκόπων, καὶ αἰτιώμενος, ἐδικαιολογεῖτο μὴ ὀφείλειν παραβλαβῆναι, διά τε τὸ ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ εἶναι τὰς ἐπισκοπὰς, καὶ διὰ τὸ μὴ ἐπάγεσθαι κόλασιν ὑπὸ τοῦ παρόντος κανόνος τῷ τοιούτῳ, καὶ τὸ μὴ εἶναι τάχα ἐπισκοπικὸν λειτούργημα τὸ διδάξαι, ἢ σημειώσασθαι, ἅπερ τῇ μεγάλῃ συνόδῳ οὐκ ἤρεσκον. Σημείωσαι οὖν τὰ ἐν τῷ παρόντι ιδ'. κανόνι γραφέντα· πρὸς δὲ καὶ τὰ ἐν τῷ κ'. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου ἔξωθεν ἑρμηνευθέντα περὶ τοῦ διδάξαντος ἐπισκόπου εἰς ἀλλοτρίαν ἐνορίαν, καὶ συμβίβασον ἄμφω τοὺς κανόνας.

Ἑτέρα ἑρμηνεία.

Ἀπὸ τοῦ παρόντος ιδ'. κανόνος καταλαμβάνεται, ὅτι ἡ μὲν κακεντρεχὴς ἐπιπήδησις ἀπὸ παροικίας εἰς παροικίαν ἐπισκόπου τινὸς κατακρίνεται· ἡ δὲ γινομένη μετάθεσις χάριτι ἀγαθῇ, δι' εὔλογον μεγάλην (2) αἰτίαν, καὶ στηριγμὸν τῆς εὐσεβείας, μετὰ μεγίστης παρακλήσεως ἐπισκόπων πολλῶν ἐπιτρέπεται. Ἐπεὶ δὲ λέγουσί τινες μηδὲ ἀπὸ τοῦ παρόντος κανόνος ἐπιτρέπεσθαι τὴν μετάθεσιν, ἀλλὰ καιρικὴν μετάκλησιν ἐπισκόπου χάριν διδασκαλίας ἐκ τούτου ἀναφαίνεσθαι, ἀκουσάτωσαν, ὅτι *πρῶτον

(1) μεταπηδᾷν Χ. Τρ. — (2) οὐχ εὕρηται τὸ, μεγάλην ἐν Χ. Τρ.

μὲν* (1) τοῦ κανόνος τοιοῦτόν τι μὴ λέγοντος, πόθεν αὐτοὶ τοῦτο προβάλλονται; εἶτα καὶ ποία ὠφέλεια τῷ λαῷ τῆς χηρευούσης ἐκκλησίας ἔμελλε γενέσθαι ἀπὸ διδασκαλίας ἐπισκόπου ἅπαξ, ἢ καὶ δίς, ἢ καὶ ἐπὶ χρόνῳ ἑνὶ (2) διδάξαντος ἐν αὐτῇ, μηδὲν δέ τι ἕτερον ἀρχιερατικὸν ἐνεργήσαντος ἐν ταύτῃ, ὥστε γενέσθαι τὴν τοιαύτην μετάκλησιν μετὰ μεγάλης παρακλήσεως πολλῶν ἐπισκόπων, εἴπερ οὐκ ἔμελλεν ὁ μετακληθεὶς δικαίῳ ἀρχιερατικῷ διδάξαι, οὐκ ἐδεήθη ἂν παρακλήσεως πολλῶν ἐπισκόπων· ἠδύνατο γὰρ καὶ μόνος κηρύξαι τὴν εὐσέβειαν. Ἄλλως τε ὁ τοῦτο λέγων κατηγορεῖ καὶ τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου, καὶ τοῦ ἁγίου Πρόκλου, καὶ ἑτέρων πολλῶν ἁγιωτάτων πατριαρχῶν, μετατεθέντων ἀπὸ ἑτέρων θρόνων εἰς τὸν τῆς Κωνσταντινουπόλεως, ἢ καὶ εἰς ἑτέρους *θρόνους πατριαρχικούς* (3), ὡς ἀναξίως ἱερουργούντων κατὰ μετάθεσιν, ὅπερ ἐστὶν ἀσύγγνωστον.

ΑΡΙΣΤ. Θρόνῳ οὐκ ἐπιπηδήσεις ἐκ θρόνου, εἰμὴ τοῖς ἐκεῖ λυσιτελέστερος ὡς διδασκαλικώτερος κρίνοιο, καὶ τοῦτο, πολλῶν ἐπισκόπων καὶ διακρίσει, καὶ παρακλήσει.

Οὐ δεῖ ἐπίσκοπον τὴν ἑαυτοῦ παροικίαν καταλιπεῖν, καὶ ἑτέρῳ θρόνῳ ἐπιπηδῆσαι, εἰ μή που δοκιμασθῇ καὶ κριθῇ τοῖς ἐκεῖσε ὠφελιμώτερος, ὡς διδασκαλικώτερος· καὶ τοῦτο, πολλῶν ἐπισκόπων καὶ διακρίσει, καὶ παρακλήσει· ἀνῃρέθη δὲ ὁ κανὼν οὗτος. Ὁ γὰρ ἑκκαιδέκατος κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου τὸν μὲν σχολάζοντα ἐπίσκοπον ἐπὶ σχολάζουσαν ἐκκλησίαν καθίστασθαι παραδέχεται, ἀλλὰ μετὰ δοκιμασίας συνόδου τελείας, παρόντος καὶ τοῦ τῆς μητροπόλεως ἐπισκόπου· τὸν δὲ μὴ σχολάζοντα οὐδόλως παραδέχεται εἰς ἑτέραν πόλιν μεταβαίνειν· οὔτε ὁ κά. κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου, οὔτε ὁ ιέ. τῆς ἐν Νικαίᾳ συνόδου, οὔτε ὁ πρῶτος τῆς ἐν Σαρδικῇ.

Κανὼν ΙΕ΄.

Εἴ τις πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου

(1) Χ. Τρ. — οὐχ εὔρηται παρὰ Βευερ. — (2) Χ. Τρ. — ἐπὶ χρόνων ῥητῶν Βευερ. — (3) Χ. Τρ. — οὐχ εὕρηται παρὰ Βευερ.

τῶν κληρικῶν, ἀπολείψας τὴν ἑαυτοῦ παροικίαν, εἰς ἑτέραν ἀπέλθῃ, καὶ παντελῶς μεταστὰς διατρίβῃ ἐν ἄλλῃ παροικίᾳ, παρὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου, τοῦτον κελεύομεν μηκέτι λειτουργεῖν, εἰ μάλιστα (1) προσκαλουμένου αὐτὸν τοῦ ἐπισκόπου αὐτοῦ ἐπανελθεῖν, οὐχ ὑπήκουσεν, ἐπιμένων τῇ ἀταξίᾳ· ὡς λαϊκὸς μέντοι ἐκεῖσε κοινωνείτω.

—

ΖΩΝΑΡ. Ὁ ἕκτος κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου διατάττεται μὴ ἀπολελυμένως χειροτονεῖσθαί τινα, ἀλλ' ἐν ἐπισκοπῇ, ἢ ἐκκλησίᾳ τινὶ, ἢ μοναστηρίῳ. Ὁ γοῦν οὕτω χειροτονηθεὶς καὶ καταλιπὼν τὴν ἐκκλησίαν, ἧς ὠνομάσθη κληρικὸς, καὶ εἰς ἄλλην ἀπελθὼν, τῆς λειτουργίας παρὰ τοῦ κανόνος τούτου κωλύεται, καὶ μᾶλλον, εἰ προσκαλούμενος οὐκ ἐπάνεισι· μεταλαμβάνειν δὲ ὡς λαϊκῷ αὐτῷ ἐπιτέτραπται. Καὶ ὁ ιϛ'. κανὼν τῆς ά. συνόδου, καὶ ὁ ε. τῆς τετάρτης ὁμοίως φασίν.

ΒΑΛΣ. Ὁ ϛ'. κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου διατάττεται, μὴ ἀπολελυμένως, ἀλλ' ἐν ἐπισκοπῇ, ἢ ἐκκλησίᾳ, ἢ μοναστηρίῳ χειροτονεῖσθαι τοὺς κληρικούς. Καὶ οὐ δύνανται οὗτοι δίχα γνώμης τοῦ προεστῶτος αὐτῶν εἰς ἑτέραν ἐπαρχίαν ἀπιέναι, καὶ ἐνεργεῖν τὰ τῶν κληρικάτων ὀφφικίων αὐτῶν· τὸν δὲ τοιοῦτόν τι ποιοῦντα ἀφορίζει ὁ κανὼν, καὶ μᾶλλον μετακαλούμενον, καὶ μὴ πειθόμενον ὑποστρέψαι εἰς τὴν προτέραν παροικίαν αὐτοῦ· διάγειν μέντοι τοῦτον ἐν ἑτέρᾳ πόλει ὡς λαϊκὸν οὐ κωλύει ὁ κανών. Ζήτει καὶ τὸν ιϛ'. κανόνα τῆς ά. συνόδου, καὶ τὸν ἑ. κανόνα τῆς δ'. ὥστε σημείωσαι, ὅτι οὐ μόνον συστατικῆς γραφῆς χρεία τῷ κληρικῷ εἰς ἑτέραν βουλομένῳ διάγειν ἐνορίαν, καὶ ὡς κληρικῷ ἐνεργεῖν, ἀλλὰ καὶ ἀπολυτικῆς γραφῆς τοῦ ἐπισκόπου τοῦ τοῦτον κληρώσαντος· εἰ μὴ γὰρ καὶ τοιαύτην γραφὴν ὑποδεικνύει, κωλυθήσεται τῆς ἐνεργείας. Ζήτει καὶ τὸν ιζ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου.

ΑΡΙΣΤ. Κληρικὸς ἅπας ὁ τῆς οἰκείας ἐκστὰς, καὶ τὴν ἀλλοτρίαν οἰκῶν, καὶ πρὸς τοῦ ἐπισκόπου δυσωπούμενος, καὶ μὴ παλινοστῶν, ἀκοινώνητος.

---

(1) μάλιστα εἰ Βρ.

Οἱοςδήποτε κληρικὸς τὴν ἑαυτοῦ καταλιπὼν παροικίαν, καὶ πρὸς ἑτέραν ἀπελθὼν, καὶ μὴ ὑποστρέψας, καὶ ταῦτα παρὰ τοῦ ἰδίου προσκαλούμενος ἐπισκόπου, μηκέτι λειτουργείτω· εἰ δὲ καὶ ἐπιμένει τῇ ἀταξίᾳ ταύτῃ, καθαιρείσθω· ὡς λαϊκὸς μέν τοι ἐκεῖσε κοινωνείτω· καὶ ζήτει τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα τρίτον.

Κανὼν ΙϚ'.

Εἰ δὲ ὁ ἐπίσκοπος, παρ' ᾧ τυγχάνουσι, παρ' οὐδὲν λογισάμενος (1) τὴν κατ' αὐτῶν ὁρισθεῖσαν ἀργίαν, δέξηται αὐτοὺς ὡς κληρικοὺς, ἀφοριζέσθω, ὡς διδάσκαλος ἀταξίας.

—

ΖΩΝΑΡ. Ὁ προλαβὼν κανὼν ἀπείργει τῆς λειτουργίας τοὺς καταλιπόντας τὴν παροικίαν, ἐν ᾗ ἐχειροτονήθησαν· ὁ δὲ παρὼν ἀφορίζει τὸν ἐπίσκοπον, ᾧ προσῆλθον, εἰ δέξαιτο αὐτοὺς ὡς κληρικοὺς, ἐν εἰδήσει τοῦ ἐπιτιμίου, ὡς ἀταξίας καὶ ἀκαταστασίας κατάρχοντα.

ΒΑΛΣ. Ὅρα, ὅτι ὁ παρὼν κανὼν ἀφορίζει τὸν ἐπίσκοπον τὸν συναριθμήσαντα τῷ οἰκείῳ κλήρῳ ἑτέρας ἐνορίας κληρικὸν ἄνευ ἀπολυτικῆς γραφῆς τοῦ οἰκείου ἐπισκόπου. Μόνος δὲ ὁ ἐπίσκοπος Καρθαγένης δύναται συγκαταλέγειν τῷ οἰκείῳ κλήρῳ ἑτέρων ἐνοριῶν κληρικοὺς, καὶ χωρὶς ἀπολυτικῆς γραφῆς τῶν χειροτονησάντων αὐτούς· καὶ εὑρήσεις τοῦτο εἰς τοὺς κανόνας τῆς ἐν Καρθαγένῃ συνόδου. Ἀλλὰ καὶ ὁ Κωνσταντινουπόλεως ἀρχιεπίσκοπος ἐπ' ἐξουσίας ἔχει παρομοίως ποιεῖν. Φησὶ γὰρ ἡ γ'. νεαρὰ τοῦ βασιλέως Ἰουστινιανοῦ, ἤγουν τὸ 6'. κεφ. τοῦ 6'. τίτλου τοῦ γ'. βιβλίου τῶν βασιλικῶν *ταῦτα ῥητῶς* (2)· Εἰ γὰρ ἐπὶ τῶν εὐαγῶν μοναστηρίων κωλύομεν ἐξ ἑτέρου μοναστηρίου εἰς ἕτερον μεταβαίνειν, πολλῷ μᾶλλον οὐδὲ τοῖς εὐλαβεστάτοις κληρικοῖς τοῦτο ἐφήσομεν, κέρδους τε καὶ ἐμπορίας ἀπόδειξιν ἔχειν τὴν τοιαύτην ἐπιθυμίαν ἡγούμενοι. Εἰ δὲ καί ποτε τοιαύτην τινὰ μετάστασιν ἡ σὴ μακαριότης, ἢ ἡ κατὰ καιρὸν βασιλεία γίνεσθαι συνίδοι, μὴ ἄλλως τοῦτο πράττεσθαι, πρὶν ἂν εἰς τὸν εἰρημένον ἡμῖν ἀριθμὸν περισταίη τὸ πρᾶγμα. Ἡ δὲ τοιαύτη νεαρὰ ἐγράφη πρὸς τὸν τότε πατριάρχην Κωνσταντι-

(1) ἡγησάμενος Ἀρδ. — (2) Χ. Τρ. — οὐ κεῖται παρὰ Βευερ.

νουπόλεως. Σημείωσαι δὲ, ὅτι καὶ τῷ βασιλεῖ ἐνεδόθη μεταθέσεις ποιεῖν κληρικῶν.

ΑΡΙΣΤ. Ὁ τὸν τοιοῦτον ἐν γνώσει κατέχων, ταυτοκατάκριτος.

Ὁ ἐν εἰδήσει γενόμενος ἐπίσκοπος τοῦ ὁρισθέντος ἐπιτιμίου κατὰ τοῦ τοιούτου κληρικοῦ, καὶ κατέχων, αὐτὸν ὡς κληρικὸν, ἀφορίζεται, ὡς διδάσκαλος ἀταξίας.

Κανὼν ΙΖ΄.

Ὁ δυσὶ γάμοις συμπλακεὶς μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν κτησάμενος, οὐ δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ΖΩΝΑΡ. Τὸ θεῖον λουτρὸν τοῦ ἁγίου βαπτίσματος πάντα πιστεύομεν ἀποπλύνειν ῥύπον τοῖς βαπτισθεῖσιν ἐντακέντα πρὸ τοῦ βαπτίσματος, καὶ οὐδὲν ἁμάρτημα τῶν πρὸ τούτου γενομένων τινὶ κωλύει τὸν βαπτισθέντα προϐιϐάζεσθαι εἰς ἱερωσύνην· εἰ δὲ μετὰ τὸ βάπτισμα πορνεύσει, ἢ γάμοις δυσὶ προσομιλήσει, ἱερωσύνης οἱασδήτινος ἀνάξιος κρίνεται.

ΒΑΛΣ. Τὸν μετὰ τὸ ἅγιον βάπτισμα διγαμήσαντα, ἢ πορνεύσαντα κωλύει ὁ κανὼν ἐπίσκοπον γενέσθαι, ἢ ἱερατικόν τι ἐνεργεῖν, τὰ πρὸ τοῦ ἁγίου βαπτίσματος παρατρέχων παντοῖα ἁμαρτήματα, ὅπερ ἐστὶ καινότατον, καὶ ἔργον μόνης τῆς τοῦ ἁγίου Πνεύματος (1) χάριτος. Ἀνάγνωθι καὶ τὸν κ΄. κανόνα τοῦ ἁγίου Βασιλείου. Ὅπως δὲ ἀναγνῶσται πολλοὶ διγαμήσαντες εἰς τοὺς οἰκείους τόπους συνετηρήθησαν, καὶ διὰ πιττακίων ἀρχιερατικῶν εἰς μείζονας βαθμοὺς προεϐιϐάσθησαν, ἀγνοῶ. *Ἀνάγνωθι καὶ τὴν ρλζ΄. Ἰουστινιάνειον νεαρὰν, κειμένην ἐν τῷ ά. τίτ. τοῦ γ΄. βιϐλ. τῶν βασιλικῶν, διοριζομένην μετὰ τῶν ἄλλων πολλῶν ἐκκλησιαστικῶν ζητημάτων, τί ὀφείλει γίνεσθαι εἰς διγαμήσαντας κληρικούς. Ὡσαύτως ἀνάγνωθι καὶ τὸ κγ΄. κεφ. τοῦ ά. τίτ. τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ (2)*.

Ἑτέρα ἑρμηνεία.

Ἐν τῇ παρούσῃ τοῦ ιζ΄. κανόνος ἑρμηνείᾳ ἐγράψαμεν ἀγνοεῖν,

(1) βαπτίσματος Χ. Τρ. Ε. — (2) Χ. Τρ. —οὐ κεῖνται τὰ ἐν * παρὰ Βευερ. ἢ Ε.

ὅπως ἀναγνῶσται διγαμήσαντες οὐ καθαιροῦνται, ἀλλὰ μᾶλλον καὶ διὰ πιττακίων ἀρχιερατικῶν εἰς μείζονας βαθμοὺς προκόπτουσιν. Ἀρτίως δὲ τὰ τῶν νόμων καὶ τὰ τῶν κανόνων ἐπιστατικώτερον σκοπήσαντες, κατενοήσαμεν (1) τὸν παρόντα ιζ'. κανόνα καὶ τὸν ιή. περὶ ἀρχιερέων (2), ἱερέων, διακόνων, καὶ ὑποδιακόνων διαλαμβάνειν, οὐ μὴν καὶ περὶ ἀναγνωστῶν. Ἐκεῖνοι μὲν γὰρ καὶ πρὸ τῆς χειροτονίας καὶ μετὰ τὴν χειροτονίαν διγαμήσαντες καθαιροῦνται· οἱ δὲ ἀναγνῶσται πρὸ μὲν τῆς σφραγίδος διγαμήσαντες, καθαιροῦνται· μετὰ *δὲ* (3) τὴν σφραγίδα, συγγινώσκονται, κωλυόμενοι προβαίνειν εἰς ἄλλον μείζονα *ἐκκλησιαστικὸν βαθμόν* (4). Φησὶ γὰρ ἡ ρλζ'. Ἰουστινιάνειος νεαρά, ἤτοι τὸ λά. καὶ τὸ λϐ'. κεφάλ. τοῦ ά. τίτ. τοῦ γ'. βιϐλ. τῶν βασιλικῶν ταῦτα ῥητῶς· Εἰ δὲ μετὰ τὴν χειροτονίαν πρεσβύτερος, ἢ διάκονος, ἢ ὑποδιάκονος ἀγάγηται γαμετὴν, ἐκβαλλέσθω τοῦ κλήρου, καὶ τῇ τάξει τῆς πόλεως, ἐν ᾗ κληρικὸς ἦν, μετὰ τῶν ἰδίων πραγμάτων παραδιδόσθω. Εἰ δὲ ἀναγνώστης δευτέραν γαμετὴν ἀγάγηται (5), ἢ πρώτην *μὲν* (6), χήραν δὲ, ἢ διαζευχθεῖσαν ἀνδρὸς, ἢ *τοῖς νόμοις* (7), ἢ τοῖς ἱεροῖς κανόσιν ἀπηγορευμένην, μηκέτι εἰς ἄλλον ἐκκλησιαστικὸν βαθμὸν προβαινέτω· εἰ δὲ *οἱῳδήποτε τρόπῳ εἰς μείζονα βαθμὸν προαχθείη* (8), ἐκβαλλέσθω αὐτοῦ καὶ τῷ προτέρῳ ἀποκαθιστάσθω. Εἰ δὲ θέλεις ἐκλαβέσθαι τὸν κανόνα καὶ *εἰς* (9) ἀναγνώστας, εἰπὲ, μὴ δύνασθαι εἶναι, ἤτοι γενέσθαι ἀναγνώστην τὸν πρὸ τῆς σφραγίδος διγαμήσαντα, καθαιρεῖται γὰρ μετὰ διάγνωσιν· ὁ δὲ μετὰ τὴν σφραγίδα διγαμήσας ἀναγνώστης συγγινώσκεται, κἂν οὐ προκόπτῃ πρὸς μείζονα βαθμόν. Ὅπως δὲ διὰ πιττακίων ἀρχιερατικῶν διγαμήσαντες ἀναγνῶσται προκόπτουσιν εἰς δομεστικάτα καὶ *ἄλλα ἐκκλησιαστικὰ* (10) ὀφφίκια, *ἀναγκαῖον εἰπεῖν ἡμᾶς ἐστι* (11). Λέγομεν οὖν ὡς τὰ ἐκκλησιαστικὰ ἀρχοντίκια καὶ

---

(1) Χ. Τρ.—κατελάβομεν Βευερ. — (2) ἐπισκόπων Χ. Τρ. — (3) Χ. Τρ. — (4) Χ. Τρ. — (5) λάβῃ Βευερ. — (6) Χ. Τρ. — ἢ πρώτην χήραν δὲ ἢ διαζευχθεῖσαν Βευερ. — (7) Χ. Τρ. — ἢ διαζευχθεῖσαν ἀνδρὶ, ἢ τοῖς ἱεροῖς Βευερ. — (8) Χ. Τρ. — εἰ δὲ καὶ προβῇ ὁπωσδήποτε Βευερ. — (9) Χ. Τρ. — καὶ τοὺς ἀναγνώστας Βευερ. — (10) Χ. Τρ. — ὅπως δὲ οἱ διγαμήσαντες ἀναγνῶσται προκόπτουσιν εἰς δομεστικάτα καὶ λαοσυνακτάτα ὀφφίκια, Βευερ. — (11) Χ. Τρ.

ὀφφίκια καταχρηστικῶς ὀνομάζονται βαθμοί· κυρίως γὰρ βαθμὸς ὁ τῶν ἱερέων, ὁ τῶν διακόνων, τῶν ὑποδιακόνων, καὶ τῶν ἀναγνωστῶν ἐστι· τὰ δὲ ὀφφίκια καὶ τὰ ἀρχοντίκια τιμαί εἰσι, καὶ πορισμῶν (1) ἀφορμαί· διὸ καὶ ὁ νηπιόθεν γεγονὼς ἀναγνώστης, καὶ δευτερογαμήσας, ἀπαρεμποδίστως γενήσεται κληρικὸς, ἐκκλησιάστικὸς, δομεστικὸς, καὶ λαοσυνάκτης διὰ πιττακίων, οὐ μὴν καὶ διάκονος, ἢ ὑποδιάκονος· τοῦτο γὰρ τολμήσας καθαιρεθήσεται.

ΑΡΙΣΤ. Ἀνίερος ἅπας δίγαμος, ἢ παλλακὴν ἐπιτρέφων.

Ἅπας δίγαμος εἰς ἱερωσύνην ἀπρόσδεκτος, πολλῷ δὲ πλέον ὁ παλλακὴν ἐπιτρέφων.

Κανὼν ΙΗ'.

Ὁ χήραν λαβὼν, ἢ ἐκβεβλημένην, ἢ ἑταίραν, ἢ οἰκέτιν, ἢ τῶν ἐπὶ σκηνῆς, οὐ δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ (2).

—

ΖΩΝΑΡ. Καὶ τοῖς Ἰουδαίοις ἀπηγόρευτο παρὰ τοῦ νόμου τοῦ παλαιοῦ τοὺς ἱερεῖς αὐτῶν πόρνας πρὸς γάμον ἄγεσθαι, ἢ αἰχμαλώτους, ἢ δούλας, καὶ τὰς ἐκ καπηλείας καὶ τοῦ πανδοχεύειν τὴν ζωὴν ποριζομένας, καὶ τὰς ἐξ ἀνδρῶν κεχωρισμένας· εἰ δὲ ἐκείνοις ταῦτα νενομοθέτητο, πολλῷ μᾶλλον τοῖς κατὰ τὸ εὐαγγέλιον ἱερουργεῖν μέλλουσιν· ἰδοὺ γάρ φησι (3) πλέον τοῦ ἱεροῦ ὧδε. Διὰ ταῦτα καὶ ὁ παρὼν κανὼν τοὺς ἱερωμένους κωλύει μήτε χήραν εἰς γάμον ἄγεσθαι, μήτ' ἐκβεβλημένην παρὰ τοῦ οἰκείου ἀνδρὸς, μήτε πόρνην, μήτε δούλην, ἀλλὰ μηδέ τινα τῶν ἐπὶ σκηνῆς· αἱ γὰρ τοιαῦται ἀδιαφόρως ζῶσαι, καὶ ἀναιδέστερον (4) προσομιλοῦσαι τοῖς ἐντυγχάνουσιν, οὐδὲ πιστεύονται σωφρονεῖν. Τὸν γοῦν μίαν ἐκ τῶν ἀπηριθμημένων λαβόντα, εἰς ἱερωσύνην οἱανδήτινα προβιβάζεσθαι οὐ συγχωρεῖ ὁ κανών.

ΒΑΛΣ. Σημείωσαι τὸν παρόντα κανόνα, βούλεται γὰρ μὴ μό-

---

(1) ζωῆς X. Τρ. — (2) Λευιτ. ΚΑ', 14. — (3) τὸ, φησὶ οὐ κεῖται ἐν X. Τρ. — (4) X. Τρ. Ε. — ἀναιδῶς Βευερ.

νον τὸν ἱερωμένον σωφρονεῖν, ἀλλὰ καὶ τὴν σύμβιον τούτου· διὰ γὰρ τοῦτο καὶ τὰς ἐντὸς περιεχομένας γυναῖκας ἐκώλυσε τοῖς ἱερωμένοις συνάπτεσθαι, ὡς μὴ πιστευομένας σωφρονεῖν, διὰ τὸ φαῦλον τοῦ βίου αὐτῶν. Εἴ τις γοῦν τοιαύτῃ γυναικὶ συναφθῇ, οὐκ ἀξιωθήσεται ἱερωσύνης· καὶ μετὰ τὴν ἱερωσύνην δὲ καθαιρεθήσεται, τῆς γυναικὸς αὐτοῦ μοιχευομένης, καὶ τούτου ἀνεχομένου. Ἀνάγνωθι καὶ τὸ κθ'. κεφ. τοῦ θ'. τίτ. τοῦ παρόντος συντάγματος, καὶ τὸν ι'. κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου, καὶ τὰ ἐν αὐτῷ γραφέντα χάριν τῆς ἑρμηνείας τῶν παρόντων δύο κανόνων (1).

ΑΡΙΣΤ. Ἀπολελυμένην, ἢ χήραν, ἢ θεράπαιναν, ἢ μαινάδα λαβὼν ἱερεύς, ἀνίερος.

Καὶ οὗτος ὁ μὴ κοσμίαν γυναῖκα λαβών, καὶ παρθένον, ἀλλ' ἣν ἀπεβάλετο ἕτερος, ἢ χήραν, ἢ θεράπαιναν, ἢ μαινάδα, εἰς ἱερωσύνην οὐ προσδεχθήσεται.

Κανὼν ΙΘ'.

Ὁ δύο ἀδελφὰς ἀγαγόμενος, ἡ ἀδελφιδῆν (2), οὐ δύναται εἶναι κληρικός.

ΖΩΝΑΡ. Ἡ γὰρ ἀθεμιτογαμία οὐ μόνον τοῦ κλήρου αὐτὸν κωλύει, ἀλλὰ καὶ ἐπιτιμίοις ὑπάγει. Καὶ παρὰ τοῦ πολιτικοῦ δὲ νόμου τιμωρεῖται ὁ ἀθεμιτογαμῶν, διασπῶντος καὶ τὸν ἀθέμιτον γάμον.

ΒΑΛΣ. Ἀδελφιδῆ λέγεται ἡ ἀνεψιά· τὸν γοῦν ἀγαγόμενον εἰς γάμον ἢ δύο ἀδελφὰς, ἢ θείαν καὶ ἀνεψιὰν, οὐ παραχωρεῖ ὁ κανὼν κληρωθῆναι, διασπωμένου πάντως καὶ τοῦ γάμου. Σὺ δὲ γίνωσκε, ὡς οὐ μόνον ὁ τοιοῦτόν τι ποιήσας, ἀλλὰ καὶ ὁ ἕτερον γάμον κεκωλυμένον ἐξ αἵματος, ἢ ἐξ ἀγχιστείας, συναλλάξας, οὐ κληρωθήσεται, ἀλλὰ μᾶλλον καὶ ἐπιτιμηθήσεται· οἷα δέ εἰσι τὰ τῶν αἱμομικτῶν ἐπιτίμια, μαθήσῃ ἀπὸ διαφόρων κανόνων τοῦ μεγάλου Βασιλείου.

---

(1) Βευερ. — ἅπασα ἡ τελευταία περίοδος ἀπὸ τοῦ καὶ τὸν ι'. κανόνα τῆς ἐν Ἀγκύρᾳ κτλ. οὐχ εὕρηται ἐν Χ. Τρ. οὔτε παρὰ Ἑ. — (2) ἀδελφὴν Μανσ. ἐν περισελ.

ΑΡΙΣΤ. Οὐ κεκλήρωται ὁ δύο ἀδελφὰς, ἢ ἀνεψιὰν ἀγαγόμενος.

Ὁ τοιοῦτος, σὺν τῷ μὴ δύνασθαι κληρικὸς γενέσθαι, καὶ βαρυτάτοις ἐπιτιμίοις ὑπόκειται, διασπωμένου πρὸς τούτοις καὶ τοῦ ἀθέσμου γάμου.

Κανὼν Κ'.

Κληρικὸς ἐγγύας διδοὺς, καθαιρείσθω.

ΖΩΝΑΡ. Ἐγγύας τις δίδωσιν ἢ ὑπὲρ ἑαυτοῦ, ἢ ὑπὲρ ἄλλου. Καὶ ὁ ὑπὲρ ἄλλου διδοὺς, ἢ διὰ κέρδος ἐγγυᾶται, ἢ δι' ἀγάπην, δι' ἣν καὶ τὰς ψυχὰς ἡμῶν τιθέναι ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν ἐντετάλμεθα. Τὸ μὲν οὖν ὑπὲρ ἄλλου ὑποβαλεῖν ἑαυτὸν, ἤτοι ἔνοχον ποιῆσαι, ὡς τυχὸν ὑπὲρ τελώνου, κεκώλυται· ἀρχαία δὲ κακία τὸ τελωνεῖν· τελῶναι δ' εἰσὶν οἱ τὰς ἀπαιτήσεις ὠνούμενοι τῶν δημοσίων συντελειῶν. Οἱ γοῦν τοιοῦτοι, εἰ μὴ φανερᾶς εὐποροῦσιν οὐσίας, ἐγγύας ἀπαιτοῦνται, καὶ παράγουσί τινας ὑποτιθέντας δι' ἐκείνους τὰ ἑαυτῶν· τοῦτο τοίνυν, καὶ ὅσα τούτῳ ἐοίκασιν, ἀπηγόρευται τοῖς κληρικοῖς, ἵνα μὴ ἑαυτοὺς ὄχλῳ πραγμάτων, καὶ ἑλκυσμοῖς, παρεμβάλωσι, καὶ ἐπηρείαις σεκρετικαῖς (1)· ὑποπτεύονται γὰρ διὰ κέρδος τούτων ἀνέχεσθαι· αἰσχροκερδεῖς δὲ τοὺς κληρικοὺς εἶναι οὐ δεῖ· διὸ καὶ ἡ καθαίρεσις τούτοις ἐπάγεται. Εἰ δὲ παρά τινος ἴσως κληρικὸς ἐναγόμενος, τῆς εἰς τὸ δικαστήριον προσεδρείας χάριν ἐγγύας ἀπαιτεῖται, διδοὺς ταύτας οὐ βλαβήσεται παρὰ τὴν οἰκείαν ἐπιτιμίαν· ἐπεὶ εὕρηνται καὶ ἐν τῇ τετάρτῃ οἰκουμενικῇ συνόδῳ οἱ ἐν ταύτῃ ἀθροισθέντες θεῖοι πατέρες, καὶ οἱ συνόντες αὐτοῖς συγκλητικοὶ, τοὺς Αἰγυπτίους ἐπισκόπους ἐγγύας ἀπαιτήσαντες προσεδρείας, ἢ τούτων ἀποροῦντας, κελεύσαντες ἐξωμοσίαν ποιήσασθαι, ζητοῦντας καιρὸν εἰς ὑπέρθεσιν. Εἰ δὲ κληρικὸς ἑλκόμενόν τινα εὑρηκὼς, καὶ ἐγγύας ὑπὲρ παραστάσεως, ἢ ἄλλως πως ἀπαιτούμενον, καὶ εἱρκτῇ παραπεμπόμενον, ὡς μὴ δυνάμενον παρασχεῖν τὰς ἐγγύας, ἐλεήσας *τὸν πάσχοντα* (2) ὑπὲρ ἐκείνου ἑαυτὸν ὑπόθηται τῇ ἐγγύῃ, ἐπικλασθεὶς τῇ τοῦ πάσχοντος συμφορᾷ, οὐκ

(1) κριτικαῖς Κ. ἐν περισελίδῳ. — (2) Χ. Τρ. Ἐ. — ἐλεήσας αὐτὸν Βευερ.

οἶμαι τοῦτον καθαιρεθήσεσθαι, ἀλλὰ καὶ ἀποδεχθήσεσθαι παρὰ Θεοῦ τε καὶ εὐγνωμόνων ἀνδρῶν, ὡς εὐαγγελικὴν πληρώσαντα ἐντολήν· καὶ ὁ πολιτικὸς δὲ νόμος τοὺς κληρικοὺς δικαζομένους διδόναι ἐγγύας παρακελεύεται (1).

ΒΑΛΣ. Τὸ διδόναι ἐγγύας, τινὲς μὲν λέγουσιν εἶναι, τὸ ἐγγυᾶσθαι ὑπὲρ ἑτέρου τὸν κληρικόν· τινὲς δὲ τὸ διδόναι τὸν κληρικὸν ὑπὲρ ἑαυτοῦ ἕτερον ἐγγυητήν. Τὸ γοῦν λέγειν καθαιρεῖσθαι τὸν κληρικὸν μὴ παραδεχόμενον εἰς δικαστήριον, ἢ εἰς ἐνοχὴν δι' ἀπορίαν, ἢ δι' ἕτερον τρόπον εὔλογόν τινα, καὶ διὰ τοῦτο διδόντα ἐγγυητὰς χάριν τοῦ ἀπαλλαγῆναι ὀχλήσεως, φορτικώτατόν ἐστι, καὶ τῆς ἀποστολικῆς φιλανθρωπίας ἀνάξιον· τὸ δὲ ἐγγυᾶσθαι τὸν κληρικὸν ὑπὲρ ἑτέρου ποτὲ ἴσως κολασθήσεται. Εἰ μὲν γὰρ χάριν κέρδους ἐγγυήσεταί τινα κληρικὸς, καθαιρεθήσεται διὰ τὴν αἰσχρότητα τῆς ἐγγύης· εἰ δὲ πένητά τινα ἐγγυήσεται διὰ ἔλεον, ἢ διά τινα εὐσεβῆ αἰτίαν ἑαυτὸν ὑπὲρ ἑτέρου παρεμβάλῃ, οὐ καθαιρεθήσεται. Εὕρηνται δὲ καὶ ἐν τῇ δ'. οἰκουμενικῇ συνόδῳ πολλοὶ κληρικοὶ καὶ ἐπίσκοποι ἐγγύας ἀπαιτήσαντες, καὶ ἀπαιτηθέντες, καὶ οὐδεὶς ἐξ αὐτῶν ἐβλάβη· οὕτως ἑρμήνευσον τὰ τῆς ἐγγύης. Ἀνάγνωθι δὲ καὶ τὴν ρκγ'. Ἰουστινιάνειον νεαρὰν, κειμένην ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτλῳ ά. ἤτοι κεφάλαιον αὐτοῦ ιγ'. λέγον οὕτως ἐν μέρει· Τοὺς δὲ πρεσβυτέρους, καὶ διακόνους, καὶ ὑποδιακόνους, τῷ δικαίῳ καὶ μόνῳ τῆς συγγενείας εἰς ἐπιτροπὴν, ἢ κουρατορείαν καλουμένους, τὴν τοιαύτην λειτουργίαν ὑποδέχεσθαι συγχωροῦμεν· καὶ μετ' ὀλίγα πάλιν· ἀλλ' οὐδὲ ἀπαιτητὴν δημοσίων συντελειῶν, ἢ ἐκλήπτορα, ἢ μισθωτὴν (2) τελῶν, ἢ ἀλλοτρίων κτήσεων, ἢ κουράτορα οἴκου, ἢ ἐντολέα δίκης, ἢ ἐγγυητὴν ὑπὲρ τούτων τῶν αἰτιῶν, ἐπίσκοπον, ἢ οἰκονόμον, ἢ ἄλλον κληρικὸν οἱουδήποτε βαθμοῦ, ἢ μοναχὸν ἰδίῳ ὀνόματι, ἢ τῆς ἐκκλησίας, ἢ τοῦ μοναστηρίου, ὑπεισιέναι συγχωροῦμεν, ἵνα μὴ διὰ ταύτης τῆς προφάσεως, καὶ τοῖς ἁγίοις οἴκοις ζημία γένηται, καὶ αἱ θεῖαι ὑπη-

(1) Ἡ παροῦσα ἑρμηνεία φέρει ἐπὶ τέλους παρὰ Βευερ. καὶ τὰ ἑξῆς· (Σημείωσαι ὅτι ἀφορισμός ἐστι καὶ τὸ ἐν ἐπιτιμίοις γενέσθαι τοῖς ἐκβάλλουσι τῶν θείων περιβόλων, καὶ πρὸς τὴν τῶν μετανοούντων καθιστῶσι χώραν). Ταῦτα οὐχ εὕρηνται ἐν Χ. Τρ. οὐδὲ παρὰ Κ. — (2) Χ. Τρ. — μισθωτὸν Βευρ. Ἐ.

ρεσίαι ἐμποδίζωνται· ὥστε καὶ ἀπὸ τῶν ῥημάτων τούτων τῆς νεαρᾶς, τῶν λεγόντων μὴ γίνεσθαι ἱερωμένον τινὰ ἐγγυητὴν ὑπὲρ τούτων τῶν αἰτιῶν, δηλαδὴ τῶν διαληφθεισῶν, παρίσταται καλῶς ἐγγυᾶσθαι τὸν κληρικὸν ὑπὲρ ἑτέρων εὐσεβῶν αἰτιῶν, ὥσπερ καὶ παρεμβάλλειν ἑαυτόν. Ζήτει καὶ τὸν θ'. τίτλον τοῦ παρόντος συντάγματος, κεφ. λδ'. καὶ κζ'. καὶ τὰ ἐν αὐτοῖς, καὶ τῆς ἐν Χαλκηδόνι συνόδου κανόνα λ'.

ΑΡΙΣΓ. Κληρικὸς ἐγγύας οὐ δίδωσι· δοὺς δὲ, καθαιρεῖται.

Οὐ δεῖ τὸν κληρικὸν ἑαυτὸν εἰς πράγματα παρεμβάλλειν, καὶ δικαστηρίων ὀχλήσεις διά τινα αἰσχροκερδίαν· εἰ γὰρ τοῦ Παύλου τυχὸν μετὰ τοῦ δημοσίου, ἢ καὶ ἰδιώτου τινὸς, συναλλάσσοντος, καὶ μὴ ἐμπιστευομένου ἀλλ' ἀπαιτουμένου ἐγγύας, κληρικὸς ἐγγυήσεται τοῦτον, καὶ καταστήσει ἔνοχον ἑαυτόν· ὁ τοιοῦτος, ὡς καταφρονητὴς τῆς οἰκείας ἐπιτιμίας διά τι κέρδος γενόμενος, καθαιρεθήσεται· εἰ δὲ κατὰ πόνου εὑρὼν ὁ κληρικὸς ἄνθρωπον, καὶ ἐν φυλακῇ κατεχόμενον, καὶ ἄλλως ἐκεῖθεν μὴ ἐξαγόμενον, εἰ μή τινα δοίη τὸν ἐγγυησάμενον αὐτὸν μὴ ἀποδράναι, καὶ διὰ συμπάθειαν καὶ φιλανθρωπίαν ἀναδέξεται τὸν τοιοῦτον, καὶ παριστᾷν ἐγγυήσεται ὁπόταν ἂν ζητηθῇ, οὐ μόνον οὐκ ἀπόβλητος ἔσται, ἀλλὰ καὶ ἐπαινετέος κριθήσεται, ὡς τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ ὁμογενοῦς θέμενος. Τὸ δὲ τοὺς κληρικοὺς δικαζομένους ἀπαιτεῖσθαι ἐγγύας παραστάσεως, τοσοῦτον οὐ καθαιρέσει αὐτοὺς ἐνόχους καθίστησιν, ὅτι καὶ ἐν τῇ τετάρτῃ πράξει τῶν ἐν Χαλκηδόνι πραχθέντων, ἡ ἁγία σύνοδος, καὶ οἱ συνεδρεύοντες αὐτῇ ἐνδοξότατοι ἄρχοντες διέλαβον τοὺς Αἰγυπτίους ἐπισκόπους ἐγγύας προσεδρείας παρασχεῖν, καὶ τούτων ἀποροῦντας ἐξωμοσίᾳ καταπιστευθῆναι.

Κανὼν ΚΑ'.

Εὐνοῦχος, εἰ μὲν ἐξ ἐπηρείας ἀνθρώπων ἐγένετό τις, ἢ ἐν διωγμῷ ἀφῃρέθη τὰ ἀνδρῶν (1), ἢ οὕτως ἔφυ (2), καί ἐστιν ἄξιος, ἐπίσκοπος (3) γινέσθω.

—

(1) Χ. Τρ. Ἐ. Κ. — τὰ τῶν ἀνδρῶν Βευερ. — (2) ἔφυγε καί ἐστιν ἄξιος ἐπισκοπῆς, γενέσθω. Ἀρδ. — (3) Π. Βευερ. — τὸ ἐπίσκοπος οὐ κεῖται παρὰ Βρ. Χ. Τρ.

ΒΑΛΣ. Οἱ τέτταρες οὗτοι κανόνες, ἤγουν ὁ παρὼν καὶ οἱ ἐφεξῆς, τοῖς μὲν πρὸ τοῦ κληρωθῆναι εὐνουχισθεῖσι διὰ νόσον, ἢ ἐξ ἐφόδου ἐχθρῶν, συγγνωμονοῦσι, καὶ τῷ κλήρῳ *τούτους* (1) συγκαταλέγουσιν, ἀξίους πάντως εὑρισκομένους· τοὺς δὲ μετὰ τὴν ἱερωσύνην ἑαυτοὺς ἀκρωτηριάσαντας, κἂν ὑπὸ νόσου ἐβιάσθησαν, ὡσαύτως καὶ τοὺς πρὸ τῆς ἱερωσύνης δίχα νόσου τὰ παιδογόνα μόρια ἑαυτῶν περιελόντας κολάζουσι· τοὺς μὲν γὰρ καθαιροῦσι· τοὺς δὲ κληροῦσθαι κωλύουσι· τοὺς δὲ λαϊκούς, τοὺς δίχα νόσου, ἢ ἐπηρείας ἑαυτοὺς ἀκρωτηριάσαντας, ἐπὶ ἔτη τρία ἀφορίζουσιν. Ὅθεν καὶ οἱ πλείους τῶν ἀνθρώπων, οἱ προσεκτικώτεροι, διὰ νόσον μέλλοντες εὐνουχίζειν παῖδας αὐτῶν, τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ προσέρχονται, καὶ δήλην ποιοῦσι τὴν νόσον, καὶ τὴν τῶν διδύμων ἐκκοπήν. Οἱ δὲ πολιτικοὶ νόμοι μεγάλως κολάζουσι τοὺς εὐνουχίζοντας παῖδας αὐτῶν, ἢ δούλους, ἢ ἑτέρους τινάς, νόσῳ μὴ κατεχομένους, καὶ ἀνάγνωθι τὸ ιδ'. κεφάλαιον τοῦ πρώτου τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὴν ἑξηκοστὴν νεαρὰν τοῦ βασιλέως κυρίου Λέοντος τοῦ σοφοῦ. Ἐπεὶ δὲ εἰς τρία διαιροῦνται οἱ εὐνοῦχοι, ἤγουν εἰς θλιβίας, τοὺς νηπιόθεν τὰ παιδογόνα μόρια ἀποβαλόντας, ὡς ὑπὸ τῶν γονέων θλιβέντα καὶ ἀχρηστεύσαντα, εἰς σπάδωνας, τοὺς ἐκ γενετῆς διδύμους μὴ ἔχοντας, πρὸς δὲ καὶ εἰς κανστράτους, τοὺς διὰ σιδήρου ἀκρωτηριασθέντας· κάνστρον γὰρ παρὰ Ῥωμαίοις ὁ σίδηρος· οἱ μὲν θλιβίαι, καὶ οἱ σπάδωνες ἀπροκριματίστως ἱερωθήσονται, ὡς μηδὲ κακοῦ τινος γεγονότες ἑαυτοῖς παραίτιοι· οἱ δὲ κανστράτοι, κατὰ τὴν ἀνωτέρω διάταξιν, ποτὲ μὲν ἱερωθήσονται, ποτὲ δὲ κωλυθήσονται.

Κανὼν ΚΒ'.

Ὁ ἀκρωτηριάσας ἑαυτὸν μὴ γινέσθω κληρικός· αὐτοφονευτὴς γάρ ἐστιν ἑαυτοῦ, καὶ τῆς τοῦ Θεοῦ δημιουργίας ἐχθρός.

—

(1) Χ. Τρ.

Κανὼν ΚΓ'.

Εἴ τις κληρικὸς ὢν, ἑαυτὸν ἀκρωτηριάσοι, καθαιρείσθω· φονεὺς (1) γάρ ἐστιν ἑαυτοῦ.

—

Κανὼν ΚΔ'.

Λαϊκὸς ἑαυτὸν ἀκρωτηριάσας, ἀφοριζέσθω ἔτη τρία· ἐπίβουλος γάρ ἐστι τῆς ἑαυτοῦ ζωῆς.

—

ΖΩΝΑΡ. Τὸ εὐνουχίζειν, εἰ μὴ διὰ πάθος ἐνσκῆψαν περὶ τὰ παιδογόνα μόρια γένοιτο, καὶ τοῖς πολιτικοῖς ἀπηγόρευται νόμοις· καὶ τοσοῦτον, ὥστε καὶ τοὺς ἐκτεμνομένους δούλους εἰς ἐλευθερίαν κελεύουσιν ἀναρπάζεσθαι· καὶ τοὺς εὐνουχίσαντας ὑποκεῖσθαι ταυτοπαθείᾳ, καὶ δημεύσει, καὶ περιορισμῷ· ἀλλὰ μὴν καὶ τοῖς ἱεροῖς κανόσι τοῦτο κεκώλυται. Οὐ μέν τοι ὁ ἐκτμηθεὶς ἱερωσύνης ἀπείργεται, εἰ μὴ αὐτὸς εἰς ἐκτομὴν παρέδωκεν ἑαυτόν. Ὁ μὲν γὰρ παρ' ἑτέρων ἐκτμηθεὶς, ὡς ἐπηρεασθεὶς, ἐλεεῖσθαι μᾶλλόν ἐστιν ἄξιος, ἀλλ' οὐχὶ μισεῖσθαι· διὸ καὶ εἰ ἄξιος ἐκ τοῦ βίου αὐτοῦ κρίνοιτο ἱερωσύνης, εἰς ταύτην προβιβασθήσεται· καὶ ὃς ἐκ φύσεως τὰ παιδογόνα πεπήρωται μόρια (οὓς ἐν εὐαγγελίοις ὁ Κύριος εὐνούχους οὕτω γεννηθέντας ὠνόμασε), τῷ κλήρῳ καταλεγῆναι οὐ κωλυθήσεται· ὁ δ' αὐτῷ τὴν ἐκτομὴν μνηστευσάμενος, οὔτε εἰς κλῆρον καταταγήσεται, ἀλλὰ κἂν ἔφθη γενόμενος κληρικὸς, τοῦ κλήρου ἐκδιωχθήσεται· εἰ δὲ λαϊκός ἐστιν ὁ εἰς ἐκτομὴν ἐκδοὺς ἑαυτὸν, ἐπὶ τριετίαν ἀφορισθήσεται· ἐπίβουλοι γὰρ ἑαυτῶν εἶναι δοκοῦσι διὰ τὸ τοῦ πράγματος ἐπικίνδυνον, καὶ τῇ τοῦ Θεοῦ δὲ δημιουργίᾳ ἐναντιοῦνται· εἰς φύσιν γὰρ ἀνδρὸς πλάσαντος αὐτοὺς τοῦ Θεοῦ, αὐτοὶ εἰς ἑτέραν φύσιν ἀλλόκοτον ἑαυτοὺς μεταπλάττουσιν, ὥςε μήτε ἄνδρες εἶναι, οὐδὲ γὰρ τὰ τῶν ἀῤῥένων ἀποτελεῖν εἰσι δυνατοὶ, ἐπεὶ ποιεῖν οὐ δύνανται ἄνθρωπον, μήτε γυναῖκες, οὐδὲ γὰρ τίκτειν ἔχουσι φύσιν· τὰ αὐτὰ καὶ ὁ πρῶτος κανὼν τῆς πρώτης συνόδου διατάττεται (2).

(1) φονευτὴς Βρ. — (2) Ἐνταῦθα θέτει οὐκ ὀρθῶς ὁ Βευερ. τὴν ὑπὸ τὸν κέ. καν. παραπομπὴν εἰς τοὺς καν. γ'. λϐ'. καὶ νά. τοῦ Μεγάλου Βασιλείου.

ΒΑΛΣ. Ἡ ἑρμηνεία τῶν τοιούτων κεφαλαίων ἐγράφη ἄνωθεν· ἀνάγνωθι καὶ τὸν περὶ παρθενίας λόγον τοῦ ἁγίου μεγάλου Βασιλείου, καὶ τὸν τοῦ ἁγίου Ἐπιφανίου, καὶ ἀπὸ τοῦ νομοκάνονος τοῦ Νηστευτοῦ περὶ τῶν εὐνουχισθέντων.

ΑΡΙΣΤ. Κανὼν κά. Ὁ ἐξ ἐπηρείας ἀνθρώπων, ἢ ἐκ φύσεως εὐνοῦχος γενόμενος, ἄξιος ὢν, ἱερᾶται, ἐκτομίας δὲ, οὔ.

Κανὼν κϐ'. Ἑαυτὸν ἐκτεμὼν λαϊκὸς ἀφορίζεται, καὶ κληρικὸς οὐ γίνεται.

Κανὼν κγ'. Ὁ μετὰ κλῆρον ἑαυτὸν ἐκτεμὼν, καθαιρεῖται.

Κανὼν κδ'. Λαϊκὸς ἑαυτὸν ἀκρωτηριάσας, ἀφοριζέσθω ἔτη τρία, ὡς ἐπίβουλος ἑαυτοῦ.

Ὁ μὲν ἀκουσίως εὐνουχισθεὶς, τῷ κανόνι οὐκ ἐνέχεται· ἀλλ' εἰ ἐστὶν ἄξιος τοῦ ἱερᾶσθαι, ἐκ τούτου οὐ κωλύεται. Εἰ δὲ ἑκὼν τις ἑαυτὸν ἐξευνούχισεν, οὐδόλως κληροῦται, ἀλλὰ καὶ κληρικὸς ὢν καθαιρεῖται, ὡς ἐπίβουλος τῆς ἑαυτοῦ ζωῆς, καὶ τῆς τοῦ Θεοῦ δημιουργίας ἐχθρός.

Κανὼν ΚΕ'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος ἐπὶ πορνείᾳ, ἢ ἐπιορκίᾳ, ἢ (1) κλοπῇ ἁλοὺς, καθαιρείσθω, καὶ μὴ ἀφοριζέσθω· λέγει γὰρ ἡ γραφή· Οὐκ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό. Ὡσαύτως καὶ οἱ λοιποὶ κληρικοί (2).

ΖΩΝΑΡ. Οἱ τοῖς ῥηθεῖσιν ὑποπεσόντες ἐγκλήμασι καθαιροῦνται· οὐ μέν τοι καὶ ἀφορίζονται· ἱκανὴ γὰρ ἐκδίκησις ἐπὶ τούτων κέκριται ἡ καθαίρεσις· καὶ δὶς αὐτοὺς ποινηλατεῖσθαι οὐ χρή. Εἰσὶ δ' ἕτερα ἐγκλήματα, οἷς οἱ ἁλόντες καὶ καθαιροῦνται, καὶ ἀφορίζονται, ὡς οἱ διὰ χρημάτων, ἢ προστασίας ἀρχοντικῆς, ἀρχιερωσύνης ἀξιωθέντες.

ΒΑΛΣ. Τὸ, οὐκ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτὸ, μὴ εἴπῃς ἐκλαμβάνεσθαι εἰς πάντα ὁπωσδήποτε καθαιρούμενον· οἱ γὰρ διὰ προστασίας ἀρχοντικῆς, ἢ διὰ χρημάτων, ἱερωσύνης ἀξιούμενοι καὶ καθαιροῦνται, καὶ ἀφορίζονται, ὥς φησιν ὁ κθ'. ἀποστολικὸς

(1) Π. Βρ. Χ. Τρ. — ἢ ἐπὶ Βευερ. — (2) ὁμοίως δὲ οἱ λοιποὶ κληρικοὶ τῇ αὐτῇ αἱρέσει ὑποκείσθωσαν Βρ.

κανὼν, καὶ ὁ λ'. ἀλλ' εἰπὲ τοῦτο ἐκλαμβάνεσθαι εἰς μόνους τοὺς καθαιρουμένους διὰ ἁμαρτήματα περιεχόμενα τῷ παρόντι κανόνι, καὶ διὰ ἕτερα ὅμοια. Ζήτει καὶ τοῦ ἁγίου Βασιλείου κανόνα γ'. λϐ'. καὶ νά. Σημείωσαι οὖν ὅτι οἱ ἐπίσκοποι καὶ οἱ κληρικοὶ, οἱ οὕτω καθαιρούμενοι, τῆς μετὰ τῶν πιστῶν κοινωνίας οὐκ ἀφορίζονται· ἀνάγνωθι καὶ τὸν λϐ'. κανόνα τοῦ ἁγίου Βασιλείου (1).

ΑΡΙΣΤ. Πορνείᾳ συσχεθεὶς (2) ἱερεὺς, ἢ ἐπιορκίᾳ, ἢ κλέμματι, καθαιρεῖται, οὐ μὴν καὶ ἀφορίζεται· οὐ γὰρ ἀποδώσεις, φησὶ, δὶς ἐπὶ τὸ αὐτό.

Ἀρκοῦσά ἐστιν ἡ καταδίκη τῆς καθαιρέσεως τῷ συσχεθέντι ἐπὶ πορνείᾳ, ἢ ἐπιορκίᾳ, ἢ κλοπῇ ἱερεῖ· καὶ οὐ δεῖ τοῦτον καὶ ἀφορίζεσθαι, ἵνα μὴ τὴν τιμωρίαν διπλασίονα ὑποστῇ, ὃ παντελῶς ἐστιν ἀφιλάνθρωπον.

Κανὼν ΚϚ'.

Τῶν εἰς κλῆρον προσελθόντων (3) ἀγάμων, κελεύομεν βουλομένους γαμεῖν, ἀναγνώστας, καὶ ψάλτας μόνους (4).

—

ΖΩΝΑΡ. Οἱ μὲν πρεσβύτεροι, καὶ διάκονοι, καὶ ὑποδιάκονοι, πρὸ τῆς χειροτονίας ἐρωτῶνται, εἰ σωφρονεῖν αἱροῖντο· καὶ εἰ μὲν ἐπαγγέλλονται τοῦτο, χειροτονοῦνται· εἰ δὲ μὴ, πρὸ τῆς χειροτονίας εἰς γάμον ἐλθεῖν ἐπιτρέπονται, καὶ μετὰ τὸν γάμον χειροτονοῦνται. Μετὰ δὲ τὴν χειροτονίαν, γυναῖκας οἱ εἰρημένοι λαμβάνοντες, καθαιροῦνται· μόνοις δὲ ἀναγνώσταις καὶ ψάλταις, καὶ μετὰ τὸ εἰς κλῆρον καταλεγῆναι, ἐφεῖται γάμον ἑαυτοῖς συναλλάττειν, καὶ μένειν αὖθις ἐπὶ τῆς οἰκείας καταστάσεως· ἑτεροδόξῳ δὲ συνάπτεσθαι γυναικὶ, ὁ ιδ'. κανὼν τῆς οἰκουμενικῆς τετάρτης συνόδου κωλύει αὐτούς.

ΒΑΛΣ. Πρὸ τῆς χειροτονίας πᾶσιν ἐφεῖται συνάπτεσθαι γυναιξὶ, καὶ οὕτω χειροτονεῖσθαι τούτους πρεσβυτέρους, διακόνους, καὶ ὑποδιακόνους, μετὰ δὲ τὴν χειροτονίαν, μόνοις ἀναγνώσταις, καὶ ψάλταις ἐνεδόθη γαμεῖν.

---

(1) τὰ ἀπὸ τοῦ, Σημείωσαι κτλ. οὐ κεῖνται ἐν Χ. Τρ. καὶ Ė. — (2) Β. — σχεθεὶς Βευερ. — (3) Βρ. Βευερ. Ė. Κ. — προελθόντων Π. Χ. Τρ. — (4) Βρ. Χ. Τρ. Βευερ. — μόνον Π.

ΑΡΙΣΤ. Ὁ ἱερᾶσθαι μέλλων, εἰ βούλοιτο, προσγαμείτω· ἱερωθεὶς δὲ, ἀναγνώστης, καὶ ψάλτης μόνον.

Οὐκ ἔξεστί τινι μετὰ τὴν ἱερωσύνην πρὸς γάμον ἔρχεσθαι καὶ ἐπ' αὐτῆς τῆς ἀξίας μένειν· μόνοις δὲ ἀναγνώσταις, καὶ ψάλταις τοῦτο ἐφεῖται.

Κανὼν ΚΖ'.

Ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, τύπτοντα πιστοὺς ἁμαρτάνοντας, ἢ ἀπίστους ἀδικήσαντας, καὶ διὰ τοιούτων φοβεῖν ἐθέλοντα (1), καθαιρεῖσθαι προστάττομεν· οὐδαμοῦ γὰρ ὁ Κύριος τοῦτο ἡμᾶς ἐδίδαξε· τοὐναντίον δὲ, αὐτὸς τυπτόμενος, οὐκ ἀντέτυπτε, λοιδορούμενος, οὐκ ἀντελοιδόρει, πάσχων, οὐκ ἠπείλει.

ΖΩΝΑΡ. Ὁ Κύριος ἡμῶν καὶ Θεὸς, τοὺς μαθητὰς διδάσκων τὰς ἑαυτοὺς ἐντολὰς, ἔφη· Ἃ λέγω ὑμῖν, πᾶσι λέγω· τῶν δὲ θείων αὐτοῦ ἐντολῶν εἰσι καὶ αἱ κελεύουσαι, τῷ τύπτοντι τὴν δεξιὰν σιαγόνα, στρέφειν καὶ τὴν ἀριστεράν· καὶ τῷ ἀφαιρουμένῳ τὸ ἱμάτιον, καὶ τὸν χιτῶνα προσαποδύεσθαι. Εἰ δὲ πᾶσι ταῦτα ἐντέταλται, πολλῷ πλέον παρὰ τῶν ἱερωμένων φυλάττεσθαι αὐτὰ χρὴ, ἵν' εἶεν καὶ τοῖς ἄλλοις ὑπογραμμός. Διὰ τοῦτο καὶ ὁ παρὼν κανὼν ἀπαγορεύει τοῖς ἐπισκόποις, καὶ τοῖς λοιποῖς τὸ τύπτειν τοὺς εἰς αὐτοὺς ἁμαρτήσαντας, κἂν πιστοὶ εἶεν, κἂν ἄπιστοι· ἐλέγχειν γὰρ τοὺς ἀδικοῦντας ἄλλους ὀφείλουσι, καὶ προΐστασθαι τῶν ἀδικουμένων· ἐπεὶ καὶ Τιμοθέῳ Παῦλος ὁ μέγας ἐντέλλεται τοὺς ἁμαρτάνοντας ἐλέγχειν, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσιν, ἑαυτοὺς δὲ ἐκδικεῖν κωλύωνται· μιμητὰς γὰρ χρὴ τοῦ Κυρίου εἶναι, ὃς ἀνταποδοῦναι τοῖς εἰς αὐτὸν ἐμπαροινοῦσι δυνάμενος, οὐκ ἀνταπεδίδου, ἀλλὰ καὶ ὑπερηύχετο ἐκείνων· τοὺς δὲ ἐν τῷ ἱερῷ ἐμπορευομένους, ὡς εἰς τὸ θεῖον ἁμαρτάνοντας, τῷ φραγγελλίῳ τύπτων, ἐκεῖθεν ἐξήλασε, καὶ ἤλεγξε λέγων· μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου

---

(1) Π, Χ. Τρ. Ε.—καὶ διὰ τούτων φοβεῖσθαι θέλοντα Βευερ. ἄνευ τοῦ καὶ Βρ.

οἶκον ἐμπορίου. Καὶ ὁ μέγας δὲ Παῦλος, οἷον χρὴ τὸν ἐπίσκοπον εἶναι διαταττόμενος, πρὸς τοῖς ἄλλοις, καὶ μὴ πλήκτην (1) εἶναι φησίν. Ἀναγνωστέον καὶ τὸν ἔννατον κανόνα τῆς λεγομένης πρώτης καὶ δευτέρας συνόδου, τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων.

ΒΑΛΣ. Οἱ τοῦ βήματος οὐκ ὀφείλουσιν ὑπὸ τοῦ θυμοῦ νικᾶσθαι, καὶ τύπτειν τοὺς εἰς αὐτοὺς ἁμαρτήσαντας, πιστοὺς (2) δηλονότι, ἢ καὶ ἀπίστους, κἀντεῦθεν οἷον ἀμύνεσθαι αὐτοὺς, καὶ ἐκφοβεῖν τοὺς λοιπούς· οἱ δὲ τοιοῦτόν τι ποιοῦντες, παρὰ τὴν τοῦ κυρίου διδασκαλίαν, τὴν διοριζομένην, τῷ τύπτοντι τὴν δεξιὰν σιαγόνα, στρέφειν καὶ τὴν ἀριστερὰν, καθαιροῦνται. Ὁ δὲ πολιτικὸς νόμος τὸ ἐναντίον διορίζεται, λέγων, ἔξεστι βίᾳ τὴν βίαν ἐξωθεῖν, καὶ ὅπλα ὅπλοις· καὶ νοηθήσεται πάντως τὰ τοῦ τοιούτου νόμου εἰς τοὺς λαϊκοὺς, κἂν ἡ ἐντολὴ τοῦ Κυρίου, γενικὴ οὖσα, πρὸς πάντας ἐξεφωνήθη. Τὸ μέν τοι μετρίως σωφρονίζεσθαι παρὰ τῶν ἱερωμένων τοὺς μαθητὰς αὐτῶν, καὶ τοὺς ἁμαρτάνοντας, καὶ μετὰ παραγγελίαν μὴ ἐπιστρεφομένους, ἐκκεχώρηται· ὅτι καὶ ὁ Κύριος τοὺς ἐν τῷ ἱερῷ ἐμπορευομένους, καὶ εἰς τὸ θεῖον ἁμαρτάνοντας, τῷ φραγγελλίῳ τύπτων ἐξήλασεν. Ἀνάγνωθι καὶ τὸν θ'. κανόνα τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης συνόδου, καὶ λεγομένης α'. καὶ β'.

ΑΡΙΣΤ. Ἱερεὺς πιστὸν ἢ ἄπιστον τυπτήσας, καθαιρεῖται.

Ὁ τὸν εἰς αὐτὸν ἁμαρτήσαντα πιστὸν, ἢ ἄπιστον τύπτων ἱερεὺς, καὶ διὰ τοῦ ἐντεῦθεν φόβου τὸ μὴ καὶ ἑτέρους εἰς αὐτὸν τὰ ὅμοια πλημμελεῖν διορθούμενος, ὡς ὑπεναντία ποιῶν τῷ κελεύοντι νόμῳ, παρέχειν τῷ τὴν σιαγόνα τύπτοντι καὶ τὴν ἄλλην, καθαιρεῖται, διὰ τὸ ἐξ αὐθαδείας, καὶ ἀκατασχέτου θυμοῦ ἐπενεγκεῖν τὴν πληγήν. Ὁ δὲ τὸν εἰς τὰ ἱερὰ παρανομοῦντα σώφρονι μάστιγι σωφρονίζων, καθάπερ δὴ καὶ ὁ Κύριος τοῦ νομικοῦ ἱεροῦ τοὺς ἱεροκαπήλους τῷ ἐκ σχοινίου φραγγελλίῳ ἀπήλαυνεν, οὐ καθαιρεθήσεται· διὰ τοῦτο γὰρ οἱ ἐκκλησιαστι-

(1) Χ. Τρ. — πλέκτην Βευερ. — (2) τοὺς πιστοὺς Βευερ.

κοὶ νομοφύλακες, καὶ ἔκδικοι λέγονται, ὡς ἐκ πατέρων ἄνωθεν τεταγμένοι τὰ τοιαῦτα ἐκδικεῖν.

Κανὼν ΚΗ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος καθαιρεθεὶς δικαίως, ἐπὶ ἐγκλήμασι φανεροῖς, τολμήσειεν ἅψασθαι τῆς ποτὲ ἐγχειρισθείσης αὐτῷ λειτουργίας, οὗτος (1) παντάπασιν ἐκκοπτέσθω τῆς ἐκκλησίας.

—

ΖΩΝΑΡ. Οὗτοι μετὰ τὴν δικαίαν καθαίρεσιν ἁμαρτάνοντες, καὶ τῆς οἰκείας τιμῆς (τῆς λειτουργίας φημὶ) ἀντεχόμενοι, εἰκότως τῆς ἐκκλησίας ἐκβάλλονται, διά τε τὴν ἄκραν ἀναίδειαν, καὶ ὅτι οὐδὲ κολασθῆναι κανονικῶς δύνανται ἄλλως· ἤδη γὰρ προκαθῄρηνται· λοιπὸν καὶ τῆς ἐκκλησίας ἐκκόπτονται.

ΒΑΛΣ. Ὁ καθαιρεθεὶς κατὰ νόμους διὰ προφανὲς ἔγκλημα, καὶ διὰ τοῦτο μηδὲ ἐκκλήτου βοήθειαν ἔχων, εἰ τολμήσει τῆς προτέρας ἅψασθαι λειτουργίας, καὶ τῆς ἐκκλησίας ἐκκόπτεται, ὡς ἀναιδέστατος· εἰ γὰρ ἔχει βοήθειαν ἐκκλήτου, καὶ ἔτι ἀμφισβητήσιμόν ἐστι τὸ κεκριμένον κατ' αὐτοῦ, οὐ κατακριθήσεται λειτουργῶν. Ὁ μέν τοι πολιτικὸς νόμος φησὶν ἐν βιβλίῳ τρίτῳ τῶν βασιλικῶν τίτ. ά. κεφ. ά. ταῦτα· Ἐπίσκοπος ἀπὸ συνόδου καθαιρεθεὶς, καὶ ποιήσας στασιῶδες διὰ τὸ πάλιν τὴν ἐπισκοπὴν ἀναλαβεῖν (2), ἀπὸ ἑκατὸν μιλίων ἧς ἐξεβλήθη πόλεως οἰκείτω, μηδὲ βασιλεῖ προσιών· κἂν τύχῃ ἀντιγράφων, ἄχρηστα ἔστω· καὶ ὁ ὑπερεκδικῶν αὐτὸν, ἀγανακτείσθω. Ζήτει καὶ τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα δ'. ιϐ'. καὶ ιέ.

ΑΡΙΣΤ. Ὁ καθαιρεθεὶς εὐλογώτατα, εἰ τῶν θείων ἅψεται πάλιν, ἐκκηρυκτότατος.

Ὁ μετὰ τὴν καθαίρεσιν, τὴν εὐλόγως ἐπὶ φανεροῖς ἐγκλήμασι γενομένην, τῆς θείας λειτουργίας πάλιν ἁψάμενος, τῆς ἐκκλησίας οὗτος, ὡς σεσηπὸς μέλος, ἐκκόπτεται τέλεον.

---

(1) Π. Βρ. Ε. — τὸ, οὗτος οὐ κεῖται παρὰ Βευερ. Κ. καὶ Χ. Τρ. — (2) Χ. Τρ. — λαϐεῖνΒευερ.

Κανὼν ΚΘ'.

Εἴ τις ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένοιτο, ἢ πρεσβύτερος, ἢ διάκονος, καθαιρείσθω καὶ αὐτὸς, καὶ ὁ χειροτονήσας, καὶ ἐκκοπτέσθω παντάπασι καὶ (1) τῆς κοινωνίας, ὡς Σίμων ὁ μάγος ὑπ' ἐμοῦ Πέτρου (2).

—

Κανὼν Λ'.

Εἴ τις ἐπίσκοπος κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς ἐκκλησίας γένοιτο, καθαιρείσθω, καὶ ἀφοριζέσθω· καὶ οἱ κοινωνοῦντες αὐτῷ πάντες.

—

ΖΩΝΑΡ. Ἐν τῷ εἰκοστῷ πέμπτῳ κανόνι λέλεκται, μὴ δεῖν δὶς ἐκδικεῖν ἐπὶ τὸ αὐτό· ἐνταῦθα δὲ καὶ ἐν ἀμφοτέροις τοῖς κανόσι τούτοις διπλῆν ἐπάγει τὴν τιμωρίαν, διὰ τὴν τῆς κακίας ὑπερβολὴν, καὶ τὴν τῶν ἁμαρτημάτων βαρύτητα. Οὐδὲν γὰρ χεῖρον τοῦ τὴν θείαν χάριν ὤνιον ἑαυτῷ περιποιουμένου ἢ χρημάτων, ἢ δυναστείας ἀρχοντικῆς, καὶ τοῦ ταύτην πιπράσκοντος· ὡς δοῦλον γὰρ ὠνεῖται τὸ τοῦ ἁγίου πνεύματος χάρισμα· καὶ κατὰ τὴν συνοδικὴν ἐπιστολὴν, τὴν ἐπὶ Ταρασίου, τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως γενομένην, πρὸς τὸν πάπαν τῆς πρεσβυτέρας Ῥώμης Ἀδριανὸν, φορητότερος μᾶλλόν ἐστι Μακεδόνιος, καὶ οἱ λοιποὶ πνευματομάχοι· ἐκείνων γὰρ κτίσμα καὶ δοῦλον τοῦ Θεοῦ καὶ Πατρὸς τὸ ἅγιον Πνεῦμα λοιδορούντων, οὗτοι, ὡς δοκοῦσι, δοῦλον ἑαυτῶν ποιοῦσιν αὐτό. Ὁ γάρ τι πιπράσκων, ὡς δεσπότης αὐτὸ πιπράσκει, καὶ ὁ ἀγοράζων, δεσπότης εἶναι βουλόμενος τοῦ ἠγορασμένου, διὰ τιμῆς ἀργυρίου τοῦτο κτᾶται. Οὕτως ἀφόρητα τὰ ἁμαρτήματα ταῦτα· καὶ διὰ τοῦτο πρὸς τῇ καθαιρέσει, οἱ διὰ χρημάτων ἢ δυναστείας ἀρχοντικῆς τὴν ἱερωσύνην κτησάμενοι, καὶ οἱ οὕτω παρασχόντες αὐτὴν, καὶ τῆς ἐκκλησίας παντάπασιν ἀπελαύνονται. Ἡ δὲ τοῦ ἁγιωτάτου πατριάρχου Γενναδίου τῆς Νέας Ῥώμης ἐγκύκλιος ἐπιστολὴ καὶ ἀναθέματι τοὺς τοιούτους κατα-

(1) ὁ καὶ οὐ κεῖται παρὰ Βρ. καὶ Σ. Ῥ.—(2) Πράξ. Η, 21.—ὑπὸ τοῦ Πέτρου Ἀρῦ.

δικάζει, ταῦτα λέγουσα· Ἔστω τοίνυν καί ἐστιν ἀποκήρυκτος, καὶ πάσης ἱερατικῆς ἀξίας τε καὶ λειτουργίας ἀλλότριος, καὶ τῇ κατάρᾳ τοῦ ἀναθέματος ὑποκείμενος, καὶ ὁ λαμβάνων ὤνιον τὴν χάριν τοῦ Πνεύματος, καὶ ὁ διδοὺς, εἴτε κληρικὸς, εἴτε λαϊκὸς εἴη (1).

ΒΑΛΣ. Οἱ παρόντες δύο κανόνες ὁ κθ'. καὶ ὁ λ'. οὐ μόνον καθαιροῦσιν, ἀλλὰ καὶ τῆς κοινωνίας ἐκκόπτουσιν, ἤτοι ἀφορίζουσι, τοὺς διὰ χρημάτων ἐπισκόπους, ἢ πρεσβυτέρους, ἢ διακόνους γενομένους, καὶ τοὺς δι' ἀρχόντων προστασίας ἐπισκόπους γενομένους. Ἡ γὰρ χάρις τοῦ παναγίου Πνεύματος ὤνιος οὐκ ἔστι, φασί. Καὶ ἡ ἐπιστολὴ δὲ τοῦ ἁγίου Ταρασίου (2) πατριάρχου Κωνσταντινουπόλεως, ἡ πρὸς τὸν πάπαν Ἀδριανὸν, φησὶ, φορητότερον εἶναι τὸν αἱρετικὸν Μακεδόνιον, τὸν βλασφημήσαντα δουλεύειν τὸ ἅγιον Πνεῦμα, τοῦ διὰ χρημάτων πωλοῦντος, ἢ ὠνουμένου τὸ τοῦ παναγίου Πνεύματος χάρισμα, ὅτι ὁ πιπράσκων, ὡς δεσπότης πιπράσκει· καὶ ὁ ἐξωνούμενος, ὡς δεσπόσων καταβάλλει τὸ ἀργύριον. Ἡ δὲ τοῦ ἁγιωτάτου πατριάρχου Γενναδίου ἐγκύκλιος ἐπιστολὴ καὶ ἀναθέματι τοὺς τοιούτους καθυποβάλλει (3), ταῦτα λέγουσα· Ἔστω τοίνυν καί ἐστιν ἀποκήρυκτος, καὶ πάσης ἱερατικῆς ἀξίας τε καὶ λειτουργίας ἀλλότριος, καὶ τῇ κατάρᾳ τοῦ ἀναθέματος ὑποκείμενος, ὁ διδοὺς, καὶ ὁ λαμβάνων ὤνιον τὴν χάριν τοῦ Πνεύματος, εἴτε κληρικὸς, εἴτε λαϊκὸς εἴη· καὶ ταῦτα μὲν οὕτως. Ἐρωτήσει δέ τις, ὡς τοῦ λ'. κανόνος ἐπισκόπου μόνου μεμνημένου, ὡσαύτως καὶ τοῦ κθ'. κανόνος ὑποδιακόνων μὴ μεμνημένου, ἢ ἀναγνωστῶν, ἐὰν πρεσβύτερός τις γένηται, ἢ διάκονος, ἢ ὑποδιάκονος, ἢ ἀναγνώστης, διὰ προστασίας ἄρχοντος, ἢ ὑποδιάκονος, ἢ ἀναγνώστης, διὰ δόσεως χρημάτων, τί ὀφείλει γενέσθαι; Λύσις. Καὶ οὗτοι καθαιρεθήσονται, καὶ ἀφορισθήσονται ἀπὸ τοῦ τέλους τοῦ παρόντος λ'. κανόνος, λέγοντος, μὴ μόνους τοὺς πρωταιτίους τοῦ κακοῦ καθαιρεῖσθαι, καὶ ἀφορίζεσθαι, ἀλ-

(1) Ἅπασα ἡ περικοπὴ αὕτη ἀπὸ τοῦ, ὁ γάρ τι πιπράσκων οὐχ εὕρηται παρὰ Βευερ. ἀλλ' ἐν Χ. Τρ. καὶ Κ. — (2) γινομένου πατριάρχου Βευερ. — (3) ὑποδικάζει Χ. Τρ.

λὰ καὶ τοὺς κοινωνοῦντας αὐτοῖς. Καὶ ἡ ἐπιστολὴ δὲ τοῦ Γενναδίου, ὡς εἴρηται, οὐ μόνον τοὺς ἱερωμένους, ἀλλὰ καὶ τοὺς λαϊκοὺς, τοὺς τοιοῦτον κακὸν πεπραχότας, ἀναθέματι καθυποβάλλει. Ἀνάγνωθι καὶ τὸν δεύτερον κανόνα τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ τὸ έ. κεφάλαιον τοῦ ά. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ.

ΑΡΙΣΤ. Κανὼν κθ'. Ὁ ἐπὶ χρήμασιν ἱερεὺς μετὰ τοῦ χειροτονήσαντος καθαιρούμενος, ἔσται, κατὰ τὸν Σίμωνα, ἐσαεὶ ἀκοινώνητος.

Ἰδοὺ ἐνταῦθα δύο τὰ ἐπιτίμια· καθαιρεῖται γὰρ ὁ τοιοῦτος, καὶ ἐσαεὶ ἀκοινώνητος μένει, διὰ τὸ τοῦ πταίσματος μέγεθος.

ΑΡΙΣΤ. Κανὼν λ'. Ὁ δι᾽ἀρχόντων ἐπίσκοπος, καθαιρούμενος ἀφοριζέσθω.

Καὶ οὗτος, ὡς μέγα πλημμελήσας ἁμάρτημα, καὶ καθαιρεῖται, καὶ ἀφορίζεται· δεῖ γὰρ τὸν μέλλοντα χειροτονηθῆναι ἐπίσκοπον, ὑπὸ πάντων τῶν ἐν τῇ Ἐπαρχίᾳ ἐπισκόπων καθίστασθαι· ἢ, εἰ δυσχερές ἐστι τὸ πάντας ὁμοῦ συναχθῆναι, ὑπὸ τριῶν κἂν ἐπισκόπων ἐξάπαντος, συμψήφων γινομένων καὶ τῶν ἀπόντων.

Κανὼν ΛΑ'.

Εἴ τις πρεσβύτερος, καταφρονήσας τοῦ ἰδίου ἐπισκόπου, χωρὶς συναγάγῃ (1), καὶ θυσιαστήριον ἕτερον (2) πήξῃ, μηδὲν κατεγνωκὼς τοῦ ἐπισκόπου ἐν εὐσεβείᾳ, καὶ δικαιοσύνῃ, καθαιρείσθω, ὡς φίλαρχος· τύραννος γάρ ἐστιν. Ὡσαύτως δὲ καὶ οἱ λοιποὶ κληρικοὶ, καὶ (3) ὅσοι ἂν (4) αὐτῷ προσθῶνται· οἱ δὲ λαϊκοὶ ἀφοριζέσθωσαν. Ταῦτα δὲ μετὰ μίαν, καὶ δευτέραν, καὶ τρίτην παράκλησιν τοῦ ἐπισκόπου, γινέσθω.

—

ΖΩΝΑΡ. Τάξις συνέχει τὰ οὐράνια καὶ τὰ ἐπίγεια. Δεῖ τοίνυν

---

(1) Π. Χ. Τρ. Βευερ. Κ. Μάνσ. ἐν περισελ. — συναγωγὴν Βρ. — (2) Π. Βευερ. καὶ Μάνσ. ἐν περισελ. — τὸ ἕτερον οὐ κεῖται παρὰ Βρ. — (3) ὁ, καὶ, οὐχ εὕρηται ἐν Χ. Τρ. — (4) ἐν αὐτῷ Βρ.

ἁπανταχοῦ τὴν εὐταξίαν φυλάττεσθαι, καὶ μᾶλλον παρὰ τοῖς ἐκκλησιαστικοῖς, καὶ τοὺς πρεσβυτέρους, καὶ τοὺς λοιποὺς κληρικοὺς ὑπείκειν τῷ ἐπισκόπῳ. Εἰ δέ τις πρεσβύτερος, ἐν μηδενὶ κατεγνωκὼς τοῦ ἰδίου ἀρχιερέως, μήτε ὡς περὶ τὴν εὐσέβειαν σφαλλομένου, μήτε ὡς ἄλλο τι ποιοῦντος παρὰ τὸ καθῆκον καὶ δίκαιον, διὰ φιλαρχίαν δὲ, παρασυναγωγὴν ποιήσει, ἰδιαιτέρως ἐκκλησιάζων, καὶ θυσιαστήριον πήξας, ἐν τούτῳ ἱερουργεῖ, καθαιρεῖσθαι διατάττεται ὁ κανὼν καὶ αὐτὸν, καὶ τοὺς αὐτῷ συνερχομένους κληρικοὺς, τοὺς δὲ λαϊκοὺς ἀφορίζεσθαι. Οὐ ταχεῖς δὲ τοὺς ἐπισκόπους εἰς κόλασιν εἶναι βούλεται· διὸ οὐδὲ ἀπεντεῦθεν αὐτοὺς τῇ καταδίκῃ ὑπάγειν διακελεύεται (1), ἀλλ᾽ ἐκ τρίτου τοὺς παρασυνάγοντας παρακαλεῖσθαι, ἀποστῆναι τοῦ ἀτάκτου ἐπιχειρήματος, ἐμμένοντας δὲ τούτῳ (2) καταδικάζεσθαι. Τῆς δὲ ἐν Γάγγρᾳ γενομένης συνόδου ὁ ἕκτος κανὼν, τοὺς παρὰ τὴν καθολικὴν ἐκκλησίαν ἰδίᾳ ἐκκλησιάζοντας παρὰ γνώμην τοῦ ἐπισκόπου, καὶ (3) ὑπὸ ἀνάθεμα ποιεῖται· ὁμοίως δὲ καὶ ὁ δέκατος κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου.

ΒΑΛΣ. Ἑκάστης πόλεως ἱερωμένοι, καὶ λαϊκοὶ ὀφείλουσιν ὑποκεῖσθαι τῷ κατὰ χώραν ἐπισκόπῳ, καὶ μετὰ τούτου συνάγεσθαι καὶ ἐκκλησιάζειν, εἰμὴ καταγνώσουσι τούτου ὡς ἀσεβοῦς ἢ ἀδίκου· τηνικαῦτα γὰρ ἀποδιϊστάμενοι αὐτοῦ, οὐκ εὐθυνθήσονται (4). Ὁ δὲ παρὰ ταῦτα ποιήσας, καὶ ἀνευλόγως ἐκ τοῦ ἰδίου ἐπισκόπου ἀποσχισθεὶς, καὶ ἰδίᾳ ἐκκλησιάζων, εἰ μὲν κληρικός ἐστι, καθαιρεθήσεται ὡς φίλαρχος, εἰ δὲ λαϊκὸς, ἀφορισθήσεται. Πλὴν ταῦτα διορίζεται γενέσθαι ὁ κανὼν μετὰ πρώτην, δευτέραν, καὶ τρίτην παραίνεσιν (5). Ἀνάγνωθι καὶ τὸν ϛ'. κανόνα τῆς ἐν Γάγγρᾳ συνόδου, καὶ τὸν ι. τῆς ἐν Καρθαγένῃ. Τούτῳ τῷ κανόνι, καὶ τοῖς λοιποῖς τὰ τοιαῦτα διοριζομένοις προσβοηθούμενοι (6) οἱ κατὰ χώραν μητροπολῖται, καὶ ἐπίσκοποι, γογγύζουσι κατὰ τῶν ζητούντων σταυροπήγια πατριαρχικὰ εἰς τὰς ἐνορίας αὐτῶν. Διὰ γὰρ τοῦτο καὶ πολλάκις τινὲς ὤχλη-

(1) Χ. Τρ. Κ. — βούλεται Βευερ. — (2) Χ. Τρ. Κ. — οὕτω Βευερ. — (3) Χ. Τρ. Κ. — οὐχ εὕρηται ὁ καὶ, παρὰ Βευερ. — (4) Χ. Τρ. — ἀποδιϊσταμένοις αὐτοῦ οὐκ εὐθυνθήσεται Ἐ. Βευερ. — (5) Χ. Τρ. — ἐπιφώνησιν Ἐ. Βευερ. — (6) Χ. Τρ. — οἱ προσβοηθούμενοι οἱ κατὰ χώραν Ἐ. Βευερ.

σαν τὰς βασιλικὰς καὶ πατριαρχικὰς ἀκοὰς, ζητοῦντες περιαιρεθῆναι τὴν δόσιν τῶν πατριαρχικῶν σταυροπηγίων· ὡς τῶν ζητούντων αὐτὰ, καὶ ποιουμένων τὴν τοῦ οἰκουμενικοῦ πατριάρχου ἀναφορὰν, μηδὲ λόγου ἀξιούντων αὐτούς· ἀλλ' οὐκ εἰσηκούσθησαν, καὶ ταῦτα ζητοῦντες κανόνας προκομισθῆναι, τὴν τῶν τοιούτων σταυροπηγίων ἐκχωροῦντας (1) ἔκδοσιν, ὡς τοῦ μέρους τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας γενναίως ἀποσκευασαμένου (2) τὴν τούτων ἔνστασιν, διὰ τῆς μακρᾶς ἐκκλησιαστικῆς ἀγράφου συνηθείας, τῆς ἀντὶ κανόνων κρατησάσης ἐξ ἀμνημονεύτων χρόνων καὶ μέχρι τοῦ νῦν.

Σημείωσαι (3) τὸν παρόντα ἀποστολικὸν κανόνα διοριζόμενον ἀκινδύνως ἀποσχίζειν τοὺς κληρικοὺς ἀπὸ τῶν ἐπισκόπων αὐτῶν, καταγινώσκοντας τούτων ὡς ἀσεβούντων, ἢ ἀδικούντων, καί ἐστι καινὸν τὸ τῆς ἀδικίας. Ἐξ ἑτέρου δὲ τρόπου, κἂν τῶν χειρίστων (4) πάντων ἐστὶν ὁ ἐπίσκοπος, ἢ ὁ ἱερεὺς, οὐκ ὀφείλει τις ἀποσχίζειν ἐξ αὐτῶν, μᾶλλον μὲν οὖν πιστεύειν *διὰ τοῦ ἁμαρτωλοτάτου ἱερέως, ἢ ἐπισκόπου* ἁγιάζεσθαι (5)· πάντας γάρ, φησιν, ὁ Θεὸς οὐ χειροτονεῖ, διὰ πάντων δὲ ἐνεργεῖ. Ἀνάγνωθι καὶ τοῦ *ἁγίου Χρυσοστόμου τὴν ἑρμηνείαν* τῆς πρὸς Τιμόθεον δευτέρας ἐπιστολῆς (6), καὶ τὸν ιγ'. κανόνα τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συνόδου.



Ἑτέρα ἑρμηνεία.

Μετὰ τὴν τοῦ παρόντος κανόνος ἑρμηνείαν, εἰς λόγον ἐλθὼν μετά τινων ἀρχιερέων, γογγυζόντων διὰ τὰ πατριαρχικὰ σταυροπήγια, ὡς δῆθεν ἀκανονίστως ἀποστελλόμενα εἰς τὰς ἐνορίας αὐτῶν, κατενόησα δικαίως (7) καὶ κανονικῶς ταῦτα γίνεσθαι, καὶ μάτην τοὺς ἐγχωρίους ἐπισκόπους μέμφεσθαι τὴν τούτων ποίησιν. Ἀπὸ γὰρ τῶν θείων κανόνων οὔτε μητροπολίτῃ, οὔτε ἀρχιεπισκόπῳ, οὔτε ἐπισκόπῳ ἐνορία ἐδόθη, ἀλλὰ τοῖς πέντε (8) πατριάρ-

(1) ἐγχωροῦντας Χ. Τρ. — (2) Χ. Τρ. — ἀποσκευασμένου Βευερ. — (3) Χ. Τρ. καὶ Βευερ. — ἡ Σημ. οὐχ εὕρηται παρὰ Ἑ. — (4) Χ. Τρ. — κἂν χείριστος Βευερ. — (5) Χ. Τρ. — δι' αὐτοὺς ἁγιάζεσθαι Βευερ. τὰ δ' ἐντὸς* οὐ κεῖνται. — (6) Χ. Τρ. — οὐχ εὕρηνται παρὰ Βευερ. ἀλλ' οὕτω, καὶ τὸν ιγ'. κανόνα τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συνόδου, καὶ ἀπὸ τῆς πρὸς Τιμόθεον δευτέρας ἐπιστολῆς ἑρμηνείαν τοῦ λόγου. — (7) Χ. Τρ.—καλῶς Βευερ. — (8) Χ. Τρ. — τὰ πάντα Βευερ.

χαις ἀπενεμήθησαν αἱ ἐνορίαι τῶν τεσσάρων κλιμάτων τῆς οἰκουμένης (1), καὶ διὰ τοῦτο ἔχουσιν ἐν ταύταις τὴν ἀναφορὰν τῶν ὀνομάτων αὐτῶν ἀπὸ πάντων τῶν ἐν αὐταῖς ἐπισκόπων(2)· καὶ τοῦτο δῆλον ἀπὸ τοῦ ς'. καὶ ζ'. κανόνος τῆς ά. συνόδου, καὶ τοῦ β'. καὶ γ'. κανόνος τῆς δευτέρας, διοριζομένων τὸν Ἀλεξανδρείας ἔχειν ἐνορίαν πᾶσαν τὴν Αἴγυπτον, τὴν Λιβύην, καὶ τὴν Πεντάπολιν· τὸν Ἀντιοχείας, τὴν Κοίλην Συρίαν, τὴν Μεσοποταμίαν, καὶ τὴν Κιλικίαν, καὶ τοὺς λοιποὺς πατριάρχας, τὰς ἑτέρας διοικήσεις. Ὅθεν καὶ ὡς ἔχοντες δίκαια χειροτονιῶν εἰς τὰς ἀφορισθείσας αὐτοῖς διοικήσεις, κατὰ τὴν τῶν ῥηθέντων κανόνων περίληψιν, καὶ ἀνακρίνοντες τοὺς διέποντας ταύτας ἀρχιερεῖς, καὶ κανονικῶς διορθούμενοι, δικαίως καὶ σταυροπήγια δώσουσιν εἰς πόλεις καὶ παροικίας *αὐτῶν· ἰδιώσονται* (3) δὲ καὶ κληρικοὺς αὐτῶν, ὁσάκις θέλουσιν, ἀποκριματίστως. Τούτων δὲ οὕτως ἐχόντων, οὐδενὶ τῶν πατριαρχῶν ἐπ' ἀδείας ἔσται εἰς ἑτέρου πατριάρχου ἐνορίαν ἀποστεῖλαι σταυροπήγια, ἀλλ' οὐδὲ κληρικὸν αὐτοῦ ἁρπάσαι, ἵνα μὴ συγχέωνται τὰ δίκαια τῶν ἐκκλησιῶν.

ΑΡΙΣΤ. Ὁ ἐξ ἀναιτίου σχισθεὶς ἐπισκόπου, καὶ πηγνὺς ἄλλο θυσιαστήριον, μετὰ τῶν δεξαμένων ἕξει τὸ ἔκπτωτον.

Εἴ τις τοῦ ἰδίου ἐπισκόπου ἀναιτίως κατέγνω, ὡς μήτε πρὸς εὐσέβειαν, μήτε πρὸς δικαιοσύνην προσκρούσαντος, καὶ συναγωγὴν λαοῦ ἰδιαιτέρως ποιήσαιτο, καὶ θυσιαστήριον ἕτερον πήξοι, καθαιρείσθω αὐτός τε ὡς φίλαρχος, καὶ οἱ συνακολουθήσαντες αὐτῷ κληρικοί· ταῦτα δὲ γίνεσθαι ὀφείλουσιν, εἰ μὴ ἐπιστρέφει, δὶς καὶ τρὶς τοῦ ἐπισκόπου τοῦτον παρακαλέσαντος.

Κανὼν ΛΒ'.

Εἴ τις πρεσβύτερος, ἢ διάκονος, ὑπὸ ἐπισκόπου γένηται ἐν ἀφορισμῷ (4), τοῦτον μὴ ἐξεῖναι παρ' ἑτέρου δεχθῆναι, ἀλλ' ἢ παρὰ τοῦ ἀφορίσαντος αὐτὸν, εἰ μὴ ἂν κατὰ συγκυρίαν τελευτήσῃ ὁ ἀφορίσας αὐτὸν ἐπίσκοπος.

—

(1) Χ. Τρ. — καὶ αἱ ὅλαι ἐνορίαι τῆς ὅλης οἰκουμένης Βευερ. — (2) ἀρχιερατευόντων Χ. Τρ. — (3) Χ. Τρ. — τὸ χωρίον ἐστὶν ἐλλιπὲς καὶ ἄνευ ἐννοίας, παρὰ Βευερ. — (4) Π. Βρ. Ἐ. — ἀφωρισμένος Βευερ. Χ. Τρ.

[library stamp, faint]

ΖΩΝΑΡ. Περὶ τοῦ μὴ δέχεσθαι, ἢ λύεσθαι τοῦ ἐπιτιμίου τοὺς ὑπὸ τῶν ἰδίων ἐπισκόπων ἀφωρισμένους παρ' ἑτέρων, καὶ ἀνωτέρω εἴρηται· καὶ αὖθις δὲ τὰ αὐτὰ οὗτος ὁ κανὼν διατάττεται. Ἐπεὶ δὲ εἰκὸς ἴσως τὸν ἀφορίσαντα, ἢ αἰφνήδιον, ἢ ἐν ἀποδημίᾳ ὄντα θανεῖν, καὶ τὸν ἀφορισθέντα μένειν ἐπιτετιμημένον, ἐπάγει *τὸ* (1), εἰ μὴ ἂν κατὰ συγκυρίαν τελευτήσῃ ὁ ἀφορίσας αὐτὸν, ἤγουν εἰ μὴ ταχέως καὶ ἀπροόπτως τελευτήσῃ ὁ ἀφορίσας αὐτὸν (2). Καὶ ἔοικε μὲν παραχωρεῖν ὁ κανὼν οὗτος, εἰ τύχῃ τελευτήσας ὁ ἀφορίσας, καὶ παρ' ἑτέρου δέχεσθαι τὸν ἀφορισθέντα· ἀλλὰ τὸ, παρ' ἄλλου, οὕτως ἐξελήφθη, ἤγουν, παρὰ τοῦ διαδεξαμένου τὴν ἀρχιερατικὴν ἀξίαν (3) τοῦ τελευτήσαντος· ἑτέρας γὰρ ἐνορίας ἐπισκόπῳ, λῦσαι τὸν ἐπιτετιμημένον παρ' ἑτέρου, οὐ δέδοται, εἰ μήπου συνοδικὴ ἐξέτασις γένηται, καὶ φανείη μὴ δικαίως ὁ ἐπίσκοπος ἀφορίσας· τοῦτο γὰρ καὶ ζώντων ἔτι τῶν ἀφορισάντων γίνεσθαι ἐπιτέτραπται.

ΒΑΛΣ. Τὰ μὲν ἄλλα τοῦ παρόντος κανόνος προερμηνεύθησαν ἐν ἑτέροις κανόσι· πῶς δὲ λύεται τοῦ ἀφορισμοῦ ὁ ἀφορισθεὶς, μετὰ θάνατον τοῦ ἀφορίσαντος αὐτὸν ἐπισκόπου, μάθε τὰ νῦν, καὶ εἰπὲ, ὅτι, τοῦ ἀφορίσαντος ἀποβεβιωκότος, ἢ ὁ μετ' αὐτὸν ἐπίσκοπος λύει τὸν ἀφορισμὸν, ἢ ὁ τὸν τελευτήσαντα προβαλόμενος πρῶτος ἀρχιερέα (4), πατριάρχης δηλαδὴ, ἢ μητροπολίτης, πλὴν μετὰ ἐξέτασιν. Τὸ δὲ ἑτέρας παροικίας ἐπίσκοπον λύειν τὸν ἀφορισθέντα μετὰ τελευτὴν τοῦ ἀφορίσαντος, οὐκ ἐπιτέτραπται.

ΑΡΙΣΤ. Ἄδεκτος ἑτέροις ὁ ἐξ ἑτέρου περιόντος ἀφωρισμένος. Ὁ ἀφορισθεὶς παρὰ τοῦ ἰδίου ἐπισκόπου πρεσβύτερος, ἢ διάκονος, ζῶντος τοῦ ἀφορίσαντος αὐτὸν ἐπισκόπου, οὐδὲ παρ' ἑτέρου προσδεχθῆναι ὀφείλει.

Κανὼν ΛΓ'.

Μηδένα τῶν ξένων ἐπισκόπων, ἢ πρεσβυτέρων, ἢ δια-

(1) Χ. Τρ. Ἑ. — οὐχ εὕρηται παρὰ Βευερ. — (2) Χ. Τρ. Κ. — ἡ φράσις ὅλη ἀπὸ τῆς λέξεως ἤγουν, ἕως, ὁ ἀφορίσας αὐτὸν, οὐχ εὕρηται παρὰ Βευερ. — (3) Χ. Τρ. Κ. — ἐξουσίαν Βευερ. — (4) Χ. Τρ. — ἀρχιερεὺς Βευερ. Ἑ.

κόνων ἄνευ συστατικῶν προσδέχεσθαι· καὶ ἐπιφερομένων δὲ αὐτῶν, ἀνακρινέσθωσαν· καὶ εἰ μὲν ὦσι κήρυκες τῆς εὐσεβείας, προσδεχέσθωσαν· εἰ δὲ μήγε, τὰ πρὸς χρείαν (1) αὐτοῖς ἐπιχορηγήσαντες, εἰς κοινωνίαν αὐτοὺς μὴ προσδέξησθε· πολλὰ γὰρ κατὰ συναρπαγὴν γίνεται.

—

ΖΩΝΑΡ. Τοὺς ἐν ἑτέρᾳ χώρᾳ ἀπιόντας ἑτέρωθεν ἱερωμένους, ἀπαγορεύει ὁ κανὼν χωρὶς συστατικῶν δέχεσθαι. Εἰ δὲ καὶ συστατικὰ ἐπιφέροιντο, οὐδὲ τότε ἀβασανίστως τούτους προσίεσθαι συγχωρεῖ, ἀλλ' ἀνακρίνειν, εἰ ὀρθόδοξοι εἶεν, (ἴσως γὰρ ἠγνόησεν ὁ δοὺς τὴν συστατικὴν ἐπιστολὴν, ὅτι σφάλλονται πρὸς τὴν πίστιν)· καὶ τοιούτους ὄντας προσδέχεσθαι, καὶ συγκοινωνεῖν αὐτοῖς. Εἰ δ' ἀμφίβολοι περὶ τὰ ὀρθὰ δόξουσι δόγματα, τὴν μετ' αὐτῶν συνδιαγωγὴν παραιτεῖσθαι παρακελεύεται (2)· χορηγεῖν (3) δὲ τὰ πρὸς χρείαν αὐτοῖς, καὶ οὕτως ἐκπέμπειν. Τὸ γὰρ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων ἐπιδεεῖς ὄντας αὐτοὺς παρορᾷν, καὶ οὕτως ἀπολύειν, ἀφιλάνθρωπον ἐκρίθη τοῖς Ἀποστόλοις, καὶ ἅμα φειδωλίαν κατηγοροῦν τῶν μὴ προσδεξαμένων αὐτούς.

ΒΑΛΣ. Τὸ δίχα συστατικῶν γραφῶν μὴ προσδέχεσθαι τοὺς ξένους ἐπισκόπους, ἢ πρεσβυτέρους, ἢ διακόνους, προεδιδάχθημεν. Ἀρτίως δὲ διορίζεται ὁ κανὼν ἀνακρίνεσθαι τούτους περὶ εὐσεβείας, καὶ συστατικὰ ἔχοντας· καὶ ἢ προσδέχεσθαι εἰς κοινωνίαν ὀρθοδόξους ὄντας, ἢ παραιτεῖσθαι, ὡς ἀμφιβόλους· τροφῆς δὲ αὐτοὺς μὴ ἀποστερεῖν ὥρισται· καὶ ὁ μὲν παρὼν κανὼν ταῦτα. Ἐξ ἑτέρων δὲ κανόνων μαθήσῃ, ὅτι κἂν συστατικά τινες ἐπιφέρωνται, καὶ οὐδὲ περὶ τὴν ὀρθοδοξίαν ἀμφίβολοι ὦσιν, ἀλλὰ καὶ οὕτως ἀπολυτικὰς γραφὰς τῶν οἰκείων ἐπισκόπων ἐμφανίζειν ὀφείλουσιν, εἰ δὲ μὴ, οὐ παραχωρηθήσονται ἱερουργεῖν· τὸ μὲν γὰρ ἱερωθῆναι αὐτοὺς διὰ τῶν συστατικῶν γραφῶν ἐλέγχεται· τὸ δὲ ἐκχωρηθῆναι ἐπὶ ξένης ἱερουργεῖν, οὐκ ἀπὸ τούτων, ἀλλ' ἐκ τῶν ἀπολυτικῶν γραμμάτων παρίσταται. Διὰ γὰρ τοῦτο, ὡς ἔοικε, καὶ ὁ παρὼν κανὼν

(1) τὰς χρείας Σ. Ῥ. — (2) Χ. Τρ. Κ. — διακελεύεται Βευερ. — (3) Χ. Τρ. Κ. — χωρεῖν Βευερ.

κοινωνίας μόνης ἐμνήσθη, οὐ μὴν καὶ λειτουργίας, ὡς τῶν προσκομιζόντων συστατικὰς μόνας γραφὰς ἐκκλησιάζειν ἐπὶ ξένης μὴ κωλυομένων.

ΑΡΙΣΤ. Ξένος ἱερεὺς δίχα συστατικῶν οὐ προσδέχεται· καὶ ἐλθὼν ἐπανακρίνεται, καὶ εἰ μὲν ὀρθοτομῶν, προσίεται· εἰ δ' οὔ, τὰ πρὸς χρείαν ἐφοδιαζόμενος ἀποπέμπεται.

Ἄνευ συςατικῶν οὐ δεῖ ξένον ἱερέα προσδέχεσθαι· εἰ δὲ καὶ συςατικὰ ἐπιφέρηται, δέον αὐτὸν καὶ οὕτως ἐπανακρίνεσθαι. Καὶ εἰ μὲν εὐσεβὴς ἀναμφιβόλως εὑρεθῇ, προσίεσθαι τοῦτον· εἰ δ' ἀμφιβάλλεται, τὰ πρὸς διοίκησιν ἐπιχορηγεῖσθαι αὐτῷ, καὶ ἀποπέμπεσθαι.

Κανὼν ΛΔ'.

Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον, καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλὴν, καὶ μηδέν τι πράττειν περιττὸν ἄνευ τῆς ἐκείνου γνώμης· ἐκεῖνα (1) δὲ μόνα πράττειν ἕκαστον, ὅσα τῇ αὐτοῦ παροικίᾳ ἐπιβάλλει, καὶ ταῖς ὑπ' αὐτὴν χώραις. Ἀλλὰ μηδὲ ἐκεῖνος ἄνευ τῆς πάντων γνώμης ποιείτω τι. Οὕτω γὰρ ὁμόνοια ἔσται, καὶ δοξασθήσεται ὁ Θεὸς, διὰ Κυρίου, ἐν ἁγίῳ Πνεύματι· ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα (2).

—

ΖΩΝΑΡ. Ὥσπερ τὰ σώματα, μὴ τὴν οἰκείαν ἐνέργειαν ὑγιᾶ σωζούσης τῆς κεφαλῆς, πλημμελῶς κινοῦνται, ἢ καὶ ἄχρηστά εἰσι παντελῶς, οὕτω καὶ τὸ σῶμα τῆς ἐκκλησίας, εἰ μὴ ὁ πρωτεύων τούτου, καὶ τάξιν πληρῶν κεφαλῆς, ἐπὶ τῆς οἰκείας διατηροῖτο τιμῆς, ἀτάκτως καὶ πλημμελῶς κινηθήσεται. Διὰ τοῦτο ὁ παρὼν κανὼν τοὺς ἑκάστης ἐπαρχίας πρώτους ἐπισκόπους, τοὺς τῶν μητροπόλεων δηλονότι ἀρχιερεῖς, κεφαλὴν ἡγεῖσθαι ὑπὸ τῶν ἄλλων ἐπισκόπων τῆς αὐτῆς ἐπαρχίας κελεύει, καὶ χωρὶς ἐκείνων μηδὲν ποιεῖν, ὃ εἰς κοινὴν ἀφορᾷ τῆς ἐκκλησίας κατάστασιν, οἷον ζητήσεις δογματικὰς, οἰκονομίας περὶ σφαλμάτων κοινῶν, καταστάσεις ἀρχιερέων, καὶ ὅσα τοιαῦτα· ἀλλὰ περὶ τούτων ἐκείνῳ συνιόντας συνδιασκέπτεσθαι, καὶ τὸ

(1) Βευερ. Ἐ. Χ. Τρ. Σ. Ῥ. — τὸ, ἐκεῖνα οὐ κεῖται ἐν Π. — (2) ὁ Πατὴρ κτλ. οὐ κεῖνται παρὰ Βρ. — οὐδ' ἐν Σ. Ῥ. τὸ, ὁ Θεὸς διὰ Κυρίου ἐν ἁγίῳ Πνεύματι.

πᾶσιν ἄριστον δόξαν ψηφίζεσθαι. Ἕκαστον δὲ τὰς τῆς οἰκείας (1) ἐκκλησίας διοικήσεις, καὶ τῶν ὑποκειμένων αὐταῖς χωρῶν, πράττειν ἰδιαζόντως καθ' ἑαυτούς. Πλὴν ἀλλ' οὐδὲ τῷ πρώτῳ ἐπισκόπῳ παραχωρεῖ, τῇ τιμῇ καταχρώμενον, εἰς δυναστείαν ταύτην ἀμείβειν, καὶ ἐναυθεντεῖν, καὶ χωρὶς γνώμης κοινῆς τῶν οἰκείων συλλειτουργῶν ποιεῖν τι τῶν εἰρημένων, ἢ τῶν ὁμοίων αὐτοῖς· βούλεται γὰρ ὁμονοεῖν τοὺς ἀρχιερεῖς, καὶ συνδεδέσθαι τῷ τῆς ἀγάπης δεσμῷ, καὶ ὑπόδειγμα πρὸς ἀγάπην τε, καὶ ὁμόνοιαν τοῖς ὑπ' αὐτοὺς εἶναι κλήροις τε, καὶ τοῖς πλήθεσιν· ἵν' οὕτω δοξάζηται ὁ Θεὸς, κατὰ τὴν εὐαγγελικὴν διδασκαλίαν τὴν λέγουσαν, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν, τὸν ἐν τοῖς οὐρανοῖς. Δοξασθήσεται δὲ ὁ Θεὸς διὰ τοῦ Κυρίου, ὡς ἐκείνου τὸ ὄνομα αὐτοῦ φανερώσαντος τοῖς ἀνθρώποις, καὶ τὴν ἀγάπην νομοθετήσαντος· ἐν ἁγίῳ δὲ δοξασθήσεται Πνεύματι· διὰ τούτου γὰρ οἱ Ἀπόστολοι ἐσοφίσθησαν, καὶ τὰ ἔθνη ἐδίδαξαν.

ΒΑΛΣ. Τάξις συνέχει πάντα καὶ τὰ οὐράνια, ἀλλὰ καὶ τὰ ἐπίγεια· ὅθεν καὶ ὁ παρὼν κανὼν διορίζεται τιμᾶσθαι τοὺς χειροτονήσαντας ὑπὸ τῶν χειροτονηθέντων· οὗτοι γάρ εἰσι πρῶτοι, καὶ κεφαλαὶ αὐτῶν· διὸ καὶ ὡρίσθη κατὰ κοινὴν γνώμην, τὰ ἐπέκεινα τῆς διοικήσεως τῶν ἀνηκόντων ἑκάστῃ παροικίᾳ, εἰς ἐκκλησιαστικὴν κατάστασιν ἀποβλέποντα, καὶ περιττὰ λογιζόμενα, μὴ γίνεσθαι χωρὶς γνώμης τῶν πρώτων. Καὶ αὐτῷ δὲ τῷ πρώτῳ τοιοῦτόν τι ποιεῖν ἄνευ γνώμης τῶν ἐπισκόπων αὐτοῦ οὐκ ἐνεδόθη· οὕτω γάρ, φησιν, ἡ κατὰ Θεὸν ὁμόνοια καὶ ἀγάπη συντηρηθήσεται μέσον αὐτῶν· καὶ ἡ μὲν ἑρμηνεία τοῦ κανόνος τοιαύτη. Εἰπὲ δὲ, χάριν τῶν περιττῶν, ὅτι πολλαὶ πόλεις διὰ τὴν τῶν ἐθνῶν ἐπιδρομὴν ἀνεπισκόπητοι μένουσαι κατὰ λόγον οἰκονομίας ἐπισκόποις ἑτέροις προσανατίθενται. Εἰ γοῦν ὁ πρῶτος, ὑφ' ὃν αὗται τελοῦσι, δίχα γνώμης τῶν συλλειτουργῶν αὐτοῦ τὴν ἀνάθεσιν τούτων ποιήσει, αἰτιαθήσεται. Τοιαῦτά εἰσι τὰ περιττὰ, καὶ περὶ τούτων ὁ κανὼν

(1) Χ. Τρ. Κ. — ἰδίας Βευερ.

διορίζεται. Τὸ δὲ μὴ πράττειν τι τὸν πρῶτον ἄνευ τῆς γνώμης τῶν ἐπισκόπων αὐτοῦ, μὴ εἴπῃς νοεῖσθαι εἰς ἅπαντα τὰ παρὰ τούτου γίνεσθαι μέλλοντα, ἀλλὰ εἰς μόνα τὰ περιττά. Εἰ γὰρ τοῦτο εἴπῃς, ὑποβιβασθήσεται ὁ χειροτονῶν τοῦ χειροτονουμένου· ὡς τούτου μὲν κωλυθέντος παντάπασι ποιεῖν τι δίχα γνώμης τῶν ὑπ' αὐτὸν, ἐκείνων δὲ δεομένων τῆς τοῦ πρώτου παρουσίας εἰς μόνα τὰ περιττά· ὅπερ ἄτοπον.

ΑΡΙΣΤ. Δίχα τοῦ πρώτου αὐτῶν ποιοῦσιν οὐδὲν οἱ ἐπίσκοποι, εἰμὴ τὰ τῆς παροικίας αὐτοῦ ἕκαστος· καὶ ὁ πρῶτος ἄτερ ἐκείνων οὐδὲν, διὰ τὴν ὀφειλομένην ὁμόνοιαν.

Οὔτε οἱ ἐπίσκοποι, οὔτε οἱ μητροπολῖται παρὰ γνώμην τοῦ αὐτῶν πρώτου ὀφείλουσί τι περιττὸν πράττειν, οἷον ἐπισκόπους ψηφίζεσθαι, περὶ δογμάτων νέων ζητεῖν, ἢ ἐκποιήσεις ἐκκλησιαστικῶν τινων ποιεῖσθαι, εἰ μὴ τὰ ἐπιβάλλοντα τῇ ἑκάστου παροικίᾳ, καὶ ταῖς ὑπ' αὐτὸν χώραις. Ἀλλ' οὐδὲ ὁ πρῶτος ἄνευ γνώμης αὐτῶν δύναταί τι τοιοῦτον ποιεῖν· οὕτω δὲ καὶ ὁ τῆς ὁμονοίας ὅρος τηρηθήσεται.

Κανὼν ΛΕ'.

Ἐπίσκοπον μὴ τολμᾶν ἔξω τῶν ἑαυτοῦ ὅρων χειροτονίας ποιεῖσθαι, εἰς τὰς μὴ ὑποκειμένας αὐτῷ πόλεις, καὶ χώρας· εἰ δὲ ἐλεγχθείη τοῦτο πεποιηκὼς, παρὰ τὴν τῶν κατεχόντων τὰς πόλεις ἐκείνας, ἢ τὰς χώρας, γνώμην, καθαιρείσθω καὶ αὐτὸς, καὶ οὓς ἐχειροτόνησεν.

—

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν πρὸς τὴν συντήρησιν τῆς ὁμονοίας, καὶ τῆς εὐταξίας ἐκτέθειται· καὶ οὐδένα παραχωρεῖ εἰς ἑτέρου ἐνορίαν ἀπιόντα χειροτονεῖν ἄνευ γνώμης καὶ παραχωρήσεως τοῦ τῆς χώρας ἐκείνης ἀρχιερέως. Οὐδὲ γὰρ αὐτῷ τῷ μητροπολίτῃ τῆς ἐπαρχίας ἔξεστιν εἰς ἐνορίαν τινὸς τῶν ὑπ' αὐτὸν ἐπισκόπων ἀπιέναι, καὶ τελεῖν ἀρχιερατικόν τι προνόμιον· καθαιρεῖσθαι γὰρ προστάττει τὸν οὕτω χειροτονήσαντα, καὶ αὐτὸν τὸν κεχειροτονημένον. Καὶ ἡ ἐν Ἀντιοχείᾳ σύνοδος τοῦτο

οὕτω διετάξατο ἐν ιγ'. κανόνι, καὶ ἐν κϐ'. καὶ ἡ ϐ'. οἰκουμενικὴ σύνοδος ἐν δευτέρῳ κανόνι.

ΒΑΛΣ. Παρ' ἐνορίαν χειροτονεῖν κεκωλυμένον ἐστί· καὶ τὸν τοιοῦτόν τι ποιοῦντα, παρὰ γνώμην τοῦ ἐγχωρίου ἐπισκόπου, καθαιρεῖ ὁ κανὼν σὺν τῷ χειροτονουμένῳ. Τοῦτο δὲ ἔσται καὶ εἰς τοὺς πρώτους λειτουργήσαντας εἰς ἐνορίαν ἐπισκόπων αὐτῶν, παρὰ γνώμην τούτων· καὶ ἀνάγνωθι τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα ιγ'. καὶ κϐ'. καὶ τῆς ϐ'. συνόδου κανόνα ϐ'. καὶ ταῦτα μὲν περὶ χειροτονιῶν, καὶ λοιπῶν ἱεροπραξιῶν, τῶν ἐντὸς τοῦ βήματος. Εἰ δέ τις παρ' ἐνορίαν σημειώσεται (1), ἢ ἕτερόν τι διαπράξεται, μὴ ὂν ἀπὸ τῶν ἐντὸς τοῦ βήματος, ἄλλως πως κατὰ τὸ δοκοῦν τῇ συνόδῳ κολάζεσθαι τοῦτον λέγουσί τινες. Ζήτει καὶ τὸν ις'. κανόνα τῶν ἁγίων Ἀποστόλων.

ΑΡΙΣΤ. Μὴ χειροτονεῖν ὑπερόρια· ὁ δὲ παρὰ γνώμην τῶν ἐγχωρίων ἐπιτελῶν, μετὰ τοῦ τελουμένου ἀτέλεστος.

Οὐκ ὀφείλει τις τῶν ἐπισκόπων ἔξωθεν τῶν ἰδίων ὅρων χειροτονεῖν τινα· ὁ δὲ τοῦτο ποιῶν παρὰ γνώμην τοῦ κατὰ χώραν ἐπισκόπου, καθαιρεῖται καὶ αὐτὸς, καὶ ὁ ὑπ' αὐτοῦ χειροτονηθείς.

Κανὼν Λϛ'.

Εἴ τις χειροτονηθεὶς ἐπίσκοπος, μὴ καταδέχοιτο τὴν λειτουργίαν, καὶ τὴν φροντίδα τοῦ λαοῦ, τὴν ἐγχειρισθεῖσαν αὐτῷ, τοῦτον ἀφωρισμένον τυγχάνειν, ἕως ἂν καταδέξηται· ὡσαύτως καὶ πρεσβύτερος, καὶ (2) διάκονος. Εἰ δὲ ἀπελθὼν, μὴ δεχθείη (3), οὐ παρὰ τὴν ἑαυτοῦ γνώμην, ἀλλὰ παρὰ τὴν τοῦ λαοῦ μοχθηρίαν, αὐτὸς μὲν ἔστω (4) ἐπίσκοπος, ὁ δὲ κλῆρος τῆς πόλεως ἀφοριζέσθω, ὅτι τοιούτου λαοῦ ἀνυποτάκτου παιδευταὶ οὐκ ἐγένοντο.

ΖΩΝΑΡ. Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε, φησὶν ὁ θεῖος Ἀπόστολος· τοῦτο δὲ καὶ ὁ παρὼν κανὼν διατάττεται· τὸν γὰρ εἰς προστασίαν λαοῦ καλούμενον, μὴ ἀντιτείνειν διακελεύε-

(1) Χ. Τρ. — σημειωθήσεται Ε. Βευερ. — (2) ἢ Βρ. — (3) εἰ καὶ μὴ δεχθείη Βρ. — (4) μενέτω Βευερ. Βρ.

ται, ἀλλὰ καταδέχεσθαι τὸ θεῖον λειτούργημα, καὶ τὴν τοῦ λαοῦ προστασίαν· ἢ ἀντιλέγοντα, καὶ μὴ ἀπιόντα, ἀφωρισμένον εἶναι· τὰ αὐτὰ δὲ καὶ περὶ πρεσβυτέρων, καὶ διακόνων. Εἰ δὲ ὁ μὲν ἐπίσκοπος ἀπῆλθεν εἰς τὴν λαχοῦσαν αὐτὸν, ὁ δὲ τῆς παροικίας ἐκείνης λαὸς οὐκ ἐδέξατο αὐτὸν δι' οἰκείαν ἀνυποταξίαν, καὶ ἀναίδειαν, ἀλλ' οὐ (1) διά τινα αἰτίαν τοῦ ἐπισκόπου ἐπίψογον, ὁ μὲν ἐπίσκοπος μενεῖ ἐπὶ τῆς οἰκείας ἐπιτιμίας, τῆς ἀξίας δηλαδὴ, ὁ δὲ κλῆρος τῆς παροικίας ἐκείνης ἀφορισθήσεται, ὅτι τὸν ἀνυπότακτον ἐκεῖνον λαὸν οὐκ ἐπαίδευσεν. Ὅρα τοίνυν, οἵους ὁ κανὼν βούλεται εἶναι τοὺς κληρικοὺς, οὐ πεπαιδευμένους μόνον, ἀλλὰ καὶ διδακτικοὺς, καὶ ἄλλους δυναμένους παιδεύειν, καὶ σωφρονίζειν. Ἀνάγνωθι τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα ιζ'. καὶ ιή. καὶ τῆς ἐν Ἀγκύρᾳ ιή. *Ζήτει καὶ τὸν νή. κανόνα* (2).

ΒΑΛΣ. Τινὲς ὧδε τὴν χειροτονίαν ἀντὶ ψήφου ἐδέξαντο· καὶ εἶπον, θαυμάζειν, πῶς παραιτοῦνται σήμερον οἱ ψηφισθέντες εἰς ἐκκλησίας· ὁ δὲ ὑπερφυὴς Ζωναρᾶς ἑρμηνεύων τὸν κανόνα, ἐξελάβετο τὴν χειροτονίαν καὶ εἰς χειροθεσίαν, καὶ εἰς ψῆφον. Ἐμοὶ δὲ ἐξ ὀρθοῦ κατενοήθη χειροτονίαν ἐνταῦθα εἰπεῖν τὸν κανόνα, τὴν χειροθεσίαν· μέμνηται γὰρ πρεσβυτέρων, καὶ διακόνων ἀποστελλομένων, κατὰ τὸ πάλαι κρατοῦν, εἰς ἑτέρας χώρας χάριν τοῦ διδάσκειν τὸν λαόν. Διακόνους δὲ χειροτονεῖσθαι μὲν, τουτέστι σφραγίζεσθαι, ἐμάθομεν· ψηφίζεσθαι δὲ, οὐδὲ ἀκηκόαμεν, ὥσπερ ψηφίζονται οἱ ἐπίσκοποι, καὶ κατὰ τὸ παλαιὸν, καὶ οἱ ἱερεῖς, καθὼς φησιν ὁ ιγ'. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου. Διορίζεται γοῦν ὁ παρὼν κανὼν, εἴτις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος χειροθεσίαν δέξηται διδασκαλικὴν, καὶ οὐκ ἀποπληροῖ τὴν διακονίαν αὐτοῦ, ἀφοριζέσθω (3), μέχρις ἂν καταδέξηται ἀπελθεῖν ἔνθα ὡρίσθη. Εἰ δὲ καὶ ἀπελθὼν μὴ παραδεχθῇ ἀπὸ μοχθηρίας τοῦ κατὰ χώραν λαοῦ, ὁ κλῆρος μὲν, καὶ μὴ γενόμενος αἴτιος τοῦ κακοῦ, ἀφορισθήσεται, ὡς μὴ παιδεύων τὸν ἄτακτον λαόν· ὁ δὲ ἐπίσκοπος ἔχει

(1) Χ. Τρ. Κ. — ἀλλ' οὐδὲ Βευερ. — (2) Χ. Τρ. — οὐχ εὕρηται ἡ τελευταία παραπομπὴ παρὰ 'Ε. ἢ Βευερ. — (3) ἀφορίζεσθαι 'Ε. — ἀφορίζεται Χ. Τρ.

τὴν οἰκείαν ἐπιτιμίαν. Σημείωσαι οὖν, πῶς τιμωρεῖται ὁ κλῆρος διὰ τὴν ἀπαιδευσίαν τῶν κοινολαϊτῶν· καὶ ἀνάγνωθι τῆς ἐν Ἀγκύρᾳ συνόδου κανόνα ιή, τῆς ἐν Ἀντιοχείᾳ κανόνα ιζ΄. καὶ ιή. τὴν πρὸς Δόμνον ἐπιστολὴν τοῦ ἁγίου Κυρίλλου, τῆς πρώτης καὶ δευτέρας συνόδου, τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων, κανόνα ιϛ΄. τῆς ζ΄. συνόδου κανόνα β΄. καὶ τῆς ἐν Χαλκηδόνι κανόνα κθ΄.

ΑΡΙΣΤ. Ὁ νεοπρόβλητος, εἰ δυσανασχετεῖ πρὸς τὸ ἐγχείρημα, ἀφορίζεται, μέχρις ἂν καταδέξηται· εἰ δὲ παρὰ τοῦ λαοῦ μὴ δεχθείη, ὁ κλῆρος ἀφορίζεται, ὅτι μὴ τὸν ὄχλον πεπαίδευκεν, ὃ δέ ἐστιν ἐπίσκοπος.

Ὁ νεωστὶ χειροτονηθεὶς ἐπίσκοπος, εἰ οὐ πείθεται ἀναδέξασθαι τὴν ἐγχειρισθεῖσαν αὐτῷ φροντίδα τοῦ λαοῦ, ἀφωρισμένος ἔστω, ἕως ἂν καταδέξηται· εἰ δὲ ἀπελθὼν παρὰ τοῦ λαοῦ οὐ δεχθῇ, οὐ διὰ πταῖσμα οἰκεῖον, ἀλλὰ διὰ τὴν ἐκείνων μοχθηρίαν, μενέτω μὲν ἐπίσκοπος, ὁ δὲ κλῆρος ἀφορίζεται, ὡς μὴ παιδεύσας τὸν ἀνυπότακτον λαόν.

Κανὼν ΛΖ΄.

Δεύτερον τοῦ ἔτους σύνοδος γινέσθω τῶν ἐπισκόπων, καὶ ἀνακρινέτωσαν (1) ἀλλήλως (2) τὰ δόγματα τῆς εὐσεβείας, καὶ τὰς ἐμπιπτούσας ἐκκλησιαστικὰς ἀντιλογίας διαλυέτωσαν· ἅπαξ μέν, τῇ τετάρτῃ ἑβδομάδι τῆς Πεντηκοστῆς· δεύτερον δέ, Ὑπερβερεταίου δωδεκάτῃ.

—

ΖΩΝΑΡ. Διὰ τὰς ἐμπιπτούσας περὶ δογμάτων ἀμφιβολίας, καὶ ἐκκλησιαστικὰς ἑτέρας αἰτίας, καὶ τοὺς παρὰ τῶν ἐπισκόπων ἀφορισμοῖς ὑποβαλλομένους, εἰ αἰτιῶνται τοὺς ἀφορίσαντας, ἀναγκαῖον ἐκρίθη τοῖς ἱεροῖς Ἀποστόλοις, τοὺς ἑκάστης ἐπαρχίας ἐπισκόπους συνέρχεσθαι ἐπὶ τὸ αὐτὸ δὶς τοῦ ἐνιαυτοῦ, καὶ κοινοῦσθαι ἀλλήλοις τὰς γινομένας ἀμφιβολίας, καὶ λύειν ταύτας. Καιροὺς δὲ τῶν ἐτησίων συνόδων τούτων τῶν

(1) ἀνευρισκέτωσαν Ἀρδ.—(2) Π. Βευερ.—ἀλλήλους Χ. Τρ. Βρ. Ε.—ἀλλήλοις Κ.

διττῶν, ὁ μὲν (1) παρὼν κανὼν, καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ συνόδου κ'. κανὼν, τὴν τετάρτην ἑβδομάδα τὴν μετὰ τὸ Πάσχα ὁρίζουσι, καὶ τὸν τοῦ μετοπώρου καιρὸν, ἤγουν τὸν Ὀκτώβριον· οὗτος γὰρ ὁ Ὑπερβερεταῖος. Ὁ δὲ τῆς ἐν Νικαίᾳ συνόδου τῆς πρώτης πέμπτος κανὼν, πρὸ τῆς Τεσσαρακοστῆς τὴν μίαν γίνεσθαι διατάττεται (2)· τὴν δὲ λοιπὴν περὶ τὸν τοῦ μετοπώρου καιρόν. Ἔδοξεν οὖν ἂν ἐν ταῖς μεταγραφαῖς τῶν κανόνων, ἀντὶ τῆς Πεντηκοστῆς κατὰ λήθην γραφῆναι (3) Τεσσαρακοστήν. Ἀλλὰ τοῦτο οὐκ ἐᾷ λογίσασθαί τινα ἡ αἰτία ἣν ἐπάγει ὁ τῆς ἐν Νικαίᾳ συνόδου κανὼν, λέγων· ἡ μὲν μία πρὸ τῆς Τεσσαρακοστῆς, ἵνα πάσης μικροψυχίας ἀναιρουμένης, τὸ δῶρον καλῶς προσφέρηται τῷ Θεῷ. Περὶ μὲν οὖν τὸν καιρὸν οὕτω διαφέρονται· δύο δὲ συνελεύσεις ἑκάστῳ ἐνιαυτῷ διατυποῦσι γίνεσθαι τοπικάς. Ἡ δὲ οἰκουμενικὴ ἕκτη σύνοδος, καὶ ἡ ἐν Νικαίᾳ τὸ δεύτερον, ἅπαξ τοῦ ἐνιαυτοῦ συνέρχεσθαι τοὺς ἐπισκόπους διατάττονται, διά τε τὴν συντριβὴν, καὶ τὰ τῆς ὁδοῦ ἀναλώματα· νῦν δὲ πάντη τὸ τῶν συνόδων τούτων καταπεφρόνηται.

ΒΑΛΣ. Διὰ τὰ παρεμπίπτοντα κατὰ χώρας ἐκκλησιαστικὰ ζητήματα, ἀναγκαῖον ἐλογίσθη τοὺς ἐπισκόπους ἑκάστης ἐνορίας συνέρχεσθαι τῷ πρώτῳ αὐτῶν, ἐφ' ᾧ λύεσθαι τὰ ἀμφίβολα. Καὶ ὁ μὲν παρὼν κανὼν, καὶ ὁ κ'. τῆς ἐν Ἀντιοχείᾳ συνόδου, καὶ ὁ έ. τῆς ἐν Νικαίᾳ, δὶς τοῦ ἔτους λέγουσι γίνεσθαι τὰς συνόδους τῶν ἐπισκόπων· ἡ δὲ ϛ'. σύνοδος, καὶ ἡ ἐν Νικαίᾳ τὸ δεύτερον, ἅπαξ τοῦ ἔτους ἐθέσπισαν συνέρχεσθαι τοὺς ἐπισκόπους· ὡσαύτως καὶ τὸ κ'. καὶ τὸ κά. κεφ. τοῦ ά. τίτ. τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, νεαρὰ οὖσα (4) Ἰουστινιάνειος, ἅπαξ τοῦ ἔτους φασὶ τὰς συνόδους γίνεσθαι. Ὑπερβερεταῖος δὲ ὁ Ὀκτώβριός ἐστι μήν. Ζήτει καὶ τοῦ παρόντος συντάγματος τίτ. ή. κεφ. ή.

ΑΡΙΣΤ. Δὶς κατ' ἔτος οἱ ἐπίσκοποι συνίτωσαν διὰ τὰ πράγματα, καὶ τὰ δόγματα· πρῶτον μὲν, τῇ τετάρτῃ τῆς Πεντηκοστῆς ἑβδομάδι· τῇ δὲ Ὑπερβερεταίου δωδεκάτῃ, τὸ δεύτερον.

---

(1) Χ. Τρ. Κ. — εὐχ εὕρηται ὁ μὲν παρὰ Βευερ. — (2) διορίζεται Χ. Τρ. — (3) μεταγραφῆναι Κ. — (4) Χ. Τρ. ὄντα Βευερ.

Οὗτος ὁ κανὼν συνεστάλη· ὁ γὰρ ὄγδοος κανὼν τῆς ἕκτης συνόδου, καὶ ὁ ἕκτος τῆς ἐν Νικαίᾳ τὸ δεύτερον, ἅπαξ τοῦ ἐνιαυτοῦ διαγορεύουσι τὰς συνόδους τῶν ἐν ἑκάστῃ ἐπαρχίᾳ ἐπισκόπων γίνεσθαι, ἀναμεταξὺ τοῦ Πάσχα, καὶ τοῦ Ὀκτωβρίου μηνός.

Κανὼν ΛΗ΄.

Πάντων τῶν ἐκκλησιαστικῶν πραγμάτων ὁ ἐπίσκοπος ἐχέτω τὴν φροντίδα, καὶ διοικείτω αὐτά, ὡς τοῦ Θεοῦ (1) ἐφορῶντος· μὴ ἐξεῖναι δὲ αὐτῷ σφετερίζεσθαί τι ἐξ αὐτῶν, ἢ συγγενέσιν ἰδίοις τὰ τοῦ Θεοῦ χαρίζεσθαι· εἰ δὲ πένητες εἶεν (2), ἐπιχορηγείτω ὡς πένησιν, ἀλλὰ μὴ προφάσει τούτων τὰ τῆς ἐκκλησίας ἀπεμπολείτω.

—

ΖΩΝΑΡ. Τοὺς ἐπισκόπους μὴ λογοποιεῖσθαι ἐπὶ (3) τῇ διοικήσει τῶν τῆς ἐκκλησίας πραγμάτων, ὁ κανὼν διορίζεται· ἄτοπον γὰρ τοὺς τὴν τῶν ψυχῶν οἰκονομίαν ἐμπεπιστευμένους διαπιστεῖσθαι ἐπὶ διοικήσει χρημάτων. Διὰ δὲ τὴν δεδομένην αὐτοῖς ἐξουσίαν ἐπάγει, τὸ μὴ δύνασθαί τι τῶν τῆς ἐκκλησίας ἐξιδιοῦσθαι· (τοῦτο γὰρ τὸ σφετερίζεσθαι)· μηδὲ καταχρᾶσθαι τοῖς πτωχικοῖς, ὡς ἰδίοις, ἢ συγγενέσι ταῦτα πρὸς χάριν διδόναι. Εἰ δὲ πενομένους ἔχοιεν συγγενεῖς, ἐπιτρέπονται καὶ τούτοις, ὡς ἐνδεέσι, τὰ ἀναγκαῖα παρέχειν· χάριν δὲ τῆς πρὸς τοὺς πενομένους μεταδόσεως, τὰ τῶν ἐκκλησιῶν πιπράσκειν κωλύονται· τὰ γὰρ τῷ Θεῷ ἀφορισθέντα ἐκποιεῖσθαι οὐ χρή, ἐκ δὲ τῶν προσόδων τὰς διαδόσεις ποιεῖν.

ΒΑΛΣ. Τοὺς ἀπὸ τῆς χάριτος τοῦ παναγίου Πνεύματος ἐμπιστευθέντας τὴν τῶν ψυχῶν οἰκονομίαν, ἄτοπον ἐλογίσθη λογοπραγεῖσθαι χάριν τῶν πραγμάτων τῆς ἐπισκοπῆς, ἀλλ', ὡς ἐφορῶντος τοῦ Θεοῦ, διοικείτωσάν, φησι, ταῦτα (4), κατὰ τὸ δόξαν αὐτοῖς. Ὥς τινος δὲ εἰπόντος, ὡς εἰ δοθείη τοῦτο, ἀπεμπολήσει ὁ ἐπίσκοπος τὰ τῆς ἐκκλησίας, καὶ διασκορπίσει αὐτὰ

---

(1) ὡς Θεοῦ Βρ. — (2) ὦσιν Αρδ. — (3) ἐν, Χ. Τρ. — (4) τὰ τοιαῦτα [illegible] Τρ.

πρὸς τοὺς οἰκείους συγγενεῖς, ἐπάγει ὁ κανὼν, μὴ ἔχειν ἐπ' ἀδείας τὸν ἐπίσκοπον διδόναι ταῦτα κατὰ χάριν πρὸς τοὺς συγγενεῖς τούτου, ἢ πιπράσκειν· ἐκ δὲ τῶν προσόδων τῆς ἐκκλησίας ἀποφέρεσθαι τοῦτον τὰ χρειώδη καὶ ἀναγκαῖα, καὶ τοῖς συγγενέσιν, ἐνδεέσιν οὖσι, τὰ πρὸς ζωάρκειαν χορηγεῖν δέδοκται. Ἡ μέντοι ρκ'. Ἰουστινιάνειος νεαρὰ, ἤτοι θέμα γ'. τοῦ ιέ. κεφ. τοῦ 6'. τίτ. τοῦ έ. βιβλίου τῶν βασιλικῶν, φησὶ ταῦτα ῥητῶς· Τοῖς δὲ οἰκονόμοις, καὶ διοικηταῖς, καὶ χαρτουλαρίοις τῶν ὁπουδήποτε ὄντων εὐαγῶν οἴκων, καὶ τοῖς αὐτῶν γονεῦσί τε, καὶ παισὶ, καὶ τοῖς ἄλλοις, ἢ κατὰ γένος, ἢ κατὰ γαμικὸν δίκαιον αὐτοῖς συναπτομένοις, μισθώσεις, ἢ ἐμφυτεύσεις, ἢ ἀγορασίας, ἢ ὑποθήκας πραγμάτων ἀκινήτων, τοῖς αὐτοῖς εὐαγέσιν οἴκοις προσηκόντων, ὑπεισιέναι, ἢ δι' ἑαυτῶν, ἢ διὰ παρενθέτου προσώπου, καθὰ καὶ τοῖς ἐν τῇ βασιλίδι τῶν πόλεων (1) οὖσιν, ἐπὶ ταῖς αὐταῖς ποιναῖς ἀπαγορεύομεν. Εἰ δὲ θέλεις μαθεῖν ποῖαί εἰσιν αἱ ποιναὶ, ζήτει τὸ έ. κεφ. τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου, τὰ αὐτὰ διεξιὸν, καὶ ἐπάγον ταῦτα (2) ῥητῶς· Γινωσκόντων αὐτῶν, ὡς εἰ τοιοῦτόν τι γένηται, καὶ τοῦτο ἀνίσχυρον ἔσται, καὶ πᾶσαν τὴν περιουσίαν αὐτῶν τε, καὶ τῶν λαμβανόντων, καὶ τῶν οἰκονόμων, καὶ χαρτουλαρίων, καὶ διοικητῶν, οἷς κατὰ τὸν εἰρημένον τρόπον συνάπτονται, εἰς τὸν εὐαγῆ οἶκον, ἐξ οὗ τὸ πρᾶγμα λαμβάνουσι, μετὰ τὴν αὐτῶν τελευτὴν περιελθεῖν κελεύομεν. Συναγαγὼν οὖν εἰπὲ, ὅτι ἐκ τοῦ κανόνος, καὶ τῆς νεαρᾶς, οὐ μόνον κατὰ χάριν, ἀλλ οὐδὲ καθ' ἕτερον τρόπον ἔχει ἐπ' ἀδείας ἐπίσκοπος, ἢ οἰκονόμος, ἢ ἕτερος ἐκ τῶν ἀπηριθμημένων ἄνωθεν, πρὸς συγγενεῖς οἰκείους μεταφέρειν τὰ τῶν ἐκκλησιῶν, ἢ τῶν εὐαγῶν οἴκων ἀκίνητα.

ΑΡΙΣΤ. Διοικείτω μετὰ κυρείας τὰ τῆς ἐκκλησίας ὁ ἐπίσκοπος πράγματα, μή τι τούτων συγγενεῖ, εἰμὴ ὡς πένητι, χαριζόμενος.

Οὐκ ὀφείλει ὁ ἐπίσκοπος ἀνακρίνεσθαι ἐπὶ τῇ διοικήσει τῶν

---

(1) πόλει Χ. Τρ. — (2) Χ. Τρ. — οὕτω Ε. Βευερ.

τῆς ἐκκλησίας πραγμάτων, ἔξεστι γὰρ αὐτῷ μετὰ ἐξουσίας ταῦτα διοικεῖν· τοῖς μέντοι γε συγγενέσιν αὐτοῦ πενομένοις μεταδιδόναι τῶν ἀναγκαίων.

Κανὼν ΛΘ'.

Οἱ πρεσβύτεροι, καὶ οἱ (1) διάκονοι, ἄνευ γνώμης τοῦ ἐπισκόπου μηδὲν ἐπιτελείτωσαν· αὐτὸς γάρ ἐστιν ὁ πεπιστευμένος τὸν λαὸν τοῦ Κυρίου, καὶ τὸν ὑπὲρ τῶν ψυχῶν αὐτῶν λόγον ἀπαιτηθησόμενος.

ΖΩΝΑΡ. Τοῖς πρεσβυτέροις, καὶ διακόνοις, ὑπὸ τοὺς κατὰ χώραν τελοῦσιν ἐπισκόπους, ἀφ' ἑαυτῶν τι πράττειν οὐκ ἐκκεχώρηται· οἷον ἐπιτιμᾷν, καὶ ἀφορίζειν οὓς βούλονται, καὶ ὁπηνίκα· ἢ λύειν ἀφορισμὸν, ἢ μειοῦν, ἢ ἐπιτείνειν· ταῦτα γὰρ τῆς ἀρχιερατικῆς εἰσιν ἐξουσίας· καὶ εἰ μὴ παρὰ τοῦ ἐπισκόπου τὸ ἐνδόσιμον λάβοιεν, τοιοῦτόν τι ποιεῖν οὐκ ἐφεῖται αὐτοῖς. Περὶ τούτου ἀναγνωστέον καὶ (2) κανόνα μα'. τῆς ἐν Καρθαγένῃ συνόδου.

ΒΑΛΣ. Τὸ, μηδὲν ἐπιτελεῖν τοὺς πρεσβυτέρους καὶ (3) διακόνους ἄνευ γνώμης τοῦ ἐπισκόπου, μὴ εἴπῃς καθολικὸν εἶναι, ἀλλ' εἰπὲ μὴ ἔχειν ἐπ' ἀδείας τούτους ποιεῖν τὸ ὁτιοῦν ἀνῆκον τῷ ἐπισκόπῳ χωρὶς γνώμης αὐτοῦ, οἷον τὸ ἐκδιδόναι ἀκίνητα τῆς ἐκκλησίας, τὸ εἰσοδιάζειν τὰ περὶ αὐτὴν, τὸ ἐπιτιμᾷν, καὶ ἕτερα τοιαῦτα. Ἡ γὰρ διοίκησις, φησὶν ὁ κανὼν, τῶν ἐπισκοπικῶν πραγμάτων, καὶ αἱ ψυχαὶ τοῦ λαοῦ τῷ ἐπισκόπῳ ἐπιστεύθησαν. Ἀνάγνωθι τῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον(4) κανόνα ιβ'.

ΑΡΙΣΤ. Ἄτερ ἐπισκόπου ποιεῖ πρεσβύτερος οὐδὲν, καὶ διάκονος· καὶ γὰρ οὗτος πεπίστευται τὸν λαόν.

Οὐκ ἔξεστι πρεσβύτερον, ἢ διάκονον, ἄνευ γνώμης τοῦ ἰδίου ἐπισκόπου, ἢ τὸν λαὸν ἀφορίζειν, ἢ αὔξειν, ἢ μειοῦν ἐπιτίμια,

---

(1) Χ. Τρ. Ἐ. Κ. Βρ. — οὐχ εὕρηται τὸ, οἱ, παρὰ Βευερ. — (2) Χ. Τρ. Κ. — ὁ καὶ, οὐχ εὕρηται παρὰ Βευερ. — (3) ἢ Ἐ.—(4) τῆς δευτέρας Ἐ.

ἢ ἕτερόν τι τοιοῦτον ποιεῖν, ὡς τοῦ ἐπισκόπου τὸν λαὸν ἐμπιστευομένου, καὶ τὸν ὑπὲρ τῶν ψυχῶν αὐτῶν λόγον ἀπαιτηθησομένου.

Κανὼν Μ΄.

Ἔστω φανερὰ τὰ ἴδια τοῦ ἐπισκόπου πράγματα, (εἴγε καὶ (1) ἴδια ἔχοι) καὶ φανερὰ τὰ Κυριακά· ἵνα ἐξουσίαν ἔχῃ, τὰ ἴδια (2) τελευτῶν ὁ ἐπίσκοπος, οἷς βούλεται, καὶ ὡς βούλεται, καταλεῖψαι· καὶ μὴ προφάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων διαπίπτειν τὰ τοῦ ἐπισκόπου, ἐσθ' ὅτε γυναῖκα, καὶ παῖδας κεκτημένου, ἢ συγγενεῖς, ἢ οἰκέτας. Δίκαιον γὰρ (3) παρὰ Θεῷ καὶ ἀνθρώποις, τὸ, μήτε τὴν ἐκκλησίαν ζημίαν τινὰ ὑπομένειν ἀγνοίᾳ τῶν τοῦ ἐπισκόπου πραγμάτων, μήτε τὸν ἐπίσκοπον, ἢ τοὺς αὐτοῦ συγγενεῖς, προφάσει τῆς ἐκκλησίας, δημεύεσθαι (4), ἢ καὶ εἰς πράγματα ἐμπίπτειν τοὺς αὐτῷ διαφέροντας, καὶ τὸν αὐτοῦ θάνατον δυσφημίαις (5) περιβάλλεσθαι.

—

ΖΩΝΑΡ. Τοὺς ἔχοντας τῶν ἐπισκόπων ἰδίας περιουσίας, κελεύει ὁ κανὼν φανερὰς ταύτας ποιεῖν, ἵνα μὴ ἐπικοινῶνται τοῖς ἐκκλησιαστικοῖς, ἀλλ' εἶεν φανερὰ τά τε αὐτοῖς διαφέροντα πρὸ τῆς ἐπισκοπῆς, καὶ τὰ ἴσως περιερχόμενα αὐτοῖς μετὰ τὴν ἐπισκοπὴν ἀπὸ συγγενῶν, κατὰ κληρονομίαν δηλαδὴ, ἢ λεγάτον, ἢ ἕτερον ὅμοιον τρόπον. Τὰ μὲν γὰρ ἴδια δύνανται καταλιμπάνειν οἷς βούλοιντο, ὀρθοδόξοις μέντοι χριστιανοῖς· τὰ δὲ τῶν ἐκκλησιῶν διοικεῖν μετὰ φόβου Θεοῦ, καὶ τοῖς πενομένοις διαδιδόναι. Εἰ γὰρ συγκεχυμένα τὰ τῆς ἐκκλησίας καὶ τὰ (6) τοῦ ἐπισκόπου εἰσὶν, ἴσως ἡ ἐκκλησία, ἢ οἱ τοῦ ἐπισκόπου κληρονόμοι πράγματα ἕξουσι μετὰ θάνατον ἐκείνου. Εἰ γὰρ τυχὸν χρέα τοῦ ἐπισκόπου ἀναφανῶσι, καὶ (7) τὰ τῆς ἐκκλησίας εἰς ἱκάνωσιν τῶν χρεῶν ἑλκύσουσιν οἱ δανεισταί· ἢ

---

(1) Χ. Τρ. Ε. Κ. Βρ. Π. — εἴτε ἴδια ἔχει Βευερ. — (2) τῶν ἰδίων Βρ. — (3) γὰρ τοῦτο Βρ. Σ. Ρ. — (4) πημαίνεσθαι Βρ. — (5) δυσφημίᾳ Μάνσ. ἐν περισελ. — (6) Χ. Τρ. Κ. — τὰ, οὐχ εὕρηται παρὰ Βευερ. — (7) Χ. Τρ. — ὁ καὶ, οὐχ εὕρηται παρὰ Κ. καὶ Βευερ.

αὖθις, εἰ χρέα τῆς ἐκκλησίας εὑρεθῶσιν (1), ἑλκυσθήσονται οἱ τῶν ἐκείνου διάδοχοι, ταῦτα ἀποπληροῦν· καὶ μὴ ἐξαρκούντων ἴσως τῶν τοῦ ἐπισκόπου, καὶ τὰ οἰκεῖα ἐκεῖνοι ζημιωθήσονται· καὶ οὕτως ἡ μνήμη τοῦ ἐπισκόπου παρ' ἐκείνων, ἢ τῶν τῆς ἐκκλησίας, βλασφημηθήσεται.

ΒΑΛΣ. Οἱ θεῖοι Ἀπόστολοι, μηδὲν τοῦ δικαίου προτιμώμενοι, διωρίσαντο κεχωρισμένα εἶναι, καὶ ἀνεπίκοινα τὰ εἰδικῶς τῷ ἐπισκόπῳ διαφέροντα, καὶ τὰ τῇ ἐκκλησίᾳ ἀνήκοντα· ἐφ' ᾧ ἔχειν ἐπ' ἐξουσίας τὸν ἐπίσκοπον τὰ οἰκεῖα οἰκονομεῖν κατὰ τὸ βουλητὸν αὐτῷ, ἐν ζωῇ, ἢ καὶ ἐν τελευταίαις διατυπώσεσι· καὶ μήτε τὴν ἐκκλησίαν ζημιοῦσθαι προφάσει τῶν ἀναφανησομένων (2) χρεῶν τοῦ ἐπισκόπου, μήτε τὸ ἐπιτελεύτιον τούτου βούλημα, ἢ καὶ τὸ ἐν ζωῇ διαπίπτειν. Ὥστε παρίσταται, ὡς, εἰμὴ ὁ ἐπίσκοπος ποιήσει κατάδηλα τὰ οἰκεῖα πρὸ τοῦ χειροτονηθῆναι, ὡσαύτως καὶ τὰ μετὰ τὴν χειροτονίαν περιελθόντα αὐτῷ ἐξ εὐλόγου τρόπου, καὶ μὴ ὄντος ἐκκλησιαστικοῦ, ἀνθέξεται πάντων τῶν πραγμάτων αὐτοῦ ὁ μετ' αὐτὸν ἐπίσκοπος, καὶ τὸ μέρος ἅπαν τῆς ἐκκλησίας, καὶ οἰκειωθήσεται (3) αὐτά· πάντως δὲ καὶ ἀναγκασθήσεται ὑπὲρ τῶν χρεῶν ἐκείνου ἀπολογεῖσθαι, εἰ μήπω ἀπογραφὴν ἔκθωνται τῆς τούτου περιουσίας· τότε γὰρ γενήσεται, ὡς ἐμοὶ δοκεῖ, ὅ,τι ὁ νόμος φησὶν ἐν βιβλ. λέ. τίτ. ιδ'. κεφ. ριζ'. Ζήτει καὶ τοῦ παρόντος συντάγματος τίτλ. ί. κεφ. έ. καὶ κεφ. ϐ'.

ΑΡΙΣΤ. Τὰ τῆς ἐκκλησίας, καὶ τὰ τοῦ ἐπισκόπου προκείσθω πράγματα φανερά· ἵνα καὶ ὁ ἐπίσκοπος διατιθῆται, καὶ μένῃ ἡ ἐκκλησία ἀζήμιος.

Δεῖ τὸν ἐπίσκοπον, ἐν τῷ προχειρίζεσθαι εἰς ἐπισκοπήν, ἀπογραφὴν ποιεῖν τῶν οἰκείων πραγμάτων, καὶ φανερὰ ταῦτα τιθέναι· ὡσαύτως καὶ τῶν τῆς ἐκκλησίας· ἵνα περὶ τῶν οἰκείων καὶ ζῶν, καὶ μετὰ θάνατον, κατὰ τὸ βουλητὸν αὐτῷ διάθηται, καὶ ἡ ἐκκλησία ἔχῃ τὰ ἑαυτῆς.

---

(1) Χ. Τρ. Κ. — εὑρεθεῖεν Βευερ. — (2) τῶν ἐμφανισομένων Χ. Τρ. — (3) οἰκειώσεται Χ. Τρ. Ἑ.

Κανὼν ΜΑ΄.

Προστάσσομεν, τὸν ἐπίσκοπον ἐξουσίαν ἔχειν τῶν τῆς ἐκκλησίας πραγμάτων. Εἰ γὰρ τὰς τιμίας τῶν ἀνθρώπων ψυχὰς αὐτῷ πιστευτέον, πολλοῦ ἂν (1) δέῃ περὶ τῶν χρημάτων ἐντέλλεσθαι (2), ὥστε κατὰ τὴν αὐτοῦ ἐξουσίαν πάντα διοικεῖσθαι, καὶ τοῖς δεομένοις διὰ τῶν (3) πρεσβυτέρων, καὶ διακόνων ἐπιχορηγεῖσθαι μετὰ φόβου Θεοῦ, καὶ πάσης εὐλαβείας. Μεταλαμβάνειν δὲ καὶ αὐτὸν τῶν δεόντων (εἴγε δέοιτο) εἰς τὰς ἀναγκαίας αὐτοῦ χρείας, καὶ τῶν ἐπιξενουμένων ἀδελφῶν, ὡς κατὰ μηδένα τρόπον αὐτοὺς (4) ὑστερεῖσθαι· ὁ γὰρ νόμος τοῦ Θεοῦ διετάξατο, τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας, ἐκ τοῦ θυσιαστηρίου τρέφεσθαι· ἐπεί περ οὐδὲ στρατιώτης (5) ποτὲ ἰδίοις ὀψωνίοις ὅπλα κατὰ πολεμίων ἐπιφέρεται.

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν τὴν ἐξουσίαν πᾶσαν τῶν ἐκκλησιαστικῶν πραγμάτων τῷ ἐπισκόπῳ ἀνατίθησι (6)· τὴν δὲ πρὸς τοὺς πενομένους διάδοσιν διὰ πρεσβυτέρων, καὶ διακόνων κελεύει γίνεσθαι, ἵνα πάσης ὑποψίας διατηροίη ἑαυτὸν ὁ ἐπίσκοπος ἐκτός. Δεῖ γὰρ καλὰ προνοεῖν ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων, ὥς φησιν ὁ θεσπέσιος Παῦλος· μεταλαμβάνειν δὲ καὶ αὐτὸν τὸν ἐπίσκοπον, τῶν τῆς ἐκκλησίας παραχωρεῖ, εἰς τὰς ἀναγκαίας μέν τοι χρείας· οὐ μὴν εἰς περιττόν τι, καὶ (7) πρὸς τρυφὴν ἢ (8) βλακείαν ἀνῆκον, ἀλλ' ὥστε τὰ τὴν ζωὴν συνιστῶντα, τοῦτον ἔχειν ἐκεῖθεν, ἅ, κατὰ τὸν μέγαν Ἀπόστολον, διατροφαί εἰσι, καὶ σκεπάσματα, καὶ τούτοις ἀρκεῖσθαι· ἵνα οὕτως αὐτός τε τρέφοιτο, καὶ οἱ ἐπιξενούμενοι αὐτῷ ἀδελφοὶ μή τινος τῶν χρειωδῶν ὑστερῶνται. Ὅρα τοίνυν ὅτι καὶ φιλόξενον εἶναι δεῖ τὸν ἐπίσκοπον, καθὼς ὁ Ἀπόστολος Τιμοθέῳ, καὶ

---

(1) πολλῷ ἂν Χ. Τρ. Ἐ. Κ. Βευερ. — πολλῷ ἂν μᾶλλον δέοι ἐπὶ Βρ. — (2) συστέλλεσθαι Ἀρδ. — (3) τὸ, τῶν οὐ κεῖται παρὰ Χ. Τρ. Κ. Βευερ. — (4) αὐτοῦ Χ. Τρ. — αὐτὸν Βευερ. — (5) στρατιῶται . . . ἐπιφέρονται Βρ. — (6) δίδωσι Βευερ. — (7) Χ. Τρ. Κ. — ὁ καὶ, οὐχ εὕρηται παρὰ Βευερ. — (8) καὶ Χ. Τρ. Κ.

Τίτῳ ἐπιστέλλων διετάξατο. Τὰ αὐτὰ δὲ καὶ ὁ εἰκοστὸς πέμπτος τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανὼν διατάττεται· καὶ ὁ μέγας Κύριλλος ἐν τῇ πρὸς Δόμνον ἐπιστολῇ.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἑρμηνεύθη διὰ τῆς ἑρμηνείας τοῦ λή. κανόνος τὰ αὐτὰ λέγοντος. Ἐνταῦθα δὲ προστίθησι φιλόπτωχον εἶναι τὸν ἀρχιερέα, καὶ τὴν πρὸς τοὺς πένητας διάδοσιν, διὰ τῶν πρεσβυτέρων, καὶ διακόνων αὐτοῦ γίνεσθαι, εἰ βούλεται ἑαυτὸν διατηρεῖσθαι ἀνώτερον πάσης ὑποψίας. Ἀνάγνωθι τὸν κδ΄. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου, καὶ τὴν πρὸς Δόμνον ἐπιστολὴν τοῦ ἁγίου Κυρίλλου.

ΑΡΙΣΤ. Ἐξουσιαζέτω τῶν ἐκκλησιαστικῶν ὁ ἐπίσκοπος πραγμάτων, καὶ τῶν ψυχῶν γάρ· καὶ διοικείτω πάντα κατὰ τὴν θείαν ἀρέσκειαν. Σαφής.

Κανὼν ΜΒ΄.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, κύβοις σχολάζων, καὶ μέθαις, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

Κανὼν ΜΓ΄.

Ὑποδιάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης, τὰ ὅμοια ποιῶν, ἢ παυσάσθω, ἢ ἀφοριζέσθω· ὡσαύτως καὶ λαϊκός (1).

ΖΩΝΑΡ. Τοὺς ἐπισκόπους, καὶ τοὺς τοῦ κλήρου πάντας, παράκλησιν ἅπασι πρὸς ἀρετὴν εἶναι χρή, καὶ ἀρχέτυπον, καὶ παροξυσμὸν πρὸς ἀγαθοεργίαν. Ἐπεὶ δὲ καὶ τούτων τινὰς εἰκός ἐστιν ἐκτρέπεσθαι τοῦ καλοῦ, καὶ ἢ κυβεύειν, ἢ μεθύσκεσθαι, διατάττεται ὁ κανών, ἢ παύεσθαι (2) τοὺς τοιούτους, ἢ τοὺς μὲν ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους καθαιρεῖσθαι, τοὺς δέ γε ὑποδιακόνους, καὶ ἀναγνώστας, καὶ ψάλτας, εἰ μὴ παύοιντο, ἀφορίζεσθαι. Ἀλλὰ μὴν καὶ τοὺς λαϊκοὺς κύβοις, καὶ μέθαις σχολάζοντας· μὴ πίνειν γὰρ οἶνον εἰς μέθην, φησὶν ἡ

(1) καὶ οἱ λαϊκοὶ Ἐ. Βρ. — καὶ λαϊκοὶ Βευερ. — (2) ἢ παύσασθαι Κ.

γραφή· καὶ πάλιν, μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία. Ἀλλ' οὐδὲ καπηλικοῦ προΐστασθαι ἐργαστηρίου κληρικὸς συγχωρειται, κατὰ τὸν ἔννατον τῆς ἐν τῷ Τρούλλῳ συνόδου.

ΒΑΛΣ. Ἄλλως κολάζονται οἱ ἐπίσκοποι, οἱ πρεσβύτεροι, καὶ οἱ διάκονοι, κύβοις καὶ μέθαις σχολάζοντες, καὶ ἄλλως οἱ ὑποδιάκονοι, οἱ ψάλται, οἱ ἀναγνῶσται, καὶ οἱ λαϊκοί. Τοὺς μὲν γὰρ, καθαιρεῖσθαί φασιν οἱ παρόντες δύο κανόνες, εἰ μὴ παύσονται· τοὺς δὲ, ἀφορίζεσθαι. Ζήτει καὶ τὸν θ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τίτλον θ'. τοῦ παρόντος συντάγματος, κεφ. κζ'. καὶ λέ. καὶ τίτ. ιγ'. κεφ. κθ'.

ΑΡΙΣΤ. Κανὼν μϐ'. Ὁ κυβιστὴς καὶ πάροινος ἱερεὺς, εἰ μὴ παύοιτο, καθαιρείσθω.

Εἰ πρεσβύτερος, ἢ διάκονος, κυβεύων, ἢ μεθύων, εἰ μὴ παύοιτο, καθαιρεῖται, πολλῷ πλέον οἱ τῆς μείζονος ἀξίας ἱερατικῆς τετυχηκότες καθαιρεθήσονται, κυβεύοντες, ἢ μεθύοντες.

Κανὼν μγ'. Κληρικὸς, καὶ λαϊκὸς, τὰ ὅμοια πράττων, ἀφοριζέσθω.

Κανὼν ΜΔ'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τόκους ἀπαιτῶν τοὺς δανειζομένους, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

ΖΩΝΑΡ. Οὗτος μὲν ὁ κανὼν περὶ ἐπισκόπων, καὶ πρεσβυτέρων, καὶ διακόνων, μὴ τόκους ἀπαιτεῖν διατάττεται. Ὁ δὲ τῆς ἐν Καρθαγένη συνόδου πέμπτος κανὼν παντὶ κληρικῷ τόκους λαμβάνειν ἀπαγορεύει· εἰ γὰρ τῷ παλαιῷ νόμῳ τοῦτο ἀπείρητο, λέγοντι· Οὐκ ἐκτοκιεῖς τὸ ἀργύριόν σου τῷ ἀδελφῷ σου, πολλῷ μᾶλλον ἂν εἴη, τοῖς κατὰ τὸ εὐαγγέλιον ἐπαγγελλομένοις ζῆν, ἀπηγορευμένον τὸ τόκους λαμβάνειν· διὸ καὶ καθαιρεῖσθαι προστάττει τοὺς ἐπὶ τόκοις δανείζοντας, εἰ μὴ παύοιντο. Καὶ ὁ ιζ'. κανὼν τῆς πρώτης συνόδου, καὶ ὁ δέκατος τῆς ἐν τῷ Τρούλλῳ τοῦτο κωλύουσι.

ΒΑΛΣ. Ὁ παλαιὸς νόμος φησίν· Οὐκ ἐκτοκιεῖς τὸ ἀργύριόν σου τῷ ἀδελφῷ σου· ἀκολούθως οὖν τούτῳ, ὁ μὲν παρὼν κανὼν

καθαιρεῖσθαί φησι πάντα ἐπίσκοπον, πρεσβύτερον, καὶ διάκονον τοκίζοντα, εἰ μὴ παύσηται. Ὁ δὲ ε΄. κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ ὁ ιζ΄. τῆς α΄. συνόδου, καὶ ὁ ι΄. τῆς ἐν τῷ Τρούλλῳ, πάντα κληρικὸν λέγουσι καθαιρεῖσθαι, εἰ μὴ παύσηται τοῦ τοκίζειν. Ζήτει καὶ τὸν θ΄. τίτλον τοῦ παρόντος συντάγματος, κεφ. κζ΄.

ΑΡΙΣΤ. Τόκους ἀπαιτῶν δανείου ἱερεὺς, εἰ οὐ παύεται, καθαιρεῖται.

Ὁ ἀπαιτούμενος ἐλεεῖν, εἰ προσαφαιρεῖται καὶ τὰ ἀλλότρια διὰ τῶν τόκων, καθαιρεῖται, εἰ οὐ παύεται τοῦτο ποιῶν.

Κανὼν ΜΕ΄.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, αἱρετικοῖς συνευξάμενος μόνον, ἀφοριζέσθω· εἰ δὲ (1) ἐπέτρεψεν αὐτοῖς, ὡς κληρικοῖς ἐνεργῆσαί τι, καθαιρείσθω.

ΖΩΝΑΡ. Τὰ περὶ τούτων ἐν προγεγραμμένοις κανόσι προείρηται. *Ζήτει καὶ τὸν ξδ΄. κανόνα καὶ τὸν ο΄. (2)*.

ΒΑΛΣ. Ἐρωτήσει τις διὰ τί οἱ συνευξάμενοι αἱρετικοῖς ἐπίσκοποι, πρεσβύτεροι, καὶ διάκονοι οὐ καθαιροῦνται, ἀλλὰ μόνον ἀφορίζονται, καθὼς καὶ ὁ συνευξάμενος (3) ἀφωρισμένῳ τινὶ, κατὰ τὸν ἀποστολικὸν ι΄. κανόνα. Λύσις. Ἐνταῦθα μὴ εἴπῃς ἐν ναῷ τὸν ἐπίσκοπον καὶ τοὺς λοιποὺς συνεύξασθαι μετὰ αἱρετικῶν· οἱ τοιοῦτοι γὰρ καθαιρεθήσονται κατὰ τὸν μϛ΄. κανόνα, καθὼς καὶ ὁ ἐπιτρέψας αὐτοῖς ὡς κληρικοῖς ἐνεργῆσαί τι· ἀλλ᾽ ἐκλαβοῦ τὸ συνεύξασθαι εἰς τὸ ἁπλῶς κοινωνῆσαι, καὶ ἡμερώτερον διατεθῆναι ἐπὶ τῇ εὐχῇ τοῦ αἱρετικοῦ· τοὺς γὰρ τοιούτους ὡς μύση βδελύττεσθαι, οὐ μὴν οἰκειοῦσθαι ὀφείλομεν· ὅθεν καὶ ἀρκοῦσα ἔδοξεν ἡ τοῦ ἀφορισμοῦ τιμωρία.

ΑΡΙΣΤ. Ὁ συνευχόμενος αἱρετικοῖς, ἀφορίζεται· καθαιρεῖται δὲ ὁ καὶ κληρικοὺς τούτους ἡγούμενος.

Ὁ συνευξάμενος μόνον αἱρετικοῖς, ἢ πρεσβύτερος, ἢ διάκονος,

---

(1) εἰ δὲ καὶ Χ. Τρ. Κ. Βρ. Βευερ. — (2) Χ. Τρ. — ἡ παρα πομπὴ οὐ κεῖται παρὰ Βευερ. — (3) καθὰ καὶ οἱ συνευξάμενοι Χ. Τρ.

ἀφορίζεται· ὁ δὲ ἐπιτρέψας αὐτοῖς ἐνεργῆσαί τι, ὡς ἱερωμένοις, καὶ κληρικοῖς, καθαιρείται.

Κανὼν ΜϚʹ.

Ἐπίσκοπον, ἢ πρεσβύτερον(1), αἱρετικῶν δεξαμένους(2) βάπτισμα, ἢ θυσίαν, καθαιρεῖσθαι προστάττομεν. Τίς γὰρ συμφώνησις Χριστῷ (3) πρὸς Βελίαρ; ἢ τίς μερὶς πιςῷ(4) μετὰ ἀπίστου (5);

—

ΖΩΝΑΡ. Τοὺς αἱρετικοὺς, καὶ τὰς ἐκείνων τελετὰς ὑπὸ τῶν ὀρθοδόξων βδελύττεσθαι χρή· μᾶλλον δὲ ἐλέγχεσθαι καὶ νουθετεῖσθαι παρὰ τῶν ἐπισκόπων, καὶ πρεσβυτέρων, μήποτε συνῶσι, καὶ ἐπιςρέψωσιν. Εἰ δέ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, τὸν ὑπ' ἐκείνων βαπτισθέντα δέξοιτο, ἢ προσαγωγήν τινα παρ' ἐκείνων εἰς θυσίαν προσαγομένην λάβοι, καθαιρεθήσεται, ὡς ὑπόνοιαν διδοὺς, ἢ τὰ ὅμοια ἐκείνοις φρονεῖν, ἢ τέως μὴ σπεύδειν πρὸς διόρθωσιν τῆς ἐκείνων κακοδοξίας· ὁ γὰρ συνευδοκῶν ταῖς ἐκείνων τελεταῖς, πῶς ἂν δύναιτο διαβάλλειν αὐτὰς (6), καὶ ἀποστῆναι τούτων συμβουλεύειν αὐτοῖς;

ΒΑΛΣ. Ὁ μὲν παρὼν κανὼν τοὺς δεχομένους τὰ τῶν αἱρετικῶν βαπτίσματα, καὶ τὰς θυσίας ἐπισκόπους, καὶ ἱερεῖς, διορίζεται καθαιρεῖσθαι. Ἡ δὲ μεγάλη τῆς Κωνσταντινουπόλεως (7) σύνοδος, διαφόρους ἱερωμένους ἰδόντας μόνον τὰ τοῦ αἱρετικοῦ ἐκείνου Εἰρηνικοῦ συγγράμματα, καὶ μὴ θριαμβεύσαντας, μηδὲ καταπτύσαντας αὐτῶν (8), καθεῖλεν ἐννομώτατα.

ΑΡΙΣΤ. Βάπτισμα, καὶ θυσίαν αἱρετικῶν δεξάμενος ἱερεὺς, ἀνίερος.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ὁ μὴ κακίζων τὸ παρὰ τῶν αἱρετικῶν γινόμενον βάπτισμα, ἀλλὰ καταδεχόμενος τοῦτο, ἢ τὰ προσαγόμενα παρ' αὐτῶν εἰς θυσίαν παραδεχόμενος, καθαιρεῖται, διὰ

---

(1) ἢ διάκονον Ἀρδ. — (2) δεξάμενον Βρ. — (3) τοῦ Χριστοῦ πρὸς τὸν Βελίαλ Βρ. — (4) πιστοῦ Βρ. — (5) βʹ. Κορ. ϛʹ. 15. — (6) Χ. Τρ. Κ. — αὐτοὺς Βευερ. — (7) οὐχ εὕρηται τὸ, Κωνσταντινουπόλεως ἐν Χ. Τρ. καὶ Ἑ. — (8) Χ. Τρ. — μὴ θριαμβεύσαντας αὐτὰ μηδὲ κατασκευάσαντας Βευερ.

τὸ μὴ ὑπεῖναι συμφώνησιν Χριστῷ πρὸς Βελίαρ, ἢ μερίδα τινὰ πιστῷ μετὰ ἀπίστου.

Κανὼν ΜΖʹ.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, τὸν κατὰ ἀλήθειαν ἔχοντα βάπτισμα, ἐὰν ἄνωθεν βαπτίσῃ, ἢ τὸν μεμολυσμένον παρὰ τῶν ἀσεβῶν, ἐὰν μὴ βαπτίσῃ, καθαιρείσθω, ὡς γελῶν τὸν σταυρὸν, καὶ τὸν (1) τοῦ Κυρίου θάνατον, καὶ μὴ διακρίνων ἱερέας (2) ψευδοϊερέων.

ΖΩΝΑΡ. Ἓν βάπτισμα τοῖς χριστιανοῖς παραδέδοται· τὸν(3) γοῦν κατὰ τὴν τοῦ Κυρίου διαταγὴν, καὶ τὴν τῶν θείων Ἀποστόλων, καὶ πατέρων παράδοσιν (τοῦτο γὰρ δηλοῖ τὸ, κατὰ ἀλήθειαν) ἔχοντα βάπτισμα ἀναβαπτίζεσθαι ἄνωθεν, ἤγουν ἐξ ἀρχῆς καὶ τελείως, ὡς τοὺς μήπω βαπτισθέντας, ἀσεβές ἐστι· καὶ τὸ μὴ ἀναβαπτίζειν δὲ τοὺς παρὰ αἱρετικῶν βαπτισθέντας, οὓς μεμολυσμένους ὠνόμασεν ὁ κανὼν, διὰ τὸ τοῦ αἱρετικοῦ βαπτίσματος βδελυρὸν, καὶ τοῦτο ὑπὸ μεγάλην αἰτίασιν· διὸ καὶ καθαιρεῖσθαι τοὺς τοιούτους ἐκέλευσε· τὸν μὲν, ὡς δύο βαπτίσματα παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν ποιησάμενον· τὸν δὲ, ὡς μὴ τὸν μεμολυσμένον διὰ τοῦ ἀθέσμου βαπτίσματος καθάραντα τῷ θείῳ λουτρῷ, καὶ διαπαίζοντα τὸν θάνατον τοῦ Κυρίου, ὃν ὑπέμεινε διὰ τοῦ σταυροῦ. Οἱ γὰρ εἰς Χριστὸν βαπτιζόμενοι, κατὰ τὸν μέγαν Ἀπόστολον, εἰς τὸν θάνατον αὐτοῦ βαπτίζονται. Ἀλλὰ καὶ ὁ σταυρὸς, κατὰ τὸν Χρυσόστομον, βάπτισμα λέγεται· τὸ γὰρ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε, φησὶν ὁ Κύριος· καὶ πάλιν, βάπτισμα ἔχω βαπτισθῆναι, ὃ ὑμεῖς οὐκ οἴδατε· ἀλλὰ καὶ ὅτι ἀδιαφορίαν ἔχουσι τῶν εὐσεβῶν ἱερέων, καὶ τῶν ψευδιερέων, τῶν αἱρέσεσι δηλονότι ὑποκειμένων, ἄξιοι κρίνονται καθαιρέσεως. Τελείως μὲν οὖν βαπτίζειν τοὺς ἤδη βαπτισθέντας, ἀπηγόρευται πάντη· μύρῳ δὲ χρίειν αὐτοὺς μολυνθέντας, ἔξεστιν· εἰ καὶ τοῦτο μέρος δοκεῖ τοῦ θείου βαπτίσματος.

ΒΑΛΣ. Κατὰ ἀλήθειαν βαπτίζεταί τις, ὅταν κατὰ τὴν τοῦ(4)

---

(1) Χ. Τρ. Βρ. — τὸν σταυρὸν τοῦ Κυρίου καὶ τὸν θάνατον Βευερ. — (2) τῶν Βρ. — (3) Κ. Χ. Τρ. — τὸ γοῦν Βευερ. (4) Χ. Τρ. — κατὰ τὴν Κυρίου Ἐ. Βευερ.

Κυρίου φωνὴν ἅπαξ βαπτισθῇ εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Εἴ τις γοῦν ἐπίσκοπος, ἢ πρεσβύτερος, τὸν οὕτω βαπτισθέντα ὡς ἐξ ὑπαρχῆς ἀπεριμερίμνως(1) ἀναβαπτίσῃ, καθαιρεθήσεται· ὡσαύτως καθαιρεθήσεται καὶ ὁ μὴ ἀναβαπτίσας τοὺς παρὰ τῶν αἱρετικῶν βαπτισθέντας. Τὸ δὲ ζητούμενον ἐνταῦθα, τοιοῦτόν ἐστιν· ἠχμαλωτίσθη τις τυχὸν παρὰ Πέρσαις, καὶ ἠναγκάσθη τῶν μυσαρῶν διδαγμάτων τούτων ἀκροάσασθαι, καὶ μιαροφαγῆσαι· μετὰ δὲ τὴν αἰχμαλωσίαν ἐξομολογησάμενος τὸ γεγονὸς εἰς αὐτὸν, οὐ παρεδέχθη ἄλλως εἰς κοινωνίαν παρὰ τοῦ κατὰ χώραν ἐπισκόπου, ἢ τοῦ πρεσβυτέρου, εἰ μὴ καὶ βάπτισμα ἐδέξατο· τὸν γοῦν τοῦτο ποιήσαντα, καὶ ἀναβαπτίσαντα τὸν ἄνθρωπον, καθαιρεῖ ὁ κανών. Εἰπὲ δὲ καὶ τὸ ἐφεξῆς ὑπὸ τοῦ κανόνος διοριζόμενον· τὶς ἐβαπτίσθη παρὰ ἀσεβοῦς· (τοῦτο γάρ ἐςι τὸ μολυνθῆναι)· καὶ θέλων αὖθις βαπτισθῆναι, καὶ συγκοινωνῆσαι τοῖς χριστωνύμοις, οὐ προσεδέχθη παρὰ τοῦ ἐπισκόπου, ἢ τοῦ πρεσβυτέρου, λέγοντος μὴ ὀφείλειν καὶ αὖθις βαπτίζεσθαι τὸν ἅπαξ βαπτισθέντα· φησὶ τοίνυν ὁ κανὼν καθαιρεῖσθαι τὸν ἐπίσκοπον, ἢ τὸν πρεσβύτερον τὸν μὴ αὖθις (2) βαπτίζοντα τὸν τοιοῦτον, ἀλλὰ δεχόμενον αὐτὸν μετὰ τοῦ ἀκαθάρτου βαπτίσματος.

ΑΡΙΣΤ. Ὁ ἀναβαπτίζων τὸν ὄντως βεβαπτισμένον, καὶ μὴ ἀναβαπτίζων τὸν μεμολυσμένον ἀσεβόθεν, ἀνίερος.

Δὶς οὐ συγκεχώρηταί τις βαπτίζεσθαι· καὶ ὁ ἀναβαπτίζων αὐτὸν ἄνωθεν, ἤτοι ἐξ ἀρχῆς, καὶ κατὰ τὸ ὁλόκληρον, καθαιρεῖται. Μύρῳ δέ τινες κατὰ πολλοὺς τρόπους τῶν εὐσεβῶς βαπτισθέντων ἁγιάζονται. Καὶ ὁ μὴ ἀναβαπτίζων τὸν δεξάμενον βάπτισμα ἀσεβῶν, ἀλλὰ παραδεχόμενος αὐτὸν ὡς πιστὸν, καθαιρεῖται.

Κανὼν ΜΗ΄.

Εἴ τις λαϊκὸς τὴν ἑαυτοῦ γυναῖκα ἐκβαλὼν, ἑτέραν λάβοι (3), ἢ παρ' ἄλλου ἀπολελυμένην, ἀφοριζέσθω.

(1) Χ. Τρ. Ἑ. — ἀμερίμνως Βευερ. — (2) Ἑ. — τὸν μὴ αὐθὺς Βευερ. — (3) ἐκβάλλων ἑτέραν λάβῃ Βρ. — ἢ ἑτέραν λάβοι Βευερ.

ΖΩΝΑΡ. Ἐὰν δὲ μὴ ἐκβάλῃ τὴν ἑαυτοῦ γυναῖκά τις, ἔχων δὲ ταύτην παρ' ἑαυτῷ, ἑτέρᾳ συμφθείροιτο, κατὰ μὲν τὸν ἀκριβῆ λόγον μοιχείαν τολμᾷ· ὥσπερ καὶ ἡ γυνὴ, ἐὰν ἀνδρὶ συζῶσα, ἑτέρῳ μιγῇ· κατὰ δὲ τὸν πολιτικὸν νόμον, ὡς ὁ πορνεύων κρίνεται. Ὢ καὶ ὁ μέγας Βασίλειος ἑπόμενος, ταῦτά φησι· Εἰ ἀνὴρ γυναικὶ συνοικῶν, μεθ' ἑτέρας γένηται, πόρνον κρίνομεν τὸν τοιοῦτον, καὶ πλέον αὐτὸν παρατείνομεν ἐν τοῖς ἐπιτιμίοις· οὐ μέν τοι ἔχομεν κανόνα τῷ τῆς μοιχείας αὐτὸν ὑπάγειν ἐγκλήματι, ἐὰν εἰς ἐλευθέραν γάμου ἡ ἁμαρτία γένηται· ὥστε ἡ μὲν γυνὴ, ἀπὸ πορνείας ἐπανιόντα τὸν ἄνδρα αὐτῆς παραδέξεται· ὁ δὲ ἀνὴρ τὴν μιανθεῖσαν, τῶν οἴκων αὐτοῦ ἀποπέμψει· τούτων δὲ ὁ λόγος οὐ ῥᾴδιος· ἡ δὲ συνήθεια οὕτω κεκράτηκεν. Ὁ δὲ τὴν ἐξ ἀνδρὸς ἀναιτίως ἀπολελυμένην εἰσοικιζόμενος, μοιχός ἐστιν ἄντικρυς, κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν, τὴν λέγουσαν· Καὶ ὁ ἀπολελυμένην γαμήσας, μοιχᾶται.

ΒΑΛΣ. Ὁ ἐκβαλὼν τὴν ἑαυτοῦ γυναῖκα παραλόγως, οὐ δύναται λαβεῖν ἑτέραν, μᾶλλον μὲν οὖν καὶ ἀφορισθήσεται. Καὶ ὁ ἐλευθέραν δὲ μὴ λαβὼν, ἀλλὰ (1) ἀπολελυμένην, (ἔστι δὲ ἀπολελυμένη, ἡ μὴ κατὰ νόμον διαζυγεῖσα τοῦ οἰκείου ἀνδρὸς,) κἂν ὡς μοιχὸς κατακρίνηται, κατὰ τὸν τοῦ Κυρίου λόγον, τὸν φάσκοντα· Καὶ ὁ ἀπολελυμένην γαμήσας, μοιχᾶται, ἀφορίζεται. Ὥστε παρὰ τοῖς κανόσι μοιχοῦ καὶ πόρνου ἐκκλησιαστικὸν ἐπιτίμιον ὁ ἀφορισμός ἐστι, καθά τινες λέγουσιν· ἐμοὶ δὲ οὐ δοκεῖ· καὶ ἀνάγνωθι τοὺς κανόνας τοῦ ἁγίου Βασιλείου, διαφορὰν εἰσάγοντας πόρνου καὶ μοιχοῦ. Ἔσο δὲ εἰδὼς, ὅτι ὁ μὲν ἀνὴρ, ἔτι τοῦ συνοικεσίου συνισταμένου, συμφθειρόμενος μεθ' ἑτέρας γυναικὸς ἐλευθέρας, πορνείαν οὐ μοιχείαν ἁμαρτάνει, οὐ μὴν καὶ μετὰ ὑπάνδρου· τότε γὰρ ὡς μοιχὸς τιμωρεῖται. Ἡ δὲ γυνὴ ἑτέρῳ οἱῳδήτινι συμφθαρεῖσα, συνεστῶτος τοῦ γάμου, ὡς μοιχαλὶς τιμωρεῖται· καὶ ταῦτα μὲν οὕτως. Ἡ δὲ Ἰουστινιάνειος νεαρὰ, ἡ κειμένη ἐν βιβλίῳ τῶν βασιλικῶν κή. τίτ. ζ'. φησὶν, ὡς εἰ καὶ ἠδύνατο πρώην ἑκάτερος (2) τῶν ὁμοζύγων, καθ' ὃν ἠβούλετο τρόπον,

---

(1) Χ. Τρ. Ε. — ἀλλὰ καὶ Βευερ. — (2) Χ. Τρ. — ἕκαστος Βευερ.

διαζύγιον στέλλειν· ἔλεγε γὰρ ὁ ἀνήρ· Γύναι πράττε τὰ σά· καὶ ἡ γυνή· Ἄνερ, πράττε τὰ σά· ἀλλ᾽ ἐφεξῆς ἀπὸ ῥητῶν αἰτιῶν διαζύγιον γίνεται· ἐγράφησαν δὲ καὶ ἐν τῇ νεαρᾷ αἱ τοιαῦται αἰτίαι. Πλὴν καὶ τὸ παλαιὸν οὐκ ἐγίνετο αὐτονόμως τὸ διαζύγιον, ἀλλὰ μετὰ δικαστικῆς διαγνώσεως· ὁ γοῦν γαμήσας τὴν μὴ οὕτως ἀπολυθεῖσαν, ἐμοιχᾶτο.

ΑΡΙΣΤ. Τὴν οἰκείαν ἐκβάλλων ὁ κοσμικὸς, καὶ ἄγων ἑτέραν, ἢ ἀπολελυμένην, ἀφοριστέος.

Ἄνευ τινὸς τῶν νενομοθετημένων αἰτιῶν, εἴ τις τὴν ἑαυτοῦ γυναῖκα ἐκβάλῃ, καὶ ἑτέραν ἀγάγηται, ἀφορίζεται.

Κανὼν ΜΘ΄.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, κατὰ τὴν τοῦ Κυρίου διάταξιν, μὴ βαπτίσῃ εἰς Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, ἀλλ᾽ εἰς τρεῖς ἀνάρχους, ἢ εἰς (1) τρεῖς υἱοὺς, ἢ εἰς τρεῖς παρακλήτους, καθαιρείσθω.

ΖΩΝΑΡ. Ὁ Κύριος εἰς τὸ κήρυγμα τοὺς μαθητὰς ἀποστέλλων, Πορευθέντες μαθητεύσατε, ἔφη, πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Πάντα τοίνυν ὀρθόδοξον κατὰ τὴν τοιαύτην ἐπιταγὴν βαπτίζειν χρεὼν, ἀλλὰ μὴ εἰς τρεῖς ἀνάρχους, ἢ τρεῖς υἱοὺς, ἢ τρεῖς παρακλήτους· τοῦτο γὰρ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσίν ἐστι, καὶ συνήθειαν· ἕνα γὰρ ἄναρχον ἡ ἐκκλησία σέβειν (2) παρέλαβε, τὸν Πατέρα, διὰ τὸ ἀναίτιον· καὶ ἕνα Υἱὸν, διὰ τὴν ἄῤῥητον γέννησιν· καὶ ἕνα παράκλητον, τὸ Πνεῦμα τὸ ἅγιον, διὰ τὴν ἐκπόρευσιν (3).

ΒΑΛΣ. Τὸν μὴ βαπτίζοντα ἐπίσκοπον, ἢ πρεσβύτερον, κατὰ τὴν τοῦ Κυρίου διάταξιν, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, ἀλλ᾽ εἰς τρεῖς ἀνάρχους, ἢ τρεῖς υἱοὺς, ἢ τρεῖς παρακλήτους, καθαιρεῖσθαί φησιν ὁ κανών. Ἦσαν γάρ τινες

(1) τὸ, εἰς, οὐχ εὕρηται ἐν Χ. Τρ. Βευερ. Βρ. — (2) Χ. Τρ. Κ. — οὐχ εὕρηται παρὰ Βευερ. — (3) Βευερ. — τὸ, διὰ τὴν ἐκπόρευσιν, οὐχ εὕρηται παρὰ Κ. Χ. Τρ.

αἱρετικοὶ τοιαῦτα βλασφημοῦντες, καὶ οὕτω βαπτίζοντες(1). Ἡμεῖς δὲ μίαν Θεότητα πιστεύοντες ἐν τρισὶν ὑποστάσεσιν, ἓν βαπτιζόμεθα βάπτισμα, δι' ἐπικλήσεως Πατρὸς, Υἱοῦ, καὶ ἁγίου Πνεύματος. Διὰ τοῦτο δὲ ἐπισκόπων καὶ πρεσβυτέρων μόνον ἐμνήσθη ὁ κανὼν, διότι ἑτέρῳ τινὶ οὐκ ἐφεῖται βαπτίζειν.

ΑΡΙΣΤ. Ὁ μὴ βαπτίζων εἰς Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, ἀλλὰ παρεκβαίνων, ἀνίερος.

Κανὼν Ν'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, μὴ τρία βαπτίσματα μιᾶς μυήσεως ἐπιτελέσῃ, ἀλλ' ἓν βάπτισμα, τὸ (2) εἰς τὸν θάνατον τοῦ Κυρίου διδόμενον, καθαιρείσθω. Οὐ γὰρ εἶπεν ὁ Κύριος, εἰς τὸν θάνατόν μου βαπτίσατε· ἀλλὰ (3), Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.

ΖΩΝΑΡ. Τρία βαπτίσματα ἐνταῦθα τὰς τρεῖς καταδύσεις φησὶν ὁ κανὼν, ἐν μιᾷ μυήσει, ἤτοι ἐν ἑνὶ βαπτίσματι. Ὥστε τὸν βαπτίζοντα ἑκάστῃ τῶν καταδύσεων ἓν τῆς ἁγίας Τριάδος ἐπιλέγειν ὄνομα. Τὸ γὰρ ἅπαξ καταδύειν τὸν βαπτιζόμενον εἰς τὴν ἱερὰν κολυμβήθραν, καὶ εἰς τὸν θάνατον τοῦ Κυρίου τὴν μίαν ἐπιφημίζειν κατάδυσιν, ἀσεβές ἐστι· καὶ ὁ οὕτω βαπτίζων, καθαιρεθήσεται.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν τῆς αὐτῆς δυνάμεώς ἐστι· διορίζεται γὰρ διὰ τριῶν μὲν καταδύσεων τὴν μύησιν ἐπιτελεῖσθαι τοῦ ἁγίου βαπτίσματος, ἤγουν εἰς ὄνομα Πατρὸς, Υἱοῦ, καὶ ἁγίου Πνεύματος· ἅπαξ δὲ βαπτίζειν, διὰ τὸ ἑνιαῖον τῆς θεότητος, καὶ τὸ τριττὸν (4) τῶν ὑποστάσεων, ἢ διὰ τὸν ἐν τῷ σταυρῷ θάνατον τοῦ Χριστοῦ, καὶ τὴν τριήμερον τούτου ἀνάστασιν. Φησὶ γὰρ καὶ ὁ Ἀπόστολος· Εἰς τὸν θάνατον αὐτοῦ

---

(1) τὸ, καὶ οὕτω βαπτίζοντες, οὐ κεῖται ἐν Χ. Τρ. — (2) ἄνευ τοῦ, τὸ, Βευερ. Βρ. Χ. Τρ. — (3) Ματθ. ΚΗ', 19. — (4) Χ. Τρ. — τρίτον Βευερ.

ἐβαπτίσθημεν. Τὰ δὲ βαπτίσματα ἐνταῦθα ἀντὶ καταδύσεων ὑποληπτέον μοι. Τὸν μέν τοι διὰ μιᾶς καταδύσεως εἰς τὸν θάνατον τοῦ Κυρίου βαπτίζοντα, καθαιρεῖσθαί φησιν ὁ κανὼν, ὡς παρὰ τὴν τοῦ Κυρίου διδαχὴν ποιοῦντα, καὶ προφανῶς ἀσεβοῦντα.

ΑΡΙΣΤ. Ὁ μὴ τρισὶ μυῶν καταδύσεσιν, ἀλλὰ μιᾷ, εἰς τὸν τοῦ Κυρίου θάνατον, (ὃ μὴ εἶπεν ὁ Κύριος), ἀνίερος.

Τοῦ Κυρίου εἰπόντος, βαπτίζειν εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, εἴτις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἐναντιωθῇ τῷ δεσποτικῷ προστάγματι, καὶ εἰς μίαν κατάδυσιν βαπτίσει, ὡς τοῦ βαπτίσματος τὸν τοῦ Κυρίου καταγγέλλοντος θάνατον, καθαιρεθήσεται.

Κανὼν ΝΑ΄.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, γάμου (1), καὶ κρεῶν, καὶ οἴνου, οὐ δι' ἄσκησιν, ἀλλὰ διὰ βδελυρίαν ἀπέχηται, ἐπιλαθόμενος, ὅτι πάντα καλὰ λίαν, καὶ ὅτι ἄρσεν καὶ θῆλυ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, ἀλλὰ βλασφημῶν διαβάλλῃ τὴν δημιουργίαν, ἢ διορθούσθω, ἢ καθαιρείσθω, καὶ τῆς ἐκκλησίας ἀποβαλλέσθω. Ὡσαύτως καὶ λαϊκός.

ΖΩΝΑΡ. Τὸ μὲν δι' ἐγκράτειαν ἀπέχεσθαι γάμου, καὶ κρεωφαγίας, καὶ οἰνοποσίας, ἀποδεκτόν (2)· τὸ δὲ ταῦτα βδελύττεσθαι, καὶ ὡς βλαβερὰ πρὸς ψυχὴν ἀποσείεσθαι (3), οὐκ ἀνέγκλητον· οὐδὲν γὰρ τῶν παρὰ Θεοῦ γενομένων κακόν· ἀλλ' ἡ τούτων παράχρησις, βλαβερόν. Εἰ δὲ κακίας αἰτία ἦν ἡ γυνὴ, καὶ ὁ οἶνος, καὶ τὰ λοιπὰ, οὐκ ἂν παρήχθησαν παρὰ τοῦ Θεοῦ. Ὥστε ὁ διαβάλλων τὰ ποιήματα τοῦ Θεοῦ, κατὰ (4) τῆς αὐτοῦ βλασφημεῖ δημιουργίας. Λοιπὸν ὁ τοιοῦτος διορθώσεως δεῖται· εἰ δὲ μὴ διορθοῦται, καθαιρεθήσεται, καὶ τῆς ἐκ-

---

(1) γάμων Βρ. — (2) Χ. Τρ. — ἀποδεκτέον Κ. Βευερ. — (3) Χ. Τρ. — βδελύττεσθαι, ὡς βλαβερὰ πρὸς ψυχὴν, καὶ ἀποσείεσθαι Κ. Βευερ. — (4) Κ. Βευερ. — Χ. Τρ. καὶ τὰ τῆς αὐτοῦ.

κλησίας ἀποβληθήσεται· οὐ μόνον γὰρ καθαιρέσεώς ἐστιν ἄξιος, ἀλλ' οὐδὲ προσδεκτέος εἰς ἐκκλησίαν, ὡς αἱρετικός.

ΒΑΛΣ. Τὸν ἔννομον γάμον ἡ ἐκκλησία οὐκ ἀποσείεται, ὅτι διὰ τοῦτο καὶ ὁ Θεὸς ἄρσεν καὶ θῆλυ ἐποίησεν· οὐδὲ τοὺς κρεωφαγοῦντας, καὶ οἴνῳ χρωμένους βδελύττεται, εὐκαίρως πάντα ποιοῦντας, καὶ καθὼς τὰ ἱερὰ παραδιδόασι λόγια· οὐδὲν γάρ, φησι, τῶν παρὰ Θεοῦ γενομένων, κακόν· ἀλλὰ πάντα καλὰ ἐν καιρῷ αὐτῶν· ἀλλ' οὐδὲ τοὺς ἀπεχομένους τούτων αὖθις δι' ἄσκησιν κολάζει. Διὸ προσεκτέον τίνι τρόπῳ τούτων ἀπέχεταί τις· καὶ εἰ μέν, ὡς οἱ ἀθεώτατοι Βογόμιλοι, διὰ βδελυρίαν, καὶ διὰ τὸ γενέσθαι παραίτια κακοῦ τοῖς κακῶς παραχρωμένοις αὐτοῖς, καθαιρεθήσεται, μετὰ παραγγελίαν μὴ διορθούμενος· μᾶλλον δὲ καὶ τῆς ἐκκλησίας γενήσεται ἐκκήρυκτος, ὡς βλασφημῶν κατὰ τῶν τοῦ Θεοῦ κτισμάτων. Εἰ δὲ δι' ἄσκησιν, καὶ εὐλάβειαν ἀπέχεται τούτων, οὐ κατακριθήσεται· διὰ γὰρ τοῦτο καὶ πολλοὶ μοναχοὶ ἐπὶ χρόνοις ἱκανοῖς δι' ἐγκράτειαν μήτε τυροῦ, μήτε ᾠοῦ, μήτε οἴνου γευσάμενοι, ἔν τισι καιροῖς αὐτῶν ἀπεγεύσαντο, καὶ ἅπαν καχύποπτον (1) περιεῖλον σκάνδαλον, ὡς ὁ μακάριος (2) ἐκεῖνος ἡσυχαστής, ὁ Σεσιδηρωμένος λεγόμενος, καὶ ὁ χρηματίσας ἐπίσκοπος Ἐλαίας μοναχὸς Θεόδουλος, ἐπὶ συνόδου, διὰ περιαίρεσιν σκανδάλων καὶ φλυαρίας κακῶν τινων, τυροῦ καὶ ᾠοῦ γευσάμενοι.

ΑΡΙΣΤ. Κληρικὸς ἅπας, οἶνον, καὶ κρέα, καὶ γάμον, μὴ δι' ἄσκησιν βδελυσσόμενος, εἰ μὴ διορθοῖτο, ἐκκήρυκτος.

Τοῦτ' ἔστι καθαιρεῖται ὁ τοιοῦτος, καὶ τῆς ἐκκλησίας ἐκβάλλεται.

Κανὼν ΝΒ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, τὸν ἐπιστρέφοντα (3) ἀπὸ ἁμαρτίας οὐ προσδέχεται, ἀλλ' ἀποβάλλεται, καθαιρείσθω· ὅτι λυπεῖ Χριστὸν(4), τὸν εἰπόντα· Χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι(5).

---

(1) Ἐ. Βευερ. — καθύποπτον Χ. Τρ. — (2) Χ. Τρ. — μακαρίτης Ἐ. Βευερ. — (3) ἀποστρέφοντα Βευερ. — (4) τὸν Χριστὸν Βευερ, — (5) Λουκ. ΙΕ, 7.

ΖΩΝΑΡ. Ὁ Κύριος ἡμῶν διὰ τοὺς ἁμαρτήσαντας ἔκλινεν οὐρανούς, καὶ κατέβη· αὐτὸς γὰρ ἔφη· Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. Ὁ γοῦν τὸν ἐξ ἁμαρτίας μετανοοῦντα μὴ προσιέμενος, ἀντιπράττει Χριστῷ τῷ Θεῷ ἡμῶν· ὁ δὲ ἀντιπράττων αὐτῷ καὶ ἀντιδιαταττόμενος (1), οὐκ ἔστιν αὐτοῦ μαθητής· ὁ δὲ μὴ ὢν αὐτοῦ μαθητής, ἱερᾶσθαι οὐκ ἄξιος· πῶς γὰρ ὃς ἀντίχριστον ἑαυτὸν καθίστησιν, ἐναντιούμενος τῷ ἐκείνου θελήματι, δεκτὸς τυγχάνει αὐτῷ (2);

ΒΑΛΣ. Οὐκ ἔστιν ἁμαρτία νικῶσα τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. Διὸ καὶ πάντας τοὺς μετανοοῦντας, καὶ ἐπιστρεφομένους ἀπὸ τοῦ κακοῦ εἰς τὸ ἀγαθόν, ἀγκαλίζεται ὁ Κύριος. Διὰ γὰρ τὴν σωτηρίαν τῶν ἁμαρτωλῶν κατέβη ἐξ οὐρανοῦ, καὶ εἶπεν, οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλούς, εἰς μετάνοιαν. Ὁ γοῦν μὴ παραδεχόμενος ἐπίσκοπος, ἢ πρεσβύτερος τοὺς οὕτως ἐπιστρέφοντας, ἀλλά, κατὰ τὸν Ναυάτον ἐκεῖνον, μυσαττόμενος αὐτούς, καθαιρείσθω, ὡς ἐναντιούμενος τῷ τοῦ Θεοῦ θελήματι, τοῦ εἰπόντος· Χαρὰ γίνεται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. Ὥστε σημείωσαι διὰ τοῦ παρόντος κανόνος ὅτι οὐ μόνοις ἐπισκόποις, καὶ ἱερεῦσιν ἐνεδόθη ἐξομολογήσεις ἀνθρώπων δέχεσθαι, καὶ συγχωρεῖν ἁμαρτήματα· ἀλλὰ καὶ οἱ πρεσβύτεροι μετὰ προτροπῆς ἐπισκόπων (3) δέχονται λογισμούς. Καὶ ζήτει τὸν ϛ'. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ τὰ ἐν αὐτῷ γραφέντα.

Ἑτέρα ἑρμηνεία.

ΒΑΛΣ. (4) Τοῦ παρόντος νβ'. ἀποστολικοῦ κανόνος κολάζοντος τοὺς ἐπισκόπους, καὶ τοὺς πρεσβυτέρους, τοὺς μὴ δεχομένους τοὺς ἐπιστρέφοντας ἀπὸ ἁμαρτιῶν· καὶ τοῦ ϛ'. ζ'. καὶ μϛ'. κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου μὴ παραχωρούντων τοῖς ἱερεῦσι χωρὶς εἰδήσεως τῶν ἐπισκόπων δέχεσθαι λογισμοὺς ἀνθρώπων, καὶ ἀφιέναι ἁμαρτίας, ἀναφαίνεται, μὴ μόνοις μοναχοῖς ἱερεῦσιν ἐνδοθῆναι τὴν τῶν ἁμαρτημάτων καταλλαγήν, ἀλλὰ

(1) ἀντιταττόμενος Κ. — (2) οὐχ εὕρηται ἐν Χ. Τρ. οὔτε ἐν Κ. τό, δεκτὸς τυγχάνει αὐτῷ. — (3) ἐπισκοπῆς Χ. Τρ. — (4) Ἅπασα αὕτη ἡ ἑρμηνεία εὑρίσκεται ἀνέκδοτος ἐν Χ. Τρ. οὐ κεῖται δὲ παρὰ Βευερ. ἢ Ἐ.

καθολικῶς πᾶσι τοῖς ἱερεῦσι. Καταλαμβάνεται δέ μοι τοῦτο καλῶς καὶ ἀπὸ τοῦ μηδὲ ἐπεγνωσμένον εἶναι τοῖς θείοις καὶ ἁγίοις Ἀποστόλοις τὸ μοναχικὸν σχῆμα· μοναχοὶ γὰρ τότε ἐπεγινώσκοντο, καὶ ὠνομάζοντο, οἱ τὰς ἐρήμους κατοικοῦντες, ὡς ὁ προφήτης Ἠλίας, ὁ ἅγιος Πρόδρομος, ὁ μέγας Ἀντώνιος, ὁ ἅγιος Παῦλος ὁ Θηβαῖος, καὶ ἕτεροι. Τὸ δὲ σήμερον πολιτευόμενον μοναχικὸν σχῆμα τῷ ἁγίῳ Παχωμίῳ ἀπεκαλύφθη δι' ἀγγέλου μετὰ τὴν ά. σύνοδον, περὶ τὰ τέλη τοῦ ἁγίου Κωνσταντίνου. Ὅπως γοῦν οὔτε παρὰ πατριαρχῶν, οὔτε παρὰ ἐπισκόπων, οὐκ ἐπιτρέπονται οἱ ἱερεῖς, μὴ ὄντες μοναχοὶ, δέχεσθαι λογισμοὺς ἀνθρώπων, ἀγνοῶ· νομίζω δὲ, διὰ τὸ τῆς ὑποκρίσεως εὐλαβέστερον. Ἐγὼ δὲ ἐπέτρεψα πολλοῖς κατὰ τὴν μεγάλην Ἀντιόχειαν ἱερουργοῦσι, καὶ οὖσι κληρικοῖς τοῦ αὐτοῦ ἁγιωτάτου θρόνου, δέχεσθαι λογισμοὺς ἀνθρώπων ἀκωλύτως, καὶ συγχωρεῖν ἁμαρτίας.

ΑΡΙΣΤ. Ὁ τοῖς μετανοοῦσι μὴ συγγινώσκων, ἀσυγγνωστότερος.

Καὶ οὗτος, κληρικὸς ὢν, καθαιρεῖται, ὡς ἐναντιούμενος τῷ Κυρίῳ, εἰπόντι, χαρὰν γίνεσθαι ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

Κανὼν ΝΓ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἐν ταῖς ἡμέραις τῶν ἑορτῶν οὐ μεταλαμβάνει κρεῶν, καὶ οἴνου (1), βδελυσσόμενος, καὶ οὐ δι' ἄσκησιν (2), καθαιρείσθω, ὡς κεκαυτηριασμένος τὴν ἰδίαν (3) συνείδησιν (4), καὶ αἴτιος σκανδάλου πολλοῖς γινόμενος.

ΖΩΝΑΡ. Κεκανόνισται ἐν τοῖς σαββάτοις, ἄνευ ἑνὸς (5), τοῦ μεγάλου, καὶ ἐν ταῖς κυριακαῖς, καὶ ταῖς ἑορτασίμοις ἡμέραις, μὴ νηστεύειν· ἀλλὰ διάφοροι τῶν ἁγίων πατέρων, ἐν δέκα τυχὸν ἡμέραις, ἢ καὶ (6) εἴκοσι, καὶ τούτων ἐπέκεινα, ἤσθιον· τινὲς δὲ καὶ ἄχρι τῶν τεσσαράκοντα τὴν νηστείαν παρέτεινον. Ὥσπερ οὖν οὐ παραβαίνειν ἐκεῖνοι τοὺς κανόνας ἐκρίνοντο, ἐν σαββάτοις

---

(1) ἢ οἴνου Βρ. — (2) τὸ, καὶ οὐ δι' ἄσκησιν οὐ κεῖται παρά τισιν, Ἀρδ. — (3) Χ. Τρ. Βρ. Ἐ.—τὴν οἰκείαν Κ. Βευερ. — (4) ά. Τιμ. Δ', 3. — (5) ἑνὸς ἄνευ Χ. Τρ. Κ. — (6) ὁ καὶ, οὐχ εὕρηται παρὰ Βευερ.

νηστεύοντες· οὕτως οὐδ' εἴ τις ἐν ὡρισμέναις ἡμέραις ἐθέλοι ἐγκρατεύεσθαι, καὶ διὰ τόσων ἐσθίειν, κἂν σάββατον ἐν αὐταῖς παρεμπίπτῃ, κἂν ἄλλη ἡμέρα τις ἑορτάσιμος, ὡς παραβάτης τῶν κανόνων κριθήσεται. Εἰ δὲ αὐτὰ καθ' ἑαυτὰ τὰ σάββατα νηστεύει, ἢ ὡς βδελυσσόμενος τὰ κρέα, καὶ τὸν οἶνον, τούτων ἀπέχεται, καὶ οὐδὲ ἐν ταῖς ἑορταῖς μεταλαμβάνει αὐτῶν, οὔτ' ἐγκρατὴς λογισθήσεται, ἀλλὰ καὶ καθαιρέσεως κριθήσεται ἄξιος, ὡς πολλοῖς λογισμοὺς ὑποβάλλων βλαβερὰ τὰ τοῦ Θεοῦ τυγχάνειν ποιήματα, ὧν οὐδὲν κακόν ἐστιν, οὐδὲ ἀποτρόπαιον. Καὶ ὁ τεσσαρεσκαιδέκατος τῆς ἐν Ἀγκύρᾳ συνόδου κανὼν, τοὺς ἐν κλήρῳ θεσπίζει ἀπεχομένους κρεῶν, ἐφάπτεσθαι αὐτῶν, ἤτοι ἀπογεύεσθαι· καὶ οὕτως αὖθις ἐγκρατεύεσθαι· εἰ δὲ μὴ οὕτω ποιοῦσι, καθαιρεῖσθαι αὐτούς.

ΒΑΛΣ. Κατὰ πᾶσαν Κυριακὴν, καὶ κατὰ πᾶσαν ἑορτὴν (1) πανηγυρίζοντες, οὐ νηστεύομεν, ἀλλὰ καὶ ἐν τοῖς σαββάτοις πᾶσιν, ἄνευ ἑνὸς σαββάτου, τοῦ μεγάλου δηλαδὴ, καταλύομεν, ἵνα μὴ δόξωμεν κατὰ τοὺς Ἰουδαίους σαββατίζειν. Ὁ γοῦν ἐν ταύταις ταῖς ἡμέραις νηστεύων, εἰ μὲν ὡς βδελυττόμενος τὰ ὑπὸ τοῦ Θεοῦ εἰς βρῶσιν ἡμῖν δοθέντα, καὶ σκανδαλίζων ἐντεῦθεν τὸν λαὸν, καθαιρεῖται, ἐπίσκοπος ὢν δηλονότι, ἢ πρεσβύτερος, ἢ διάκονος· εἰ δὲ δι' ἄσκησιν ἀπέχεται τούτων, συγγνωσθήσεται. Καὶ ἀνάγνωθι τὴν εἰς τὸν να'. κανόνα ἑρμηνείαν, καὶ τὸν ιδ'. κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου. Λαϊκὸς μέν τοι οὕτω νηστεύων κακῶς, καὶ πενθῶν μετὰ τῶν Μαρκιανιστῶν αἱρετικῶν (2), ἀφορίζεται κατὰ τὸ τέλος τοῦ να'. κανόνος.

ΑΡΙΣΤ. Μὴ μεταλαμβάνων ἱερεὺς οἴνου, καὶ κρεῶν, εἰ μὴ δι' ἄσκησιν, καθαιρεῖται.

Κανὼν ΝΔ'.

Εἴ τις κληρικὸς ἐν καπηλείῳ φωραθείῃ ἐσθίων, ἀφορι-

---

(1) κατὰ πᾶσαν ἑορτὴν καὶ κατὰ πᾶσαν κυριακὴν Χ. Τρ. — (2) Τὸ, καὶ πενθῶν μετὰ τῶν Μαρκιανιστῶν αἱρετικῶν οὐκ ἀναγινώσκεται ἐν Χ. Τρ. οὐδὲ παρὰ Ἑ. ἀλλὰ μόνον παρὰ Βευερ.

ζέσθω· πάρεξ τοῦ ἐν πανδοχείῳ ἐν ὁδῷ δι' ἀνάγκην καταλύοντος (1).

—

ΖΩΝΑΡ. Τοὺς τῷ Θεῷ κεκληρωμένους δεῖ καὶ τοῖς λαϊκοῖς ὑπόδειγμα εἶναι βίου σεμνοῦ, καὶ πάντοθεν ἀνεπιλήπτους, ἵνα μὴ δι' αὐτοὺς βλασφημῆται τὸ ὄνομα τοῦ Θεοῦ. Τὸ δὲ ἐν καπηλείῳ εἰσιέναι, βίον ἄσεμνον ἔχειν τοὺς αὐτὸ ποιοῦντας δείκνυσιν, καὶ οὐ περὶ βρῶσιν καὶ πόσιν μόνην διεφθάρθαι αὐτοῖς τὰ ἤθη, ἀλλὰ καὶ περὶ τὴν ἄλλην πᾶσαν διαγωγήν. Ἀσέμνων γὰρ ἀνδρῶν τε καὶ γυναικῶν ἐν τοῖς καπηλείοις συναγομένων, ὁ τούτοις συναναστρεφόμενος, οὐκ ἀμέθεκτος ἔσται τῆς ἐκείνων κακίας· φθείρουσι γὰρ ἤθη χρηστὰ, ὁμιλίαι κακαί· διὸ ἀφορίζεσθαι τοὺς τοιούτους κληρικοὺς διακελεύεται ὁ κανών. Εἰ δὲ ὁδοιπορῶν ὁ κληρικὸς, καὶ μὴ ἔχων ἔνθα καταλύσει, τουτέστι μονὴν ποιήσεται, καὶ διαναπαύσεται, ἐξ ἀνάγκης εἰς πανδοχεῖον εἰσέλθη, ἀναίτιος ἂν εἴη, καὶ ἀτιμώρητος. Τὸ αὐτό φησι καὶ ὁ κδ'. τῆς ἐν Λαοδικείᾳ συνόδου κανὼν, καὶ ὁ τεσσαρακοστὸς τῆς ἐν Καρθαγένῃ.

ΒΑΛΣ. Οἱ θεῖοι καὶ ἅγιοι Ἀπόστολοι, θέλοντες τοὺς κεκληρωμένους ἀνεπιλήπτου βίου εἶναι, καὶ μὴ σκανδαλίζειν τοὺς πολλοὺς, ἀλλὰ μᾶλλον διεγείρειν εἰς τὸ ἀγαθὸν, διορίζονται μὴ μόνον ἀπέχεσθαι τούτους πάσης ἐμπορίας αἰσχροκερδοῦς, ὡς εἴρηται ἐν ἑτέρῳ κανόνι, ἀλλὰ μηδὲ εἰς καπηλεῖον εἰσιέναι χάριν βρώσεως, ἢ πόσεως· ἀσέμνων γὰρ ἀνδρῶν ταῦτα, καὶ μεγάλης κατακρίσεως ἄξια· διὸ καὶ τὸν τοιοῦτόν τι ποιοῦντα κληρικὸν, ὁ κανὼν ἀφορίζεσθαι διορίζεται· τὸν δὲ καταλύσαντα εἰς πανδοχεῖον ἐν ὁδῷ δι' ἀνάγκην, οὐ κολάζει, διὰ τὸ περιστατικόν. Οἱ γοῦν λέγοντες, ὅτι δύναται κληρικὸς οἰνάρια (2) ἐμπορεύεσθαι, ἢ πακτεύειν λουτρὸν, ἢ ἑτέραν αἰσχροκερδῆ μετιέναι ἐμπορίαν, κακῶς λέγουσιν. Εἰ γὰρ τὸ ἁπλῶς εἰσιέναι κληρικὸν εἰς καπηλεῖον κεκώλυται, πολλῷ μᾶλλον κολασθήσεται τὸ ἐμπορεύεσθαι αὐτὸν τοιαύτην αἰσχρὰν ἐμπορίαν, ἢ δι' ἑαυτοῦ, ἢ διὰ παρενθέτου προσώπου. Ἀνάγνωθι καὶ τῆς ἐν Λαοδικείᾳ συνόδου κανόνα κδ'. καὶ τῆς ἐν Καρθαγένῃ κανόνα μ'. Ἐπεὶ δὲ ὁ Ἀποστολικὸς μϐ'. κανὼν,

(1) Ε. Π. — καταλύσαντος Χ. Τρ. Βευερ. Βρ. — (2) οἰνάριον Χ. Τρ.

τὸν μὲν ἐπίσκοπον, τὸν πρεσβύτερον, καὶ τὸν διάκονον κύβοις, ἢ μέθαις σχολάζοντας (1), καθαιρεῖσθαί φησι, εἰ μὴ παύσονται· τὸν δὲ ὑποδιάκονον, καὶ πάντα ἁπλῶς κληρικὸν τοιοῦτόν τι ποιοῦντα, ὡσαύτως καὶ τοὺς λαϊκούς, ἀφορίζεσθαι, εἰ μὴ διορθωθῶσι μετὰ παραγγελίαν, νομίζω, ὅτι καὶ ἐνταῦθα μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν ἀφορισθήσεται ὁ ἐν καπηλείῳ εἰσερχόμενος κληρικός, καὶ μὴ ἀπεχόμενος τοῦ κακοῦ. Παρίσταται δὲ τοῦτο καὶ ἐκ τοῦ λέγειν τὸν κανόνα· Εἴ τις κληρικὸς ἐν καπηλείῳ φωραθείη ἐσθίων, δηλονότι πολλάκις τῷ κακῷ χρησάμενος (2).

ΑΡΙΣΤ. Ὁ δίχα τῆς κατὰ τρίβον ἀνάγκης κληρικὸς εἰς καπηλεῖον ἐσθίων, ἀφοριστέος.

Ὁ παροδεύων κληρικός, εἰ δι' ἀνάγκην καταλύσει εἰς πανδοχεῖον, συγγνωστέος· ὁ δὲ χωρὶς περιστάσεως εἰς καπηλεῖον ἐσθίων, ἀφοριστέος.

Κανὼν ΝΕ'.

Εἴ τις κληρικὸς ὑβρίσοι (3) τὸν ἐπίσκοπον (4), καθαιρείσθω· ἄρχοντα γὰρ τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς (5).

—

Κανὼν ΝϚ'.

Εἴ τις κληρικὸς ὑβρίσοι (6) πρεσβύτερον, ἢ διάκονον, ἀφοριζέσθω.

—

ΖΩΝΑΡ. Οἱ μὲν ἀρχιερεῖς, εἰς τύπον ὄντες τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ κεφαλὴ τοῦ τῆς ἐκκλησίας σώματος λογιζόμενοι, καὶ πλείονος τιμῆς εἰσιν ἄξιοι· διὸ καὶ ὁ ἐνυβρίσας αὐτοῖς, καθαιρεῖται. Οἱ δὲ πρεσβύτεροι, καὶ διάκονοι, χειρῶν σώζοντες τύπον, ὡς δι' αὐτῶν τὰς ἐκκλησιαστικὰς διοικήσεις ἐνεργοῦντος τοῦ ἐπισκόπου, τιμᾶσθαι μὲν κἀκεῖνοι ἄξιοι, οὐχ ὡς ὁ ἐπίσκοπος δέ· οὐ γὰρ ὁμοίως τῆς κεφαλῆς καὶ τῶν χειρῶν ἐπι-

(1) σχολάζοντα Ἑ. Βευερ. — (2) τῷ κακῷ χρησάμενος πολλάκις Βευερ. — (3) ὑβρίζει Χ. Τρ. Βρ. — (4) εὕρηται ἀλλαχόθι, ἀδίκως Ἀρδ. — (5) Δευτερ. ΚΒ', 28. παραβ. καὶ Πράξ. Ἀποστ. ΚΓ', 5. — (6) ὑβρίζει Βρ.

μελητέον· διὸ καὶ (1) ὁ ὑβρίσας αὐτοὺς, ἧττον κολάζεται, μόνον ἀφοριζόμενος.

ΒΑΛΣ. Οἱ διττοὶ κανόνες οὗτοι ὁ νε'. καὶ ὁ νς'. κολάζουσι τοὺς ὑβριστὰς κληρικούς· ἀλλ' ὁ μὲν νε'. καθαιρεῖσθαί φησι τὸν κληρικὸν, τὸν ὑβρίσαντα τὸν ἐπίσκοπον· ὁ δὲ νς'. ἀφορίζεσθαι διορίζεται τὸν ὑβρίσαντα κληρικὸν, πρεσβύτερον, ἢ διάκονον· πάντως, διὰ τὸ τιμὴν πλείονα χρεωστεῖσθαι τῷ ἐπισκόπῳ. Καὶ (2) οἱ μὲν κανόνες οὕτω διαιροῦσι τὴν τιμωρίαν τῶν ὑβριστῶν κληρικῶν· ὁ δὲ πολιτικὸς νόμος πάντα ὑβριστὴν ἀτιμοῦσθαι διορίζεται, σὺν τῷ διδόναι (3) καὶ χρηματικὴν ποινήν· νομίζω οὖν ὅτι τῇ ἀτιμίᾳ ἐπακολουθεῖ καὶ καθαίρεσις.

ΑΡΙΣΤ. Κανὼν νε'. Ὑβρίζων ἐπίσκοπον κληρικὸς, καθαιρεῖται·
Κανὼν νς'. Πρεσβύτερον, ἢ διάκονον, ἀφορίζεται.

Κανὼν ΝΖ'.

Εἴ τις κληρικὸς (4) χωλὸν, ἢ κωφὸν, ἢ τυφλὸν, ἢ τὰς βάσεις πεπληγμένον χλευάσοι (5), ἀφοριζέσθω. Ὡσαύτως καὶ λαϊκός.

ΖΩΝΑΡ. Τοὺς μέλη τινὰ πεπηρωμένους ἐλεεῖσθαι προσήκει, καὶ ὡς δυνατὸν ἀντιλαμβάνεσθαι τούτων, καὶ χειραγωγεῖν, ἀλλ' οὐχὶ διαπαίζειν· τοῦτο γὰρ δηλοῖ τὸ χλευάζειν· εἰ δὲ τοὺς τοῦτο ποιοῦντας λαϊκοὺς ὁ κανὼν ἀφορισμῷ ὑποβάλλει, τί ἂν τις λογίσαιτο περὶ κληρικῶν, οὓς, ὡς πολλάκις εἴρηται, ὑπόδειγμα πρὸς πᾶσαν ἀρετὴν, καὶ παροξυσμὸν πρὸς χρηστότητα τῷ λαῷ προκεῖσθαι χρεών;

ΒΑΛΣ. Καὶ τοὺς κληρικοὺς, καὶ τοὺς λαϊκοὺς ἀφορίζει ὁ κανὼν, μὴ ἐλεοῦντας τοὺς ὁπωσδήποτε πεπηρωμένους τὸ σῶμα, ἀλλὰ παίζοντας (6) αὐτούς. Οἱ πλείους δὲ τὰ τοιαῦτα πρόφασιν ἔχουσι γέλωτος, τοῖς τοῦ Θεοῦ κρίμασιν ἀντιπράττοντες.

ΑΡΙΣΤ. Ὡσαύτως δὲ καὶ ὁ τυφλὸν, καὶ κωφὸν, καὶ χωλὸν χλευάζων.

---

(1) ὁ, καὶ, οὐχ εὕρηται παρὰ Βευερ. — (2) ὁ, καὶ, οὐ κεῖται παρὰ Βευερ. — (3) εἰδέναι Χ. Τρ. — (4) οὐ κεῖται τὸ, κληρικὸς παρὰ Βρ. καὶ Κ. — (5) χλευάζει Βρ. — (6) παίσοντας Ε. Βευερ.

Ὁ ἐμπαίζων τυφλὸν, καὶ κωφὸν, ἢ χωλὸν, ἢ ἄλλως τὸ σῶμα πεπηρωμένον, ἀφορίζεται, ὡς τὸν πλάσαντα τούτους ἐπιμεμφόμενος.

Κανὼν ΝΗ'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος ἀμελῶν τοῦ κλήρου, ἢ τοῦ λαοῦ, καὶ μὴ παιδεύων αὐτοὺς τὴν εὐσέβειαν, ἀφοριζέσθω· ἐπιμένων δὲ τῇ ἀμελείᾳ (1) καὶ ῥαθυμίᾳ, καθαιρείσθω.

—

ΖΩΝΑΡ. Χρέος ἐστὶν ἀπαραίτητον παντὶ ἐπισκόπῳ διδάσκειν τὸν ὑπ' αὐτὸν λαὸν τὰ εὐσεβῆ δόγματα, καὶ πρὸς ὀρθοδοξίαν ῥυθμίζειν, καὶ βίον σεμνόν. Φησὶ γὰρ ὁ Θεὸς διὰ τοῦ προφήτου(2) πρὸς τοὺς τῶν λαῶν προεστῶτας· Εἰ μὴ διαστείλῃς, μηδὲ λαλήσῃς, ἀποθανεῖται ὁ ἄνομος ἐν τῇ ἀνομίᾳ αὐτοῦ, καὶ τὸ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητηθήσεται (3). Ὁ γοῦν τῆς διδασκαλίας ἀμελῶν ἐπίσκοπος ἀφορίζεται· εἰ δὲ μηδ' οὕτω τῆς ἀμελείας ἀφίσταται, καὶ καθαιρεῖται· ὁμοίως καὶ οἱ πρεσβύτεροι· διδακτικοὺς γὰρ εἶναι καὶ τούτους ἀπαιτεῖ ὁ κανών. Καὶ ὁ μέγας δὲ Παῦλος διδακτικὸν καὶ νηφάλιον εἶναι διατάττεται τὸν ἐπίσκοπον (νήφοντα, δηλαδὴ, καὶ ἐγρηγορότα), ἀλλὰ μὴ ἀνειμένον, καὶ ἀμελῆ· καὶ τὸ ὄνομα δὲ τοῦ ἐπισκόπου εἰς νῆψιν αὐτὸν διεγείρει· σκοπὸς γὰρ ὠνόμασται· τὸν δὲ σκοπὸν ἐγρηγορέναι δεῖ, ἀλλ' οὐ ῥαθυμεῖν. Διὰ τοῦτο τοῖς ἐπισκόποις ἐν τῷ θυσιαστηρίῳ καθέδρα ἐφ' ὕψους ἵδρυται, δηλοῦντος τοῦ πράγματος, οἷον εἶναι τοῦτον, καὶ (4) ὅτι δεῖ τὸν ὑπ' αὐτὸν λαὸν ὁρᾷν ἀφ' ὕψους, καὶ ἐπισκοπεῖν ἀκριβέστερον· καὶ οἱ πρεσβύτεροι συνεστάναι ἐκεῖ τῷ ἐπισκόπῳ, καὶ συγκαθῆσθαι ἐτάχθησαν, ἵνα καὶ οὗτοι διὰ τῆς ἀφ' ὕψους καθέδρας ἐνάγωνται εἰς τὸ ἐφορᾷν τὸν λαὸν, καὶ καταρτίζειν αὐτὸν, ὥσπερ σύμπονοι δοθέντες τῷ ἐπισκόπῳ· καὶ ὁ τῆς ἐν τῷ Τρούλλῳ συνόδου ιθ'. κανὼν, Δεῖ, φησι, τοὺς προεστῶτας ἐν πάσῃ ἡμέρᾳ, ἐξαιρέτως δὲ ταῖς κυριακαῖς, πάντα τὸν κλῆρον, καὶ τὸν λαὸν ἐκδιδάσκειν.

---

(1) τὸ, ἀμελείᾳ καὶ, οὐ κεῖται ἐν Χ. Τρ. Κ. Βρ. Σ. Ῥ. — (2) Ἰεζεκ. Γ'. 18. — (3) Χ. Τρ. Κ. — ἀπαιτηθήσεται Βευερ. — (4) τὸ, οἷον εἶναι τοῦτον, καὶ, οὐ κεῖται ἐν Χ. Τρ. Κ.

ΒΑΛΣ. Τὸ ἐπισκοπικὸν ἀξίωμα διδασκαλικόν ἐστι· καὶ πᾶς ἐπίσκοπος ὀφείλει διδάσκειν τὸν λαὸν τὰ εὐσεβῆ δόγματα, καὶ τὴν τῶν ὀρθοδόξων κατάστασιν. Σκοπὰς γὰρ τίθεται, χάριν τοῦ ἐπισκοπεῖν τὰ ὑπὸ τὸν λαὸν αὐτοῦ· κἀντεῦθεν καὶ ἐπίσκοπος κέκληται. Καὶ οἱ πρεσβύτεροι δὲ τοιοῦτοι ὀφείλουσιν εἶναι· ὅτι καὶ πλησίον τῶν ἐπισκόπων ἐν ταῖς ἀνωτέραις (1) καθέδραις κάθηνται. Ὁ γοῦν μὴ ποιῶν οὕτως ἐπίσκοπος, καὶ ἱερεύς, ἀλλ' ἀμελῶς διακείμενος, ἀφορίζεται· ἐπιμένων δὲ τῇ ῥᾳθυμίᾳ, καὶ καθαιρεῖται· οἱ πρεσβύτεροι γὰρ καὶ κατὰ προτροπὴν ἐπισκοπικὴν, καὶ οὐκ οἴκοθεν διδάσκουσι (2).

ΑΡΙΣΤ. Τὴν εὐσέβειαν μὴ διδάσκων ἐπίσκοπος, ἀφορίζεται· καθαιρεῖται δὲ, μένων ἀδίδακτος.

Διδάσκειν δεῖ τὸν ἐπίσκοπον τῷ κλήρῳ, καὶ τῷ λαῷ τὴν εὐσέβειαν· ὁ δὲ καταῤῥᾳθυμῶν τῆς διδασκαλίας ταύτης, ἀφορίζεται· εἰ δὲ καὶ μετὰ τὸν ἀφορισμὸν πρὸς τοῦτο οὐ διεγείρεται, καὶ καθαιρεῖται.

Κανὼν ΝΘ΄.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος (3), τινὸς τῶν κληρικῶν ἐνδεοῦς ὄντος, μὴ ἐπιχορηγοῖ τὰ δέοντα, ἀφοριζέσθω· ἐπιμένων δὲ, καθαιρείσθω, ὡς φονεύσας τὸν ἀδελφὸν αὐτοῦ.

ΖΩΝΑΡ. Τὰ τῶν ἐκκλησιῶν πράγματα ἡ γραφὴ πτωχικὰ ὀνομάζει· καὶ δεῖ ταῦτα διαδίδοσθαι τοῖς πτωχοῖς. Εἰ δὲ τοῖς ἄλλοις ἐνδεέσιν ἐπαρκεῖν οἱ τῶν ἐκκλησιῶν προεστῶτες ὀφείλουσιν, ὡς ἐνὸν, πόσῳ μᾶλλον τοῖς ὑπ' αὐτοὺς τεταγμένοις κληρικοῖς πενομένοις; Καὶ ὁ μὴ τοῦτο ποιῶν, ἀφορίζεται· μένων δὲ ἀδιόρθωτος, καὶ καθαιρεῖται· ὅτι ὅσον τὸ ἐπ' αὐτῷ, γέγονε τοῦ ἀδελφοῦ φονευτής· ὁ γὰρ μὴ εὐπορῶν τῶν συστατικῶν τῆς ζωῆς θανεῖται, ὁ δὲ εὐπορῶν, καὶ μὴ τούτου κηδόμενος, πάντως φονεὺς πέφυκε (4)· τί γάρ, εἰ μὴ ἐκεῖνος ἀπέθανεν, ἄλλοθεν αὐτῷ τῆς θείας προνοίας χορηγησάσης τὰ ζωαρκῆ;

---

(1) Χ. Τρ. — ἀνωτέρω Βευερ. Ἐ. — (2) Τὰ ἀπὸ τοῦ, οἱ πρεσβύτεροι οὐχ εὕρηται ἐν Χ. Τρ. οὐδὲ παρ' Ἑ. — (3) Χ. Τρ. Ἑ. Κ. Βρ. Π. — ἢ διάκονος Βευερ. — (4) ὁ δὲ εὐπορῶν . . . πέφυκεν, οὐχ εὕρηται παρὰ Κ. οὐδ' ἐν Χ. Τρ.

ΒΑΛΣ. Ἐμάθομεν, ὅτι ὁ ἐπίσκοπος ὀφείλει μετὰ τὴν ἀναγκαίαν αὐτοῦ δαπάνην, καὶ τὴν τῆς ἐκκλησίας, καὶ τῶν κληρικῶν συνήθη οἰκονομίαν, τὰ περιττεύοντα ἐκ τῶν εἰσόδων τῆς ἐκκλησίας, διαδιδόναι πρὸς πένητας· πτωχικὰ γὰρ καλοῦνται· ἀρτίως δὲ διορίζεται ὁ κανὼν φροντίζειν τοὺς ἐπισκόπους, καὶ τοὺς πρεσβυτέρους, τοῦ ἐπιχορηγεῖν τοῖς ἐνδεέσι κληρικοῖς τὰ χρειώδη, καὶ τοὺς μὴ ποιοῦντας οὕτως, ἀφορίζει· ἐπιμένοντας, δὲ καθαιρεῖ, ὡς αἰτίους γενομένους τοῦ θανάτου τῶν ἀδελφῶν. Μὴ εἴπῃς δὲ, τίνος χάριν τοὺς πρεσβυτέρους ὁ κανὼν κολάζει τὰ οἰκεῖα πράγματα μὴ διανέμοντας πρὸς ἐνδεεῖς κληρικούς. Θεμάτισον γὰρ ἐγκρατῆ τὸν πρεσβύτερον εἶναι πραγμάτων ἐκκλησιαστικῶν, τυχὸν χωρεπίσκοπον προβληθέντα, ἢ πρωτοπαπᾶν, κἀντεῦθεν εὐπορήσαντα, καὶ ἀνάγκην ἔχοντα τοὺς πενομένους χειραγωγεῖν, πολλῷ δὲ μᾶλλον τοὺς πένητας κληρικούς· εἰ δὲ μὴ τοῦτο εἴπῃς, οὐ συνορῶ ποίῳ τρόπῳ ἀφορισθήσεται, ἢ καθαιρεθήσεται πρεσβύτερος, μὴ διδοὺς οἴκοθεν τὰ χρειώδη τῷ πενομένῳ συγκληρικῷ αὐτοῦ. Τὸ δὲ φονεῦσαι τὸν ἀδελφὸν, μὴ εἴπῃς καὶ εἰς ἔργον ἐλθεῖν· κἂν γὰρ μὴ ἀπέθανε, γέγονε τοῦτο, ὅσον ἐπὶ τῇ τοῦ ἐπισκόπου, ἢ τοῦ πρεσβυτέρου προθέσει.

ΑΡΙΣΤ. Ἐπιδὴ κληρικὸν οὐκ εὐεργετῶν ἱερεὺς, ἀφορίζεται· καθαιρεῖται δὲ, μένων ἀνίλεως. Σαφής.

Κανὼν Ξ'.

Εἴ τις τὰ ψευδεπίγραφα τῶν ἀσεβῶν βιβλία, ὡς ἅγια ἐπὶ τῆς ἐκκλησίας δημοσιεύοι, ἐπὶ λύμῃ τοῦ λαοῦ, καὶ τοῦ κλήρου, καθαιρείσθω.

ΖΩΝΑΡ. Πολλὰ βιβλία παρὰ τῶν ἀσεβῶν ἐνοθεύθησαν εἰς βλάβην τῶν ἁπλουστέρων· ὥσπερ καὶ αἱ διὰ τοῦ ἁγίου Κλήμεντος γραφεῖσαι τοῖς ἐπισκόποις ἀποστολικαὶ Διαταγαὶ, αἳ διὰ τοῦτο καὶ συνοδικῶς ἀπεβλήθησαν. Τινὰ δὲ καὶ διόλου παρ' ἐκείνων συντέθεινται, ψευδεῖς ἐπιγραφὰς ἔχοντα, ὡς παρὰ πατέρων ἁγίων συγγεγραμμένα(1)· τὰ δὲ, καὶ ἀπόκρυφα καλούμενα· ταῦτα

(1) Χ. Τρ. Ε. — συγγεγραφότα Βευερ. — Χ. Τρ. Κ.

τοίνυν ἀπόβλητα εἶναι κελεύει ὁ κανών, καὶ εἰς ἀνάγνωσιν μὴ προτίθεσθαι. Εἰ δέ τις δημοσίᾳ ταῦτα προάγει (1), καὶ ἐπ' ἐκκλησίας ἀναγινώσκειν πειρᾶται, τοῦτον ἱερωμένον ὄντα, καθαιρέσεως ἀξιοῖ. Τὰ δὲ ἀναγινώσκεσθαι ὀφείλοντα βιβλία τῆς τε Παλαιᾶς, καὶ τῆς Νέας Γραφῆς ἀπηρίθμηται ἀκριβῶς, πρότερον μὲν ἐν τῷ τελευταίῳ κανόνι τῶν ἀποστολικῶν τούτων διατάξεων· εἶτα καὶ τῷ μεγάλῳ Ἀθανασίῳ, καὶ τῷ μεγάλῳ καὶ σοφωτάτῳ πατρὶ Γρηγορίῳ τῷ Θεολόγῳ, καὶ τῷ ἁγίῳ Ἀμφιλοχίῳ, καὶ ἀμφοτέροις τούτοις ἐμμέτρως, καὶ τῇ ἐν Καρθαγένῃ συνόδῳ. Ἡ δὲ λεγομένη ἕκτη σύνοδος, ἡ ἐν τῷ Τρούλλῳ ἐν τῷ ξγ'. κανόνι αὐτῆς, καὶ τοῦτό φησι· Τὰ ψευδῶς ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν συμπλασθέντα μαρτυρολόγια, ὡς ἂν τοὺς τοῦ Χριστοῦ μάρτυρας ἀτιμάζοιεν, καὶ πρὸς ἀπιστίαν ἐνάγοιεν τοὺς ἀκούοντας, μὴ δημοσιευέσθωσαν, ἀλλὰ πυρὶ παραδιδόσθωσαν· τοὺς δὲ παραδεχομένους, ἢ ὡς ἀληθέσι τούτοις προσέχοντας (2), ἀναθεματίζομεν.

ΒΑΛΣ. Ἀκολούθως τῷ παρόντι ἀποστολικῷ κανόνι καὶ ἕτεροι κανόνες διορίζονται μὴ ἀναγινώσκεσθαι τὰ τῶν ἀσεβῶν βιβλία, ἀλλὰ πυρὶ παραδίδοσθαι. Καὶ ζήτει τίτ. ιβ'. τοῦ παρόντος συντάγματος, κεφάλαιον γ'. καὶ τὰ ἐν αὐτῷ. Ἐπεὶ δέ τινες ἐνόθευσαν εὐσεβῆ συγγράμματα, ἢ καὶ ὀρθοδόξων ὀνόματα ἐν ὕφει ἑτεροδόξῳ τεθείκασιν, ὡς ὁ αἱρετικὸς ἐκεῖνος Πάμφιλος ἐποίησε, θεολογικὰ ἔπη χρυσᾶ, τὰς αἱρετικὰς φληναφείας τοῦ Χρυσομάλλου κατονομάσας, καὶ οὕτω τοὺς ἁπλουστέρους πλανήσας, διορίζεται ὁ κανὼν καθαιρεῖσθαι τὸν τοιαῦτα τελοῦντα ἱερωμένον ἐπὶ λύμῃ τοῦ λαοῦ. Ζήτει καὶ τὸν τελευταῖον ἀποστολικὸν κανόνα, τοὺς ἡρωϊκοὺς στίχους τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, καὶ τῆς ἐν τῷ Τρούλλῳ συνόδου κανόνα ξγ'. καὶ μάθῃς ποῖα βιβλία ὀφείλουσιν ὑπὸ τῶν ὀρθοδόξων ἀναγινώσκεσθαι (3).

ΑΡΙΣΤ. Ὁ ἀσεβοῦς βίβλον ἐκκλησιάζων, καθαιρεῖται.

---

(1) προσάγει Βευερ. — (2) Χ. Τρ. Κ. — προσανέχοντας Βευερ. — (3) Χ. Τρ. Ἑ. — παρὰ δὲ Βευερ. ἀναγινώσκεται ἐν τέλει τῆς παρούσης ἑρμηνείας, ὁ ἅγιος Ἀμφιλόχιος, ὁ ἅγιος Ἀθανάσιος, καὶ ἡ ἐν Καρθαγένῃ σύνοδος.

Ὁ ἐπ' ἐκκλησίας ἀναγινώσκων τὰ τῶν ἀσεβῶν βιβλία ὡς ἅγια, καθαιρείσθω.

Κανὼν ΞΑ'.

Εἴ τις κατηγορία γένηται κατὰ πιστοῦ, πορνείας, ἢ μοιχείας, ἢ ἄλλης τινὸς ἀπηγορευμένης πράξεως, καὶ ἐλεγχθείη, εἰς κλῆρον μὴ προαγέσθω (1).

ΖΩΝΑΡ. Ὁ ἁλοὺς ἐπὶ μοιχείᾳ, ἢ πορνείᾳ, ἢ ἄλλῳ τινὶ ἀτοπήματι, οὐ μόνον ἱερωσύνης κωλύεται, ἀλλ' οὐδὲ εἰς κλῆρον ὅλως προάγεται. Εἰς κατηγορίαν δὲ ἐπισκόπων, καὶ κληρικῶν, οὔτε αἱρετικοὶ (2) οἱοιδήτινες δεκτοὶ ἔσονται, οὔτε μὴν σχισματικοὶ παρασυνάγοντες(3), οὔτε οἱ διὰ αἰτιάματα ἀπόβλητοι γεγονότες τῆς ἐκκλησίας, ἢ ἀκοινώνητοι, εἰ μὴ πρότερον τὰς αἰτίας τὰς κατ' αὐτῶν ἀποτρίψονται, κἂν κληρικοὶ ὦσι, κἂν λαϊκοί· ἀλλ' οὐδὲ οἱ ὑπὸ κατηγορίαν ὄντες, πρὶν ἂν ἀθῷοι τῶν ἐγκλημάτων φανῶσι, κατὰ τὸν ἕκτον κανόνα τῆς δευτέρας οἰκουμενικῆς συνόδου τῆς ἐν Κωνσταντινουπόλει.

ΒΑΛΣ. Ὁ ἐπὶ πορνείᾳ, ἢ μοιχείᾳ, ἢ ἄλλῃ τινὶ ἀπηγορευμένῃ πράξει κατηγορηθεὶς, καὶ ἐλεγχθεὶς, ἤτοι καταδικασθεὶς, κληρικὸς οὐ γίνεται· καὶ σημείωσαι τοῦτο διὰ τοὺς λέγοντας ἀπὸ μόνου τοῦ κατηγορηθῆναι τὴν τῶν κατηγορηθέντων ἐμποδίζεσθαι χειροτονίαν. Ἰδοὺ γάρ φησιν ὁ κανὼν, ὅτι οἱ ἐλεγχθέντες οὐ κληρωθήσονται· οὐ μὴν οἱ μόνον κατηγορηθέντες.

ΑΡΙΣΤ. Πιστὸς ἐλεγχθεὶς ἐπὶ μοιχείᾳ, ἢ πορνείᾳ, ἢ ἄλλοις ἐγκλήμασιν, ἄκληρος.

Ὁ κατηγορηθεὶς πιστὸς ἐπὶ μοιχείᾳ, πορνείᾳ, ἢ ἄλλῃ τινὶ ἀπηγορευμένῃ πράξει, καὶ ἐλεγχθεὶς, εἰς κλῆρον οὐ παραδέχεται. Εἰ δὲ ἄπιστος ὤν τις, καὶ ἁμαρτήσας τι τῶν ἀπηριθμημένων, εἶτα βαπτισθῇ, καὶ μετὰ τὸ βάπτισμα διατηρήσῃ τὸν βίον αὐτοῦ ἀνεπίληπτον, ἀκωλύτως καὶ εἰς κλῆρον προσάγεται.

---

(1) Χ. Τρ. Π. — μὴ προσαγέσθω Βευερ. μὴ ἀγέσθω Βρ. — (2) Χ. Τρ. Βευερ.— κληρικοὶ Κ. — (3) Βευερ. — σχισματικοί, καὶ παρασυνάγοντες Χ. Τρ. Κ.

Κανὼν ΞΒ'.

Εἴ τις κληρικὸς διὰ φόβον ἀνθρώπινον, Ἰουδαίου, ἢ Ἕλληνος, ἢ αἱρετικοῦ, ἀρνήσεται, εἰ μὲν τὸ ὄνομα τοῦ Χριστοῦ, ἀποβαλλέσθω· εἰ δὲ (1) τὸ ὄνομα τοῦ κληρικοῦ, καθαιρείσθω· μετανοήσας δὲ, ὡς λαϊκὸς δεχθήτω.

ΖΩΝΑΡ. Τοὺς διὰ φόβον κολάσεως ἀρνησαμένους τὸ ὄνομα τοῦ Χριστοῦ, ἀποβλήτους ὁ κανὼν οὗτος πάντη τῆς ἐκκλησίας ποιεῖται. Τοὺς δὲ τὸ τοῦ κληρικοῦ ὄνομα ἀπαρνησαμένους, καθαιρεισθαι κελεύει, μετανοοῦντας δὲ, ὡς λαϊκοὺς δέχεσθαι. Ἡ δὲ ἐν Ἀγκύρᾳ σύνοδος τοὺς μετ' ἀληθείας, ἀλλ' οὐ μετ' ἐπιτηδεύσεως, καὶ κατασκευῆς ὑποκριθέντας φοβηθῆναι τὰς βασάνους, καὶ θύσαντας, πρεσβυτέρους, καὶ διακόνους, τῆς τιμῆς μὲν μετέχειν καὶ τῆς καθέδρας ὁρίζει, ἐνεργεῖν δέ τι ἱερατικὸν, οὐ παραχωρεῖ.

ΒΑΛΣ. Εἰ καὶ ὁ πολιτικὸς νόμος συγγνώμης ἀξιοῖ τὸν διὰ φόβον, ἢ βίαν, καταθέμενον ποιῆσαι τόδε τι, ἀλλ' ὁ τῆς ἐκκλησίας νόμος, ὁμολογητὰς τῆς πίστεως θέλει, πάντας εἶναι τοὺς ὀρθοδόξους. Ὁ γοῦν διὰ φόβον κολάσεως ἀρνησάμενος (2) κληρικὸς τὸ ὄνομα τοῦ Χριστοῦ, οὐ μόνον καθαιρεθήσεται, ἀλλὰ καὶ, ὡς σεσηπὸς μέλος, ἐκ τοῦ καλοῦ τῆς ἐκκλησίας σώματος ἐκκοπήσεται. Εἰ δὲ ἀρνήσεται κληρικὸς εἶναι, καθαιρεθήσεται· πλὴν καὶ ἐπ' ἀμφοτέροις ὁ μετανοήσας καθαρῶς, δεχθήσεται ὡς λαϊκός. Σημείωσαι δὲ ἀπὸ τούτου, ὅτι οἱ σφραγίδα (3) ἐπικουρίδος λαβόντες, κἀντεῦθεν εἰς τὸ τάγμα (4) τῶν ἀναγνωστῶν καταστάντες, ἐὰν ῥίψωσι τὰ ἱερὰ ἄμφια, καὶ κατὰ λαϊκοὺς ἀναστραφῶσιν, οὐ δύνανται ὡς ἀναγνῶσται ἐνεργεῖν τὸ ὁτιοῦν, ἐὰν πάλιν μετασχηματισθῶσι κατὰ κληρικοὺς, ἢ καὶ μοναχοὶ γένωνται, ἀλλὰ λαϊκῶν ἀνύσουσι διαγωγήν. Εἰ γὰρ ὁ κατὰ φόβον ἀρνησάμενος τὴν κλήρωσιν αὐτοῦ καθαιρεῖται, καὶ ὡς λαϊκὸς μόνον δέχεται μετὰ ἐπίγνωσιν, πολλῷ μᾶλλον ὁ ἑκοντὶ τὴν τοιαύτην ἄρνησιν πεποιηκὼς, καὶ παίξας τὸ ἅγιον σχῆμα, οὐκ ἀξιωθήσεται τῆς προτέρας κληρώσεως.

---

(1) καὶ τὸ ὄνομα Βρ. — (2) εἰ γοῦν διὰ φόβον κολάσεως ἀρνήσηταί τις κληρικὸς Χ. Τρ. — (3) σφραγίδας Χ. Τρ. — (4) καὶ εἰς τὰ πράγματα Χ. Τρ.

ΑΡΙΣΤ. Ὁ ἀρνησίχριστος, καὶ ἀπόβλητος· ὁ δὲ τὸν κλῆρον ἀθετήσας, ἐπιστρέφων, κατὰ λαϊκὸν προσιτός.

Ὁ διὰ φόβον ἀνθρώπινον τὸν Χριστὸν ἀρνησάμενος, ἀπόβλητος· ὁ δὲ μὴ τὸν Χριστὸν, ἀλλὰ τὸ ὄνομα τοῦ κληρικοῦ ἀρνησάμενος, κληρικὸς ὤν, καθαιρεῖται· μετανοῶν δὲ, ὡς λαϊκὸς παραδέχεται.

Κανὼν ΞΓ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, φάγῃ κρέα ἐν αἵματι ψυχῆς αὐτοῦ, ἢ θηριάλωτον, ἢ θνησιμαῖον, καθαιρείσθω· τοῦτο γὰρ ὁ νόμος ἀπεῖπεν (1)· εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω.

ΖΩΝΑΡ. Τοῦτο καὶ ἐν τῇ βίβλῳ τῆς Γενέσεως ἀπηγόρευται· ὁ γὰρ Θεὸς τοῖς ἀνθρώποις μετὰ τὸν κατακλυσμὸν πάντα ἐσθίειν ὡς λάχανα ἐπιτρέψας, ἐπήγαγε· Πλὴν κρέα ἐν αἵματι ψυχῆς οὐ φάγεσθε· οἷά εἰσι τὰ παρά τινων ἐσθιόμενα πνικτά. Τοῖς γὰρ ζώοις ἀντὶ ψυχῆς, τὸ αἷμά ἐστιν· ἀλλ' οὐδὲ θηριάλωτον, ἢ θνησιμαῖον ἐσθίειν ἔξεστιν.

ΒΑΛΣ. Τὸ, οὐ φάγῃ (2) κρέα ἐν αἵματι ψυχῆς αὐτοῦ, ἐν τῇ βίβλῳ τῆς Γενέσεως νενομοθέτηται. Ταῦτα δέ εἰσι τὰ πνικτά· ἀλλ' οὐδὲ θηριάλωτον, ἢ θνησιμαῖον ἐσθίειν ἔξεστιν· ὁ δὲ παρὰ ταῦτα ποιῶν, εἰ μέν ἐστι κληρικὸς, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. Τὰ δὲ ὑπὸ ὀρνέων θηρευτικῶν (3), ἢ κυνῶν, ἢ παρδάλεων θηρευόμενα καὶ πνιγόμενα, πῶς παρά τινων ἐσθίονται, ἀγνοῶ. Σημείωσαι οὖν τὸν κανόνα, διὰ τοὺς Λατίνους τοὺς (4) τὰ πνικτὰ ἀδιαφόρως ἐσθίοντας.

ΑΡΙΣΤ. Γευόμενος θύτης πνικτοῦ, ἢ θηριαλώτου, ἢ θνησιμαίου, καθαιρεῖται· ὁ δὲ λαϊκὸς, ἀφορίζεται.

Κανὼν ΞΔ'.

Εἴ τις κληρικὸς, ἢ λαϊκὸς, εἰσέλθῃ εἰς συναγωγὴν Ἰου-

(1) Γενέσ. Θ', 4. Πράξ. ΙΕ', 29. — (2) τὸ, οὐ φάγετε Χ. Τρ. — (3) Χ. Τρ. — θηρευτῶν Βευερ. — (4) τὸ, τοὺς, οὐχ εὕρηται παρὰ Βευερ. — διὰ τοὺς Λατίνους ἀδιαφόρως τὰ πνικτὰ ἐσθίοντας Ε.

δαίων, ἢ αἱρετικῶν, προσεύξασθαι (1), καὶ καθαιρείσθω, καὶ ἀφοριζέσθω (2). —

ΖΩΝΑΡ. Μέγα ἁμάρτημα ὁ κανὼν ἡγεῖται, τὸ Χριστιανὸν εἰς Ἰουδαίων συναγωγὴν, ἢ αἱρετικῶν, χάριν προσευχῆς, εἰσιέναι. Τίς γὰρ συμφώνησις Χριστῷ πρὸς βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου, κατὰ τὸν μέγαν Ἀπόστολον; Ἡ μὲν (3) γὰρ τῶν Ἰουδαίων συναγωγὴ, οὐδ' αὐτοῖς ἐκείνοις εἰς θυσίαν ἀρκοῦσά ἐςιν· ἀπηγόρευται γὰρ αὐτοῖς ἔξω τῆς Ἱερουσαλὴμ θυσίαν προσάγειν· εἰ δ' ἐκεῖνοι εἰς τὰς συναγωγὰς αὐτῶν εἰσιόντες παρανομοῦσι, πολλῷ πλέον Χριστιανὸς τοῖς τοῦ Χριστοῦ (4) ἀναιρέταις συνευχόμενος, κριθείη παρανομῶν; Ἡ δὲ τῶν αἱρετικῶν σύναξις ἐναντία τοῖς ὀρθοδόξοις πρεσβευόντων, κἀκείνη ὀρθοδόξοις οὐ τιμητέα (5), μᾶλλον μὲν οὖν καὶ ἀποβλητέα. Τινὲς μὲν οὖν ὡς μεγάλα ἁμαρτάνοντας, τοὺς εἰσιόντας εἰς τὰς τοιαύτας συναγωγὰς δι' εὐχὴν, διπλῇ, φασὶ, τιμωρίᾳ τὸν κανόνα τοῦτον ὑπάγειν, καθαιρέσει, δηλαδὴ, καὶ ἀφορισμῷ. Ἄλλοι δὲ μερίζειν λέγουσι τὸν κανόνα τὰς τιμωρίας πρὸς κληρικούς τε, καὶ λαϊκούς· καὶ τὴν μὲν καθαίρεσιν κατὰ τῶν ἱερωμένων ψηφίζεσθαι, κατὰ δέ γε τῶν λαϊκῶν, τὸν ἀφορισμόν. Καὶ ὁ χρυσοῦς δὲ τὴν γλῶτταν Ἰωάννης, ἐν τοῖς κατὰ Ἰουδαίων λόγοις πάνυ καθάπτεται τῶν Ἀντιοχέων, ὡς συνεορταζόντων τοῖς Ἰουδαίοις. Ὁ δὲ ιά. τῆς ἐν τῷ Τρούλλῳ συνόδου κανὼν, πᾶσιν ἀπαγορεύει τὸ ἐσθίειν τὰ παρὰ Ἰουδαίοις ἄζυμα, καὶ τὸ τούτοις προσοικειοῦσθαι, ἢ ἐν νόσοις αὐτοὺς προσκαλεῖσθαι, καὶ ἰατρείας παρ' αὐτῶν λαμβάνειν, ἢ συλλούεσθαι αὐτοῖς· καὶ τοὺς μὴ φυλάσσοντας τὸν κανόνα ἱερωμένους μὲν, καθαιρεῖ, λαϊκοὺς δὲ, ἀφορίζει.

ΒΑΛΣ. Ἐν μὲν τῷ με'. ἀποστολικῷ κανόνι ἡρμηνεύθη παρ' ἡμῶν, ὅπως νοεῖται τὸ συνεύξασθαι μετὰ αἱρετικῶν. Ἐνταῦθα δὲ διορίζεται ὁ κανὼν, τὸν ἐπὶ συναγωγῇ Ἰουδαίων, ἢ αἱρετικῶν, προσευξάμενον, κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι, λαϊκὸν δὲ, ἀφορίζεσθαι· οὕτω γὰρ διαιρετέον τὰ τῆς κολάσεως, ὅτι μηδὲ πέ-

---

(1) συνεύξασθαι Βρ. — (2) Ὁ κανὼν οὗτος ἐν Πηδ. φέρει ἀρ. ξέ. ὁ δὲ ἐνταῦθα ξς'. ἐστιν ξδ'. ἐν Πηδ. — (3) Χ. Τρ. Κ. — (4) τοῦ Κυρίου Χ. Τρ. — (5) Χ. Τρ. Κ. — οὐ τιμητέα ὀρθοδόξοις Βευερ.

φυκε καθαιρεῖσθαι τὸν λαϊκόν· εἰ δὲ καὶ καθαιρεῖσθαι, καὶ ἀφορίζεσθαι εἴπῃς τὸν τοιαῦτα ποιοῦντα κληρικὸν, οὐχ ἁμάρτης τοῦ δέοντος. Ἀνάγνωθι καὶ τὸν ια'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, διοριζόμενον πόῤῥω ἀπέχειν τῶν Ἰουδαίων πάντας τοὺς χριστωνύμους, ἱερωμένους δηλαδὴ καὶ λαϊκοὺς, καὶ μηδὲ μέχρι ἰατρείας, ἢ ἄλλης τινὸς αἰτίας, τούτοις συγκοινωνεῖν· ἢ μὴν, τοὺς μὲν καθαιρεῖσθαι, τοὺς δὲ ἀφορίζεσθαι.

ΑΡΙΣΤ. Ὁ Ἰουδαίοις συνευχόμενος, ἀφορίζεται.

Ὁ εἰσελθὼν εἰς συναγωγὴν Ἰουδαίων, ἢ αἱρετικῶν, καὶ προσευξάμενος μετ' αὐτῶν, εἰ μὲν κληρικός ἐστι, καθαιρεῖται, ὡς φρονῶν τὰ τῶν Ἰουδαίων· εἰ δὲ λαϊκὸς, ἀφορίζεται. Ὁ δὲ ἐν οἴκῳ συνευξάμενος μόνον αἱρετικοῖς ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἀφορίζεται κατὰ τὸν μέ. κανόνα.

Κανὼν ΞΕ'.

Εἴ τις κληρικὸς, ἐν μάχῃ τινὰ κρούσας, καὶ (1) ἀπὸ τοῦ ἑνὸς κρούσματος ἀποκτείνῃ(2), καθαιρείσθω διὰ τὴν προπέτειαν αὐτοῦ· ἐὰν δὲ λαϊκὸς ᾖ(3), ἀφοριζέσθω.

ΖΩΝΑΡ. Τοῦ Κυρίου τῷ τύπτοντι τὴν δεξιὰν σιαγόνα, στρέφειν καὶ τὴν ἀριστερὰν κελεύοντος πᾶσι, καὶ μὴ ἀνταμύνεσθαι· ὁ ἐν μάχῃ πλήξας τινὰ κληρικὸς, ἐὰν ὁ πληγεὶς ἀποθάνῃ, κἂν ἐκ μιᾶς πληγῆς, ὡς προπετὴς καθαιρεῖται· λαϊκὸς δὲ τοῦτο ποιήσας, ἀφορίζεται· μάχην δὲ φιλονεικίαν οἰητέον, ἀλλ' οὐχὶ πόλεμον (4).

ΒΑΛΣ. Οἱ τῆς ἱερᾶς ἁγιστείας διακονηταὶ, τοῦ θυμοῦ κρατεῖν ἐκελεύσθησαν, καθὼς δηλοῦται καὶ ἀπὸ τοῦ κζ'. ἀποστολικοῦ κανόνος. Ἐνταῦθα δὲ διορίζεται ὁ κανὼν καθαιρεῖσθαι τὸν ὑπὸ θυμοῦ νικηθέντα κληρικὸν, καὶ διὰ πληγῆς φονεύσαντά τινα ἐν καιρῷ φιλονεικίας. Ὥς τινος δὲ εἰπόντος, μὴ ὀφείλειν τοῦτον καθαιρεῖσθαι, ἐὰν ἀπὸ κρούσματος ἑνὸς ἐτελεύτησεν ὁ δεξάμενος τὴν πληγὴν, διὰ τὸ μὴ ἑκούσιον εἶναι τάχα

---

(1) Π. Βρ. — ὁ καὶ οὐ κεῖται παρὰ Βευερ. καὶ Χ. Τρ. — (2) Χ. Τρ. Σ. Ῥ. Κ. — ἀποκτείνας Π. Ἐ. — (3) Π. Ἑ. Μάνσ. ἐν περισελ. — εἴη Βρ. Χ. Τρ. — εἰ δὲ λαϊκὸς Βευερ. — (4) Χ. Τρ. Κ. — ἀλλ' οὐχὶ πλέον Βευερ.

τὸν φόνον, ἐπάγει ὁ κανὼν καθαιρεῖσθαι καὶ τὸν διὰ μιᾶς πληγῆς φονεύσαντα. Διάφοροι δὲ κανόνες τοῦ ἁγίου Βασιλείου, τὸν ὁπωςδήποτε φονεύσαντα κληρικὸν καθαιροῦσιν. Ἀνάγνωθι καὶ βιβλ. ζ'. τίτλ. λθ'. κεφ. α'. θέμα γ'. καὶ κεφ. ε'. θέμα β'. καὶ κεφ. κϛ'. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος· ἐκεῖ γὰρ κατεστρώθησαν οἱ ῥηθέντες νόμοι. Ὡσαύτως ἀνάγνωθι καὶ τοῦ ἁγίου Βασιλείου κανόνα η'. ια'. μγ'. νδ'. νε'. νϛ'. νζ'. καὶ πρόσχες τούτοις μᾶλλον ὅσον τὰ εἰς ψυχήν· τὰ γὰρ ψυχικὰ τραύματα πλέον δέονται θεραπείας ἐκκλησιαστικῆς, ἢ πολιτικῆς.

ΑΡΙΣΤ. Φονεὺς κληρικὸς καθαιρεῖται· λαϊκὸς, ἀφορίζεται.

Κανὼν ΞϚ'.

Εἴ τις κληρικὸς εὑρεθῇ τὴν Κυριακὴν ἡμέραν νηστεύων, ἢ τὸ σάββατον, (πλὴν τοῦ ἑνὸς μόνου), καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΖΩΝΑΡ. Καλὸν μὲν ἡ νηστεία· τὰ δὲ καλὰ καλῶς γινέσθω· εἰ δέ τις θεσμοὺς ἀποστολικοὺς, ἢ πατέρων ἁγίων παραβαίνων, νηστεύει, ἀκούσεται, ὅτι οὐ καλὸν τὸ καλὸν, ὅταν μὴ καλῶς γίνηται. Τοῦ κανόνος τοίνυν ἐν σαββάτῳ, καὶ Κυριακῇ μὴ νηστεύειν θεσπίζοντος, ὁ μὲν κληρικὸς νηστεύων, ὑπὸ καθαίρεσιν γίνεται, ὑπὸ ἀφορισμὸν δὲ ὁ λαϊκός· εἰ μή που δι' ὡρισμένων ἡμερῶν νηστεύοντός τινος, διὰ δέκα, τυχὸν, ἢ ὀκτὼ, δι' ἄσκησιν (ὡς ἤδη προείρηται), συνεισάγονται ταῖς ὡρισμέναις ἡμέραις καὶ σάββατα, καὶ Κυριακαί· ὃ καὶ πολλοὶ τῶν ἁγίων πατέρων πεποιηκότες εὑρίσκονται, καὶ μέχρι τεσσαρακοντάδος ἡμερῶν νηστεύοντες.

ΒΑΛΣ. Τὸ σάββατον οὐ νηστεύομεν, ἵνα μὴ δόξωμεν ἰουδαΐζοντες· τὴν Κυριακὴν πανηγυρίζομεν, διὰ τὴν τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παγκόσμιον χαρὰν καὶ ἀνάστασιν· ὅτι (1) τὸ μὲν, δημιουργίας ἐστὶν ὑπόμνησις, ἡ δὲ, ἀναστάσεως, μᾶλλον δὲ ἀναπλάσεως. Κατὰ μόνον δὲ τὸ μέγα

(1) Χ. Τρ. — καὶ ὅτι Βευερ. — ἅπασα δὲ ἡ φράσις αὕτη ἕως τοῦ, ἀναπλάσεως, οὐχ εὕρηται παρὰ Ε.

σάββατον, καθ' ὃ τὸ Κυριακὸν σῶμα ἐν τῷ τάφῳ ἄπνουν ἔκειτο, νηστεύειν, κατὰ τὴν τοῦ Κυρίου φωνὴν τὴν λέγουσαν· Ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, τότε νηστεύσουσι, προσετάχθημεν. Ὁ γοῦν παρὰ ταῦτα ποιῶν, εἰ μέν ἐστι κληρικὸς, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. Ὑπέξελε μοι τοὺς θείους πατέρας, τοὺς δι' ἄσκησιν ἔστιν ὅτε νηστεύοντας, καὶ κατὰ ταύτας τὰς ἡμέρας· οὗτοι γὰρ οὐ κατακριθήσονται. Ζήτει καὶ τῶν ἁγίων Ἀποστόλων κανόνα να'. καὶ νγ'.

ΑΡΙΣΤ. Κυριακὴν, ἢ σάββατον, ὁ νηστεύων, πλὴν ἑνὸς, ἀποκήρυκτος.

Καθαιρεῖται ὁ, ἐκτὸς τοῦ μεγάλου, σάββατον ἕτερον, ἢ Κυριακὴν, νηστεύων· εἰ δὲ λαϊκός ἐστιν ὁ τοιοῦτος, ἀφορίζεται.

Κανὼν ΞΖ.

Εἴ τις παρθένον ἀμνήστευτον βιασάμενος ἔχοι, ἀφοριζέσθω· μὴ ἐξεῖναι δὲ αὐτῷ ἑτέραν λαμβάνειν, ἀλλ' ἐκείνην κατέχειν (1), ἣν καθῃρετίσατο (2), κἂν πενιχρὰ τυγχάνῃ.

—

ΖΩΝΑΡ. Ὁ παρθένον φθείρας βίᾳ, εἰ μὲν μεμνηστευμένην τινὶ, ὡς μοιχὸς τιμωρεῖται· εἰ δὲ ἀμνήστευτον, παρὰ μὲν τοῦ κανόνος ἔχειν αὐτὴν, καὶ μὴ ἀποπέμπειν ὁρίζεται, κἂν πενιχρὰ εἴη, καὶ ἀναξία ἴσως ἐκείνου· παρὰ δὲ τοῦ πολιτικοῦ νόμου ἄλλως τιμωρεῖται.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν φησιν ἀφορίζεσθαι τὸν βιασάμενον παρθένον, μὴ μνηστευθεῖσαν ἑτέρῳ τινὶ, καὶ ἀναγκάζεσθαι ταύτῃ συνοικεῖν, κἂν πενιχρά ἐστι, κἂν ἀναξία τῷ γένει αὐτοῦ· καὶ μὴ ταύτης ἀποδιΐςασθαι, καὶ λαμβάνειν ἑτέραν· καὶ ὁ μὲν κανὼν ταῦτα ἐθέσπισεν· ὁ γὰρ μεμνηςευμένην βιασάμενος, ὡς μοιχὸς τιμωρεῖται· καὶ ζήτει τὸν ϟγ'. κανόνα τῆς ς'. συνόδου. Περὶ δὲ τοῦ ἔχειν τὸν τὴν βίαν ποιήσαντα, τὴν βιασθεῖσαν, κἂν πενιχρά ἐστι, καὶ μὴ συνάπτεσθαι ἑτέρᾳ, ζητητέον. Ἵνα τί γὰρ

(1) τὸ, κατέχειν οὐχ εὕρηται παρὰ Βρ. — (2) ᾑρετίσατο Χ. Τρ. Βευερ. Μάνσ. ἐν παρισελ. Βρ, — καὶ ᾑρετίσατο Σ. Ῥ. Ἀρδ.

ἐξεχωρήθη ὁ τὴν βίαν πλημμελήσας (1), καὶ ἐφεξῆς ἔχειν τὴν βιασθεῖσαν, καὶ μὴ λαμβάνειν ἑτέραν, καὶ ταῦτα τοῦ νόμου λέγοντος ἐν βιβλ. ξ'. τίτ. λζ'. κεφ. πα'. Ὁ βιαζόμενος κόρην, καὶ φθείρων αὐτὴν, ῥινοκοπείσθω, διδοὺς αὐτῇ καὶ τὸ τρίτον τῆς ὑποστάσεως αὐτοῦ· ἔοικε τοίνυν, ὡς ἀκολούθως τῷ τρίτῳ κεφαλαίῳ τοῦ λζ'. τίτλου τοῦ ξ'. βιβλίου, τῷ διοριζομένῳ, ἀναγκάζεσθαι τὸν μετὰ σώφρονος γυναικὸς παλλακευόμενον, καὶ εἰς γάμου κοινωνίαν λαμβάνειν αὐτὴν, καὶ τὸν παρόντα κανόνα νοεῖσθαι· καὶ διὰ μὲν τὴν βίαν, ἀφορίζεσθαι τὸν ταύτην πλημμελήσαντα· διὰ δὲ τὴν σωτηρίαν τῆς παρθένου, ἀναγκάζεσθαι αὐτὸν νομίμως ταύτῃ συνάπτεσθαι. Ἀνάγνωθι καὶ τοῦ παρόντος συντάγματος τίτ. θ'. κεφ. λ'. καὶ τὰ ἐν αὐτῷ· καὶ βιβλίου τῶν βασιλικῶν ξ'. τίτλον νή. κεφ. γ'. λέγον· Μὴ γαμείσθω ἡ ἁρπαγεῖσα τῷ ἁρπάζοντι αὐτήν· ἀλλὰ καὶ εἰ συναινέσουσι τῷ τοιούτῳ συνοικεσίῳ οἱ γονεῖς αὐτῆς, περιορίζονται· καὶ μὴ ἐναντιωθῇ σοι· ἄλλως γὰρ κολάζεται ὁ ἁρπάσας κόρην, καὶ ἄλλως ὁ κατὰ βίαν φθείρας παρθένον· καὶ ἡ μὲν ἁρπαγὴ διὰ τὴν ἀναίδειαν τοῦ ἁρπάσαντος οὐ συγγινώσκεται, ἡ δὲ κατὰ βίαν γενομένη φθορὰ, ἐὰν ὑπὸ τῆς βιασθείσης καταδέχηται, συγγινώσκεται (2)· Ὁ μέν τοι παρθένῳ συναφθεὶς κατὰ γνώμην ἐκείνης, ἑτεροίως τιμωρεῖται· φησὶ γὰρ ὁ νόμος ἐν βιβλίῳ ξ'. τίτλῳ λζ'. κεφ. π'. Ὁ παρθένῳ κόρῃ μιγνύμενος, ἐκείνης μὲν προαιρέσει, ἀγνοούντων δὲ τῶν γονέων, τῆς πράξεως διαγινωσκομένης, εἰ μὲν θέλει αὐτὴν λαβεῖν εἰς γυναῖκα, καὶ συναινοῦσι καὶ οἱ γονεῖς, γινέσθω τὸ συνάλλαγμα· εἰ δὲ ἓν μέρος τῶν γονέων, τουτέστιν ἑκατέρου προσώπου οὐ θελήσει, εἰ μὲν εὔπορός ἐστιν ὁ φθορεὺς, τῇ φθαρείσῃ κόρῃ διδότω χρυσίου λίτραν μίαν· εἰ δὲ ἐνδεέστερος εἴη, τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ· εἰ δὲ παντελῶς εἴη ἀνεύπορος, τυπτόμενος καὶ κουρευόμενος, ἐξοριζέσθω.

ΑΡΙΣΤ. Ὁ βιασάμενος κόρην, ἀφοριζόμενος κατεχέτω, καὶ ἄπορον αὐτὴν ὑπάρχουσαν.

---

(1) ποιήσας Χ. Τρ. — (2) Ἅπασα ἡ φράσις ἀπὸ τοῦ, ἡ δὲ βίαν . . . συγγινώσκεται οὐχ εὕρηται ἐν Χ. Τρ.

Ὁ βιασάμενος παρθένον ἀμνήστευτον, καὶ συμφθαρεὶς αὐτῇ, ἀφοριζέσθω· μὴ ἐξέστω δὲ αὐτῷ ἑτέραν λαβεῖν, ἀλλ' ἐκείνην κατέχειν, ἣν ᾑρετίσατο, κἂν πενιχρὰ τυγχάνῃ. Ἡ δὲ ὀγδόη διάταξις, ἡ ἐν τῷ πά. κεφαλαίῳ τοῦ λζ'. τίτ. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν κειμένη, προστάττει τὸν τοιοῦτον ῥινοκοπεῖσθαι, καὶ τὸ τρίτον τῆς οὐσίας αὐτοῦ διδόναι τῇ παρ' αὐτοῦ βιασθείσῃ καὶ φθαρείσῃ κόρῃ.

Κανὼν ΞΗ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, δευτέραν χειροτονίαν δέξηται παρά τινος, καθαιρείσθω καὶ αὐτὸς, καὶ ὁ χειροτονήσας· εἰ μήγε ἄρα συσταίη, ὅτι παρὰ αἱρετικῶν ἔχει τὴν χειροτονίαν. Τοὺς γὰρ παρὰ τῶν τοιούτων βαπτισθέντας, ἢ χειροτονηθέντας, οὔτε πιστοὺς, οὔτε κληρικοὺς εἶναι δυνατόν.

—

ΖΩΝΑΡ. Τὸ δίς τινα χειροτονηθῆναι, διαφόρως ἄν τις νοήσῃ. ἢ γὰρ ὡς τοῦ πρότερον αὐτὸν χειροτονήσαντος καταγινώσκων, δευτέραν χειροτονίαν ἐπιζητεῖ· ἢ ὡς παρὰ τοῦ δεύτερον αὐτὸν χειροτονήσαντος, πλειονά τινα χάριν τοῦ πνεύματος οἰόμενος δέξεσθαι, καὶ ἁγιασθήσεσθαι, ὡς πίστιν εἰς ἐκεῖνον ἔχων· ἢ ἀποστὰς τῆς ἱερωσύνης τυχὸν, αὖθις ὡς ἐξ ἄλλης ἀρχῆς χειροτονεῖται, ἢ καὶ δι' ἑτέρας ἴσως αἰτίας· ὡς ἂν δὲ τοῦτο ποιήσῃ, καὶ ὁ δὶς χειροτονηθεὶς, καὶ ὁ χειροτονήσας αὐτὸν, καθαιρέσει ὑπόκεινται· εἰ μή που ἡ προτέρα χειροτονία παρὰ αἱρετικῶν ἐγένετο· οὔτε γὰρ βάπτισμα αἱρετικῶν δύναταί τινα ποιῆσαι Χριστιανὸν, οὔτε χειροτονία τούτων κληρικὸν ἐργάσαιτο ἄν. Τοὺς οὖν παρὰ τῶν αἱρετικῶν χειροτονηθέντας αὖθις χειροτονεῖσθαι, ἀκίνδυνον.

ΒΑΛΣ. Ὁ καθ' οἱονδήτινα τρόπον δὶς χειροτονηθεὶς ἐπὶ τῷ αὐτῷ καὶ ἑνὶ ἱερατικῷ ἀξιώματι, καθαιρεῖται, καὶ οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ ὁ ἐν εἰδήσει τοῦτον χειροτονήσας. Ἐοίκασι γὰρ ἢ τῆς προτέρας χειροτονίας καταγινώσκειν, ἢ μετὰ ἀπόστασιν τῆς προτέρας γίνεσθαι τὴν δευτέραν, ὅπερ τελεσθῆναι ἀδύνατον. Ὁ γὰρ ἅπαξ παραιτησάμενος τὴν δοθεῖσαν αὐτῷ χειροτονίας χάριν,

οὐκέτι δύναται ἱερατικόν τι ἐνεργῆσαι. Ὅτι δὲ ἡ χειροτονία καὶ τὸ βάπτισμα τῶν αἱρετικῶν, οὔτε κληρικοὺς, οὔτε πιστοὺς ποιεῖ, ὡρίσθη ἀκινδύνως χειροτονεῖσθαι, καὶ βαπτίζεσθαι, τοὺς παρὰ τῶν αἱρετικῶν χειροτονηθέντας, ἢ βαπτισθέντας, ὡς τῶν γενομένων παρὰ τούτων, ἀντὶ μηδὲ γενομένων λογιζομένων.

ΑΡΙΣΤ. Ὁ δισχειροτόνητος, μετὰ τοῦ χειροτονοῦντος καθαιρεῖται· εἰ μὴ αἱρετικὴ χεὶρ ἡ προτέρα.

Ὁ δευτέραν χειροτονίαν δεξάμενος ἐπίσκοπος, ἢ πρεσβύτερος, ὡς δοκῶν τὴν πρώτην βδελύσσεσθαι, μετὰ τοῦ χειροτονοῦντος καθαιρεῖται, εἰ μὴ παρ᾽ αἱρετικοῦ ἡ προτέρα γέγονε.

Κανὼν ΞΘ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὑποδιάκονος (1), ἢ ἀναγνώστης, ἢ ψάλτης, τὴν ἁγίαν Τεσσαρακοστὴν τοῦ Πάσχα (2) οὐ νηστεύει, ἢ τετράδα, ἢ παρασκευὴν, καθαιρείσθω· ἐκτὸς εἰ μὴ δι᾽ ἀσθένειαν σωματικὴν ἐμποδίζοιτο· εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω.

ΖΩΝΑΡ. Ἐκ παντὸς τρόπου ὁ κανὼν ἀπαιτεῖ τοὺς πιστοὺς τὴν ἁγίαν Τεσσαρακοστὴν τοῦ Πάσχα, καὶ τετράδα, καὶ παρασκευὴν ἑκάστης τῶν ἄλλων ἑβδομάδων ἐν νηστείᾳ διάγειν, εἰ μή τις διὰ σωματικὴν ἀσθένειαν νηστεύειν οὐ δύναται. Ἡ γὰρ νηστεία διὰ ταπείνωσιν ἐπινενόηται τῆς σαρκός· εἰ δ᾽ ἐκ νόσου, ἢ ἀσθενείας ἄλλης τινὸς καταπονοῖτο ἡ σὰρξ, ἡ ἐκ τῆς νηστείας ταπείνωσις ἐκείνη οὐκ ἀναγκαία. Τοὺς δὲ μὴ τὸν κανόνα τοῦτον φυλάττοντας, ἱερωμένους μὲν, καθαιρεῖσθαι προστάττει ὁ κανὼν, λαϊκοὺς δὲ, ἀφορίζεσθαι. Σημειωτέον οὖν, ὅτι ἐν ἴσῃ τάξει τίθησιν ὁ κανὼν τήν τε ἁγίαν Τεσσαρακοστὴν τοῦ Πάσχα, καὶ τετράδα, καὶ παρασκευήν.

ΒΑΛΣ. Ἡ τεσσαρακονθήμερος νηστεία τοῦ Πάσχα, πρῶτον μὲν παρεδόθη ὑπὸ τοῦ Κυρίου, νηστεύσαντος ἐπὶ τοσαυταρίθμοις ἡμέραις· εἶτα καὶ διὰ τοῦ παρόντος κανόνος ὑπὸ τῶν ἁγίων

---

(1) Π. Ε. Μανσ. ἐν περισελ.—οὐχ εὕρηται ἐν Χ. Τρ. Κ. καὶ Βευερ. — (2) Χ. Τρ. Βευερ. Βρ. Κ. Σ. Ρ. — τοῦ Πάσχα οὐ κεῖται ἐν Πηδ.

Ἀποστόλων· φησὶ γάρ, εἴ τις πιστὸς οὐ νηστεύει κατὰ τὴν ἁγίαν Τεσσαρακοστὴν τοῦ Πάσχα, καὶ κατὰ πᾶσαν τετράδα καὶ παρασκευήν, (καὶ ἐν ταύταις γὰρ παρομοίως τῇ ἁγίᾳ Τεσσαρακοστῇ ξηροφαγεῖν ὡρίσθημεν) (1), εἰ μέν ἐστι κληρικός, καθαιρείσθω· εἰ δὲ λαϊκός, ἀφοριζέσθω. Ὑπέξελέ μοι τοὺς νοσοῦντας· οὗτοι γὰρ καταλύοντες δι' ἰχθύων, συγγνωσθήσονται· διὰ κρέατος γὰρ οὐ καταλύσει τις, καθ' οἱανδήποτε τετράδα καὶ παρασκευήν, ἄνευ τῶν πασχαλίων *καὶ τῶν ἄλλων ἐκκεχωρημένων* (2), κἂν τὰ λοίσθια πνέῃ. Ὑπέξελέ μοι (3) δὲ τὰς τετράδας καὶ τὰς παρασκευὰς τῆς πρὸ τῆς Ἀποκρέω, τῆς Τυροφάγου, καὶ τῆς ἑβδομάδος τῆς Διακαινησίμου. Ἐν ταύταις γὰρ καταλύομεν, ὅτι νηστεύουσιν οἱ Ἀρμένιοι διὰ τοὺς Νινευΐτας κατὰ τὴν προαπόκρεων· καὶ κατὰ τὴν Τυροφάγον οἱ αἱρετικοὶ οἱ Τετραδῖται μεγάλην νηστείαν παρατηροῦσιν. Ἡ δὲ τῆς Διακαινησίμου ἑβδομὰς ὡς αὐτὴ ἡ μεγάλη Κυριακὴ λογίζεται· διὰ γὰρ τοῦτο καὶ ἑωθινὰ ἀναστάσιμα εὐαγγέλια καθημέραν ἀναγινώσκονται. Ὡσαύτως ὑπέξελέ μοι καὶ ἀπὸ τῆς τεσσαρακονθημέρου τὰ σάββατα, καὶ τὰς κυριακάς· καταλύομεν γὰρ ὁμοίως καὶ εἰς ταύτας, κατὰ τὸν ξς'. ἀποστολικὸν κανόνα. Κατάλυσιν δὲ ἀκούων, μὴ εἴπῃς τὴν διὰ κρέατος· δι' ἀσθένειαν γὰρ σωματικὴν οὐ παραχωρηθήσεταί τις, κἂν τὰ λοίσθια πνέῃ, κρεωφαγῆσαι τὴν μεγάλην Τεσσαρακοστήν. Εἴδομεν δὲ τοῦτο κατὰ διαφόρους καιροὺς συνοδικῶς ζητηθῆναι, καὶ μὴ παραχωρηθῆναι.

Σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι κυρίως μία ἐστὶ νηστεία, ἡ τεσσαρακονθήμερος, ἡ τοῦ Πάσχα· εἰ γὰρ ἦσαν καὶ ἄλλαι, ἐμνήσθη ἂν καὶ τούτων ὁ κανών. Πλὴν καὶ κατὰ τὰς

(1) Ἄνευ ὧν εἰρήκαμεν τὰς πρὸ τῆς ἀποκρέω, ἐν αἷς νηστεύουσιν οἱ Ἀρμένιοι, καὶ τὰς τῆς Τυροφάγου, καὶ τῆς Διακαινησίμου· Βευερ. — ἡ φράσις αὕτη εὕρηται κατωτέρω ἐν Χ. Τρ. οὗ τὴν γραφὴν ἠκολουθήσαμεν. — (2) Χ. Τρ. — παρὰ δὲ Βευερ. οὕτως· ἄνευ ὧν εἰρήκαμεν ἔμπροσθεν. — (3) Τὸ μέρος τοῦτο τῆς παρούσης ἑρμηνείας τοῦ Βαλσαμῶνος εὕρηται παρὰ Βευερ. ἐν ἀρχῇ οὕτως· Ὑπέξελε τὴν τετράδα καὶ τὴν παρασκευὴν τὰς πρὸ τῆς Ἀποκρέω, ἐν αἷς νηστεύουσιν οἱ Ἀρμένιοι διὰ τοὺς Νινευΐτας, καὶ τὰς τῆς Τυροφάγου διὰ τοὺς Τετραδίτας, καὶ τὰς τῆς Διακαινησίμου· πᾶσα γὰρ ἡ ἑβδομὰς αὕτη ὡς ἡ μεγάλη Κυριακὴ λογίζεται. Τὰ δὲ ἀπὸ τοῦ, διὰ γὰρ τοῦτο καὶ ἑωθινά. . . οὐ κεῖνται ἐν Βευερ. ἀλλὰ μόνον ἐν Χ. Τρ.

ἄλλας νηςίμους, ἤγουν τῶν ἁγίων Ἀποςόλων, καὶ τῆς κοιμήσεως τῆς ἁγίας Θεοτόκου, καὶ τῆς γεννήσεως τοῦ Χριστοῦ, νηστεύοντες, οὐκ αἰσχυνθησόμεθα. Ἀνάγνωθι καὶ τὰ παρ᾽ ἡμῶν γραφέντα εἰς τὴν τρίτην ἐρώτησιν τῶν γενομένων συνοδικῶν ἀποκρίσεων, ἐπὶ τῶν ἡμερῶν τοῦ πατριάρχου Κυρίου Νικολάου.

ΑΡΙΣΤ. Τὸν μὴ νηστεύοντα τὴν Τεσσαρακοστὴν, ἢ τετράδα, καὶ παρασκευὴν, κληρικὸν, καθαιρήσεις· τὸν δὲ λαϊκὸν ἀφορίσεις· εἰ μὴ δι᾽ ἀσθένειαν ἐμποδίζωνται. Σαφής.

Κανὼν Ο'.

Εἴτις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τῶν κληρικῶν, νηστεύοι μετὰ Ἰουδαίων, ἢ ἑορτάζοι (1) μετ᾽ αὐτῶν, ἢ δέχοιτο παρ᾽ αὐτῶν τὰ τῆς ἑορτῆς ξένια, οἷον ἄζυμα, ἤ τι τοιοῦτον, καθαιρείσθω· εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω.

ΖΩΝΑΡ. Εἰ ὁ ἀκοινωνήτῳ συνευξάμενος, ἢ καθῃρημένῳ, κατὰ (2) τοὺς ἤδη γεγραμμένους κανόνας, ὑπὸ ἐπιτίμιόν ἐστιν, ὁ μετὰ Ἰουδαίων ἑορτάζων, ἢ συννηστεύων αὐτοῖς, ἢ μερίδας τινὰς ἑορτῆς αὐτῶν ἐξ ἐκείνων δεχόμενος, (ἀνθρώπων οὐκ ἀφωρισμένων, οὐδὲ ἀκοινωνήτων, ἀλλὰ χριστοκτόνων, καὶ πόῤῥω τῆς τῶν πιστῶν ὁμηγύρεως, ἢ μᾶλλον καταράτων), πῶς οὐκ ἂν εἴη ἄξιος, ἱερωμένος ὢν, καθαιρέσεως, ἢ λαϊκὸς ὢν, ἀφορισμοῦ; Κἂν γὰρ μὴ τὰ ἐκείνων φρονῇ, ἀλλάγε πολλοῖς σκανδάλου δίδωσιν ἀφορμὴν, καὶ ὑπόνοιαν καθ᾽ ἑαυτοῦ, ὡς τὰς Ἰουδαϊκὰς τιμῶν τελετάς· ἅμα δὲ καὶ μιαίνεσθαι πιστεύεται τῇ ἐκείνων συναναστροφῇ· πρὸς οὓς ὁ Θεὸς διὰ τοῦ προφήτου, καὶ πρὸ τῆς χριστοκτονίας εὑρίσκεται εἰρηκώς. Νηστείαν, καὶ ἀργίαν, καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου (3). Καὶ ὁ κθ'. τῆς ἐν Λαοδικείᾳ συνόδου κανὼν, χριστιανὸν ἐν σαββάτῳ μὴ σχολάζειν ὁρίζει· οἱ δὲ Ἰουδαϊσταὶ, ἀνάθεμα ἔστωσαν, φησί· καὶ ὁ ξ'. κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου κωλύει τὸ συνεορτάζειν, καὶ συμποσιάζειν τοῖς (4) Ἕλλησι.

---

(1) ἢ συνεορτάζοι Βρ. — (2) Ἠσ. Ά. 14. — (3) Χ. Τρ. Κ. — διὰ τοὺς Βευερ. — (4) Χ. Τρ. Κ. — οὐχ εὕρηται τὸ, τοῖς παρὰ Βευερ.

ΒΑΛΣ. Ὁροθετήσαντες οἱ ἅγιοι Ἀπόςολοι δι' ἑτέρων κανόνων τί ὀφείλει γίνεσθαι εἰς τοὺς συνευχομένους μετὰ αἱρετικῶν, ἢ ἀφωρισμένων, ἄρτι παρακελεύονται, τοὺς μετὰ Ἰουδαίων νηστεύοντας, ἢ δεχομένους τὰ τῶν ἑορτῶν αὐτῶν ἄζυμα, ἢ ἕτερα ξένια, κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἀφορίζεσθαι. Μὴ εἴπῃς δὲ τούτους ἰουδαΐζειν, ὡς καὶ τοῖς Ἰουδαίοις ὁμόφρονας ὄντας· πάντως γὰρ οὐ καθαιρέσει μόνῃ, ἢ ἀφορισμῷ καθυποβληθήσονται, ἀλλὰ καὶ παντελεῖ ἀκοινωνησίᾳ, καθὼς καὶ ὁ κθ'. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου παρακελεύεται. Ἀλλ' εἰπὲ, τούτους ὀρθοδόξους μὲν εἶναι, καταφρονητὰς δὲ τῶν ἐκκλησιαστικῶν παραδόσεων, καὶ ἀδιαφόρως ζῶντας· κἀντεῦθεν μετριωτέρως αὐτοὺς, ὡς σκανδαλοποιοὺς κολάζεσθαι. Διὰ γὰρ τοῦτο καὶ ἡμεῖς τἀναντία τοῖς Ἰουδαίοις καὶ τοῖς ἄλλοις αἱρετικοῖς φρονοῦντες καὶ πράττοντες, καταλύομεν ἀνενδοιάστως, ὅταν ἐκεῖνοι νηστεύωσι, τυχὸν διὰ τὴν κατὰ τῆς Νινευῒ ἀπειλὴν, ἢ καὶ δι' ἑτέρας αἰτίας δοκούσας αὐτοῖς. Ἀπὸ μέν τοι τοῦ καθαιρεῖσθαι, καὶ ἀφορίζεσθαι τοὺς λαμβάνοντας ἐξ Ἰουδαίων τὰ τῆς ἑορτῆς αὐτῶν ξένια, τὰ ἄζυμα δηλαδὴ, καὶ τὰ λοιπὰ, λέγουσιν οἱ πολλοὶ, ἁλίσκεσθαι τοὺς ποιουμένους διὰ ἀζύμων τὴν μυστικὴν θυσίαν· εἰ γὰρ τὸ ἁπλῶς, φησὶ, φαγεῖν ἄζυμα Ἰουδαϊκῆς ἑορτῆς, καθαίρεσιν ἐπάγει καὶ ἀφορισμὸν, τὸ μεταλαμβάνειν αὐτῶν, ὡς Κυριακοῦ σώματος, καὶ παρομοίως ἐκείνοις διὰ τούτων τὸ Πάσχα ποιεῖν, ποίαν οὐχ ἕξει (1) κατάγνωσιν καὶ κόλασιν; Σημείωσαι οὖν τὸν τοιοῦτον κανόνα, καὶ ζήτει τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ξ'.

Κανὼν ΟΑ'.

Εἴ τις χριστιανὸς ἔλαιον ἀπενέγκοι εἰς ἱερὸν (2) ἐθνῶν, ἢ εἰς συναγωγὴν Ἰουδαίων, ἐν ταῖς ἑορταῖς αὐτῶν, ἢ (3) λύχνους ἅπτοι, ἀφοριζέσθω.

ΖΩΝΑΡ. Ὡς γὰρ τιμῶν τὰ τῶν Ἰουδαίων, ἢ ἐθνικῶν, τὴν τοῦ ἐλαίου ποιεῖται προσαγωγὴν, καὶ τὴν λυχναψίαν· εἰ δὲ τιμᾷ

(1) οὐκ ἔχει Χ. Τρ. — (2) εἰς ἱερὰ Βρ. — (3) Βρ. Π. Χ. Τρ. — ἢ ἐν ταῖς ἑορταῖς . . . ἅπτοι Ἀρδ.

τὰ ἐκείνων ὄργια, καὶ τὰ αὐτὰ ἐκείνοις φρονεῖν λογισθήσεται.

ΒΑΛΣ. Διαφόρως εἴρηται, ὅτι οὐδεμία κοινωνία πιστῷ μετὰ ἀπίστου· ὅθεν καὶ ὁ παρὼν κανὼν ἀφορίζεσθαί φησι τὸν Χριστιανὸν τὸν μετὰ οἱουδήποτε ἀπίστου συνεορτάζοντα, ἢ ἔλαιον, ἢ λύχνον ἀνάπτοντα εἰς ψευδοτελετὴν αὐτοῦ, διὰ τὸ λογίζεσθαι τοῦτον τοῖς ἀπίστοις ὁμόφρονα· καὶ ἀπὸ μὲν τοῦ παρόντος κανόνος, ἐλαφρότερον ὁ τοιοῦτος κολάζεται· ἐξ ἑτέρων δὲ μεγάλως τιμωρεῖται.

ΑΡΙΣΤ. Κανὼν ό. Λαϊκὸν ἀφορίσεις ἰουδαΐζοντα, ἢ τὰ τῶν ἐθνῶν φρονοῦντα.

Κανὼν οά. Τὸν δὲ κληρικὸν καθαιρήσεις.

Ὁ τὰ τῶν Ἰουδαίων φρονῶν, καὶ μετ' αὐτῶν συννηστεύων, ἢ ἑορτάζων, εἰ μὲν κληρικὸς εἴη, καθαιρεῖται· εἰ δὲ λαϊκὸς, ἀφορίζεται.

Κανὼν ΟΒ΄.

Εἴ τις κληρικὸς, ἢ λαϊκὸς, ἀπὸ τῆς ἁγίας ἐκκλησίας ἀφέληται κηρὸν, ἢ ἔλαιον, ἀφοριζέσθω, καὶ τὸ ἐπίπεμπτον προστιθέτω μεθ' οὗ ἔλαβεν (1).

ΒΑΛΣ. Ἀφορίζεσθαι, φησὶν ὁ κανὼν, πάντα πιστὸν ἀφελόμενον ἀπὸ τῆς ἐκκλησίας κηρὸν, ἢ ἔλαιον. Τὸ ἀφελέσθαι δὲ μὴ νοήσῃς ἐπὶ κλοπῆς· ὁ γὰρ διαθέσει τοιαύτῃ κηρὸν, ἢ ἔλαιον ἐκκλησιαστικὸν ἀφελόμενος, ὡς ἱερόσυλος κολασθήσεται. Ἀλλ' εἶπε κολάζεσθαι ἐνταῦθα, τὸ ἁπλῶς ἀφελέσθαι, καὶ κοινῶσαί τινα τὸ προσενεχθὲν τῷ Θεῷ, κἂν κυριαρχικὸν δίκαιον ἔχῃ ἐπὶ τῷ ναῷ, κἂν διακονητὴς αὐτοῦ ἐστι.

ΑΡΙΣΤ. Ἀφορίζεται ὁ κηρὸν, ἢ ἔλαιον τῆς ἐκκλησίας συλῶν· μετὰ τοῦ καὶ πενταπλοῦν τοῦτο κατατιθέναι.

Τὸ πλάτος τῶν κανόνων, οὐ πενταπλοῦν βούλεται ἀποδίδοσθαι τὸ ἀποσυλούμενον, ἀλλ' αὐτό τε τὸ ἀποσυληθὲν, καὶ τὸ τούτου ἐπίπεμπτον.

---

(1) Π. Ἐ. Μάνσ. ἐν περισελ. — ἡ τελευταία φράσις ἀπὸ τοῦ, καὶ τὸ ἐπίπεμπτον, οὐχ εὕρηται παρὰ Βρ. Βευερ. Κ. καὶ Χ. Τρ.

Κανὼν ΟΓ΄.

Σκεῦος χρυσοῦν, ἢ ἀργυροῦν ἁγιασθὲν, ἢ ὀθόνην, μηδεὶς ἔτι εἰς οἰκείαν χρῆσιν σφετεριζέσθω· παράνομον γάρ. Εἰ δέ τις φωραθείη, ἐπιτιμάσθω ἀφορισμῷ.

—

ΖΩΝΑΡ. Τὰ τῷ Θεῷ ἀφορισθέντα κοινοῦσθαι οὐ χρή· ἡγίασται γάρ· κἂν σκεῦος ᾖ οἱονδήποτε, κἂν ὕφασμα· διὰ γὰρ τῆς ὀθόνης ἐδήλωσεν ἅπαν ὕφασμα, κἂν ἔλαιον εἴη, κἂν κηρός. Ἡ γὰρ πρὸς τὸν τοῦ Θεοῦ ναὸν προσαγωγὴ τούτων, ἁγιάζει αὐτά· οὐ χρὴ οὖν οὔτε κηρὸν, οὔτε ἔλαιον ἀφαιρεῖσθαι τῆς ἐκκλησίας, οὔτε τι σκεῦος, ἀλλ᾿ οὐδὲ ὕφασμα ἀνατεθὲν τῷ Θεῷ, καὶ εἰς οἰκείαν χρῆσίν τινα λαμβάνειν αὐτά· ἀφορισμῷ γὰρ διὰ τοῦτο ὑπόκεινται. Ὁ δὲ Ἄχαρ, οὐδὲ προσαχθέντα, καὶ ἁγιασθέντα ὑφείλετο τῷ Θεῷ, ἀλλὰ μόνον ἐπαγγελθέντα· καὶ ὅμως ἔδωκε δίκην, παγγενεὶ λιθοβοληθείς.

ΒΑΛΣ. Τὰ αὐτὰ τῷ οϐ΄. κανόνι καὶ ὁ παρὼν κανὼν διορίζεται, χάριν τοῦ μὴ κοινοῦσθαι τὰ τῷ Θεῷ προσαγόμενα, καὶ ναοῖς ἀφιερούμενα, οἱαδήτινα σκεύη καὶ ἔπιπλα· τῷ γὰρ ὀνόματι τῆς ὀθόνης, πᾶν ὕφασμα δηλοῦται. Ὁ Ἄχαρ δὲ ἐκεῖνος ἰδιωσάμενος γλῶτταν χρυσῆν ἀπὸ τῶν ἐπαγγελθέντων τῷ Θεῷ χρυσῶν λαφύρων, καὶ μήπω ἀφιερωθέντων, ἐλιθοβολήθη παγγενεί. Ἀνάγνωθι καὶ τὸν ι΄. κανόνα τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων α΄. καὶ ϐ΄. συνόδου.

ΑΡΙΣΤ. Ὁ ἱερὰ σκεύη εἰς χρῆσιν σφετεριζόμενος, ἀφορίζεται. Ὁ εἰς χρῆσιν οἰκείαν τὰ ἱερὰ οἰκειούμενος, σκεῦος, ἢ ὀθόνην, ἁγιασθέντα· ὡς παρανομῶν ἀφορισθήσεται.

Κανὼν ΟΔ΄.

Ἐπίσκοπον κατηγορηθέντα ἐπί τινι παρὰ ἀξιοπίστων ἀνθρώπων, καλεῖσθαι αὐτὸν ἀναγκαῖον ὑπὸ ἐπισκόπων· κἂν μὲν ἀπαντήσῃ, καὶ ὁμολογήσῃ, ἢ ἐλεγχθείη, ὁριζέσθω (1) τὸ ἐπιτίμιον. Ἐὰν δὲ καλούμενος μὴ ὑπα-

(1) Π. — ὁρίζεσθαι Βευερ. Χ. Τρ. Κ. Βρ. — ἐξοριζέσθω Ε. Μάνσ. ἐν περισελ.

κούσῃ, καλείσθω καὶ δεύτερον, ἀποστελλομένων ἐπ᾽ αὐτὸν δύο ἐπισκόπων. Ἐὰν δὲ καὶ οὕτω μὴ ὑπακούσῃ, καλείσθω καὶ τρίτον, δύο πάλιν ἐπισκόπων ἀποστελλομένων πρὸς αὐτόν (1). Ἐὰν δὲ καὶ οὕτω καταφρονήσας μὴ ἀπαντήσῃ, ἡ σύνοδος ἀποφαινέσθω κατ᾽ αὐτοῦ τὰ δοκοῦντα· ὅπως μὴ δόξῃ κερδαίνειν, φυγοδικῶν.

—

ΖΩΝΑΡ. Καὶ ἐν τῷ ξα'. κανόνι εἴρηται ἡμῖν, ὡς οὐ πᾶς τις κατηγορεῖν ἐπισκόπου δύναται, ἀλλ᾽ ἀνεπίληπτοι ἄνθρωποι, καὶ ὀρθόδοξοι. Τοῦτο οὖν καὶ ὁ κανὼν οὗτος δηλοῖ, διὰ τοῦ λέγειν, παρὰ ἀξιοπίστων ἀνθρώπων. Κἂν οὖν παρὰ τοιούτων κατηγορῆται ἐπίσκοπος, οὐ χρὴ αὐτοῦ ἀπόντος καταψηφίζεσθαι· ἀλλὰ μετακαλεῖσθαι αὐτὸν, καὶ ἐρχόμενον, τῶν κατ᾽ αὐτοῦ λεγομένων ἀκούειν· ἀκούσας δὲ, ἢ ὁμολογήσει τὰ ἐπαγόμενα αὐτῷ αἰτιάματα, ἢ ἀρνούμενος ἐλεγχθήσεται, καὶ οὕτως ἡ ψῆφος ἐξενεχθήσεται. Εἰ δὲ κληθεὶς ἅπαξ, οὐ παραγένηται, καὶ δευτέραν ὁ κανὼν πρὸς αὐτὸν ὁρίζει γίνεσθαι διαλαλιὰν, διὰ δύο ἐπισκόπων· καὶ ταύτης δὲ καταφρονοῦντα, καὶ τρίτον κελεύει καλεῖσθαι πρὸς τὴν ἐξέτασιν, ὁμοίως παρὰ ἐπισκόπων δύο. Καὶ εἰ μηδὲ οὕτως παραγένοιτο, ἀπόφασιν γίνεσθαι κατ᾽ αὐτοῦ παρὰ τῆς συνόδου, καὶ ἐκ μοίρας μιᾶς, ἵνα μὴ ἐξ ἀναιδείας φυγοδικῶν ὠφελοῖτο, ὑπερτιθεμένης τῆς ζητήσεώς τε καὶ ἀποφάσεως.

ΒΑΛΣ. Περὶ τοῦ τίνες δύνανται κατηγορεῖν ἐπισκόπων, ἢ (2) κληρικῶν, καὶ τίνες καταμαρτυροῦσιν αὐτῶν, ἀνάγνωθι τοῦ παρόντος συντάγματος τίτλον θ'. κεφ. ά. καὶ τὰ ἐν αὐτῷ, καὶ κεφάλαιον ϐ'. καὶ τὰ ἐν αὐτῷ. Ὁ δὲ παρὼν κανὼν θεσπίζει τὸν κατηγορηθέντα ἐπίσκοπον χάριν ἐγκληματικῆς αἰτιάσεως, μετακαλεῖσθαι κατὰ νόμους ὑπὸ ἐπισκόπων· ἀπόντα γὰρ τοῦτον καταδικάζεσθαι, ἄδικον ἔδοξε. Καὶ παρουσιάζοντα μὲν, καὶ ἐξ ἀναντιῤῥήτων ἐλέγχων, ἢ ἀπὸ οἰκείας ὁμολογίας καταδικαζόμενον, κανονικῶς ἐπιτιμᾶσθαι· μὴ παραγενόμενον δὲ, καλεῖσθαι

(1) Ἅπασα ἡ φράσις, ἐὰν δὲ καὶ οὕτω . . ἕως τοῦ, στελλομένων πρὸς αὐτὸν οὐ κεῖται παρὰ Βρ.— ἀλλ᾽ ἐν Π. Χ. Τρ. Βευερ. Ε. Κ. Μ. ἐν περισελ. — (2) καὶ, Χ. Τρ.

καὶ αὖθις παρὰ ἐπισκόπων δύο· ἀλλὰ μὴν καὶ ἐκ τρίτου, ὡς ἂν, εἰ μηδὲ οὕτω παραγένηται, ἀποφήνηται κατ' αὐτοῦ ἡ σύνοδος καὶ μονομερῶς τὰ δοκοῦντα αὐτῇ· ὅπως, φησί, μὴ κερδήσῃ ὁ καταφρονητὴς ἐκ τῆς ἀναιδοῦς ὑπερθέσεως. Ταῦτα τοῦ κανόνος διοριζομένου, ἐζητήθη (1) πολλάκις, εἴπερ ἐνεδόθη διὰ τοῦ τοιούτου κανόνος τῇ συνόδῳ, καὶ καθαιρέσει καθυποβάλλειν τὸν ἀπειθῆ ἐπίσκοπον· καὶ εἶπόν τινες, ὡς ἀσυμπαθές ἐστιν ἐξ ἀπειθείας καθαιρεῖσθαι ἐπίσκοπον· ἄλλως δέ πως ὀφείλειν ἐπιτιμᾶσθαι αὐτόν. Εἰ γὰρ ἦν θελητὸν, φασὶ, καὶ τοῖς Ἀποστόλοις, καθαιρεῖσθαι τὸν ἐπίσκοπον, ἐμνήσθησαν ἂν ἐν τῷ κανόνι καὶ καθαιρέσεως. Ἄλλοι δὲ εἶπον, ὡς καὶ ἀπὸ τῆς προσεχῶς (2) ἐξενεχθείσης προσκυνητῆς νεαρᾶς τοῦ θεοστεφοῦς, κρατίστου, καὶ ἁγίου ἡμῶν Αὐτοκράτορος, ἅπας ἐναγόμενος, μετακαλούμενος εἰς τὸ δικαστήριον, καὶ μετὰ τρία (3) μηνύματα, διὰ τριῶν ἐπιφωνημάτων ἐγγράφων, ἐλθεῖν παρεγγυώμενος, καὶ μὴ ἐρχόμενος, καταδικάζεται καὶ μονομερῶς. Εἰ γοῦν καὶ ἐπίσκοπος μετὰ δόσεως λιβέλλου, καὶ νομίμων ἐγγράφων κατηγορηθῇ, καὶ μετακληθῇ πρῶτον μὲν διὰ μηνυμάτων, εἶτα καὶ διὰ τριῶν ἐγγράφων ἐπιφωνημάτων, καὶ οὐκ ἀπαντήσῃ εἰς τὸ δικαστήριον, καὶ (4) μονομερῶς καταδικασθήσεται, *καὶ καθαιρεθήσεται*(5)· τὸ γὰρ καλεῖσθαι ἐνταῦθα, κατὰ νόμους νοεῖται, ἤγουν δι' ἐπιφωνημάτων τριακονθημέρων, καὶ μὴ, ὥς τινες εἶπον, διὰ μηνυμάτων ἐγγράφων ὀλιγοημέρων. Τοῦτο δὲ ἐλαλήθη διαφόρως ἐπὶ βήματος βασιλικοῦ, καὶ μᾶλλον ἐν τῇ ὑποθέσει τοῦ ἐπισκόπου Βεσαίνης· καὶ ἐκρίθη, διὰ τριῶν νομίμων ἐπιφωνημάτων ὀφείλειν μετακαλεῖσθαι τὸν ἐναγόμενον ἐπίσκοπον, καὶ οὕτως ἐξ ἀπειθείας καταδικάζεσθαι.

Ἑτέρα ἑρμηνεία.

Τὸ μὲν καταδικάζεσθαι τὸν ἀπειθῆ ἐπίσκοπον, κατὰ τὴν νεαρὰν τοῦ ἀοιδίμου βασιλέως κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, ἄμαχόν ἐστι· κέκριται γὰρ οὕτω, καθὼς εἴρηται, καὶ παρὰ τῷ βασιλικῷ καὶ θείῳ βήματι. Τὸ δὲ μετὰ δύο ἀρχιερέων, καὶ μὴ

(1) Χ. Τρ.—ἐξητήθη Ἑ. Βευερ. — (2) Χ. Τρ. Ἑ.—συνεχῶς Βευερ. —(3) μετὰ μέτρια Χ. Τρ. Ἑ. Βευερ. ἐσφαλμένως. Ὅρα Λεουνκλ. Τ. 2. σελ. 188. — (4) Χ. Τρ. — κἂν μονομερῶς Βευερ. οὐ κεῖται παρὰ Ἑ. — (5) Χ. Τρ. — οὐ κεῖται παρὰ Βευερ. καὶ Ἑ.

ἄλλως πως τὴν τούτου μετάκλησιν γίνεσθαι, ὥς τινες εἶπον, οὐκ ἔστι νόμιμον, οὐδὲ τῆς ἐννοίας τοῦ παρόντος κανόνος· ὅτε γὰρ οὗτος ἐγράφη, οὔτε δικαςῶν, οὔτε πατριαρχικῶν νοταρίων ἐνήργει αὐτοπιστία· καὶ διὰ τοῦτο προβαίνειν ὡρίσθη τὰς τῶν ἀρχιερέων μετακλήσεις παρ᾽ (1) ἐπισκόπων δύο. Σήμερον δὲ τῆς τῶν δικαστῶν, καὶ τῶν πατριαρχικῶν νοταρίων αὐτοπιστίας ἐνεργούσης, ἐξ ἀνάγκης (2) καὶ τὰ δι᾽ αὐτῶν γινόμενα ἐπιφωνήματα ἕξουσι τὸ ἀπαρεγχείρητον· καλῶς οὖν καταδικασθήσεται ὁ δι᾽ αὐτῶν ἐπιφωνηθείς, καὶ μὴ ἀπαντήσας εἰς τὸ δικαστήριον, ὡς τῶν ἐπιφωνημάτων μὴ κατασειομένων ἐκ τοῦ μὴ γίνεσθαι παρὰ ἀρχιερέων.

ΑΡΙΣΤ. Ὁ κατηγορούμενος ἐπίσκοπος, καὶ καλούμενος, καὶ οὐκ ἀκούων, καὶ δὶς καλείσθω, καὶ τρίς· εἰ δ᾽ ἐπιμένοι, τὸ δόξαν ἡ σύνοδος ἀποφαινέτω.

Τὸν κατηγορούμενον ἐπί τινι πταίσματι παρὰ ἀξιοπίστων ἀνδρῶν ἐπίσκοπον, καὶ καλούμενον εἰς τὸ δικαστήριον, καὶ μὴ ὑπακούοντα, οὐκ ἀπεντεῦθεν ὀφείλει καταδικάζειν ἡ σύνοδος, ἀλλὰ καὶ δὶς, καὶ τρὶς μετακαλεῖσθαι, στελλομένων εἰς αὐτὸν ἐφ᾽ ἑκάστῃ προσκλήσει δύο ἐπισκόπων· εἰ δὲ ἐπιμένει καταφρονῶν, καὶ μὴ ἀπαντῶν εἰς τὸ δικαστήριον, δοκιμάσει τὰ τῆς αἰτιάσεως καὶ κατὰ μίαν μοῖραν ἡ σύνοδος, καὶ τὰ δοκοῦντα αὐτῇ κατ᾽ αὐτοῦ ψηφίσεται.

Κανὼν ΟΕ'.

Εἰς μαρτυρίαν τὴν κατὰ ἐπισκόπου αἱρετικὸν μὴ προσδέχεσθαι, ἀλλὰ μηδὲ πιστὸν (3) ἕνα μόνον. Ἐπὶ στόματος γὰρ δύο, ἢ τριῶν μαρτύρων, σταθήσεται πᾶν ῥῆμα (4).

ΖΩΝΑΡ. Οὐ μόνον εἰς κατηγορίαν αἱρετικὸς οὐκ ἔστι δεκτὸς, ἀλλ᾽ οὐδὲ εἰς μαρτυρίαν. Εἷς δὲ καταμαρτυρῶν, κἂν πι-

---

(1) Χ. Τρ. — ἐπὶ, Βευερ. (2) Σήμερον δὲ τῆς αὐτοπιστίας πλατύτερον οὔσης ἐξ ἀνάγκης, καὶ τὰ διὰ πατριαρχικῶν νοταρίων ἢ δικαστῶν γενόμενα ἐπιφωνήματα ἕξουσι τὸ ἀπαρεγχείρητον Χ. Τρ. Ἅπασα δὲ ἡ β'. ἑρμηνεία αὕτη οὐχ εὕρηται παρὰ Ἑ. — (3) πιστῶν Βρ. — (4) Δευτερ. ΙΘ', 15. Ματθ. ΙΗ', 16. Τιμ. Ε', 19.

στὸς εἴη, οὐ προσδεχθήσεται. Καὶ Τιμοθέῳ γὰρ ὁ μέγας Παῦλος γράφων, οὕτω φησί· Κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, εἰ μὴ ἐπὶ δύο, ἢ τριῶν μαρτύρων. Οἶμαι δὲ νῦν ἐπὶ κατηγορίαις, ἐξ ὧν ἔκπτωσις τοῦ οἰκείου βαθμοῦ τοῖς ἱερωμένοις ἐπάγεται, μὴ τοὺς δύο ἀρκεῖν μάρτυρας, κἂν πιστοὶ ὦσι καὶ ἀνεπίληπτοι.

ΒΑΛΣ. Καὶ ὡς ἄνωθεν εἶπον, εἰ θέλεις μαθεῖν, πόσοι, καὶ τίνες καταμαρτυροῦσιν ἐπισκόπων, ἢ κληρικῶν, ἀνάγνωθι τίτλον θ'. τοῦ παρόντος συντάγματος, κεφ. β'. Ἐκ τοῦ παρόντος δὲ κανόνος μανθάνεις, μήτε αἱρετικὸν, μήτε ἕνα πιστὸν παραδέχεσθαι (1) καταμαρτυροῦντα ἐπισκόπου· Ἐπὶ γὰρ δύο, ἢ τριῶν μαρτύρων, φησὶ, πᾶν ῥῆμα σταθήσεται. Πλὴν τοῦτο μὴ ἀδιαστίκτως νοήσῃς· ἀλλ' εἰπὲ κατὰ τὴν νομικὴν ἀκρίβειαν, ὡς, εἰ μὲν χρηματική ἐστιν ἡ αἰτίασις, καὶ μέχρι λίτρας μιᾶς, δύο μάρτυρες πιςοὶ καὶ ἔντιμοι κατὰ τοῦ ἐπισκόπου ἐνωμότως μαρτυροῦντες, ἀρκέσουσιν· εἰ δὲ μέχρι πεντήκοντα λιτρῶν, τρεῖς· εἰ δὲ τούτων ἐπέκεινα, πέντε· εἰ δ' οὐκ ἔστι χρηματικὴ ἡ αἰτίασις, ἀλλὰ ἐγκληματικὴ, διὰ πέντε μαρτύρων πιστῶν, καὶ ἐντίμων, ὀμνυόντων, ἡ κατὰ τοῦ ἐπισκόπου αἰτίασις ἀποδείκνυται. Καὶ ἀνάγνωθι περὶ τούτων τὸν ά. τίτλον τοῦ κά. βιβλίου τῶν βασιλικῶν, πολλὰ τοιαῦτα διδάσκοντα.

ΑΡΙΣΤ. Αἱρετικὸς οὐ κατηγορεῖ ἐπισκόπου· οὐδὲ πιστὸς εἷς.

Ὁ τὸν παρόντα συνοψίσας κανόνα οὐ καλῶς τοῦτον ἐνόησε· τὸ μὲν γὰρ μὴ κατηγορεῖν αἱρετικὸν ἐπισκόπου, ἢ μαρτυρεῖν κατ' αὐτοῦ, ἀληθές ἐστι· τὸ δὲ μὴ δύνασθαι πιστὸν ἕνα συνιστᾶν κατ' ἐπισκόπου κατηγορίαν, ψευδές· μαρτυρία γὰρ ἑνὸς κατά τινος οὐ προσδέχεται· κατηγορία δὲ, καὶ παρ' ἑνὸς, καὶ παρὰ πλειόνων γίνεται.

Κανὼν Ος'.

Ὅτι οὐ χρὴ ἐπίσκοπον τῷ ἀδελφῷ, ἢ τῷ υἱῷ, ἢ ἑτέρῳ (2)

---

(1) δέχεσθαι Χ. Τρ. — (2) — ἢ τῷ συγγενεῖ, Βευερ. Βρ. Χ. Τρ. Κ. Π. Ἑ.

συγγενεῖ χαριζόμενον (1), εἰς τὸ ἀξίωμα τῆς ἐπισκοπῆς χειροτονεῖν ὃν βούλεται· κληρονόμους γὰρ τῆς ἐπισκοπῆς ποιεῖσθαι οὐ δίκαιον, τὰ τοῦ Θεοῦ χαριζόμενον πάθει ἀνθρωπίνῳ· οὐ γὰρ τὴν τοῦ Θεοῦ ἐκκλησίαν ὑπὸ κληρονόμους ὀφείλει τιθέναι. Εἰ δέ τις τοῦτο ποιήσει, ἄκυρος μενέτω (2) ἡ χειροτονία· αὐτὸς δὲ ἐπιτιμάσθω ἀφορισμῷ.

—

ΖΩΝΑΡ. Τὴν ἀρχιερατικὴν ἐξουσίαν, τῆς τοῦ ἁγίου Πνεύματος χάριτος δῶρον νομίζεσθαι χρή. Πῶς οὖν τις τὴν χάριν τοῦ Πνεύματος, ὡς κλῆρον μεταβιβάσει πρὸς ἕτερον, αὐτῷ χαριζόμενος; Διὰ τοῦτο οὐ συγκεχώρηται τοῖς ἐπισκόποις ἀνθ' ἑαυτῶν ἑτέρους, οὓς βούλονται, εἰς τὰς κατ' αὐτοὺς ἐκκλησίας ἐγκαθιστᾷν· οἵτινες γάρ, ἃ ἐκτήσαντο πράγματα ἐν τῷ τῆς ἐπισκοπῆς καιρῷ, οὐκ ἔχουσιν ἄδειαν καταλιμπάνειν οἷς βούλονται, (εἰ μὴ τὰ ἐκ διαδοχῆς συγγενῶν περιελθόντα αὐτοῖς, ὡς ὁ τριακοστὸς δεύτερος κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου φησί), πῶς αὐτὴν τὴν ἐπισκοπὴν εἰς ἑτέρους μεταβιβάσουσιν, ὥσπερ κληρονόμους αὐτοὺς τῆς ποιμαντικῆς ἐξουσίας, καὶ τῆς οἰκονομίας τῶν πτωχικῶν πραγμάτων καταλιμπάνοντες, καὶ διὰ πάθος ἀνθρώπινον, φιλίαν δηλαδή, ἢ σχέσιν συγγενικήν, τὰ τῷ Θεῷ ἀφιερωθέντα (3), οἷς βούλονται, χαριζόμενοι; Εἰ οὖν παρά τινος τοιοῦτόν τι γένηται, καὶ τὸ γινόμενον ἄκυρον εἶναι, φησὶν ὁ κανών, καὶ τὸν τοῦτο ποιήσαντα, ἀφορίζεσθαι. τοὺς γὰρ ἐπισκόπους ὑπὸ τῶν συνόδων γίνεσθαι διατέτακται. Καὶ ὁ εἰκοστὸς τρίτος κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου λέγει, μὴ ἐξεῖναι ἐπισκόπῳ, κἂν τελευτᾷ, ἕτερον καθιστᾷν διάδοχον ἑαυτοῦ. Τοῦτο δὲ καὶ τοῖς ἐξ Ἰσραὴλ ἀπηγόρευται· τῷ γὰρ Μωϋσῇ ὡς αἰτίαμα ἐπενεκαλεῖτο, ὅτι τὸν Ἀαρών, καὶ τοὺς αὐτοῦ παῖδας, εἰς ἱερωσύνην προήνεγκε· καὶ εἰ μὴ διὰ σημείων

---

(1) Π. Βευερ.—Ἅπασα ἡ φράσις ἀπὸ τῆς λέξεως, χαριζόμενον ἕως τοῦ, τὰ Θεοῦ, οὐχ εὕρηται παρὰ Βρ. ὅπου καὶ ὁ κανὼν ἀναγινώσκεται οὕτως· Ὅτι οὐ χρὴ ἐπίσκοπον τῷ ἀδελφῷ, ἢ υἱῷ, ἢ ἑτέρῳ συγγενεῖ χαρίζεσθαι, πάθει ἀνθρωπίνῳ· οὐ γὰρ τὴν τοῦ Θεοῦ, κτλ.—(2) Π. Χ. Τρ. Κ. Βρ. —μὲν ἔστω Βευερ. Ε.—(3) ἀφιερωμένα Χ. Τρ.

ὁ Θεὸς αὐτοῖς τὴν ἱερωσύνην ἐπεβεβαίωσε, τάχ' ἂν καὶ ἐξωθοῦντο αὐτῆς.

ΒΑΛΣ. Ὁ μὲν παρὼν κανὼν διορίζεται, μὴ ἔχειν ἐπ' ἀδείας τὸν ἐπίσκοπον ἀντὶ ἑαυτοῦ προσγενῆ οἰκεῖον εἰς τὴν ἐπισκοπὴν ἐγκαθιστᾷν, μηδὲ παραπέμπειν τὴν χάριν τοῦ Πνεύματος, ὥς τινα κλῆρον ἀνθρώπινον. Ἄκυροῖ δὲ καὶ τὴν οὕτω γενομένην χειροτονίαν, καὶ ἀφορίζει τὸν ἐπίσκοπον. Σὺ δὲ εἰπὲ, ὅτι, κἂν μὴ εἰς προσγενῆ αὐτοῦ παραπέμψῃ ὁ ἐπίσκοπος τὴν ἐπισκοπὴν, ἀλλὰ πρὸς ἀλλότριον, τὸ αὐτὸ γενήσεται· τοὺς γὰρ ἐπισκόπους ὑπὸ τῶν συνόδων γίνεσθαι διατέτακται. Διά τοι τοῦτο καὶ ὁ ἀποβεβιωκὼς μητροπολίτης Φιλιππουπόλεως, ὁ μέγιστος, παραιτούμενος τὴν κατ' αὐτὸν (1) μητρόπολιν ὑπὸ αἵρεσιν ταύτην, ἐὰν τὸν οἰκονόμον αὐτοῦ ἡ ἁγία σύνοδος καταστήσῃ μητροπολίτην Φιλιππουπόλεως ἀντ' αὐτοῦ, οὐκ εἰσηκούσθη, ἀλλ' ἤκουσεν, ὡς εἰ τὰ πράγματα, ἅτινα ἐπικτᾶται ὁ ἐπίσκοπος μετὰ τὴν χειροτονίαν ἐκ τῶν τῆς ἐκκλησίας εἰσόδων, οὐ δύναται δωρεῖσθαι, ἢ παραπέμπτειν πρὸς οὓς βούλεται, πολλῷ μᾶλλον τὴν ἐπισκοπήν. Ἀνάγνωθι τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα λϐ'. (2) καὶ τῆς ἐν Ἀντιοχείᾳ κανόνα κγ'. λέγοντα· Μὴ ἐξεῖναι ἐπισκόπῳ κἂν τελευτᾷ, ἕτερον καθιστᾷν διάδοχον αὐτοῦ.

ΑΡΙΣΤ. Ἐπίσκοπος ἀνθ' ἑαυτοῦ ἐπίσκοπον, ἀποβιῶν, οὐ καθίστησι.

Τὸν μέλλοντα εἰς ἐπισκοπὴν προχειρίζεσθαι, παρὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων καθίστασθαι κεκανόνισται· τὸ δὲ, τὸν ἐπίσκοπον τελευτῶντα, ἕτερον ἀνθ' ἑαυτοῦ καθιστᾷν, κληρονομίας εἰσάγει δίκαιον· τὴν δὲ τοῦ Θεοῦ ἐκκλησίαν ὑπὸ κληρονόμον οὐδεὶς ὀφείλει τιθέναι.

Κανὼν ΟΖ'.

Εἴ τις ἀνάπηρος ἢ (3) τὸν ὀφθαλμὸν, ἢ τὸ σκέλος πεπληγμένος, ἄξιος δέ ἐστιν ἐπισκοπῆς (4), γινέσθω· οὐ γὰρ (5) λώβη (6) σώματος αὐτὸν μιαίνει, ἀλλὰ ψυχῆς μολυσμός (7).

---

(1) Χ. Τρ. Ἑ. — κατ' αὐτοῦ Βευερ. — (2) ἐν Πηδ. λέ. — (3) ἢ Βρ. Κ. — (4) ἐπίσκοπος Βρ.—(5) Π. Σ. Ῥ. Βρ.—οὐ καὶ λώβη Βευερ.—(6) Λευΐτ. ΚΆ, 17 κτλ.

Κανὼν ΟΗ'.

Κωφὸς δὲ ὤν, καὶ τυφλὸς, μὴ γινέσθω ἐπίσκοπος· οὐχ ὡς μεμιασμένος(1), ἀλλ' ἵνα μὴ τὰ ἐκκλησιαστικὰ παρεμποδίζοιτο.

—

ΖΩΝΑΡ. Ἡ μὲν διὰ Μωσέως δοθεῖσα τοῖς Ἰσραηλίταις διαταγὴ, ὁλοκλήρους τὸ σῶμα, καὶ μή τινα μῶμον ἔχοντας, τοὺς παρ' ἐκείνοις ἱερωμένους εἶναι ἀπήτει, καὶ οὐδεὶς λελωβημένος κατά τι μέρος τοῦ σώματος εἰς ἱερωσύνην προσίετο· ἀλλὰ κἂν μετὰ τὴν ἱερωσύνην πήρωσις μέλους, ἢ μορίου τινὸς τῶν ἱερωμένων συνέβη τινὶ, τῆς ἱερωσύνης μετεκινεῖτο. Τοῖς δὲ παρ' ἡμῖν ἱερᾶσθαι μέλλουσι, κολόβωσις σώματος εἰς κώλυμα οὐ λελόγισται· τὴν ψυχὴν γὰρ ἔχειν ἀπαιτεῖται καθαρὰν, καὶ ἀλώβητον, καὶ ῥύπου ἀπηλλαγμένην. Εἰ δὲ ἑτερόφθαλμος εἴη, τυχὸν, ἢ διαστρόφους ἔχει τοὺς ὀφθαλμοὺς, ἢ χωλός ἐστιν, ἢ ἕτερόν τι πήρωμα ἔχει, μὴ προσιστάμενον αὐτῷ πρὸς τὴν ἀρχιερατικὴν ἐνέργειαν, ἄξιος μέντοι κρίνεται πρὸς ἐπισκοπὴν, χειροτονηθῆναι οὐ κωλυθήσεται· εἰ δέ τινι καὶ ἄμφω πεπήρωται τὰ ὄμματα, ἢ τὰ ὦτα κεκώφωται, ἢ ἄλλο τι πήρωμα ἔχει, δι' οὗ τὰς ἀρχιερατικὰς ἐνεργείας πληροῦν κεκώλυται, εἰς ἐπισκοπὴν οὐ προβιβασθήσεται. Ὁ γὰρ μὴ βλέπων, ἢ μὴ ἀκούων, ἢ τὴν δεξιὰν χεῖρα ἴσως ἔχων ἀργὴν, πῶς ἂν ἱερουργήσῃ, ἢ μεταχειρίσηται τὰ ἅγια, καὶ μεταδώσῃ ἑτέροις τούτων, ἢ ἄλλο τι ἀρχιερατικὸν ἐνεργήσῃ λειτούργημα ;

ΒΑΛΣ. (1) Ἀπὸ μὲν τοῦ παλαιοῦ νόμου, οὐδεὶς λελωβημένος κατά τι μέρος τοῦ σώματος εἰς ἱερωσύνην προεβιβάζετο· μᾶλλον μὲν οὖν, ἐὰν μετὰ τὴν ἱερωσύνην ἔσχεν ἐκ πάθους λώβην τινὰ, ἐπαύετο τοῦ ἱερουργεῖν. Οἱ δὲ θεῖοι Ἀπόστολοι, τοὺς μὲν ἐμποδιζομένους τὰ τῆς ἱερωσύνης ἐνεργεῖν, μὴ προσίεσθαι διωρίσαντο· τοὺς δὲ δυναμένους ἐνεργεῖν, κἂν ἑτερόφθαλμοι ὦσι, κἂν χωλοὶ, τῆς χειροτονίας ἀξιοῦσθαι ἐκέλευσαν. Τὴν γὰρ ψυχὴν θέλουσιν ἔχειν πάντας καθαρὰν καὶ ἀλώβητον, οὐ μὴν τὸ σῶμα.

---

(1) Π. Βευερ. Μάνσ. ἐν περισελ. — βεβλαμμένος Βρ. — (2) ἐν Χ. Τρ. ἡ ἑρμην. τοῦ Βαλσ. ἀναγινώσκεται μετὰ τὸν οζ'. κανόνα, ἡ δὲ τοῦ Ζωναρᾶ μετὰ τὸν οη'.

Ἆρα δὲ εἰ μετὰ τὴν ἱερωσύνην γένηταί τις κωφὸς, ἢ τυφλὸς, ἢ ἄλλως ἐμπαθὴς τὸ σῶμα, καὶ οὐ δύναται ἱερατικὰ ἐνεργεῖν, μετακινηθήσεται ἐκ τῆς ἱερωσύνης κατὰ τὸν παλαιὸν νόμον; Λύσις. Οὐδαμῶς· ἔστι γὰρ ἀσυμπαθὲς, καὶ τῆς ἀποστολικῆς εὐθυδικίας ἀλλότριον, τὸν ἄξιον μᾶλλον ἐλέους διὰ τὸ πάθος, κατακρίνεσθαι ὡς ἀνάξιον. Καὶ πολλοὶ δὲ ἀρχιερεῖς, καὶ ἱερεῖς, καὶ διάκονοι, τυφλωθέντες, καὶ ἄλλως ἐσχάτως ἀῤῥωστήσαντες, καὶ μὴ δυνάμενοι ἐνεργεῖν ἀρχιερατικόν τι, μέχρι τέλους ζωῆς αὐτῶν, οὐ μετεκινήθησαν. Καὶ ὁ νόμος δέ φησιν ἐν βιβλίῳ ἡ. τίτλῳ ά. κεφ. ά. θέματι δ'. Ὁ τυφλὸς καὶ δικάζειν δύναται, καὶ οὐκ ἀποκινεῖται τῆς συγκλήτου· ἀρχὴν δὲ νέαν οὐκ ἐγχειρίζεται· ἣν μέν τοι πρὸ τοῦ πάθους εἶχε, μένει ἔχων.

ΑΡΙΣΤ. Κανὼν οζ'. Γίνεται χωλὸς, καὶ ἑτερόφθαλμος, ἄξιος ὑπάρχων, ἐπίσκοπος.

Ἡ γὰρ τοῦ σώματος λώβη, τὸν βίον ἔχοντα ἀνεπίληπτον εἰς ἐπισκοπῆς ἀξίωμα προβιβασθῆναι οὐκ ἐμποδίζει· εἰ μήπου κωφὸς, ἢ τυφλός ἐστιν ὁ μέλλων χειροτονεῖσθαι· ὁ τοιοῦτος γὰρ οὐχ ὡς μεμιασμένος κωλύεται, ἀλλ' ὡς μὴ τὰ ἐκκλησιαστικὰ δυνάμενος ἀπροσκόπτως ἐνεργεῖν.

Κανὼν οή. Ὁ μέντοι τυφλὸς, καὶ κωφὸς, οὐ γενήσεται.

Κανὼν ΟΘ'.

Ἐάν τις δαίμονα ἔχῃ, κληρικὸς μὴ γινέσθω· ἀλλὰ μηδὲ τοῖς πιστοῖς συνευχέσθω· καθαρισθεὶς δὲ, προσδεχέσθω· καὶ ἐὰν ᾖ ἄξιος, γινέσθω.

ΖΩΝΑΡ. Ἀκάθαρτος ὥσπερ, ὁ δαιμονιζόμενος κρίνεται· καὶ ἅμα ὑπόνοια δίδοται, ὡς, εἰ μὴ ἄξιον ἑαυτοῦ κατοικητήριον τὸν ἄνθρωπον ὁ δαίμων εὕρηκε, διὰ βίου φαυλότητα, οὐκ ἂν εἰσέδυ αὐτόν· πῶς οὖν ὁ τοιοῦτος εἰς χειροτονίαν τινὰ προαχθήσεται; Εἰ γὰρ μύρον, δοχεῖον σαπρὸν οὐ πιστεύεται, κατὰ τὸν μέγαν ἐν θεολογίᾳ Γρηγόριον, πῶς τῷ τοῦ δαίμονος δοχείῳ ἡ χάρις τοῦ ἁγίου Πνεύματος πιστευθήσεται; Ἀλλὰ μηδὲ

συνεύχεσθαι τοῖς πιστοῖς τὸν τοιοῦτον, ὁ παρὼν κανὼν διατάττεται. Ὁ δὲ τρίτος τοῦ πατριάρχου Ἀλεξανδρείας Τιμοθέου κανὼν, ἀπόκρισις ὢν πρὸς τὸν ἐρωτήσαντα, ἐὰν πιστὸς δαιμονίζηται, εἰ ὀφείλει μεταλαμβάνειν τῶν ἁγίων μυστηρίων, φησίν· Ἐὰν μὴ ἐξαγορεύῃ τὸ μυστήριον, μήτε ἄλλως πως βλασφημῇ, μεταλαμβανέτω. Ἔοικεν οὖν ἐναντιοῦσθαι τῷ παρόντι κανόνι· οὐκ οἶμαι δέ· ἀλλ' ὁ μὲν ἀποστολικὸς κανὼν περὶ τοῦ διόλου μαινομένου λέγειν κριθήσεται, καὶ μὴ διάλειμμα ἔχοντος· πῶς οὖν ὁ τοιοῦτος παραληφθήσεται εἰς εὐχήν; ἡ δὲ τοῦ Τιμοθέου ἀπόκρισις περὶ τοῦ ἐκ διαλειμμάτων πάσχοντος· ὁ γὰρ τοιοῦτος, ὅτε μὴ πάσχει, τῶν ἁγιασμάτων ἀξιωθήσεται· ἀπαλλαγεὶς δὲ τῆς δαιμονικῆς ἐνεργείας, εἰ ἄξιος κριθείη, κληρωθήσεται.

ΒΑΛΣ. Ὁ δαιμονιζόμενος ἐστέρηται λογισμοῦ καὶ διαθέσεως· κἀντεῦθεν ὑπὸ τοῦ κανόνος κεκώλυται, ἢ τῷ κλήρῳ συγκαταλέγεσθαι, ἢ τοῖς πιστοῖς συνεύχεσθαι, ἵνα μὴ φαῦλά τινα καὶ ἄσεμνα διαπραττόμενος, καὶ δαιμονιώδεις ἐκβοήσεις ποιούμενος, τὸν τοῦ Θεοῦ λαὸν συνταράττῃ, καὶ τὴν δοξολογίαν τοῦ Ναοῦ ἀχρειοῖ. Μετὰ δὲ τὴν ἀνάνηψιν, εἰ εὑρεθῇ ἄξιος, γενήσεται καὶ κληρικός. Ὁ μέν τοι γ'. κανὼν τοῦ πατριάρχου Ἀλεξανδρείας Τιμοθέου φησίν· Ἐὰν πιστὸς δαιμονίζηται, ὀφείλει μεταλαμβάνειν τῶν ἁγίων μυστηρίων· καὶ οὐκ ἐναντιοῦται τῷ παρόντι κανόνι· ἐκεῖνος μὲν γὰρ ἐξελήφθη χάριν τοῦ ἐκ διαλείμματος μαινομένου, καὶ εἰδότος κατὰ τὸν καιρὸν τῆς νήψεως τῶν θείων ἁγιασμάτων τὸ μυστήριον· ὁ δὲ παρὼν κανὼν, περὶ τοῦ διηνεκῶς μαινομένου. Εἰ δὲ καὶ περὶ τοῦ ἐκ διαλείμματος μαινομένου εἴπῃς τὸν κανόνα τοῦτον διαλέγεσθαι, καὶ οὕτως οὐκ ἔσται σοί τι ἐμποδών· οὐδὲ γὰρ παραχωρηθήσεται ὁ ἐκ διαλείμματος μαινόμενος κληρωθῆναι, ἵνα μὴ περιϋβρίζηται ἡ ἱερωσύνη, κατὰ τὸν καιρὸν τῆς μανίας αὐτοῦ, καὶ βλασφημῆται τὸ θεῖον.

ΑΡΙΣΤ. Ὁ δαιμονῶν οὐ κληροῦται, οὐδὲ συνεύχεται· μετὰ δὲ τὸν καθαρμὸν, εἰ ἄξιός ἐστι, γίνεται.

Οὐ γίνεται κληρικὸς ὁ δαιμονῶν, μέχρις ἂν ἀπαλλαγῇ τοῦ δαίμονος· ἀλλ' οὐδὲ συνεύχεται τοῖς πιστοῖς· ἀπαλλαγεὶς δὲ

τοῦ πάθους, καὶ εἰς εὐχὴν προσδέχεται, καὶ εἰς κλῆρον, εἰ ἄξιός ἐστι, προβιβάζεται.

Κανὼν Π΄.

Τὸν ἐξ ἐθνικοῦ βίου (1) προσελθόντα, καὶ βαπτισθέντα, ἢ ἐκ φαύλης διαγωγῆς, οὐ δίκαιόν ἐστι πάραυτα (2) προχειρίζεσθαι ἐπίσκοπον· ἄδικον γὰρ, τὸν μηδέπω πεῖραν(3) ἐπιδειξάμενον (4), ἑτέρων εἶναι διδάσκαλον· εἰμή που κατὰ θείαν χάριν τοῦτο γένηται (5).

ΖΩΝΑΡ. Ὁ ἄρτι τῇ πίστει προσελθὼν, καὶ ἀξιωθεὶς τοῦ θείου βαπτίσματος, οὐκ αὐτίκα εἰς ἐπίσκοπον χειροτονηθήσεται. Δεῖ γὰρ πρῶτον δοκίμιον ἑαυτοῦ δοῦναι, ὅτι τε περὶ τὴν πίστιν ἐστὶν ὑγιὴς, καὶ περὶ τὴν διαγωγὴν ἀνεπίληπτος· ταῦτα δὲ καιροῦ δέονται· οὐ γὰρ δι᾽ ὀλίγου δυνατὸν τὰ τοιαῦτα διαγινώσκεσθαι. Τὸν δὲ μήπω πεῖραν ἑαυτοῦ δεδωκότα, διδάσκαλον ἑτέρων καθίστασθαι, ἄδικόν τε καὶ σφαλερόν. Καὶ ὁ δεύτερος κανὼν τῆς οἰκουμενικῆς πρώτης συνόδου τοῦτο ἀπαγορεύει· καὶ τὸν τοῦτο ποιοῦντα, καθαιρεῖσθαι κελεύει. Καὶ Τιμοθέῳ δὲ ἐπιστέλλων ὁ μέγας Παῦλος, καὶ ὑπογράφων τῷ λόγῳ τὸν ἐπισκοπῆς προστησόμενον, καὶ τοῦτό φησι· Μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρῖμα ἐμπέσῃ τοῦ διαβόλου. Τὸ δὲ, εἰ μήπου κατὰ θείαν γένηται χάριν, οὕτω νοητέον· εἰ μήπου ἀποκαλυφθείη περὶ αὐτοῦ, ὡς χρὴ προβιβασθῆναι αὐτὸν εἰς ἐπισκοπήν· ὥσπερ περὶ τοῦ Παύλου τῷ Ἀνανίᾳ ἀπεκαλύφθη, εἰπόντος πρὸς αὐτὸν ἐν ὁράματι τοῦ Κυρίου, Ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν, καὶ βασιλέων, υἱῶν τε Ἰσραήλ.

ΒΑΛΣ. Μαθεῖν ὀφείλεις ἀπὸ τοῦ ι΄. κανόνος τῆς ἐν Σαρδικῇ συνόδου, καὶ τοῦ ιζ΄. κανόνος τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συνόδου, τῆς λεγομένης ά. καὶ β΄. ὅτι οὐδὲ πιστὸς

---

(1) τὸν ἐξ ἐθνῶν προσελθόντα Ἀρδ. — (2) Π. — παρ᾽ αὐτὰ Χ. Τρ. Κ. Βευερ. — παραυτίκα Ἑ. Βρ. — (3) Π. Κ. Ἑ. Βευερ. Χ. Τρ. Μάνσ. ἐν περισ. — τὸν μηδὲ πρόπειραν Βρ. — (4) Π. Χ. Τρ. — ἐνδειξάμενον Βευερ. — (5) γίνεται Βρ.

λαϊκὸς ἀπεντεῦθεν εἰς ἐπισκοπικὸν ἀξίωμα προβιβάζεται, εἰμὴ τοὺς νενομισμένους καιροὺς διὰ τῶν ἑτέρων πληρώσει βαθμῶν. Εἰ δὲ πιστὸς λαϊκὸς οὐ γίνεται ἄλλως πως ἐπίσκοπος, πολλῷ μᾶλλον οὐ προχειρισθήσεται εἰς ἐπισκοπὴν νεοφώτιστος, ἢ σκηνικὸς, εἰ μὴ τοὺς νενομισμένους διέλθῃ βαθμοὺς διὰ τοῦ ἀρκοῦντος καιροῦ· οὐδὲ διδάσκειν ἐκχωρηθήσεται, μήπω διδαχθεὶς τὸ μυστήριον. Χρὴ οὖν διὰ τοῦ ἀρκοῦντος καιροῦ δοκιμάζεσθαι τοῦτον, καὶ, ἄξιον ἴσως εὑρισκόμενον, προχειρίζεσθαι. Ζήτει καὶ τὸν β'. κανόνα τῆς ά. συνόδου, διοριζόμενον καθαιρεῖσθαι τὸν παρὰ ταῦτα ποιοῦντα. Καὶ ὁ μέγας δὲ Παῦλος, οὐ τὸν νέον ἀπαγορεύει, ἀλλὰ τὸν ἐκ νέου φυτευθέντα· τὸ μέν τοι, εἰ μήπου κατὰ θείαν χάριν τοῦτο γένηται, νόησον ῥηθῆναι περὶ ἀποκαλύψεως· τῷ γὰρ Ἀποστόλῳ Ἀνανίᾳ ἀπεκαλύφθη περὶ τοῦ μεγάλου Παύλου, ὅτι σκεῦός μοί ἐστιν ἐκλογῆς.

ΑΡΙΣΤ. Οὐκ ἐπισκοπεῖ νεοφώτιστος· οὐδὲ διὰ ταχέων, ὁ ἐκ φαύλης διαγωγῆς προσιών.

Τὸν νεωστὶ προσελθόντα, καὶ βαπτισθέντα, ἢ φαύλην ἔχοντα διαγωγὴν, σκηνικὸν τυχὸν ὄντα, ἢ ταξεώτην, οὐ δεῖ εὐθὺς προχειρίζεσθαι ἐπίσκοπον, ἀλλὰ πρότερον πεῖραν αὐτοῦ λαμβάνειν, καὶ οὕτω, μετὰ τὸ τοὺς ἱερατικοὺς ἅπαντας βαθμοὺ ἀπροσκόπτως διελθεῖν, καὶ εἰς ἐπισκοπὴν προχειρίζεσθαι.

Κανὼν ΠΑ΄

Εἴπομεν, ὅτι οὐ χρὴ ἐπίσκοπον, ἢ πρεσβύτερον καθιέναι ἑαυτὸν εἰς δημοσίας διοικήσεις, ἀλλὰ προσευκαιρεῖν ταῖς ἐκκλησιαστικαῖς χρείαις. Ἢ πειθέσθω οὖν τοῦτο μὴ ποιεῖν, ἢ καθαιρείσθω. Οὐδεὶς γὰρ δύναται δυσὶ κυρίοις δουλεύειν, κατὰ τὴν Κυριακὴν παρακέλευσιν (1).

ΖΩΝΑΡ. Ὁ ϛ'. κανὼν τοῦ παρόντος συντάγματος καθαιρεῖσθαι κελεύει τοὺς κοσμικὰς φροντίδας ἀναδεχομένους ἱερωμένους· οὗτος δὲ ὁ κανὼν σαφηνιστικὸς ἐκείνου ἐστίν· οὕτω γὰρ χρὴ

---

(1) Ματθ. ϛ', 24.

νοεῖν (1) κἀκεῖνον, ὅτι εἰ μὴ πείθοιτο, καὶ ἀφίσταται τῶν κοσμικῶν πραγμάτων, τότε καθαιρεθήσεται. Εἰ γὰρ ἀπέχεται τούτων, ὥςε(2) μηκέτι μετιέναι δημοσίας διοικήσεις, ἐπὶ τοῖς φθάσασι συγγνωσθήσεται. Διὰ τοῦτο γὰρ καὶ τοῦ προτέρου κανόνος μέμνηται ὁ κανὼν οὗτος. Ζητητέον δὲ καὶ τὸν ις'. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ τὸν γ'. τῆς τετάρτης συνόδου.

ΒΑΛΣ. Ὁ ϛ'. ἀποστολικὸς κανὼν ἀδιαστίκτως καθαιρεῖσθαι κελεύει τοὺς ἱερωμένους, κοσμικὰς φροντίδας ἀναλαμβανομένους. Ὁ δὲ παρὼν κανὼν συμπαθέστερον τούτους κολάζει· φησὶ γὰρ, ἢ παυσάσθωσαν, ἢ καθαιρείσθωσαν. Ἕλκυσον γοῦν εἰς μίαν ἔννοιαν τοὺς κανόνας πρὸς τὸ φιλανθρωπότερον, καὶ εἰπὲ καὶ τὸν ϛ'. κανόνα κατὰ τοῦτον νοεῖσθαι. Ζήτει καὶ τὸν ις'. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ τὸν γ'. τῆς τετάρτης.

ΑΡΙΣΤ. Ἐπίσκοπος ἀνεπίσκοπος, ὁ δημόσια χειριζόμενος.

Ὁ εἰς δημοσίας διοικήσεις ἑαυτὸν ἐκδιδοὺς, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ἐπίσκοπος, ἢ παυσάσθω, ἤ, μὴ πειθόμενος, καθαιρείσθω.

Κανὼν ΠΒ'.

Οἰκέτας εἰς κλῆρον προχειρίζεσθαι (3), ἄνευ τῆς τῶν δεσποτῶν γνώμης (4), οὐκ ἐπιτρέπομεν, ἐπὶ λύπῃ τῶν δεσποτῶν τῶν κεκτημένων (5)· οἴκων γὰρ ἀνατροπὴν τὸ τοιοῦτον ἐργάζεται. Εἰ δέ ποτε καὶ ἄξιος φανείη οἰκέτης(6), πρὸς χειροτονίαν βαθμοῦ, οἷος καὶ ὁ ἡμέτερος Ὀνήσιμος ἐφάνη (7), καὶ συγχωρήσωσιν οἱ δεσπόται, καὶ ἐλευθερώσωσι, καὶ τοῦ οἴκου (8) ἐξαποστείλωσι (9), γινέσθω.

—

ΖΩΝΑΡ. Τὰ ἐμποιοῦντα σκάνδαλά τισι, φεύγειν δεῖ τοὺς πιστούς· αἴτιον δὲ σκανδάλου, καὶ λύπης, τὸ τὸν ἀλλότριον δοῦλον παρὰ γνώμην τοῦ δεσπότου κληροῦσθαι. Διὸ καὶ κωλύει

(1) νοεῖσθαι Χ. Τρ.—(2) Χ. Τρ. — ὡς Βευερ. (3) προάγεσθαι Χ. Τρ.— (4) Π. Ἐ. Βρ. — συγγνώμης Χ. Τρ. Βευερ. Κ. — (5) Π. Μάνσ. ἐν περισσ. Ἐ. — οὐκ ἐπιτρέπομεν ἐπὶ λύπῃ τῶν κεκτημένων Χ. Τρ. Βευερ. Κ. Σ. Ῥ. — ἡ δὲ φράσις, οὐκ ἐπιτρέπομεν . . . οἴκων γὰρ, οὐ κεῖται παρὰ Βρ. — (6) ὁ οἰκέτης Βευερ. Χ. Τρ. Βρ. — (7) ἀνεφάνη, Ἀρδ. —(8) ἑαυτῶν Σ. Ῥ.—(9) ἐξαποστελοῦσι Ἐ. Βρ.

τοῦτο ὁ κανὼν, ὡς οἴκους ὅλους ἀνατρέπον. Ἴσως γὰρ διοικητὴς ἂν εἴη τοῦ οἴκου τοῦ δεσπότου αὐτοῦ ὁ δοῦλος ἐκεῖνος, ἢ ἐργαστηρίου δεσποτικοῦ προϊστάμενος, ἢ χρήματα ἐμπεπιστευμένος δι' ἐμπορίαν, καὶ ἡ χειροτονία αὐτοῦ διὰ ταῦτα εἰς λύπην ἔσται τῷ δεσπότῃ αὐτοῦ. Εἰ δὲ ἄξιος ἱερατικοῦ βαθμοῦ κριθείη ὁ οἰκέτης, χρὴ τὸν ἐπίσκοπον κοινοῦσθαι τὰ περὶ αὐτοῦ τῷ δεσπότῃ· καὶ εἰ κἀκεῖνος συνευδοκεῖ, χειροτονηθήσεται. Καὶ ὁ μέγας γὰρ Παῦλος Ὀνήσιμον, δοῦλον ὄντα Φιλήμονος, καὶ εὔχρηστον αὐτῷ κριθέντα εἰς διακονίαν, ἄνευ γνώμης τοῦ δεσπότου κατέχειν οὐκ ἔκρινεν, ἀλλ' ἀνέπεμψεν αὐτὸν πρὸς Φιλήμονα. Ὁ δὲ πολιτικὸς νόμος ἀρκεῖν εἰς ἐλευθερίαν, φησὶ, τοῦ δούλου, τὸ, εἰδότος τοῦ δεσπότου αὐτοῦ, καὶ μὴ ἀντιλέγοντος, τῷ κλήρῳ καταλεγῆναι αὐτόν.

ΒΑΛΣ. Περὶ δούλων κληρουμένων, ἀνάγνωθι καὶ τὸ λϛ'. κεφάλαιον τοῦ ά. τίτλου τοῦ παρόντος συντάγματος. Ἐνταῦθα δὲ ὁ κανὼν, μὴ θέλων σκανδαλίζεσθαι ὑφ' ἡμῶν τοὺς ἀδελφοὺς ἡμῶν, οὐ παραχωρεῖ εἰς κλῆρον προάγεσθαι δοῦλον ἀλλότριον, κἂν φρονιμώτατός ἐστι καὶ ἄξιος, εἰ μὴ καὶ ὁ δεσπότης πρὸς τοῦτο συναινέσῃ, καὶ πρότερον ἐλευθερίας αὐτὸν ἀξιώσῃ. Ἐγράφη δὲ πρὸς παράδειγμα καὶ τὸ γεγονὸς ἐπὶ τῷ Ὀνησίμῳ. Γέγραπται γὰρ ὡς τὸν τοιοῦτον Ὀνήσιμον, δοῦλον ὄντα Φιλήμονος, ὁ μέγας Παῦλος ἀντέστρεψε πρὸς τὸν Φιλήμονα, κἂν χρησιμώτατος πρὸς διακονίαν ἔδοξεν αὐτῷ, εἰπὼν μὴ δίκαιον εἶναι, ἄνευ γνώμης τοῦ Φιλήμονος, τοῦτον διακονεῖν ἐν τῷ τῆς πίστεως κηρύγματι· ὥστε οὐδὲ ἐλευθερία, οὐδὲ ἱερωσύνη, οὐδὲ ἄλλο τι ἀποξενοῦσι τὸν ἀγνοοῦντα δεσπότην, ἐκ τῆς κυριότητος τοῦ δούλου αὐτοῦ· καὶ τὸ νόμιμον δὲ, τὸ διοριζόμενον, κατὰ ἐλευθερίας οὐ δίδοται ἀποκατάστασις, οὐ νοεῖται περὶ τοιούτων, ἀλλὰ περὶ δούλου ἐλευθερωθέντος κατὰ γνώμην δεσπότου ἀτελοῦς.

ΑΡΙΣΤ. Οἰκέτης, ἀκλήρωτος· πλὴν εἰ μὴ, γνώμῃ δεσπότου· ὁ δὲ ἐπάξιος, ἐλευθερωθεὶς προβιβάζεται.

Ἄνευ γνώμης δεσπότου οὐ δεῖ οἰκέτην εἰς κλῆρον προσδέχεσθαι· ἐλευθερωθεὶς δὲ, ἄξιος τοῦ κληροῦσθαι φανεὶς, παραδέχεται.

Κανὼν ΠΓ'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, στρατείᾳ σχολάζων, καὶ βουλόμενος ἀμφότερα κατέχειν, Ῥωμαϊκὴν ἀρχὴν (1), καὶ ἱερατικὴν διοίκησιν, καθαιρείσθω. Τὰ γὰρ Καίσαρος, Καίσαρι· καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ (2).

—

ΖΩΝΑΡ. Στρατείαν ἐνταῦθα οὐχ ὅπλων μεταχείρισιν, ἢ προστασίαν στρατιωτῶν, οἶμαι τὸν κανόνα λέγειν, ἀλλὰ στρατιωτικῶν πραγμάτων διοίκησιν, οἷον σιτηρεσίων στρατιωτικῶν διανέμησιν, ἢ τροφῶν στρατιώταις ἀφωρισμένων ὑποδοχὴν, ἢ στρατολογίαν, ἢ καὶ διοικήσεις ἄλλας τινὰς, ἃς καὶ οἱ πολιτικοὶ νόμοι στρατείας εὑρίσκονται ὀνομάζοντες. Τοὺς γοῦν τοιούτοις τισὶ σχολάζοντας ἱερωμένους, ὁ κανὼν ὑπὸ καθαίρεσιν τίθησι, πάντως εἰ μὴ τούτων ἀφίστανται. Οὐ γὰρ δεῖ μιγνύειν τὰ ἄμικτα, τὰ Καίσαρος, φημὶ, καὶ τὰ τοῦ Θεοῦ. Ὁ δὲ τῆς ἐν Χαλκηδόνι συνόδου ἕβδομος κανὼν, καὶ ἀναθεματίζεσθαι τοὺς τοιούτους, μὴ μεταμελομένους, ὁρίζει.

ΒΑΛΣ. Διάφοροι κανόνες ἀποστολικοὶ ἐκώλυσαν τοὺς ἱερωμένους δημοσιακὰ πράγματα διοικεῖν. Ὁ δὲ παρὼν κανὼν καθαιρεῖσθαι θεσπίζει τοὺς στρατείᾳ σχολάζοντας, ἤτοι τοὺς διοικητὰς τῶν ϛρατιωτικῶν σιτηρεσίων, πραγμάτων, καὶ ϛρατολογιῶν. Τοιαύτην γὰρ εἶναι τὴν στρατείαν ὑποληπτέον μοι, καὶ μὴ τὴν δι' ὅπλων· ἐκείνη γὰρ πάντη ἀπηγόρευται. Καὶ ἀνάγνωθι τὸν ζ'. κανόνα τῆς ἐν Χαλκηδόνι συνόδου, ἀναθεματίζοντα τοὺς τοιούτους, εἰ μὴ μεταμεληθῶσιν. Ἐρωτήσει δέ τις, ἆρα καὶ ἐνταῦθα, τὸ, παυσάσθω, ἢ καθαιρείσθω, ἕξει χώραν, καθὼς ἐν τῷ πά. κανόνι ἐδιδάχθημεν; ἢ καὶ πρὸ ἐπιφωνημάτων, ὁ τὴν στρατείαν μεταχειριζόμενος ἱερωμένος ἀπεντεῦθεν καθαιρεθήσεται; Λύσις. Οἶμαι, ὅτι καὶ ἐνταῦθα, μετὰ ἐπιφώνησιν ὁ στρατολογῶν, εἰ μὴ παύσεται, καθαιρεθήσεται· πάντα γὰρ τὰ δημοσιακὰ τὴν αὐτὴν αἰτίαν ἔχουσιν. Ἀνάγνωθι καὶ κεφάλαιον λδ'. τοῦ θ'. τίτ. τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ.

(1) Χ. Τρ. Βρ. Βευερ. Σ. Ρ. — ἐν Πηδ. οὐχ εὕρηται τὸ, ἀρχὴν — (2) Ματθ. ΚΒ', 21.

ΑΡΙΣΤ. Ἱερεὺς ἄρχων, ἀνίερος· τὰ γὰρ Καίσαρος, Καίσαρι· καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ.

Ὁ Ῥωμαϊκὴν στρατείαν ἐθέλων κατέχειν, καὶ ἱερατικὴν διοίκησιν, καθαιρείσθω. Τὰ γὰρ Καίσαρος, Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ.

Κανὼν ΠΔ'.

Εἴ τις ὑβρίσοι(1) βασιλέα, ἢ ἄρχοντα, παρὰ τὸ δίκαιον(2), τιμωρίαν τιννύτω· καὶ εἰ μὲν κληρικὸς, καθαιρείσθω· εἰ δὲ λαϊκὸς ἀφοριζέσθω.

ΖΩΝΑΡ. Ὁ Μωσαϊκὸς νόμος, Ἄρχοντα, φησὶ, τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς· καὶ ὁ κορυφαῖος τῶν Ἀποστόλων Πέτρος, Τὸν βασιλέα τιμᾶτε, φησί· καὶ ὁ μέγας Παῦλος ὑπερεύχεσθαι κελεύει τῶν βασιλέων, καὶ πάντων τῶν ἐν ὑπεροχῇ, καὶ ταῦτα ἀπίστων. Ὑβρίζειν μὲν οὖν κεκώλυται πᾶς τις καὶ βασιλέας, καὶ ἄρχοντας· ἐλέγχειν δὲ παρὰ τὸ προσῆκον ποιοῦντάς τι, οὐ κωλύεται, κἂν οἱ τῶν ἐλέγχων λόγοι, δριμύτεροι ὄντες ἴσως, εἰς ὕβριν τοῖς ἐλεγχομένοις λογίζωνται. Παρὰ τὸ δίκαιον γὰρ ὑβρίζειν οὐ παραχωρεῖ ὁ κανὼν, ὡς ἐξ ἀντιδιαστολῆς νοεῖσθαι, ὅτι ὁ δικαίως καὶ βασιλέων, καὶ μεγιστάνων καθαπτόμενος, οὐ κολάσεως ἄξιος. Ὁ δὲ λϛ'. τίτλος τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν ἐν κεφαλαίῳ ιγ'. ταῦτά φησιν· Ἐάν τις κακῶς μνημονεύσῃ τοῦ βασιλέως, οὐχ ὑπόκειται τιμωρίᾳ· ἀλλὰ χρὴ τὰ περὶ αὐτοῦ τῷ βασιλεῖ μηνυθῆναι· εἰ γὰρ ἀπὸ κουφότητος ἐξῆλθε, καταφρονητέος· εἰ δὲ ἀπὸ μανίας, ἐλεημοσύνης ἄξιος· εἰ δὲ ὡς ἀδικούμενος, συγχωρητέος.

ΒΑΛΣ. Ὁ Μωσαϊκὸς νόμος φησίν· Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. Ἀκολούθως οὖν αὐτῷ διορίζεται καὶ ὁ παρὼν κανὼν, τὸν ὑβρίζοντα βασιλέα, ἢ ἄρχοντα, κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι, λαϊκὸν δὲ, ἀφορίζεσθαι. Καὶ τοῦτο μὲν, ὅσον ἀπὸ τῆς ἐκκλησιαστικῆς παραδόσεως. Οἱ δὲ πολιτικοὶ νόμοι ἄλλως διευλυτοῦσι τὰ τῆς βασιλικῆς ὕβρεως· καὶ ἀνάγνωθι τὸ λϛ'.

---

(1) Π. — ὅστις Ἐ. Βευερ. Χ. Τρ. Βρ. Σ. Ῥ. — ὑβρίζει Βρ. — (2) Π. Μανσ. ἐκ περισσ. Ἐ. Κ. Βευερ. Χ. Τρ. — οὐχ εὕρηται τὸ, παρὰ τὸ δίκαιον, παρὰ Βρ.

κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος. Τινὲς δὲ ἑρμηνεύοντες τὸ, Εἴ τις ὑβρίσει βασιλέα, ἢ ἄρχοντα παρὰ τὸ δίκαιον, εἶπον, πολλάκις ἐκλαμβάνεσθαι καὶ τὸν δίκαιον ἔλεγχον ἀντὶ ὕβρεως. Νομίζω δὲ τοῦτο ἑρμηνεύεσθαι ἀπὸ τοῦ ιγ'. κεφ. τοῦ λς'. τίτ. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν, ὅπερ κατεστρώθη ἐν τῷ λς'. κεφαλαίῳ τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος.

ΑΡΙΣΤ. Ὁ ἄρχοντα, καὶ βασιλέα, παρὰ θέμιν ὑβρίζων, κληρικὸς, καθαιρεῖται· λαϊκὸς, ἀφορίζεται.

Ὁ βασιλέα, ἢ ἄρχοντα, εὐσεβῶς ζῶντας, ὑβρίζων, εἰ μὲν κληρικός ἐστι, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

Κανὼν ΠΕ'.

Ἔστω ὑμῖν πᾶσι (1) κληρικοῖς καὶ λαϊκοῖς βιβλία σεβάσμια καὶ ἅγια, τῆς μὲν Παλαιᾶς Διαθήκης, Μωϋσέως, πέντε· Γένεσις, Ἔξοδος, Λευϊτικὸν, Ἀριθμοὶ, Δευτερονόμιον· Ἰησοῦ (2) Ναυῆ, ἕν· Κριτῶν (3), ἕν· Ῥοὺθ, ἕν· Βασιλειῶν, τέσσαρα· Παραλειπομένων, τῆς βίβλου τῶν ἡμερῶν, δύο· Ἔσδρα, δύο (4)· Ἐσθὴρ, ἕν(5)· Μακκαβαίων(6), τρία· Ἰὼβ, ἕν· Ψαλτηρίου, ἕν· Σολομῶντος, τρία· Παροιμίαι, Ἐκκλησιαστὴς, Ἆσμα Ἀσμάτων· Προφητῶν, δώδεκα (7)· Ἡσαίου, ἕν· Ἱερεμίου, ἕν· Ἰεζεκιὴλ, ἕν· Δανιὴλ, ἕν. Ἔξωθεν δὲ ὑμῖν προσιστορείσθω μανθάνειν ὑμῶν τοὺς νέους τὴν Σοφίαν τοῦ πολυμαθοῦς Σειράχ. Ἡμέτερα δὲ (τουτέστι, τῆς Καινῆς Διαθήκης), Εὐαγγέλια τέσσαρα· Ματθαίου, Μάρκου, Λουκᾶ, καὶ Ἰωάννου· Παύλου ἐπιστολαὶ δεκατέσσαρες· Πέτρου ἐπιστολαὶ δύο· Ἰωάννου, τρεῖς· Ἰακώβου, μία· Ἰούδα, μία· Κλήμεντος ἐπιστολαὶ δύο· καὶ αἱ Διαταγαὶ ὑμῖν τοῖς ἐπισκόποις δι' ἐμοῦ Κλήμεντος, ἐν ὀκτὼ βιβλίοις προσπεφωνημέναι· ἃς οὐ χρὴ δημοσιεύειν ἐπὶ πάντων διὰ τὰ ἐν

---

(1) Π. Μάνσ. ἐν περισελ. — Ἔστω ὑμῖν πᾶσι Βευερ. — (2) υἱοῦ Ναυῆ, ἕν· Βευερ. Βρ. — (3) Κριτῶν, ἕν· οὐ κεῖται παρὰ Βρ. — (4) τὸ, Ἔσδρα, δύο· οὐ κεῖται παρὰ Βρ.—ἀλλ' ἐν περισ. Μάνσ. Βευερ. Π. — (5) Ἰουδεὶθ, ἕν· Κοτελ. ΡΡ. ΑΛ. Τ. 1. σελ. 448. — (6) Μαχαβαϊκῶν Βρ. — (7) Π. — δεκαδύο Χ. Τρ. Βευερ. Βρ. — δεκαδύο, ἕν· Βρ. Χ. Τρ. Ἐ.

αὐταῖς μυστικά· καὶ αἱ Πράξεις ἡμῶν τῶν Ἀποστόλων.

ΖΩΝΑΡ. Διαταξάμενοι οἱ σεπτοὶ Ἀπόστολοι πῶς χρὴ τοὺς πιστοὺς βιοῦν, ἐπήγαγον τελευταῖον, καὶ τίνα δεῖ αὐτοὺς ἀναγινώσκειν βιβλία, καὶ ταῦτα ἀπηρίθμησαν. Ὡς δὲ ἄνω που εἴρηται, καὶ διαφόρων ἁγίων Πατέρων ἀπαριθμήσεις τῶν ἀναγνωστέων βιβλίων εὑρίσκονται· τοῦτο δὲ πεποιήκασιν, ὅτι διάφορα νόθα συγγράμματα, καὶ ψευδεπίγραφα ἦσαν, ἢ καὶ εἰσί· τὰ δέ, καὶ νενοθευμένα· οἷαι καὶ αἱ διὰ τοῦ Κλήμεντος ἐκπεφωνημέναι διαταγαί· καὶ αὗται γὰρ παρὰ κακοδόξων τινῶν ἐνοθεύθησάν τε, καὶ παρεφθάρησαν· διὸ καὶ ἀναγινώσκεσθαι ὅλως αὐτὰς ἀπηγόρευσεν ἡ οἰκουμενικὴ ἕκτη σύνοδος, ἐν κεφαλαίῳ δευτέρῳ τῶν παρ' αὐτῆς τεθέντων κανόνων. Τινὲς δὲ τῶν ἄλλων ἀπαριθμήσεων παραχωροῦσιν ἀναγινώσκεσθαι πρὸς τοῖς ἐνταῦθα ἀπηριθμημένοις, καὶ τὴν Σοφίαν Σολομῶντος, καὶ Ἰουδὴθ, καὶ Τωβίαν, καὶ τὴν Ἀποκάλυψιν τοῦ Θεολόγου (1).

Οὗτοι μὲν οὖν εἰσιν οἱ τῶν πανσέπτων Ἀποστόλων πε΄. κανόνες. Εὑρίσκονται δὲ ἔν τισι τῶν τοὺς κανόνας ἐχόντων βιβλίων, καὶ ἕτεροι κανόνες ἐπ' ὀνόματι ἑκάστου τῶν πανευφήμων Ἀποστόλων ἐπιγεγραμμένοι. Ἀλλ' ἡ ἐν τῷ Τρούλλῳ συναθροισθεῖσα σύνοδος τῶν σκζ΄. ἁγίων Πατέρων, ἐπὶ τῆς βασιλείας τοῦ αὐτοκράτορος Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου, ἡ λεγομένη ἕκτη, ἀπαρίθμησιν ποιησαμένη τῶν ἱερῶν κανόνων, οὕτω φησίν· Ἔδοξε τῇ ἁγίᾳ ταύτῃ συνόδῳ, μένειν βεβαίους, καὶ ἀσφαλεῖς, τοὺς ὑπὸ τῶν πρὸ ἡμῶν ἁγίων καὶ μακαρίων Πατέρων δεχθέντας, καὶ κυρωθέντας, ἀλλὰ μὴν καὶ παραδοθέντας ἡμῖν, ὀνόματι τῶν ἁγίων καὶ ἐνδόξων Ἀποστόλων, πε΄. κανόνας. Εἶτα περὶ τῶν παρὰ τοῦ ἁγίου Κλήμεντος συγγραφεισῶν Διατάξεων εἰποῦσα, μὴ χρῆναι ταύτας ἀναγινώσκεσθαι, καὶ ἀποβαλομένη αὐτάς, ὡς αἱρετικῶν νόθα τινά, καὶ ξένα τῆς εὐσεβείας, ἐπὶ λύμῃ τῆς ἐκκλησίας, αὐταῖς παρενειράντων, μέμνηται τῶν συνοδικῶν κανόνων, τῶν τε οἰκουμενικῶν συνό-

---

(1) Βλ. τῆς ἐν Καρθαγένῃ συνόδου καν. λβ΄. Π.

δων, καὶ τῶν τοπικῶν, καὶ τῶν παρὰ θείων Πατέρων, ἐκτὸς συνόδων, γενομένων κανόνων· καὶ ἐπὶ τούτοις ἐπάγει· Μηδενὶ ἐξεῖναι τοὺς προδηλωθέντας παραχαράττειν κανόνας, ἢ ἀθετεῖν, ἢ ἑτέρους, παρὰ τοὺς προκειμένους, παραδέχεσθαι κανόνας ψευδεπιγράφους, ὑπό τινων συντεθέντας, τῶν τὴν ἀλήθειαν καπηλεύειν ἐπιχειρησάντων. Ταῦτα τοῦ δευτέρου κανόνος τῆς ἕκτης συνόδου διατατομένου, καὶ μηδαμοῦ μνείαν ποιησαμένου ἑτέρων ἀποστολικῶν κανόνων παρὰ τοὺς πε', οὐκ ἐγκρίνεσθαι δεῖ τοὺς λεγομένους ἄλλους τῶν Ἀποστόλων κανόνας, ἀλλ' ἀποκρίνεσθαι μᾶλλον, ὀβελίζεσθαί τε, καὶ ἀποβάλλεσθαι, ὡς ψευδεπιγράφους, καὶ νόθους, καὶ τῶν ἀπηριθμημένων, καὶ τοῖς θείοις καὶ ἱεροῖς Πατράσιν ἐγκεκριμένων ἐκτός (1).

ΒΑΛΣ. Ἀπὸ μὲν τοῦ ξ'. κανόνος ἐμάθομεν μὴ ἀναγινώσκειν ψευδεπίγραφα βιβλία ἀσεβῶν ὡς ἅγια. Ἀρτίως δὲ μανθάνομεν, ποῖα βιβλία ἀναγινώσκειν ὀφείλομεν ἐκ τῆς Παλαιᾶς Διαθήκης, καὶ τῆς Νέας. Σὺ δὲ γίνωσκε, ὡς εἰ καὶ γέγραπται ἐνταυθοῖ, ἀναγινώσκειν ἡμᾶς τὰς Διαταγὰς τοῦ Κλήμεντος, πλὴν μὴ δημοσιεύειν αὐτάς, ἀλλ' ὁ β'. κανὼν τῆς ϛ'. συνόδου ἀπηγόρευσε τὴν τούτων ἀνάγνωσιν, διὰ τὸ γενέσθαι παραποίησιν ἐν αὐταῖς. Καὶ ἀνάγνωθι τὸν αὐτὸν β'. κανόνα, διοριζόμενον, μετὰ καὶ ἄλλων τινῶν, μόνους τοὺς πε'. κανόνας τῶν ἁγίων Ἀποστόλων ἀναγινώσκειν ἡμᾶς, καὶ ἑτέρου τινὸς μὴ ἐπιστρέφεσθαι, κἂν λέγηται εἶναι τῶν ἁγίων Ἀποστόλων κανών. Τὰ δὲ παρὰ τῶν ἁγίων Πατέρων, καὶ ὁμολογητῶν συγγραφέντα, καὶ ἀναγινώσκειν, καὶ κατασπάζεσθαι ὀφείλομεν, ὡς εἰς τὴν ἀληθῆ καὶ ὀρθόδοξον πίστιν ἡμᾶς ἀνάγοντα.

---

(1) Παρὰ Κ. καὶ ἐν Σ. Ῥ. ἀναγινώσκονται μετὰ τὸν πέ. καν. τὰ ἑξῆς· Ταῦτα καὶ περὶ κανόνων διατετάχθω ὑμῖν παρ' ἡμῶν, ὦ ἐπίσκοποι. Ὑμεῖς δὲ, ἐμμένοντες αὐτοῖς, σωθήσεσθε, καὶ εἰρήνην ἕξετε· ἀπειθοῦντες δὲ, κολασθήσεσθε, καὶ πόλεμον μετ' ἀλλήλων αἴδιον ἕξετε, δίκην τῆς ἀνηκοΐας τὴν προσήκουσαν τίνοντες.

Ὁ Θεὸς δὲ, ὁ μόνος αἴδιος, καὶ τῶν ὅλων ποιητὴς, ἅπαντας ὑμᾶς διὰ τῆς εἰρήνης ἐν Πνεύματι ἁγίῳ ἑνῶσαι, καὶ καταρτίσαι εἰς πᾶν ἔργον ἀγαθὸν ἀτρέπτους, ἀμέμπτους, ἀνεγκλήτους, καὶ καταξιῶσαι τῆς αἰωνίου ζωῆς σὺν ἡμῖν, διὰ τῆς μεσιτείας τοῦ ἠγαπημένου παιδὸς αὐτοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, μεθ' οὗ ἡ δόξα αὐτῷ τῷ ἐπὶ πάντων Θεῷ καὶ Πατρὶ, σὺν ἁγίῳ Πνεύματι, τῷ παρακλήτῳ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΡΙΣΤ. Σεβάσμιος, ἡ ἑξηκοντάβιβλος μόνον.

Ταῦτα μόνα πᾶσι κληρικοῖς, καὶ λαϊκοῖς, βιβλία σεβάσμια καὶ ἅγια ὀφείλουσι κρίνεσθαι· ἤγουν, τῆς μὲν Παλαιᾶς Διαθήκης, πέντε· Γένεσις, Ἔξοδος, Λευϊτικὸν, Ἀριθμοὶ, Δευτερονόμιον· Ἰησοῦ Υἱοῦ Ναυῆ, ἕν· Κριτῶν, καὶ Ῥοὺθ, ἕν· Βασιλειῶν, τέσσαρα· Παραλειπομένων, τῆς βίβλου τῶν ἡμερῶν, δύο· Ἔσδρα, δύο· Ἐσθὴρ, ἕν· Μακκαβαίων, τρία. Ἰὼβ, ἕν· Ψαλτήριον, ἕν· Σολομῶντος, τρία· Παροιμίαι, Ἐκκλησιαστὴς, Ἆσμα Ἀσμάτων· Προφητῶν, δεκαδύο· ἔξωθεν δὲ τούτων, καὶ ἡ Σοφία τοῦ πολυμαθοῦς Σειράχ. Τῆς δὲ Καινῆς Διαθήκης, Εὐαγγέλια τέσσαρα· Ματθαίου, Μάρκου, Λουκᾶ, Ἰωάννου. Παύλου ἐπιστολαὶ δεκατέσσαρες· Πέτρου ἐπιστολαὶ δύο· Ἰωάννου, τρεῖς· Ἰακώβου, μία· Ἰούδα, μία· Κλήμεντος αἱ δύο ἐπιστολαί· καὶ αἱ Πράξεις τῶν Ἀποστόλων· καὶ αἱ Διαταγαὶ, αἱ διὰ τοῦ αὐτοῦ Κλήμεντος τοῖς ἐπισκόποις ἐν ὀκτὼ βιβλίοις προσπεφωνημέναι· ἃς οὐδὲ χρὴ δημοσιεύειν ἐπὶ πάντων, διὰ τὰ ἐν αὐταῖς μυστικά· μᾶλλον δὲ ὁ δεύτερος κανὼν τῆς ἐν τῷ Τρούλλῳ γενομένης ἕκτης συνόδου παντελῶς ἀποβάλλεται τὰς τοιαύτας Διατάξεις, διὰ τὸ ἐν αὐταῖς ὑπὸ τῶν ἑτεροδόξων προστεθῆναί τινα νόθα καὶ ξένα τῆς εὐσεβείας.

ΑΠΟΣΤΟΛΩΝ ΕΥΡΑΝΤΟ ΚΑΝΟΝΕΣ ΤΕΛΟΣ (1).

---

(1) Κ. Σ. Γρ. — οὐχ εὕρηται παρὰ Βευερ.

ΚΑΝΟΝΕΣ

ΤΗΣ ΕΝ ΝΙΚΑΙΑι ΑΓΙΑΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗΣ

ΠΡΩΤΗΣ ΣΥΝΟΔΟΥ (1).

ΖΩΝΑΡ. Ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος γέγονε βασιλεύοντος τοῦ μεγάλου Κωνσταντίνου, ἀθροισθέντων ἐν Νικαίᾳ τῆς Βιθυνίας τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων Πατέρων, κατὰ Ἀρείου, γεγονότος πρεσβυτέρου τῆς κατὰ Ἀλεξάνδρειαν ἐκκλησίας, ὃς ἐβλασφήμει κατὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, λέγων μὴ ὁμοούσιον εἶναι αὐτὸν τῷ Θεῷ καὶ Πατρὶ, κτίσμα δέ· καὶ ὅτι ἦν, ὅτε οὐκ ἦν· ὃν καὶ καθεῖλεν ἡ ἁγία σύνοδος αὕτη, καὶ ἀνεθεμάτισε μετὰ τῶν ὁμοφρόνων αὐτοῦ· ἐδογμάτισε δὲ ὁμοούσιον τῷ Πατρὶ τὸν Υἱὸν, καὶ Θεὸν ἀληθινὸν, καὶ Δεσπότην, καὶ Κύριον, καὶ κτίστην τῶν κτιστῶν ἁπάντων· ἀλλ' οὐ κτίσμα, οὐδὲ μέντοι γε ποίημα. Πρώτη δὲ σύνοδος ἡ ἐν Νικαίᾳ αὕτη λέγεται πρὸς τὰς οἰκουμενικὰς ἀριθμουμένη· ἐπείτοι γε πρὸ αὐτῆς διάφοροι γεγόνασι σύνοδοι τοπικαί. Ἀλλὰ τῶν οἰκουμενικῶν αὕτη οὖσα πρώτη, προτέτακται τῶν λοιπῶν, τῶν πρὸ αὐτῆς γενομένων· τῆς ἐν Ἀντιοχείᾳ δηλαδὴ, κατὰ Παύλου τοῦ Σαμοσατέως, συγκροτηθείσης ἐπὶ Αὐρηλιανοῦ βασιλέως, τῆς τε ἐν Ἀγκύρᾳ, ἐν ᾗ ζήτησις γέγονε περὶ τῶν ἐν καιροῖς διωγμῶν τὴν πίστιν ἀρνησαμένων, καὶ μεταμελομένων, ὅπως δεῖ τούτους προσδέχεσθαι· καὶ τῆς ἐν Νεοκαισαρείᾳ, ἐν ᾗ περὶ ἐκκλησιαστικῆς καταστάσεως κανόνες ἐξεφωνήθησαν.

---

(1) Τῶν συνοδικῶν ἔνθεν ἀρχὴ κανόνων· Χ. Τρ. —Κανόνες τῶν τιή. ἁγίων Πατέρων, τῶν ἐν Νικαίᾳ συνελθόντων, ἐν ὑπατείᾳ Παυλίνου καὶ Ἰουλιανοῦ, τῶν λαμπροτάτων ὑπάρχων (ἴσ. ὑπάτων), ἔτους ἑξακοσιοστοῦ τριακοστοῦ ἕκτου ἀπὸ Ἀλεξάνδρου, ἐν μηνὶ Δεσίῳ, ἐννεακαιδεκάτῃ πρὸ δεκατριῶν Καλανδῶν Ἰουλίων. Βρ.

ΒΑΛΣ. (1) Ἡ ἁγία αὕτη καὶ οἰκουμενικὴ πρώτη σύνοδος γέγονε, βασιλεύοντος (τῷ δεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ) τοῦ μεγάλου Κωνσταντίνου, ἀθροισθέντων ἐν Νικαίᾳ τῆς Βιθυνίας τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων Πατέρων, κατὰ Ἀρείου, γεγονότος πρεσβυτέρου τῆς κατὰ Ἀλεξάνδρειαν ἐκκλησίας, ὃς ἐβλασφήμει κατὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ, λέγων, μὴ ὁμοούσιον εἶναι αὐτὸν τῷ Θεῷ καὶ Πατρὶ, κτίσμα δέ· καὶ ὅτι ἦν, ὅτε οὐκ ἦν· ὃν καθεῖλεν ἡ ἁγία σύνοδος αὕτη, καὶ ἀνεθεμάτισε μετὰ τῶν ὁμοφρόνων αὐτῷ. Ἐδογμάτισε δὲ ὁμοούσιον τῷ Πατρὶ τὸν Υἱὸν, καὶ Θεὸν ἀληθινὸν, καὶ Δεσπότην, καὶ Κύριον, καὶ κτίστην τῶν κτιστῶν ἁπάντων, ἀλλ' οὐ κτίσμα, οὐδὲ μέντοιγε ποίημα. Πρώτη δὲ σύνοδος ἡ ἐν Νικαίᾳ αὕτη λέγεται πρὸς τὰς οἰκουμενικὰς ἀριθμουμένη· ἐπείπερ πρὸ αὐτῆς διάφοροι γεγόνασι σύνοδοι τοπικαί· ἀλλὰ τῶν οἰκουμενικῶν αὕτη οὖσα πρώτη, προτέτακται καὶ τῶν λοιπῶν τῶν πρὸ αὐτῆς γενομένων, τῆς ἐν Ἀντιοχείᾳ δηλαδὴ, κατὰ Παύλου τοῦ Σαμοσατέως, συγκροτηθείσης ἐπὶ Αὐρηλιανοῦ βασιλέως, τῆς ἐν Ἀγκύρᾳ, καὶ τῆς ἐν Νεοκαισαρείᾳ.

Κανὼν Α'.

Εἴ τις ἐν νόσῳ ὑπὸ ἰατρῶν ἐχειρουργήθη, ἢ ὑπὸ βαρβάρων ἐξετμήθη, οὗτος μενέτω ἐν τῷ κλήρῳ. Εἰ δέ τις ὑγιαίνων ἑαυτὸν ἐξέτεμε, τοῦτον καὶ ἐν τῷ κλήρῳ ἐξεταζόμενον, πεπαῦσθαι προσήκει· καὶ ἐκ τοῦ δεῦρο, μηδένα τῶν τοιούτων χρῆναι προάγεσθαι. Ὥσπερ δὲ τοῦτο πρόδηλον, ὅτι περὶ τῶν ἐπιτηδευόντων τὸ πρᾶγμα, καὶ τολμώντων ἑαυτοὺς ἐκτέμνειν εἴρηται· οὕτως, εἴ τινες ὑπὸ βαρβάρων, ἢ δεσποτῶν εὐνουχίσθησαν (2), εὑρίσκοιντο δὲ ἄλλως ἄξιοι, τοὺς τοιούτους εἰς κλῆρον προσίεται ὁ κανών.

—

ΖΩΝΑΡ. Διάφοροι κανόνες τῶν ἁγίων Ἀποστόλων τὰ αὐτὰ τῷ παρόντι κανόνι διατάττονται· καὶ οἱ τῆς πολιτείας δὲ νόμοι.

---

(1) Ὁ πρόλογος οὗτος οὐχ εὕρηται ἐν Χ. Τρ. ὑπὸ τὸ ὄνομα τοῦ Βαλσ. παρὰ δὲ Ε. κεῖται μετὰ τὸν α'. κανόνα. — (2) εὐνουχισθέντες Ἰουστ. ἐν περισσ.

Ἔοικε δὲ καταφρονηθῆναι τὸ πρᾶγμα καὶ μετὰ τοὺς κανόνας, καὶ αὖθίς τινας ἑαυτοὺς ἀκρωτηριάζοντας, προάγεσθαι εἰς κλῆρον· καὶ τοὺς ὑφ' ἑτέρων ἐκτμηθέντας κατ' ἐπήρειαν, μὴ προάγεσθαι. Διὰ τοῦτο οὖν καὶ οἱ τῆς συνόδου ταύτης τὸν παρόντα κανόνα ἐξέθεντο, διαταττόμενοι τὰ αὐτὰ τοῖς ἀποστολικοῖς κανόσι καὶ τοῖς νόμοις· ὥστε μήτε τοὺς ἑαυτοὺς ἐκδόντας εἰς ἐκτομὴν, ἢ αὐτόχειρας γενομένους, κληροῦσθαι, ἢ εἰς ἱερωσύνην ἀνάγεσθαι· ἀλλὰ κἂν προέφθασαν ἐν κλήρῳ ταχθῆναι, ἐκβάλλεσθαι τούτου· μήτε τοὺς ὑφ' ἑτέρων ἐπηρεασθέντας, καὶ τῶν παιδογόνων στερηθέντας μορίων, ἐὰν ἄξιοι κρίνωνται ἱερωσύνης, κωλύεσθαι διὰ τοῦτο προαχθῆναι εἰς ἱερωσύνην. Ἑαυτὸν δ' ἐκτεμὼν οὐχ ὁ χερσὶν οἰκείαις ἀποκόψας τὸ μόριον λέγεται μόνος, ἀλλὰ καὶ ὁ ἄλλῳ ἑκὼν καὶ χωρὶς ἀνάγκης ἑαυτὸν εἰς ἐκτομὴν ἐπιδούς. Πλατύτερον δὲ τὰ περὶ τούτου ἐξήγηται ἐν τῷ κα'. καὶ β'. καὶ γ'. καὶ δ'. τῶν ἀποστολικῶν κανόνων.

ΒΑΛΣ. Οἱ ἀποστολικοὶ θεῖοι κανόνες ὁ κα'. ὁ κβ'. ὁ κγ'. καὶ ὁ κδ'. ἱκανῶς ἡμᾶς ἐδίδαξαν, τί ὀφείλει γίνεσθαι εἰς τοὺς ἀκρωτηριαζομένους τοὺς διδύμους. Ἀκολούθως οὖν τούτοις καὶ ὁ παρὼν κανὼν διατάττεται, μήτε τοὺς ἑαυτοὺς ἐκδόντας εἰς ἐκτομὴν, ἢ αὐτόχειρας γενομένους, κληροῦσθαι, ἢ εἰς ἱερωσύνην προάγεσθαι, ἀλλὰ κἂν προέφθασαν ἐν κλήρῳ ταχθῆναι, ἐκβάλλεσθαι τούτου· μήτε τοὺς ὑφ' ἑτέρων ἐπηρεασθέντας (1), καὶ τῶν παιδογόνων στερηθέντας μορίων, ἐὰν ἄξιοι κρίνωνται, ἱερωσύνης κωλύεσθαι διὰ τοῦτο. Ἀνάγνωθι καὶ τὸν η'. κανόνα τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης συνόδου, τῆς λεγομένης πρώτης καὶ δευτέρας. Ἐπεὶ δὲ τοὺς ἀποστολικοὺς κανόνας ἑρμηνεύοντες, ἐγράψαμεν κολάζεσθαι τὸν μετὰ τὴν χειροτονίαν διὰ πάθος ἑαυτὸν ἀκρωτηριάσαντα· ἀπὸ δὲ τοῦ παρόντος κανόνος λέγοντος, Εἴ τις ἐν νόσῳ ὑπὸ ἰατρῶν ἐχειρουργήθη, οὗτος μενέτω ἐν τῷ κλήρῳ· καὶ αὖθις, Εἰ δέ τις ὑγιαίνων ἑαυτὸν ἐξέτεμε, τοῦτον, καὶ ἐν τῷ κλήρῳ ἐξεταζόμενον, πεπαῦσθαι προσήκει· εἶπόν τινες μὴ κολάζεσθαι τὸν μετὰ τὴν κλήρωσιν διὰ πάθος ἀκρωτηριασθέντα· φαμὲν, ὡς ὁ τοιοῦτος

(1) Βευερ. Ἑ. — ἀκρωτηριασθέντας Χ. Τρ.

κανὼν οὐ διαλέγεται περὶ τῶν ἀκρωτηριασθέντων μετὰ τὴν ἱερωσύνην, ἀλλὰ πρὸ τῆς ἱερωσύνης, μετὰ δὲ ταύτην, εἰς ἀμφιβολίαν ἐμπεσόντων. Εἰ δὲ καὶ πλέον ἀνθίσταταί τις, καὶ θέλει συγγνωμονηθῆναι τὸν διὰ πάθος μετὰ τὴν ἱερωσύνην ἀκρωτηριασθέντα, ἀκουσάτω, ὡς ἡ ρμϐ'. Ἰουστινιάνειος νεαρὰ, ἡ κειμένη ἐν βιβλίῳ ξ'. τίτλῳ να'. κεφαλαίῳ τελευταίῳ, ἥτις καὶ κατεστρώθη ἐν κεφαλαίῳ ιδ'. τοῦ πρώτου τίτλου τοῦ παρόντος συντάγματος, ἐπιστομίζει αὐτόν. Ταῦτα δὲ λέγομεν, ἐὰν χωρὶς εἰδήσεως τῆς ἐκκλησίας μετὰ τὴν ἱερωσύνην ἀκρωτηριασθῇ τις· εἰ γὰρ κατ' ἐπιτροπὴν ἐκκλησιαστικὴν εὐνουχισθῇ (1) τις, καὶ μετὰ τὴν κλήρωσιν, οὐ προκριματισθήσεται, ὡς ἐμοὶ τέως δοκεῖ· κἂν (2) οὐκ εἶδόν τινα ἱερωμένον ἐκχωρηθέντα διὰ νόσον εὐνουχισθῆναι· *καὶ ταῦτα* (3) πολλῶν τοῦτο ζητησάντων συνοδικῶς, καὶ ὅτε τὸ χαρτοφυλακικὸν ἐνήργουν (4) ὀφφίκιον, ἀλλὰ καὶ μετὰ τὸ πατριαρχεῦσαι, διὰ τὴν ὑποψίαν τοῦ ἐπικινδύνου ἀποτελέσματος τῆς ἰατρείας (5).

ΑΡΙΣΤ. Οἱ εὐνοῦχοι εἰς κλῆρον δεχέσθωσαν· οἱ δὲ ἐκτεμόντες ἑαυτοὺς μὴ δεχέσθωσαν.

Εἴρηται καὶ ἐν τοῖς ἀποστολικοῖς κανόσιν, ἤτοι τῷ κϐ'. κγ'. καὶ κδ'. ἄξιον ἱερωσύνης μὴ κωλύεσθαι εἰς κλῆρον προβιβάζεσθαι, εἴπερ ἀκουσίως ἐξευνουχίσθη· τὸν δὲ ἑκουσίως ἀκρωτηριάσαντα ἑαυτὸν, ὡς αὐτοφονευτὴν ἑαυτοῦ, εἰς κλῆρον ὅλως μὴ παραδέχεσθαι, ἀλλὰ καὶ κληρικὸν ὄντα, καθαιρεῖσθαι. Τῆς αὐτῆς οὖν καὶ ὁ παρὼν κανὼν ἐννοίας ἐστίν.

Κανὼν Β'.

Ἐπειδὴ πολλὰ, ἤτοι ὑπὸ ἀνάγκης, ἢ ἄλλως ἐπειγομένων τῶν ἀνθρώπων, ἐγένετο παρὰ τὸν κανόνα τὸν ἐκκλησιαστικὸν, ὥστε ἀνθρώπους ἀπὸ ἐθνικοῦ βίου ἄρτι προσελθόντας τῇ πίστει, καὶ ἐν ὀλίγῳ χρόνῳ κατηχηθέντας, εὐθὺς ἐπὶ τὸ πνευματικὸν λουτρὸν ἄγειν, καὶ ἅμα τῷ

(1) εὐνουχίσθη Ἑ. Βευερ, — (2) κἂν καὶ οὐκ εἶδον Χ. Τρ. — (3) Χ. Τρ. — (4) ἐνηργήθη Χ. Τρ. Ἑ. — (5) Χ. Τρ. καὶ Ἑ. — τὰ ἐντὸς * οὐ κεῖνται παρὰ Βευερ.

βαπτισθῆναι προάγειν (1) εἰς ἐπισκοπὴν, ἢ εἰς πρεσβυτέριον (2), καλῶς ἔδοξεν ἔχειν, τοῦ λοιποῦ μηδὲν τοιοῦτο γίνεσθαι· καὶ γὰρ καὶ χρόνου δεῖ τῷ κατηχουμένῳ, καὶ μετὰ τὸ βάπτισμα, δοκιμασίας πλείονος. Σαφὲς γὰρ τὸ ἀποστολικὸν γράμμα, τὸ λέγον· Μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ, καὶ παγίδα τοῦ διαβόλου (3). Εἰ δὲ, προϊόντος τοῦ χρόνου, ψυχικόν τι ἁμάρτημα εὑρεθείη περὶ τὸ πρόσωπον, καὶ ἐλέγχοιτο ὑπὸ δύο, ἢ τριῶν μαρτύρων, πεπαύσθω ὁ τοιοῦτος τοῦ κλήρου. Ὁ δὲ παρὰ ταῦτα ποιῶν, ὡς ὑπεναντία (4) τῇ μεγάλῃ συνόδῳ θρασυνόμενος, αὐτὸς κινδυνεύσει περὶ τὸν (5) κλῆρον.

ΖΩΝΑΡ. Καὶ ὁ ὀγδοηκοστὸς κανὼν τῶν ἁγίων Ἀποστόλων, τὸν ἐξ ἐθνικοῦ βίου προσελθόντα, ἢ ἐκ φαύλης διαγωγῆς, μὴ αὐτίκα προχειρίζεσθαι ἐπίσκοπον ἐπισκήπτει. Καὶ ὁ μέγας δὲ Παῦλος Τιμοθέῳ γράφων, καὶ οἷον εἶναι δεῖ τὸν εἰς ἐπισκοπὴν προαγόμενον διατατόμενος, καὶ μὴ νεόφυτον εἶναί φησι. Διὸ καὶ οἱ Πατέρες οὗτοι ὁρίζουσι, μήτε τὸν τῇ πίστει προσερχόμενον αὐτίκα βαπτίζεσθαι, εἰ μὴ ἀρκούντως κατηχηθείη, μήτε βαπτισθέντα εὐθὺς εἰς κλῆρον κατατάττεσθαι, μήπω δόντα δοκίμιον ἑαυτοῦ, ὅπως τε περὶ τὴν πίστιν ἔχει, καὶ ὅπως περὶ τὸν βίον. Εἰ δὲ καὶ μετὰ δοκιμασίας γένηται, ἀνεπίληπτος δόξας, προϊόντος δὲ τοῦ χρόνου ἁμάρτημά τι ψυχικὸν ἔχων ἐλεγχθείη, παύεσθαι τοῦτον διατάττονται. Ἀπορεῖται δὲ, τί ἂν εἴη τὸ ψυχικὸν ἁμάρτημα, καὶ διὰ τί ψυχικῶν ἐμνήσθη μόνον, ἀλλ' οὐχὶ καὶ σαρκικῶν· καὶ ταῦτα ὡς ἐπίπαν τῶν σαρκικῶν (6) καθαιρεῖν μᾶλλον πεφυκότων τοὺς περιπεπτωκότας αὐτοῖς· τῶν ψυχικῶν δέ γε, ὡς ἐπ' ἐλάχιστον. Οἱ μὲν οὖν τοὺς τὸν κανόνα ἐκθεμένους ἁγίους Πατέρας, πᾶν ἁμάρτημα εἰς ψυχὴν φέρον (7) βλάβην, ψυχικὸν ὀνομάσαι φασίν. Οἱ δὲ ψυχικά φασιν ἁμαρτήματα, τὰ

(1) προσάγειν Π. Βρ. Κ. — Χ. Τρ. Βευερ.— (2) Π. — πρεσβυτερεῖον Χ. Τρ. Ἐ. Κ. Βρ.—πρεσβυτικὴν Βευερ. — (3) α'. Τιμόθ. Γ', 6, 7. — (4) Π. Βρ.—ὑπεναντίως Χ. Τρ. Βευερ. — (5) περὶ τὸν ἴδιον κλῆρον Σ. Ῥ. Ἀρδ. — (6) Χ. Τρ. Κ. — παραλείπει ὁ Βευερ. τὸ, καὶ ταῦτα ὡς ἐπίπαν τῶν σαρκικῶν. — (7) Χ. Τρ. καὶ Κ. — τὴν βλάβην Βευερ.

ἐκ ψυχικῶν παθῶν γινόμενα, οἷον ἐξ οἰήσεως, καὶ ὑπερηφανίας, καὶ ἀνηκοΐας· καὶ ταῦτα γὰρ καθαιρέσει, ἀθεράπευτα μένοντα, ὑποβάλλουσι. Δῆλον δὲ τοῦτο ἐκ τῶν καλουμένων Ναυατιανῶν· ἐκεῖνοι γὰρ οὐ πρὸς δόγμα ἐσφάλλοντο· ἀλλὰ καθαροὺς ἑαυτοὺς ἐξ οἰήσεως ὀνομάζοντες, οὔτε τοὺς ἐν διωγμοῖς παραπεσόντας μετανοοῦντας ἐδέχοντο, οὔτε διγάμοις ἐκοινώνουν· διὸ καὶ ἐξεκηρύχθησαν τῆς τῶν πιστῶν ὁμηγύρεως, διὰ τὴν οἴησιν, καὶ τὴν μισαδελφίαν αὐτῶν. Εἰ γοῦν ἐκεῖνοι διὰ ταῦτα καὶ τῆς ἐκκλησίας ἀπεβλήθησαν, πῶς οὐκ ἂν ὁ δι' οἴησιν ἐπισκόπῳ αὐτοῦ μὴ πειθόμενος, καὶ ἀδιόρθωτος μένων, καθαιρεθήσεται; Καὶ ὁ ε. δὲ τῶν ἁγίων Ἀποστόλων κανὼν τοὺς τὰς ἑαυτῶν γυναῖκας προφάσει εὐλαβείας ἐκβάλλοντας, ἀφορίζεσθαι κελεύει, ἐπιμένοντας δὲ, καὶ καθαιρεῖσθαι. Καὶ ὁ λϛ'. τῶν αὐτῶν διατάττεται, τοὺς ψήφῳ τῶν ἐπισκόπων εἰς προστασίαν καλουμένους, μὴ καταδεχομένους δὲ τὸ λειτούργημα, ἀφωρισμένους εἶναι, ἕως ἂν καταδέξωνται· ὥστε, εἰ μὴ καταδέχοιντο, εἶεν ἂν διὰ βίου ἀφωρισμένοι· οἱ δὲ διὰ βίου ἀφωρισμένοι, οὐδὲν ἀπεοίκασι καθῃρημένων. Οἶμαι δὲ κρεῖσσον εἰπεῖν, ὅτι πᾶν ἁμάρτημα δικαίως ἂν ὀνομάζοιτο ψυχικὸν, ὡς ἐκ παρατροπῆς τῶν ψυχικῶν δυνάμεων τὴν ἀρχὴν ἔχον. Εἰς τρία γὰρ τῶν περὶ τὴν ψυχὴν θεωρουμένων διαιρουμένων, εἴς τε τὸ λογικὸν, τὸ ἐπιθυμητικὸν, καὶ τὸ θυμικὸν, ἐξ ἑκάστου τούτων αἱ ἀρεταὶ καὶ αἱ κακίαι πεφύκασι φύεσθαι· αἱ μὲν, ὅταν ὀρθῶς, καὶ ὡς παρὰ τοῦ δημιουργοῦ ἡμῖν ἐνετέθησαν, αὐταῖς χρώμεθα· αἱ δὲ κακίαι, ὅταν αὐταῖς παραχρώμεθα. Τοῦ μὲν οὖν λογικοῦ ἀρετὴ καὶ κατόρθωμα, ἡ εὐσέβεια, καὶ αἱ τῷ θείῳ πρέπουσαι ἡμέτεραι ἔννοιαι, καὶ ἡ τοῦ καλοῦ καὶ τοῦ χείρονος ἀνεπισφαλὴς διάκρισις, καὶ τί μὲν αἱρεῖσθαι δέον, τί δὲ ἀποτρέπεσθαι. Ἡ δὲ ἐκ τούτων ἀπόπτωσις, κακία, καὶ ἁμαρτία ἐστί. Τοῦ δὲ ἐπιθυμητικοῦ μέρους ἀρετὴ, τὸ τῶν ὄντως ἐρᾷν ὀρεκτῶν, τῆς θείας φημὶ φύσεως, καὶ τῶν οἰκειοῦν ἡμᾶς ἐκείνῃ δυναμένων πράξεων. Ἡ δ' ἐκ τούτων παρατροπὴ, καὶ εἰς γήϊνα φορὰ, τῆς ἐπιθυμίας ἁμάρτημα. Ὁμοίως δὲ καὶ τοῦ θυμικοῦ ἀρετὴ, ἡ πρὸς τὴν κακίαν ἐναντίωσις καὶ ἀπέχθεια, καὶ τὸ πρὸς τὰς τοῦ σώματος ὀρέξεις ἀνθίστασθαι, καὶ μέχρις αἵματος πρὸς τὴν ἁμαρτίαν ἀντικαθίστασθαι, καὶ τοῦ ὀρθοῦ λόγου καὶ τῆς ἀρετῆς

προμαχεῖν, καὶ μετὰ τοῦ Δαβὶδ λέγειν· Εἶδον ἀσυνετοῦντας, καὶ ἐξετηκόμην· κακία δὲ, ἡ πρὸς τὸν πλησίον ὀργὴ, καὶ τὸ μῖσος, καὶ αἱ φιλόνεικοι διαθέσεις, καὶ αἱ μνησικακίαι. Οὕτως οὖν, ὡς εἴρηται, ἐκ τῶν ψυχικῶν δυνάμεων τῶν ἁμαρτημάτων συνισταμένων, καλῶς οἱ θεῖοι Πατέρες ψυχικὰ εἰρήκασιν ἁμαρτήματα, καὶ τῷ μεγάλῳ Παύλῳ ἑπόμενοι, λέγοντι· Ἔστι σῶμα ψυχικὸν, καὶ ἔστι σῶμα πνευματικόν· ψυχικὸν ὀνομάζοντι, τὸ ὑπὸ τῆς ψυχῆς ἡγεμονευόμενον, καὶ κυριαρχούμενον, καὶ ταῖς φυσικαῖς αὐτῆς δουλεῦον δυνάμεσιν, ἐνδιδοῦν τε (1) θυμῷ, καὶ ἐπιθυμίᾳ, καὶ τοῖς γηΐνοις προστετηκὸς, καὶ οὐδὲν ὑπὲρ ταῦτα φρονοῦν.

ΒΑΛΣ. Ἀπὸ μὲν τοῦ π'. κανόνος τῶν ἁγίων Ἀποστόλων ἐμάθομεν, μήτε τὸν ἐξ ἐθνικοῦ βίου προσελθόντα τῇ ἐκκλησίᾳ, μήτε τὸν ἐκ φαύλης διαγωγῆς, αὐτίκα προχειρίζεσθαι ἐπίσκοπον· καὶ ἀνάγνωθι τὰ ἐν ἐκείνῳ γραφέντα. Ὁ δὲ παρὼν κανὼν προστίθησι, μηδὲ πρεσβύτερον αὐτίκα γίνεσθαι τὸν τοιοῦτον, μηδὲ ἄπιστόν τινα βαπτίζεσθαι πρὸ τοῦ ἱκανῶς κατηχηθῆναι, διὰ τὸ δεῖσθαι ταῦτα (2) χρόνου εἰς δοκιμασίαν· τὸν δὲ παρὰ ταῦτα ποιοῦντα, καθαιρεῖσθαί φησι. Τοῦ δὲ κανόνος κολάζοντος τὰ μετὰ τὸ βάπτισμα ἀναφανησόμενα ψυχικὰ ἁμαρτήματα, ἠρώτησάν τινες, ποῖά εἰσι ψυχικὰ ἁμαρτήματα, καὶ διὰ τί ψυχικῶν ἐμνήσθη ὁ κανὼν ἁμαρτημάτων, καὶ οὐχὶ σαρκικῶν. Καὶ ἄλλοι μὲν εἶπον, ψυχικὰ ἁμαρτήματα, εἶναι τὰ ἐκ ψυχικῶν παθῶν τικτόμενα, οἷον ἐξ οἰήσεως, ἐξ ἀνηκοΐας, καὶ ἑτέρων τοιούτων· καὶ ταῦτα γὰρ καθαιροῦσιν, ὡς ἡ τῶν Ναυατιανῶν αἵρεσις, καὶ ἡ ἄκαιρος ἀποχὴ τοῦ γάμου, καὶ τῆς κρεωφαγίας, κατὰ τὸν ἑ. κανόνα τῶν ἁγίων Ἀποστόλων, καὶ ἑτέρους (3). Ἐγὼ δέ φημι, ὡς πᾶν ἁμάρτημα ἐπάγον τῇ ψυχῇ βλάβην, ψυχικὸν ὀνομάζεται, κἂν ἐκ σωματικῆς ὀρέξεως δέξηται τὴν ἀρχὴν, κἂν ἐξ ψυχικῆς· διὰ γὰρ τοῦτο καὶ πάντα τὰ ἁμαρτήματα ψυχικὰ σφάλματα ἡ ἐκκλησία κατονομάζει· καὶ ὁ κανὼν δὲ μόνον

---

(1) Χ. Τρ. — ἐκδιδοῦν τε Βευερ. Κ. — (2) Χ. Τρ. Ἐ. — τοῦτον Βευερ. — (3) Χ. Τρ. — ἑτέρων Ἐ. Βευερ.

ἐμνήσθη ἁμαρτημάτων ψυχικῶν, ὡς περιεχόντων καὶ τὰ σαρκικά. Περὶ μέν τοι τοῦ μὴ κολάζεσθαι τὸν βαπτισθέντα, καὶ κληρωθέντα, διὰ τὴν πρὸ τοῦ βαπτίσματος πορνείαν, ἢ τὸν φόνον, ἀνάγνωθι καὶ τὸν κ΄. κανόνα τοῦ ἁγίου Βασιλείου, καὶ τὰ ἐν αὐτῷ, καὶ τῶν ἁγίων Ἀποστόλων κανόνα ιζ΄.

ΑΡΙΣΤ. Οἱ ἐξ ἐθνικοῦ βίου μὴ ταχέως εἰς πρεσβυτέρους ἀγέσθωσαν· δίχα γὰρ τῆς διὰ χρόνου δοκιμασίας, κακὸς ὁ νεόφυτος. Εἰ δέ τις καὶ μετὰ τὴν χειροτονίαν ἁμαρτήσας ἀποδειχθῇ ἢ πρότερον, ἢ ὕστερον, οὑτοσὶ πεπαύσθω τοῦ κλήρου.

Τὰ αὐτὰ τῷ ὀγδοηκοστῷ κανόνι τῶν ἁγίων Ἀποστόλων καὶ ὁ κανὼν οὗτος λέγει, τὸ, τὸν ἄρτι βαπτισθέντα μὴ εὐθὺς εἰς ἐπισκοπὴν, ἢ εἰς πρεσβυτέριον ἄγειν· ἵνα μὴ, ὡς νεόφυτος, τυφωθεὶς, εἰς παγίδα τοῦ διαβόλου, καὶ κρῖμα ἐμπέσῃ. Δεῖ γοῦν τὸν τοιοῦτον, κατὰ τὸν ἑνδέκατον κανόνα τῆς ἐν Σαρδικῇ συνόδου, πρότερον εἰς ἕκαστον βαθμὸν, ἤγουν ἀναγνώστου, ὑποδιακόνου, καὶ τῶν ἑξῆς, ἐκτελέσαι κἂν ἑνὸς χρόνου μῆκος, καὶ οὕτως, εἰ ἄξιος τῆς θείας ἱερωσύνης κριθῇ, τῆς μεγίστης ἀπολαῦσαι τιμῆς· ὥσπερ δὴ πάλιν καὶ μετὰ τὴν χειροτονίαν εἰ ἁμαρτήσας ἀποδειχθῇ, τῆς ἀξίας μετακινεῖσθαι.

Κανὼν Γ΄.

Ἀπηγόρευσε καθόλου ἡ μεγάλη σύνοδος (1), μήτε ἐπισκόπῳ, μήτε πρεσβυτέρῳ, μήτε διακόνῳ, μήτε ὅλως τινὶ τῶν ἐν (2) κλήρῳ, ἐξεῖναι συνείσακτον (3) ἔχειν, πλὴν εἰ μὴ ἄρα μητέρα, ἢ ἀδελφὴν, ἢ θείαν, ἢ ἃ μόνα πρόσωπα πᾶσαν ὑποψίαν διαπέφευγεν.

ΖΩΝΑΡ. Βούλεται ὁ κανὼν τοὺς ἱερωμένους ἀνεγκλήτους εἶναι, καὶ μηδὲ μέχρις ὑποψίας κατ᾽ αὐτῶν εἶναί τισι πάροδον. Διὸ πᾶσιν ἀπηγόρευσε τοῖς ἱερωμένοις συνοικεῖν γυναιξὶν, ἄνευ τῶν εἰρημένων προσώπων. Οὐ μόνον δὲ τοῖς εἰρημένοις, ἀλλὰ

(1) Π. Βρ. Σ. Ῥ.— ἡ μεγάλη σύνοδος καθόλου Βευερ. Χ. Τρ. — (2) ἐν τῷ, Βρ. Σ. Ῥ.— (3) συνείσακτον γυναῖκα Ἰουστ. καὶ Μάνσ. ἐν περισελ.

καὶ αὐτοῖς τοῖς κεκληρωμένοις, τοῦτο ἀπηγόρευται· καὶ ὁ μέγας δὲ Βασίλειος, πρὸς Γρηγόριον πρεσβύτερον ἐπιστέλλων, τοῦ τοιούτου μέμνηται κανόνος, καὶ χωρισθῆναι αὐτὸν τοῦ συνεισάκτου ἐπιτάσσει γυναίου. Ἐὰν δὲ τολμήσῃς, φησί, μὴ διορθωσάμενος ἑαυτὸν, ἀντέχεσθαι τῆς ἱερωσύνης, ἀνάθεμα ἔσῃ παντὶ τῷ λαῷ. Καὶ ὁ πέμπτος δὲ κανὼν τῆς ἐν τῷ Τρούλλῳ οἰκουμενικῆς συνόδου τὰ αὐτὰ διατάττεται, προστιθεὶς καὶ ταῦτα· Τὸ αὐτὸ δὲ τοῦτο καὶ οἱ εὐνοῦχοι παραφυλαττέτωσαν, τὸ ἄμεμπτον ἑαυτοῖς προνοούμενοι· οἱ δὲ παραβαίνοντες τὸν κανόνα, εἰ μὲν κληρικοὶ εἶεν, καθαιρείσθωσαν, εἰ δὲ λαϊκοὶ, ἀφοριζέσθωσαν. Καὶ ἡ ἐν τῷ τρίτῳ βιβλίῳ τῶν βασιλικῶν κειμένη νεαρὰ, τὰ αὐτὰ τοῖς ἱεροῖς κανόσι νομοθετεῖ. Τὸ δέ γε τῆς ἑβδόμης συνόδου ὀκτωκαιδέκατον κεφάλαιον, οὐδὲ ἐν προαστείῳ, ἔνθα γυναῖκές εἰσιν ὑπηρετοῦσαι, παραχωρεῖ ἐπισκόπῳ, ἢ ἡγουμένῳ ἀπιέναι, εἰ μὴ μεταστῶσιν αἱ γυναῖκες ἐκεῖθεν, ἕως ἂν ὑποχωρήσωσιν ὁ ἐπίσκοπος, ἢ ὁ ἡγούμενος. Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ ἐννεακαιδέκατος κανὼν περὶ τὸ τέλος φησί· Τὰς μέντοι συνερχομένας παρθένους τισὶν, ὡς ἀδελφὰς, ἐκωλύσαμεν.

ΒΑΛΣ. Περὶ συνεισάκτων ἀνάγνωθι τὸ ιδ΄. κεφ. τοῦ ή. τίτ. τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ, καὶ μάθοις, ἀπὸ τῆς ἐκεῖσε συνοψισθείσης ρκγ΄. Ἰουστινιανείου νεαρᾶς, ὅτι οἱ κληρικοὶ μετὰ παραγγελίαν (1), μὴ χωριζόμενοι τῶν συνεισάκτων, αἵτινές εἰσι παρὰ τὰ πρόσωπα τὰ δηλούμενα ἐν τῷ παρόντι κανόνι, καθαιροῦνται· οἱ δὲ ἐπίσκοποι, ὁτεδήποτε εὑρισκόμενοι οἱαδήτινι γυναικὶ συνοικοῦντες, ἀπεντεῦθεν καθαιροῦνται· καὶ σημείωσαι τοῦτο. Περὶ μέντοι τῶν συνεισάκτων λόγος πολὺς ἐγένετο κατὰ διαφόρους καιρούς· καὶ εἶπόν τινες ἐπείσακτον, ἢ συνείσακτον εἶναι τὴν ἀντὶ νομίμου γυναικὸς συνεισαχθεῖσαν, καὶ συνοικοῦσάν τινι πορνικῶς· ἄλλοι δὲ εἶπον εἶναι πᾶσαν γυναῖκα συνοικοῦσάν τινι, ἀλλοτρίαν πάντως, κἂν ἀνύποπτός ἐστι, καὶ ἔδοξε τοῦτο μᾶλλον εἶναι ἀληθέστερον. Διὰ γὰρ τοῦτο, φασὶ, καὶ ὁ μέγας Βασίλειος παρεγγυᾶται τῷ ἱερεῖ χωρισθῆναι τῆς

(1) Χ. Τρ. — Ἑ. Βευερ. παραγγελίας.

συνεισάκτου, διὰ τῆς πρὸς Γρηγόριον πρεσβύτερον ἐπιστολῆς, καὶ οὐκ ἀπεντεῦθεν καθαιρεῖσθαι αὐτὸν διορίζεται, ὡς ἀναμφιλέκτως καὶ προφανῶς ἁμαρτάνοντα.

ΑΡΙΣΤ. Συνείσακτον μή τις ἐχέτω, μητρὸς δίχα, καὶ ἀδελφῆς, καὶ τῶν προσώπων, ἃ πᾶσαν ὑποψίαν ἀποδιδράσκουσιν.

Ἄνευ τῶν προσώπων, τῶν πᾶσαν ὑποψίαν ἀσελγείας διαφευγόντων, οἷον μητρὸς, ἀδελφῆς, θείας, καὶ τῶν ὁμοίων, ἕτερον οὐ συγχωρεῖ ὁ παρὼν κανὼν, μετά τινος συνοικεῖν τῶν ἱερωμένων, οὔτε ὁ πέμπτος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, οὔτε ὁ ιή. καὶ κβ'. τῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον, οὔτε ὁ μέγας Βασίλειος, πρὸς Γρηγόριον πρεσβύτερον γράφων τῆς συνεισάκτου γυναικὸς χωρισθῆναι, κἂν ἑβδομηκονταετὴς ἦν, καὶ οὐκ ἐλογίζετο ταύτῃ συνοικεῖν ἐμπαθῶς.

Κανὼν Δ'.

Ἐπίσκοπον προσήκει μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ καθίστασθαι· εἰ δὲ δυσχερὲς εἴη τὸ τοιοῦτο, ἢ διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ, ἐξ ἅπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους, συμψήφων γινομένων καὶ τῶν ἀπόντων, καὶ συντιθεμένων διὰ γραμμάτων, τότε τὴν χειροτονίαν ποιεῖσθαι· τὸ δὲ κῦρος τῶν γινομένων δίδοσθαι καθ' ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ.

ΖΩΝΑΡ. Ἐναντιοῦσθαι δόξειεν ἂν ὁ παρὼν κανὼν τῷ πρώτῳ κανόνι τῶν ἱερῶν Ἀποστόλων· ὁ μὲν γὰρ ἐπίσκοπον χειροτονεῖσθαι ὑπὸ ἐπισκόπων δύο, ἢ τριῶν, διατάττεται· οὗτος δὲ ὑπὸ τριῶν, συναινούντων καὶ τῶν ἀπόντων, καὶ συντιθεμένων διὰ γραμμάτων (1)· ἀλλ' οὐκ εἰσὶν ἐναντίοι. Ὁ μὲν γὰρ τῶν ἁγίων Ἀποστόλων χειροτονίαν, τὴν καθιέρωσιν καὶ χειροθεσίαν ὀνομάζει· ὁ δὲ τῆς συνόδου ταύτης κανὼν κατάστασιν, καὶ χειροτονίαν, τὴν ψῆφον καλεῖ· καὶ διορίζεται, μὴ ἄλλως ἀρχιερέως γί-

(1) Αἱ λέξεις καὶ συντιθεμένων διὰ γραμμάτων, οὐχ εὕρηνται ἐν Χ. Τρ.

νεσθαι ψήφισμα, εἰ μὴ τρεῖς ὁμοῦ συνέλθωσιν, ἔχοντες καὶ τοὺς ἀπόντας συντιθεμένους διὰ γραμμάτων· ἤγουν ὁμολογοῦντας, ὅτι ἕψονται κἀκεῖνοι τῇ παρὰ τῶν τριῶν ὁμοῦ συναχθέντων γενησομένῃ ψήφῳ. Μετὰ δὲ τὴν ψῆφον τὸ κῦρος, ἤτοι τὴν τελεσιουργίαν, καὶ χειροθεσίαν, καὶ καθιέρωσιν, τῷ μητροπολίτῃ τῆς ἐπαρχίας δίδωσιν, ὥστε παρ' ἐκείνου κυροῦσθαι τὴν ψῆφον. Κυροῦται δὲ, ὅταν ἕνα τῶν ψηφισθέντων, ὃν ἐκεῖνος ἐκλέξεται, χειροθετήσῃ μεθ' ἑτέρων δύο, ἢ τριῶν ἐπισκόπων, κατὰ τὸν ἀποστολικὸν κανόνα.

ΒΑΛΣ. Τὸ καθίστασθαι, ἤτοι ψηφίζεσθαι ἐπίσκοπον, ἐνταῦθα δέδοκται. Πάλαι γὰρ γινομένων τῶν ψήφων τῶν ἀρχιερέων παρὰ τοῦ πλήθους τῶν πολιτῶν, οἱ θεῖοι Πατέρες οὐκ ηὐδόκησαν τοῦτο, ἵνα μὴ παρὰ λαϊκῶν ἀνθρώπων ὁ τῶν ἱερωμένων διασύρηται βίος· καὶ διωρίσαντο ὑπὸ τῶν ἐπαρχιωτῶν ἐπισκόπων ἑκάστης ἐπαρχίας ψηφίζεσθαι τὸν ἐπίσκοπον. Εἰ δὲ τοῦτό ἐστι δυσχερὲς διά τινα εὔλογον αἰτίαν, ἢ διὰ μῆκος ὁδοῦ, μὴ ἄλλως τὴν ψῆφον γίνεσθαι, εἰ μὴ συνέλθωσι (1) τρεῖς ἐπαρχιῶται ἐπίσκοποι, ἔχοντες καὶ τοὺς ἀπόντας συμψήφους διὰ γνωμῶν ἐγγράφων. Τὴν δὲ χειροτονίαν τούτου, ἤτοι καθιέρωσιν, ἐπεφιλοτιμήσαντο τῷ πρώτῳ, ἤτοι τῷ μητροπολίτῃ, καὶ οὐ μόνον τὴν χειροτονίαν, ἀλλὰ καὶ τὸ κῦρος τῆς ψήφου. Διὰ γὰρ τοῦτο καὶ ἀπὸ τῶν τριῶν τῶν ψηφιζομένων γίνεται μήνυμα παρὰ τοῦ μέλλοντος ποιῆσαι τὴν χειροτονίαν πρὸς ἕνα, ὃν βούλεται αὐτὸς, καὶ οὐκ ἐξ ἀνάγκης ὁ πρῶτος τεθεὶς μηνύεται, καὶ ἐφεξῆς οἱ λοιποί· καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Τινὲς δὲ μητροπολῖται ψήφους ἐπισκόπων αὐτῶν ποιησάμενοι εἰς τὴν τῶν πόλεων βασιλεύουσαν, μετὰ τριῶν ἐπισκόπων ἀλλοτρίων, ἢ καὶ ἰδίων, καὶ τῶν λοιπῶν ἐπαρχιωτῶν ἐπισκόπων αὐτῶν μὴ ἐπιστραφέντες, ἐρωτηθέντες, ὅπως τοῦτο ποιοῦσιν, ἐχρήσαντο εἰς βοήθειαν τῷ ιγ'. κανόνι τῆς ἐν Καρθαγένῃ συνόδου· καὶ ἀνάγνωθι τὰ ἐν ἐκείνῳ τῷ κανόνι γραφέντα, καὶ τὸν ιθ'. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου· καὶ ταῦτα μὲν, ὅταν ὁ μητροπολίτης εὐποροίη πολλῶν ἐπαρχιωτῶν. Εἰ δὲ, ὡς οἱ πολλοὶ τῶν μητροπολιτῶν, ἕνα ἐπαρ-

(1) Χ. Τρ. — συνεισέλθωσι Βευερ. Ε.

χιώτην ἐπίσκοπον ἔχουσιν, ἢ δύο, τότε ἐξ ἀνάγκης γενήσεται ἡ ψῆφος μετά τε τῶν ὄντων, καὶ εὑρισκομένων ἐπαρχιωτῶν, καὶ μετὰ ἀλλοτρίων ἐπισκόπων.

ΑΡΙΣΤ. Ἐπίσκοπος ὑπὸ πάντων ἐπαρχιωτῶν καθίσταται· εἰδὲ μὴ, τέως τριῶν, τῶν ὑπολοίπων διὰ γραμμάτων συμψήφων γινομένων· τὸ μέν τοι κράτος ὁ μητροπολίτης ἐχέτω.

Ὑπὸ δύο μὲν, ἢ καὶ τριῶν ἐπισκόπων ἐπίσκοπος χειροτονεῖται, κατὰ τὸν πρῶτον κανόνα τῶν ἁγίων Ἀποστόλων· ὑπὸ τριῶν δὲ τὸ ἐλάχιστον ψηφίζεται· ἐὰν ἴσως πάντες οἱ τῆς ἐπαρχίας ἐπίσκοποι διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ παρουσιάσαι οὐ δύνανται· πλὴν ὀφείλουσι καὶ αὐτοὶ οἱ ἀπόντες διὰ γραμμάτων γενέσθαι σύμψηφοι τοῖς παροῦσιν ἐπισκόποις, καὶ τὴν ψῆφον ποιουμένοις. Τὴν μέντοι ἐξουσίαν, μετὰ τὸ γενέσθαι τὴν ψῆφον, ὁ μητροπολίτης ἔχει, ὥστε ἕνα τῶν τριῶν τῶν ψηφισθέντων, οἷον αἱρεῖται, ἐπιλέξασθαι.

Κανὼν Ε'.

Περὶ τῶν ἀκοινωνήτων γενομένων, εἴτε τῶν ἐν κλήρῳ, εἴτε τῶν ἐν (1) λαϊκῷ τάγματι, ὑπὸ τῶν καθ' ἑκάστην ἐπαρχίαν ἐπισκόπων, κρατείτω ἡ γνώμη, κατὰ τὸν κανόνα τὸν διαγορεύοντα, τοὺς ὑφ' ἑτέρων ἀποβληθέντας ὑφ' ἑτέρων μὴ προσίεσθαι. Ἐξεταζέσθω δὲ, μὴ μικροψυχίᾳ (2), ἢ φιλονεικίᾳ, ἤ τινι τοιαύτῃ ἀηδίᾳ τοῦ ἐπισκόπου, ἀποσυνάγωγοι γεγένηνται (3). Ἵνα οὖν τοῦτο τὴν πρέπουσαν ἐξέτασιν λαμβάνοι, καλῶς ἔχειν ἔδοξεν, ἑκάστου ἐνιαυτοῦ, καθ' ἑκάστην ἐπαρχίαν δὶς τοῦ ἔτους συνόδους γίνεσθαι· ἵνα κοινῇ πάντων τῶν ἐπισκόπων τῆς ἐπαρχίας ἐπὶ τὸ αὐτὸ συναγομένων, τὰ τοιαῦτα ζητήματα ἐξετάζηται (4), καὶ οὕτως οἱ ὁμολογουμένως προσκεκρουκότες τῷ ἐπισκόπῳ, κατὰ λόγον ἀκοινώνητοι παρὰ πᾶσιν εἶναι δόξωσι,

---

(1) Π. Χ. Τρ. — τῷ λαϊκῷ Κ. τῶν λαϊκῷ Βευερ. εἴτε ἐν λαϊκῷ Βρ. — (2) πάντως Σ. Ρ. — (4) Π. Χ. Τρ. Ἐ. Κ. Βρ. — γένωνται Βευερ. — (3) Π. — ἐξετάζοιντο Χ. Τρ. Κ. — ἐξετάζοιτο Βρ. Ἐ. Βευερ. Σ. Ρ.

μέχρις ἂν τῷ κοινῷ τῶν ἐπισκόπων δόξῃ τὴν φιλανθρωποτέραν ὑπὲρ αὐτῶν ἐκθέσθαι ψῆφον. Αἱ δὲ σύνοδοι γινέσθωσαν, μία μὲν πρὸ τῆς Τεσσαρακοστῆς, ἵνα πάσης μικροψυχίας ἀναιρουμένης, τὸ δῶρον καθαρὸν προσφέρηται τῷ Θεῷ· δευτέρα δὲ, περὶ (1) τὸν τοῦ μετοπώρου καιρόν.

ΖΩΝΑΡ. Καὶ τῶν ἁγίων Ἀποστόλων διάφοροι κανόνες διαλαμβάνουσι, μὴ δέχεσθαι παρά τινων τοὺς παρὰ τῶν ἰδίων ἐπισκόπων ἀφορισθέντας. Ἐπεὶ δέ τινας ἀφορίζεσθαι μὴ δικαίως συμβαίνει, διὰ θυμὸν ἴσως, καὶ μικροψυχίαν τοῦ ἀφορίσαντος, ἢ δι' ἐμπάθειάν τινα, ἣν καὶ ἀηδίαν ὠνόμασε (2), διὰ τοῦτο τὸν παρόντα κανόνα οἱ ἱεροὶ Πατέρες ἐξέθεντο, ἐξετάζεσθαι διαταξάμενοι τοὺς ἀφορισμοὺς, ὅταν δηλαδὴ οἱ ἀφωρισμένοι αἰτιῶνται τοὺς ἀφορίσαντας, ὡς παρὰ τὸ δίκαιον ἀφορισθέντες. Τὴν δὲ ἐξέτασιν παρὰ τῶν ἐπισκόπων τῆς ἐπαρχίας γίνεσθαι, ἢ πάντων, ἢ τῶν πλειόνων, εἴ τινας μὴ συνιέναι τοῖς λοιποῖς συμβαίνει δι' ἀσθένειαν ἴσως, ἢ ἀναγκαίαν ἀποδημίαν, ἢ ἄλλην ἀπαραίτητον αἰτίαν. Γίνεσθαι δὲ συνόδους καθ' ἑκάστην ἐπαρχίαν ὡρίσαντο δὶς τοῦ ἐνιαυτοῦ, ὅπερ καὶ τοῖς ἁγίοις Ἀποστόλοις κεκανόνισται. Ἀλλ' οἱ μὲν κατὰ τὴν τετάρτην ἑβδομάδα τῆς Πεντηκοστῆς, τὴν μίαν γίνεσθαι τῶν συνόδων διετάξαντο· τὴν δὲ ἑτέραν, κατὰ τὸν Ὑπερβερεταῖον μῆνα, ἤγουν τὸν Ὀκτώβριον. Οἱ δὲ τῆς συνόδου ταύτης ἅγιοι Πατέρες τὸν μὲν καιρὸν ἐνήλλαξαν, ἀντὶ τῆς τετάρτης ἑβδομάδος τῆς Πεντηκοστῆς πρὸ τῆς Τεσσαρακοστῆς ὁρίσαντες τὴν σύνοδον γίνεσθαι· καὶ τὴν αἰτίαν ἐπήγαγον, ἵνα, φασὶ, πᾶσα μικροψυχία περιαιρῆται· ὁ γὰρ νομίζων μὴ προσηκόντως ἀφορισθῆναι, πάντως λυπεῖσθαι μέλλει κατὰ τοῦ ἀφορίσαντος· καὶ ὁ ἀφορίσας δὲ, ἀκούων μὴ εὐγνωμόνως δεχόμενον τὸν ἀφορισθέντα τὸ ἐπιτίμιον, ἀλλὰ καταγογγύζοντα αὐτοῦ, οὐκ ἀπαθῶς πρὸς αὐτὸν διακείσεται. Οὕτω δὲ πρὸς ἀλλήλους ἐχόντων αὐτῶν, πῶς ἂν προσενεχθείη τὸ δῶρον καθαρῶς τῷ Θεῷ; διὰ τοῦτο πρὸ τῆς

(1) Π. Χ. Τρ. Βρ. Ἐ. Κ. Ῥ. Σ.— κατὰ, Βευερ. — (2) ὠνόμασαν Χ. Τρ.

Τεσσαρακοστῆς ᾠκονομήθη τὴν μίαν σύνοδον γίνεσθαι, τὴν δὲ λοιπὴν, κατὰ τὸ μετόπωρον· καὶ ὁ Ὀκτώβριος δὲ μὴν τοῦ μετοπώρου ἐστίν. Ἐν δὲ ταῖς συνόδοις ταύταις ἐξετάζεσθαι τὰ τοιαῦτα ζητήματα διετάξαντο· καὶ οἱ ὁμολογουμένως, καὶ μὴ ἀμφιβόλως προσκεκρουκότες, εἰκὸς γὰρ ἀρνεῖσθαι τὸν ἐπιτιμηθέντα τὸ παρὰ τοῦ ἐπισκόπου αὐτῷ ἐπεγκαλούμενον ἁμάρτημα, κατὰ λόγον, ἤγουν δικαίως ἀκοινώνητοι ἔσονται παρὰ πᾶσι, μέχρις ἂν κοινῶς τοῖς ἐπισκόποις δόξῃ φιλανθρωπότερόν τι περὶ αὐτῶν ἀποφήνασθαι. Ἀλλ' εἴποι τις ἂν, πῶς οὐχὶ τῷ ἀφορίσαντι ἀνετέθη παρὰ τοῦ κανόνος ἡ ψῆφος, ἡ ὑπὲρ τοῦ ἀφορισθέντος, ἀλλὰ τῷ κοινῷ τῶν ἐπισκόπων; τοῦτο δὲ οἶμαι εἰρῆσθαι, ὅταν ὁ ἀφορίσας σκληρύνηται, καὶ μὴ θέλῃ μετὰ καιρὸν λῦσαι τοῦ ἐπιτιμίου τὸν ἄνθρωπον, ἢ ἐὰν ἴσως ὁ ἀφορίσας τελευτήσῃ, μὴ λύσας τὸν ἐπιτιμηθέντα. Τότε γὰρ ἐξέσται τῇ συνόδῳ, εἰ συνίδῃ τὸν καιρὸν τοῦ ἐπιτιμίου ἀρκοῦντα, καὶ τὴν μετάνοιαν τοῦ ἐπιτιμηθέντος ἀνάλογον τῷ ἁμαρτήματι, ψηφίσασθαι (1) ὑπὲρ αὐτοῦ, καὶ λῦσαι τῷ ἀνθρώπῳ τὸ ἐπιτίμιον, κἂν ὁ ἐπίσκοπος αὐτοῦ ἄτεγκτος μένῃ καὶ ἀνένδοτος, κἂν ἀπεβίου τυχόν. Ὁ μὲν οὖν τῶν ἁγίων Ἀποστόλων τριακοστὸς ἕβδομος κανὼν, καὶ ὁ παρὼν, δὶς τοῦ ἔτους διατάττονται γίνεσθαι συνόδους· ὁ δὲ ὄγδοος τῆς οἰκουμενικῆς ϛ'. συνόδου, καινίσας τοῦτο, ἅπαξ τοῦ ἐνιαυτοῦ διορίζεται, ἐν ἑκάστῃ ἐπαρχίᾳ γίνεσθαι σύνοδον, ἀπὸ τοῦ Πάσχα μέχρις ὅλου τοῦ Ὀκτωβρίου μηνὸς, ἐν τόπῳ, ὃν ὁ τῆς μητροπόλεως ὁρίσῃ ἀρχιερεύς. Τοὺς δὲ μὴ συνερχομένους ἐπισκόπους, ὑγιαίνοντας, καὶ ἐνδημοῦντας ταῖς αὐτῶν πόλεσι, καὶ μή τινα ἑτέραν ἀσχολίαν εὔλογον καὶ ἀπαραίτητον ἔχοντας, ἀδελφικῶς ἐπιπλήττεσθαι, ἤγουν μετὰ πρᾳότητος ἐπιτιμᾶσθαι. Νῦν δὲ τὸ τῶν συνόδων τούτων πάντη καταπεφρόνηται (2), ὡς μηδέποτε γίνεσθαι. Περὶ ἐπιτιμήσεως (3) τῶν μὴ ἀπαντησάντων ἐν ταῖς συνόδοις, ἀνάγνωθι τῆς ἐν Καρθαγένῃ κανόνα ος'.

(1) ψηφίζεσθαι Χ. Τρ. — (2) αἱ λέξεις ὡς μηδέποτε γίνεσθαι, οὐχ εὕρηνται ἐν Χ. Τρ. ἀλλὰ παρὰ Βευερ. καὶ Κ. — (3) Χ. Τρ. ἐν περισελ.—περὶ ἐπιτιμίων Βευερ. Κ.

ΒΑΛΣ. Τοὺς παρά τινων ἐπισκόπων ἀφορισθέντας, καὶ μὴ λυθέντας, ὡρίσθη μὴ παρ' ἑτέρων δέχεσθαι. Ἐπεὶ δὲ, φησὶν, εἰκός ἐστι λέγειν τὸν ἀφορισθέντα, ἀδίκως ἀφορισθῆναι, ἢ καὶ τελευτῆσαι τὸν ἀφορίσαντα, παρακελεύεται ὁ κανὼν, καθὼς καὶ ἄλλοι κανόνες διωρίσαντο, δὶς τοῦ ἔτους συνέρχεσθαι πάντας τοὺς ἐπισκόπους παρὰ τῷ πρώτῳ αὐτῶν, ἐφ' ᾧ λύεσθαι τὰ περὶ τῶν ἀκοινωνήτων ἀμφίβολα, καὶ λοιπὰ ἐκκλησιαστικὰ ζητήματα· ἀηδία δὲ ὠνομάσθη ἐνταῦθα ἡ ἐμπάθεια. Τὰ μέντοι περιεχόμενα τῷ παρόντι κανόνι περὶ τῶν ἐτησίων συνόδων ἀγωνιστικώτερον, οὐ διελήφθησαν παρ' ἡμῶν ἐνταυθοῖ, ὡς μὴ ἐνεργοῦντα, καὶ ὅτι ἀπὸ τοῦ η'. κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου, ὡσαύτως καὶ ἀπὸ Ἰουστινιανείου νεαρᾶς, ἤτοι τοῦ κ'. καὶ κα'. κεφαλαίου τοῦ α'. τίτλου τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, ὥρισται ἅπαξ συνέρχεσθαι τοὺς ἐπισκόπους· καὶ ἀνάγνωθι τὰ τοιαῦτα κεφάλαια. Ζήτει καὶ τὸν λζ'. κανόνα τῶν ἁγίων Ἀποστόλων, καὶ τὸν ιδ'. κανόνα τῆς ἐν Σαρδικῇ συνόδου. Ἀνάγνωθι καὶ τὸ η. κεφάλαιον τοῦ η. τίτλου τοῦ παρόντος συντάγματος.

ΑΡΙΣΤ. Οἱ ἐξ ἑτέρων ἀφοριζόμενοι, ὑφ' ἑτέρων μὴ προσδεχέσθωσαν, πλὴν εἰ μὴ διὰ μικροψυχίαν, ἢ φιλονεικίαν, ἤ τι τοιοῦτον, ὁ ἀφορισμὸς γέγονε· τούτου γὰρ ἕνεκεν ἔδοξε δὶς τοῦ ἔτους καθ' ἑκάστην ἐπαρχίαν σύνοδον γίνεσθαι· μίαν μὲν πρὸ τῆς Τεσσαρακοστῆς, ἑτέραν δὲ περὶ τὸ μετόπωρον.

Δεῖ, κατὰ τὴν παροιμίαν, τὸν τρώσαντα ἐπαγαγεῖν καὶ τὴν ἴασιν· καὶ μὴ τὸν ὑπὸ τοῦ ἰδίου ἐπισκόπου ἀφορισθέντα, ὑφ' ἑτέρων παραδεχθῆναι ἀνεξετάστως οὕτω, καὶ χωρὶς συζητήσεως· ἀλλὰ τὴν αἰτίαν τοῦ ἀφορισμοῦ κατασκέψασθαι, μήποτε οὐκ εὐλόγως ἐπηνέχθη ὁ ἀφορισμός· οὐκ ἐκ μικροψυχίας, ἢ φιλονεικίας, ἢ ἑτέρας τινὸς ἀηδίας τοῦ ἐπισκόπου. Ἵνα γοῦν μήτε οἱ ἀφοριζόμενοι, ὡς ἔτυχεν, ἀφορίζωνται, μήτε οἱ ἀφορίζοντες αὐτοὺς ἐπίσκοποι καταφρονῶνται, ἑτέρων τούτους ἐπισκόπων παραδεχομένων ἀνεξετάστως, δὶς τοῦ ἔτους καθ' ἑκάστην ἐπαρχίαν σύνοδον γίνεσθαι τῇ ἁγίᾳ ταύτῃ συνόδῳ ἔδοξεν· ἵνα, κοινῇ γνώμῃ πάντων τῶν ἐπισκόπων τῆς αὐτῆς ἐπαρχίας, πᾶν ζήτημα ἐκκλησιαστικὸν, καὶ πᾶσα ἀμφιβολία λύη-

ται, καθὼς καὶ ὁ λζʹ. κανὼν τῶν ἁγίων Ἀποστόλων διαγορεύει· πλὴν, ὡς ἐκεῖσε ἐγράψαμεν, ὁ ὄγδοος κανὼν τῆς ἐν Τρούλλῳ ἕκτης συνόδου, καὶ ὁ ἕκτος τῆς ἐν Νικαίᾳ τὸ δεύτερον, διὰ τὴν συντριβὴν, καὶ τὸ ἐνδεῶς ἔχειν πρὸς ὁδοιπορίαν τοὺς συναθροιζομένους ἐπισκόπους, ἅπαξ τοῦ ἐνιαυτοῦ σύνοδον γίνεσθαι διετάξαντο εἰς ἑκάστην ἐπαρχίαν, ἔνθα ἂν ὁ τῆς μητροπόλεως δοκιμάσῃ ἐπίσκοπος, ἀνὰ μέσον τῆς ἁγίας τοῦ Πάσχα ἑορτῆς, καὶ τοῦ Ὀκτωβρίου μηνός.

Κανὼν ϛʹ.

Τὰ ἀρχαῖα ἔθη κρατείτω, τὰ ἐν Αἰγύπτῳ, καὶ Λιβύῃ καὶ Πενταπόλει, ὥστε τὸν ἐν Ἀλεξανδρείᾳ (1) ἐπίσκοπον πάντων τούτων ἔχειν τὴν ἐξουσίαν· ἐπειδὴ καὶ τῷ ἐν Ῥώμῃ ἐπισκόπῳ τοῦτο σύνηθές ἐστιν. Ὁμοίως δὲ καὶ κατὰ τὴν Ἀντιόχειαν, καὶ ἐν ταῖς ἄλλαις ἐπαρχίαις, τὰ πρεσβεῖα σώζεσθαι ταῖς ἐκκλησίαις. Καθόλου δὲ πρόδηλον ἐκεῖνο· ὅτι, εἴ τις χωρὶς γνώμης τοῦ μητροπολίτου γένοιτο ἐπίσκοπος, τὸν τοιοῦτον ἡ μεγάλη σύνοδος ὥρισε μὴ δεῖν εἶναι ἐπίσκοπον. Ἐὰν μέντοι τῇ κοινῇ πάντων ψήφῳ, εὐλόγῳ οὔσῃ, καὶ κατὰ κανόνα ἐκκλησιαστικὸν, δύο, ἢ τρεῖς δι' οἰκείαν φιλονεικίαν ἀντιλέγωσι, κρατείτω ἡ τῶν πλειόνων ψῆφος.

—

ΖΩΝΑΡ. Βούλεται ὁ κανὼν τὰ παλαιὰ ἔθη κρατεῖν, ὃ καὶ κανόνες μεταγενέστεροι, καὶ νόμοι πολιτικοὶ διορίζονται. Τὸν Ἀλεξανδρείας οὖν ἐπίσκοπον θεσπίζει (2) τῶν ἐν Αἰγύπτῳ, καὶ Λιβύῃ, καὶ Πενταπόλει προέχειν· καὶ τὸν Ἀντιοχείας τῶν αὐτῷ ὑποκειμένων ἐπαρχιῶν, Συρίας δηλαδὴ, καὶ Κοίλης Συρίας, καὶ Κιλικίας ἑκατέρας, καὶ Μεσοποταμίας, καὶ τοὺς ἄλλους ἐπισκόπους τῶν ὑπ' αὐτοὺς ἐξουσιάζειν χωρῶν· καθὼς καὶ τῷ ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ προεδρεύοντι, τῶν ἑσπερίων ἄρ-

---

(1) Βευερ. Ἐ. Κ. — τὸν Ἀλεξανδρείας Χ. Τρ. καὶ Βρ. — (2) Βευερ. Κ. — ὁρίζει Χ. Τρ.

χειν ἔθος ἐκράτησε. Καὶ τοσοῦτον βούλεται προέχειν τοὺς ἐπισκόπους ἐν ταῖς ἐπαρχίαις αὐτῶν, ὥστε καθόλου δίδωσι τύπον μηδὲν χωρὶς αὐτῶν εἰς ἐκκλησιαστικὴν διοίκησιν ἀναφερόμενον γίνεσθαι, ἧς τὸ μεῖζον καὶ κυριώτερον ἡ τῶν ἐπισκόπων χειροτονία ἐστί. Λέγει τοίνυν, εἰ γνώμης τοῦ μητροπολίτου χωρὶς κατασταίη ἐπίσκοπος, τοῦτον μὴ εἶναι ἐπίσκοπον· κἂν γὰρ τὸ παλαιὸν τὰ πλήθη τῶν πόλεων τὸν ἐπίσκοπον ἐψηφίζοντο, ἀλλὰ καὶ τότε μετὰ τὴν ψῆφον, τῷ μητροπολίτῃ τὰ περὶ αὐτῆς ἀνεφέρετο, καὶ παρ᾽ ἐκείνου ἐκυροῦντο, καὶ ὃν ἐκεῖνος ἐδοκίμαζεν, αὐτὸς τῆς χειροτονίας (1) ἠξίωτο. Εἶτα ἐπάγει ὁ κανών· ὅτι, ἐὰν ἐν τῇ ψήφῳ, κανονικῇ οὔσῃ, οἱ πλείονες συμφωνήσωσι, καὶ ὁμογνωμονήσωσι, δύο δὲ, ἢ τρεῖς ἀντιλέγωσι φιλονείκως, ἀλλ᾽ οὐκ εὐλόγως, καὶ τοῖς ἄλλοις ἐναντιῶνται, ἡ τῶν πλειόνων κρατείτω ψῆφος· ὃ καὶ ἐν χρηματικαῖς ὑποθέσεσι τοῖς πολιτικοῖς νόμοις τεθέσπισται. Καὶ ὁ ἐννεακαιδέκατος δὲ κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου τὰ αὐτὰ περὶ τῆς τῶν ἐπισκόπων ἀντιλογίας διατάττεται.

ΒΑΛΣ. Ὁ παρὼν ϛ΄. κανὼν, καὶ ὁ ἕβδομος, διορίζονται τοὺς τέσσαρας πατριάρχας, δηλαδὴ τὸν Ῥώμης, τὸν Ἀλεξανδρείας, τὸν Ἀντιοχείας, καὶ τὸν Ἱεροσολύμων, (περὶ γὰρ τοῦ Κωνςαντινουπόλεως ἐν ἑτέροις κανόσι διαληφθήσεται), κατὰ τὰ παλαιὰ ἔθη τιμᾶσθαι· καὶ τὸν μὲν Ἀλεξανδρείας, προέχειν τῶν ἐν Αἰγύπτῳ, καὶ Λιβύῃ, καὶ Πενταπόλει ἐπαρχιῶν· τὸν Ἀντιοχείας ὁμοίως, τῆς Συρίας, τῆς Κοίλης Συρίας, τῆς Μεσοποταμίας, καὶ ἑκατέρας Κιλικίας· τὸν δὲ Ἱεροσολύμων, τῶν ἐν τῇ Παλαιστίνῃ ἐπαρχιῶν, τῶν ἐν Ἀραβίᾳ, καὶ τῶν ἐν Φοινίκῃ· ὅτι, φησὶ, καὶ ὁ ἐπίσκοπος τῆς Ῥώμης προέχει τῶν ἑσπερίων ἐπαρχιῶν. Οὕτω δὲ θέλουσιν οἱ κανόνες προέχειν τοὺς πατριάρχας τῶν ὑπ᾽ αὐτοὺς μητροπολιτῶν, καὶ πάλιν τοὺς μητροπολίτας τῶν ὑπ᾽ αὐτοὺς ἐπισκόπων, ὥστε μηδὲν χωρὶς τούτων γίνεσθαι περιττὸν παρὰ τῶν ὑπ᾽ αὐτοὺς ἐπισκόπων. Διὰ γὰρ τοῦτο καὶ παρακελεύονται μηδὲ εἶναι ἐπίσκοπον, τὸν δίχα γνώμης τοῦ πρώτου γεγονότα ἐπίσκοπον· προστιθέμενοι, ὅτι, ἐὰν κανονικῆς γενομένης τῆς ψήφου,

(1) καὶ χειροτονίας Χ. Τρ.

τινὲς ἀντιλέγωσιν, ὀφείλει κρατεῖν, κατὰ τοὺς νόμους, ἡ τῶν πλειόνων ψῆφος. Τούτων οὕτω διορισθέντων, ἠρώτησέ τις, ὡς τοῦ μὲν παρόντος κανόνος διοριζομένου ἐπὶ πάσαις ταῖς ὑποθέσεσι τὴν τῶν πλειόνων ψῆφον νικᾶν· τῆς δὲ νεαρᾶς νομοθεσίας τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως κυρίου Μανουὴλ τοῦ Κομνηνοῦ, τῆς κατὰ τὸν Ἰούλιον μῆνα τῆς ιδʹ. Ἰνδικτιῶνος τοῦ ,ϛχοδʹ. ἔτους ἐξενεχθείσης, διοριζομένης μετὰ τῶν ἄλλων καὶ ταῦτα ῥητῶς· Εἰ δέ γε μὴ ὁμογνωμονήσουσι πάντες, ἀλλά τινες διαφωνοῦσι τοῖς πλείοσιν, ἢ ἐξισοῦνται οἱ διαφωνοῦντες, ἐκείνων τὴν ψῆφον προκρίνεσθαι, οἷς καὶ ὁ τοῦ δικαστηρίου προεςὼς συμφωνεῖ· τίνι προσέχειν ὀφείλομεν; Καί τινες μὲν εἶπον μὴ ἐξακούεσθαι τὴν νεαρὰν εἰς τὰς ἐκκλησιαστικὰς ὑποθέσεις, καὶ διὰ τοῦτο κρατεῖν ἐπ' αὐταῖς τὰ παλαιὰ νόμιμα, καὶ τοὺς ἑπομένως τούτοις διορισθέντας (1) κανόνας· ἕτεροι δὲ ἀντεφθέγξαντο, τὴν νεαρὰν εἰς πάντα κόσμον καὶ πᾶσαν ὑπόθεσιν ἐκφωνηθῆναι, καὶ κοινὴν (2) θεσμοθεσίαν εἶναι. Ἐμοὶ δὲ δοκεῖ, μὴ ἔχειν χώραν τὰ τῆς τοιαύτης νεαρᾶς εἰς τὰς ψήφους τῶν ἐκκλησιῶν, ἢ εἰς ἐκκλησιαστικὰ ζητήματα, ὅτι οὐδὲ κανονικὴ παράδοσις διὰ ταύτης ἀνετράπη. Ζήτει καὶ τὸν ιθʹ. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου. Ὁ μέντοι πατριάρχης Ἱεροσολύμων, ἐπίσκοπος Αἰλίας ἐκλήθη, ὅτι ἡ τῶν Ἱεροσολύμων πόλις ποτὲ μὲν Σόλυμα, καὶ Ἰεβοὺς ἐκαλεῖτο. Μετὰ δὲ τὸ γενέσθαι ἐν ταύτῃ παρὰ τοῦ βασιλέως Σολομῶντος τὸν περίπυστον ἐκεῖνον θεῖον ναὸν, καὶ ἀποτεθῆναι ἐν αὐτῷ τὰ ἱερὰ, ὠνομάσθη Ἱεροσόλυμα. Τοῦ δὲ ἐν αὐτῇ λαοῦ παρὰ τῶν Βαβυλωνίων αἰχμαλωτισθέντος, καὶ τῆς πόλεως κατασκαφείσης, ἐπεὶ ὁ βασιλεὺς Ῥωμαίων ὁ Αἴλιος Ἀδριανὸς ἀνήγειρε ταύτην, ἐκλήθη ἐκ τοῦ ὀνόματος αὐτοῦ Αἰλία. Γενικῷ δὲ ὀνόματι αὐτή τε ἡ πόλις τῶν Ἱεροσολύμων, καὶ πάντα τὰ ὑπ' αὐτὴν, Παλαιςίνη καλοῦνται. Ἐζητήθη δὲ παρά τινων, τί ἐστι τὸ παρὰ τοῦ κανόνος λεγόμενον, Ἐχέτω τὴν ἀκολουθίαν τῆς τιμῆς τῇ μητροπόλει σωζομένου τοῦ οἰκείου ἀξιώματος; καὶ ἤκουσαν, μητρόπολιν εἶναι τὴν ἐν Παλαιστίνῃ οὖσαν Καισάρειαν·

(1) Βευερ. Ε. — τοὺς ἀκολούθως τούτοις ἐκτεθέντας Χ. Τρ. — (2) Χ. Τρ. — καὶ εἰς κοινὴν, Βευερ.

τὴν δὲ ἐκκλησίαν τῶν Ἱεροσολύμων ταύτης ποτὲ ἐπισκοπὴν εἶναι. Θέλει οὖν ὁ κανὼν φυλάττεσθαι τῇ μητροπόλει τὰ οἰκεῖα δίκαια, κἂν ἐκ ταύτης ἀπεσπάσθη ἡ Αἰλία, καὶ ἐτιμήθη ὁ ἐπίσκοπος αὐτῆς, διὰ τὰ σωτηριώδη τοῦ Χριστοῦ πάθη. Ζήτει καὶ τὴν η. πρᾶξιν τῶν πρακτικῶν τῆς δ'. συνόδου, καὶ μάθε (1), ὅτι ἀπὸ ἀρεσκείας Μαξίμου ἐπισκόπου Ἀντιοχείας, καὶ Ἰουβεναλίου ἐπισκόπου Ἱεροσολύμων, ἔδοξε τὸν μὲν Ἀντιοχείας ἔχειν τὰς δύο Φοινίκας, καὶ τὴν Ἀραβίαν· τὸν δὲ Ἱεροσολύμων τὰς τρεῖς Παλαιστίνας· καὶ τότε μὲν οὕτως ὡρίσθη· σήμερον δὲ ἡ τῶν πραγμάτων ἐναλλαγὴ, ὡς ἔοικε, καὶ ταῦτα μετήμειψεν.

ΑΡΙΣΤ. Αἰγύπτου, καὶ Λιβύης, καὶ Πενταπόλεως, ὁ Ἀλεξανδρείας ἐχέτω τὴν ἐξουσίαν· καὶ ὁ Ῥώμης, τῶν ὑπὸ Ῥώμην· καὶ ὁ ἐν Ἀντιοχείᾳ, καὶ οἱ λοιποὶ, τῶν οἰκείων. Εἰ δέ τις ἐπίσκοπος τῆς τοῦ μητροπολίτου δίχα γένηται γνώμης, μὴ ἔστω ἐπίσκοπος· ἐπὶ δὲ τὴν τῶν πολλῶν ψῆφον, γινομένην κατὰ κανόνα, εἰ τρεῖς τινες ἀντιλέγοιεν, εἶεν ἀβέβαιοι.

Ἕκαστος τῶν πατριαρχῶν τοῖς ἰδίοις προνομίοις ἀρκεῖσθαι ὀφείλει, καὶ μή τινα τούτων ἐπαρχίαν ἑτέραν, οὐκ οὖσαν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπὸ τὴν αὐτοῦ χεῖρα, ὑφαρπάζειν· τοῦτο γὰρ τύφος ἐστὶ κοσμικῆς ἐξουσίας. Δεῖ δὲ καὶ τοὺς ἐπισκόπους ἑκάστης ἐπαρχίας τὸν ἑαυτῶν πρῶτον ἐπιγινώσκειν, ἤγουν τὸν ἐν τῇ μητροπόλει προεστῶτα ἐπίσκοπον, καὶ δίχα γνώμης αὐτοῦ ἐπίσκοπον μὴ ψηφίζεσθαι· εἰ δὲ καὶ ψηφίσωνταί τινα παρὰ γνώμην αὐτοῦ, τὸν τοιοῦτον μὴ εἶναι ἐπίσκοπον. Εἰ δὲ γνώμῃ τοῦ μητροπολίτου οἱ ἐπίσκοποι συνελθόντες ἐπὶ τῷ ψῆφον ποιήσασθαι, εἰς τὴν αὐτὴν καὶ μίαν οὐ συνέλθωσι πάντες γνώμην, ἀλλὰ δι' οἰκείαν φιλονεικίαν, τινὲς ἀντιλέγωσιν, ἡ τῶν πλειόνων κρατείτω ψῆφος. Καὶ ζήτει τῆς ἐν Ἐφέσῳ συνόδου κανόνα ὄγδοον, Ἀποστόλων κανόνα λδ'. συνόδου Ἀντιοχείας κανόνα β'. καὶ γ'. καὶ συνόδου Σαρδικῆς κανόνα τρίτον.

Κανὼν Ζ'.

Ἐπειδὴ συνήθεια κεκράτηκε, καὶ παράδοσις ἀρχαία,

---

(1) Χ. Τρ. — καὶ μάθης Βευερ. Ε.

ὥστε τὸν ἐν Αἰλίᾳ ἐπίσκοπον τιμᾶσθαι, ἐχέτω τὴν ἀκολουθίαν τῆς τιμῆς· τῇ μητροπόλει σωζομένου τοῦ οἰκείου ἀξιώματος.

—

ΖΩΝΑΡ. Ὥσπερ τῷ Ἀλεξανδρείας, καὶ τῷ Ἀντιοχείας ὁ πρὸ τούτου κανὼν τὰ πρεσβεῖα ἐν ταῖς (1) ἐπαρχίαις αὐτῶν ἀπένειμεν, οὕτως ὁ παρὼν κανὼν τῷ τῆς Αἰλίας ἐπισκόπῳ τιμὴν ἐν τῇ οἰκείᾳ ἐπαρχίᾳ ἐπεψηφίσατο (2), καὶ σώζεσθαι τῇ τῶν Ἱεροσολύμων πόλει, ἥτις Αἰλία λέγεται, τὸ οἰκεῖον ἀξίωμα διωρίσατο, ὡς ὑπερκειμένῃ τῶν ἐν Παλαιστίνῃ πόλεων, καὶ Ἀραβίᾳ, καὶ Φοινίκῃ. Καὶ πάλαι μὲν γάρ, καὶ νῦν, ἡ χώρα πᾶσα ἐκείνη Παλαιστίνη ὠνόμαστό τε, καὶ ὀνομάζεται. Ἡ δὲ πόλις τὸ μὲν ἀρχαιότατον, Σόλυμα καὶ Ἰεβοὺς ἐκαλεῖτο, ὕστερον δ᾽ ἐκλήθη Ἱεροσόλυμα. Μετὰ δὲ τὸ ἁλῶναι ὑπὸ Ῥωμαίων, καὶ κατασκαφῆναι, ὁ Βασιλεὺς Ῥωμαίων Ἀδριανὸς ἀνεγείρας τὴν πόλιν, Αἰλίαν αὐτὴν ἐπωνόμασεν ἐπὶ τῷ οἰκείῳ ὀνόματι. Αἴλιος γὰρ Ἀδριανὸς ἐκεῖνος ἐκαλεῖτο, καὶ οὕτως ἐχρημάτιζε. Τινὲς δὲ μητρόπολιν τὴν Καισάρειαν λέγουσιν ὀνομάσαι τὸν κανόνα· Καισάρειαν δὲ, τὴν ἐν Παλαιστίνῃ, ἥτις τὸ παλαιὸν [τοῦ] Στράτωνος ἐκαλεῖτο.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἡρμηνεύθη ἐν τῇ ἑρμηνείᾳ τοῦ (3) πρὸ αὐτοῦ ἕκτου κανόνος.

ΑΡΙΣΤ. Ὁ ἐπίσκοπος Αἰλίας τιμάσθω· σωζομένου τῇ μητροπόλει τοῦ αὐτῆς ἀξιώματος.

Ἡ ἑκατοστὴ εἰκοστὴ τρίτη νεαρὰ, ἡ ἐν τῷ πρώτῳ τίτλῳ τοῦ πρώτου βιβλίου κειμένη, τὸν Ἱεροσολύμων ἐπίσκοπον, ἥτις καὶ Αἰλία καλεῖται, πατριάρχην λέγει. Δεῖ γοῦν, κατὰ τὸν παρόντα κανόνα, τὸν τῆς Αἰλίας ἐπίσκοπον τῇ τοῦ πατριάρχου τιμᾶσθαι τιμῇ. Ἐπεὶ δὲ ἡ Καισάρεια μητρόπολις τυγχάνει πρώτη Παλαιστίνης, καὶ ἡ ἁγία πόλις, δεῖ καὶ τὸν πατριάρχην τὴν οἰ-

(1) Χ. Τρ. — ἐν ἐπαρχίαις Κ. Βευερ. — (2) Χ. Τρ. — ἐψηφίσατο Βευερ. — (3) Χ. Τρ. — ἐν τῷ πρὸ αὐτοῦ ἕκτῳ κανόνι Ε. Βευερ.

κείαν ἔχειν τιμὴν, σώζεσθαι δὲ καὶ τῇ Καισαρείᾳ τῇ μητροπόλει, (ὑφ' ἣν πρῶτον ἐτύγχανε), τὸ οἰκεῖον ἀξίωμα. Καὶ ζήτει τῆς ἐν Χαλκηδόνι συνόδου κανόνα δωδέκατον.

Κανὼν Η'.

Περὶ τῶν ὀνομαζόντων μὲν ἑαυτοὺς Καθαροὺς ποτὲ, προσερχομένων δὲ τῇ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ(1) συνόδῳ, ὥστε χειροθετουμένους αὐτοὺς, μένειν οὕτως ἐν τῷ κλήρῳ. Πρὸ πάντων δὲ τοῦτο ὁμολογῆσαι αὐτοὺς ἐγγράφως προσήκει, ὅτι συνθήσονται καὶ ἀκολουθήσουσι τοῖς τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας (2) δόγμασι· τουτέστι, καὶ διγάμοις κοινωνεῖν, καὶ τοῖς ἐν τῷ διωγμῷ παραπεπτωκόσιν, ἐφ' ὧν καὶ χρόνος τέτακται, καὶ καιρὸς ὥρισται· ὥστε αὐτοὺς ἀκολουθεῖν ἐν πᾶσι τοῖς δόγμασι τῆς καθολικῆς ἐκκλησίας. Ἔνθα μὲν οὖν πάντες, εἴτε ἐν κώμαις, εἴτε ἐν πόλεσιν, αὐτοὶ μόνοι εὑρίσκοιντο χειροτονηθέντες, οἱ εὑρισκόμενοι ἐν τῷ κλήρῳ, ἔσονται ἐν τῷ αὐτῷ σχήματι(3). Εἰ δὲ τοῦ τῆς καθολικῆς ἐκκλησίας ἐπισκόπου, ἢ πρεσβυτέρου (4) ὄντος, προσέρχονταί τινες, πρόδηλον, ὡς ὁ μὲν ἐπίσκοπος τῆς ἐκκλησίας ἕξει τὸ ἀξίωμα τοῦ ἐπισκόπου· ὁ δὲ ὀνομαζόμενος παρὰ τοῖς λεγομένοις Καθαροῖς ἐπίσκοπος, τὴν τοῦ πρεσβυτέρου τιμὴν ἕξει· πλὴν εἰ μὴ ἄρα δοκοίη τῷ ἐπισκόπῳ, τῆς τιμῆς τοῦ ὀνόματος αὐτὸν μετέχειν. Εἰ δὲ τοῦτο αὐτῷ μὴ ἀρέσκοι, ἐπινοήσει τόπον ἢ χωρεπισκόπου, ἢ πρεσβυτέρου, ὑπὲρ τοῦ ἐν τῷ κλήρῳ ὅλως δοκεῖν εἶναι· ἵνα μὴ ἐν τῇ πόλει δύο ἐπίσκοποι ὦσιν.

—

ΖΩΝΑΡ. Καθαροὶ λέγονται οἱ Ναυατιανοί· ὁ δὲ Ναυάτος

(1) Π. Βρ. Ἐ. Κ. Σ. Ῥ.—τῇ ἁγίᾳ συνόδῳ Χ. Τρ. Βευερ. — (2) Π. Βρ. Ἐ. Κ. — τοῖς τῆς καθολικῆς ἐκκλησίας Χ. Τρ. Βευερ. — (3) τάγματι Μάνσ. ἐν περισελ. — — (4) Χ. Τρ. Βρ. ἢ Ἐ. Κ. Βευερ. — ἐν Π. οὐχ εὕρηται τὸ, ἢ πρεσβυτέρου.

πρεσβύτερος ἦν τῆς Ῥωμαίων ἐκκλησίας, ὃς τοὺς ἐν τῷ διωγμῷ παραπεπτωκότας, μετανοοῦντας οὐκ ἐδέχετο, οὔτε διγάμοις ἐκοινώνει. Διὸ κἂν μὴ περὶ τὴν πίστιν ἐσφάλλετο, ἀλλά γε διὰ *τὸ* ἀσυμπαθὲς αὐτοῦ καὶ μισάδελφον, συνόδου γενομένης ἐν Ῥώμῃ ἐπὶ Κορνηλίου τοῦ Ῥωμαίων Πάπα, Δεκίου βασιλεύοντος, ἀπεβλήθη καὶ ἀνεθεματίσθη, ὡς ὁ τοῦ Παμφίλου Εὐσέβιος ἱστορεῖ. Τοὺς γοῦν αἱρεσιώτας τούτου προσερχομένους, δέχεσθαι ὁ κανὼν οὗτος ὁρίζει, ὁμολογοῦντας ἐγγράφως, ὅτι τὰ τῆς καθολικῆς ἐκκλησίας τηρήσουσι δόγματα, καὶ τοὺς δι' ἀνάγκην ἀρνησαμένους τὸν Χριστὸν δέξονται, καὶ οἰκονομήσουσιν αὐτοὺς κατὰ τοὺς καιροὺς, τοὺς ὡρισμένους τῇ μετανοίᾳ τῶν παραπεπτωκότων· τοῦτο γάρ ἐστι τὸ ἐφ' ὧν καὶ χρόνος τέτακται, καὶ καιρὸς ὥρισται· καὶ τοῖς διγάμοις κοινωνήσουσι. Καὶ εἰ κεχειροτονημένοι εἰσὶν εἰς ἐπισκόπους, ἢ πρεσβυτέρους, ἢ διακόνους, οἱ ἐξ αὐτῶν προσιόντες τῇ ἐκκλησίᾳ, μένειν αὐτοὺς ἐν τῷ κλήρῳ κατὰ τοὺς οἰκείους βαθμοὺς, ἐὰν ἴσως ἐν ταῖς ἐκκλησίαις, ἐν αἷς ἐχειροτονήθησαν, οὐκ εἰσὶν ἕτεροι. Ὅτι γὰρ οὐ περὶ τὴν πίστιν ἐσφάλλοντο, ἀλλ' εἰς μισαδελφίαν, καὶ ἄρνησιν μετανοίας τοῖς παραπεπτωκόσι καὶ ἐπιστρέφουσι, διὰ τοῦτο καὶ τὴν χειροτονίαν αὐτῶν ἡ σύνοδος ἐδέξατο, καὶ μένειν αὐτοὺς ἐν τοῖς οἰκείοις βαθμοῖς διωρίσατο, εἰ μὴ ἐπίσκοπος εἴη ἐν τῇ καθολικῇ τῆς πόλεως ἐκείνης ἐκκλησίᾳ. Εἰ δὲ ἐν ἐκκλησίᾳ εἰσὶν ἔνθα ἐπίσκοπός *ἐστιν*, ἢ πρεσβύτερος, ὁ μὲν ἐπίσκοπος ἕξει τὸ τῆς ἐπισκοπῆς ἀξίωμα, καὶ τὸ ὄνομα· ὁ δὲ παρὰ τοῖς Καθαροῖς κεκλημένος ἐπίσκοπος, ἢ πρεσβυτέρου ἕξει τιμὴν, ἢ τέως χωρεπισκόπου, ἵνα τῷ κλήρῳ συγκαταλέγηται, καὶ μὴ τούτου ἐκπέσῃ· εἰ μήπου, συγκαταβαίνων ὁ ἐπίσκοπος τῆς καθολικῆς ἐκκλησίας, θελήσει αὐτὸν ὄνομα καὶ τιμὴν ἐπισκόπου ἔχειν· οὐ μέντοι καὶ ὡς ἐπίσκοπος ἐνεργήσει· ἵνα μὴ ἐν τῇ αὐτῇ πόλει δύο ὦσιν ἐπίσκοποι.

ΒΑΛΣ. Ὁ Ναυάτος ἐκεῖνος, πρεσβύτερος ἦν τῆς τῶν Ῥωμαίων ἐκκλησίας, καθὼς ἱστορεῖ ὁ τοῦ Παμφίλου Εὐσέβιος. Γενομένου δὲ διωγμοῦ, καὶ πολλῶν παραπεπτωκότων διὰ φόβον θανάτου, καὶ μετανοούντων, αὐτὸς ὑπὸ τοῦ δαίμονος φυσιούμενος, ἤθελε τούτους μὴ παραδέχεσθαι· ἀλλ' οὐδὲ διγάμοις, ὡς δῆθεν σωφρονῶν, ἐκοινώνει. Οἱ γοῦν τὰ ἐκείνου φρονήσαντες, Ναυατιανοὶ

λέγονται, καὶ κατ᾽εἰρωνείαν Καθαροί. Ἐπεὶ δὲ, συνόδου γενομένης ἐν Ῥώμῃ ἐπὶ Κορνηλίου Πάπα τῆς τῶν Ῥωμαίων ἐκκλησίας, βασιλεύοντος Δεκίου, ἀνεθεματίσθη ὁ Ναυάτος, καὶ οἱ αἱρεσιῶται αὐτοῦ, φησὶν ὁ κανών· ὅτι, ἐάν τινες ἐκ τούτων μετὰ εἰλικρινοῦς μετανοίας ἀποστῶσι τῆς προτέρας κακίας, καὶ ἀσφαλίσωνται φυλάττειν τὰ τῆς καθολικῆς ἐκκλησίας δόγματα, δεχθήσονται. Καὶ εἰ μὲν εἰσι κληρικοὶ, ἕξουσι πάντως τοὺς οἰκείους βαθμοὺς, ὡς μὴ σφάλλοντες περὶ τὴν πίστιν, ἀλλ᾽ ὡς μισάδελφοι κατακρινόμενοι· εἰ δὲ ἐπισκοπικὸν ἀξίωμα ἔχουσιν, ἄλλων μὲν κατὰ χώραν, εἰς ἣν οὗτοι ἐπεκηρύχθησαν, εὑρισκομένων ἐπισκόπων, αὐτοὶ ἐπισκοπικόν τι οὐκ ἐνεργήσουσιν, ἀλλὰ φροντίσει ὁ ἐπίσκοπος, ἢ μόνον ὄνομα τούτους ἔχειν ἐπισκόπου (1), ἢ δι᾽ἑτέρου καλεῖσθαι ὀνόματος· μὴ ὄντων δὲ ἐγχωρίων ἐπισκόπων, οἰκονομήσουσιν αὐτοὶ καὶ τὰ τῆς ἐπισκοπῆς. Τὸ δὲ, ἐφ᾽ ὧν καὶ χρόνος ὥρισται, καὶ καιρὸς τέτακται, ἐῤῥέθη περὶ τῶν παραπεπτωκότων ἐν καιρῷ διωγμοῦ, καὶ τῶν διγάμων. Ἀλλὰ καὶ οἱ κληρικοὶ μετὰ τὸ δεχθῆναι, τότε τῷ κλήρῳ συναριθμηθήσονται, ἐφ᾽ ᾧ προεχειροτονήθησαν, ὅτε οὐκ ἐτάχθησαν ἀντὶ τούτων ἕτεροι κληρικοί· τοιούτων δέ τινων εὑρισκομένων, γενήσεται ὅ,τι καὶ περὶ τῶν ἐπισκόπων ἐγράφη ἄνωθεν. Ἐρωτήσει δέ τις (2), ἐάν τινες ἐκ τούτων εἰς μείζονα βαθμὸν προαναβιβασθῆναι θελήσωσιν, ἐμποδισθήσονται ἐκ τοῦ κανόνος τούτου, λέγοντος κατὰ τὰς ἀρχὰς, Ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ὥστε χειροθετουμένους αὐτοὺς μένειν οὕτως ἐν τῷ κλήρῳ, ἢ ἀκωλύτως προκόψουσι; Λύσις. Ἀπὸ τοῦ π΄. ἀποστολικοῦ κανόνος, καὶ τοῦ β΄. κανόνος τῆς παρούσης συνόδου δέδοκται, καὶ τοὺς πάντῃ ἀπίστους κατὰ βαθμὸν ἱερᾶσθαι. Ἵνα τί γοῦν οἱ Ναυατιανοὶ καὶ Καθαροὶ λεγόμενοι, οὐ προαναβιβασθήσονται, περὶ τὴν πίστιν, ὡς εἴρηται, μὴ σφάλλοντες (3), ἀλλ᾽ ὡς ἀσυμπαθεῖς κατακρινόμενοι; Τὸ δὲ μένειν αὐτοὺς οὕτως ἐν τῷ κλήρῳ μᾶλλον ὑπὲρ ἐκείνων ὁρισθῆναι νοεῖταί μοι· εἰκὸς γὰρ ἦν λέγειν τινὰς, ὀφείλειν δεχθῆναι μὲν αὐτοὺς, πλὴν εἶναι ὡς ἁπλῶς πιστοὺς λαϊκοὺς, καὶ μὴ ἐνεργεῖν κατὰ τοὺς προτέρους τούτων

---

(1) ἐπισκοπικὸν Χ. Τρ. — (2) Χ. Τρ. — ἐρωτῶ δὲ ὅτι Βευερ. — (3) Χ. Τρ. — μὴ σφαλλόμενοι Βευερ.

βαθμούς· ὅπερ παρὰ τῆς συνόδου οὐκ ἐδέχθη, ἀλλ' ἐνεδόθη ἀποκαθίστασθαι αὐτοὺς εἰς τοὺς οἰκείους βαθμούς· τῷ δὲ ὀνόματι τῆς ἀποκαταστάσεως καὶ τὸ δίκαιον τῆς προκοπῆς συναναφαίνεται.

ΑΡΙΣΤ. Οἱ λεγόμενοι Καθαροὶ προσερχόμενοι, πρῶτον ὁμολογείτωσαν, ὅτι συνθήσονται τοῖς τῆς ἐκκλησίας θεσμοῖς, καὶ κοινωνήσουσι διγάμοις, καὶ συγχωρήσουσι τοῖς παραπεπτωκόσι· καὶ οὕτως οἱ εὑρισκόμενοι κεχειροτονημένοι εἶεν ἐν τῷ αὐτῶν τάγματι· οἷον, ὁ μὲν κυρίως ἐπίσκοπος, εἴη ἐπίσκοπος· ὁ δὲ παρὰ τοῖς Καθαροῖς ἐπίσκοπος, ἢ χωρεπίσκοπος ἔστω, ἢ πρεσβυτέρου τιμήν, ἢ ἐπισκόπου κεκτήσθω· οὐ γὰρ ἔσονται δύο εἰς μίαν ἐκκλησίαν (1) ἐπίσκοποι.

Ἀπὸ τῶν προσερχομένων τῇ ἁγίᾳ τοῦ Θεοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, οἱ μὲν βαπτίζονται, οἱ δὲ μύρῳ χρίονται, οἱ δὲ μόνον ἀναθεματίζουσι τὴν ἰδίαν, καὶ πᾶσαν ἄλλην αἵρεσιν. Οἱ γοῦν δελεασθέντες ὑπὸ τοῦ Ναυάτου, καὶ Καθαροὶ παρ' αὐτοῦ ὀνομασθέντες, ὡς μὴ καταδεχόμενοι τὴν μετάνοιαν τῶν ἁμαρτησάντων, καὶ τὸν δεύτερον γάμον κωλύοντες, ἐὰν τῇ ἐκκλησίᾳ προσέλθωσι, καὶ ὁμολογήσωσι καὶ διγάμους παραδέχεσθαι, καὶ τοῖς ἁμαρτήσασι μετανοήσασι συγχωρεῖν, καὶ ἁπλῶς πᾶσι τοῖς ἐκκλησιαστικοῖς ἐπακολουθεῖν δόγμασι, τὴν ἰδίαν ἀναθεματίζοντες αἵρεσιν, καὶ τὰς ἄλλας, προσδεχθήσονται, καὶ μόνῳ τῷ ἁγίῳ μύρῳ χρισθήσονται. Καὶ εἰ μέν τινες αὐτῶν εἰσὶν ἢ ἐπίσκοποι, ἢ χωρεπίσκοποι, ἐν τῇ αὐτῇ πάλιν ἀξίᾳ μενοῦσιν, εἰ μή που ἐν τῇ αὐτῇ πόλει ἕτερος ἐπίσκοπος τῆς καθολικῆς ἐκκλησίας εὑρίσκεται, πρὸ τῆς ἐλεύσεως αὐτῶν χειροτονηθείς· προτιμηθήσεται γὰρ οὗτος ὁ ἐξ ἀρχῆς κυρίως ἐπίσκοπος, καὶ μόνος τὸν τῆς ἐπισκοπῆς θρόνον καθέξει· διὰ τὸ μὴ δέον εἶναι δύο ἐπισκόπους ἐν μιᾷ πόλει τυγχάνειν· αὐτὸς δὲ ὁ παρὰ τοῖς Καθαροῖς ὀνομαζόμενος ἐπίσκοπος, ὡς πρεσβύτερος τιμηθήσεται, ἤ, εἰ δοκεῖ τῷ ἐπισκόπῳ, καὶ τοῦ ὀνόματος μεθέξει τοῦ ἐπισκόπου· ἐπισκοπικὸν δέ τι δίκαιον οὐκ ἐνεργήσει.

---

(1) εἰς μίαν πόλιν Β.

Κανὼν Θ'.

Εἴ τινες ἀνεξετάστως προήχθησαν πρεσβύτεροι, ἢ ἀνακρινόμενοι ὡμολόγησαν τὰ ἁμαρτήματα(1) αὐτοῖς, καί, ὁμολογησάντων αὐτῶν, παρὰ κανόνα κινούμενοι οἱ ἄνθρωποι τοῖς τοιούτοις χεῖρα ἐπιτεθείκασι, τούτους ὁ κανὼν οὐ προσίεται· τὸ γὰρ ἀνεπίληπτον ἐκδικεῖ ἡ καθολικὴ (2) ἐκκλησία.

—

ΖΩΝΑΡ. Ἀνεπιλήπτους καὶ καθαρεύοντας αἰτιαμάτων κωλυόντων ἱερᾶσθαι, βούλεται ὁ κανὼν τοὺς εἰς ἱερωσύνην προαγομένους εἶναι, καὶ τὸν βίον, καὶ τὴν διαγωγὴν αὐτῶν ἐξετάζεσθαι. Εἰ δ' ἴσως τινὲς, φησὶν, ἀνεξετάστως προαχθῶσιν εἰς ἱερωσύνης βαθμὸν, ἢ, ἐκείνων ὁμολογησάντων τὰ ἑαυτῶν ἐλαττώματα, οἱ χειροτονοῦντες αὐτοὺς παρὰ κανόνα χειροτονήσουσιν, ἀπροσδέκτους αὐτοὺς εἶναι θεσπίζει, καὶ μηδὲν ἐκ τῆς χειροτονίας τῆς ἀθέσμου ὠφελεῖσθαι· καθαιρεθήσονται γάρ.

ΒΑΛΣ. Διάφορά εἰσι τὰ κωλύοντα τὴν ἱερωσύνην, μεθ' ὧν ἐστι καὶ ἡ πορνεία. Εἰ οὖν κατακριθῇ τις πορνείαν ἡμαρτηκὼς, κἄν τε πρὸ τοῦ ἱερωθῆναι, κἄν τε μετὰ ταῦτα, καθαιρεῖται. Ὅθεν, φησὶν ὁ κανὼν, τὸν ἀνεξετάστως ἱερωθέντα, ἢ καὶ ἐξομολογησάμενον μὲν πρὸ τῆς χειροτονίας τὸ ἁμάρτημα, παρὰ δὲ κανόνας χειροτονηθέντα (3), μὴ ὠφελεῖσθαι ἐκ τῆς χειροτονίας, ἀλλὰ μετὰ διάγνωσιν, καθαιρεῖσθαι. Ἔλεγον γάρ τινες, ὅτι ὥσπερ τὸ βάπτισμα νέον ἄνθρωπον ποιεῖ τὸν βαπτισθέντα, οὕτω καὶ ἡ ἱερωσύνη τὰ πρὸ τῆς ἱερωσύνης ἁμαρτήματα ἀπαλείφει· ὅπερ τοῖς κανόσιν οὐκ ἔδοξεν.

ΑΡΙΣΤ. Οἱ ἀνεξετάστως χειροτονούμενοι, εἰ ἐξῆς ἐλέγχοιντο, ὅτι ἥμαρτον ὄντως, πεπαύσθωσαν.

Ἐὰν γὰρ ἁμαρτήσας τις διέλαθε, καὶ ἀνεξετάστως εἰς ἐπισκόπου, ἢ πρεσβυτέρου βαθμὸν προήχθη, ἐὰν μετὰ τὴν χειροτονίαν ἐλέγχοιτο, ὅτι ἥμαρτε, τῆς ἱερωσύνης παυθήσεται.

---

(1) τὰ ἡμαρτημένα Σ. Ṗ.—(2) Π. Βρ. 'Ε. Κ. Σ. Ṗ. —οὐχ εὕρηται, ἡ καθολικὴ ἐν Χ. Τρ. καὶ Βευερ. — (3) οὐχ εὕρηται παρὰ Ė. τὸ, παρὰ δὲ κανόνας χειροτονηθέντα.

Κανὼν Ι΄.

Ὅσοι προεχειρίσθησαν τῶν παραπεπτωκότων, κατ' ἄγνοιαν, ἢ καὶ προειδότων τῶν προχειρισαμένων, τοῦτο οὐ προκρίνει τῷ κανόνι τῷ ἐκκλησιαστικῷ· γνωσθέντες γὰρ, καθαιροῦνται.

ΖΩΝΑΡ. Τοὺς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνησαμένους, εἶτα μετανοήσαντας, εἰς ἱερωσύνην προάγεσθαι οὐ χρή· πῶς γὰρ ἱερεὺς ἔσεται, ὃς τῶν ἁγιασμάτων διὰ βίου οὐκ ἀξιοῦται, εἰμὴ ἐν τῷ θανάτῳ αὐτοῦ; Εἰ δ' ἴσως ἀγνοοῦντος τοῦ χειροτονοῦντος, ἢ καὶ εἰδότος, ἱερωσύνης ἀξιωθείη, καθαιρεθῆναι αὐτὸν, εἰ μετὰ ταῦτα γνωσθείη, ὁ παρὼν κανὼν διατάττεται· τὸ γὰρ ἀθέσμως γενόμενον τῷ κανόνι οὐ προκρίνει, ἀντὶ τοῦ, οὐκ ἐμποδίζει, οὐ βλάπτει.

ΒΑΛΣ. Τοὺς ἀρνησιθέους, μετανοοῦντας εἰλικρινῶς δεχόμεθα, ἱερᾶσθαι δὲ οὐ παραχωροῦμεν, ἀλλὰ καὶ κληρικοὺς ὄντας, καθαιροῦμεν, καθὼς τοῦτό φησιν ὁ ξϐ'. ἀποστολικὸς κανών. Εἴ τινες γοῦν ἐκ τούτων ἐχειροτονήθησαν, ἀγνοούντων τῶν χειροτονησάντων, ἢ καὶ εἰδότων, μετὰ διάγνωσιν καθαιρεθήσονται· ὡς μὴ ὠφελούμενοι ἐκ τῆς χειροτονίας, κἂν ἐν εἰδήσει τοῦ χειροτονήσαντος αὕτη γέγονεν. Ἴσως γὰρ εἶπέ τις ὠφελεῖσθαι αὐτοὺς ἀπὸ τοῦ χειροτονηθῆναι παρὰ ἀνθρώπων, εἰδότων τὸ τούτων ἁμάρτημα, καὶ οἷον συγχωρησάντων αὐτὸ διὰ τῆς χειροτονίας. Ταῦτα (1) δὲ περὶ ἱερέων καὶ διακόνων, καὶ λοιπῶν ἐκληπτέον, οὐ μὴν περὶ ἐπισκόπων· περὶ τούτων γὰρ ζήτει τὸν ιϐ'. κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου, καὶ τὰ ἐν αὐτῷ γραφέντα.

ΑΡΙΣΤ. Οἱ παραπεπτωκότες, ἐν ἀγνοίᾳ, ἢ γνώσει τῶν χειροτονησάντων, καὶ προαχθέντες, καθαιρείσθωσαν.

Κἂν ἠγνόησαν οἱ χειροτονήσαντες τῶν χειροτονηθέντων τὰ πταίσματα, ἢ καὶ ἐν εἰδήσει τούτων ὄντες, παρεϐλέψαντο ταῦτα, τῷ ἐκκλησιαστικῷ κανόνι τοῦτο οὐ φέρει κατάκριμα·

---

(1) Ἅπασα ἡ τελευταία περίοδος τῆς παρούσης ἑρμηνείας ἀπὸ τοῦ, ταῦτα δὲ ἕως τοῦ, γραφέντα, οὐχ εὕρηται ἐν Χ. Τρ. οὔτε παρὰ Ἑ. ἀλλὰ παρὰ Βευερ.

ἀλλὰ καὶ μετὰ τοῦτο γνωσθέντες οἱ χειροτονηθέντες, ὡς ἁμαρτήσαντες, καθαιρεθήσονται.

Κανὼν ΙΑ'.

Περὶ τῶν παραβάντων χωρὶς ἀνάγκης, ἢ χωρὶς ἀφαιρέσεως ὑπαρχόντων, ἢ χωρὶς κινδύνου, ἤ τινος τοιούτου, ὃ γέγονεν ἐπὶ τῆς τυραννίδος Λικινίου, ἔδοξε τῇ συνόδῳ, εἰ καὶ ἀνάξιοι ἦσαν φιλανθρωπίας, ὅμως χρηστεύσασθαι εἰς αὐτούς. Ὅσοι οὖν γνησίως μεταμέλονται, τρία ἔτη ἐν ἀκροωμένοις ποιήσουσιν, ὡς πιστοὶ (1), καὶ ἑπτὰ ἔτη ὑποπεσοῦνται· δύω δὲ ἔτη χωρὶς προσφορᾶς κοινωνήσουσι τῷ λαῷ τῶν προσευχῶν (2).

—

ΖΩΝΑΡ. Ἕτεροι μὲν κανόνες περὶ τῶν ἐκ βίας πολλῆς καὶ ἀνάγκης ἀρνησαμένων τὴν πίστιν διαγορεύουσιν· ὁ δὲ παρὼν κανὼν περὶ τῶν χωρὶς ἀνάγκης παραβάντων διαλαμβάνει, οὓς καὶ ἀναξίους εἶναι φιλανθρωπίας φησίν· ἀλλ' ὅμως καὶ τοὺς τοιούτους διὰ χρηστότητα δέχεται, εἰ γνησίως μεταμέλονται, τουτέστιν ἀληθῶς, ἀλλ' οὐ νόθως καὶ ἐψευσμένως, μετὰ θερμότητος δὲ καὶ προθυμίας πολλῆς. Καὶ τρία μὲν ἔτη ἀκροᾶσθαι *αὐτοὺς*(3) διακελεύεται, ἤγουν ἔξω τῆς ἐκκλησίας ἵστασθαι ἐν τῷ νάρθηκι, καὶ τῶν θείων ἀκούειν γραφῶν· ἑπτὰ δ' ἔτη ὑποπίπτειν, ἤτοι ἐντὸς μὲν τῆς ἐκκλησίας εἰσέρχεσθαι, ἐν δὲ τῷ ὄπισθεν μέρει τοῦ ἄμβωνος ἵστασθαι, καὶ ἐξιέναι μετὰ τῶν κατηχουμένων· ἐνιαυτοὺς δὲ δύο συνίστασθαι, καὶ συνεύχεσθαι μετὰ τῶν πιστῶν, μὴ μέντοι καὶ τῆς τῶν ἁγιασμάτων μεταλήψεως ἀξιοῦσθαι, ἕως ἂν ἡ διετία παρέλθῃ.

ΒΑΛΣ. Ὁ ξβ'. ἀποστολικὸς κανὼν διαλαμβάνει περὶ τῶν κατὰ βίαν παραβάντων κληρικῶν· ὁ δὲ παρὼν περὶ τῶν χωρὶς βίας ἀρνησαμένων τὸν Χριστὸν (4)· καί φησι δέχεσθαι τούτους, γνησίως, ἤτοι ἀληθῶς μετανοοῦντας. Καὶ τρία μὲν ἔτη ἔξω ἵστα-

---

(1) Π. Βευερ. — οἱ πιστοὶ Χ. Τρ. Βρ. Κ. Ἑ. — (2) Π. Βρ.—τῶν εὐχῶν Χ. Τρ. Βευερ. — (3) Χ. Τρ. — οὐχ εὕρηται παρὰ Κ. καὶ Βευερ. — (4) τὸν Θεὸν Χ. Τρ. Ἑ.

σθαι τοῦ ναοῦ, καὶ ἀκροᾶσθαι τῶν ὑμνῳδιῶν τοῦ Θεοῦ· ἑπτὰ δὲ ἔτη ὑποπίπτειν, ἤτοι ἵστασθαι ἐντὸς τῆς ἐκκλησίας, ὄπισθεν μέν τοι τοῦ ἄμβωνος, καὶ ἐξέρχεσθαι μετὰ τῶν κατηχουμένων. Πληρωθείσης δὲ τῆς ἑπταετίας, συνεύξονται μὲν μετὰ τῶν πιςῶν καθ' ὁλόκληρον, τῶν δὲ ἁγιασμάτων μετὰ διετίαν ἀξιωθήσονται.

ΑΡΙΣΤ. Ὅσοι χωρὶς ἀνάγκης παρέβησαν, εἰ καὶ συγγνώμης ἦσαν ἀνάξιοι, συγγνώμης τινὸς ἀξιούμενοι, δώδεκα ἔτη ὑποπιπτέτωσαν.

Ὅσοι τὴν πίστιν ἀπηρνήσαντο χωρὶς ἀνάγκης, κἂν ἀνάξιοι φιλανθρωπίας ἦσαν, ὅμως συγγνώμης τινὸς ἀξιοῦνται· ὥστε τοὺς γνησίως ἐξ αὐτῶν μεταμελομένους, τρία μὲν ἔτη ἐν τοῖς ἀκροωμένοις, ἤτοι ἐν τοῖς βασιλικοῖς ἑστάναι πυλῶσι, καὶ τῶν θείων ἀκροᾶσθαι γραφῶν· μετὰ δὲ τὸν τριετῆ χρόνον, ἔνδον τοῦ περιβόλου τῆς ἐκκλησίας εἰσαχθῆναι, καὶ μετὰ τῶν ὑποπιπτόντων ἐν τῷ ὀπισθίῳ μέρει τοῦ ἄμβωνος ἑπτὰ ἔτη διατελέσαι, τῇ τῶν κατηχουμένων ἐκφωνήσει συνεξερχομένους· καὶ μετὰ παρέλευσιν τοῦ ἑπταετοῦς χρόνου, ἐπὶ δυσὶν ἄλλοις ἔτεσι μετὰ τῶν πιστῶν τὴν σύστασιν δέξασθαι, κοινωνοῦντας αὐτοῖς τῶν προσευχῶν μέχρι συμπληρώσεως τῆς μυσταγωγίας, τῆς θείας μέντοι γε μεταλήψεως οὐδὲ ἐπὶ τοῖς δυσὶ τούτοις μετασχῶσιν ἔτεσιν· ἀλλὰ μετὰ τοῦτο, καὶ τῆς μετοχῆς τῶν ἁγιασμάτων ἀξιωθήσονται.

Κανὼν ΙΒ'.

Οἱ δὲ προσκληθέντες μὲν ὑπὸ (1) τῆς χάριτος, καὶ τὴν πρώτην ὁρμὴν ἐνδειξάμενοι, καὶ ἀποθέμενοι τὰς ζώνας, μετὰ δὲ ταῦτα ἐπὶ τὸν οἰκεῖον ἔμετον ἀναδραμόντες, ὡς κύνες, ὡς τινὰς καὶ ἀργύρια προέσθαι, καὶ βενεφικίοις (2) κατορθῶσαι τὸ ἀναστρατεύσασθαι· οὗτοι δέκα ἔτη ὑποπιπτέτωσαν, μετὰ τὸν τῆς τριετοῦς ἀκροάσεως χρόνον. Ἐφ' ἅπασι δὲ τούτοις, προσήκει ἐξετάζειν τὴν προαίρεσιν καὶ τὸ εἶδος τῆς μετανοίας. Ὅσοι μὲν γὰρ (3) φόβῳ, καὶ δάκρυσι, καὶ ὑπομονῇ, καὶ ἀγαθοεργίαις, τὴν ἐπιστροφὴν

(1) Π. Χ. Τρ. Βρ.—ἀπὸ Βευερ. — (2) δωρεαῖς καὶ ὑποσχέσεσι Μάνσ. ἐν περισελ. — (3) Π. —καὶ φόβῳ Χ. Τρ. Βευερ. Βρ. Κ. Ἑ.

ἔργῳ, καὶ οὐ σχήματι, ἐπιδείκνυνται, οὗτοι πληρώσαντες τὸν χρόνον τὸν ὡρισμένον τῆς ἀκροάσεως, εἰκότως τῶν εὐχῶν κοινωνήσουσι, μετὰ τοῦ ἐξεῖναι τῷ ἐπισκόπῳ καὶ φιλανθρωπότερόν τι περὶ αὐτῶν βουλεύσασθαι. Ὅσοι δὲ ἀδιαφόρως ἤνεγκαν, καὶ τὸ σχῆμα τοῦ εἰσιέναι (1) εἰς τὴν ἐκκλησίαν ἀρκεῖν ἑαυτοῖς ἡγήσαντο πρὸς τὴν ἐπιστροφὴν, ἐξ ἅπαντος πληρούτωσαν τὸν χρόνον.

ΖΩΝΑΡ. Περὶ στρατευομένων ὁ κανὼν διελέγεται, καὶ ἀποῤῥιψάντων μὲν τὰς ζώνας, ἤγουν τὰ τῆς στρατείας παράσημα, ὅρμημα δὲ πρὸς μαρτύριον (2) ἐνδειξαμένων· οὓς καὶ ὑπὸ τῆς θείας χάριτος κληθῆναί φησιν, ὡς δι' ἐκείνης ἐπιῤῥωσθέντας πρὸς τὴν ἔνστασιν τῆς ὁμολογίας τῆς πίστεως· εἶτα ἐν μεταμελείᾳ γενομένων, καὶ αὖθις εἰς τὴν προτέραν ἐπανελθόντων στρατείαν, καὶ ταύτην ἀργυρίοις ἀνακτησαμένων, ἢ βενεφικίοις· διὰ μὲν γὰρ τῶν ἀργυρίων δηλοῦται τὰ χρήματα, διὰ δὲ τῶν βενεφικίων ἅπαν εἶδος χάριτός τε καὶ δεξιώσεως. Τῆς γὰρ Λατίνων διαλέκτου οὖσα ἡ λέξις, εὐεργεσίαν δηλοῖ, πρὸς ἑλληνίδα μεθερμηνευομένη διάλεκτον· εὐεργετεῖ δέ τις, ἢ χρήματα παρέχων, ἢ ἄλλως θέλημα οἱονδήποτε πληρῶν τινος· δῆλον δὲ πάντως, ὅτι οὐδεὶς τοιοῦτος ἀναστρατεύσασθαι ἠδυνήθη ἂν, εἰ μὴ τῇ πλάνῃ συνέθετο. Τοὺς γοῦν τοιούτους μετὰ τὴν τριετῆ ἀκρόασιν, ἐπὶ δεκαετίαν ὑποπίπτειν ὁ κανὼν διατάττεται, καὶ ἐξιέναι μετὰ τῶν κατηχουμένων. Δίδωσι δὲ τῇ κρίσει τοῦ ἐπισκόπου καὶ μειοῦν τὰ ἐπιτίμια, εἰ εὕροι τὸν μετανοοῦντα θερμότητα ἐν τῇ μετανοίᾳ ἐπιδεικνύμενον, καὶ δάκρυσι τὸν Θεὸν ἱλεούμενον, καὶ τῷ φόβῳ αὐτοῦ στοιχειούμενον, καὶ τὴν ἐκ τῶν ἐπιτιμίων κάκωσιν ὑπομένοντα, καὶ ἀγαθοεργίαις, ἤγουν ἀρετῶν ἀσκήσει, καὶ μεταδόσει τῇ πρὸς τοὺς δεομένους, εἰ εὐπορείη ἡ χεὶρ αὐτοῦ, προσκείμενον· καὶ τὸ ὅλον εἰπεῖν, ἐν ἀληθείᾳ, καὶ οὐκ ἐν σχήματι τὴν μετάνοιαν ἐνδεικνύμενον. Εἰ δὲ ἀδιαφόρως καὶ

---

(1) Π. Χ. Τρ. Βενερ. Κ. 'Ε. Μάνσ. ἐν περισελ. — μὴ εἰσιέναι Βρ. — (2) Χ. Τρ. — πρὸς μαρτυρίαν Κ. Βενερ.

καὶ ἀνειμένως ὁρᾷ τὸν ἐπιτιμηθέντα πρὸς τὴν ἐπιτίμησιν διακείμενον, καὶ ὅτι ὅλως παραχωρεῖται εἰσιέναι εἰς τὴν ἐκκλησίαν ἀρκούμενον, καὶ οὐ δακνόμενον καὶ λυπούμενον, ὅτι οὐ συνίσταται τοῖς πιστοῖς· ἀλλὰ καὶ τὸ ὄπισθεν τοῦ ἄμβωνος ἵστασθαι, καὶ ἐξιέναι μετὰ τῶν κατηχουμένων, (τοῦτο γὰρ δηλοῖ τὸ σχῆμα τοῦ εἰσιέναι, οὐ γὰρ ἀληθῶς εἴσεισιν ὁ οὕτως εἰσιών), ἀρκοῦν αὐτῷ λογιζόμενος, τὸν ὅλον τῆς δεκαετίας χρόνον ἐν τῷ ἐπιτιμίῳ τῆς ὑποπτώσεως πληροῦν αὐτὸν διακελεύεται ὁ κανών.

ΒΑΛΣ. Βενεφίκιον λέγεται, κατὰ Λατίνους, πᾶν δώρημα καὶ εὐεργέτημα. Ἐπεὶ οὖν τινες στρατιῶται, ἐν καιρῷ διωγμοῦ, ζήλῳ θείῳ κινηθέντες, τὰς ζώνας τῶν στρατειῶν αὐτῶν ἀπέθεντο, καὶ πρὸς μαρτύριον ὥρμησαν· ὕστερον δὲ ὑπὸ δαιμονιώδους μεταμελείας συνωθηθέντες, ἀπέστησαν τοῦ μαρτυρίου, καὶ τοῖς ἀπίστοις διώκταις ἠκολούθησαν, καὶ χρήμασιν, ἢ ἄλλοις δωρήμασι, τοῦτο γάρ ἐστι τὸ βενεφίκιον, ὡς εἴρηται, τὰς προτέρας αὐτῶν στρατείας ἔλαβον, καὶ εἰς τὸν οἰκεῖον ἔμετον ἀνέδραμον, φησὶν ὁ κανὼν, ὡς εἴπερ καὶ οὗτοι μετὰ εἰλικρινοῦς κατανύξεως προσέλθωσι τῇ ἐκκλησίᾳ, δεχθήσονται, ὀφείλοντες τρία μὲν ἔτη ἔξωθεν τῆς ἐκκλησίας ἵστασθαι, καὶ ἀκροᾶσθαι τῶν θείων γραφῶν, δέκα δὲ ἔτη ὑποπίπτειν, ἤτοι ἵστασθαι ὄπισθεν τοῦ ἄμβωνος, καὶ ἐξέρχεσθαι μετὰ τῶν κατηχουμένων, μετὰ δὲ ταῦτα συνεύχεσθαι μετὰ τῶν πιστῶν· πάντως δὲ τῶν ἁγιασμάτων οὐκ ἀξιωθῶσιν, εἰ μὴ διετία παρέλθῃ, καθὼς καὶ ἄνωθεν εἴπομεν· ὅτι καὶ οὗτοι ἐκ τῶν ἑκουσίως παραπιπτόντων εἰσίν. Ἐνέδωκε δὲ ὁ κανὼν τῷ ἐπισκόπῳ μειοῦν τὰ ἐπιτίμια κατὰ τὴν τοῦ ἐπιτιμηθέντος ἐπιστροφήν.

ΑΡΙΣΤ. Οἱ βιαζόμενοι, καὶ δόξαντες ἀντιστῆναι, εἶτα καταθέμενοι τῇ ἀσεβείᾳ, καὶ ἀναστρατευσάμενοι, δεκαετίαν ἀφοριζέσθωσαν. Σκοπητέον δὲ ἐφ᾽ ἅπασι τὸ εἶδος τῆς μετανοίας· καὶ θερμοτέρως μὲν μεταμελομένου τοῦ δεξαμένου τὸ ἐπιτίμιον, φιλανθρωπότερον ὁ ἐπίσκοπος διατιθέσθω· ψυχροτέρως δὲ, δραστικώτερον.

Ὅσοι ὑπὸ τῆς θείας χάριτος προσκληθέντες, κατὰ μὲν τὴν πρώτην ὁρμὴν βιασθέντες συνθέσθαι τῇ ἀσεβείᾳ, ἀντέστησαν,

ὥστε καὶ τὴν στρατιωτικὴν ἀποθέσθαι ζώνην, εἶτα ὑπείξαντες, κατέθεντο φρονεῖν τὰ τῶν ἀσεβῶν, ὥστε εἰς τὴν προτέραν αὐτοὺς καταστῆναι τιμὴν, καὶ τὴν στρατείαν αὖθις ἐπαναλαβεῖν, ἐπὶ τριετίαν ἔστωσαν ἀκροώμενοι, ἐπὶ δεκαετίαν ὑποπίπτοντες, καὶ οὕτω τῆς τελειώσεως ἀξιούσθωσαν· ἐξέστω δὲ τοῖς ἐπισκόποις καὶ μειοῦν, καὶ αὔξειν τὰ ἐπιτίμια, πρὸς τὴν μετάνοιαν ἀφορῶσι τῶν ἐπιστρεφόντων, εἴτε σὺν φόβῳ, καὶ ὑπομονῇ, καὶ δάκρυσι γίνεται, εἴτε καταφρονητικῶς, καὶ ἀδιαφόρως.

Κανὼν ΙΓ΄.

Περὶ δὲ τῶν ἐξοδευόντων, ὁ παλαιὸς καὶ κανονικὸς νόμος φυλαχθήσεται (1) καὶ νῦν, ὥστε, εἴ τις ἐξοδεύοι, τοῦ τελευταίου (2) καὶ ἀναγκαιοτάτου ἐφοδίου μὴ ἀποστερεῖσθαι. Εἰ δὲ ἀπογνωσθεὶς, καὶ κοινωνίας τυχὼν, πάλιν ἐν τοῖς ζῶσιν ἐξετασθῇ, μετὰ τῶν κοινωνούντων τῆς εὐχῆς μόνης ἔστω. Καθόλου δὲ, καὶ περὶ παντὸς οὑτινοσοῦν ἐξοδεύοντος, αἰτοῦντος τοῦ μετασχεῖν εὐχαριστίας, ὁ ἐπίσκοπος μετὰ δοκιμασίας μεταδιδότω τῆς προσφορᾶς.

ΖΩΝΑΡ. Διαταξάμενοι οἱ ἱεροὶ Πατέρες περὶ ἐπιτιμίων, καὶ ὅπως, καὶ ἐφ᾽ ὅσον οἱ παραπίπτοντες ἀκοινώνητοι ἔσονται, ὁρίζουσι διὰ τοῦ παρόντος κανόνος, κἂν ὑπὸ ἐπιτίμιον ἀκοινωνησίας ὦσί τινες, τελευτῶσι δὲ, μεταδίδοσθαι αὐτοῖς τῶν ἁγιασμάτων· ἵνα ἐφόδιον αὐτὰ ἔχωσι, καὶ μὴ στερηθῶσι τοῦ ἐκ τούτων ἁγιασμοῦ. Εἰ δέ τις περὶ τὴν ζωὴν κινδυνεύων ἀξιωθείη, ὡς θνήσκων, τῆς κοινωνίας, εἶτα διαφύγοι τὸν θάνατον, μετὰ τῶν πιστῶν μὲν συνεύξεται, οὐ μέν τοι καὶ τῶν ἁγιασμάτων μεταλήψεται. Καὶ πᾶς δὲ ἐν ἐπιτιμίῳ ὢν, περὶ τὴν τελευταίαν γινόμενος ἔξοδον, φησὶν ὁ κανὼν, εἰ ζητεῖ μεταλαβεῖν τῆς ἁγίας προσφορᾶς, μεταλαμβανέτω μετὰ δοκιμασίας, ἤγουν γνώμης τοῦ ἐπισκόπου καὶ ἐξετάσεως.

ΒΑΛΣ. Οὗτος ὁ κανὼν γενικός ἐστι· παρακελεύεται γὰρ

(1) διαφυλαχθήσεται Βευερ. — (2) Π. Χ. Τρ. Βρ. Κ. Ἐ. Σ. Ῥ.—τελείου Βευερ.

πάντα ἐπιτιμηθέντα, καὶ τῶν ἁγιασμάτων στερούμενον, ἀξιοῦσθαι τοῦ καλοῦ ἐφοδίου τῆς ἁγίας μεταλήψεως, ἐν ταῖς τελευταίαις ἀναπνοαῖς, μετὰ δοκιμασίας τοῦ ἐπισκόπου· μὴ ὄντος δὲ ἐπισκόπου, μετὰ δοκιμασίας ἱερέων· ἵνα μὴ στερηθῇ τοῦ καλοῦ ἐφοδίου ὁ ἄνθρωπος διὰ τὴν ἀποδημίαν τοῦ ἐπισκόπου (1). Προστίθησι δὲ, ὡς, εἴπερ ὁ τοιοῦτος μετὰ τὴν μετάληψιν τῶν ἁγιασμάτων διαφύγῃ τὸν θάνατον, μετὰ τῶν πιστῶν μὲν συνεύξεται, τῶν δὲ ἁγιασμάτων οὐκ ἐπιτεύξεται, εἰ μὴ πληρωθῇ πάντως ὁ νενομισμένος χρόνος τοῦ ἐπιτιμίου. Νομίζω δὲ, ὅτι, τότε μετὰ τὴν ὑγείαν συνεύχεσθαι τοῖς πιστοῖς παραχωρηθήσεται ὁ ἐπιτιμηθεὶς, ὅτε καὶ πρὸ τῆς νόσου τούτοις συνηύχετο· εἰ γὰρ ἐν τόπῳ ἀκροωμένων ἵστατο, τὸν αὐτὸν ἕξει τόπον καὶ μετὰ τὴν ὑγίειαν.

ΑΡΙΣΤ. Οἱ ἐξοδευόμενοι κοινωνείτωσαν· εἰ δέ τις αὐτῶν ὑγιάνοι, ἔστω μετὰ τῶν τῆς εὐχῆς κοινωνούντων καὶ μόνον.

Πᾶς πιστὸς ἐν ταῖς τελευταίαις ἀναπνοαῖς γινόμενος, τοῦ ἀγαθοῦ ἐφοδίου ἐπιτεύξεται· ὑγιάνας δὲ, μετὰ τῶν κοινωνούντων τῶν εὐχῶν ἔσται· οὐ μέντοι γε καὶ τῶν θείων ἁγιασμάτων μετάσχοι· ἀλλὰ πληρώσας ἐν ταῖς εὐχαῖς τὸν τῆς συστάσεως χρόνον, ἔκτοτε καὶ τῆς χάριτος ταύτης ἀξιωθήσεται.

Κανὼν ΙΔ΄.

Περὶ τῶν κατηχουμένων, καὶ παραπεσόντων, ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ὥστε, τριῶν ἐτῶν αὐτοὺς ἀκροωμένους μόνον, μετὰ ταῦτα εὔχεσθαι μετὰ τῶν κατηχουμένων.

—

ΖΩΝΑΡ. Ἐάν τινες προσελθόντες τῇ πίστει, καὶ γενόμενοι κατηχούμενοι, παραπέσωσιν (2), ὑποβιβάζεσθαι τῆς τάξεως, καὶ τῆς στάσεως τῶν κατηχουμένων, ὡρίσθησαν παρὰ τῶν ἁγίων Πατέρων, καὶ ἐν τῷ τῶν ἀκροωμένων ἐπιτιμίῳ γίνεσθαι ἐπὶ

(1) Ἅπασα ἡ φράσις αὕτη ἀπὸ τοῦ μὴ ὄντος δὲ . . . οὐχ εὕρηται ἐν Χ. Τρ. οὐδὲ παρὰ Ἑ. — (2) ἤγουν ἐν καιρῷ διωγμοῦ θύσωσι Χ. Τρ. — οὐχ εὕρηται ἡ φράσις αὕτη παρὰ Ἑ. καὶ Βευερ.

τριετίαν· εἶτα πάλιν ἐπανέρχεσθαι πρὸς τὴν προτέραν τάξιν καὶ στάσιν, καὶ συνεύχεσθαι τοῖς κατηχουμένοις.

ΒΑΛΣ. Τὸν ἐξ ἀπιστίας τῇ ἀληθεῖ πίστει προσελθόντα, καὶ κατηχηθέντα, καὶ μετὰ τὴν κατήχησιν πλανηθέντα, καὶ τὴν πρώτην θρησκείαν ζητήσαντα, μὴ ἁπλῶς δέχεσθαι εἰς τὸν τόπον τῶν κατηχουμένων, πάλιν ὑποστρέφοντα, οἱ ἅγιοι Πατέρες διορίζονται, ἀλλὰ πρότερον ἐπὶ τριετίᾳ ἔξωθεν τοῦ ναοῦ ἵστασθαι μετὰ τῶν ἀκροωμένων· πληρωθείσης δὲ ταύτης, ἀποκαθίστασθαι εἰς τὴν προτέραν τάξιν καὶ στάσιν τῶν κατηχουμένων.

ΑΡΙΣΓ. Εἴ τις παραπέσοι κατηχούμενος, οὗτος τρισὶν ἔτεσιν ἀκροάσθω, καὶ μόνον· εἶτα μετὰ τῶν κατηχουμένων εὐχέσθω.

Δύο εἴδη τῶν κατηχουμένων· οἱ μὲν γὰρ ἄρτι προσέρχονται, οἱ δὲ γεγόνασι τελεώτεροι, ἐφ᾽ ἱκανὸν τὰ τῆς πίστεως μυηθέντες· ὁ γοῦν τελεώτερος κατηχούμενος, παραπεσών, καὶ ἁμαρτήσας, ἀνεπιτίμητος οὐκ ἐᾶται, κἂν καὶ τὸ ἅγιον βάπτισμα ἱκανόν ἐστι πάντα ῥύπον ψυχικὸν ἀποπλῦναι· ἀλλὰ μετὰ τῶν ἀκροωμένων συντάττεται, καὶ μετὰ τριετίαν μετὰ τῶν κατηχουμένων αὖθις συνεύχεται. Καὶ ζήτει τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανόνα ε΄.

Κανὼν ΙΕ΄.

Διὰ τὸν πολὺν τάραχον, καὶ τὰς στάσεις τὰς γινομένας, ἔδοξε παντάπασι περιαιρεθῆναι τὴν συνήθειαν, τὴν παρὰ τὸν ἀποστολικὸν (1) κανόνα εὑρεθεῖσαν ἔν τισι μέρεσιν, ὥστε ἀπὸ πόλεως εἰς πόλιν μὴ μεταβαίνειν, μήτε ἐπίσκοπον, μήτε πρεσβύτερον, μήτε διάκονον. Εἰ δέ τις, μετὰ τὸν τῆς ἁγίας καὶ μεγάλης συνόδου ὅρον, τοιούτῳ τινὶ ἐπιχειρήσειεν, ἢ ἐπιδοίη ἑαυτὸν πράγματι τοιούτῳ, ἀκυρωθήσεται ἐξ ἅπαντος τὸ κατασκεύασμα, καὶ ἀποκατασταθήσεται τῇ ἐκκλησίᾳ, ἐν ᾗ ὁ ἐπίσκοπος, ἢ ὁ πρεσβύτερος ἐχειροτονήθη. —

(1) Π. — τὸ, ἀποστολικὸν οὐχ εὕρηται ἐν Χ. Τρ. Βευερ. Βρ. Ε. Κ. Σ. Ρ.

ΖΩΝΑΡ. Τὸ μὴ μετιέναι ἐξ ἐκκλησίας εἰς ἑτέραν ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, καὶ τοῖς ἱεροῖς κεκανόνισται Ἀποστόλοις. Ἀλλὰ παρορώμενον καὶ καταφρονούμενον τὸ διάταγμα ἡ ἁγία σύνοδος αὕτη διὰ τοῦ παρόντος κανόνος ἀνεκαίνισε, διοριζομένη(1), κἂν ἐπιχειρήσῃ μεταβῆναι ἐκ πόλεως εἰς ἑτέραν πόλιν ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, κἂν μεταβαίη, καὶ εἰς ἔργον ἀγάγῃ τὸ ἐπιχείρημα, ἀκυροῦσθαι τὴν πρᾶξιν αὐτοῦ, καὶ ἀποκαθίστασθαι ἐν ᾗ χειροτονούμενος ὠνομάσθη. Ἕτερος γὰρ κανὼν διατάττεται, μηδένα ἀπολελυμένως, ἤγουν ἀνωνύμως χειροτονεῖσθαι, ἀλλ' εἰς τήνδε τὴν ἐπισκοπὴν, ἢ τὴν ἐκκλησίαν, ἢ τὴν μονήν.

ΒΑΛΣ. Ὁ μὲν ἀποστολικὸς ιέ. κανὼν, Μηκέτι λειτουργείτω, φησὶν, ὁ κληρικὸς, ὁ παρὰ γνώμην τοῦ οἰκείου ἐπισκόπου ἀπὸ πόλεως εἰς πόλιν μεθιστάμενος· ὁ δὲ παρὼν κανὼν, τὰ αὐτὰ καὶ περὶ ἐπισκόπων διοριζόμενος, ἄκυρον εἶναι, φησὶ, τὸ παρὰ ταῦτα ἴσως γενησόμενον.

Ἑτέρα ἑρμηνεία.

Τοῦ ιδ'. ἀποστολικοῦ κανόνος, τὴν μὲν ἀπὸ παροικίας εἰς παροικίαν ἐπίβασιν, ἤτοι ἐπιπήδησιν, τῶν ἐπισκόπων κωλύοντος, τὴν δὲ μετάθεσιν ἐπιτρέποντος διὰ μεγάλην καὶ εὔλογον αἰτίαν· καὶ τοῦ ις'. κανόνος τῆς ἐν Ἀντιοχείᾳ συνόδου διοριζομένου, τὸν σχολάζοντα ἐπὶ σχολάζουσαν μεταβαίνειν μετὰ διαγνώσεως καὶ παρακλήσεως τελείας συνόδου· ὡσαύτως καὶ τοῦ πρώτου καὶ δευτέρου κανόνος τῆς ἐν Σαρδικῇ συνόδου μεγάλως κολαζόντων τὸν διὰ μεθοδείας (2) καὶ οἰκονομίας φαύλης τὴν λαχοῦσαν αὐτὸν καταλιμπάνοντα, καὶ μείζονα ἐκκλησίαν ἁρπάζοντα· καὶ τοῦ παρόντος ιέ. κανόνος τῆς ά. συνόδου παντάπασι μὲν κωλύοντος τὴν ἀπὸ πόλεως εἰς πόλιν μετάβασιν τῶν ἐπισκόπων, τῶν πρεσβυτέρων, καὶ τῶν διακόνων· μὴ κολάζοντος δὲ ταύτην, ἀλλὰ διοριζομένου ἀκυροῦσθαι τὸ κατασκεύασμα, καὶ ἀποκαθίστασθαι τῇ προτέρᾳ ἐκκλησίᾳ τὸν ἐπίσκοπον, ἢ τὸν πρεσβύτερον, ἢ τὸν διάκονον (3), εἰς ἣν ἐχειροτονήθησαν, εἴποι τις

(1) Χ. Τρ. — διορισαμένη Βευερ. — (2) Χ. Τρ. — μεθόδου Βευερ. — (3) Βευερ. — οὐχ εὕρηται τὸ, ἢ τὸν διάκονον ἐν Χ. Τρ.

ἐναντιοῦσθαι τοὺς κανόνας ἀλλήλοις (1), ἄλλα καὶ ἄλλα θεσμοθετοῦντας· ἀλλ' οὐκ ἔστι τοῦτο. Διαφορὰ γάρ ἐστιν ἀλλήλοις, μεταθέσεως, μεταβάσεως, καὶ ἐπιβασίας· μετάθεσις γάρ ἐστιν ἡ ἀπὸ παροικίας εἰς παροικίαν μετένεξις· ὅταν τυχὸν ἐπίσκοπος, παντοίᾳ σοφίᾳ κεκοσμημένος, μετακληθῇ παρὰ πλήθους ἐπισκόπων, εἰς μείζονα ἐκκλησίας χηρευούσης βοήθειαν, κινδυνευούσης περὶ τὴν εὐσέβειαν· οἷόν τι γέγονεν εἰς τὸν μέγαν Γρηγόριον τὸν Θεολόγον, ἀπὸ τῶν Σασίμων εἰς Κωνσταντινούπολιν μετατεθέντα· καὶ ἔστιν αὕτη συγχωρητέα, καθὼς παρίσταται ἀπὸ τοῦ ιδ΄. κανόνος τῶν ἁγίων Ἀποστόλων. Μετάβασίς ἐστιν, ὅταν τις σχολάζων, δηλονότι μὴ ἔχων παροικίαν, ὡς ὑπὸ ἐθνῶν κατεχομένην, ἀναγκασθῇ παρὰ ἐπισκόπων πολλῶν εἰς σχολάζουσαν ἐκκλησίαν μεταβῆναι, διὰ τὸ περὶ τὴν ὀρθοδοξίαν, καὶ τὰ λοιπὰ ἐκκλησιαστικά, χρησιμώτατον (2) αὐτοῦ· καὶ ἔστι καὶ αὕτη δεκτέα παρὰ τοῖς θείοις κανόσι τῶν ἐν Ἀντιοχείᾳ συνελθόντων ἁγίων Πατέρων. Ἐπίβασις δέ ἐστιν ἡ αὐτόνομος, ἢ καὶ μετὰ οἰκονομίας φαύλης, τοῦ σχολάζοντος, ἢ καὶ τοῦ ἔχοντος ἐκκλησίαν ἐπισκόπου, πρὸς χηρεύουσαν ἐκκλησίαν παράλογος μετένεξις, ἣν τοσοῦτον οἱ ἐν Σαρδικῇ συνελθόντες ἅγιοι Πατέρες ἐβδελύξαντο, ὥστε καὶ ἀκοινώνητον εἶναι παντὶ Χριστιανῷ τὸν ἐργάτην ταύτης διωρίσαντο, καὶ μηδὲ ἐν ταῖς τελευταίαις ἀναπνοαῖς λαϊκῆς κοινωνίας ἀξιοῦσθαι αὐτόν. Ὁ δὲ ιέ. κανὼν τῆς ά. συνόδου περὶ μηδενὸς τοιούτου μνείαν ποιούμενος, οὐδ' ἐναντιοῦταί τινι τῶν ἀνωτέρω καταστρωθέντων κανόνων· οὔτε γὰρ περὶ μεταθέσεως, οὔτε περὶ μεταβάσεως, οὔτε περὶ ἐπιβασίας διδάσκει, ἀλλὰ κωλύει τὸ μεταπίπτειν ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἀπὸ πόλεως εἰς πόλιν ἑτέραν, ἀνήκουσαν τῇ αὐτοῦ παροικίᾳ, ὥσπερ ποτὲ ὁ ἐπίσκοπος Δέρκου ἐκεῖνος κύριος Ἰωάννης ἐπεχείρησε τὸν θρόνον τῆς Δέρκου μεταγα-

(1) Ἐν Χ. Τρ. ἀναγινώσκονται ἐνταῦθα τὰ ἑξῆς· Ὡς τῶν μὲν τῆς ἐν Σαρδικῇ συνόδου δηλαδὴ κολαζόντων τὴν ἀπὸ παροικίας εἰς παροικίαν μετένεξιν· τοῦ δὲ ιέ. κανόνος, δηλονότι τῆς ά. συνόδου, μὴ κολάζοντος ταύτην, ἀλλὰ πρὸς τὴν ἑτέραν πόλιν ἐπάγοντος τὸν ἐπίσκοπον· τοῦ ἀποστολικοῦ δὲ ιδ΄. κανόνος, καὶ τῆς ἐν Ἀντιοχείᾳ συνόδου ἐπιτρεπόντων ταῦτα γίνεσθαι· Λύσις. Οὐκ ἐναντιοῦνται οἱ κανόνες ἀλλήλοις, ἀλλὰ διαφορά ἐστι μεταθέσεως κτλ. —(2) διὰ τὴν . . . χρησιμότητα Χ. Τρ.

γεῖν εἰς τὸ τοῦ Φιλέα πρωτοπαπαδίκιον αὐτοῦ, διὰ τὸ πολυανθρωπότερον εἶναι, καὶ ἐκωλύθη συνοδικῶς. Διὰ γὰρ τοῦτο, οὐδὲ κολάζεται ὁ τοῦτο ἐπιχειρήσας ἐπίσκοπος, ἀλλ᾽ εἰς τὴν προτέραν αὐτοῦ καθέδραν ἐπανάγεται. Ὅτι δὲ τοῦτο ἀληθές ἐστι, δηλοῦται καὶ ἀπ᾽ αὐτῶν τῶν ῥημάτων τοῦ κανόνος, πόλεως μεμνημένου, καὶ οὐχὶ παροικιῶν· τὸν αὐτὸν γὰρ καὶ ἕνα ἐπίσκοπον, πολλὰς μὲν πόλεις ἔχειν ὡς ἐνορίαν (1) δυνατόν ἐστι, πολλὰς δὲ παροικίας, οὐδαμῶς. Ἀλλὰ καὶ ἀπὸ τοῦ μεμνῆσθαι τὸν τοιοῦτον κανόνα πρεσβυτέρων, καὶ διακόνων, ἐναργῶς παρίσταται ἡ ἀλήθεια. Ποία γὰρ μετάθεσις, ἢ μετάβασις, ἢ ἐπίβασις, ἐπὶ τούτων τρακταϊσθείη ποτέ; πάντως οὐδεμία. Μετάπτωσις δὲ μόνη ἀπὸ πόλεως εἰς πόλιν οὐκ ἀλλοτρίαν, ἀλλὰ τῇ παροικίᾳ, εἰς ἣν ἐκληρώθησαν, ἀνήκουσαν· διὰ γὰρ τοῦτο οὐδὲ καθαιροῦνται, ὡς παρ᾽ ἐνορίαν ἱερουργήσαντες, ἀλλὰ τῇ προτέρᾳ ἐκκλησίᾳ, εἰς ἣν καὶ ἐχειροτονήθησαν, ἀποκαθίστανται (2).

ΑΡΙΣΤ. Ἐκ πόλεως εἰς πόλιν μήτε ἐπίσκοπος, μήτε πρεσβύτερος, μήτε διάκονος μεταβαινέτω· ἐπεὶ πάλιν ἀποδοθήσονται ταῖς ἐκκλησίαις, ἐν αἷς κεχειροτόνηνται.

Ὁ κανὼν οὗτος οὐ μόνον τὰς τῶν ἐπισκόπων μεταθέσεις παντελῶς ἀναιρεῖ, ἀλλὰ καὶ τῶν πρεσβυτέρων, καὶ διακόνων, καὶ τοὺς ἐπιχειρήσαντας τοιοῦτόν τι ποιῆσαι, ἀποκαθιςᾷ πάλιν ταῖς ἐκκλησίαις, ἐν αἷς κεχειροτόνηνται. Ὁ δὲ τῆς ἐν Σαρδικῇ πρῶτος καὶ δεύτερος κανὼν αὐστηροτέρως αὐτοὺς τιμωρεῖ, ἀκοινωνησίας τούτους ὑποβάλλων ἐπιτιμίῳ.

Κανὼν ΙϚ'.

Ὅσοι ῥιψοκινδύνως, μήτε τὸν φόβον τοῦ Θεοῦ πρὸ ὀφθαλμῶν ἔχοντες, μήτε τὸν ἐκκλησιαστικὸν κανόνα εἰδότες, ἀναχωρήσωσι τῆς ἰδίας (3) ἐκκλησίας, πρεσβύτεροι, ἢ διάκονοι, ἢ ὅλως ἐν τῷ κανόνι ἐξεταζόμενοι,

---

(1) καὶ ἐνορίαν Χ. Τρ. — (2) Ἅπασα ἡ ἑρμηνεία οὐχ εὕρηται παρὰ Ἑ. — (3) Π. — τῆς ἐκκλησίας Βρ. Βευερ. Ἑ. Κ. Σ. Ῥ.

οὗτοι οὐδαμῶς δεκτοὶ ὀφείλουσιν εἶναι ἐν ἑτέρᾳ ἐκκλησίᾳ· ἀλλὰ πᾶσαν αὐτοῖς ἀνάγκην ἐπάγεσθαι χρὴ, ἀναστρέφειν εἰς τὰς ἑαυτῶν παροικίας· ἢ, ἐπιμένοντας, ἀκοινωνήτους εἶναι προσήκει. Εἰ δὲ καὶ τολμήσειέ τις ὑφαρπάσαι τὸν τῷ ἑτέρῳ διαφέροντα, καὶ χειροτονῆσαι ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ, μὴ συγκατατιθεμένου τοῦ ἰδίου ἐπισκόπου, οὗ ἀνεχώρησεν ὁ ἐν τῷ κανόνι ἐξεταζόμενος, ἄκυρος ἔστω ἡ χειροτονία.

—

ΖΩΝΑΡ. Ὁ μὲν πρὸ τούτου κανὼν, τοὺς ἀναχωροῦντας τῶν οἰκείων ἐκκλησιῶν, καὶ ἄλλαις προσερχομένους, ἀποκαθίστασθαι τῇ ἐκκλησίᾳ διορίζεται, ἐν ᾗ κεχειροτόνηται ἕκαστος. Οὗτος δὲ τοὺς μὴ πειθομένους ἐπανελθεῖν, καὶ ἀκοινωνήτους εἶναι θεσπίζει. Ἔοικεν οὖν ἐναντιοῦσθαι τῷ ιέ. κανόνι τῶν ἱερῶν Ἀποστόλων· ἐκεῖνος γὰρ τοὺς καταλείψαντας κληρικοὺς τὰς ἑαυτῶν παροικίας, καὶ εἰς ἄλλην παροικίαν παντελῶς μεταστάντας παρὰ γνώμην τοῦ ἐπισκόπου αὐτῶν, μηκέτι λειτουργεῖν κελεύει· ὡς δὲ λαϊκοὺς κοινωνεῖν ἐπιτρέπει ἐκεῖ. Οἶμαι τοίνυν ἐπὶ τοῦ παρόντος κανόνος, τὸ, ἀκοινωνήτους εἶναι, οὕτω νοεῖσθαι· ἤγουν μὴ συγκοινωνεῖν αὐτοῖς τοὺς ἱερατικοὺς δηλαδὴ, ἀλλ' ἀποτρέπεσθαι τοῦ (1) συνιερουργεῖν αὐτοῖς τοὺς τοιούτους· κοινωνίαν ἐνταῦθα τῶν ἁγίων Πατέρων, οὐχὶ τὴν μετάληψιν τῶν ἁγιασμάτων ὀνομασάντων, ἀλλὰ τὴν τῶν ἱερῶν συμμεταχείρισιν καὶ κοινοπραξίαν, καὶ τὸ συλλειτουργεῖν τοῖς, οἷσπερ προσῆλθον. Οὕτω γὰρ νοούμενος ὁ παρὼν κανὼν, οὐ διαφωνεῖν πρὸς τὸν ἀποστολικὸν κανόνα δόξει τινί. Εἶτα ἐπάγει, ὡς, εἰ ἐπίσκοπός τις τὸν ἀφ' ἑτέρας πόλεως εἰς ἑτέραν μεταναστεύσαντα κληρικὸν χειροτονήσει, προαγαγὼν αὐτὸν ἴσως εἰς βαθμὸν μείζονα, μὴ βουλομένου τοῦ ἐπισκόπου, ἐξ οὗ ἀνεχώρησεν, ἄκυρος ἔσται ἡ χειροτονία.

ΒΑΛΣ. Ἀπὸ τοῦ τέλους τοῦ ιέ. κανόνος παρίσταται, ὅτι πάντες οἱ χειροτονούμενοι, ἢ εἰς ἐπισκοπὰς ἐκληροῦντο (2), ἤτοι ἐχειροτονοῦντο, ἢ εἰς μοναστήρια, ἢ εἰς θείους ναούς· ὅθεν ἀκο-

(1) Χ. Τρ. — τὸ, Βευερ. — (2) ἐκκληροῦνται Χ. Τρ. — τὸ δὲ, ἤτοι ἐχειροτονοῦντο, οὐ κεῖται.

λούθως τούτῳ καὶ ὁ ϛ'. κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ ὁ ί. διορίζονται οὕτω τοὺς κληρικοὺς γίνεσθαι, καὶ τὴν παρὰ ταῦτα γενησομένην χειροθεσίαν ἀκυροῦσθαι. Διὸ καὶ δέδοκται μὴ ἔχειν ἐπ' ἀδείας τινὰ κληρικὸν ἀπὸ παροικίας εἰς παροικίαν (1) μεταβαίνειν, καὶ ἀμείβειν τὸν κλῆρον ἄνευ γραφῆς ἀπολυτικῆς τοῦ χειροτονήσαντος τοῦτον· τοὺς δὲ μετακαλουμένους κληρικοὺς παρὰ τῶν χειροτονησάντων αὐτοὺς, καὶ μὴ πειθομένους ἀναστρέφειν, ἀκοινωνήτους αὐτοῖς εἶναι, ἤγουν μὴ παραχωρεῖσθαι συνιερουργεῖν τούτοις (2)· εἰς τοῦτο γὰρ τὸ μὴ κοινωνεῖν ἐκλαμβάνεται· οὐ μὴν εἰς τὸ μὴ ἐκκλησιάζειν, ἢ εἰς τὸ μὴ μεταλαμβάνειν τῶν ἁγιασμάτων, ἀκολούθως πάντως τῷ ιέ. ἀποστολικῷ κανόνι, τῷ διοριζομένῳ μὴ λειτουργεῖν τοὺς τοιούτους. Ὁ δὲ ιϛ'. ἀποστολικὸς κανὼν, ἀφορισμῷ καθυποβάλλει τὸν δεξάμενον ἐπίσκοπον ἐξ ἑτέρας παροικίας κληρικὸν, ἄνευ ἀπολυτικῆς γραφῆς τοῦ χειροτονήσαντος αὐτόν. Ὥστε καλῶς ποιεῖ ὁ κατὰ καιροὺς τῆς μεγάλης ἐκκλησίας χαρτοφύλαξ, μὴ παραχωρῶν τοῖς ἐξωχειροτονήτοις ἱερεῦσιν ἱερουργεῖν, μὴ προκομίζουσι συστατικὰς καὶ ἀπολυτικὰς γραφὰς τῶν χειροτονησάντων αὐτούς. Ἀνάγνωθι καὶ τὸν λέ. ἀποστολικὸν κανόνα, συνόδου Ἀντιοχείας κανόνας ιγ'. καὶ κβ'. καὶ συνόδου Ἐφέσου κανόνα ή.

ΑΡΙΣΤ. Ὅσοι πρεσβύτεροι καὶ διάκονοι τῆς ἐκκλησίας ἀναχωρήσουσιν, ἄδεκτοι εἰς ἑτέραν ἐκκλησίαν γενήσονται· ἀλλ' ἐπιστρεφέτωσαν εἰς τὰς ἑαυτῶν παροικίας. Εἰ δέ τις τὸν ἑτέρῳ διαφέροντα χειροτονήσοι χωρὶς γνώμης τοῦ οἰκείου ἐπισκόπου, ἄκυρος ἡ χειροθεσία.

Καὶ οὗτος ὁ κανὼν τὰ αὐτὰ τῷ πρὸ αὐτοῦ διορίζεται· ὥστε μήτε τινὰ πρεσβύτερον, ἢ διάκονον, τῆς ἐκκλησίας, ἐν ᾗ κεκλήρωται, ἀναχωρήσαντα, ὑφ' ἑτέρου ἐπισκόπου παραδεχθῆναι, ἀλλ' ἐπιστρέφειν αὖθις εἰς τὴν ἑαυτοῦ παροικίαν. Εἰ δέ τις ἐπίσκοπος τὸν ἑτέρῳ διαφέροντα κληρικὸν παραδέξεται, καὶ χειροτονήσας αὐτὸν, εἰς μείζονα προαγάγῃ βαθμὸν ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ, χωρὶς γνώμης τοῦ οἰκείου ἐπισκόπου, ἀκυρωθήσεται ἡ χειροθεσία.

(1) Βευερ. — ἀπὸ πόλεως εἰς πόλιν Χ. Τρ. — (2) αὐτοῖς Χ. Τρ. Ε.

Κανὼν ΙΖ'.

Ἐπειδὴ πολλοὶ ἐν τῷ κανόνι ἐξεταζόμενοι, τὴν πλεονεξίαν, καὶ τὴν αἰσχροκέρδειαν (1) διώκοντες, ἐπελάθοντο τοῦ θείου γράμματος λέγοντος· Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ· καὶ δανείζοντες, ἑκατοστὰς ἀπαιτοῦσιν· ἐδικαίωσεν ἡ ἁγία καὶ μεγάλη σύνοδος, ὡς εἴ τις εὑρεθείη μετὰ τὸν ὅρον τοῦτον τόκους λαμβάνων, ἐκ μεταχειρίσεως, ἢ ἄλλως μετερχόμενος τὸ πρᾶγμα, ἢ ἡμιολίας (2) ἀπαιτῶν, ἢ ὅλως ἕτερόν τι ἐπινοῶν αἰσχροῦ κέρδους ἕνεκα, καθαιρεθήσεται τοῦ κλήρου, καὶ ἀλλότριος τοῦ κανόνος ἔσται.

—

ΖΩΝΑΡ. Ἐπὶ τόκῳ δανείζειν καὶ ὁ παλαιὸς νόμος ἅπασιν ἀπηγόρευσε. Φησὶ γάρ, Οὐκ ἐκτοκιεῖς τὸ ἀργύριόν σου τῷ ἀδελφῷ σου. Εἰ δὲ ὁ ἀτελέστερος τοῦτο ἐνομοθέτησε, πολλῷ πλέον ὁ τελεώτερος, καὶ πνευματικώτερος· ἰδοὺ γὰρ πλέον τοῦ ἱεροῦ ὧδε. Ἅπασι μὲν οὖν ἀποτέτραπται τὸ ἐπὶ τόκῳ δανείζειν· εἰ δ' ἅπασι, μᾶλλον ἂν εἴη τοῖς ἱερωμένοις τοῦτο ἀνάρμοστον· οἳ καὶ τοῖς λαϊκοῖς εἰς ὑπόδειγμα, καὶ παροξυσμὸν εἰς ἀρετὴν εἶναι ὀφείλουσι. Διὸ καὶ ὁ κανὼν ἀπαγορεύει τοῖς ἐν τῷ κανόνι ἐξεταζομένοις, ἤτοι τοῖς ἐν κλήρῳ τεταγμένοις, ἑκατοστὰς (3) ἀπαιτεῖν, τόκους δηλαδὴ ἑκατοστιαίους· πολυαρίθμων γὰρ ὄντων τῶν τόκων, βαρύτεροι τῶν ἄλλων οἱ ἑκατοστιαῖοί εἰσιν. Ὥσπερ γὰρ τοῖς νῦν αἱ λίτραι μέχρι τῶν ἑβδομήκοντα δύο ἀριθμοῦνται, οὕτω τοῖς παλαιοῖς αἱ ἑκατοντάδες ἦσαν· καὶ ἦν ὁ τόκος τῶν ἑκατὸν νομισμάτων, νομίσματα δώδεκα· διὸ καὶ ἑκατοστιαῖος ἐλέγετο, ὡς ἐπὶ τοῖς ἑκατὸν ἀπαιτούμενος. Ἀπαγορεύσασα οὖν ἡ σύνοδος λαμβάνειν τόκους τοὺς ἐν κλήρῳ, ἐπάγει τοῖς μὴ φυλάξουσι τὸν κανόνα καὶ ἐπιτίμιον· καί φησιν, ἐδικαίωσεν ἡ ἁγία σύνοδος, ἀντὶ τοῦ, δίκαιον ἡγήσατο, ἵνα εἰ εὑρεθείη τις μετὰ τὰ ὁρισθέντα νῦν λαμβάνων τόκους ἐκ μεταχειρίσεως, ἤγουν ὡς οἷόν

(1) Π. Βρ. Βευερ. 'Ε. — τὸ αἰσχροκερδὲς Χ. Τρ. — (2) Π. Χ. Τρ. Βρ. — ἡμιολίους Βευερ. — (3) Χ. Τρ. — ἑκαστοκὰς 'Ε. Βευερ.

τινα πραγματείαν τὸ τοκίζειν μεταχειριζόμενος, ἢ ἄλλως μετερχόμενος τὸ πρᾶγμα· τινὲς γὰρ ἐκφεύγοντες τὸ λέγεσθαι περὶ αὐτῶν, ὅτι τόκους λαμβάνουσι, διδόασι τοῖς χρήζουσιν ἀργύρια, καὶ συμφωνοῦσι συμμερίζειν αὐτοῖς τὸ κέρδος· καὶ οὐ δανειςὰς ἑαυτούς, ἀλλὰ συγκοινωνοὺς ὀνομάζουσι, καὶ ζημίας μὴ ὄντες κοινωνοί, ἐπὶ τῷ κέρδει μόνῳ κοινοπραγοῦσι· ταῦτα τοίνυν καὶ τὰ τοιαῦτα πάντα ἀπαγορεύων ὁ κανών, καθαιρεῖσθαι κελεύεται τοὺς τοιαῦτα τεχνάζοντας, ἢ ἕτερόν τι ἐπινοοῦντας αἰσχροῦ κέρδους χάριν, ἢ ἀπαιτοῦντας ἡμιολίας. Εἰπὼν ἄνω περὶ ἑκατοστιαίου τόκου, ὃς τῶν τόκων ἐστὶν ὁ βαρύτερος, ὡς προείρηται, παρακατιὼν καὶ τοῦ κουφοτέρου ἐμνήσθη, τῆς ἡμιολίας, ἥτις ἐστὶ τοῦ ὅλου τὸ ἥμισυ, ἤγουν τῶν δώδεκα νομισμάτων, ἅ τινά εἰσι τῆς ἑκατοστῆς ὁ πληρέστατος καὶ ὁλόκληρος τόκος. Εἴποι δ' ἄν τις τὰς ἡμιολίας, καὶ κατὰ ἀριθμητικούς· ἐκείνοις γὰρ οἱ μὲν τῶν ἀριθμῶν ἐπίτριτοι λέγονται, οἱ δὲ ἐπιτέταρτοι, ἐπίπεμπτοί τε καὶ ἔφεκτοι, οἱ δὲ ἡμιόλιοι, ὡς ὁ ἕξ, καὶ ὁ ἐννέα· ὅτι ὅλους ἔχουσιν ἐν ἑαυτοῖς ἀριθμούς, καὶ τὰ ἡμίση αὐτῶν· ἔχουσι γάρ, ὁ μὲν ἕξ, τὰ τέσσαρα, καὶ τῶν τεσσάρων τὸ ἥμισυ, ὅ ἐστι τὰ δύο· ὁ δὲ ἐννέα, τὰ ἕξ, καὶ τούτων τὸ ἥμισυ, τὰ τρία δηλονότι. Διὰ γοῦν τῆς ἡμιολίας, ὡς ἂν νοοῖτο αὕτη, τοῦτο μονονουχὶ λέγει ὁ κανών, ὡς οὐ μόνον τὸν βαρύτερον οὐ λήψονται τόκον οἱ ἐν τῷ κλήρῳ, ἀλλ' οὐδὲ ἄλλόν τινα μετριώτερον.

ΒΑΛΣ. Ὁ μδ'. ἀποστολικὸς κανὼν τοὺς ἀπαιτοῦντας τόκους ἀπὸ δανείου πρεσβυτέρους, ἢ διακόνους, καθαιρεῖσθαί φησιν, εἰ μὴ παύσονται. Ὁ δὲ παρὼν κανὼν πάντας τοὺς κληρικοὺς τοὺς μετὰ τόκου δανείζοντας, ἢ ἡμιολίας ἀπαιτοῦντας, ἢ ἕτερόν τι αἰσχρὸν κέρδος ἑαυτοῖς ἐπινοοῦντας, καθαιρεῖσθαι ἐδικαίωσεν, ἀντὶ τοῦ οὕτω δίκαιον εἶναι ἔκρινε. Ζήτει καὶ τὰ ἐν τῷ ῥηθέντι ἀποστολικῷ κανόνι γραφέντα, καὶ τὸ κζ'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, λέγον ἐν μέρει, ἀπαιτεῖσθαι τόκους καὶ παρὰ ἱερωμένων, δηλονότι τοὺς ἀπὸ διαφέροντος, καὶ τοὺς ἐξ ὑπερθέσεως. Τοῦ δὲ ἀποστολικοῦ κανόνος καὶ ἑτέρων διοριζομένων τοὺς ἱερωμένους τοκίζοντας καθαιρεῖσθαι, εἰ μὴ παύσωνται· ἐρωτήσει τις, ἐκείνοις ὀφείλομεν προσχεῖν, ἢ τῷ παρόντι κανόνι,

λέγοντι, ἀπεντεῦθεν αὐτοὺς καθαιρεῖσθαι; Λύσις. Ὡς ἐμοὶ δοκεῖ, μετὰ παραγγελίαν ὁ κληρικὸς, μὴ ἀφιστάμενος τῆς αἰσχροκερδείας, καθαιρεθήσεται, διὰ τὸ τοῦ ἀποστολικοῦ κανόνος φιλανθρωπότερον. Σημείωσαι οὖν τὸν κανόνα διὰ τοὺς ἱερωμένους, τοὺς ἐμπορευομένους οἰνάρια, ἢ βαλανεῖα πακτεύοντας, καὶ ἄλλα τοιαῦτά τινα ποιοῦντας, καὶ προβαλλομένους ἀκανόνιστον τελευταίαν ἄγκυραν, τὴν πενίαν. Τὸ δὲ ῥῆμα, τὸ περιεχόμενον τῷ παρόντι κανόνι, καὶ λέγον, ἢ ἄλλως μετερχόμενος τὸ πρᾶγμα, ἢ ἡμιολίας ἀπαιτῶν, τοιοῦτόν ἐστι. Τινὲς τῶν ἱερωμένων, εἰδότες τὸν κανόνα, καὶ περιγράφοντες αὐτὸν, τὰ μὲν ῥήματα φυλάττουσι, τὸν δὲ νοῦν ἀθετοῦσι· διδόασι γὰρ πρός τινας ἀργύρια, καὶ συμφωνοῦσι τοσήνδε μερίδα ἐκ τοῦ κέρδους αὐτοὺς λαμβάνειν· τὸν δὲ κίνδυνον ἐπιγινώσκεσθαι παρὰ τῶν λαμβανόντων αὐτά· καὶ τῇ ἀληθείᾳ δανεισταὶ ὄντες, κοινωνοὶ λέγεσθαι σχηματίζονται (1)· ἀποτρέπεται γοῦν καὶ τοῦτο ὁ κανὼν, καὶ καθαιρεῖ τοὺς ποιοῦντας τοιοῦτόν τι. Ἡμιολίας δὲ νόησον τὰς ἐλαφροτέρας ἀπαιτήσεις τοῦ τόκου· κἂν γὰρ, φησὶν, οὐκ ἀπαιτεῖ ὁ κληρικὸς ἑκατοστιαίους τόκους βαρυτάτους, ἤτοι ὑπὲρ ἑκάστης ὑπερπύρων λίτρας, ὑπέρπυρα δώδεκα· (ἑκατοσταὶ γὰρ παρὰ τῷ κανόνι ἐκλήθησαν οἱ ἑκατοστιαῖοι τόκοι· ὡς ἐκ παλαιοῦ τῆς λίτρας μὴ ποσουμένης εἰς ἑξάγια οβ', κατὰ τὸ σήμερον ἐνεργοῦν, ἀλλ' εἰς ρ'.)· ζητεῖ δὲ τὰ ἡμίση τοῦ ὅλου τόκου, ἤγουν νομίσματα ὑπέρπυρα ἓξ (2), ἢ καὶ τούτων ἧττονα, καὶ οὕτω καθαιρεθήσεται. Ἔσο δὲ εἰδὼς, ὡς ἐπεὶ ἡ λίτρα σήμερον ἔχει ἑξάγια οβ'. καὶ οὐχὶ ρ', ὡς τὸ παλαιὸν, ὁ συμφωνήσας ἑκατοστιαίους (3) τόκους λαβεῖν ὑπὲρ λίτρας, οὐκ ἀπαιτήσει νομίσματα (4) ιβ', ἀλλὰ τὸ ἀναλογοῦν.

ΑΡΙΣΤ. Εἴ τις τόκους, ἢ ἡμιολίας λαμβάνει, ἀλλότριος ἔςαι, μετὰ τὸν ὅρον τοῦτον τῆς ἐκκλησίας, καθαιρούμενος.

Οἱ μὲν ἑκατοστιαῖοι τόκοι, οἵτινες καὶ μείζονες τῶν τόκων πάντων γνωρίζονται, τὰ δώδεκά εἰσι νομίσματα· οἱ δὲ ἡμίσεις τούτων, τὰ ἕξ. Εἴ τις οὖν τῶν ἱερωμένων δανείσας τινὶ, ἢ τοὺς

---

(1) χρηματίζονται Χ. Τρ. — (2) Χ. Τρ. — ιι. ἓξ Βευερ. 'Ε. — (3) Χ. Τρ. 'Ε. — οὐχ εὕρηται τὸ, ἑκατοστιαίους παρὰ Βευερ. — (4) Χ. Τρ. — ιι. Βευερ. 'Ε.

βαρυτέρους ἀπαιτήσει τόκους, ἤγουν τοὺς ἑκατοστιαίους, ἢ ἡμιολίας, ἤτοι τὸ ἥμισυ τούτων, ἤγουν τὰ ἕξ, ὡς τοῦ θείου ἐπιλαθόμενος γράμματος, τοῦ λέγοντος, Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, τοῦ κλήρου καθαιρεθήσεται· κἂν ὁ τεσσαρακοστὸς τέταρτος τῶν ἁγίων Ἀποστόλων κανὼν, καὶ ὁ δέκατος τῆς ἕκτης συνόδου τῆς ἐν τῷ Τρούλλῳ, οὐκ ἀπεντεῦθεν αὐτὸν καθαιροῦσιν· ἀλλ' ὅταν παραγγελθεὶς οὐ παύηται τοῦτο ποιῶν.

Κανὼν ΙΗ'.

Ἦλθεν εἰς τὴν ἁγίαν καὶ μεγάλην (1) σύνοδον, ὅτι ἔν τισι τόποις καὶ πόλεσι, τοῖς πρεσβυτέροις τὴν εὐχαριστίαν οἱ διάκονοι διδόασιν· ὅπερ οὔτε ὁ κανὼν, οὔτε ἡ συνήθεια παρέδωκε, τοὺς ἐξουσίαν μὴ ἔχοντας προσφέρειν, τοῖς προσφέρουσι διδόναι τὸ σῶμα τοῦ Χριστοῦ. Κἀκεῖνο δὲ ἐγνωρίσθη, ὅτι ἤδη τινὲς τῶν διακόνων καὶ πρὸ τῶν ἐπισκόπων τῆς εὐχαριστίας ἅπτονται. Ταῦτα οὖν πάντα περιῃρείσθω, καὶ ἐμμενέτωσαν οἱ διάκονοι τοῖς ἰδίοις μέτροις, εἰδότες, ὅτι, τοῦ μὲν ἐπισκόπου ὑπηρέται εἰσὶ, τῶν δὲ πρεσβυτέρων ἐλάττους (2). Λαμβανέτωσαν δὲ κατὰ τὴν τάξιν τὴν εὐχαριστίαν μετὰ τοὺς πρεσβυτέρους, ἢ τοῦ ἐπισκόπου μεταδιδόντος αὐτοῖς, ἢ τοῦ πρεσβυτέρου. Ἀλλὰ μηδὲ (3) καθῆσθαι ἐν μέσῳ τῶν πρεσβυτέρων ἐξέστω τοῖς διακόνοις· παρὰ κανόνα γὰρ, καὶ παρὰ τάξιν ἐστὶ τὸ γινόμενον. Εἰ δέ τις μὴ θέλοι πειθαρχεῖν καὶ μετὰ τούτους τοὺς ὅρους, πεπαύσθω τῆς διακονίας.

—

ΖΩΝΑΡ. Τὴν εὐταξίαν ἀπανταχοῦ τηρεῖσθαι ἀναγκαιότατον, μάλιστα δὲ ἐν τοῖς ἱεροῖς καὶ μεταχειριζομένοις τὰ ἅγια. Διὸ πρᾶγμα οὐ κατὰ τάξιν γινόμενον διωρθώσατο ὁ κανών· τὸ γὰρ τοὺς διακόνους μεταδιδόναι τοῖς ἱερεῦσι τῶν ἁγιασμάτων, καὶ πρὸ αὐτῶν, ἢ καὶ τοῦ ἐπισκόπου, μεταλαμβάνειν αὐτοὺς, ἀτα-

---

(1) Π. — Βρ. Κ. 'Ε.—οὐχ εὕρηται τὸ, καὶ μεγάλην παρὰ Βευερ. καὶ Χ. Τρ.— (2) Π. Βευερ. Χ. Τρ.—ἐλάττους τυγχάνουσι Σ. Ρ. Βρ. Ε.—(3) μὴ καθῆσθαι Βευερ.

ξίας ἦν· ὅθεν παρακελεύεται μηκέτι τοῦτο γίνεσθαι, ἀλλ᾽ ἕκαστον γινώσκειν τὸ ἴδιον μέτρον, καὶ εἰδέναι τοὺς διακόνους, ὅτι τῶν ἐπισκόπων ὑπηρέται εἰσὶν ἐν τοῖς ἱεροῖς, ἐξ αὐτῆς τῆς κλήσεως τοῦτο διδασκομένους· καὶ ὅτι μείζων ἡ ἀξία τῶν πρεσβυτέρων παρὰ τὴν τῶν διακόνων. Πῶς οὖν οἱ ἥττονες τοῖς μείζουσι μεταδώσουσι τῆς εὐχαριστίας, καὶ οἱ μὴ δυνάμενοι προσφέρειν, τοῖς προσφέρουσι; Κατὰ γὰρ τὸν μέγαν Ἀπόστολον, Χωρὶς πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. Ὁρίζει τοίνυν ἡ ἁγία σύνοδος, πρότερον τοὺς πρεσβυτέρους μεταλαμβάνειν, εἶτα τοὺς διακόνους, τῶν πρεσβυτέρων αὐτοῖς, ἢ τῶν ἐπισκόπων μεταδιδόντων τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Κυρίου. Ἀπαγορεύει δὲ καὶ τὸ ἐν μέσῳ πρεσβυτέρων καθῆσθαι διάκονον, ὡς παρὰ κανόνα τούτου καὶ παρὰ τὴν τάξιν τυγχάνοντος· τοὺς δὲ μὴ πειθαρχοῦντας, παύεσθαι τῆς διακονίας κελεύει.

ΒΑΛΣ. Ὅτι μέγα ἐστὶ τὸ τῶν ἱερέων (1) ἀξίωμα, πολλῷ δὲ πλέον τὸ τῶν ἐπισκόπων, καὶ οὗτοι τῶν διακόνων προτιμᾶσθαι ὀφείλουσιν, ἐξ αὐτῶν τῶν ἔργων παρίσταται· οἱ μὲν γὰρ δουλεύονται, οἱ δὲ δουλεύουσι. Πῶς γοῦν οὐκ ὀφείλουσι προτιμᾶσθαι οἱ διακονούμενοι τῶν διακονούντων; Ἐπεὶ δὲ, φησί, τινὲς διάκονοι τὴν τάξιν ἔν τισι πόλεσι παραλύοντες, πρὸ τῶν ἐπισκόπων μεταλαμβάνουσι, διδόασι δὲ καὶ τοῖς πρεσβυτέροις τὴν εὐχαριστίαν, καὶ ἁπλῶς ὀφείλοντες ἁγιάζεσθαι ὑπὸ τῶν ἐπισκόπων, καὶ τῶν ἱερέων, ὅτι καὶ ὁ Ἀπόστολός φησι, Τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται, οὐκ ἐμμένουσι τοῖς δεδομένοις· καὶ ἐν ταῖς συνάξεσι δὲ κάθηνται μέσον τῶν ἱερέων· ὡρίσθη, ἀπὸ τοῦ ἐπισκόπου ἢ τοῦ πρεσβυτέρου μεταλαμβάνειν τοὺς διακόνους, καὶ μετὰ τοὺς ἱερεῖς τῶν ἁγιασμάτων ἀξιοῦσθαι, καὶ μηδὲ μέσον καθῆσθαι πρεσβυτέρων· ἢ μὴν τοὺς μὴ πειθαρχοῦντας οὕτω ποιεῖν, παύεσθαι τῆς διακονίας. Ταῦτα τοῦ κανόνος διοριζομένου, τὸ μὲν μεταλαμβάνειν τοὺς διακόνους πρὸ τῶν ἐπισκόπων, ἢ διδόναι αὐτοὺς τὴν εὐχαριστίαν,

(1) ἱερωμένων Χ. Τρ.

ἤτοι τὰ ἅγια, τοῖς ἱερεῦσιν, οὐ παραχωρεῖται· ἀλλ᾽ οὐδὲ τὸ καθῆσθαι διάκονον ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ μέσον τῶν ἱερέων. Τὸ δὲ καθῆσθαί τινας ἀπὸ τῶν ἐκκλησιαστικῶν διακόνων εἰς τὰς ἔξω τοῦ βήματος συνάξεις τέως πρὸ τῶν πρεσβυτέρων βλέπομεν γινόμενον· καὶ οἶμαι γίνεσθαι τοῦτο διὰ τὰ ἀρχοντίκια· μόνοι γὰρ οἱ ἀξιωθέντες ἀρχοντικίων ἐκκλησιαστικῶν παρὰ τοῦ πατριάρχου, πρὸ τῶν ἱερέων κάθηνται· γίνεται δὲ *καὶ* τοῦτο παραλόγως. Ἀνάγνωθι *γὰρ* τῆς ϛ'. συνόδου κανόνα ζ'. Ὁ μέντοι κατὰ καιροὺς χαρτοφύλαξ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, προκάθηται ἐν ταῖς ἔξω τῆς συνόδου συνάξεσιν, οὐ μόνον τῶν ἱερέων, ἀλλὰ καὶ τῶν ἀρχιερέων, ἐκ προστάξεως τοῦ ἀοιδίμου Βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, οὕτως ἐχούσης· Ἡ βασιλεία μου τῆς ἐκκλησιαστικῆς εὐκοσμίας φροντίζουσα, καὶ τὸ εὔτακτον καὶ ἐν παντὶ μὲν ζητοῦσα τῷ πολιτεύματι, ἐπὶ πλέον δὲ τοῖς θείοις τοῦτο ἐμπολιτεύεσθαι διὰ σπουδῆς τιθεμένη, τὰ ἀρχῆθεν ἀπονενεμημένα προνόμια ἑκάστῳ τῶν ἐκκλησιαστικῶν βαθμῶν, καὶ τὴν ἄχρι καὶ δεῦρο ἐπικρατήσασαν ἐν τούτοις κατάστασιν, κατὰ τὸ ἀναλλοίωτον καὶ εἰς τὸ ἑξῆς εἶναι, καὶ διαμένειν βούλεταί τε καὶ εὐδοκεῖ, ἁγιώτατε δέσποτα, ὡς καὶ παραδεχθεῖσαν διὰ τοσούτων ἐτῶν, καὶ τῷ μακρῷ χρόνῳ ἐμπολιτευσαμένην, καὶ ταῖς ἀπ᾽ ἄλλου εἰς ἄλλον κατὰ τὸ ἀνεξάλλακτον (1) ἕως τοῦ νῦν μεταβάσεσιν ἐπικυρωθεῖσαν, καὶ βεβαιωθεῖσαν καλῶς. Ἐπεὶ δὲ νῦν ἡ βασιλεία μου μάθοι ὥς τινες τῶν ἀρχιερέων ἀντιφιλοτιμούμενοι, πειρῶνται τὸ τοῦ χαρτοφύλακος ὑποβιβάσαι προνόμιον, καὶ κανόνας εἰς μέσον προσφέροντες, διὰ τούτων φιλονεικοῦσι μὴ προκαθῆσθαι αὐτὸν τῶν ἀρχιερέων, ὁπηνίκα δέοι τούτους συνέρχεσθαι κατά τινα χρείαν, καὶ συνεδριάζειν κατὰ ταὐτὸν πρὸ τῆς εἰς τὴν ἁγιωσύνην σου εἰσελεύσεως, οὐκ ἀνασχετὸν τῇ βασιλείᾳ μου ἔδοξε, πρᾶγμα διὰ τοσούτου χρόνου βασανισθὲν, καὶ τοῖς πρὶν πατριάρχαις, καὶ τοῖς ἄλλοις ἀρχιερεῦσιν, ἀλλὰ δὴ καὶ αὐτοῖς τοῖς νῦν οὐκ ἐπ᾽ εὐλόγῳ ἐρίζουσι πράγματι διὰ τῆς πολυημέ-

---

(1) Βευερ. Ἑ. — ἀνεξάλειπτον Χ. Τρ.

ρου δεχθὲν σιωπῆς, κατὰ τὸ παρέλκον ἀθετηθῆναι, καὶ ὥς τι τῶν ἠμελημένων παρασυρῆναι· τοίνυν καὶ διορίζεται πρᾶγμά τι εὔλογον καὶ πάνυ δίκαιον τοῦτο. Εἰ μὲν γὰρ αἱροῖντο καὶ πάλιν οἱ ἀρχιερεῖς μὴ κινεῖν τὰ ἀκίνητα, μηδὲ τὰ τοῖς πρὶν δεδογμένα Πατράσιν, ἀλλὰ δὴ καὶ αὐτοῖς διὰ τῆς μακρᾶς συνδόξαντα σιωπῆς, καὶ τῆς ἕως τοῦ νῦν ἀνοχῆς, ἐκ παλιμβουλίας ὥσπερ ἀναπαλαίειν, εὖ ἂν ἔχοι· καὶ χάρις ὅτι τὸ μάχιμον καταθέμενοι, τὸ εἰρηναῖον (1) προτετιμήκασιν. Εἰ δὲ καὶ ἔτι τούτων τινὲς τῶν τοῦ κανόνος ῥημάτων ἀντιποιούμενοι, (τῆς γὰρ ἐννοίας πόῤῥω ἀποδιεστήκασι), πειρῶνται τὸ οἰκεῖον συστῆσαι θέλημα, καὶ ἐπὶ τὸ ἄτακτον οὐ καλῶς τὴν τάξιν μεταβιβάζουσιν, ἐᾷ μὲν ἡ βασιλεία μου τὴν τοῦ κανόνος ἑρμηνεῦσαι καὶ σαφηνίσαι ὑφὴν, ῥάστην οὖσαν καταληφθῆναι, καὶ διαγνωσθῆναι καλῶς τοῖς βάπτουσιν εἰς ἀκρίβειαν, καὶ κανονικῆς ἐννοίας θιγγάνουσιν· αὐτὸ δὲ τοῦτο τοῖς ἀρχιερεῦσιν ἐπιτιμᾷ· τί δήποτε τὸν κανόνα εἰδότες, καὶ τὰ ῥήματα τούτου ἐξακριβούμενοι, τὴν ἑαυτῶν συνείδησιν ἀνευλόγως ἐπάτησαν, καὶ τοῦ κανόνος παραῤῥιπτομένου, ἠνείχοντο, καὶ τὴν ὑφεδρίαν ἐπὶ τῶν πρὶν χαρτοφυλάκων ἠσπάζοντο; καὶ μισθὸν τούτοις τῆς τῶν ἱερῶν κανόνων περιφρονήσεως, τὴν ἐπὶ τὰς λαχούσας αὐτοὺς ἐκκλησίας ἀπέλασιν δίδωσι, κανόνι στοιχοῦσα κἀνταῦθα ἐκκλησιαστικῷ, καὶ τοῖς περιφρονηταῖς τῶν κανόνων ἐκείνους αὐτοὺς τοὺς ἱεροὺς κανόνας εἰς ἄμυναν ἀντεξάγουσα. Οὐδὲ γὰρ ἂν ἔχοιεν λέγειν οἱ τῶν δυτικῶν προεστῶτες ἀρχιερεῖς ἐπὶ χρόνον μακρὸν τῶν ἐμπιστευθέντων αὐτοῖς μὴ φροντίσαντες (2) ποιμνίων, μηδ' ὡς ἐχρῆν ἐν τούτοις ἐπιστατήσαντες, ὡς ἡ τὴν ἔω κατατρέχουσα τῶν ἐχθρῶν λύσσα προσέστη καὶ τούτοις (3), καὶ τὴν ἐπισκοπὴν ἐντεῦθεν τῶν λογικῶν προβάτων περιῃρέθησαν. Καὶ τὸ μὲν οὕτως οἰκονομηθὲν παρὰ τῆς Βασιλείας μου, τὴν κρίσιν αὐτοῖς τοῦ ἀποτελέσματος περιλέλοιπεν. Ἐπεὶ δὲ καὶ τοῦτο εἰς ἀκοὰς ἀνηνέχθη αὐτῆς, ὥς τινες τῶν τῆς ἐκκλησίας λογάδων ἐν ταῖς γινομέναις ψήφοις καταλιμπάνονται, προτι-

(1) Βευερ. Ἐ. — τὸ ἠρεμαῖον Χ. Τρ. — (2) Χ. Τρ. Βευερ. Ἐ. — μὴ φροντίζοντες. — (3) προσέστηκε τούτοις Ἐ.

μῶνται δὲ τούτων ἔνιοι ὑποβεβηκότες ἴσως καὶ χρόνῳ καὶ καταστάσει βίου τῇ κρείττονι, καὶ μηδὲ πολλὰ περὶ τῆς ἐκκλησίας πονήσαντες, οὔκουν ἔδοξεν οὐδὲ τοῦτο τὸ πρᾶγμα τῆς ἱερᾶς συνόδου τῶν ἀρχιερέων ἐπάξιον. Ὅθεν καὶ ἐπισκήπτει πᾶσι φιλοθέως ὁμοῦ καὶ βασιλικῶς, μὴ παίζειν ἐν τοῖς οὐ παικτοῖς, μηδὲ πάθει περὶ τὰ θεῖα χαρίζεσθαι· οὗ γὰρ ψυχὴ τὸ κινδυνευόμενον, τίνος φροντιστέον ἑτέρου; ἐκείνους δὲ προτιθέναι τῶν ἄλλων, καὶ τὴν ἐν ταῖς ψήφοις ἐπιτιμίαν χαρίζεσθαι, οὓς μετὰ λόγου καὶ βίος κοσμεῖ ἀνεπίληπτος, ἢ τοῦ λόγου σκάζοντος ἴσως, ὁ μακρὸς χρόνος καὶ τὸ περὶ τὴν ἐκκλησίαν πολύπονον ἐπαναπληροῦσι τὸ ἐλλιπές. Οὕτω γὰρ ἂν ταῖς ψήφοις καλῶς διαιτήσουσι, καὶ ἐπὶ κρίματι τῆς ἑαυτῶν ψυχῆς οὐκ ἂν ἁλοῖεν ψηφηφοροῦντες τῷ Θεῷ.

ΑΡΙΣΤ. Οἱ διάκονοι ἐν τοῖς ἰδίοις μέτροις μενέτωσαν· καὶ μήτε διδότωσαν εὐχαριστίαν τοῖς πρεσβυτέροις, μήτε πρότερον ταύτης απτέσθωσαν, μηδὲ μέσον πρεσβυτέρων καθεζέσθωσαν· παρὰ κανόνα γὰρ καὶ εὐταξίαν ἐστὶν, εἴτι τοιοῦτον γένηται.

Ὁ παρὼν κανὼν ἀπρεπὲς ἴσως τι καὶ ἄτακτον εὑρὼν ἔν τισι γινόμενον πόλεσι, διορθοῦται καὶ διορίζεται, μή τινα τῶν διακόνων τοῖς πρεσβυτέροις ἐπιδιδόναι τὴν θεῖαν μετάληψιν, μήτε πρώτους αὐτοὺς ταύτης ἅπτεσθαι, ἀλλὰ μετὰ τοὺς πρεσβυτέρους τὴν εὐχαριστίαν ταύτην λαμβάνειν αὐτοὺς, ἢ παρὰ τοῦ ἐπισκόπου, ἢ παρὰ πρεσβυτέρου· μηδὲ μεταξὺ πρεσβυτέρων αὐτοὺς καθέζεσθαι· ἵνα μὴ καθήμενοι ἄνωθεν τούτων εὑρίσκωνται.

Κανὼν ΙΘ'.

Περὶ τῶν παυλιανισάντων, εἶτα προσφυγόντων τῇ καθολικῇ ἐκκλησίᾳ, ὅρος ἐκτέθειται ἀναβαπτίζεσθαι αὐτοὺς ἐξάπαντος. Εἰ δέ τινες τῷ παρεληλυθότι χρόνῳ, ἐν τῷ κλήρῳ ἐξητάσθησαν, εἰ μὲν ἄμεμπτοι καὶ ἀνεπίληπτοι φανεῖεν ἀναβαπτισθέντες, χειροτονείσθωσαν ὑπὸ τοῦ τῆς καθολικῆς ἐκκλησίας ἐπισκόπου. Εἰ δὲ ἡ ἀνάκρισις ἀνεπιτηδείους αὐτοὺς εὑρίσκοι, καθαιρεῖσθαι αὐτοὺς προσήκει.

Ὡσαύτως δὲ καὶ περὶ τῶν διακονισσῶν(1), καὶ ὅλως περὶ τῶν ἐν τῷ κλήρῳ (2) ἐξεταζομένων, ὁ αὐτὸς τύπος παραφυλαχθήσεται. Ἐμνήσθημεν δὲ τῶν διακονισσῶν τῶν ἐν τῷ σχήματι ἐξετασθεισῶν, ἐπεὶ μηδὲ χειροθεσίαν τινὰ ἔχουσιν(3), ὥστε ἐξάπαντος ἐν τοῖς λαϊκοῖς αὐτὰς ἐξετάζεσθαι.

—

ΖΩΝΑΡ. Τοὺς τῆς αἱρέσεως τῶν Παυλικιανῶν προσερχομένους τῇ καθολικῇ ἐκκλησίᾳ, ἀναβαπτίζεσθαι ὁ κανὼν προστάσσει· ὅρος γὰρ ὁ τύπος καὶ ὁ κανὼν λέγεται. Εἰ δέ τινες τούτων ἐν κλήρῳ ἔτυχον τετάχθαι, ἀγνοησάντων ἴσως τὴν αἵρεσιν αὐτῶν τῶν χειροτονησάντων αὐτούς, τοὺς τοιούτους μετὰ τὸ ἀναβαπτισθῆναι ἐξετάζεσθαι διορίζεται, καὶ ἀνακρίνεσθαι τὸν βίον αὐτῶν τὸν μετὰ τὸ βάπτισμα, καὶ εἰ εὑρεθεῖεν ἄμεμπτοι καὶ ἀνεπίληπτοι, χειροτονεῖσθαι ὑπὸ τοῦ ἐπισκόπου τῆς ἐκκλησίας, ᾗ προσῆλθον. Ἡ γὰρ προτέρα χειροτονία, ἡ αἱρετικῶν ὄντων αὐτῶν γενομένη, οὐδὲ χειροτονία λογίζεται. Πῶς γὰρ ὁ μὴ κατὰ τὴν ὀρθόδοξον πίστιν βεβαπτισμένος Πνεύματος ἁγίου ἐπιφοίτησιν ἐν τῇ χειροτονίᾳ (4) δέξασθαι πιστευθήσεται; Εἰ δὲ ἀνακρινόμενοι ἀνεπιτήδειοι πρὸς χειροτονίαν εὑρίσκοιντο, καθαιρεῖσθαι αὐτοὺς κελεύει ἡ σύνοδος. Τὸ δὲ τῆς καθαιρέσεως ὄνομα ἐνταῦθα καταχρηστικῶς (5) οἶμαι κεῖσθαι· καθαιρεῖται γὰρ ὁ κυρίως χειροτονίαν δεξάμενος, καὶ εἰς ὕψος ἱερωσύνης ἀρθείς· ὁ δὲ τὴν ἀρχὴν μὴ χειροτονηθεὶς ἀληθῶς, πῶς, ἢ πόθεν, καὶ ἀπὸ ποίου ὕψους καθαιρεθήσεται; Ἀντὶ γοῦν τοῦ εἰπεῖν ἐξωθήσεται τοῦ κλήρου, τέθειται κατὰ παράχρησιν τὸ, καθαιρεθήσεται (6). Τὰ αὐτὰ δὲ καὶ περὶ διακονισσῶν, καὶ ἁπλῶς τῶν ἐν κλήρῳ τεταγμένων, διετυπώσατο ὁ κανών. Τὸ δὲ, ἐμνήσθημεν δὲ διακονισσῶν τῶν ἐν τῷ σχήματι ἐξετασθεισῶν καὶ τὰ λοιπὰ, τοιοῦτόν ἐστι. Παρθένοι τὸ παλαιὸν (7) προσήρχοντο τῷ Θεῷ ἁγνεύειν ὁμολογοῦσαι, ἃς οἱ ἐπίσκοποι καθιέρουν κατὰ τὸν ς'. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ τῆς τούτων

(1) διακόνων Ἀρδ.—(2) Βευερ. Χ. Τρ. Ἐ.—ἐν τῷ κανόνι Π. Βρ. Σ. Ρ.—(3) ἔχωσι Π. Βευερ. —(4) χειροθεσίᾳ Χ. Τρ. —(5) κατὰ παράχρησιν Χ. Τρ. —(6) Ἅπασα ἡ φράσις ἀπὸ τοῦ, ἀντὶ γοῦν, οὐ κεῖται ἐν Χ. Τρ. —(7) Χ. Τρ. Κ.—ποτὲ Βευερ.

ἐφρόντιζον φυλακῆς, κατὰ τὸν μζ'. κανόνα τῆς αὐτῆς συνόδου· ἐξ ὧν δὴ παρθένων καὶ διακόνισσαι ἐχειροτονοῦντο κατὰ τὸν καιρὸν τὸν προσήκοντα, ἤγουν (1) ὅτε ἐτῶν ἐγίνοντο μ'. Αἱ δὲ τοιαῦται καί τι σχῆμα ἐνεδύοντο παρὰ τῶν ἐπισκόπων ἐν τῷ κέ. ἐνιαυτῷ τῆς ἡλικίας αὐτῶν, κατὰ τὸν ρμ'.(2) κανόνα τῆς εἰρημένης συνόδου. Τοιαύτας οὖν παρθένους ἡ σύνοδος αὕτη καλεῖ διακονίσσας ἐν τῷ σχήματι ἐξετασθείσας, χειροθεσίαν δὲ μὴ ἐχούσας, ἃς καὶ ἐν τοῖς λαϊκοῖς ἐξετάζεσθαι κελεύει, ὅτε ὁμολογήσουσι τὴν αἵρεσιν αὐτῶν, καὶ ἀπόσχωνται αὐτῆς.

ΒΑΛΣ. Παυλιανισταὶ λέγονται οἱ Παυλικιανοί. Ἐκτέθειται γοῦν παρὰ τῶν ἁγίων Πατέρων ὅρος, ἤτοι κανὼν, καὶ τύπος, ἀναβαπτίζεσθαι αὐτούς. Ἐπάγει δὲ, ὡς, ἐπεὶ τῶν εἰκότων ἐστὶ τινὰς ἐκ τούτων κατὰ ἄγνοιαν κληρωθῆναι, ὀφείλει ὁ ἐπίσκοπος ἀναβαπτίζειν τούτους, καὶ ἔκτοτε πολυπραγμονεῖν τὴν μετὰ τὸ βάπτισμα διαγωγὴν αὐτῶν· καὶ εἰ εὑρήσει ἀνεπιλήπτους, καὶ ἱερωσύνης ἀξιοῦν· εἰ δὲ μὴ, καὶ τῆς πρὸ τοῦ βαπτίσματος χειροτονίας ἀπαλλοτριοῦν· τὰ αὐτὰ δὲ γινέσθωσαν καὶ εἰς τὰς διακονίσσας. Τοιοῦτον δ' ἐστὶ τὸ τῶν διακονισσῶν. Παρθένοι ποτὲ προσήρχοντο τῇ ἐκκλησίᾳ, καὶ κατὰ προτροπὴν τοῦ ἐπισκόπου ἐφυλάττοντο, ὡς ἀνατεθειμέναι τῷ Θεῷ, πλὴν μετὰ σχήματος λαϊκοῦ· τοῦτο γάρ ἐστι τὸ ἐξετάζεσθαι αὐτὰς ἐν τῷ σχήματι. Τεσσαρακονταετοῦς δὲ ἡλικίας γενόμεναι, ἠξιοῦντο καὶ χειροτονίας διακονισσῶν, εὑρισκόμεναι πάντως ἄξιαι. Εἰ γοῦν καί τινες ἐκ τούτων, φησὶ, παυλιανίσαι ἔτυχον, γενήσεται καὶ ἐπ' αὐταῖς εἴ τι καὶ ἐπὶ τοῖς ἄῤῥεσιν ὡρίσθη ἄνωθεν. Ζήτει δὲ καὶ τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ς'. καὶ μζ'. Ταῦτα τοῦ κανόνος διορισαμένου, εἴποι τις, ὡς, ἐπεὶ ἡ πρὸ τοῦ βαπτίσματος χειροτονία ὡς μηδὲ γενομένη λογίζεται, (διὰ γὰρ τοῦτο ὡρίσθη τὸν παυλιανίσαντα χειροτονεῖσθαι μετὰ τὸ βάπτισμα), πῶς φησιν ὁ κανὼν καθαιρεῖσθαι αὐτὸν μετὰ ἐξέτασιν, ἀνάξιον τοῦ χειροτονηθῆναι εὑρισκόμενον; Λύσις. Καταχρηστικῶς ἐνταῦθα παρελήφθη τὸ τῆς καθαιρέσεως ῥῆμα, ἀντὶ τῆς ἐξωθήσεως·

(1) τὸ, κατὰ τὸν καιρὸν τὸν προσήκοντα ἤγουν, οὐχ εὕρηται ἐν Χ. Τρ. — (2) ρλ'. ἐν Πηδ.

ἡ γὰρ πρὸ τοῦ βαπτίσματος κλήρωσις οὐκ ἔστι κλήρωσις. Εἰ δὲ μὴ τοῦτο θέλεις εἰπεῖν, θεμάτισον τὰ ῥήματα ταῦτα τῆς καθαιρέσεως μὴ ἐκλαμβάνεσθαι περὶ τῆς πρὸ τοῦ βαπτίσματος χειροτονίας, ἀλλὰ περὶ τῆς μετὰ τὸ βάπτισμα. Καθαιρεθήσεται γὰρ, φασὶν οἱ Πατέρες, καὶ ὁ μετὰ τὸ φώτισμα ἀναξίως χειροτονηθεὶς, κατὰ τὸν καθόλου(1) κανόνα, τὸν καθαιροῦντα τοὺς μετὰ τὴν χειροτονίαν ἁμαρτάνοντας. Περὶ δὲ τῶν παυλιανισάντων ἐρώτησις γέγονε, τίνες εἰσί· καὶ ἄλλοι μὲν ἄλλα εἶπον· ἐγὼ δὲ εὗρον ἐν διαφόροις βιβλίοις, ὅτι Παυλικιανοὶ, οἱ Μανιχαῖοι μετωνομάσθησαν, ἀπὸ Παύλου τινὸς Σαμοσατέως, υἱοῦ γυναικὸς Μανιχαίας, Καλλινίκης τοὔνομα. Σαμοσατεὺς δὲ ἐκλήθη, ὡς χρηματίσας ἐπίσκοπος Σαμοσατέων. Οὗτος ἐκήρυξεν ἕνα Θεὸν εἶναι, Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα τὸν αὐτὸν λεγόμενον· εἷς γὰρ, φησὶν, ἐστὶ Θεὸς, καὶ ὁ Υἱὸς αὐτοῦ ἐν αὐτῷ, ὡς ὁ λόγος ἐν ἀνθρώπῳ· οὗτος δὲ ὁ Λόγος ἐλθὼν ἐπὶ τῆς γῆς ᾤκησεν ἐν ἀνθρώπῳ, Ἰησοῦ καλουμένῳ, καὶ τὴν οἰκονομίαν πληρώσας, ἀνῆλθε πρὸς τὸν Πατέρα. Ὁ δὲ Ἰησοῦς οὗτος κάτωθέν ἐστιν Ἰησοῦς Χριστὸς, ὡς ἀπὸ Μαρίας ἀρξάμενος. Τοῦτον καθεῖλον ἐν Ἀντιοχείᾳ ὁ ἅγιος Γρηγόριος ὁ Θαυματουργὸς, καὶ ἄλλοι τινές. Ἔτι ἀμφιβολία ἐστὶ περὶ τοῦ, εἰ ὀφείλουσιν οἱ ἀπὸ ὀρθοδόξων Χριστιανῶν παυλιανίσαντες ἀναβαπτίζεσθαι· καί τινες μὲν λέγουσιν, ὡς ἐκείνους *φησὶν* (2) ὁ κανὼν ἀναβαπτίζεσθαι, τοὺς ἐκ γενετῆς Παυλικιανοὺς, οὐ μὴν τοὺς ἀπὸ ὀρθοδόξων τὴν αἵρεσιν τῶν Παυλικιανῶν ἀναδεξαμένους· τούτους γὰρ ὑπὸ μύρου καὶ μόνου ἁγιάζεσθαι χρή· καὶ εἰς πίστωσιν τοῦ λόγου αὐτῶν, παράγουσι πολλοὺς μουσουλμανίσαντας ἑκόντι, καὶ μὴ ἀναβαπτισθέντας, ἀλλὰ μυρωθέντας μόνον. Ἐμοὶ δὲ δοκεῖ τὸν κανόνα ταῦτα διορίζεσθαι μᾶλλον περὶ τῶν ἀπὸ ὀρθοδόξων εἰς αἵρεσιν Παυλικιανῶν παραπεσόντων, καὶ βάπτισμα δεξαμένων θρησκείας μυσαρᾶς· καὶ τοῦτο εἶναι κυρίως Παυλιανισμὸν, οὐ μὴν τὸ εἶναί τινα ἀρχῆθεν Παυλικιανόν. Διὸ καὶ κατὰ τὸν παρόντα κανόνα, ὀφείλουσιν ἀναβαπτίζεσθαι οἱ τοιοῦτοι. Ἀλλὰ καὶ τὸ ῥῆμα τοῦ ἀναβαπτισμοῦ,

(1) Χ. Τρ. — καθολικὸν Βευερ. — (2) Χ. Τρ. — οὐχ εὕρηται παρὰ Βευερ. Ε.

οὐ μικρῶς συμβάλλεται πρὸς τὸ λεγόμενον. Ζήτει καὶ τὸν μζ'. ἀποστολικὸν κανόνα λέγοντα, καθαιρεῖσθαι τὸν ἐπίσκοπον, καὶ τὸν πρεσβύτερον, τὸν δὶς βαπτίζοντα οἱονδήτινα πιστὸν, καὶ τὸν μὴ βαπτίζοντα τὸν μεμολυσμένον παρὰ τῶν ἀσεβῶν. Ἀνάγνωθι καὶ τὴν τοῦ αὐτοῦ κανόνος ἑρμηνείαν, καὶ τὸν ζ'. κανόνα τῆς β'. συνόδου.

ΑΡΙΣΤ. Οἱ Παυλιανισταὶ ἀναβαπτίζονται· καὶ εἴ τινες κληρικοὶ ἄμεμπτοι δείκνυνται, ἀναβαπτισθέντες χειροτονείσθωσαν· εἰ δὲ μὴ ἄμεμπτοι δείκνυνται, καθαιρείσθωσαν. Αἱ δὲ διακόνισσαι ἐξαπατηθεῖσαι, ἐπεὶ μὴ χειροτονίας μετέχουσιν, ἐν τοῖς λαϊκοῖς ἐξεταζέσθωσαν.

Οἱ ἐκ τῆς τῶν Παυλιανιστῶν αἱρέσεως μετελθόντες, ἀναβαπτίζονται· καὶ εἴ τινες αὐτῶν ὡς κληρικοὶ ἐνήργουν παρὰ τοῖς Παυλιανισταῖς, ἐὰν τὸν βίον ἄμεμπτον ἔχωσιν, ὑπὸ τοῦ τῆς καθολικῆς ἐκκλησίας ἐπισκόπου χειροτονοῦνται· εἰ δὲ ἀνάξιοι εὑρίσκονται, καθαιροῦνται. Αἱ δὲ διακόνισσαι αὐτῶν, ἐπεὶ μή τινα ἔχουσι χειροθεσίαν, ἐὰν τῇ καθολικῇ προσέλθωσιν ἐκκλησίᾳ, καὶ βαπτισθῶσι, μετὰ τῶν λαϊκῶν συντάσσονται. Παυλιανισταὶ δέ εἰσιν, οἱ ἀπὸ Παύλου τοῦ Σαμοσατέως καταγόμενοι, τοῦ ταπεινὰ περὶ τοῦ Χριστοῦ φρονήσαντος, καὶ κοινὸν ἄνθρωπον αὐτὸν δογματίσαντος, καὶ τὴν ἀρχὴν ἀπὸ Μαρίας εἰληφότα.

Κανὼν Κ'.

Ἐπειδή τινές εἰσιν ἐν τῇ Κυριακῇ γόνυ κλίνοντες, καὶ ἐν ταῖς τῆς Πεντηκοστῆς ἡμέραις· ὑπὲρ τοῦ πάντα ἐν πάσῃ παροικίᾳ ὁμοίως παραφυλάττεσθαι (1), ἑστῶτας ἔδοξε τῇ ἁγίᾳ συνόδῳ τὰς εὐχὰς ἀποδιδόναι τῷ Θεῷ.

—

ΖΩΝΑΡ. Τὸ μὴ κλίνειν γόνυ ἐν Κυριακῇ, καὶ ἐν ταῖς τῆς Πεντηκοστῆς ἡμέραις, καὶ ἄλλοις Πατράσιν ἱεροῖς διατέτακται· καὶ τῷ μεγάλῳ δὲ Βασιλείῳ, ὃς καὶ τοὺς λόγους προστίθησι, δι' οὓς ἀπηγόρευται τὸ κλίνειν γόνυ ἐν ταῖς ῥηθείσαις ἡμέραις, ἑσῶ-

(1) Βευερ. Χ. Τρ.—φυλάττεσθαι, ἄνευ τοῦ, ὁμοίως, Π. Βρ. Ε. Κ. Σ. Ρ.

τας δὲ προσεύχεσθαι ἐπιτέτραπται, οἵτινές εἰσι, τὸ συναναστῆναι ἡμᾶς τῷ Χριστῷ, καὶ τὰ ἄνω ζητεῖν ὀφείλειν· καὶ ὅτι τοῦ προσδοκωμένου αἰῶνος εἰκών ἐστιν ἡ Κυριακή, ἡ αὐτὴ μία οὖσα καὶ ὀγδόη, ὡς καὶ παρὰ τοῦ Μωσέως ἐν τῇ κοσμογενείᾳ, μία καὶ οὐχὶ πρώτη ὀνομασθεῖσα, καὶ τὴν μίαν ὄντως (1) ἐκείνην καὶ ἀληθινὴν ὀγδόην τυποῦσα, τὴν ἀνέσπερον ἡμέραν, τὸν ἄληκτον ἐκεῖνον αἰῶνα, τὸν μέλλοντα· διὸ ῥυθμίζουσα τοὺς ἑαυτῆς τροφίμους ἡ ἐκκλησία τῆς ἡμέρας ἐκείνης μεμνῆσθαι, καὶ πρὸς ἐκείνην προετοιμάζεσθαι, ἑστῶτας διετάξατο εὔχεσθαι, ἵνα πρὸς τὴν ἄνω λῆξιν ὁρῶντες διηνεκῶς αὐτὴν φανταζώμεθα. Τοῦτο γοῦν, τὸ μὴ κλίνειν γόνυ ἐν ταῖς ῥηθείσαις ἡμέραις, οὐ πανταχοῦ παραφυλαττόμενον, ὁ παρὼν κανὼν τηρεῖσθαι παρὰ πάντων θεσμοθετεῖ.

ΒΑΛΣ. Ὁ ἀποστολικὸς ξδ'. κανὼν, τὸν νηστεύοντα καθ' οἱανδήποτε Κυριακὴν, ἢ οἱονδηποτοῦν σάββατον, πλὴν τοῦ ἑνὸς καὶ μόνου σαββάτου, τοῦ μεγάλου δηλαδὴ, φησὶ, κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι, λαϊκὸν δὲ, ἀφορίζεσθαι. Ὁ δὲ παρὼν κανὼν διορίζεται κατὰ πᾶσαν Κυριακὴν, καὶ ἐν πάσαις ταῖς τῆς Πεντηκοστῆς ἡμέραις πανηγυρίζειν, καὶ ἑστῶτας πάντας εὔχεσθαι, ὡς συναναστάντας τῷ Χριστῷ, καὶ τὴν ἄνω ζητοῦντας κατοικίαν. Ἐζητήθη δὲ, μή ποτε ἀπὸ τοῦ ῥηθέντος ἀποστολικοῦ κανόνος, τοῦ διοριζομένου μὴ νηστεύειν ἡμᾶς καθ' οἱονδήποτε σάββατον, ἢ καθ' οἱανδήποτε Κυριακὴν, καὶ ἀπὸ τοῦ παρόντος κανόνος, τοῦ διοριζομένου μὴ κλίνειν ἡμᾶς γόνυ ἐν Κυριακῇ, καὶ δι' ὅλης τῆς Πεντηκοστῆς, ἀναφαίνηται καὶ τὸ μὴ ὀφείλειν ἡμᾶς νηστεύειν δι' ὅλης τῆς Πεντηκοστῆς, ἀλλὰ καταλύειν ἐν πάσαις ταῖς ἡμέραις τῆς ἑβδομάδος, ὥσπερ καὶ ἐν τῇ Κυριακῇ. Καί τινες μὲν εἶπον ὡς μίαν ἡμέραν Κυριώνυμον λογίζεσθαι τὴν ὅλην Πεντηκοστὴν, καὶ ὀφείλειν ἡμᾶς διὰ τοῦτο πανηγυρίζειν, καὶ μήτε νηστεύειν, μήτε γόνυ κάμπτειν· ἐμοὶ δὲ ἀρέσκει τοὺς κανόνας κρατεῖν ἐφ' ὧν ἐξεφωνήθησαν.

ΑΡΙΣΤ. Ἐν ταῖς Κυριακαῖς, καὶ ταῖς τῆς Πεντηκοστῆς ἡμέ-

---

(1) Χ. Τρ. — οὕτως Βευερ. Κ.

ραις, οὐ δέον κλίνειν γόνυ, ἀλλ' ὀρθίους εὔχεσθαι τοὺς ἀνθρώπους.

Οὐ δέον κλίνειν γόνυ ἐν ταῖς Κυριακαῖς, καὶ ἐν ταῖς ἡμέραις τῆς Πεντηκοστῆς, ἀλλ' ἑστῶτας τὰς εὐχὰς ἀποδιδόναι τῷ Θεῷ.

ΚΑΝΟΝΕΣ

ΤΗΣ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

ΔΕΥΤΕΡΑΣ ΟΙΚΟΥΜΕΝΙΚΗΣ

ΣΥΝΟΔΟΥ (1).

ΖΩΝΑΡ. καὶ ΒΑΛΣ. Ἡ ἁγία καὶ οἰκουμενικὴ δευτέρα σύνοδος γέγονεν ἐπὶ βασιλέως Θεοδοσίου τοῦ μεγάλου, ἐν Κωνςαντινουπόλει, ἑκατὸν πεντήκοντα ἁγίων Πατέρων συνελθόντων κατὰ τῶν Πνευματομάχων, οἵτινες ἐξέθεντο καὶ τοὺς ὑποτεταγμένους κανόνας.

Κανὼν Α'.

Ὥρισαν οἱ ἐν Κωνσταντινουπόλει συνελθόντες ἅγιοι Πατέρες (2), μὴ ἀθετεῖσθαι τὴν πίστιν τῶν Πατέρων τῶν τριακοσίων δεκαοκτὼ, τῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας συνελθόντων· ἀλλὰ μένειν ἐκείνην κυρίαν, καὶ ἀναθεματισθῆναι πᾶσαν αἵρεσιν· καὶ ἰδικῶς τὴν τῶν Εὐνομιανῶν (3), εἴτ' οὖν Εὐδοξιανῶν, καὶ τὴν τῶν Ἡμιαρείων, εἴτ' οὖν Πνευματομάχων, καὶ τὴν τῶν Σαβελλιανῶν, καὶ τὴν τῶν Μαρκελλιανῶν, καὶ τὴν τῶν Φωτεινιανῶν, καὶ τὴν τῶν Ἀπολλιναριστῶν.

—

ΖΩΝΑΡ. Κατὰ Μακεδονίου καὶ τῶν ὁμοδόξων ἐκείνῳ, ἡ δευτέρα σύνοδος συγκεκρότηται, κτίσμα τὸ ἅγιον Πνεῦμα δογματιζόντων, καὶ οὐ Θεὸν, οὐδ' ὁμοούσιον Πατρὶ, καὶ Υἱῷ, οὓς ὁ παρὼν κανὼν Ἡμιαρείους καλεῖ, ὡς κατὰ τὸ ἥμισυ μετέχοντας τῆς τῶν Ἀρειανῶν αἱρέσεως. Οἱ μὲν γὰρ, τὸν Υἱόν τε καὶ τὸ Πνεῦμα, ἑτερούσια τῷ Πατρὶ, καὶ κτίσματα ἐδογμάτιζον· οἱ δὲ Πνευματομάχοι, περὶ μὲν τοῦ Υἱοῦ ὑγιῶς ἐφρόνουν, τὸ δὲ ἅγιον

---

(1) Κανόνες τῶν ρν'. ἁγίων Πατέρων, τῶν ἐν Κωνσταντινουπόλει συνελθόντων, ἐν ὑπατείᾳ Φλαβίου Εὐχερίου, καὶ Φλαβίου Εὐαγρίου, τῶν ἐκλαμπροτάτων, πρὸ ἑπτὰ εἰδῶν Ἰουλίων. Βρ. — (2) παρὰ Βρ. καὶ Σ. Ῥ. ὁ Κανὼν ἄρχεται ἀπὸ τοῦ, Μὴ ἀθετεῖσθαι. — (3) εἴτουν Ἀνομοίων, καὶ τὴν τῶν Ἀρειανῶν, Βρ. Σ. Ῥ.

Πνεῦμα, κτιστὸν καὶ ἀλλότριον τῆς θεότητος ἐβλασφήμουν. Ἐκαλοῦντο δὲ Ἡμιάρειοι, καὶ οἵτινες κτίσμα μὲν καὶ αὐτοὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ἔλεγον· ἐπῆγον δὲ, ὅτι οὐχ ὁμοίως τοῖς λοιποῖς κτίσμασι γενέσθαι φρονοῦμεν αὐτοὺς, ἕτερον δέ τινα τρόπον· καὶ τοῦτο φαμὲν, ἵνα μὴ πάθος τῷ Πατρὶ διὰ τῆς γεννήσεως προσάπτεσθαι νομισθῇ, οἳ οὐχ ὁμοούσιον μὲν, ὁμοιούσιον δὲ τῷ Πατρὶ τὸν Λόγον καὶ τὸ Πνεῦμα ἐδογμάτιζον. Ἐκύρωσε δὲ καὶ ἡ δευτέρα αὕτη σύνοδος διὰ τοῦ παρόντος κανόνος καὶ τὴν παρὰ τῶν ἐν Νικαίᾳ ἁγίων Πατέρων κηρυχθεῖσαν ὀρθόδοξον πίστιν· καὶ πᾶσαν αἵρεσιν ἐθέσπισεν ἀναθεματίζεσθαι, ἐξαιρέτως δὲ τὴν τῶν Εὐνομιανῶν. Ὁ δὲ Εὐνόμιος, Γαλάτης ὢν, Κυζίκου ἐπίσκοπος ἐχρημάτιζε, τὰ αὐτὰ φρονῶν τῷ Ἀρείῳ, μᾶλλον μέν τοι καὶ πλείω, καὶ χείρονα· τρεπτὸν γὰρ, καὶ δοῦλον, καὶ κατὰ πάντα ἀνόμοιον τῷ Πατρὶ τὸν Υἱὸν ἐδογμάτιζεν· ὃς καὶ τοὺς τῇ δόξῃ αὐτοῦ προστιθεμένους ἀνεβάπτιζε, κατὰ κεφαλῆς αὐτοὺς καταδύων, καὶ ἄνω στρέφων τοὺς πόδας αὐτῶν, καὶ μίαν κατάδυσιν βαπτίζων ἐποίει. Καὶ τὴν κόλασιν δὲ τὴν μέλλουσαν, καὶ τὴν γέενναν, ἐφλυάρει μὴ ἀληθῶς εἶναι, δι' ἐκφόβισιν δὲ μόνον ἀπειληθῆναι· ἐκαλοῦντο δὲ οἱ αὐτοὶ καὶ Εὐδοξιανοὶ, ἀπὸ Εὐδοξίου τινὸς συναιρεσιώτου τῷ Εὐνομίῳ· ὃς Κωνσταντινουπόλεως γεγονὼς ἐπίσκοπος, τὸν Εὐνόμιον Κυζίκου ἀρχιερέα κατέστησεν· οἳ καὶ Ἀνόμοιοι ὠνομάζοντο, διὰ τὸ λέγειν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα μηδεμίαν ὁμοιότητα κατ' οὐσίαν ἔχειν πρὸς τὸν Πατέρα. Ἀναθεματίζεσθαι δὲ θεσπίζει καὶ τοὺς Σαβελλιανοὺς, οἵτινες ἀπὸ Σαβελλίου τοῦ Λίβυος ὠνομάσθησαν, ὃς Πτολεμαΐδος τῆς Πενταπόλεως ἐπίσκοπος γέγονε, συναλοιφὴν δογματίζων, καὶ σύγχυσιν, τὰς τρεῖς ὑποστάσεις τῆς μιᾶς οὐσίας καὶ θεότητος εἰς ἓν πρόσωπον συναιρῶν καὶ συγχέων, καὶ ἓν πρεσβεύων ἐπὶ τῆς Τριάδος τριώνυμον πρόσωπον, λέγων τὸν αὐτὸν ποτὲ μὲν ὡς Πατέρα φανῆναι, ποτὲ δὲ ὡς Υἱὸν, ποτὲ δὲ ὡς Πνεῦμα ἅγιον μεταμορφούμενον, καὶ ἄλλοτε ἄλλως μετασχηματιζόμενον. Ὁμοίως δὲ ὑπὸ ἀνάθεμα τίθησι καὶ τὴν τῶν Μαρκελλιανῶν αἵρεσιν, ἥτις ἀπὸ Μαρκέλλου αἱρεσιάρχου καλεῖται· ὃς ἐξ Ἀγκύρας μὲν ὥρμητο τῆς Γαλατικῆς, καὶ αὐτῆς ἐπίσκοπος γέγονεν,

ἐπίσης δὲ τῷ Σαβελλίῳ ἐδογμάτιζεν (1). Ἀλλὰ καὶ τὴν τῶν Φωτεινιανῶν αἵρεσιν ἀναθέματι ὑποβάλλει. Οἱ δὲ ἀπὸ Φωτεινοῦ ἔσχον τὴν κλῆσιν, ἐκ Σιρμίου μὲν ὁρμωμένου, κἀκεῖσε ἐπισκοπήσαντος, τὰ αὐτὰ δὲ Παύλῳ τῷ Σαμοσατεῖ φρονήσαντος, καὶ μήτε τὴν ἁγίαν Τριάδα ὁμολογοῦντος, καὶ Πνεῦμα μόνον ὀνομάζοντος τὸν Θεὸν δημιουργὸν ἁπάντων· τὸν δὲ Λόγον προφορικὸν φρονοῦντος καὶ θεῖόν τι πρόσταγμα, ὑπουργοῦντα τῷ Θεῷ εἰς τὴν παραγωγὴν τοῦ παντὸς, ὡς ὄργανόν τι μηχανικόν· τὸν δὲ Χριστὸν, ψιλὸν κηρύττοντος ἄνθρωπον, τὸν τοῦ Θεοῦ λόγον ὑποδεξάμενον, οὐχ ὡς οὐσιώδη, ἀλλ' ὡς προφορικὸν, καὶ ἀπὸ Μαρίας τὴν ἀρχὴν εἰληφέναι τῆς ὑπάρξεως αὐτὸν δογματίζοντος. Καὶ ἄλλα δὲ πλείω ὁ Σαμοσατεὺς ἐληρῴδει Παῦλος, ὃν καθεῖλεν ἡ ἐν Ἀντιοχείᾳ σύνοδος. Τοῖς λοιποῖς δὲ καὶ τὴν τοῦ Ἀπολλιναρίου ἀναθέματι συγκαταδικάζει αἵρεσιν. Ὁ δὲ Ἀπολλινάριος τῆς ἐν Συρίᾳ Λαοδικείας ἐπίσκοπος ἦν, περὶ τὴν οἰκονομίαν φανερῶς βλασφημῶν· ἔλεγε γὰρ τὸν Υἱὸν τοῦ Θεοῦ, σῶμα μὲν ἔμψυχον ἐκ τῆς ἁγίας Θεοτόκου ἀναλαβεῖν, ἄνουν δὲ, ὡς τῆς Θεότητος ἀρκούσης ἀντὶ νοὸς, καὶ ἄλογον ὥσπερ τὴν ψυχὴν τοῦ Κυρίου ἐφρόνει· καὶ οὕτως, οὐδὲ τέλειον ἄνθρωπον αὐτὸν ἔλεγε, καὶ μίαν φύσιν ἐπὶ τοῦ Σωτῆρος ἐδίδασκεν.

ΒΑΛΣ. Ἡ παροῦσα ἁγία δευτέρα σύνοδος συγκεκρότηται κατὰ Μακεδονίου, καὶ τῶν ὁμοδόξων ἐκείνῳ, κτίσμα τὸ ἅγιον Πνεῦμα δογματιζόντων, καὶ οὐ Θεὸν, οὐδ' ὁμοούσιον Πατρὶ καὶ Υἱῷ (2), οὓς ὁ παρὼν κανὼν Ἡμιαρείους καλεῖ, ὡς κατὰ τὸ ἥμισυ μετέχοντας τῆς τῶν Ἀρειανῶν αἱρέσεως. Οἱ μὲν γὰρ καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα, κτίσμα καὶ ἑτερούσια τῷ Πατρὶ ἐδογμάτιζον· οἱ δὲ Πνευματομάχοι περὶ μὲν τοῦ Υἱοῦ ὑγιῶς ἐφρόνουν· τὸ δὲ ἅγιον Πνεῦμα, κτιστὸν καὶ ἀλλότριον τῆς θεότητος ἐβλασφήμουν. Ἐκαλοῦντο δὲ Ἡμιάρειοι, καὶ οἵτινες κτίσμα μὲν καὶ αὐτοὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ἔλεγον· ἐπῆγον δὲ, ὅτι οὐχ ὅμοιον τοῖς λοιποῖς κτίσμασι γενέσθαι φρονοῦμεν αὐτὸν, ἕτερον δέ τινα τρόπον, καὶ τοῦτο φαμὲν, ἵνα μὴ πάθος τῷ Πατρὶ διὰ τῆς γεννήσεως προσάπτεσθαι νομισθῇ, οἳ οὐχ ὁμοούσιον μὲν,

(1) Χ. Τρ. — ἐδόξαζε, Βευερ. (2) Χ. Τρ. — Υἱῷ καὶ Πατρὶ Βευερ.

ὁμοιούσιον δὲ τῷ Πατρὶ, τὸν Λόγον, καὶ τὸ Πνεῦμα ἐδογμάτιζον. Ἐκύρωσε δὲ ἡ δευτέρα αὕτη σύνοδος διὰ τοῦ παρόντος κανόνος καὶ τὴν παρὰ τῶν ἐν Νικαίᾳ Πατέρων κηρυχθεῖσαν ὀρθόδοξον πίστιν, καὶ πᾶσαν αἵρεσιν ἐθέσπισεν ἀναθεματίζεσθαι, ἐξαιρέτως δὲ τὴν τῶν Εὐνομιανῶν. Ὁ δὲ Εὐνόμιος Γαλάτης ὢν, Κυζίκου ἐπίσκοπος ἐχρημάτισε, τὰ αὐτὰ φρονῶν τῷ Ἀρείῳ, μᾶλλον μέντοι καὶ πλείω, καὶ χείρονα· τρεπτὸν γὰρ καὶ δοῦλον, καὶ πάντη ἀνόμοιον τῷ Πατρὶ τὸν Υἱὸν ἐδογμάτιζεν· ὃς καὶ τοὺς τῇ δόξῃ αὐτοῦ προστιθεμένους ἀνεβάπτιζε, κατὰ κεφαλῆς αὐτοὺς καταδύων, καὶ ἄνω στρέφων τοὺς πόδας αὐτῶν, καὶ μίαν κατάδυσιν βαπτίζων ἐποίει. Καὶ τὴν κόλασιν δὲ τὴν μέλλουσαν, καὶ τὴν γέενναν, ἐφλυάρει μὴ ἀληθῶς εἶναι, δι' ἐκφόβισιν δὲ μόνην ἀπειληθῆναι. Ἐκαλοῦντο δὲ οἱ αὐτοὶ καὶ Εὐδοξιανοὶ, ἀπὸ Εὐδοξίου τινὸς συναιρεσιώτου τῷ Εὐνομίῳ, ὃς Κωνσταντινουπόλεως γεγονὼς ἐπίσκοπος, τὸν Εὐνόμιον Κυζίκου ἀρχιερέα κατέστησεν· οἳ καὶ Ἀνόμοιοι ὠνομάζοντο, διὰ τὸ λέγειν τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα, μηδεμίαν ὁμοιότητα κατ' οὐσίαν ἔχειν πρὸς τὸν Πατέρα. Ἀναθεματίζεσθαι δὲ θεσπίζει καὶ τοὺς Σαβελλιανοὺς, οἵτινες ἀπὸ Σαβελλίου τοῦ Λίβυος ὠνομάσθησαν· ὃς Πτολεμαΐδος τῆς Πενταπόλεως ἐπίσκοπος γέγονε, συναλοιφὴν δογματίζων καὶ σύγχυσιν, τὰς τρεῖς ὑποστάσεις τῆς μιᾶς οὐσίας καὶ θεότητος εἰς ἓν πρόσωπον συναιρῶν, καὶ συγχέων, καὶ ἓν πρεσβεύων ἐπὶ τῆς ἁγίας Τριάδος τριώνυμον πρόσωπον· λέγων, τὸν αὐτὸν ποτὲ μὲν ὡς Πατέρα φανῆναι, ποτὲ δὲ ὡς Υἱὸν, ποτὲ δὲ ὡς ἅγιον Πνεῦμα, μεταμορφούμενον, καὶ ἄλλοτε ἄλλως μετασχηματιζόμενον. Ὁμοίως δὲ ὑπὸ ἀνάθεμα τίθησι καὶ τὴν τῶν Μαρκελλιανῶν αἵρεσιν, ἥτις ἀπὸ Μαρκέλλου αἱρεσιάρχου καλεῖται· ὃς ἐξ Ἀγκύρας μὲν ὥρμητο τῆς Γαλατικῆς, καὶ αὐτῆς ἐπίσκοπος γέγονεν· ἐπίσης δὲ τῷ Σαβελλίῳ ἐδογμάτιζεν. Ἀλλὰ καὶ τὴν τῶν Φωτεινιανῶν αἵρεσιν ἀναθέματι ὑποβάλλει. Οἱ δὲ ἀπὸ Φωτεινοῦ ἔσχον τὴν κλῆσιν, ἐκ Σιρμίου μὲν ὁρμωμένου, κἀκεῖσε ἐπισκοπήσαντος, τὰ αὐτὰ δὲ Παύλῳ τῷ Σαμοσατεῖ φρονήσαντος, καὶ μήτε τὴν ἁγίαν Τριάδα ὁμολογοῦντος, καὶ Πνεῦμα μόνον (1)

(1) Χ. Τρ. Βευερ. — μὲν 'Ε.

ὀνομάζοντος τὸν Θεὸν, δημιουργὸν ἁπάντων· τὸν δὲ Λόγον προφορικὸν φρονοῦντος, καὶ θεῖόν τι πρόσταγμα, ὑπουργοῦντα τῷ Θεῷ εἰς τὴν παραγωγὴν τοῦ παντὸς, ὡς ὄργανόν τι μηχανικόν· τὸν δὲ Χριστὸν, ψιλὸν κηρύττοντος ἄνθρωπον, τὸν τοῦ Θεοῦ Λόγον ὑποδεξάμενον, οὐχ ὡς οὐσιώδη, ἀλλ' ὡς προφορικὸν, καὶ ἀπὸ Μαρίας τὴν ἀρχὴν εἰληφέναι τῆς ὑπάρξεως αὐτὸν δογματίζοντος. Καὶ ἄλλα δὲ πλείονα ὁ Σαμοσατεὺς ἐληρῴδει Παῦλος, ὃν καθεῖλεν ἡ ἐν Ἀντιοχείᾳ σύνοδος· τοῖς λοιποῖς δὲ καὶ τὴν τοῦ Ἀπολλιναρίου ἀναθέματι συγκαταδικάζει αἵρεσιν. Ὁ δὲ Ἀπολλινάριος τῆς ἐν Συρίᾳ Λαοδικείας ἐπίσκοπος ἦν, περὶ τὴν οἰκονομίαν φανερῶς βλασφημῶν· ἔλεγε γὰρ τὸν Υἱὸν τοῦ Θεοῦ σῶμα μὲν ἔμψυχον ἐκ τῆς ἁγίας Θεοτόκου ἀναλαβεῖν, ἄνουν δὲ, ὡς τῆς Θεότητος ἀρκούσης ἀντὶ νοὸς, καὶ ἄλογον ὥσπερ τὴν ψυχὴν τοῦ Κυρίου ἐφρόνει· καὶ οὕτω καὶ οὐδὲ τέλειον ἄνθρωπον αὐτὸν ἔλεγε· καὶ μίαν φύσιν ἐπὶ τοῦ Σωτῆρος ἐδίδασκεν.

ΑΡΙΣΤ. Ἡ κατὰ Νίκαιαν πίστις κρατείτω· τὰ δὲ τῶν αἱρέσεων ἀνάθεμα ἐχέτω.

Κανὼν Β'.

Τοὺς ὑπὲρ διοίκησιν ἐπισκόπους ταῖς ὑπερορίοις ἐκκλησίαις μὴ ἐπιέναι, μηδὲ συγχέειν τὰς ἐκκλησίας· ἀλλὰ κατὰ τοὺς κανόνας, τὸν μὲν Ἀλεξανδρείας ἐπίσκοπον, τὰ ἐν Αἰγύπτῳ μόνον οἰκονομεῖν· τοὺς δὲ τῆς Ἀνατολῆς ἐπισκόπους, τὴν Ἀνατολὴν μόνην διοικεῖν· φυλαττομένων τῶν ἐν τοῖς κανόσι τοῖς κατὰ Νίκαιαν πρεσβείων τῇ Ἀντιοχέων ἐκκλησίᾳ· καὶ τοὺς τῆς Ἀσιανῆς διοικήσεως ἐπισκόπους, τὰ κατὰ τὴν Ἀσιανὴν μόνον (1) διοικεῖν (2)· καὶ τοὺς τῆς Ποντικῆς, τὰ τῆς Ποντικῆς μόνον (3)· καὶ τοὺς τῆς Θράκης τὰ τῆς Θρᾳκικῆς (4) μόνον οἰκονομεῖν. Ἀκλήτους δὲ ἐπισκόπους ὑπὲρ διοίκησιν μὴ ἐπιβαίνειν (5) ἐπὶ χειρο-

---

(1) Ἀσίαν μόνην Χ. Τρ. — (2) Π. Βρ. — οἰκονομεῖν Βευερ. Κ. 'Ε. Χ. Τρ. Σ. Ῥ. — (3) Π. Βρ. — μόνα Βευερ. Κ. 'Ε. Χ. Τρ. — (4) Χ. Τρ. Βευερ. — καὶ τοὺς τῆς Θρᾳκικῆς τὰ τῆς Θρᾳκικῆς μόνον οἰκονομεῖν Π. Ἑ. Κ. — τοὺς τῆς Θρᾴκης τὰ τῆς Θρᾳκικῆς Βρ. Σ. Ῥ. — (5) Χ. Τρ. Π. Κ. 'Ε. Βρ. — ὑπερβαίνειν Βευερ.

τονίᾳ (1), ἤ τισιν ἄλλαις οἰκονομίαις ἐκκλησιαστικαῖς. Φυλαττομένου δὲ τοῦ προγεγραμμένου περὶ τῶν διοικήσεων κανόνος, εὔδηλον ὡς τὰ καθ' ἑκάστην ἐπαρχίαν ἡ τῆς ἐπαρχίας σύνοδος διοικήσει, κατὰ τὰ ἐν Νικαίᾳ ὡρισμένα. Τὰς δὲ ἐν τοῖς βαρβαρικοῖς ἔθνεσι τοῦ Θεοῦ ἐκκλησίας, οἰκονομεῖσθαι χρὴ κατὰ τὴν κρατήσασαν συνήθειαν τῶν Πατέρων (2).

—

ΖΩΝΑΡ. Κατάστασιν ἐν ταῖς ἐκκλησίαις καὶ εἰρήνην πολιτεύεσθαι, διὰ πολλῆς φροντίδος καὶ οἱ ἅγιοι Ἀπόστολοι, καὶ οἱ θεῖοι Πατέρες μετέπειτα ἐποιήσαντο. Οἱ μὲν γὰρ Ἀπόστολοι ἐν τεσσαρεσκαιδεκάτῳ κανόνι, μὴ ἐξεῖναι ἐπισκόπῳ ἑτέρου ἐπιπηδᾷν *παροικίαν* (3), καταλιπόντι τὴν ἑαυτοῦ, διετάξαντο. Οἱ δὲ ἐν τῇ πρώτῃ συνόδῳ κατὰ Νίκαιαν συναθροισθέντες Πατέρες, ἐν ἕκτῳ καὶ ἑβδόμῳ κανόνι, τὰ ἀρχαῖα κρατεῖν ἔθη, καὶ ἕκαστον θρόνον τὰς ἀνηκούσας αὐτῷ ἐπαρχίας διέπειν ἐθεσμοθέτησαν. Τοῦτο δὲ καὶ ὁ παρὼν κανὼν διορίζεται, καὶ ἐπίσκοπον ὑπὲρ διοίκησιν, ἤγουν ὑπὲρ τὴν ἀνήκουσαν αὐτῷ ἐπαρχίαν ἐν ταῖς ὑπερορίοις ἐκκλησίαις, ταῖς οὔσαις δηλαδὴ ὑπὲρ τὰ ἀφωρισμένα ἑκάστῳ ὅρια, μὴ ἐπιέναι διακελεύεται· (διὰ τοῦ, ἐπιέναι, τὴν ληστρικὴν οἷον ἐμφαίνων καὶ ἄτακτον ἔφοδον) καὶ μηδὲ ἐπιβαίνειν ἑτέρου ἐνορίᾳ, (τοῦτο γὰρ τὸ ὑπὲρ διοίκησιν ἐπίσκοπον ἄκλητον ἐπὶ οἱᾳδήτινι ἱερατικῇ διοικήσει), ἀλλὰ παρακαλούμενον καὶ παρὰ πλειόνων ἐπισκόπων πρὸς τοῦτο ἐπιτρεπόμενον, κατὰ τὸν εἰρημένον ἀποστολικὸν κανόνα. Τὰς δὲ καθ' ἑκάστην ἐπαρχίαν ἐκκλησιαστικὰς διοικήσεις, ἤγουν ψήφους, καὶ χειροτονίας, καὶ ἀμφιβολιῶν λύσεις, ἐν ἀφορισμοῖς, καὶ ἐπιτιμίοις, καὶ λοιποῖς τοιούτοις, τὴν ἑκάστης ἐπαρχίας σύνοδον θεσπίζει οἰκονομεῖν. Ἐπεὶ δὲ καὶ ἐν βαρβάροις ἔθνεσιν ἐκκλησίαι τότε ἦσαν πιστῶν, ὅπου ἴσως οὐ πολλοὶ ἦσαν ἐπίσκοποι, ὥστε ἀρκεῖν εἰς σύνοδον, ἢ καὶ ἀναγκαῖον ἦν, εἴτις ἐν λόγῳ διαλάμπων ἦν ἐκεῖ, προσφοιτᾷν καὶ ταῖς τῶν ἄλλων παροικίαις,

---

(1) Π. Χ. Τρ. Κ. Ἑ. — χειροτονίαις Βρ. Βευερ. — (2) παρὰ τῶν Πατέρων Βρ. — (3) Χ. Τρ. — ἑτέρου ἐπιπηδᾷν καταλιπόντι Κ. — ἑτέρᾳ ἐπιπηδᾷν Βευερ.

ὥστε ἐπιστηρίζειν τοὺς τῇ πίστει προσιόντας, καὶ βεβαιοῦν ἐν αὐτῇ τὸ κρατῆσαν ἔθος, μέχρι τότε ἐν τοῖς τοιούτοις ἐνδέδωκεν ἡ ἁγία σύνοδος καὶ εἰσέπειτα πολιτεύεσθαι.

ΒΑΛΣ. Ὁ ς'. καὶ ὁ ζ'. κανὼν τῆς ά. συνόδου ὑπετύπωσαν ποῖαι διοικήσεις ὀφείλουσιν ὑποκεῖσθαι τῷ πάπᾳ Ῥώμης, τῷ Ἀλεξανδρείας, τῷ Ἀντιοχείας, καὶ τῷ Ἱεροσολύμων. Ὁ δὲ παρὼν κανὼν διορίζεται οἰκονομεῖν τοὺς ἐπισκόπους τῆς Ἀσίας, τῆς Ποντικῆς, τῆς Θρᾴκης, καὶ ἑτέρους, τὰ τῶν ἐνοριῶν αὐτῶν· καὶ μὴ ἔχειν ἐπ' ἀδείας τινὰ ἐκ τούτων ὑπερορίους ἐνεργείας ποιεῖν, καὶ συγχέειν τὰ δίκαια τῶν ἐκκλησιῶν. Εἰ δὲ δεήσει μεταβῆναί τινα ἐπίσκοπον ἐκ τῆς οἰκείας ἐνορίας πρὸς ἑτέραν, διὰ χειροτονίαν, ἢ ἑτέραν εὔλογον αἰτίαν, μὴ ἀτάκτως, καὶ, οἷον εἰπεῖν, λῃστρικῶς ταύτῃ ἐπιπηδᾷν, ἀλλὰ μετὰ ἐκχωρήσεως τοῦ ἐγχωρίου ἐπισκόπου. Ὅτι δὲ ἐν βαρβάροις ἔθνεσιν ἐκκλησίαι τότε ἦσαν πιστῶν, ὅπου ἴσως οὐκ ἐχειροτονοῦντο πολλοὶ ἐπίσκοποι, ὥστε ἀρκεῖν εἰς σύνοδον, ἢ καὶ ἀναγκαῖον ἦν τοὺς ἴσως ἐν λόγῳ διαλάμποντας προσφοιτᾷν καὶ ἐν ταῖς τῶν ἄλλων τοιαύταις ἐπαρχίαις, ὥστε ἐπιστηρίζειν τοὺς τῇ πίστει προσιόντας, ἐνέδωκεν ἡ ἁγία σύνοδος, καὶ εἰσέτι πολιτεύεσθαι τὸ τοιοῦτον ἔθος, κἂν παρὰ κανόνας ἐστὶ, διὰ τὸ ἀναγκαῖον τοῦ πράγματος. Σημείωσαι οὖν ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι τὸ παλαιὸν πάντες οἱ τῶν ἐπαρχιῶν μητροπολῖται αὐτοκέφαλοι ἦσαν, καὶ ὑπὸ τῶν οἰκείων συνόδων ἐχειροτονοῦντο. Μετετυπώθη δὲ τὰ περὶ τούτου ὑπὸ τοῦ κή. κανόνος τῆς ἐν Χαλκηδόνι συνόδου, διορισαμένης τοὺς μητροπολίτας τῆς Ποντικῆς, καὶ Ἀσιανῆς, καὶ Θρᾳκικῆς διοικήσεως, ἔτι δὲ καὶ ἑτέρους τινὰς τῷ αὐτῷ κανόνι περιεχομένους, ὑπὸ τοῦ πατριάρχου Κωνσταντινουπόλεως χειροτονεῖσθαι, καὶ ὑποκεῖσθαι αὐτῷ. Εἰ δὲ καὶ ἑτέρας ἐκκλησίας αὐτοκεφάλους εὑρίσκεις, ὡς τὴν Βουλγαρίας, τὴν Κύπρου, καὶ τὴν Ἰβηρίας, μὴ θαυμάσῃς. Τὸν μὲν γὰρ ἀρχιεπίσκοπον Βουλγαρίας ἐτίμησεν ὁ βασιλεὺς Ἰουστινιανός· καὶ ἀνάγνωθι τὴν ρλά. νεαρὰν αὐτοῦ, κειμένην ἐν βιβλίῳ τῶν βασιλικῶν έ. τίτ. γ'. κεφ. ά. καταστρωθεῖσαν εἰς τὴν ἑρμηνείαν τοῦ έ. κεφ. τοῦ ά. τίτλου τοῦ παρόντος συντάγματος.

Τὸν ἀρχιεπίσκοπον Κύπρου ἐτίμησεν ἡ γ'. σύνοδος· καὶ ἀνάγνωθι τῆς αὐτῆς συνόδου κανόνα ή. καὶ τὸν λθ'. κανόνα τῆς ϛ'. συνόδου. Τὸν δὲ Ἰβηρίας ἐτίμησεν ἡ διάγνωσις τῆς ἐν Ἀντιοχείᾳ συνόδου. Λέγεται γὰρ ὅτι ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου Θεουπόλεως μεγάλης Ἀντιοχείας κυροῦ Πέτρου, γέγονεν οἰκονομία συνοδική, ἐλευθέραν εἶναι καὶ αὐτοκέφαλον τὴν ἐκκλησίαν τῆς Ἰβηρίας, ὑποκειμένην τότε τῷ πατριάρχῃ Ἀντιοχείας. Ἡ μέν τοι Σικελία πρὸ χρόνων μετρητῶν ὑποκειμένη τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως, ὑπὸ τυραννικῶν χειρῶν ἐκ ταύτης ἀπεσπάσθη· καὶ εὔχομαι ἵνα καὶ αὕτη ἐπανέλθῃ (1) εἰς τὰ πρότερα δίκαια, τῇ ἀντιλήψει τοῦ θεοκυβερνήτου ἡμῶν αὐτοκράτορος, ὡσεί τις αἰχμαλωτισθεῖσα θυγάτηρ πρὸς ἐλευθέραν μητέρα. Τὸ μέν τοι προσηνῶσθαι, κατὰ λόγον οἰκονομίας, ἐκκλησίαις τισὶν ἑτέρας ἐκκλησίας ὑπὸ ἐθνῶν κατεχομένας, ἀπὸ τοῦ παρόντος κανόνος, ὡς ἔοικεν, ἐνδέδοται (2). Αὐτίκα γὰρ ἡ ἐν Κωνσταντινουπόλει σύνοδος δέδωκε τῷ μητροπολίτῃ Ναζιανζοῦ τὴν ἐκκλησίαν τῆς Ἀγκύρας· καὶ ἑτέροις ἀρχιερεῦσι διαφόροις, ἑτέρας τοιαύτας ἐκκλησίας. Τισὶ δὲ ἐνεδόθη καὶ αὐτὸ τὸ καθῆσθαι εἰς τὸν ἐν τῷ ἁγίῳ βήματι θρόνον τῆς ἐπιδοθείσης ἐκκλησίας.

ΑΡΙΣΤ. Ὑπερόριος μηδεὶς συγχεέτω τὰς ἐκκλησίας (3), μήτε χειροτονῶν, μήτε ἐνθρονίζων. Ἐπὶ μέντοι τῶν ἐν τοῖς ἔθνεσιν ἐκκλησιῶν, ἡ τῶν Πατέρων κρατείτω συνήθεια.

Ἐν πολλοῖς τῶν κανόνων εἴρηται, ὅτι οὐ δεῖ ἐπίσκοπον ἀλλοτρίας ἐπιβαίνειν ἐπισκοπῆς· ἀλλ' ἕκαστον ἐντὸς τῶν ἰδίων ὅρων μένειν, καὶ μὴ πηδᾷν ὑπερόρια, καὶ τὰς ἐκκλησίας συγχέειν. Ἐπὶ μέντοι τῶν ἐν τοῖς ἔθνεσιν ἐκκλησιῶν, τῶν ἐν Αἰγύπτῳ, καὶ Λιβύῃ, καὶ Πενταπόλει, κατὰ τὸν ἕκτον κανόνα τῆς ἐν Νικαίᾳ συνόδου, τὰ ἀρχαῖα ἔθη κρατείτω.

---

(1) Βευερ. — εὔχομαι ταύτην ἐπανελθεῖν . . . . ὥς τινα αἰχμαλωτισθεῖσαν θυγατέρα, Χ. Τρ. —(2) Χ. Τρ. —ἐνδίδοται Βευερ. Ε. — (3) Ὑπερόριος εἰς ἐκκλησιῶν σύγχυσιν μηδεὶς ἔστω μήτε χειροτονῶν, Β.

Κανὼν Γ'.

Τὸν μέν τοι Κωνσταντινουπόλεως ἐπίσκοπον ἔχειν τὰ πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν τῆς Ῥώμης ἐπίσκοπον, διὰ τὸ εἶναι αὐτὴν νέαν Ῥώμην.

ΖΩΝΑΡ. Περὶ τῶν ἄλλων πατριαρχικῶν θρόνων τοῦ ἀνωτέρω κανόνος διαταξαμένου, οὗτος καὶ τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως μέμνηται, καὶ ἔχειν αὐτὸν τὰ πρεσβεῖα τῆς τιμῆς, ἤτοι τὰ πρωτεῖα, ἢ τὸ ἐξαίρετον, ἐθέσπισεν, ὡς Νέαν Ῥώμην καὶ βασιλίδα τῶν πόλεων, μετὰ τὸν Ῥώμης ἐπίσκοπον. Τινὲς μὲν οὖν τὴν, μετὰ, πρόθεσιν, οὐχ ὑποβιβασμὸν τῆς τιμῆς δηλοῦν νενοήκασιν, ἀλλὰ τὸ μετάχρονον τῆς ταύτης συστάσεως. Ἀρχαία μὲν γὰρ πόλις ἦν τὸ Βυζάντιον, καὶ καθ' ἑαυτὸ διοικούμενον. Ἐπὶ Σευήρου δὲ τοῦ Ῥωμαίων αὐτοκράτορος, πολιορκηθὲν παρὰ τῶν Ῥωμαίων, καὶ ἐπὶ τρεῖς ἐνιαυτοὺς τὸν πόλεμον ὑποστὰν, ὕστερον ἑάλω, τῶν ἀναγκαίων ἐπιλιπόντων τοῖς ἐν αὐτῷ. Καὶ καθῃρέθη μὲν τὰ τείχη αὐτοῦ, ἀφῃρέθη δὲ καὶ τὰ πολιτικὰ δίκαια, καὶ ὑπετέθη Πειρινθίοις. Πείρινθος δέ ἐςιν ἡ Ἡράκλεια· ὅθεν τῷ Ἡρακλείας καὶ ἡ χειροτονία τοῦ πατριάρχου ἀπονενέμηται, ὡς παρ' αὐτοῦ χειροθετουμένου τοῦ ἐπισκόπου τοῦ Βυζαντίου. Ὕστερον δὲ παρὰ τοῦ μεγάλου Κωνσταντίνου ἡ μεγάλη αὕτη ᾠκοδομήθη πόλις, καὶ εἰς ὄνομα ἐπεκλήθη ἐκείνου, καὶ Νέα ὠνομάσθη Ῥώμη· διὸ τὴν πρόθεσιν τὴν, μετὰ, ἔνιοι τοῦ χρόνου δηλωτικὴν ἔφασαν εἶναι, καὶ οὐχ ὑποβιβασμὸν τῆς τιμῆς πρὸς τὴν πρεσβυτέραν Ῥώμην. Χρῶνται δὲ πρὸς κατασκευὴν τοῦ οἰκείου (1) λόγου τῷ εἰκοστῷ ὀγδόῳ κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου, μεμνημένῳ μὲν τοῦ παρόντος κανόνος, ἐπάγοντι δὲ, ὅτι, Καὶ ἡμεῖς τὰ αὐτὰ ψηφιζόμεθα περὶ τῶν πρεσβείων τῆς ἁγιωτάτης ἐκκλησίας Κωνσταντινουπόλεως, Νέας Ῥώμης· καὶ γὰρ τῷ θρόνῳ τῆς πρεσβυτέρας Ῥώμης, διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην, οἱ Πατέρες εἰκότως ἀποδεδώκασι τὰ πρεσβεῖα, καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ ἑκατὸν πεντήκοντα θεοφι-

---

(1) Χ. Τρ. — τοῦ ἐκείνου Βευερ.

λέστατοι ἐπίσκοποι, τὰ ἴσα πρεσβεῖα ἀπένειμον (1) τῷ τῆς Νέας Ῥώμης ἁγιωτάτῳ θρόνῳ, εὐλόγως κρίναντες τὴν βασιλείᾳ καὶ συγκλήτῳ τιμηθεῖσαν πόλιν, καὶ τῶν ἴσων ἀπολαύουσαν πρεσβείων τῇ πρεσβυτέρᾳ βασιλίδι Ῥώμῃ, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασι, δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν. Φασὶν οὖν, ὅτι ἐπεὶ τῶν ἴσων ἀξιοῦσιν αὐτὴν τιμῶν, πῶς νοηθήσεται ἡ μετὰ, προθεσις, ὑποπτώσεως δηλωτική; Ἡ δὲ τοῦ Ἰουστινιανοῦ ρλα΄. νεαρὰ, κειμένη εἰς βιβλίον τῶν Βασιλικῶν πέμπτον, τίτλον τρίτον, ἄλλως νοεῖσθαι τοὺς κανόνας δίδωσι, καθὼς καὶ παρὰ τοῦ βασιλέως ἐκείνου ἐνοήθησαν. Φησὶ γάρ· Θεσπίζομεν κατὰ τοὺς τῶν ἁγίων συνόδων ὅρους, τὸν ἁγιώτατον τῆς πρεσβυτέρας Ῥώμης πάπαν, πρῶτον εἶναι πάντων τῶν ἱερέων· τὸν δὲ μακαριώτατον ἐπίσκοπον Κωνσταντινουπόλεως Νέας Ῥώμης, δευτέραν τάξιν ἐπέχειν μετὰ τὸν ἀποστολικὸν θρόνον τῆς πρεσβυτέρας Ῥώμης· τῶν δὲ ἄλλων πάντων προτιμᾶσθαι. Ἐντεῦθεν οὖν ἐναργῶς δείκνυται ἡ μετὰ, πρόθεσις, ὑποβιβασμὸν δηλοῦσα, καὶ ἐλάττωσιν· καὶ ἄλλως δὲ ἀδύνατον ἂν εἴη τὸ ταὐτὸν *τῆς*(2) τιμῆς καὶ ἐν ἀμφοτέροις τοῖς θρόνοις φυλάττεσθαι. Ἀνάγκη γὰρ ἐν ταῖς ἀναφοραῖς τῶν ὀνομάτων τῶν προϊσταμένων αὐτῶν, τὸν μὲν προτερεύειν, τὸν δὲ δευτερεύειν· καὶ ἐν καθέδραις ὅτε συνέλθοιεν, καὶ ἐν ὑπογραφαῖς, ὅτε τούτων δεήσει. Ἡ γοῦν(3) τοῦ μετὰ, ἐξήγησις, ἡ λέγουσα τοῦ χρόνου δηλωτικὴν εἶναι τὴν πρόθεσιν, καὶ οὐχ ὑποβιβασμοῦ, βεβιασμένη ἐστὶ, καὶ διανοίας οὐκ εὐθείας, οὐδ' ἀγαθῆς. Ἀλλὰ καὶ ὁ τῆς ἐν τῷ Τρούλλῳ συνόδου τριακοστὸς ἕκτος κανὼν ἀριδήλως δείκνυσι τὴν μετὰ, πρόθεσιν, ὑποβιβασμὸν δηλοῦσαν, δεύτερον λέγων τὸν θρόνον τῆς Κωνσταντινουπόλεως λογίζεσθαι, μετὰ τὸν τῆς πρεσβυτέρας Ῥώμης. Εἶτα ἐπάγει, μεθ' ὃν ὁ τῆς Ἀλεξανδρέων ἀριθμείσθω θρόνος, εἶτα ὁ τῆς Ἀντιοχείας, καὶ μετὰ τοῦτον ὁ τῆς Ἱεροσολυμιτῶν.

ΒΑΛΣ. Ἡ πόλις αὕτη τοῦ Βύζαντος, οὐκ εἶχε τιμὴν ἀρ-

---

(1) οὐχ εὕρηνται παρὰ Κ. οὐδ' ἐν Χ. Τρ. τὰ ἑξῆς, τὰ πρεσβεῖα, καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ ρν΄. θεοφιλέστατοι ἐπίσκοποι. — (2) Χ. Τρ. — οὐχ εὕρηται τὸ, τῆς ἐν Ἐ. καὶ Βευερ. — (3) Χ. Τρ. — ἤγουν Βευερ. Ἰ. Ἐ.

χιεπισκόπου, ἀλλὰ παρὰ τοῦ μητροπολίτου Ἡρακλείας ἐχειροτονεῖτο ποτὲ ἐπίσκοπος ἐν αὐτῇ. Ἱστορεῖται γὰρ ὡς, εἰ καὶ ἦν τὸ Βυζάντιον πόλις καθ' ἑαυτὴν διεξαγομένη, ἀλλ' ἐπολιορκήθη ὑπὸ Σεβήρου, Ῥωμαίων αὐτοκράτορος, καὶ ὑπετέθη Πειρινθίοις· Πείρινθος δέ ἐστιν ἡ Ἡράκλεια. Τοῦ δὲ μεγάλου Κωνσταντίνου μεταγαγόντος ἐν αὐτῇ τὰ σκῆπτρα τῆς βασιλείας τῶν Ῥωμαίων, μετωνομάσθη Κωνσταντινούπολις, καὶ Νέα Ῥώμη, καὶ πασῶν τῶν πόλεων βασιλίς (1). Κἀντεῦθεν καὶ οἱ τῆς δευτέρας συνόδου ἅγιοι Πατέρες διωρίσαντο ἔχειν τὸν ἐπίσκοπον αὐτῆς τὰ πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν ἐπίσκοπον τῆς πρεσβυτέρας Ῥώμης, διὰ τὸ εἶναι αὐτὴν Νέαν Ῥώμην. Τούτων δὲ οὕτω διορισθέντων, τινὲς τὴν, μετὰ, πρόθεσιν, οὐχ ὑποβιβασμὸν τῆς τιμῆς νενοήκασιν, ἀλλ' ἐξελάβοντο αὐτὴν εἰς τὸ μετάχρονον (2) μόνον, χρώμενοι, πρὸς συγκρότησιν τοῦ λόγου αὐτῶν, καὶ τῷ κή. κανόνι τῆς δ'. συνόδου, λέγοντι· τὰ ἴσα πρεσβεῖα τῷ τῆς πρεσβυτέρας Ῥώμης ἁγιωτάτῳ θρόνῳ ἔχειν τὸν τῆς Κωνσταντινουπόλεως θρόνον, δεύτερον μετ' ἐκεῖνον ὑπάρχοντα. Σὺ δὲ ἀνάγνωθι τὴν ρλά. Ἰουστινιάνειον νεαράν, τὴν κειμένην ἐν βιβλίῳ έ. τῶν βασιλικῶν, τίτλῳ γ'. καὶ καταστρωθεῖσαν εἰς τὸ σχόλιον τοῦ έ. κεφαλαίου τοῦ ά. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὸν λς'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, λέγοντα, εἶναι δεύτερον τὸν τῆς Κωνσταντινουπόλεως θρόνον. Ζήτει καὶ κεφ. ά. τοῦ ή. τίτλου τοῦ παρόντος συντάγματος· κατεστρώθησαν γὰρ ἐκεῖσε παρ' ἡμῶν διάφοροι νόμοι περὶ τῶν προνομίων τῆς Παλαιᾶς Ῥώμης, καὶ τῆς Νέας, καὶ τὸ τοῦ ἁγίου Μεγάλου Κωνσταντίνου ἔγγραφον θέσπισμα, τὸ γενόμενον πρὸς τὸν ἅγιον Σίλβεστρον, τὸν τότε πάπαν Ῥώμης, χάριν τῶν ἀπονενεμημένων (3) προνομίων τῇ ἐκκλησίᾳ τῆς Παλαιᾶς Ῥώμης. Τὸ δὲ χειροτονεῖσθαι σήμερον τὸν κατὰ καιροὺς ἁγιώτατον πατριάρχην Κωνσταντινουπόλεως παρὰ τοῦ κατὰ καιροὺς μη-

(1) Ἐνταῦθα τίθησιν ὁ Βευερ. τὴν ἐν τῷ τέλει τῆς παρούσης ἑρμηνείας τοῦ Βαλσ. τρίστιχον σημείωσιν. — (2) Χ. Τρ. — εἰς τὸ μετὰ χρόνον Ἑ. Βευερ. — (3) ἀπονεμηθέντων Χ. Τρ.

τροπολίτου Ἡρακλείας, οὐκ ἄλλοθέν ἐστιν, ἀλλ' ἢ ἀπὸ τοῦ ὑποτεθῆναι, ὡς ἄνωθεν εἴρηται, Πειρινθίοις, ἤτοι Ἡρακλειώταις, τὴν πόλιν τοῦ Βύζαντος. Καὶ σημείωσαι, πόθεν δικαιοῦται ὁ Ἡρακλείας χειροτονεῖν τὸν πατριάρχην Κωνςαντινουπόλεως(1). Εὕρηται δὲ ἐν τῷ χρονικῷ τοῦ Σκυλίτση, ὅτι ἐχειροτονήθη πατριάρχης *Στέφανος* (2) Σύγκελλος, ὁ ἀδελφὸς τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, παρὰ τοῦ Καισαρείας, διὰ τὸ προτελευτῆσαι τὸν Ἡρακλείας. Ἡμεῖς δὲ εἴδομεν καὶ ἐπὶ τῆς βασιλείας Ἰσαακίου τοῦ Ἀγγέλου, ὅτι Λεόντιός τις μοναχὸς, ἀπὸ τοῦ βουνοῦ τοῦ ἁγίου Αὐξεντίου, ἐχειροτονήθη παρὰ Δημητρίου τοῦ Καισαρείας διὰ τὴν τοιαύτην αἰτίαν πατριάρχης Κωνσταντινουπόλεως (3).

Σημείωσαι, ὅτι κατὰ τὴν ϐ'. σύνοδον ἐτιμήθη ὁ θρόνος τῆς Κωνσταντινουπόλεως· καὶ ἀνάγνωθι τοῦ πρώτου τίτλου τοῦ παρόντος συντάγματος κεφ. ζ'. καὶ τὰ ἐν αὐτῷ (4).

ΑΡΙΣΤ. Ὁ Κωνσταντινουπόλεως μετὰ τὸν Ῥώμης τετίμηται.

Τῶν αὐτῶν πρεσϐείων καὶ τῆς αὐτῆς μεθέξει τιμῆς τῷ Ῥώμης ἐπισκόπῳ καὶ ὁ Κωνσταντινουπόλεως ἐπίσκοπος· καθὼς καὶ ὁ εἰκοστὸς ὄγδοος κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου τὸν κανόνα τοῦτον ἐνόησε, διὰ τὸ εἶναι ταύτην Νέαν Ῥώμην, καὶ τιμηθῆναι βασιλείᾳ τε καὶ συγκλήτῳ. Τὸ γὰρ, μετὰ, ἐνταῦθα, οὐ τῆς τιμῆς, ἀλλὰ τοῦ χρόνου ἐστὶ δηλωτικόν· ὡς ἂν εἴποι τις, ὅτι μετὰ πολλοὺς χρόνους τῆς ἴσης τιμῆς τῷ Ῥώμης μετέσχε καὶ ὁ Κωνσταντινουπόλεως.

Κανὼν Δ'.

Περὶ Μαξίμου τοῦ Κυνικοῦ, καὶ τῆς κατ' αὐτὸν ἀταξίας τῆς ἐν Κωνσταντινουπόλει γενομένης· ὥστε μήτε (5) Μάξιμον ἐπίσκοπον ἢ γενέσθαι, ἢ εἶναι, μήτε τοὺς παρ' αὐτοῦ χειροτονηθέντας, ἐν οἰῳδήποτε βαθμῷ κλήρου· πάντων καὶ τῶν περὶ αὐτὸν, καὶ τῶν παρ' αὐτοῦ γενομένων ἀκυρωθέντων.

---

(1) Ἅπασα ἡ φράσις ἀπὸ τοῦ, Καὶ σημείωσαι πόθεν δικαιοῦται, ἀναγινώσκεται μετὰ τὸ τέλος τῆς παρούσης ἑρμηνείας ἐν Χ. Τρ. — (2) Χ. Τρ. — Σε. Σύγκελος Ἑ. Βευερ. — (3) Ἅπασα ἡ τελευταία φράσις ἀπὸ τοῦ, Ἡμεῖς δὲ εἴδομεν, εὕρηται παρὰ Βευερ. οὐχὶ δὲ ἐν Χ. Τρ. οὔτε παρὰ 'Ε. — (4) Ἡ Σημείωσις αὕτη κεῖται παρὰ Βευερ. ἀνωτέρω. Ὅρα σελ. 175 σημ. (1). — (5) μήτε τὸν Χ. Τρ. Βρ.

ΖΩΝΑΡ. Ὁ Μάξιμος οὗτος Αἰγύπτιος ἦν, φιλόσοφος Κυνικός. Κυνικοὶ δὲ ἐλέγοντο διὰ τὸ αὔθαδες, καὶ θρασὺ, καὶ ἀναιδές. Καὶ προσελθὼν τῷ μεγάλῳ πατρὶ Γρηγορίῳ τῷ Θεολόγῳ, καὶ κατηχηθεὶς, ἐβαπτίσθη. Εἶτα καὶ τῷ κλήρῳ συγκατελέγη, καὶ πάνυ τῷ ἁγίῳ Πατρὶ ἐκείνῳ ᾠκείωτο, ὡς καὶ ὁμοδίαιτον εἶναι. Ἐν ἐφέσει δὲ τοῦ ἀρχιερατικοῦ θρόνου τῆς Κωνσταντινουπόλεως γεγονὼς, χρήματα στέλλει εἰς Ἀλεξάνδρειαν, κἀκεῖθεν ἐπισκόπους ἄγει, χειροτονήσοντας αὐτὸν ἀρχιερέα τῆς Κωνσταντινουπόλεως, ἔχων καί τινα συνεργὸν τῶν οἰκειοτάτων τῷ Θεολόγῳ. Ἤδη δὲ τῆς ἐκκλησίας ἔνδον γενόμενοι, πρὸ τοῦ τελέσαι τὴν τελετὴν γνωσθέντες, ἀπηλάθησαν ὑπὸ τῶν πιστῶν· καὶ ἀπελαθέντες, οὐκ ἐφησύχασαν, ἀλλ' εἰς οἰκίαν εἰσδύντες χοραύλου τινὸς, ἐκεῖ χειροτονοῦσι τὸν Μάξιμον, εἰ καὶ μηδὲν ἀπώνατο τῆς περὶ ταῦτα μοχθηρίας, οὐδὲ γὰρ ἀνύσαι τι δεδύνητο. Ἀπεκηρύχθη οὖν διὰ τοῦ παρόντος κανόνος ὑπὸ τῶν ἐν τῇ δευτέρᾳ συνόδῳ συνελθόντων ἁγίων Πατέρων, ὁρισάντων, μήτε ἐπίσκοπον αὐτὸν γενέσθαι, ἢ εἶναι, διὰ τὸ ἐκθέσμως κεχειροτονῆσθαι, μήτε τοὺς παρ' αὐτοῦ χειροτονηθέντας, κληρικοὺς ὑπάρχειν· ὕςερον δὲ γνωσθεὶς τὰ Ἀπολλιναρίου φρονεῖν, καὶ ἀνεθεματίσθη. Τούτου καὶ ὁ Θεολόγος, ἔν τινι τῶν μὴ ἐπ' ἐκκλησίαις ἀναγινωσκομένων λόγων αὐτοῦ, μέμνηται.

ΒΑΛΣ. Τὰ τοῦ δ'. τούτου κανόνος ἰδικά εἰσι, καὶ ἑρμηνείας οὐ δέονται. Ἱςόρηται δὲ, ὅτι ὁ Μάξιμος οὗτος Αἰγύπτιος ἦν, φιλόσοφος Κυνικός· Κυνικοὶ δὲ ἐλέγοντο διὰ τὸ αὔθαδες, καὶ θρασὺ, καὶ ἀναιδές. Καὶ προσελθὼν τῷ μεγάλῳ πατρὶ Γρηγορίῳ τῷ Θεολόγῳ, καὶ κατηχηθεὶς, ἐβαπτίσθη, καὶ ἐκληρώθη, καὶ ᾠκειώθη αὐτῷ. Τοῦ δὲ πατριαρχικοῦ θρόνου τῆς Κωνσταντινουπόλεως ἐν ἐφέσει γεγονὼς, ἐσπούδασε, διὰ χρημάτων ἀποςαλέντων εἰς τοὺς ἐπισκόπους Ἀλεξανδρείας, χειροτονηθῆναι. Τῶν δὲ τοιούτων ἐπισκόπων ἐλθόντων εἰς Κωνσταντινούπολιν, καὶ ἐπιχειρησάντων κατὰ τὸ θέλημα τοῦ Μαξίμου ποιῆσαι, ἐπεὶ ὑπὸ τῶν πιστῶν ἀπὸ τῆς ἐκκλησίας ἀπηλάθησαν, ἀπῆλθον εἰς κατοικίαν χοραύλου τινὸς, καὶ ἐχειροτόνησαν ἀκανονίστως τὸν Μάξιμον. Ἡ οὖν ἁγία σύνοδος αὕτη ἀπεκήρυξε τοῦτον, ὁρίσασα, μήτε ἐπίσκοπον αὐτὸν γενέσθαι, ἢ εἶναι, διὰ τὸ ἐκθέσμως χειροτονηθῆναι, μήτε

τούς ὑπ᾽ αὐτοῦ χειροτονηθέντας, οἱουδήτινος βαθμοῦ κληρικοὺς εἶναι. Ὁ τοιοῦτος δὲ Μάξιμος ὕστερον γνωσθεὶς τὰ Ἀπολλιναρίου φρονεῖν, ἀνεθεματίσθη. Γέγραπται (1) δὲ τὰ περὶ τούτου εἰς τὸν βίον τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, ὃν συνεγράψατο ὁ μαθητὴς αὐτοῦ Γρηγόριος· καὶ μέμνηται τούτου ὁ Θεολόγος ἔν τινι τῶν μὴ ἀναγινωσκομένων ἐπ᾽ ἐκκλησίαις λόγων αὐτοῦ (2).

ΑΡΙΣΤ. Μάξιμος ὁ Κυνικὸς, τῶν ἐπισκόπων ἀλλότριος· καὶ ἅπας ἀνίερος, ὃς ἐκείνῳ κεκλήρωται.

Ὅτι περ οὗτος τὴν ἐκκλησίαν ἐσπάραξε, καὶ ταραχῆς αὐτὴν καὶ θορύβου ἐνέπλησε, λύκος ἀντὶ ποιμένος ὀφθεὶς, καὶ πάντα συγχωρῶν ἑτοίμως τοῖς πταίουσιν, ὑπὲρ ἑνὸς, τοῦ ἀσεβεῖν ἐν τοῖς δόγμασι, κατὰ τὸν μέγαν ἐν Θεολογίᾳ Γρηγόριον. Ἀλλότριος οὖν καὶ ὁ Μάξιμος οὗτος τῆς ἐπισκοπῆς ἔσται, καὶ οἱ παρ᾽ αὐτοῦ χειροτονηθέντες, ἐν οἱῳδήποτε βαθμῷ κλήρου, ἀνίεροι.

Κανὼν Ε'.

Περὶ τοῦ τόμου τῶν δυτικῶν, καὶ τοὺς ἐν Ἀντιοχείᾳ ἀπεδεξάμεθα, τοὺς μίαν ὁμολογοῦντας Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος Θεότητα.

ΖΩΝΑΡ. Κωνστάντιος ὁ Βασιλεὺς, ὁ υἱὸς τοῦ μεγάλου Κωνσταντίνου, ἀρειανίσας, ἔσπευδεν ἀνατρέψαι τὴν πρώτην σύνοδον. Τοῦτο ὁ τῆς πρεσβυτέρας Ῥώμης πάπας ἀνήνεγκε πρὸς Κώνσταντα, τὸν ἀδελφὸν τοῦ Κωνσταντίου· ὁ δὲ, πόλεμον ἠπείλησε διὰ γραμμάτων τῷ ἀδελφῷ, εἰ μὴ παύσαιτο τὴν ὀρθὴν πίστιν σαλεύων. Ἔδοξεν οὖν τοῖς βασιλεῦσιν ἀμφοῖν, σύνοδον γενέσθαι, κἀκείνην διαγνωμονῆσαι περὶ τῶν ἐν Νικαίᾳ ἀποφασισθέντων. Συνηθροίσθησαν οὖν ἐν Σαρδικῇ ἐπίσκοποι τριακόσιοι τεσσαράκοντα καὶ εἷς, οἳ καὶ ὅρον ἐξέθεντο, βεβαιοῦντα τὸ ἅγιον σύμβολον τῶν ἐν Νικαίᾳ Πατέρων, καὶ τοὺς τὰ ἐναντία φρονοῦντας ἀποκηρύττοντα. Τόμον οὖν τῶν δυτικῶν, τὸν ὅρον τοῦτον φησὶν

---

(1) Χ. Τρ. — εὕρηται δὲ εἰς τὸν βίον Βευερ. — (2) οὐχ εὕρηται ἐν Χ. Τρ. ἡ τελευταία φράσις ἀπὸ τοῦ, καὶ μέμνηται τούτου ὁ Θεολόγος.

ἡ δευτέρα σύνοδος· ὃν δεξαμένους καὶ τοὺς ἐν Ἀντιοχείᾳ ἀπεδέξατο. Δυτικοὺς δὲ τοὺς ἐν Σαρδικῇ ἀθροισθέντας φησὶν ἐπισκόπους. Σαρδικὴ δέ ἐστιν ἡ νῦν λεγομένη Τριάδιτζα. Τόμον δὲ εἶπε τῶν δυτικῶν, ὅτι μόνοι οἱ δυτικοὶ ἐπίσκοποι τοῦτον ἐξέθεντο· οἱ γὰρ ἐξ ἑῴας Ο'. ὄντες, ἔλεγον· ὡς, εἰ μὴ τοῦ συνεδρίου ἐξέλθωσιν ὁ ἅγιος Παῦλος ὁ ὁμολογητὴς, καὶ ὁ μέγας Ἀθανάσιος, οὐ κοινωνήσουσι τῇ συνόδῳ(1). Τοῦτο δὲ ποιῆσαι μὴ ἀνασχομένων τῶν δυτικῶν, αὐτίκα ἀπέστησαν τῆς συνόδου οἱ τῆς ἑῴας ἐπίσκοποι· διὸ καὶ μόνοι οἱ δυτικοὶ τὸν τῆς Νικαίας ὅρον ἐβεβαίωσαν, καὶ ἀνεθεμάτισαν τὸ ἀνόμοιον (2), καὶ τῶν ἑῴων ἐπισκόπων κατεψηφίσαντο. Σημείωσαι δὲ ἀπὸ τῶν ἐντὸς ἱστορηθέντων, ὅτι ἡ ἐν Σαρδικῇ σύνοδος πρὸ τῆς δευτέρας γέγονε συνόδου.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν ἰδικός ἐστιν. Ἱστόρηται γὰρ, ὅτι Κωνστάντιος ὁ βασιλεὺς, ὁ υἱὸς τοῦ μεγάλου Κωνσταντίνου, ἀρειανίσας, ἔσπευδεν ἀνατρέψαι τὴν πρώτην σύνοδον. Μαθὼν δὲ τοῦτο Κώνστας ὁ ἀδελφὸς αὐτοῦ, τῶν ἑσπερίων κυριεύων μερῶν, ἠπείλησε διὰ γραφῶν πόλεμον τῷ ἀδελφῷ αὐτοῦ, εἰ μὴ παύσαιτο τὴν ὀρθὴν πίστιν σαλεύειν. Ἔδοξεν οὖν τοῖς βασιλεῦσι, συνελθεῖν ἐν Σαρδικῇ, ἤτοι τῇ Τριαδίτζῃ, τοὺς ἐπισκόπους, καὶ διαγνωμονῆσαι περὶ τῶν ἐν Νικαίᾳ δογματισθέντων. Συναθροισθέντων οὖν τριακοσίων τεσσαράκοντα πρὸς τῷ ἑνὶ ἐπισκόπων, ἐβεβαιώθη τὸ ἅγιον σύμβολον τῶν ἐν Νικαίᾳ Πατέρων· καὶ οἱ μὴ οὕτω φρονοῦντες ἀνεθεματίσθησαν. Τόμον οὖν τῶν δυτικῶν τὸν ὅρον τοῦτόν φησιν ἡ β'. σύνοδος, τὸν καὶ παρὰ τῶν Ἀντιοχέων δεχθέντα· τόμον δὲ εἶπε τῶν δυτικῶν, ὅτι μόνοι οἱ δυτικοὶ ἐπίσκοποι τοῦτον ἐξέθεντο· οἱ γὰρ ἐξ ἑῴας Ο'. ὄντες ἔλεγον· ὡς, εἰ μὴ τοῦ συνεδρίου ἐξέλθωσιν (3) ὁ ἅγιος Παῦλος ὁ ὁμολογητὴς, καὶ ὁ μέγας Ἀθανάσιος, οὐ κοινωνήσουσι τῇ συνόδῳ. Τοῦτο δὲ ποιῆσαι μὴ ἀνασχομένων τῶν δυτικῶν, αὐτίκα ἀπέστησαν τῆς συνόδου οἱ τῆς ἑῴας ἐπίσκοποι· διὸ καὶ μόνοι οἱ δυτικοὶ τὸν τῆς Νικαίας ὅρον ἐβεβαίωσαν, καὶ ἀνεθεμάτισαν τὸ ἀνόμοιον,

---

(1) ὡς εἰ μὴ οἱ περὶ Παῦλον τὸν ὁμολογητὴν καὶ τὸν μέγαν Ἀθανάσιον ἐξελαθῶσι τοῦ συνεδρίου, οὐδὲ λόγῳ αὐτοῖς κοινωνήσουσι. Χ. Τρ. — (2) καὶ τὸ ἀνόμοιον ἀναθέματι κατεδίκασαν Χ. Τρ. — (3) ἐξελαθῶσι Χ. Τρ.

καὶ τῶν ἑῴων ἐπισκόπων κατεψηφίσαντο. Σημείωσαι δὲ ἀπὸ τῶν ἐντὸς ἱστορηθέντων, ὅτι ἡ ἐν Σαρδικῇ Σύνοδος πρὸ τῆς β'. γέγονε συνόδου (1).

ΑΡΙΣΤ. Ὁ Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα ὁμοούσια παρεγγυῶν τῶν δυτικῶν τόμος, εὐαπόδεκτος. Σαφής.

Κανὼν ϛ'.

Ἐπειδὴ πολλοὶ τὴν ἐκκλησιαστικὴν εὐταξίαν συγχεῖν καὶ ἀνατρέπειν βουλόμενοι (2), φιλέχθρως (3) καὶ συκοφαντικῶς αἰτίας τινὰς κατὰ τῶν οἰκονομούντων τὰς ἐκκλησίας ὀρθοδόξων ἐπισκόπων συμπλάσσουσιν, οὐδὲν ἕτερον, ἢ χραίνειν τὰς τῶν ἱερέων ὑπολήψεις, καὶ ταραχὰς τῶν εἰρηνευόντων λαῶν κατασκευάζειν ἐπιχειροῦντες· τούτου ἕνεκεν ἤρεσε (4) τῇ ἁγίᾳ συνόδῳ τῶν ἐν Κωνσταντινουπόλει συνδραμόντων ἐπισκόπων, μὴ ἀνεξετάστως προσίεσθαι τοὺς κατηγόρους, μηδὲ πᾶσιν ἐπιτρέπειν (5) τὰς κατηγορίας ποιεῖσθαι κατὰ (6) τῶν οἰκονομούντων τὰς ἐκκλησίας, μηδὲ μὴν πάντας ἀποκλείειν. Ἀλλ' εἰ μέν τις οἰκείαν τινὰ μέμψιν, τουτέστιν ἰδιωτικὴν, ἐπαγάγοι τῷ ἐπισκόπῳ, ὡς πλεονεκτηθεὶς, ἢ ἄλλο τι παρὰ τὸ δίκαιον παρ' αὐτοῦ πεπονθὼς, ἐπὶ τῶν τοιούτων κατηγοριῶν μὴ ἐξετάζεσθαι, μήτε πρόσωπον τοῦ κατηγόρου, μήτε τὴν θρησκείαν. Χρὴ γὰρ παντὶ τρόπῳ, τό,τε συνειδὸς τοῦ ἐπισκόπου ἐλεύθερον εἶναι, καὶ τὸν ἀδικεῖσθαι λέγοντα, οἵας ἂν ᾖ θρησκείας, τῶν δικαίων τυγχάνειν. Εἰ δὲ ἐκκλησιαστικὸν εἴη τὸ ἐπιφερόμενον ἔγκλημα τῷ ἐπισκόπῳ, τότε δοκιμάζεσθαι χρὴ τῶν κατηγορούντων τὰ πρόσωπα· ἵνα, πρῶτον μὲν αἱρετικοῖς μὴ ἐξῇ κατηγορίας κατὰ τῶν (7) ὀρθοδόξων ἐπισκόπων ὑπὲρ ἐκκλησιαστικῶν

(1) Ἡ τελευταία περίοδος ἀπὸ τοῦ, Σημείωσαι δὲ, οὐχ εὕρηται ἐν Χ. Τρ. — (2) πειρώμενοι Μάνσ. ἐν περισσλ. — (3) τὸ, φιλέχθρως οὐχ εὕρηται, ἐν Χ. Τρ. — (4) Π. Χ. Τρ. Βρ. Σ. Ρ. — ὥρισεν ἡ ἁγία σύνοδος Βευερ. — (5) Π. — ἐπιτρέπεσθαι - Χ. Τρ. Σ. Ρ. Βρ. Βευερ. — (6) ἢ, κατὰ, οὐχ εὕρηται ἐν Χ. Τρ. — (7) κατὰ ὀρθοδόξων Χ. Τρ.

πραγμάτων ποιεῖσθαι. Αἱρετικοὺς δὲ λέγομεν, τούς τε πάλαι τῆς ἐκκλησίας ἀποκηρυχθέντας, καὶ τοὺς μετὰ ταῦτα ὑφ' ἡμῶν ἀναθεματισθέντας· πρὸς δὲ τούτοις, καὶ τοὺς τὴν πίστιν μὲν τὴν ὑγιῆ προσποιουμένους ὁμολογεῖν, ἀποσχίσαντας(1) δὲ, καὶ ἀντισυνάγοντας(2) τοῖς κανονικοῖς ἡμῶν(3) ἐπισκόποις. Ἔπειτα δὲ, καὶ εἴ τινες τῶν(4) ἀπὸ τῆς ἐκκλησίας ἐπὶ αἰτίαις τισὶ προκατεγνωσμένοι εἶεν καὶ ἀποβεβλημένοι, ἢ ἀκοινώνητοι, εἴτε ἀπὸ κλήρου, εἴτε ἀπὸ λαϊκοῦ τάγματος, μηδὲ τούτοις ἐξεῖναι κατηγορεῖν ἐπισκόπου, πρὶν ἂν τὸ οἰκεῖον ἔγκλημα πρότερον ἀποδύσωνται. Ὁμοίως δὲ καὶ τοὺς ὑπὸ κατηγορίαν προλαβοῦσαν ὄντας, μὴ πρότερον εἶναι δεκτοὺς εἰς ἐπισκόπου κατηγορίαν, ἢ ἑτέρων κληρικῶν, πρὶν ἂν ἀθώους ἑαυτοὺς τῶν ἐπαχθέντων αὐτοῖς ἀποδείξωσιν ἐγκλημάτων. Εἰ μέντοι τινὲς μήτε αἱρετικοὶ, μήτε ἀκοινώνητοι εἶεν, μήτε κατεγνωσμένοι (5), ἢ προκατηγορημένοι ἐπί τισι πλημμελήμασι, λέγοιεν δὲ ἔχειν τινὰ ἐκκλησιαστικὴν κατὰ τοῦ ἐπισκόπου κατηγορίαν (6), τούτους κελεύει ἡ ἁγία σύνοδος, πρῶτον μὲν ἐπὶ τῶν τῆς ἐπαρχίας πάντων ἐπισκόπων ἐνίστασθαι τὰς κατηγορίας, καὶ ἐπ' αὐτῶν ἐλέγχειν τὰ ἐγκλήματα τοῦ ἐν αἰτίαις τισὶν ἐπισκόπου· εἰ δὲ συμβαίη ἀδυνατῆσαι τοὺς ἐπαρχιώτας πρὸς διόρθωσιν τῶν ἐπιφερομένων ἐγκλημάτων τῷ ἐπισκόπῳ, τότε αὐτοὺς προσιέναι μείζονι συνόδῳ, τῶν τῆς διοικήσεως ἐκείνης ἐπισκόπων ὑπὲρ τῆς αἰτίας ταύτης συγκαλουμένων· καὶ μὴ πρότερον ἐνίςασθαι τὴν κατηγορίαν, πρὶν ἢ ἐγγράφως αὐτοὺς τὸν ἶσον αὐτοῖς ἐπιτιμήσασθαι κίνδυνον, εἴπερ ἐν τῇ τῶν πραγμάτων ἐξετάσει(7) συκοφαντοῦν-

---

(1) ἀποσχισθέντας Βευερ. — (2) ἀντισυναγαγόντας Βρ. — (3) Π. Χ. Τρ. Βρ. Σ. Ῥ. — ὑμῖν Ἰουστ. — (4) τούτων Βρ.—καὶ τοὺ; Βρ. Βευερ. Χ. Τρ. — (5) Π. Σ. Ῥ. Βευερ.—προκατεγνωσμένοι Χ. Τρ. Βρ. — (6) τινὰς ἐκκλησιαστικὰς κατὰ τοῦ ἐπισκόπου κατηγορίας Βευερ. — (7) Χ. Τρ. Σ. Ῥ. Μόσχ. ἐν περισελ. — τάξει Π. Βευερ. Ἑ. Κ.

τες τὸν κατηγορούμενον ἐπίσκοπον ἐλεγχθεῖεν. Εἰ δέ τις καταφρονήσας τῶν κατὰ τὰ προδηλωθέντα δεδογμένων, τολμήσειεν ἢ βασιλικὰς ἐνοχλεῖν ἀκοάς, ἢ κοσμικῶν ἀρχόντων δικαστήρια, ἢ οἰκουμενικὴν σύνοδον ταράσσειν, πάντας ἀτιμάσας τοὺς τῆς διοικήσεως ἐπισκόπους, τὸν τοιοῦτον τὸ παράπαν (1) εἰς κατηγορίαν μὴ εἶναι δεκτόν, ὡς καθυβρίσαντα τοὺς κανόνας, καὶ τὴν ἐκκλησιαστικὴν λυμηνάμενον εὐταξίαν.

—

ΖΩΝΑΡ. Ἐνταῦθα διατάττονται οἱ θεῖοι Πατέρες, τίνας δεῖ προσδέχεσθαι ἐπισκόπων ἢ κληρικῶν κατηγοροῦντας, καὶ τίνας ἀπροσδέκτους εἶναι. Καί φασιν, ὅτι εἰ μὲν ἰδιωτικὴν δίκην ἐνίστησί τις κατὰ ἐπισκόπου, οἷον ἀδικίαν ἐπεγκαλῶν αὐτῷ, ἀφαίρεσιν δῆθεν πράγματος ἀκινήτου, ἢ κινητοῦ, ἢ ὕβριν, ἤ τι τοιοῦτον, οἷος ἂν εἴη ὁ ἐνάγων, προσδεχθήσεται, κἂν ἄπιστος δηλαδή, κἂν αἱρετικὸς, κἂν ἀφωρισμένος, ἢ καὶ τέλεον τῆς καθολικῆς ἐκκλησίας ἐκκεκομμένος. Δεῖ γὰρ πάντας, ὁποίας ἂν εἶεν θρησκείας, ἢ καταστάσεως, ἀδικεῖσθαι λέγοντας, προσίεσθαι, καὶ τοῦ δικαίου τυγχάνειν. Ἰδιωτικὴν δὲ δίκην εἶπον, διαστέλλοντες ταύτην ἀπὸ τῶν ἐγκληματικῶν *ἤτοι τῶν δημοσίων*(2)· ἰδιωτικαὶ μὲν γὰρ λέγονται, αἱ εἰς χρήματα τὴν ζημίαν ἐπάγουσαι· ἐγκληματικαὶ δὲ, αἱ εἰς τὴν οἰκείαν κατάστασιν τὸν κατηγορούμενον ζημιοῦσαι· διὸ καὶ ἐπήγαγον· Εἰ δὲ ἐκκλησιαστικὸν εἴη τὸ ἐπιφερόμενον ἔγκλημα τῷ ἐπισκόπῳ, τοιοῦτον τυχὸν, οἷον ἔκπτωσιν αὐτῷ τῆς ἱερωσύνης ἐπάγειν, ἱεροσυλία δηλαδή, ἢ ἐπὶ δόσει χρημάτων χειροτονία, ἢ ἀρχιερατικοῦ δικαίου τινὸς τελεσιουργία ἐν ἀλλοτρίᾳ ἐνορίᾳ, χωρὶς γνώμης τοῦ ἐκεῖσε ἀρχιερέως, καὶ ὅσα τούτοις εἰσὶν ὅμοια, τότε τὸν κατήγορον ἀκριβῶς ἐξετάζεσθαι, καὶ αἱρετικὸν ὄντα, μὴ προσδέχεσθαι. Αἱρετικοὺς δὲ πάντας καλεῖ τοὺς παρὰ τὴν ὀρθόδοξον πίστιν δοξάζοντας, κἂν πάλαι ἀπεκηρύχθησαν, κἂν προσφάτως, κἂν παλαιαῖς αἱρέσεσι κοινωνῶσι, κἂν νέαις· καὶ οὐ μόνον τοὺς περὶ τὴν ὑγιῆ πίστιν σφαλλομένους ἀποπέμπεται ὁ κανὼν πρὸς ἐπισκόπων ἐγκλη-

(1) Χ. Τρ. Βρ. — τὸ πάμπαν Βευερ. — (2) Χ. Τρ.

ματικὴν κατηγορίαν, ἀλλὰ καὶ τοὺς ἀποσχίσαντας ἐκ τῶν ἰδίων ἐπισκόπων, καὶ ἐκείνοις ἀντισυνάγοντας, κἂν δοκῶσιν ὀρθοδοξεῖν. Σχισματικοὶ δέ εἰσι κατὰ τὸν μέγαν Βασίλειον, οἱ δι' αἰτίας τινὰς ἐκκλησιαστικὰς, καὶ ζητήματα ἰάσιμα, πρὸς ἀλλήλους διενεχθέντες· ὁμοίως δὲ καὶ τοὺς ἐπὶ αἰτίαις οἵαις δή τισι ἀποβεβλημένους τῆς ἐκκλησίας, ἢ ἀκοινωνήτους· ἀποβεβλημένους δὲ τοὺς τελείως ἐκκεκομμένους τῆς ἐκκλησίας νοητέον. Τοὺς δὲ πρὸς καιρὸν ἀφορισθέντας ἐδήλωσαν οἱ θεῖοι Πατέρες διὰ τοῦ εἰπεῖν ἀκοινωνήτους, κἂν κληρικοὶ εἶεν οἱ τοιοῦτοι, κἂν λαϊκοί· καὶ οὗτοι γὰρ οὐ προσδεκτέοι πρὸς κατηγορίαν ἐπισκόπων, ἢ κληρικῶν λογίζονται, μέχρις ἂν τὸ οἰκεῖον αἰτίαμα ἀποσκευάσωνται, καὶ ἀνεγκλήτους καταστήσωσιν ἑαυτούς. Ἀλλὰ μὴν καὶ τοὺς ὑπὸ κατηγορίαν ὄντας τινὰ, καθαπτομένην τῆς αὐτῶν καταστάσεως, μὴ προσίεσθαι διακελεύεται ὁ κανὼν κατηγοροῦντας ἐπισκόπων, ἢ κληρικῶν, εἰ μὴ ἑαυτοὺς τῶν ἐπενεχθέντων αὐτοῖς ἐγκλημάτων ἀθωώσουσιν. Εἰ δὲ οὐδεμιᾷ τῶν εἰρημένων αἰτιῶν ἔνοχοί εἰσιν οἱ κατηγοροῦντες, ἀλλ' ἀνέγκλητοι εὑρίσκοιντο πάντοθεν, τότε εἰ μὲν ἐπίσκοπος ὁ κατηγορούμενος εἴη, οἱ τῆς ἐπαρχίας ἐκείνης ἐπίσκοποι συνιόντες, ἀκροάσονται τῆς κατηγορίας, καὶ ἢ λύσουσι τὴν ὑπόθεσιν, ἢ, εἰ μὴ δύνανται λῦσαι αὐτὴν, μείζονι συνόδῳ προσελεύσονται· μείζονα δὲ σύνοδον λέγει τοὺς τῆς διοικήσεως ὅλης ἐπισκόπους. Ἐπαρχίαν μὲν γὰρ τυχὸν νοητέον τὴν Ἀδριανούπολιν, ἢ τὴν Φιλιππούπολιν, καὶ τοὺς περὶ αὐτὰς ἐπισκόπους· διοίκησιν δὲ, τὴν Θρᾴκην (1) ὅλην, ἢ τὴν Μακεδονίαν. Ὅταν οὖν οἱ τῆς ἐπαρχίας πρὸς διόρθωσιν τῶν κατηγορουμένων (2) ἀτονῶσι, τότε συνάγεσθαι τοὺς τῆς διοικήσεως ἐπισκόπους ὁ κανὼν θεσπίζει, καὶ λύειν τὰ κατὰ τοῦ ἐπισκόπου λεγόμενα. Εἰ δὲ κληρικὸς εἴη ὁ κατηγορούμενος, παρὰ τῷ ἐπισκόπῳ, ᾧ ὑπόκειται, ὁ ἐνάγων ἐνστήσεται τὴν κατηγορίαν· καὶ εἰ μὴ παρ' ἐκείνῳ λυθῇ ἡ ὑπόθεσις, τότε τὰ ἑξῆς προβήσεται, ὡς ἄνωθεν εἴρηται. Οὐ πρότερον δὲ τὸν ἐνάγοντα τὴν κατηγορίαν τοῦ ἐγκλήματος ἐνιστᾷν, οἱ ἱεροὶ Πατέρες ὡρίσαντο, τῷ πολιτικῷ νόμῳ ἑπόμενοι, εἰ μὴ ἐγγράφως ὁ κατήγορος ἀσφα-

(1) τὴν Ἡράκλειαν Χ. Τρ. — (2) Βευερ. — τῶν κατηγοριῶν Χ. Τρ.

λίσεται, ἔνοχον εἶναι αὐτὸν, μὴ ἀποδείξαντα τὴν κατηγορίαν, ταυτοπαθείᾳ, ὥστε αὐτὸν ὑποστῆναι, εἴ τι ἔμελλε παθεῖν ὁ κατηγορούμενος, ἀποδεικνυμένης τῆς κατ᾽ αὐτοῦ αἰτιάσεως. Ταῦτα δὲ ὁρίσαντες οἱ θεῖοι Πατέρες, ἐπήγαγον, τὸν μὴ τηρήσοντα τὸν συνοδικὸν τοῦτον κανόνα, ἀλλ᾽ ἢ βασιλεῖ προσελευσόμενον, ἢ κοσμικοῖς ἄρχουσιν, ἢ οἰκουμενικῇ συνόδῳ, ἄδεκτον εἶναι παντάπασιν εἰς κατηγορίαν, ὡς ἀτιμάσαντα τοὺς τῆς διοικήσεως ἐπισκόπους, καὶ τοὺς κανόνας ὑβρίσαντα, καὶ τὴν τῆς ἐκκλησίας εὐταξίαν συγχέαντα.

ΒΑΛΣ. Σημείωσαι τὸν παρόντα κανόνα, χάριν τῶν ἐνιστάντων ἐγκληματικὰ δικαστήρια κατὰ τῶν ἐπισκόπων, καὶ λοιπῶν ἱερωμένων. Ἀνάγνωθι καὶ τὸν ρκθ'. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ τοὺς εἰς τὴν ἑρμηνείαν αὐτοῦ καταστρωθέντας νόμους· καὶ μάθοις ἐκ τοῦ παρόντος κανόνος, καὶ ἐξ ἐκείνων, τίνες κωλύονται γυμνάζειν κατὰ τῶν ἱερωμένων ἐγκληματικὰς ἀγωγάς(1).

Οὐκ ἐπαύσατο ποτὲ ὁ πολέμιος ἡμῶν Σατὰν διὰ συκοφαντίας μολύνων τὰς ὑπολήψεις τῶν ἀγαθῶν ἀνθρώπων, καὶ μᾶλλον τῶν ἐπισκόπων· καὶ διὰ τοῦτο ὥρισαν οἱ Πατέρες, πάντα ἄνθρωπον ἔντιμον, καὶ ἄτιμον, πιστὸν, καὶ ἄπιστον, ἰδιωτικὴν μὲν ὑπόθεσιν, τουτέστι χρηματικὴν, κατὰ ἐπισκόπου ἔχοντα, προσδέχεσθαι καὶ δικάζεσθαι παρὰ τῷ προσφόρῳ δικαστηρίῳ· χάριν δὲ ἐγκληματικῆς ὑποθέσεως, ἢ ἐκκλησιαστικοῦ οἱουδήτινος ζητήματος, καθαίρεσιν, ἢ καὶ ἐπιτίμιον ἐπάγοντος τῷ ἐπισκόπῳ, μὴ ἄλλως τοῦτον ἕλκεσθαι, εἰ μὴ πρότερον ἐξετασθῇ τὸ πρόσωπον τοῦ κατηγόρου. Τοῖς γὰρ αἱρετικοῖς οὐδόλως ἐνεδόθη κατηγορεῖν ἐπισκόπου. Οἱ δὲ ἀφωρισμένοι, ἢ καὶ προκατηγορηθέντες ὁπωσδήποτε, οὐ δύνανται κατὰ ἐπισκόπου, ἢ κληρικοῦ κατηγορίαν εἰσάγειν, εἰ μὴ ἑαυτοὺς ἀθωώσωσι τῆς κατηγορίας. Καὶ τοῦ κατηγόρου δὲ τοιούτου ὄντος, οὐχ ἁπλῶς καὶ ὡς ἔτυχε θέλει ὁ κανὼν τὸν κληρικὸν, ἢ τὸν ἐπίσκοπον ἕλκεσθαι, ἀλλὰ μετὰ πάσης νομικῆς παρατηρήσεως, καὶ διὰ ἐγγραφῆς, ἤτοι διὰ καταθέσεως τοῦ κατηγόρου, καθυποβαλλούσης τοῦτον τῇ ταυτο-

(1) Ἅπασα ἡ Σημείωσις οὐ κεῖται ἐν Χ. Τρ.

παθείᾳ, εἰ μὴ τὸ εἰσαγόμενον παρ' αὐτοῦ ἔγκλημα ἀποδείξει. Ἀλλὰ καὶ τὴν κατηγορίαν τοῦ ἐπισκόπου, ἢ τοῦ κληρικοῦ, πρῶτον παρὰ τῷ μητροπολίτῃ γίνεσθαι· εἰ δὲ οὐ δυνηθῇ ἡ ἐγχώριος σύνοδος λῦσαι τὴν ὑπόθεσιν, τότε, φησὶν, ἀκροάσεται ταύτης μείζων σύνοδος. Τὸν δὲ παρὰ ταῦτα ποιοῦντα, καὶ ἢ βασιλεῖ προσερχόμενον, ἢ κοσμικοῖς ἄρχουσιν, ἢ οἰκουμενικῇ συνόδῳ, ἀπαράδεκτον εἰς κατηγορίαν εἶναι, ὡς ὑβριστὴν τῶν κανόνων, καὶ τῆς ἐκκλησιαστικῆς εὐταξίας λυμεῶνα. Ἰδιωτικὰς δὲ ὠνόμασεν ὁ κανὼν τὰς χρηματικὰς ὑποθέσεις, πρὸς ἀντιδιαστολὴν τῶν ἐγκληματικῶν, αἵτινες δημόσιαι λέγονται, ὡς κινούμεναι παρὰ παντὸς τῶν τοῦ δήμου, ὅπερ ἐπὶ τῶν χρηματικῶν ἀγωγῶν οὐκ ἔστι· μόνος γὰρ ὁ ἔχων τὸ διαφέρον ταύτας κινεῖ. Ἀκούων δὲ τοῦ παρόντος κανόνος, λέγοντος αἱρετικοὺς, καὶ τοὺς τὴν πίστιν μὲν τὴν ὑγιῆ προσποιουμένους ὁμολογεῖν, ἀποσχίσαντας δὲ καὶ ἀντισυναγαγόντας τοῖς κανονικοῖς ἡμῶν ἐπισκόποις, μὴ ἐναντιωθῇς τῷ 6'. κανόνι τοῦ μεγάλου Βασιλείου, μὴ ὀνομάζοντι αἱρετικοὺς τοὺς σχισματικούς· ἀλλ' εἰπὲ, ἐκείνους τοὺς σχισματικοὺς ὀνομάζεσθαι ὑπὸ τοῦ παρόντος κανόνος αἱρετικοὺς, τοὺς ἀλλοτριόφρονας, καὶ κατὰ προσποίησιν μὲν ὀρθοδοξοῦντας, κατὰ ἀλήθειαν δὲ ὄντας αἱρετικούς. Τὸν δὲ κανόνα τοῦ ἁγίου Βασιλείου, περὶ ἑτέρων σχισματικῶν διδάσκειν, τῶν ὄντων μὲν ὀρθοδόξων τῇ ἀληθείᾳ, διά δέ τινα πρόφασιν ἐκκλησιαστικοῦ ζητήματος, ἀποσχισάντων ἑαυτοὺς, κατὰ ἀλαζονείαν, ἀπὸ τῆς ὁλότητος τῶν ἀδελφῶν· καὶ ἀνάγνωθι τὸν ῥηθέντα κανόνα τοῦ ἁγίου Πατρός. Ἀπὸ μέντοι τοῦ τελευταίου ῥητοῦ τοῦ παρόντος κανόνος, τοῦ λέγοντος, ἀπαράδεκτον εἰς κατηγορίαν εἶναι τὸν παρὰ τὸν κανόνα ποιοῦντα, ὡς ὑβριστὴν τῶν κανόνων, ἐπεχείρησαν εἰπεῖν τινες, καὶ ἀτιμίᾳ τοῦτον καθυποβάλλεσθαι. Ἐμοὶ δὲ δοκεῖ, ἀπὸ τούτου μὴ γενέσθαι, τὸν οὕτως ἀσυντάκτως ἐναγαγόντα, ἔνοχον τῇ περὶ ὕβρεως ἀγωγῇ, ὥστε ἀτιμωθῆναι, καὶ ἀκολούθως καθαιρεθῆναι, διὰ τὸν κανόνα τὸν λέγοντα· Τὸ φανερὸν βλάπτει, τὸ ἐκτετυπωμένον οὐ βλάπτει· ἄλλως δέ πως τιμωρηθήσεται κατὰ τὸ δοκοῦν τῷ δικάζοντι. Ἐπισκόπου δέ τινος ἑλκυσθέντος χάριν ἐγκληματικῆς ὑποθέσεως εἰς τὴν ἐν Κωνσταντινουπόλει ἁγίαν σύ-

νοδον, καὶ ζητήσαντος τὴν κρίσιν τοῦ μητροπολίτου αὐτοῦ, καὶ (1) τῆς οἰκείας συνόδου, κατὰ τὸν παρόντα κανόνα, εἶπόν τινες, ὡς, ἐπεὶ ὁ μητροπολίτης παρουσιάζων, θέλει τὸν ἐπίσκοπον αὐτοῦ παρὰ τῇ μεγάλῃ συνόδῳ κριθῆναι, καλῶς παρὰ ταύτῃ κριθήσεται. Ἀντέθεντο δ' ἕτεροι, μὴ κεῖσθαι τὴν κρίσιν τούτου παρὰ τῇ ἐξουσίᾳ τοῦ μητροπολίτου, ἀλλὰ *παρὰ*(2) τῇ κατ' αὐτὸν συνόδῳ. Ἔχειν δὲ καὶ μέγα διαφέρον τὸν ἐπίσκοπον, εἰς τὴν οἰκείαν δικάζεσθαι σύνοδον, καὶ μὴ σκύλλεσθαι εἰς ἑτέραν σύνοδον· καὶ διὰ τοῦτο μηδὲ χώραν ἔχειν τὴν τοῦ μητροπολίτου καταδοχήν. Ἔτι εἶπόν τινες περὶ οἰκουμενικῆς συνόδου τὸν κανόνα διαλέγεσθαι· τὴν δὲ ἐν Κωνσταντινουπόλει μεγάλην σύνοδον μὴ εἶναι οἰκουμενικὴν, καὶ διὰ τοῦτο μηδὲ *τὰ τοῦ κανόνος*(3) χώραν ἔχειν ἐπὶ τῇ παρούσῃ ὑποθέσει. Ἐμοὶ δὲ δοκεῖ, ὅτι ἡ ἐν Κωνσταντινουπόλει σύνοδος, κἂν οἰκουμενικὴ σύνοδος οὐκ ἔστιν, ὡς μὴ παρουσιαζόντων καὶ τῶν ἄλλων πατριαρχῶν, ἀλλὰ μείζων ἐστὶ πασῶν τῶν συνόδων, καὶ ὁ ἀρχιεπίσκοπος ταύτης οἰκουμενικὸς πατριάρχης καλεῖται· καὶ τὸ διαφέρον δὲ, οὐχ ὁ μητροπολίτης, ἀλλ' ὁ ἐπίσκοπος ἔχει, ἢ ὁ ἑλκυσθεὶς κληρικός. Διὸ οὐδὲ βλαβήσεταί τις ἐξ αὐτῶν ἐκ τῆς τοῦ μητροπολίτου καταδοχῆς, διὰ τὸν νόμον τὸν λέγοντα· Τὰ παρ' ἑτέρων γινόμενα ἑτέρους οὐδὲ ὠφελοῦσιν, οὐδὲ βλάπτουσιν.

ΑΡΙΣΤ. Καὶ ὁ κακόδοξος πλεονεκτούμενος ἐγκαλείτω κατ' ἐπισκόπου. Εἰ δὲ ἐκκλησιαστικὸν εἴη τὸ ἔγκλημα, μὴ λεγέτω· μὴ λεγέτω δὲ μηδ' ἄλλος, εἰ προκατέγνωσται· μὴ λεγέτω καὶ ὁ ἀκοινώνητος, ἢ ἀπόβλητος, ἢ κατηγορούμενος ἔν τισιν, ἕως ἀποδύσωνται τὰ οἰκεῖα. Κατηγορείτω δὲ ὁ ὀρθόδοξος, ὁ κοινωνικὸς, ὁ ἀκατάγνωστος, ὁ ἀκατηγόρητος· καὶ κινείσθω τοῖς ἐπαρχιώταις τὸ ἔγκλημα· εἰ δὲ ἀδυνατοῖεν, πρὸς μείζονα τρεπέσθωσαν σύνοδον, καὶ δίχα ἐγγραφῆς τῆς ταὐτοπαθείας, μὴ ἀκουέσθωσαν. Ὁ δὲ παρὰ ταῦτα τῷ βασιλεῖ προσιὼν, καὶ ἐνοχλῶν, ἀποκήρυκτος.

---

(1) Χ. Τρ.—ἰχ, Βευερ.—παρὰ Ε. οὐχ εὕρηται ὅλον τὸ μέρος τοῦτο τῆς ἑρμηνείας ἀπὸ τοῦ, ἐπισκόπου δέ τινος, μέχρι τοῦ τέλους τῆς ἑρμηνείας τοῦ Βαλσ. — (2) Χ. Τρ. — οὐχ εὕρηται ἡ παρὰ, παρὰ Βευερ. — (3) Χ. Τρ.—οὐχ εὕρηται παρὰ Βευερ.

Δεῖ τὰ πρόσωπα τῶν κατηγορούντων ἐπισκόπων, ἢ κληρικῶν, ἐξετάζειν, μή ποτε αἱρετικός ἐστιν οὗτος, ἢ κατεγνωσμένος, καὶ ἀποβεβλημένος, καὶ ἀκοινώνητος, ἢ παρ' ἑτέρων κατηγορούμενος ἐπ' ἐγκλήμασι, καὶ μήπω φανεὶς ἀθῶος τῆς αἰτιάσεως. Καὶ εἰ τοιοῦτοι οἱ κατηγοροῦντες εἶεν, μὴ παραδέχεσθαι αὐτοὺς εἰς αἰτίασιν· εἰ δ' ὀρθόδοξός ἐςι, καὶ τὸν βίον ἀνεπίληπτος, καὶ κοινωνικὸς, ὁ τὴν ἐκκλησιαστικὴν μέμψιν ἐπιφέρων τῷ ἐπισκόπῳ, παραδεχέσθω, καὶ κινείτω παρὰ τοῖς ἐπαρχιώταις ἐπισκόποις τὸ ἔγκλημα. Εἰ δ' ἐκεῖνοι ἴσως ἀδυνατίσουσι πρὸς διόρθωσιν τῶν ἐπιφερομένων ἐγκλημάτων τῷ ἐπισκόπῳ, τότε καὶ μείζονι ὁ κατήγορος προσερχέσθω συνόδῳ, καὶ διδότω πρότερον ἐγγραφὰς, ὡς τὴν ταὐτοπάθειαν ὑποστήσεται, εἰ συκοφαντῶν ἐλεγχθῇ· καὶ οὕτω συνιστάτω τὴν κατηγορίαν. Ὁ δὲ παρὰ ταῦτα ποιῶν, καὶ τῷ βασιλεῖ δὶ ὄχλου γινόμενος, καὶ κατηγορῶν ἐπισκόπου, ἢ κοσμικῶν ἀρχόντων δικαστηρίοις περὶ τούτου προσερχόμενος, ἄδεκτος εἰς κατηγορίαν. Αἱρετικὸς δὲ, ἀδικηθεὶς παρ' ἐπισκόπου, οὐ κωλυθήσεται ἐγκαλεῖν κατ' αὐτοῦ.

Κανὼν Ζ'.

Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ, καὶ τῇ μερίδι τῶν σωζομένων, ἀπὸ αἱρετικῶν, δεχόμεθα κατὰ τὴν ὑποτεταγμένην ἀκολουθίαν, καὶ συνήθειαν. Ἀρειανοὺς μὲν, καὶ Μακεδονιανοὺς, καὶ Σαββατιανοὺς, καὶ Ναυατιανοὺς, τοὺς λέγοντας ἑαυτοὺς Καθαροὺς καὶ Ἀριστεροὺς(1), καὶ τοὺς Τεσσαρεσκαιδεκατίτας, εἴτουν Τετραδίτας, καὶ Ἀπολλιναριστὰς, δεχόμεθα διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν, μὴ φρονοῦσαν, ὡς φρονεῖ ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία, καὶ σφραγιζομένους, ἤτοι χριομένους(2), πρῶτον τῷ ἁγίῳ μύρῳ τό τε μέτωπον, καὶ τοὺς ὀφθαλμοὺς, καὶ τὰς ῥίνας, καὶ τὸ στόμα, καὶ τὰ ὦτα· καὶ σφραγίζοντες αὐτοὺς, λέγομεν· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Εὐνομιανοὺς μέντοι τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομέ-

(1) ἀρίστους Ἰουστ. — (2) Χ. Τρ. Βευερ. Βρ. Σ. Ρ. — οὐ κεῖται ἐν Π. τὸ ἤτοι χιρομένους.

νους, καὶ Μοντανιστὰς, τοὺς ἐνταῦθα λεγομένους Φρύγας, καὶ Σαβελλιανοὺς, τοὺς υἱοπατορίαν διδάσκοντας, καὶ ἕτερά τινα χαλεπὰ ποιοῦντας, καὶ τὰς ἄλλας πάσας αἱρέσεις· (ἐπειδὴ πολλοί εἰσιν ἐνταῦθα, μάλιστα οἱ ἀπὸ τῆς Γαλατῶν χώρας ὁρμώμενοι)(1), πάντας τοὺς ἀπ᾽αὐτῶν θέλοντας προστίθεσθαι τῇ ὀρθοδοξίᾳ, ὡς Ἕλληνας δεχόμεθα· καὶ τὴν πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς Χριστιανοὺς, τὴν δὲ δευτέραν κατηχουμένους· εἶτα τῇ τρίτῃ ἐξορκίζομεν αὐτοὺς, μετὰ τοῦ ἐμφυσᾷν τρίτον εἰς τὸ πρόσωπον, καὶ εἰς τὰ ὦτα (2), καὶ οὕτω κατηχοῦμεν αὐτοὺς (3), καὶ ποιοῦμεν χρονίζειν εἰς τὴν ἐκκλησίαν, καὶ ἀκροᾶσθαι τῶν γραφῶν, καὶ τότε αὐτοὺς βαπτίζομεν.

ΖΩΝΑΡ. Ὅπως χρὴ δέχεσθαι τοὺς ἐξ αἱρέσεων προσερχομένους τῇ ὀρθῇ πίστει, ὁ παρὼν διδάσκει κανών. Τοὺς μὲν οὖν τούτων, οὐκ ἀναβαπτίζεσθαι διατάττεται, ἀλλὰ λιβέλλους ἀπαιτεῖσθαι, ἔγγραφα δηλονότι, τὰς δόξας αὐτῶν ἀναθεματίζοντα, καὶ στηλιτεύοντα τὴν κακοδοξίαν αὐτῶν, καὶ πᾶσαν αἵρεσιν ἀναθέματι ὑποβάλλοντα. Εἰσὶ δὲ οὗτοι Ἀρειανοὶ, καὶ Μακεδονιανοὶ, καὶ Ναυατιανοὶ, οἱ ἑαυτοὺς Καθαροὺς ὀνομάζοντες, ὧν τὰς αἱρέσεις προδεδηλώκαμεν, καὶ Σαββατιανοὶ, ὧν ἡγήσατο Σαββάτιός τις, πρεσβύτερος τῆς αἱρέσεως τοῦ Ναυάτου κἀκεῖνος ὤν, ἔχων δέ τι καὶ πλέον ἐκείνου, καὶ τὸν καθηγητὴν τῆς αἱρέσεως εἰς κακίαν νικῶν, καὶ τοῖς Ἰουδαίοις συνεορτάζων, καὶ Τεσσαρεσκαιδεκατῖται, οἳ τὸ Πάσχα ἑορτάζουσιν οὐκ ἐν Κυριακῇ, ἀλλ᾽ ὅτε τεσσαρεσκαιδεκαταία ἡ σελήνη γένηται, ἐν οἵᾳ ἂν ἡμέρᾳ τύχῃ ταύτην πλήρη γενέσθαι· ἑορτάζουσι δὲ νηστεύοντες τότε, καὶ ἀγρυπνοῦντες, καὶ Ἀπολλιναρισταί· οὐκ ἀναβαπτίζονται οὖν οὗτοι, ὅτι περὶ τὸ ἅγιον βάπτισμα κατ᾽ οὐδὲν ἡμῖν διαφέρονται, ἀλλ᾽ ἐπίσης τοῖς ὀρθοδόξοις βαπτίζονται. Ἀναθεματίζοντες οὖν ἕκαστος τὴν οἰκείαν αἵρεσιν ἰδικῶς, καὶ

---

(1) ἐρχόμενοι Μάνσ. ἐν περισελ. Βρ. — (2) αὐτῶν, Βρ. — (3) τὸ, αὐτοὺς οὐ κεῖται παρὰ Ἰουστ.

πᾶσαν δὲ κοινῶς αἵρεσιν, χρίονται τῷ ἁγίῳ μύρῳ, καὶ τὰ ἄλλα τελοῦνται κατὰ τὸν κανόνα. Οἱ δὲ Εὐνομιανοὶ, καὶ Σαβελλιανοὶ, ὧν αἱ αἱρέσεις ἤδη παρ' ἡμῶν ἐδηλώθησαν, καὶ Μοντανισταὶ, οἱ ἀπὸ Μοντανοῦ τινος τὴν ἐπίκλησιν ἔσχον· καὶ Φρύγες δὲ ὠνομάζοντο, ἢ τοῦ αἱρεσιάρχου αὐτῶν Φρυγὸς ὄντος, ἢ τὴν ἀρχὴν ἐκ Φρυγίας ἀναφανείσης τῆς τοιαύτης αἱρέσεως, καὶ πολλῶν ἐν αὐτῇ πλανηθέντων. Ὁ Μοντανὸς οὖν ἐκεῖνος παράκλητον ἑαυτὸν προσηγόρευε, καὶ δύο γυναῖκας ἑπομένας ἔχων αὐτῷ, Πρίσκιλλαν, καὶ Μαξιμίλλαν, προφήτιδας αὐτὰς ἐκάλει· καὶ Πεπουζιανοὶ δὲ οἱ τοιοῦτοι προσηγορεύοντο, Πέπουζάν τινα, τῆς Φρυγίας κώμην ἐκθειάζοντες, καὶ Ἱερουσαλὴμ αὐτὴν ὀνομάζοντες· οἵ καὶ τοὺς γάμους λύειν ἐπέτρεπον, καὶ βρωμάτων ἀπέχεσθαι ἐδίδασκον, καὶ τὸ Πάσχα διέστρεφον, καὶ εἰς ἓν πρόσωπον τὴν ἁγίαν Τριάδα συνῄρουν καὶ συνέχεον· καὶ αἷμα παιδὸς κατακεντουμένου, ἀλεύρῳ συμφύροντες, καὶ ἀρτοποιοῦντες, προσέφερον, καὶ ἐξ αὐτοῦ μετελάμβανον. Τούτους τοίνυν, καὶ τοὺς ἄλλους πάντας αἱρετικοὺς βαπτίζεσθαι, οἱ ἱεροὶ Πατέρες ἐθέσπισαν· ἢ γὰρ οὐκ ἔτυχον τοῦ θείου βαπτίσματος, ἢ τυχόντες οὐκ ὀρθῶς, οὐδὲ κατὰ τὸν τύπον τῆς ὀρθοδόξου ἐκκλησίας αὐτοῦ ἔτυχον· διὸ καὶ ὡς μηδὲ τὴν ἀρχὴν βαπτισθέντας αὐτοὺς λογίζονται. Τοῦτο γὰρ δηλοῖ τὸ, ὡς Ἕλληνας αὐτοὺς δεχόμεθα. Ἑξῆς δὲ καταλέγει ὁ κανὼν τὰ ἐπ' αὐτοῖς τελούμενα, καὶ ὅπως πρότερον κατηχοῦνται, καὶ τὸ καθ' ἡμᾶς μυοῦνται θεῖον μυστήριον, εἶτα βαπτίζονται.

ΒΑΛΣ. Εἰς δύο διαιρεῖ ὁ κανὼν τοὺς αἱρετικοὺς, τοὺς προσερχομένους τῇ ἐκκλησίᾳ· καὶ τοὺς μέν φησι διὰ μύρου χρίεσθαι, ἀναθεματίζοντας πρῶτον πᾶσαν αἵρεσιν, καὶ ὁμολογοῦντας πιστεύειν, ὡς ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία φρονεῖ· τοὺς δὲ διορίζεται ἐξ ὀρθοῦ βαπτίζεσθαι. Καὶ τοὺς μὲν, μόνῳ μύρῳ χρίεσθαι ὀφείλοντας, εἶπεν εἶναι Ἀρειανοὺς, Μακεδονιανοὺς, Ἀπολλιναριστὰς, καὶ Ναυατιανοὺς, τοὺς καὶ Καθαροὺς λεγομένους, ὧν τὰς αἱρέσεις παρεδηλώσαμεν ἐν τῷ πρώτῳ κανόνι τῆς παρούσης δευτέρας συνόδου. Οἱ Ναυατιανοὶ δὲ ἐκλήθησαν καὶ Σαββατιανοὶ, ἀπὸ πρεσβυτέρου τινὸς Σαββατίου, κατὰ τοὺς

Ἰουδαίους σαββατίζοντος· καλοῦνται δὲ οἱ αὐτοὶ καὶ Ἀριστεροὶ, ὡς τὴν ἀριστερὰν χεῖρα βδελυττόμενοι, καὶ μὴ ἀνεχόμενοι δι' αὐτῆς τὸ ὁτιοῦν ὑποδέχεσθαι. Τεσσαρεσκαιδεκατῖται δὲ λέγονται, ἤγουν Τετραδῖται, οἵτινες τὸ Πάσχα τελοῦσιν οὐκ ἐν Κυριακῇ, ἀλλ' ὅτε τεσσαρεσκαιδεκαταία ἡ σελήνη γένηται, ἐν ᾗ ἂν ἡμέρᾳ τύχῃ, ὅπερ τῆς Ἰουδαϊκῆς θρησκείας ἐστὶν ἰδιαίτατον· οἱ αὐτοὶ δὲ καὶ Τετραδῖται λέγονται, ὅτι τὸ Πάσχα ἑορτάζοντες, οὐ καταλύουσιν, ἀλλὰ νηστεύουσιν, ὥσπερ ἡμεῖς τὰς τετράδας· ποιοῦσι δὲ τοῦτο κατὰ τοὺς Ἰουδαίους. Οὗτοι γὰρ μετὰ τὸ πασχάσαι, ἐπὶ ὅλας ἑπτὰ ἡμέρας νηστεύουσι, πικρίδας καὶ ἄζυμα ἐσθίοντες, κατὰ τὴν τοῦ παλαιοῦ νόμου διάταξιν. Τοὺς δὲ ἀναβαπτίζεσθαι ὀφείλοντας εἶπεν εἶναι, Εὐνομιανοὺς, τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους, καὶ Μοντανιστὰς, τοὺς οὕτω κληθέντας ἀπὸ Μοντανοῦ τινος, παράκλητον ἑαυτὸν προσαγορεύοντος, καὶ διὰ δύο φαύλων γυναικῶν, τῆς τε Πρισκίλλας, καὶ τῆς Μαξιμίλλας, ψευδοπροφητείας ἀποφοιβάζοντος· πρὸς δὲ καὶ Σαβελλιανοὺς, τοὺς οὕτως ὀνομασθέντας ἀπό τινος Σαβελλίου, λέγοντος μετὰ καὶ (1) ἄλλων φλυαριῶν τινων, τὸν αὐτὸν εἶναι Πατέρα, τὸν αὐτὸν Υἱὸν, τὸν αὐτὸν ἅγιον Πνεῦμα, ὡς εἶναι ἐν μιᾷ ὑποστάσει τρεῖς ὀνομασίας· ὡς ἐν ἀνθρώπῳ σῶμα, καὶ ψυχὴν, καὶ πνεῦμα, ἢ ὡς ἐν ἡλίῳ τρεῖς ἐνεργείας, ἤγουν τὸ τῆς περιφερείας σχῆμα, τὸ φωτιστικὸν, καὶ τὸ θάλπον. Λέγονται δὲ οἱ Μοντανισταὶ Φρύγες, ἢ ἔκ τινος αἱρεσιάρχου Φρυγὸς, ἢ ἀπὸ τοῦ ἐκ Φρυγίας ἀναφανῆναι πρῶτον τὴν τοιαύτην αἵρεσιν. Πρὸς τούτοις καλοῦνται καὶ Πεπουζιανοὶ ἀπό τινος *χώρας*(2) Πεπούζας, τιμωμένης(3) παρ' αὐτῶν κατὰ τὴν Ἱερουσαλήμ. Οἱ δὲ τοιοῦτοι λύουσι τοὺς γάμους, ὡς μυσαρούς· νηστεύουσιν ἀλλόκοτον νηστείαν· τὸ Πάσχα διαστρέφουσιν· εἰς ἓν πρόσωπον τὴν ἁγίαν Τριάδα συναιροῦσι, καὶ συγχέουσι· καὶ αἷμα παιδὸς κατακεντουμένου, ἀλεύρῳ συμφύροντες, καὶ ἀρτοποιοῦντες, προσφέρουσι· καὶ ταῦτα μὲν οὕτως. Ἐὰν δέ τις ὀρθόδοξος Μοντανιστὴς γένηται, ἢ Σαβελλιανὸς, καὶ βάπτισμα αἱρετικῶν δέξηται

(1) Χ. Τρ. — μετὰ τῶν ἄλλων αὐτοῦ φλυαριῶν Ἐ. Βευερ. — (2) Χ. Τρ. Ἐ. — ἀπό τινος Πεπούζας Βευερ. — (3) Χ. Τρ. Ἐ. — καλουμένης Βευερ.

ἢ μὴ δέξηται, ἄρα ὁ τοιοῦτος μύρῳ χρισθήσεται, ἢ ἀναβαπτισθήσεται, ὡς οἱ λοιποὶ Μοντανισταί; Ζήτει περὶ τούτου τῆς ά. συνόδου κανόνα ιθ'. καὶ τῶν ἁγίων Ἀποστόλων κανόνα μζ'. Σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι πάντες οἱ βαπτιζόμενοι εἰς μίαν κατάδυσιν, πάλιν βαπτίζονται.

ΑΡΙΣΤ. Οἱ Τεσσαρεσκαιδεκατῖται, εἴτουν Τετραδῖται, ὁ Ἀρειανίτης, ὁ Ναυατιανὸς, ὁ Μακεδονιανὸς, ὁ Σαββατιανὸς, ὁ Ἀπολλιναριανὸς, μετὰ λιβέλλων ἀπόδεκτοι· χριόμενοι δηλαδὴ πάντα τὰ αἰσθητήρια.


Οὗτοι λιβέλλους διδόντες, καὶ πᾶσαν αἵρεσιν ἀναθεματίζοντες, δέχονται, μόνῳ τῷ ἁγίῳ μύρῳ χριόμενοι, ὀφθαλμοὺς, ῥίνας, ὦτα, στόμα, καὶ μέτωπον· καὶ ἐν τῷ σφραγίζειν αὐτοὺς, λέγομεν· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου.

Κανὼν Η' (1).

ΑΡΙΣΤ. Οἱ καταδύσει μιᾷ βαπτιζόμενοι Εὐνομιανοὶ, Σαβελλιανοὶ, καὶ Φρύγες, ὡς Ἕλληνες δεχέσθωσαν.

Οὗτοι καὶ βαπτίζονται, καὶ χρίονται, ὅτι ὡς Ἕλληνες παραδέχονται· καὶ καιρὸν ἱκανὸν πρὸ τοῦ βαπτίσματος κατηχοῦνται, καὶ τῶν θείων γραφῶν ἀκροῶνται.

(1) Οὕτως εὕρηται παρὰ Βευερ. καὶ Β., ἔστι δὲ μέρος τοῦ Ζ'. κανόνος.



ΚΑΝΟΝΕΣ

ΤΗΣ ΕΝ ΕΦΕΣΩι ΑΓΙΑΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗΣ

ΤΡΙΤΗΣ ΣΥΝΟΔΟΥ.

Η Ἁγία καὶ οἰκουμενικὴ τρίτη σύνοδος γέγονεν ἐπὶ τοῦ βασιλέως Θεοδοσίου τοῦ μικροῦ, ἀθροισθέντων ἐν Ἐφέσῳ διακοσίων Πατέρων, κατὰ Νεστορίου, πατριάρχου Κωνσταντινουπόλεως (1), ὃς ψιλὸν ἄνθρωπον ἔλεγε τὸν Χριστὸν, ἑνωθῆναι δὲ αὐτῷ κατὰ σχέσιν τὸν Υἱὸν τοῦ Θεοῦ ἐδογμάτιζε (2). Διὸ οὐδὲ Θεοτόκον τὴν ἁγίαν παρθένον ἠνείχετο λέγειν, ἀλλὰ Χριστοτόκον, ὃς καὶ καθῃρέθη, καὶ ἀνεθεματίσθη (3) παρὰ τῶν ἁγίων Πατέρων.

Κανὼν Α΄.

Ἐπειδὴ (4) ἐχρῆν καὶ τοὺς ἀπολειφθέντας τῆς ἁγίας συνόδου, καὶ μείναντας κατὰ χώραν ἢ πόλιν (5), διά τινα αἰτίαν, ἢ ἐκκλησιαστικὴν, ἢ σωματικὴν, μὴ ἀγνοῆσαι τὰ ἐν αὐτῇ (6) τετυπωμένα, γνωρίζομεν τῇ ὑμετέρᾳ ἁγιότητι καὶ ἀγάπῃ, ὅτι περ, εἴ τις μητροπολίτης τῆς ἐπαρχίας, ἀποστατήσας τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, προσέθετο τῷ τῆς ἀποστασίας συνεδρίῳ, ἢ μετὰ τοῦτο προστεθείη, ἢ τὰ Κελεστίου ἐφρόνησεν, ἢ φρονήσει, οὗτος κατὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων (7) διαπράττεσθαί τι οὐδαμῶς δύναται, πάσης ἐκκλησιαστικῆς κοινωνίας ἐντεῦθεν ἤδη ὑπὸ τῆς συνόδου ἐκβεβλημένος, καὶ ἀνενέργητος

(1) Οὐχ εὕρηνται ἐν Χ. Τρ. αἱ λέξεις πατριάρχου Κωνσταντινουπόλεως. — (2) Χ. Τρ. — ὃς ψιλὸν ἄνθρωπον ἐδογμάτιζε τὸν Χριστὸν, ἑνωθῆναι δὲ αὐτῷ κατὰ σχέσιν τὸν Υἱὸν τοῦ Θεοῦ. Βευερ. Ἐ. — (3) οὐχ εὕρηται ἐν Χ. Τρ. τὸ, καὶ ἀνεθεματίσθη. — (4) Ἐπειδὴ δὲ ἐχρῆν Ἐ. Βρ. Βευερ. — (5) Π. Βρ. Σ. Ῥ. — οὐχ εὕρηνται αἱ λέξεις, καὶ μείναντας κατὰ χώραν ἢ πόλιν, ἐν Χ. Τρ. Βευερ. Ἐ. Κ. — (6) Βευερ. Χ. Τρ. Ἑ. — τὰ περὶ αὐτῶν Π. Βρ. Σ. Ῥ. Κ. — (7) ἀρχόντων καὶ ἐπισκόπων Μάνσ. ἐν περισελ.

ὑπάρχων. Ἀλλὰ καὶ αὐτοῖς τοῖς τῆς ἐπαρχίας ἐπισκόποις, καὶ τοῖς πέριξ μητροπολίταις, τοῖς τὰ τῆς ὀρθοδοξίας φρονοῦσιν, ὑποκείσεται εἰς τὸ πάντη καὶ τοῦ βαθμοῦ (1) τῆς ἐπισκοπῆς ἐκβληθῆναι.

—

ΖΩΝΑΡ. Τῶν ἱερῶν Πατέρων συναθροισθέντων ἐν Ἐφέσῳ, καὶ συζητήσεως περὶ τῶν παρὰ τοῦ Νεστορίου εἰσαγομένων κακοδόξων γεγονυίας δογμάτων, προϊσταμένου τῶν ὀρθοδόξων Πατέρων τοῦ ἐν ἁγίοις Κυρίλλου, πάπα Ἀλεξανδρείας, ἐπέχοντος δὲ καὶ τὸν τόπον Κελεστίνου, τοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης, συναιρομένου δὲ τῷ ἁγίῳ Κυρίλλῳ καὶ Μέμνονος, ἐπισκόπου Ἐφέσου, κατεδικάσθη ὁ Νεστόριος, πατριάρχης ὢν τῆς Νέας Ῥώμης ταύτης καὶ βασιλίδος τῶν πόλεων, καὶ ψήφῳ τῶν ἱερῶν Πατέρων καθῄρητο. Μετὰ δὲ τρεῖς ἡμέρας ὁ Ἀντιοχείας πατριάρχης Ἰωάννης, ἐπιστὰς σὺν πλείοσιν ἐπισκόποις, ὧν προεξῆρχεν ὁ Κύρου πόλεως Θεοδώρητος, καὶ Ἴβας Ἐδέσσης, λυπηθέντες ὅτι οὐχὶ καὶ τὴν αὐτῶν ἔλευσιν οἱ τῆς συνόδου ἀνέμειναν, τῇ καθαιρέσει τε τοῦ Νεστορίου ἐμέμψαντο, καὶ τὸν ἅγιον Κύριλλον, τόν τε Ἐφέσου Μέμνονα ὑπὸ καθαίρεσιν ἐποιήσαντο. Ὁ μέν τοι Θεοδώρητος καὶ κατὰ τῶν δώδεκα κεφαλαίων, ἃ ὁ μέγας ἐξέθετο Κύριλλος εἰς ἔλεγχον τῆς κακοδοξίας τοῦ Νεστορίου, στηριγμὸν δὲ τῆς ὀρθοδόξου πίστεως, δώδεκα κεφάλαια ἕτερα ἐκδέδωκεν, εἰς ἀνατροπὴν καὶ ἀνασκευὴν ἐκείνων. Καὶ ὁ Ἴβας ὁμοίως ἐπιστολὴν ἐποιήσατο· καὶ μέσον αὐτῶν διαφορὰ μεγάλη γέγονεν, ὡς καὶ καθαιρέσει παρὰ τῶν τῆς συνόδου τοὺς ἀρχιερεῖς ἐκείνους ὑποβληθῆναι, οἷα τοῖς Νεστορίου στοιχήσαντας. Διὰ ταῦτα τοίνυν καὶ ὁ παρὼν κανὼν ἐξετέθη, διδάσκων τοὺς μὴ τῇ συνόδῳ παρουσιάσαντας τῶν ἐπαρχιῶν ἐπισκόπους, τὴν τοῦ Ἀντιοχείας καὶ τῶν ἄλλων συνοδικὴν καταδίκην, καὶ ὡς οὐ χρὴ ἀρχιερατικοῖς προνομίοις χρωμένους διαπράττεσθαί τι κατ᾽ ἐπισκόπων ἢ λαϊκῶν, οὔτε τοὺς τὰ Νεστορίου φρονήσαντας, οὔτε μὴν τοὺς φρονήσοντας.

(1) καὶ τῆς ἐπισκοπῆς Μ. ἄνω. ἐν περισελ.

ΒΑΛΣ. Τοῦ Νεστορίου καθαιρεθέντος, ἐπέστη ἐν Ἐφέσῳ ὁ πατριάρχης Ἀντιοχείας Ἰωάννης, μετὰ Θεοδωρήτου, ἐπισκόπου πόλεως Κύρου, καὶ Ἴϐα Ἐδέσσης, καὶ ἑτέρων· καὶ ὡς γενομένης τῆς καθαιρέσεως κατὰ ἀπουσίαν αὐτῶν, ἐμέμψαντο (1) τὰ γεγονότα, καὶ τὸν τῆς συνόδου προϊστάμενον ἅγιον Κύριλλον, πάπαν Ἀλεξανδρείας, ἐπέχοντα καὶ τὸν τόπον Κελεστίνου, τοῦ πάπα Ῥώμης, ἀλλὰ μὴν καὶ Μέμνονα, ἐπίσκοπον Ἐφέσου, παραλόγως (2) καθεῖλον. Ὁ μέντοι Θεοδώρητος, καὶ κατὰ τῶν ιϐ'. κεφαλαίων· ἃ ὁ μέγας ἐξέθετο Κύριλλος εἰς ἔλεγχον τῆς κακοδοξίας Νεστορίου, δώδεκα κεφάλαια ἕτερα συνεγράψατο, εἰς ἀνατροπὴν καὶ ἀνασκευὴν ἐκείνων· καὶ ὁ Ἴϐας ὁμοίως ἐπιστολὴν ἐποιήσατο, ἅτινα ἡ δ'. σύνοδος, ὡς ἀσεϐῆ ἀπεκήρυξε. Καὶ αὐτοὶ δὲ οἱ τῆς γ'. συνόδου Πατέρες, τὸ παρὰ τοῦ πατριάρχου Ἀντιοχείας Ἰωάννου καὶ τῶν λοιπῶν γεγονὸς κατὰ τοῦ ἁγίου Κυρίλλου, καὶ τῶν σὺν αὐτῷ, μαθόντες, τούτους μὲν, ὡς ἀναιτίως καθαιρεθέντας, ἀπεκατέστησαν· τὸν Ἰωάννην δὲ, καὶ τοὺς σὺν αὐτῷ τριάκοντα ἐπισκόπους, πάσης ἐκκλησιαστικῆς κοινωνίας ἀλλοτρίους ἐποίησαν, ὡς τὰ τοῦ Νεστορίου, καὶ τὰ τοῦ Κελεστίου ἀσεϐῆ δόγματα κατασπασαμένους. Διορίζεται οὖν ὁ κανὼν, ὡς, ἐπεὶ ἐχρῆν τινας τῶν ἐπισκόπων, εὐλόγως ἀπολειφθέντας, οὐκ ἀγνοεῖν τὰ πεπραγμένα, ὀφείλουσι πάντες εἰδέναι, ὅτι, εἴ τις ἐπίσκοπος ἢ προσετέθη, ἢ προστεθείη τῷ τῆς ἀποστασίας συνεδρίῳ, δηλονότι τῷ μέρει τοῦ Ἰωάννου Ἀντιοχείας, καὶ τοῦ Κελεστίου, οὗτος καθῃρημένος ἔσται, καὶ οὐδέν τι ὁπουδήποτε ἱερατικὸν ἐνεργήσει· ἀλλὰ πάντες οἱ πέριξ μητροπολῖται καὶ ἐπίσκοποι ἀπόϐλητον τοῦτον ἕξουσιν, ὡς ἤδη τοῦ ἐπισκοπικοῦ βαθμοῦ ἀπαλλοτριωθέντα. Καὶ ὁ μὲν κανὼν ταῦτά φησι· σὺ δὲ εὑρίσκων ἔν τισιν ἀντιγράφοις σφάλμα γραφικὸν τὸ περὶ τοῦ Κελεστίου, (ἀντὶ γὰρ Κελεστίου, Κελεστίνου μέμνηται), μὴ προσχῇς τοῖς οὕτω γεγραμμένοις· ὁ γὰρ Κελεστῖνος πάπας ἦν Ῥώμης, ὀρθόδοξος, ὡς ἄνωθεν εἴρηται, ὁ δὲ Κελέστιος, ὁμόφρων τοῦ Νεστορίου, ἤτοι αἱρετικός.

---

(1) Χ. Τρ. — ἐμέμψατο .... καὶ καθεῖλε Βευερ. Ε. — (2) παρανόμως Χ. Τρ.

ΑΡΙΣΤ. Ἐὰν ἀπολειφθεὶς τῆς συνόδου μητροπολίτης τῶν Κελεστίνου ἀντέχηται, ἢ ἀνθέξηται, ἀπόβλητος.

Κανὼν Β'.

Εἰ δέ τινες ἐπαρχιῶται ἐπίσκοποι ἀπελείφθησαν τῆς ἁγίας συνόδου, καὶ τῇ ἀποστασίᾳ προσετέθησαν, ἢ προστεθῆναι πειραθεῖεν, ἢ καὶ ὑπογράψαντες τῇ(1) Νεστορίου καθαιρέσει, ἐπαλινδρόμησαν πρὸς τὸ τῆς ἀποστασίας συνέδριον· τούτους πάντη κατὰ τὸ δόξαν τῇ ἁγίᾳ συνόδῳ ἀλλοτρίους εἶναι τῆς ἱερωσύνης, καὶ τοῦ βαθμοῦ ἐκπίπτειν (2).

—

ΖΩΝΑΡ. Τοῦ Ἀντιοχείας Ἰωάννου, καὶ Θεοδωρήτου, καὶ Ἴβα, ὡς εἴρηται, ἐναντιωθέντων τοῖς δόξασι τῷ ἀθροισμῷ τῶν Πατέρων, τινὲς καὶ τῶν ἄλλων ἐπισκόπων συνυπήχθησαν ἐκείνοις, οἱ μὲν, ἀπολειφθέντες τῆς συνόδου, οἱ δὲ, συμπαρουσιάσαντες, καὶ τὴν τῆς καθαιρέσεως τοῦ Νεστορίου ψῆφον ταῖς οἰκείαις ὑπογραφαῖς βεβαιώσαντες. Περὶ τῶν τοιούτων οὖν ὁ παρὼν διαλαμβάνει κανὼν, ἐκπτώτους εἶναι τῆς ἱερωσύνης ἐκείνους διαταττόμενος· τοῦτο περὶ τῶν ἐπισκόπων *κυρίως* (3) νοητέον. Τὸ δὲ, καὶ τοῦ βαθμοῦ ἐκπίπτοντας, περὶ κληρικῶν ἐκληπτέον· οὗτοι γὰρ ὑπὸ βαθμούς εἰσιν· οἱ μὲν οὖν ἱερεῖς μείζονός εἰσι βαθμοῦ, ἤτοι ἀξίας, οἱ δὲ διάκονοι ἥττονος, καὶ καθεξῆς οἱ λοιποί.

ΒΑΛΣ. Τὰ τοῦ παρόντος β'. κανόνος ἡρμηνεύθησαν ἐν τῷ ά κανόνι, ὡς τὰ αὐτὰ ἐκείνῳ διαλαμβάνοντος. Προστίθησι δὲ οὗτος καθῃρημένους εἶναι καὶ τοὺς ὑπογράψαντας μὲν ἐν τῇ καθαιρέσει τοῦ Νεστορίου, ὕστερον δὲ προστεθέντας τῷ μέρει τοῦ Ἰωάννου Ἀντιοχείας (4). Ὅτι δὲ ὁ κανὼν ἐν τῷ τέλει μέμνηται ἀλλοτριώσεως ἱερωσύνης, καὶ ἐκπτώσεως βαθμοῦ, εἰπὲ, ἐκλαμβάνεσθαι τὴν μὲν ἀλλοτρίωσιν τῆς ἱερωσύνης εἰς τοὺς ἐπισκό-

(1) τῇ τοῦ, Βευερ. Βρ. —(2) Βευερ. Βρ. — ἐκπίπτοντας Χ. Τρ. Π. Σ. Ρ. — (3) Χ. Τρ. — οὐχ εὕρηται τὸ, κυρίως, παρὰ Βευερ. καὶ Κ. — (4) τὸ, Ἀντιοχείας, οὐχ εὕρηται ἐν Χ. Τρ.

πους (1), τὴν δὲ ἔκπτωσιν τοῦ βαθμοῦ εἰς τοὺς κληρικοὺς (2), εἰς οὓς κυρίως οἱ βαθμοὶ ἐξελήφθησαν· ὥστε καὶ τοὺς προστεθέντας κληρικοὺς τῷ μέρει τῶν ἀποστησάντων ὁπωςδήποτε, καθῃρημένους εἶναι. Τέως δὲ ὁ ά. κανὼν περὶ ἐπισκόπων λέγων ἐν τῷ τέλει, φησὶ καὶ τὴν ἐπισκοπὴν βαθμόν.

ΑΡΙΣΤ. Καὶ ὅστις Νεστορίῳ σύμφρων καὶ ὁμόφρων ἐπίσκοπος, ἀποκήρυκτος.

Κανὼν Γ'.

Εἰ δέ τινες (3) τῶν ἐν ἑκάστῃ πόλει, ἢ χώρᾳ κληρικῶν, ὑπὸ Νεστορίου, καὶ τῶν σὺν αὐτῷ ὄντων, τῆς ἱερωσύνης ἐκωλύθησαν διὰ τὸ ὀρθῶς φρονεῖν, ἐδικαιώσαμεν καὶ τούτους τὸν ἴδιον ἀπολαβεῖν βαθμόν. Κοινῶς δὲ τοὺς τῇ ὀρθοδόξῳ καὶ οἰκουμενικῇ συνόδῳ συμφρονοῦντας κληρικούς, κελεύομεν τοῖς ἀποστατήσασιν, ἢ ἀφισταμένοις ἐπισκόποις, μηδ' ὅλως ὑποκεῖσθαι κατὰ μηδένα τρόπον.

ΖΩΝΑΡ. Πατριάρχης ὤν, ὡς εἴρηται, Κωνσταντινουπόλεως ὁ Νεστόριος, ἀφώρισέ τινας κληρικοὺς μὴ συμφρονοῦντας αὐτῷ· καὶ ἐν ἄλλαις δὲ πόλεσιν οἱ ὁμοδοξοῦντες ἐκείνῳ ἐπίσκοποι τὸ αὐτὸ πεποιήκασι. Τοὺς οὖν τῆς ἱερωσύνης κωλυθέντας, ὡς μὴ συντιθεμένους τῇ τοῦ Νεστορίου καὶ τῶν ὁμοφρόνων αὐτῷ κακοδοξίᾳ, ἡ ἁγία σύνοδος διὰ τοῦ παρόντος κανόνος ἀποκατέστησεν εἰς τοὺς οἰκείους βαθμούς· καὶ διωρίσατο τοὺς ὀρθοδόξους κληρικούς, τοῖς ὁμογνωμονοῦσι τῷ Νεστορίῳ ἐπισκόποις μὴ ὑποκεῖσθαι κατὰ μηδένα τρόπον, μήτε ὡς κληρικούς, μήτε ὡς ἱερωμένους ἁπλῶς, καὶ διὰ τοῦτο τοῖς ἐπισκόποις ὑποκειμένους, ἢ καὶ κανονικὰ τελεῖν αὐτοῖς ὀφείλοντας.

ΒΑΛΣ. Τῶν εἰκότων ἦν τινας κληρικοὺς ὀρθοδόξους μὴ φρονῆσαι τὰ τοῦ Νεστορίου, ἢ τὰ τῶν συμφρονησάντων αὐτῷ ἐπισκόπων, καὶ διὰ τοῦτο ἀφορισθῆναι. Ἀποκαθίστησιν οὖν ὁ κανὼν

---

(1) εἰς τὸν ἐπίσκοπον Χ. Τρ. — (2) Χ. Τρ. Ε. — τὸ, εἰς τοὺς κληρικοὺς οὐχ εὕρηται παρὰ Βευερ. — (3) καὶ τῶν ἐν ἑκάστῃ Βρ. Σ. Ρ.

τούτους εἰς τοὺς οἰκείους βαθμοὺς, προσεπάγων μὴ μόνους αὐτοὺς ἔχειν τὰς οἰκείας ἐπιτιμίας, ἀλλὰ καὶ πάντας τοὺς κληρικοὺς τῶν τοιούτων ἐπισκόπων μηδόλως ὑποκεῖσθαι αὐτοῖς ὡς ἀποστατήσασιν.

ΑΡΙΣ. Ὃς ὑπὸ Νεστορίου τῆς ἱερωσύνης κεκώλυται, ἱερώτατος· ὁ δὲ δεκτέος ἐκείνῳ ἀνίερος.

Κανὼν Δ'.

Εἰ δέ τινες ἀποστατήσαιεν τῶν κληρικῶν, καὶ τολμήσαιεν ἢ κατ' ἰδίαν, ἢ δημοσίᾳ, τὰ Νεστορίου, ἢ τὰ Κελεστίου (1) φρονῆσαι, καὶ τούτους εἶναι καθῃρημένους, ὑπὸ τῆς ἁγίας συνόδου δεδικαίωται.

—

ΖΩΝΑΡ. Καὶ πάλιν περὶ κληρικῶν ὁ κανὼν οὗτος διαλαμβάνει, τοῖς αἱρετικοῖς συμφρονησάντων (2)· καὶ εἴτε ἰδίᾳ, φησὶ, καὶ καθ' ἑαυτοὺς, τὰς ἀθέσμους δόξας φρονῶσιν, εἴτε δημοσίᾳ πάντας διδάσκουσι, καὶ κηρύττουσι, καθῃρημένους εἶναι τοὺς τοιούτους ὑπὸ τῆς ἁγίας συνόδου δεδικαίωται, ἀντὶ τοῦ, δίκαιον ἐκρίθη, καὶ ἔδοξε. Καὶ ὁ Κελέστιος δὲ ὁμόφρων τῷ Νεστορίῳ ἦν.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν ὅμοιος τοῖς πρὸ αὐτοῦ ἐστι· φησὶ γὰρ καθῃρημένους εἶναι τοὺς κληρικοὺς, τοὺς φρονήσαντας τὰ τοῦ Νεστορίου, ἢ τοῦ Κελεστίου, εἴτε διδάσκουσιν αὐτὰ, εἴτε καὶ μή· τὸ δὲ, δεδικαίωται, ἐξελήφθη ἀντὶ τοῦ, δίκαιον ἔδοξε.

ΑΡΙΣΤ. Εἴτινες τῶν κληρικῶν Κελεστίνῳ, ἢ Νεστορίῳ συμφρονήσαιεν, καθαιρετέοι.

Κανὼν Ε'.

Ὅσοι δὲ ἐπὶ ἀτόποις πράξεσι κατεκρίθησαν ὑπὸ (3) τῆς ἁγίας συνόδου, ἢ ὑπὸ τῶν οἰκείων ἐπισκόπων (4), καὶ τούτοις ἀκανονίστως, κατὰ τὴν ἐν ἅπασιν ἀδιαφορίαν αὐτοῦ,

(1) Χ. Τρ.—τὰ τοῦ Νεστορίου καὶ τὰ τοῦ Κελεστίου Π. Βενερ. — (2) συμφρονούντων Χ. Τρ.—(3) ἐπὶ, Μάνσ. ἐν περισελ.—(4) ἢ ὑπὸ τοῦ οἰκείου ἐπισκόπου Χ. Τρ.

ὁ Νεστόριος, καὶ οἱ τὰ αὐτοῦ φρονοῦντες, ἀποδοῦναι ἐπειράθησαν, ἢ πειραθεῖεν, κοινωνίαν, ἢ βαθμὸν, ἀνωφελήτους εἶναι, καὶ μένειν (1) οὐδὲν ἧττον καθῃρημένους ἐδικαιώσαμεν (2).

—

ΖΩΝΑΡ. Κληρικοί τινες ἐπί τισιν αἰτίαις ἁλόντες, καθαιρέσει καὶ ἐκπτώσει τῶν οἰκείων βαθμῶν ὑπαγούσαις αὐτοὺς, καθῃρέθησαν, ἢ ἀφωρίσθησαν· ὁ δὲ Νεστόριος, οἷα πατριάρχης, ἀκανονίστως ἐδέξατο τοὺς τοιούτους ἀδιαφόρως, ἀντὶ τοῦ, χωρὶς διαστολῆς, μὴ διαστείλας μέσον κεκωλυμένου καὶ ἀκωλύτου, ἀποδοὺς αὐτοῖς κοινωνίαν, ἢ βαθμόν. Τοὺς γοῦν τοιούτους, ἀνωφελήτους εἶναι οἱ Πατέρες ἐθέσπισαν, μηδὲν δηλονότι ὠφελουμένους ἐκ τῆς ἀκανονίστου πράξεως, καὶ μένειν οὐδὲν ἧττον καθῃρημένους ἐδικαίωσαν, ἀντὶ τοῦ, δίκαιον ἐψηφίσαντο, ἢ ἐδικαίωσαν, ἀντὶ τοῦ ἐκόλασαν, ὥστε εἶναι καθῃρημένους. Λαμβάνεται γὰρ τὸ δικαιῶσαι καὶ ἐπὶ τοῦ κολάσαι· ὅθεν λέγομεν, τὰ ἐκεῖθεν δικαιωτήρια.

ΒΑΛΣ. Ἔμαθες, ὅτι μητροπολῖται, καὶ ἐπίσκοποι δύνανται κρίνειν τοὺς κληρικοὺς αὐτῶν, καὶ ἀφορισμῷ, ἢ καὶ καθαιρέσει ἔστιν ὅτε καθυποβάλλειν. Ἐπεὶ οὖν ὁ Νεστόριος, καὶ οἱ τὰ αὐτοῦ φρονοῦντες, τοιούτους τινὰς ἀκανονίστως εἰς κοινωνίαν ἐδέξαντο, ἢ καὶ εἰς τοὺς προτέρους βαθμοὺς ἀπεκατέστησαν, ἵνα (3) τούτους τοιουτοτρόπως ἑλκύσωσι πρὸς ἑαυτοὺς, φησὶν ὁ κανὼν, μηδὲν ἐκ τούτου τοὺς κληρικοὺς ὠφελεῖσθαι, ἀλλὰ μένειν καθῃρημένους, ἢ καὶ ἀφωρισμένους· τὸ δὲ, ἐδικαίωσαν ἐνταῦθα ἐξελήφθη, ἀντὶ τοῦ δίκαιον εἶναι ἔδοξεν.

ΑΡΙΣΤ. Ὁ κατακριθεὶς ἐξ ἐπισκόπου, καὶ ὑπὸ Νεστορίου δεχθεὶς, ἀνωφέλητος.

Τινὲς τῶν συναθροισθέντων ἐν τῇ ἐν Ἐφέσῳ συνόδῳ μητροπολῖται ἀπέστησαν ἑαυτοὺς, καὶ τὰ τοῦ Νεστορίου, τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως, τοῦ ἀνθρωπολάτρου καὶ δυσσε-

(1) Χ. Τρ. Βευερ. — ἀνωφελήτους μένειν καὶ τούτους καὶ εἶναι Π. Βρ. — (2) Π. Βρ. — ἐδικαίωσαν Χ. Τρ. Βευερ. Ἑ. Κ. — (3) ἵνα καὶ τούτους Χ. Τρ.

βοῦς, καὶ Ἰουδαιόφρονος, καὶ τοῦ Κελεστίου, τοῦ τῆς Ῥώμης ἐπισκόπου, ἐφρόνησαν δόγματα· τινὲς δὲ καὶ ἀπελείφθησαν, καὶ οὐκ ἠθέλησαν καταψηφίσασθαι τῶν ἀνιέρων τούτων καὶ δυσσεβῶν ἐπισκόπων· ἀλλὰ μᾶλλον ἀντείχοντο τούτων, καὶ περιείχοντο. Διὰ τοῦτο οὖν ὥρισεν ἡ ἁγία σύνοδος, τοὺς ἀντεχομένους Νεστορίου, καὶ Κελεστίου, καὶ τὰ ἐκείνων φρονοῦντας, ἀποκηρύκτους εἶναι, καὶ τῆς ἐκκλησίας ἐκκόπτεσθαι. Τοὺς δὲ ὑπὸ Νεστορίου, ἢ Κελεστίου, τῆς ἱερωσύνης κωλυθέντας, διὰ τὸ ὀρθῶς φρονεῖν, τὸν ἴδιον πάλιν ἀπολαβεῖν βαθμόν· ὥσπερ πάλιν τοὺς ὑπὸ τῶν ἰδίων ἐπισκόπων καθαιρεθέντας, καὶ παρ' αὐτῶν προσδεχθέντας, καὶ δικαιωθέντας, ἀνιέρους εἶναι, καὶ αὖθις καθῃρημένους.

Κανὼν ϛ'.

Ὁμοίως δὲ καὶ (1) εἴ τινες βουληθεῖεν, τὰ περὶ ἑκάστου πεπραγμένα ἐν τῇ ἁγίᾳ συνόδῳ, τῇ ἐν Ἐφέσῳ, οἱῳδήποτε τρόπῳ παρασαλεύειν, ἡ ἁγία σύνοδος ὥρισεν, εἰ μὲν ἐπίσκοποι εἶεν, ἢ κληρικοί, τοῦ οἰκείου παντελῶς ἀποπίπτειν βαθμοῦ· εἰ δὲ λαϊκοί, ἀκοινωνήτους ὑπάρχειν (2).

ΖΩΝΑΡ. Οἱ μὲν ἀνωτέρω (3) κανόνες, ἰδικῶς περὶ τῶν ὁμοφρονησάντων τοῖς ἀποστατήσασι καὶ ἐναντιωθεῖσι τῇ συνόδῳ, καὶ τὰ Νεστορίου πρεσβεύουσι, διετάξαντο. Οὗτος δὲ ὁ παρών, κοινῶς πάντας τοὺς ἀνατρέπειν τι τῶν δοξάντων τῇ ἁγίᾳ συνόδῳ ἐπιχειροῦντας καταδικάζει. Καὶ τοὺς μὲν ἱερωμένους ποιεῖται ὑπὸ καθαίρεσιν, τοῖς δὲ λαϊκοῖς ἀκοινωνησίαν ἐπάγει. Ταῦτα μὲν οὖν ἐν Ἐφέσῳ ἐπράχθησαν· ἐπεὶ δὲ κατ' ἀλλήλων οἱ ἀρχιερεῖς ἐγένοντο (4), καὶ σχίσμα ἦν παρ' αὐτοῖς, ὁ βασιλεὺς πάντας εἰς τὴν βασιλίδα τῶν πόλεων μετεκαλέσατο, καὶ συνεβίβασε, καὶ εἰρήνευσε· καὶ ὁ Θεοδώρητος τὰ παρ' αὐτοῦ γραφέντα κεφάλαια δι' ἔριν κατέθετο συγγράψασθαι, καὶ ἀπεβάλετο ταῦτα, καὶ τοῖς ψηφισθεῖσι παρὰ τῆς συνόδου συνέθετο, καὶ τῇ τοῦ Νεστορίου καθαιρέσει κἀκεῖνος, καὶ οἱ λοιποὶ συνευδόκησαν. Συμ-

---

(1) Π. Βρ. Βευερ. Σ. Ῥ. — ὁ καί, οὐχ εὕρηται ἐν Χ. Τρ. — (2) τυγχάνειν Χ. Τρ. καὶ Ἰουστ. — (3) Χ. Τρ. — ἀνώτεροι Βευερ. Κ. — (4) γεγόνασι Χ. Τρ.

ϐόλου δὲ δυσσεϐοῦς ἐκτεθέντος παρὰ τοῦ Νεστορίου, καὶ προκομισθέντος τῆς συνόδου(1), καὶ ἀναγνωσθέντος ἐκείνου τε καὶ τοῦ παρὰ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων Πατέρων, τῶν ἐν τῇ πρώτῃ συνόδῳ, ἐξεφωνήθη ὁ κανὼν οὗτος.

ΒΑΛΣ. Σαφής ἐςιν ὁ κανών· διορίζεται γὰρ τοὺς παρασαλεύοντας τὰ ἐν τῇ ἐν Ἐφέσῳ πεπραγμένα, κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἀκοινωνήτους εἶναι. Ὁ δὲ ζ'. κανὼν ἀναθεματίζεσθαι λέγει τοὺς λαϊκοὺς τοὺς ἐναντία φρονοῦντας τῷ δόγματι· καὶ μὴ ἐναντιωθῇ σοι. Ἔστι γὰρ μεγάλη διαφορὰ τοῦ ἐναντιοῦσθαι, καὶ τοῦ ἀμφιϐάλλειν τινὰ περί τινος πράγματος· καὶ διὰ τοῦτο ὁ μὲν ἀμφιϐάλλων περὶ τῶν ἤδη καλῶς προκυρωθέντων, ἀφορισθήσεται· ὁ δὲ ἐναντιούμενος τούτοις, ὡς ἐναντιόφρων, ἀναθεματισθήσεται.

ΑΡΙΣΤ. Ἀκοινώνητος ὁ λαϊκὸς, ὁ ἀντοφθαλμῶν τῇ συνόδῳ· ὁ κληρικὸς ἔτι καὶ ἀποκήρυκτος.

Ὁ τὰ παρὰ τῆς ἐν Ἐφέσῳ συνόδου πραχθέντα ἀνακρίνων, ἢ ὅλως παρασαλεύων, εἰ μὲν ἐπίσκοπός ἐςιν, ἢ κληρικὸς, τοῦ οἰκείου βαθμοῦ παντελῶς ἐκπιπτέτω· εἰ δὲ λαϊκὸς, ἔστω ἀκοινώνητος.

Κανὼν Ζ'.

Τούτων ἀναγνωσθέντων, ὥρισεν ἡ ἁγία σύνοδος, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν (2), ἤγουν συγγράφειν, ἢ συντιθέναι, παρὰ τὴν ὁρισθεῖσαν παρὰ τῶν ἁγίων Πατέρων, τῶν ἐν τῇ Νικαέων συναχθέντων πόλει, σὺν ἁγίῳ Πνεύματι(3). Τοὺς δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν, ἤγουν προκομίζειν, ἢ προφέρειν τοῖς θέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν τῆς ἀληθείας, ἢ ἐξ ἑλληνισμοῦ, ἢ ἐξ ἰουδαϊσμοῦ, ἤγουν ἐξ αἱρέσεως οἱασδηποτοῦν· τούτους, εἰ μὲν εἶεν ἐπίσκοποι, ἢ κληρικοὶ, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ κλή-

(1) Χ. Τρ. Κ. — οὐχ εὕρηνται αἱ λέξεις καὶ προκομισθέντος τῆς συνόδου παρὰ Βευερ. — (2) Χ. Τρ. Βευερ. Σ. Ῥ. Ἑ. Κ. — προσφέρειν Π. — (3) Ἐνταῦθα λήγει ὁ Ζ'. Καν. ἐν Σ. Ῥ. τὰ δὲ λοιπὰ ἀποτελοῦσι τὸν Ἡ. Καν.

ρου· εἰ δὲ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι. Κατὰ τὸν ἴσον δὲ τρόπον, εἰ φωραθεῖέν τινες, εἴτε ἐπίσκοποι, εἴτε κληρικοί, εἴτε λαϊκοὶ (1), ἢ φρονοῦντες, ἢ διδάσκοντες τὰ ἐν τῇ προκομισθείσῃ ἐκθέσει παρὰ Χαρισίου τοῦ πρεσβυτέρου, περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, ἤγουν τὰ μιαρὰ καὶ διεστραμμένα τοῦ Νεστορίου δόγματα, ἃ καὶ ὑποτέτακται, ὑποκείσθωσαν τῇ ἀποφάσει τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς συνόδου· ὥστε δηλονότι, τὸν μὲν ἐπίσκοπον, ἀπαλλοτριοῦσθαι τῆς ἐπισκοπῆς, καὶ εἶναι καθῃρημένον· τὸν δὲ κληρικὸν, ὁμοίως ἐκπίπτειν τοῦ κλήρου· εἰ δὲ λαϊκός τις εἴη, καὶ οὗτος ἀναθεματιζέσθω, καθὰ προείρηται (2).

ΖΩΝΑΡ. Ὁ δυσσεβὴς Νεστόριος οὐ μόνον τὰ ἄθεα αὐτοῦ ἐδίδασκε δόγματα, καὶ ἀναφανδὸν ἐκήρυττεν, ἀλλὰ καὶ ἐπὶ πλέον θρασυνθεὶς, καὶ σύμβολον ἐξέθετο, περιέχον τρανῶς ὅσα περὶ τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ κακῶς ἐφρόνει, καὶ ἐβλασφήμει. Τοῦτο τὸ σύμβολον, τῇ συνόδῳ προκομισθὲν παρὰ Χαρισίου τοῦ πρεσβυτέρου, καὶ ἀναγνωσθὲν, κατεγνώσθη ὡς ἀσεβείας μεστόν. Καὶ ὥρισαν οἱ θεῖοι Πατέρες, τὸ ἐν τῇ ά. συνόδῳ συντεθὲν σύμβολον κρατεῖν, καὶ ὅσα ἐν ἐκείνῃ ἐδογματίσθησαν· ἑτέραν δὲ πίστιν μήτε συντίθεσθαι παρά τινων, μήτε συγγράφεσθαι· εἰ δέ τινες τολμήσαιεν, ἐξ Ἑλλήνων, ἢ Ἰουδαίων, ἢ ἐξ αἱρετικῶν προσερχομένοις τισὶ τῇ ἐπιγνώσει τῆς ἀληθείας, προσφέρειν ἑτέραν πίστιν, διδάσκειν δηλαδὴ, καὶ κατηχεῖν αὐτοὺς διεστραμμένα, καὶ ἀλλότρια τῆς τῶν ἁγίων Πατέρων διδασκαλίας, τοὺς τοιούτους, φασὶν, ἐπισκόπους ὄντας, ἢ κληρικοὺς, ἐκπίπτειν τῆς ἐπισκοπῆς, ἢ τοῦ κλήρου, καθαιρουμένους δηλονότι, λαϊκοὺς δὲ τυγχάνοντας, ἀναθεματίζεσθαι. Ὁμοίως δὲ καὶ τοὺς τὰ Νεστορίου φρονοῦντας, καὶ δεχομένους, ἢ καὶ διδάσκοντας τὰ ἐν τῷ παρ' ἐκείνου συντεθέντι συμβόλῳ βλασφημηθέντα, λέγοντος μὴ τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ σάρκα ἐκ

---

(1) Π. Χ. Τρ. Ἑ. Κ. — οὐ κεῖται τὸ, εἴτε λαϊκοὶ παρὰ Βευερ. — (2) Σ. Ρ. — καθὼς Βευερ. — ὁ Ζ΄. καὶ Ἡ. Κανὼν οὐ κεῖνται παρὰ Βρ.

τῆς ἁγίας Παρθένου ἀνειληφέναι, ἀλλὰ ψιλὸν μὲν ἄνθρωπον εἶναι τὸν Χριστὸν, κατὰ σχέσιν δὲ αὐτῷ ἑνωθῆναι τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Λόγον, εἰς δύο Υἱοὺς καὶ δύο ὑποστάσεις διαιροῦντος τὸν Χριστὸν καὶ Θεὸν, καὶ τὴν ἁγίαν Παρθένον οὐ Θεοτόκον, ἀλλὰ Χριστοτόκον καλοῦντος, τοῖς αὐτοῖς *ἐπιτιμίοις*(1) ὑποκεῖσθαι ἡ ἱερὰ σύνοδος ἐψηφίσατο, κἂν ἐπίσκοποι εἶεν, κἂν κληρικοὶ, κἂν λαϊκοί· ὥστε τοὺς μὲν ἱερωμένους καθαιρεῖσθαι, τοὺς δὲ λαϊκοὺς ἀναθεματίζεσθαι.

ΒΑΛΣ. Τοῦ γεγονότος ἰδίκτου χάριν τῶν δογματισθέντων παρὰ τῆς ἐν Ἐφέσῳ ἁγίας συνόδου, ἀναγνωσθέντος ἐπὶ κοινοῦ, ὡσαύτως καὶ τοῦ ἁγίου συμβόλου, τοῦ ἐκτεθέντος ἐν τῇ ά. συνόδῳ, ἐξεφωνήθη ὁ κανὼν οὗτος, καὶ ὡρίσθη ἑτέραν πίστιν μὴ συντιθέναι τινά· εἰ δέ τινες τολμήσουσι τοῖς ἐξ Ἑλλήνων, ἢ Ἰουδαίων, ἢ ἐξ ἑτέρων αἱρετικῶν προσερχομένοις τῇ ἐπιγνώσει τῆς ἀληθείας, προσφέρειν ἑτέραν πίστιν, ἐπίσκοποι μὲν ὄντες καὶ κληρικοὶ, καθαιρείσθωσαν· λαϊκοὶ δὲ, ἀναθεματιζέσθωσαν. Τὸ αὐτὸ γίνεσθαι καὶ εἰς τοὺς δεχομένους τὰ τοῦ Νεστορίου, καὶ διδάσκοντας ταῦτα. Ἐπεὶ δὲ καὶ πρεσβύτερός τις, λεγόμενος Χαρίσιος, τὰ μυσαρὰ τοῦ Νεστορίου δόγματα οἰκειούμενος, προεκόμισεν ἔκθεσίν τινα τῶν συγγραφέντων παρὰ τοῦ Νεστορίου, καὶ κατεγνώσθη αὕτη ὡς ἀσεβὴς, διορίζεται ὁ κανὼν, ταῖς αὐταῖς καταδίκαις ὑποκεῖσθαι καὶ τοὺς φρονοῦντας, ἢ διδάσκοντας τὰ ἐν τῇ τοιαύτῃ ἐκθέσει περιεχόμενα.

ΑΡΙΣΤ. Ὁ πίστιν ἑτέραν τῆς ἐν Νικαίᾳ προσάγων ἐπίσκοπος ἠλλοτρίωται· λαϊκὸς δὲ, καὶ ἐξωστράκισται.

Ὁ παρὰ τὴν πίστιν, τὴν παρὰ τῶν ἁγίων Πατέρων, τῶν ἐν Νικαίᾳ συναθροισθέντων, συντεθεῖσαν, ἕτερον σύμβολον δυσσεβὲς προσκομίζων, εἰς καταστροφὴν καὶ ἀπώλειαν τῶν ἐξ ἑλληνισμοῦ, ἢ ἰουδαϊσμοῦ, ἢ ἐξ οἱασδηποτοῦν αἱρέσεως ἐπιστρεφόντων εἰς ἐπίγνωσιν τῆς ἀληθείας, εἰ μὲν λαϊκός ἐστιν, ἀναθεματιζέσθω· εἰ δὲ ἐπίσκοπος, ἢ κληρικὸς, τῆς ἐπισκοπῆς, καὶ τοῦ κλήρου ἀλλοτριούσθω.

---

(1) Χ. Γρ. — οὐχ εὕρηται παρὰ Βευερ. καὶ Κ.

Κανὼν Η΄.

Πρᾶγμα παρὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς καὶ τοὺς κανόνας τῶν ἁγίων Ἀποστόλων (1) καινοτομούμενον, καὶ τῆς πάντων ἐλευθερίας ἁπτόμενον, προσήγγειλεν ὁ θεοφιλέστατος συνεπίσκοπος Ῥηγῖνος, καὶ οἱ σὺν αὐτῷ θεοφιλέστατοι (2) ἐπίσκοποι τῆς Κυπρίων ἐπαρχίας, Ζήνων καὶ Εὐάγριος. Ὅθεν, ἐπειδὴ τὰ κοινὰ πάθη μείζονος δεῖται τῆς θεραπείας, ὡς καὶ μείζονα τὴν βλάβην φέροντα, καὶ μάλιστα (3) εἰ μηδὲ ἔθος ἀρχαῖον παρηκολούθησεν, ὥστε τὸν ἐπίσκοπον τῆς Ἀντιοχέων πόλεως τὰς ἐν Κύπρῳ ποιεῖσθαι χειροτονίας, καθὰ διὰ τῶν λιβέλλων καὶ τῶν οἰκείων φωνῶν ἐδίδαξαν οἱ εὐλαβέστατοι ἄνδρες, οἱ τὴν πρόσοδον τῇ ἁγίᾳ συνόδῳ ποιησάμενοι, ἕξουσι τὸ ἀνεπηρέαστον καὶ ἀβίαστον οἱ τῶν ἁγίων ἐκκλησιῶν, τῶν κατὰ τὴν Κύπρον, προεστῶτες, κατὰ τοὺς κανόνας τῶν ὁσίων (4) Πατέρων, καὶ τὴν ἀρχαίαν συνήθειαν, δι᾽ ἑαυτῶν τὰς χειροτονίας τῶν εὐλαβεστάτων ἐπισκόπων ποιούμενοι· τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων διοικήσεων, καὶ τῶν ἁπανταχοῦ ἐπαρχιῶν (5) παραφυλαχθήσεται· ὥστε μηδένα τῶν θεοφιλεστάτων ἐπισκόπων ἐπαρχίαν ἑτέραν, οὐκ οὖσαν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπὸ τὴν αὐτοῦ, ἢ γοῦν (6) τῶν πρὸ αὐτοῦ χεῖρα καταλαμβάνειν· ἀλλ᾽ εἰ καί τις κατέλαβε, καὶ ὑφ᾽ ἑαυτὸν πεποίηται, βιασάμενος, ταύτην ἀποδιδόναι· ἵνα μὴ τῶν Πατέρων οἱ κανόνες παραβαίνωνται, μηδὲ ἐν ἱερουργίας προσχήματι, ἐξουσίας τῦφος κοσμικῆς παρεισδύηται, μηδὲ λάθωμεν τὴν ἐλευθερίαν κατὰ μικρὸν ἀπολέσαντες, ἣν ἡμῖν ἐδωρήσατο τῷ ἰδίῳ (7) αἵματι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ πάντων ἀνθρώπων ἐλευθερωτής. Ἔδοξε τοίνυν

---

(1) Π. Χ. Τρ. Κ. Ἑ. — Πατέρων Βευερ. — (2) Π. Κ. Ἑ. — εὐλαβέστατοι Χ. Τρ. Βευερ. — (3) τὸ, καὶ μάλιστα, οὐχ εὕρηται παρὰ Κ. Ἑ. Χ. Τρ. — εἰ δὲ μὴ ἔθος Χ. Τρ. — εἰ μηδὲ ἔθος Ἑ. Κ. — (4) τῶν ἁγίων Βευερ. — (5) Ἑ. Κ. Χ. Τρ. Βευερ. — ἐκκλησιῶν Π. — (6) Χ. Τρ. — ἤγουν Βευερ. Π. — (7) τῷ οἰκείῳ Χ. Τρ.

τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ, σώζεσθαι ἑκάστῃ ἐπαρχίᾳ καθαρὰ καὶ ἀβίαστα τὰ αὐτῇ προσόντα δίκαια ἐξ ἀρχῆς καὶ ἄνωθεν, κατὰ τὸ πάλαι κρατῆσαν ἔθος, ἄδειαν ἔχοντος ἑκάστου μητροπολίτου τὰ ἴσα τῶν πεπραγμένων πρὸς τὸ οἰκεῖον ἀσφαλὲς ἐκλαβεῖν. Εἰ δέ τις μαχόμενον τύπον τοῖς νῦν ὡρισμένοις προκομίσοι, ἄκυρον τοῦτο εἶναι ἔδοξε τῇ ἁγίᾳ πάσῃ καὶ οἰκουμενικῇ συνόδῳ.

ΖΩΝΑΡ. Ὁ τῆς Ἀντιοχέων ἐκκλησίας ἀρχιερεὺς ὑφ' ἑαυτὸν εἷλκε τὰς τῶν Κυπρίων ἐπισκόπων χειροτονίας, ὡς τάχα τῆς Κύπρου τὸ παλαιὸν τελούσης ὑπὸ τὸν δοῦκα Ἀντιοχείας· παρὰ γὰρ τοῦ δουκὸς Ἀντιοχείας ἐστέλλετο ἐκεῖ στρατηγός. Διὰ τοῦτο προσῆλθόν τινες τῶν Κυπρίων ἐπισκόπων τῇ συνόδῳ ταύτῃ, λέγοντες τοῦτ' αὐτὸ, καὶ δι' ἐγγράφων ἀναφέροντες, ὅτι οὐκ ἐξ ἔθους παλαιοῦ δίκαιον ἔσχεν ὁ Ἀντιοχείας χειροτονεῖν τοὺς ἐπισκόπους Κυπρίων. Ἐψηφίσατο οὖν ἡ σύνοδος τὴν πρόσοδον, ἤτοι τὴν προσέλευσιν δεξαμένη τῶν ἐπισκόπων, τὸ ἀνεπηρέαστον, καὶ ἀβίαστον ἔχειν τοὺς τῶν Κυπρίων ἐπισκόπους, κατὰ τοὺς κανόνας τῶν ἁγίων Πατέρων, καὶ τὴν ἀρχαίαν συνήθειαν. Ὁ γὰρ τριακοστὸς πέμπτος κανὼν τῶν ἁγίων Ἀποστόλων, καὶ ὁ τρίτος τῆς ἐν Ἀντιοχείᾳ συνόδου, μὴ τολμᾷν τοὺς ἐπισκόπους κελεύουσι ποιεῖσθαι χειροτονίας εἰς τὰς μὴ ὑποκειμένας αὐτοῖς ἐπαρχίας· εἰ δὲ μὴ, ἄκυρα μὲν τὰ παρ' ἐκείνων πραχθέντα εἶναι, αὐτοὺς δὲ καθαιρεῖσθαι. Καὶ ὁ ἕκτος δὲ κανὼν, καὶ ὁ ἕβδομος τῆς πρώτης οἰκουμενικῆς συνόδου, τὰ ἀρχαῖα ἔθη, κἂν (1) τοῖς ἀρχιερεῦσι κρατεῖν διατάττονται. Οἷς δὴ κανόσιν ἑπόμενοι καὶ οἱ τῆς συνόδου ταύτης σεπτοὶ Πατέρες ὥρισαν καὶ τοὺς Κυπρίων ἐπισκόπους δι' ἑαυτῶν τὰς χειροτονίας τῶν ἐν τῇ νήσῳ ταύτῃ ἐπισκόπων ποιεῖν· τοῦτο δὲ γίνεσθαι καὶ ἁπανταχοῦ, καὶ μή τινα τῶν ἐπισκόπων σφετερίζεσθαι ἐπαρχίαν μὴ οὖσαν ἄνωθεν, ἤγουν ἔκπαλαι καὶ ἀρχῆθεν, ὑπ' αὐτὸν, καὶ ὑπὸ τοὺς πρὸ αὐτοῦ. Εἰ δὲ καί τις, φασὶν, ᾠκειώσατο ἐπαρ-

---

(1) ὁ κἂν, οὐχ εὕρηται ἐν Χ. Τρ.

χίαν μὴ ἀνήκουσαν αὐτῷ, ἀποδότω ταύτην τοῖς βιασθεῖσι καὶ ἀφαιρεθεῖσιν αὐτήν· ἵνα μὴ παραβαίνωνται οἱ κανόνες, καὶ ἀφορμὴν ἔχοντες τὴν ἱερουργίαν, καὶ ταύτην οἱόν τι προκάλυμμα προβαλλόμενοι, κοσμικῆς ἐξουσίας κενοδοξίαν παρεισερχομένην εἰς ἑαυτοὺς ἔχωσιν οἱ ἀρχιερεῖς, καὶ δουλούμενοι τοῖς μὴ ἔχουσι δίκαιον ἀφαιρεθῶμεν τὴν ἐλευθερίαν, ἣν ὁ Κύριος ἡμῖν ἐδωρήσατο, τὸ οἰκεῖον κενώσας αἷμα ὑπερ τῆς τῶν ἀνθρώπων ἐλευθερίας. Διὸ ἑκάστῃ ἐπαρχίᾳ τὰ οἰκεῖα δίκαια κατὰ τὸ παλαιὸν ἔθος φυλάττεσθαι ἡ ἁγία σύνοδος ἐψηφίσατο, καὶ τοῖς μητροπολίταις ἄδειαν ἔδωκε τὰ ἐψηφισμένα ἐκλαβέσθαι, κἂν τύπος, φησὶν, ἤγουν ἔγγραφόν τι προκομισθῇ, τυποῦν καὶ ὁρίζον ἄλλα παρὰ τὰ νῦν ὡρισμένα, ἄκυρος ἔσται.

ΒΑΛΣ. Πρὸ τοῦ ἀποξενωθῆναι τὴν βασιλείαν τῶν Ῥωμαίων ἐκ τῆς μεγάλης Ἀντιοχείας, δοὺξ ἐν αὐτῇ παρὰ τοῦ Βασιλέως ἐπέμπετο, καὶ οὗτος στρατηγὸν εἰς Κύπρον ἀπέστελλεν, ὡς ὑποκειμένην τῇ Ἀντιοχείᾳ· οἱ δὲ Κύπριοι ἐπίσκοποι καθ' ἑαυτοὺς διῆγον καὶ ἐχειροτονοῦντο. Τοῦ γοῦν τότε ὄντος ἐπισκόπου Ἀντιοχείας(1), ἐπιχειροῦντος, ὡς ἔοικε, χειροτονίας ποιεῖν εἰς τὰς ἐκκλησίας τῶν Κυπρίων, προφάσει τοῦ στέλλεσθαι στρατηγὸν ἐν τῇ νήσῳ παρὰ τοῦ δουκὸς Ἀντιοχείας, ἀνηνέχθη τὰ περὶ τούτου τῇ ἐν Ἐφέσῳ συνόδῳ παρὰ Κυπρίων ἐπισκόπων· καὶ αὕτη τὴν πρόσοδον, ἤτοι τὴν προσέλευσιν τούτων, δεξαμένη, ὥρισε τοὺς Κυπρίους ἐπισκόπους, κατὰ τοὺς κανόνας καὶ τὴν ἀρχαίαν συνήθειαν, δι' ἑαυτῶν χειροτονεῖσθαι, καθὼς, φησὶ, τοῦτο γενήσεται καὶ εἰς τὰς λοιπὰς διοικήσεις, καὶ ἐπαρχίας, μὴ δυναμένου τινὸς ἐπισκόπου ἑτέραν ἐπαρχίαν σφετερίζεσθαι, μὴ ὑποκειμένην ἀνέκαθεν αὐτῷ· μᾶλλον μὲν οὖν καὶ τοὺς τοιοῦτόν τι ποιοῦντας, καὶ κατὰ βίαν, καὶ αὐθεντίαν, ἀλλοτρίαν ἐνορίαν κατασχόντας, ἀπολῦσαι αὐτὴν, ἵνα μὴ παραβαίνωνται οἱ κανόνες, καὶ προσχήματι τῆς ἱερουργίας, ἐξουσίας κοσμικῆς, ἤτοι κενοδοξίας, τύφος, εἰς τοὺς ἀρχιερεῖς ἀναφαίνηται. Ἐξεχώρησε δὲ καὶ ἑκάστῳ τῶν μητροπολιτῶν ἐκλαβέσθαι τὰ ἴσα τοῦ τοιούτου κανόνος εἰς οἰκείαν ἀσφάλειαν, καὶ μηδὲ κρατεῖν ἕτερον ἔγγραφον τύπον, ἤγουν βα-

(1) Χ. Τρ. Ἐ. — τὸ, ἐπισκόπου Ἀντιοχείας, οὐχ εὕρηται παρὰ Βευερ.

σιλικὸν πρόσταγμα, ἐναντιούμενον τῷ κανόνι τούτῳ, παρά τινος προκομιζόμενον. Καὶ ἀνάγνωθι τὸν β'. κανόνα τῆς β'. συνόδου, τὸν κη'. τῆς δ'. συνόδου, τὸν λθ'. τῆς ς'. συνόδου, καὶ τὰ ἐν αὐτοῖς· καὶ μάθοις πῶς ὑπετέθησαν αἱ ὑπὸ τὴν Ῥωμανίαν ἐκκλησίαι, ἄνευ τινῶν, τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως.

ΑΡΙΣΤ. Τηρείσθω τὰ ἑκάστῃ ἐπαρχίᾳ προσόντα δίκαια, καθαρά, ἀβίαστα· ὁ δὲ τύπον ἀντικείμενον τούτοις εἰσάγων, ἀνόνητος.

Ὅσοι τῶν ἐπισκόπων βίᾳ ὑπὸ τὴν αὐτῶν χεῖρα ἑτέραν ἐπαρχίαν ἐποιήσαντο, οὐκ οὖσαν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπ' αὐτούς, ἢ προνόμιόν τι ἐπισκοπῆς ἑτέρας ὑφήρπασαν, οὐδέν τι ἐκ τούτου δικαιωθήσονται· ἀλλ' ἐπανασωθῶσιν αὖθις πρὸς τοὺς ἔχοντας δίκαιον ἐπ' αὐτὰς ἐπισκόπους. Ὅτι περ καθαρὰ καὶ ἀβίαστα ὀφείλουσιν ἑκάστῃ ἐπαρχίᾳ προσεῖναι τὰ δίκαια· καὶ μὴ τύφον κοσμικῆς ἐξουσίας ἐν ἱερουργίας προσχήματι παρεισδύεσθαι. Ὁ δὲ τύπον εἰσάγων ἕτερον, τοῖς ἐνταῦθα ὁρισθεῖσιν ἀντικείμενον καὶ μαχόμενον, οὐδέν τι ὠφεληθήσεται.

ΕΠΙΣΤΟΛΗ

Τῆς αὐτῆς ἁγίας καὶ οἰκουμενικῆς τρίτης συνόδου (1), πρὸς τὴν ἐν Παμφυλίᾳ εὐαγῆ σύνοδον, περὶ (2) Εὐσταθίου, τοῦ γενομένου αὐτῶν μητροπολίτου.

Μετὰ βουλῆς πάντα ποίει, τῆς θεοπνεύστου λεγούσης γραφῆς, χρὴ (3) δὴ μάλιστα τοὺς ἱερᾶσθαι λαχόντας μετὰ πάσης ἀκριβείας τὴν ἐφ' ἅπασι τοῖς πρακτέοις ποιεῖσθαι διάσκεψιν. Διαβιοῦν γὰρ οὕτως ἐθέλουσιν, ἐν καλῷ τῆς ἐλπίδος κεῖσθαί τε τὰ κατ' αὐτούς, καὶ οἷον ἐξ οὐρίας ἐν τοῖς κατ' εὐχὴν ἀποφέρεσθαι συμβαίνει· καὶ πολὺ τό γε εἰκὸς ὁ λόγος ἔχει. Ἀλλ' οἶδεν, ἐσθ' ὅτε, δριμεῖα καὶ ἀφόρητος

---

(1) Π. — τῆς αὐτῆς ἐν Ἐφέσῳ ἁγίας συνόδου Χ. Τρ. Βευερ. — (2) Χ. Τρ. Βευερ. Σ. Ῥ. — ὑπὲρ Π. — (3) Π. Χ. Τρ. Βευερ. Σ. Ῥ. — ἐχρῆν Π.

λύπη, κατασκήψασα νοῦ, καταθολῶσαί τε δεινῶς αὐτὸν, καὶ τῆς τῶν δεόντων ἀποκομίσαι θήρας, ἀναπεῖσαί τε τὸ πεφυκὸς ἀδικεῖν, ὥς τι τῶν ὀνησιφόρων ἰδεῖν. Τοιοῦτόν τι πεπονθότα τεθεάμεθα τὸν εὐλαβέστατον, καὶ θεοσεβέςατον ἐπίσκοπον Εὐστάθιον (1). Κεχειροτόνηται μὲν γὰρ, ὡς μεμαρτύρηται, κανονικῶς· τεθορυβημένος δὲ, ὥς φησι, παρά τινων, καὶ ἀδοκήτοις περιστάσεσιν ἐμβεβηκὼς, εἶτα ἐκ πολλῆς ἄγαν ἀπραγμοσύνης ἀπειρηκὼς τὴν ἀντίστασιν τῶν ἐπενηνεγμένων αὐτῷ φροντίδων, καί περ(2) διακρούεσθαι τὰς παρὰ τῶν ἐπιφυομένων αὐτῷ δυσφημίας δυνάμενος (3), παραιτήσεως, οὐκ ἴσμεν ὅπως, προσεκόμισε βιβλίον. Ἔδει γὰρ, ὡς ἅπαξ ἐγκεχειρισμένον ἱερατικὴν φροντίδα, ταύτης ἔχεσθαι μετ' εὐρωστίας πνευματικῆς, καὶ οἷον ἀνταποδύεσθαι τοῖς πόνοις, καὶ ἱδρῶτα τὸν ἔμμισθον ἐθελοντὶ ὑπομεῖναι. Ἐπειδὴ δὲ ἅπαξ ὀλιγώρως ἔχοντα παρέδειξεν ἑαυτὸν, τοῦτο παθὼν ἐξ ἀπραγμοσύνης μᾶλλον, ἢ ὄκνου, καὶ ῥᾳθυμίας, κεχειροτόνηκεν ἀναγκαίως ἡ ὑμετέρα θεοσέβεια τὸν εὐλαβέστατον (4) καὶ θεοσεβέστατον ἀδελφὸν ἡμῶν καὶ συνεπίσκοπον Θεόδωρον, φροντιοῦντα τῆς ἐκκλησίας· οὐ γὰρ ἦν ἀκόλουθον χηρεύειν αὐτὴν, καὶ ἐπιστάτου δίχα διατελεῖν τοῦ Σωτῆρος τὰ ποίμνια. Ἐπειδὴ δὲ προσῆλθε κλαίων, οὐ περὶ τῆς πόλεως, οὐδὲ τῆς ἐκκλησίας φιλονεικῶν τῷ μνημονευθέντι θεοσεβεστάτῳ ἐπισκόπῳ Θεοδώρῳ, ἐξαιτῶν δὲ τέως τὴν τοῦ ἐπισκόπου τιμὴν, καὶ κλῆσιν, συνηλγήσαμεν ἅπαντες τῷ πρεσβύτῃ, καὶ κοινὸν εἶναι λογισάμενοι τὸ αὐτοῦ δάκρυον, ἐσπεύδομεν μαθεῖν, εἰ καθαίρεσιν ἔννομον ὑπομεμένηκεν ὁ μνημονευθεὶς, ἢ γοῦν ἐπί τισι τῶν ἀτόπων ἐλήλεγκται παρά τινων καταφλυαρησάντων αὐτοῦ τῆς ὑπολήψεως. Καὶ δὴ ἐμάθομεν πεπράχθαι μὲν τοιοῦτον οὐδὲν, γενέσθαι δὲ μᾶλλον

(1) Χ. Τρ. Ε. Κ. Βευερ. — τὸ, ἐπίσκοπον οὐ κεῖται ἐν Σ. Ρ. καὶ Πηδ. — (2) καί περ Βίν. — (3) μὴ δυνάμενος Σ. Ρ. — τὸ, μὴ, οὐ κεῖται ἐν Π. Χ. Τρ. καὶ Βευερ. — (4) Π. Χ. Τρ. — εὐσεβέστατον, Βευερ.

τῷ μνημονευθέντι ἀντὶ ἐγκλήματος τὴν παραίτησιν. Ὅθεν οὐδὲ τῇ ὑμετέρᾳ θεοσεβείᾳ ἐμεμψάμεθα, χειροτονησάσῃ δεόντως εἰς τὸν αὐτοῦ τόπον τὸν μνημονευθέντα εὐλαβέστατον (1) ἐπίσκοπον Θεόδωρον. Ἐπειδὴ δὲ τῇ ἀπραγμοσύνῃ τοῦ ἀνδρὸς οὐ σφόδρα φιλονεικεῖν ἀκόλουθον, ἔδει δὲ μᾶλλον ἐλεῆσαι πρεσβύτην, ἔξω καὶ πόλεως τῆς ἐνεγκούσης αὐτὸν, καὶ πατρῴων ἐνδιαιτημάτων ἐν μακροῖς οὕτω γεγονότα χρόνοις, ἐδικαιώσαμεν, καὶ ὡρίσαμεν, δίχα πάσης ἀντιλογίας, ἔχειν αὐτὸν τό τε τῆς ἐπισκοπῆς ὄνομα, καὶ τὴν τιμὴν, καὶ τὴν (2) κοινωνίαν. Οὕτω μέν τοι, ὥςε μὴ χειροτονεῖν αὐτὸν, μήτε μὴν ἐκκλησίαν καταλαβόντα ἱερουργεῖν ἐξ ἰδίας αὐθεντίας· ἀλλ᾿ ἢ ἄρα συμπαραλαμβανόμενον, εἴτουν ἐπιτρεπόμενον, εἰ τύχοι, παρὰ ἀδελφοῦ, καὶ συνεπισκόπου, κατὰ διάθεσιν, καὶ ἀγάπην τὴν ἐν Χριςῷ. Εἰ δέ τι βουλεύσησθε χρηστότερον ἐπ᾿ αὐτῷ, ἢ νῦν, ἢ εἰς τὸ μετὰ ταῦτα, ἀρέσει καὶ τοῦτο τῇ ἁγίᾳ συνόδῳ.

—

ΖΩΝΑΡ. Ὁ Εὐστάθιος, οὗ μέμνηται ἡ ἐπιστολὴ αὕτη, ἐπίσκοπος ἦν τῆς Παμφυλίας. Παμφυλία δέ ἐστιν ἡ τῆς Ἀτταλείας ἐπαρχία. Ὁ γοῦν ῥηθεὶς ἀνὴρ περιστάσεσιν ἐμπεπτωκὼς, καὶ ἀπαγορεύσας διὰ μικροψυχίαν καὶ ἀπραγμοσύνην, ἐγγράφως παρῃτήσατο τὴν ἐπισκοπήν. Κἀκεῖ μὲν ἄλλος κεχειροτόνητο· ὁ δὲ Εὐστάθιος κλαίων προσῆλθε τῇ ἱερᾷ ταύτῃ συνόδῳ, οὐ τὴν πόλιν, οὐ τὴν ἐκκλησίαν ἀνακαλούμενος, οὐδ᾿ ἀμφισβητῶν περὶ αὐτῶν τῷ μετ᾿ αὐτὸν χειροτονηθέντι, ὄνομα δὲ καὶ τιμὴν αἰτῶν ἐπισκόπου, καλεῖσθαι δηλαδὴ θέλων ἐπίσκοπος, καὶ τιμὴν ἔχειν ἐν καθέδραις, καὶ τοιούτοις ἄλλοις ἐπισκόπῳ προσήκουσιν. Φησὶν οὖν ἡ ἱερὰ σύνοδος, ὅτι συνηλγήσαμεν τῷ πρεσβύτῃ, καὶ κοινὸν ἡγησάμεθα τὸ αὐτοῦ δάκρυον, καὶ ἐζητήσαμεν μαθεῖν, εἰ κανονικῶς καθῃρέθη ὁ ἄνθρωπος, τινῶν ἴσως κατηγορησάντων αὐτοῦ ἐπὶ ἀτόποις τισίν. Ἐπεὶ δὲ

(1) Π. Χ. Τρ. Ε. Κ. — οὐχ εὕρηται παρὰ Βευερ. τὸ, εὐλαβέστατον; —
(2) Χ. Τρ. Σ. Ῥ. — τὸ, τὴν, οὐ κεῖται ἐν Π.

μηδὲν τοιοῦτον ἐπ' αὐτῷ γεγονέναι ἐμάθομεν, παραιτήσασθαι δὲ αὐτὸν τὴν ἐπισκοπὴν, καὶ διὰ τοῦτο αὐτῆς ἐκπεσεῖν δι' ἀπραγμοσύνην, οὐκ ἀκόλουθον ἐλογισάμεθα φιλονεικεῖν τῇ ἀπραγμοσύνῃ τοῦ ἀνδρὸς, ἤτοι τῇ περὶ τὰ πράγματα ἀνεπιτηδειότητι· δεῖν δὲ μᾶλλον ἐκρίναμεν ἐλεῆσαι τὸν γηραιὸν, ἐπὶ χρόνοις πολλοῖς τῆς πατρίδος αὐτοῦ, καὶ πατρῴων ἐνδιαιτημάτων ἐκπεπτωκότα· καὶ ὡρίσαμεν, καὶ δίκαιον ἡγησάμεθα, ἔχειν αὐτὸν τὸ ὄνομα τῆς ἐπισκοπῆς, καὶ τὴν τιμὴν, καὶ τὴν κοινωνίαν, τὸ ἐντὸς τοῦ θυσιαστηρίου εἰσιέναι δηλαδὴ, καὶ μεταλαμβάνειν· μήτε δὲ ἱερουργεῖν αὐτὸν, μήτε χειροτονεῖν, εἰ μὴ συμπαραληφθείη παρ' ἑτέρου ἐπισκόπου, ὥστε συλλειτουργῆσαι ἐκείνῳ, ἢ συγχειροτονῆσαι, ἢ ἐπιτραπείη τοιοῦτόν τι ποιῆσαι παρὰ τοῦ τῆς ἐνορίας ἐκείνης ἐπισκόπου. Καὶ ἡμεῖς μὲν ταῦτα, φησὶν ἡ σύνοδος, δεδώκαμεν αὐτῷ· εἰ δέ τι βουλεύσεσθε χρηστότερον ὑμεῖς ἐπ' αὐτῷ, ἢ νῦν, ἢ μετὰ ταῦτα, ἤγουν εἰ καὶ πλέον τι παράσχοιτε αὐτῷ δίκαιον, ἢ προνόμιον, καὶ τοῦτο ἀρεστὸν ἡμῖν δόξει. Ἐκ ταύτης τῆς συνοδικῆς οἰκονομίας οἴονταί τινες ἐνδεδόσθαι τοῖς ἐπισκόποις παραιτεῖσθαι τὰς ἐκκλησίας αὐτῶν, τὴν δὲ ἀρχιερωσύνην παρακρατεῖν. Οἶμαι δὲ τοὐναντίον μᾶλλον ἐντεῦθεν καταλαμβάνεσθαι· ὅτι πάλαι οἱ τὰς ἐπισκοπὰς παραιτούμενοι, εἰ τέως ἐδέχοντο, πάντων ἐξέπιπτον, καὶ οὔτε ἀρχιερατικόν τι δίκαιον μετὰ τὴν παραίτησιν εἶχον, οὔτε ἐπίσκοποι ὠνομάζοντο. Εἰ γὰρ ἦν ἔθος, ὥστε τὸν παραιτησάμενον ἀρχιερατικὰ δίκαια ἔχειν, τί δήποτε ὁ Εὐστάθιος μετὰ δακρύων προσήει τῇ ἱερᾷ συνόδῳ, καὶ ᾐτεῖτο καλεῖσθαι ἐπίσκοπος, καὶ ἐπισκόπου ἔχειν τιμὴν, καὶ ἡ σύνοδος ἔγραφε περὶ τούτου τῇ κατὰ Παμφυλίαν συνόδῳ; Μᾶλλον μὲν οὖν ἀπὸ τῆς ἐπιστολῆς ταύτης, καὶ τὸ ὅλως παραιτεῖσθαι τοὺς ἀρχιερεῖς τὰς ἐπισκοπὰς οὐκ ἀνέγκλητον φαίνεται εἶναι, οὐδὲ γίνεσθαι τότε, λεγούσης, ὡς, ἀπειρηκὼς πρὸς τὰς φροντίδας ἐκ πολλῆς ἀπραγμοσύνης, παραιτήσεως, οὐκ ἴσμεν ὅπως, προσεκόμισε βιβλίον. Ἔδει γὰρ, ὡς, ἅπαξ ἐγκεχειρισμένον ἱερατικὴν φροντίδα, ταύτης ἔχεσθαι μετ' εὐρωστίας πνευματικῆς, καὶ οἷον ἀνταποδύεσθαι τοῖς πόνοις, καὶ ἱδρῶτα τὸν ἔμμισθον ἐθελοντὶ ὑπομέ-

νειν. Ὅτι μὲν οὖν οὐκ ἔθος ἦν παραιτήσεις ἐκκλησιῶν γίνεσθαι τότε, ἐμφαίνεται ἀπὸ τοῦ γράψαι τὴν σύνοδον, ὡς, οὐκ ἴσμεν ὅπως παραιτήσεως προσεκόμισε βιβλίον. Ξενιζομένων γὰρ ἐπὶ τῇ πράξει, καὶ ἀπορούντων ἦν τὸ λέγειν, ὡς, οὐκ ἴσμεν ὅπως ἐγένετο τόδε· εἰ δὲ συνήθως ἐγίνετο, οὐκ ἂν ἠπορεῖτο. Τὸ δ' ἐπιφέρειν, ἔδει γὰρ, ὡς ἅπαξ ἐγκεχειρισμένον ἱερατικὴν φροντίδα, ἔχεσθαι ταύτης, καὶ τὰ ἑξῆς, δίδωσιν ἐννοεῖν, ὅτι τὸ παραιτεῖσθαι τὰς ἱερατικὰς φροντίδας οὐκ ἐπιτετραμμένον, ἀλλ' ἀποτετραμμένον (1) μᾶλλόν ἐστι, καὶ ὑπ' αἰτίασιν. Εἰ γὰρ οἱ ἄρτι πρώτως καλούμενοι εἰς ποιμαντικὴν λειτουργίαν λαοῦ, εἰ μὴ πείθοιντο τοῖς ψηφιζομένοις αὐτοὺς, ἀφωρισμένοι εἰσὶ, κατὰ τὸν λϛ'. κανόνα τῶν ἁγίων Ἀποστόλων, ἕως ἂν καταδέξωνται, καὶ κατὰ τὸν ιζ'. τῆς ἐν Ἀντιοχείᾳ συνόδου, πῶς οἱ χειροτονηθέντες, καὶ τὴν τοῦ λαοῦ προστασίαν καταδεξάμενοι, ἀπραγμόνως δεχθήσονται παραιτούμενοι, καὶ, τὸ ἐγχειρισθὲν αὐτοῖς ὑπὸ τῆς θείας χάριτος λειτούργημα ἀπαναινόμενοι, οὐκ ἐπιτιμηθήσονται μᾶλλον, ἀλλὰ καὶ γέρας ἕξουσι τὸ καλεῖσθαι ἐπίσκοποι, καὶ τυγχάνειν τιμῆς ἀρχιερατικῆς; ὅπερ ἡ ἐν Ἀντιοχείᾳ σύνοδος, ὡς πρεσβεῖον ἀπένειμε τῷ χειροτονηθέντι εἰς παροικίαν, καὶ μὴ δεχθέντι παρὰ τοῦ ἐκεῖσε λαοῦ, οὐ παρ' αἰτίαν οἰκείαν, ἀλλὰ παρὰ τὴν τοῦ λαοῦ ἀταξίαν, καὶ κακοήθειαν, ὡς ὁ ὀκτωκαιδέκατος αὐτῆς περιέχει κανών. Καὶ ἡ γραφὴ δὲ τῆς ῥηθείσης ἐπιστολῆς δείκνυσιν, ὡς οἰκονομία τὸ πᾶν ἦν διὰ τὴν μικροψυχίαν τοῦ Εὐσταθίου, καὶ τὸ τῆς λύπης σφοδρόν. Περιέχει γὰρ, ὡς, ἐπειδὴ προσῆλθε κλαίων, καὶ ἐξαιτῶν τόδε καὶ τόδε, συνηλγήσαμεν ἅπαντες τῷ πρεσβύτῃ, καὶ κοινὸν ἐλογισάμεθα τὸ αὐτοῦ δάκρυον· καὶ μετά τινα· Ἐπεὶ δὲ τῇ ἀπραγμοσύνῃ τοῦ ἀνδρὸς οὐ σφόδρα φιλονεικεῖν ἀκόλουθον· ἔδει δὲ μᾶλλον ἐλεῆσαι πρεσβύτην, καὶ τὰ ἑξῆς· ἐκ τούτων οὖν ἐμφαίνεται (2), ὅτι τὰ δάκρυα καὶ τὸ βαθὺ γῆρας δυσωπηθέντες τοῦ ἀνδρὸς ἐκείνου, καὶ μή τι αὐτῷ συμβαίη εὐλαβηθέντες ἐκ τῆς ἀμέτρου λύπης, ᾠκονόμησαν ὅσα καὶ ᾠκονόμησαν, ἀλλ' οὐχ ὡς τυποῦντες ταῦτα, καὶ οὕτω γίνεσθαι καὶ εἰς τὸ ἑξῆς διατατττόμενοι. Ἤδεισαν γὰρ τοὺς κανόνας πάντως, καὶ

(1) Χ. Τρ. — ὑποτετραμμένον Βευερ. — (2) ἐφαίνετο Χ. Τρ.

οὐκ ἂν ἐναντία τοῖς ἀποστολικοῖς κανόσι, καὶ τοῖς τῶν πρὸ αὐτῶν ἁγίων Πατέρων ὥριζον διατάγμασι, καὶ παραιτεῖσθαι τοῖς βουλομένοις ἐνεδίδουν, καὶ προνομίων ἀρχιερατικῶν ἀπολαύειν καὶ μετὰ τὴν παραίτησιν. Πῶς γὰρ ἔμελλον τοῦτο ποιῆσαι οἱ φρονοῦντες, ὅτι τὸν ἅπαξ ἐγκεχειρισμένον ἱερατικὴν φροντίδα, χρὴ ταύτης ἔχεσθαι μετ' εὐρωστίας πνευματικῆς, καὶ ὅσα ἐπήγαγον ἐφεξῆς; Ὅτι δὲ τὸ σύμπαν τοῖς δάκρυσι τοῦ πρεσβύτου ἐκείνου κατακλασθέντες ἐποίησαν, δηλοῦται καὶ ἐκ πολλῶν ἄλλων ῥημάτων τῆς ἐπιστολῆς, καὶ ἐκ τοῦ γράψαι· Εἰ δέ τι βουλεύσεσθε χρηστότερον ἐπ' αὐτῷ, ἀρέσει καὶ τοῦτο τῇ ἁγίᾳ συνόδῳ· τοσοῦτον γὰρ τὸν ἄνδρα ἠλέησαν τοῖς ἐκείνου καμφθέντες δάκρυσι, καὶ τῇ συμφορᾷ, ὡς καὶ τοὺς ἄλλους παραθήγειν εἰς ἔλεον ἐκείνου, καὶ παρακαλεῖν εἰς συμπάθειαν. Εἰ δὲ ὡς κανόνα τὴν συνοδικὴν ταύτην ἐπιστολὴν δέχονται, καὶ οὐχ ὡς οἰκονομίαν ἐπ' ἐκείνῳ γενομένην τῷ Εὐσταθίῳ, τί μὴ καὶ τοῖς παραιτησαμένοις τὰς ἑαυτῶν ἐκκλησίας, καὶ τὴν ἀρχιερωσύνην αὐτὴν, εἰ αὖθις προσιᾶσι (1) καὶ προσκλαίουσι, διδόασιν ὄνομά τε ἐπισκοπῆς, καὶ ἀρχιερατικὰ δίκαια, καὶ τιμήν; Ἐκεῖνος γὰρ ἅπαντα καθάπαξ παραιτησάμενος φαίνεται, καὶ πάντων ἐκπεπτωκὼς, ἐκ τοῦ λέγειν τοὺς τῆς συνόδου, ὅτι, ἐζητοῦμεν (2) μαθεῖν, εἰ καθαίρεσιν ἔννομον ὑπομεμένηκεν, ἤγουν ἐπί τισι τῶν ἀτόπων ἐλήλεγκται (3). Καὶ δὴ ἐμάθομεν τοιοῦτον μὲν οὐδὲν πεπράχθαι, γενέσθαι δὲ μᾶλλον τῷ Εὐσταθίῳ ἀντὶ ἐγκλήματος τὴν παραίτησιν. Ὥσπερ οὖν, εἰ ἐπ' ἀτόπῳ τινὶ ἑάλω, οὕτως ἦν ἁπάντων τῶν τῆς ἐπισκοπῆς δικαίων ἐκπεπτωκὼς ἐκ τῆς παραιτήσεως, ὡς καὶ καθῃρεῖσθαι (4) αὐτῇ δοκεῖν. Ἀλλ' ὅμως ἡ σύνοδος τοῖς ἐκείνου δάκρυσιν ἐπικαμφθεῖσα, ἐψηφίσατο ὅσα τῇ ἐπιστολῇ περιέχονται. Τοῖς γοῦν ὡς κανόνα καὶ τύπον δεχομένοις αὐτὴν, οὐδὲ τοὺς παραιτησομένους τήν τε τῶν πραγμάτων διοίκησιν, καὶ τὴν ἀρχιερωσύνην αὐτὴν, διαιρουμένας κατ' ἐκείνους, αὖθις προσίεσθαι καινόν τι δόξει, καὶ ψηφί-

(1) Χ. Τρ. — εἰς αὖθις προσιᾶσαι Κ. Βευερ. — (2) Χ. Τρ. — ἐξητοῦμεν Κ. Βευερ. — (3) Χ. Τρ. — ἐληλεγμένων Κ. Βευερ. — (4) Χ. Τρ. Κ. — τὸ, ὡς, οὐχ εὕρηται παρὰ Βευερ.

ζεσθαι σφίσι κλῆσιν ἐπισκόπου, ἱερουργίαν τε, καὶ τιμήν. Οὐκ εὐστόχως οὖν τῆς διανοίας τῶν σεπτῶν ἐκείνων Πατέρων καταστοχάζονται, οἱ ὡς κανόνι χρώμενοι τῇ ἐπιστολῇ ταύτῃ, καὶ ἐνδίδοσθαι ἐξ αὐτῆς νομίζοντες, παραιτεῖσθαι τοὺς ἐπισκόπους τὰς ἐκκλησίας αὐτῶν, τὴν δὲ ἀρχιερωσύνην παρακατέχειν. Οἱ γὰρ τοῦτο διδόντες, καὶ κανόνι ἑτέρῳ ἐναντιοῦνται. Ἡ γὰρ ἐν Χαλκηδόνι σύνοδος τῶν ἑξακοσίων τριάκοντα ἁγίων Πατέρων ἐν ἕκτῳ κανόνι, μηδένα ἀπολελυμένως χειροτονεῖσθαι τεθέσπικε, μὴ πρεσβύτερον, μὴ διάκονον, μήτε τινὰ ὅλως τῶν ἐν τῷ ἐκκλησιαστικῷ τάγματι, εἰ μὴ ἰδικῶς ἐν ἐκκλησίᾳ πόλεως, ἢ κώμης, ἢ μαρτυρίῳ, ἢ μοναστηρίῳ ὁ χειροτονούμενος ἐπικηρύττοιτο· τοὺς δὲ ἀπολύτως χειροτονουμένους, ἄκυρον ἔχειν τὴν τοιαύτην χειροθεσίαν, καὶ μηδαμοῦ δύνασθαι ἐνεργεῖν, ἐφ' ὕβρει τοῦ χειροτονήσαντος. Ἐπεὶ τοίνυν οἱ ἥττονος ὄντες βαθμοῦ ἀπολύτως χειροτονεῖσθαι οὐ συγχωροῦνται, ἀλλὰ, κἂν χειροτονηθῶσιν, ἀνενέργητοι μένουσι, καὶ τοσοῦτον τὸ πρᾶγμα ἔδοξεν ἀποτρόπαιον, ὡς καὶ τὸν χειροτονήσαντα κρίνεσθαι ὕβρεως ἄξιον, πῶς ὁ μείζονος ἀξίας, μᾶλλον δὲ τῆς ὑπερτέρας πασῶν, ἀπολύτως, καὶ ἀνωνύμως ἐπίσκοπος ἔσεται, καὶ κληθήσεται, καὶ ἀξιωθήσεται δικαίων ἀρχιερατικῶν; Πᾶς γὰρ ἀρχιερεὺς χειροτονούμενος, πόλει τινὶ ἐπικηρύττεται, κἀκείνης ἐπίσκοπος ὀνομάζεται. Ὁ γοῦν τὴν πόλιν, ἐφ' ᾗ ἐπεκηρύχθη, λιπὼν, καὶ παραιτησάμενος τὸ ἐν αὐτῇ ἱερᾶσθαι, καὶ ἐπισκοπεῖν τὸ ἐν ἐκείνῃ τοῦ μεγάλου ἀρχιποίμενος (1) ποίμνιον, πῶς ἐπίσκοπος κληθήσεται τοῦ λοιποῦ, τίνας ἐπισκοπῶν; Τὸ γὰρ ὄνομα τούτου πράγματός ἐστι, καὶ ἐνεργείας δηλωτικόν· ὁ δ' ἀποσεισάμενος τὴν ἐνέργειαν, ἐκπέπτωκε καὶ τῆς κλήσεως. Ἐπίσκοπος δὲ καλεῖσθαι μὴ πεφυκὼς, τίνι δικαίῳ τῆς ἱερωσύνης ἀνθέξεται, καὶ ἀρχιερατικοῦ προνομίου, καὶ τιμῆς ἀπολαύσει. Πῶς δὲ καὶ ἱεράρχης ὀνομασθήσεται ὁ μὴ κλῆρον ὑφ' ἑαυτὸν ἔχων, οὐδ' ἄρχων ἱερωμένων; ᾧ δὲ μὴ πρόσεστι πρὸς ἀλήθειαν τῆς ἱεραρχίας τὸ ὄνομα, οὐδ' ἡ ἐνέργεια πρόσεστιν· ὁ γὰρ τοῦ ὀνόματος μὴ μετέχων, μᾶλλον οὐκ ἂν μεθέξοι τοῦ πράγματος. Λοιπὸν οὖν οὐδεὶς τὸ αὐτῷ ἐπι-

(1) ἀρχιερέως Χ. Τρ.

τεθὲν λειτούργημα τῆς ἐπισκοπῆς δεχθήσεται παραιτούμενος, εἰ μὴ ἀνάξιον ἑαυτὸν τῆς ἱερωσύνης ὁμολογεῖ. Εἰ δέ τις δώσει, πάντως δὲ οὐ (1) κανονικῶς δεχθῆναι τὸν παραιτούμενον, πάσης ἀξίας ἱερατικῆς, καὶ παντὸς δικαίου τῆς ἀρχιερωσύνης, ἅμα τῇ παραιτήσει, ἐκπεσεῖται ὁ παραιτούμενος. Ὅτι δὲ παραιτήσεις οὐ χρὴ δέχεσθαι, καὶ ἐκ τοῦ τρίτου κεφαλαίου τῆς πρὸς Δόμνον ἐπιστολῆς τοῦ ἁγίου Κυρίλλου φανερῶς ἀποδείκνυται (2), λέγοντος· Καὶ ἑτέρως δὲ πρᾶγμά ἐστιν οὔτε τοῖς τῆς ἐκκλησίας ἀρέσκον θεσμοῖς, τὸ λιβέλλους παραιτήσεων προσάγειν τινὰς τῶν ἱερουργῶν, καὶ τὰ ἑξῆς. Ζήτει καὶ τὰ γραφέντα εἰς τὸν δέκατον κανόνα τοῦ ἁγίου ἱερομάρτυρος Πέτρου, ἀρχιεπισκόπου (3) Ἀλεξανδρείας.

ΒΑΛΣ. Παμφυλία ἐστὶν ἡ τῆς Ἀτταλείας ἐπαρχία. Καὶ ἐπεὶ Εὐστάθιός τις, ἐπισκοπεύσας ἐν αὐτῇ, παρῃτήσατο ἐγγράφως τὴν ἐπισκοπὴν διά τινας ὀχλήσεις, καὶ περιστάσεις πραγματικάς, πάλιν δὲ παρεκλήτευσε μετὰ δακρύων, μόνην τιμὴν ἐπισκόπου καὶ κλῆσιν ἔχειν, ἐδυσωπήθη ἡ ἁγία σύνοδος· καὶ ὥρισε, διὰ τῆς παρούσης ἐπιστολῆς, πρὸς τὴν ἐν Παμφυλίᾳ σύνοδον ἀποσταλείσης, ἐλέους ἀξιωθῆναι τὸν γέροντα· καὶ τὸν μὲν ἐν Παμφυλίᾳ χειροτονηθέντα ἐπίσκοπον Θεόδωρον, πάλιν εἶναι ἐπίσκοπον· τὸν δὲ Εὐστάθιον, ὡς μὴ καθαιρεθέντα, ἀλλὰ δι᾽ ἀπραγμοσύνην (4) παραιτησάμενον, ἔχειν, κατ᾽ οἰκονομίας λόγον, ἃ ἐζήτησεν, ἤγουν ὄνομα καὶ τιμὴν ἐπισκόπου, καὶ κοινωνίαν, ἤγουν (5) μεταλαμβάνειν ἐντὸς τοῦ θυσιαστηρίου· μηδὲν δέ τι ἐνεργεῖν ἐπισκοπικὸν, εἰ μὴ κατὰ θέλησιν τοῦ ἐγχωρίου ἐπισκόπου ἐπιτραπῇ. Οὐδὲ γὰρ ἔκρινε δίκαιον φιλονεικεῖν (6) τῇ ἀπραγμοσύνῃ τοῦ ἀνδρὸς, ἤτοι τῇ περὶ τὰ πράγματα ἀνεπιτηδειότητι αὐτοῦ. Ταῦτα τῆς ἐπιστολῆς διαλαμβανούσης, λέγουσί τινες ἐνδοθῆναι τοῖς ἀρχιερεῦσιν ἀπὸ ταύτης, παραιτεῖσθαι τοὺς θρόνους τῶν ἐκκλησιῶν, καὶ τὴν ἀρχιερωσύνην παρακρατεῖν· εἰ μὴ γὰρ τοῦτο ἦν, φασὶ, δυνατὸν, οὐκ ἂν ἡ σύνοδος τῷ Εὐσταθίῳ παρε-

(1) ἴσ. οὐ δεῖν. — (2) δείκνυται Χ. Τρ. — (3) τὸ, ἀρχιεπισκόπου, οὐχ εὕρηται ἐν Χ. Τρ. — (4) πάλιν εἶναι ἐπίσκοπον παραιτησάμενον Χ. Τρ, — (5) καὶ μεταλαμβάνειν Χ. Τρ. — (6) Χ. Τρ. — φιλονεικεῖν τινα Βευερ, Ε.

χώρησεν ὄνομα ἔχειν ἐπισκόπου καὶ τιμὴν, καὶ μετὰ θελήσεως τοῦ ἐγχωρίου ἐπισκόπου ἱερουργεῖν· οὐκ ἔστι δὲ τοῦτο, ὡς οἴομαι, ἀληθές. Τὸ γὰρ ὑπὸ τῶν Πατέρων διορισθὲν, κατ᾽οἰκονομίας λόγον ὡρίσθη· καὶ οὐ χρὴ τὸ κατ᾽ οἰκονομίαν διά τι χρήσιμον εἰσενεχθὲν, εἰς ὑπόδειγμα ἕλκεσθαι, καὶ ὡς κανόνα κρατεῖν εἰς τὸ ἑξῆς· ἄλλως τε τῆς ἐπιστολῆς μὴ λεγούσης, τὴν μὲν οἰκονομίαν τῆς ἐπισκοπῆς παραιτήσασθαι τὸν Εὐστάθιον, ὑποκρατῆσαι δὲ τὴν ἱερωσύνην, (ἢ γὰρ ἂν οὐδὲ παρεκλήτευσε λαβεῖν ὅπερ εἶχεν,) ἀλλὰ μᾶλλον διαλαμβανούσης παραιτήσασθαι αὐτὸν τὴν ἐπισκοπήν· καὶ τῶν Πατέρων μὴ διορισαμένων τὸ κατὰ συμπάθειαν ἐπὶ τῷ Εὐσταθίῳ γενόμενον κρατεῖν καὶ ἐφεξῆς, πόθεν οὗτοι διαιροῦσι τὰ ἀδιαίρετα, καὶ νομοθετοῦσι τὰ μὴ τῇ ἐπιστολῇ περιεχόμενα; Καὶ ταύτην δὲ τὴν οἰκονομίαν, νομίζω μὴ ἀπεριμερίμνως γενέσθαι. Τῶν γὰρ κανόνων, καὶ τῆς πρὸς Δόμνον ἐπιστολῆς τοῦ ἁγίου Κυρίλλου, διοριζομένων, λιβέλλους παραιτήσεως μὴ προσάγειν τινὰς τῶν ἱερέων, (εἰ γὰρ, φησὶν, εἰσὶν ἄξιοι τοῦ λειτουργεῖν, ἔστωσαν ἐν τούτῳ· εἰ δὲ ἀνάξιοι, μὴ ἀπὸ παραιτήσεως ἐξίτωσαν, κατεγνωσμένοι δὲ μᾶλλον ἐπὶ πράγμασι), πῶς ἄν τις εἴποι τὴν ἐν Ἐφέσῳ σύνοδον, καὶ μᾶλλον τὸν προϊστάμενον ταύτης μέγαν Κύριλλον, ὑπεναντίως ἑαυτῷ καὶ τοῖς λοιποῖς Πατράσι διορίσασθαι; Ἀλλ᾽ ὡς ἔοικε τῆς παραιτήσεως τοῦ Εὐσταθίου μὴ οὔσης βεβαίας, ἀλλὰ κατασειομένης ἔν τισι, κατένευσε κατὰ λόγον οἰκονομίας ἡ ἁγία σύνοδος εἰς ἃ διωρίσατο. Ὅτι δὲ τοιαύτη ἦν ἡ παραίτησις τοῦ Εὐσταθίου, παρίσταται καὶ ἀπ᾽ αὐτῆς τῆς ἐπιστολῆς, λεγούσης, ὡς οὐκ ἴσμεν ὅπως παραιτήσεως προκεκόμικε βιβλίον ὁ Εὐστάθιος, καὶ οἷον ξενιζομένης ἐπὶ τῇ ταύτης παραδοχῇ. Εἰ γὰρ οὐ κατεσείετο (1) ὑπό τινος αὕτη, οὐδὲ τὸ ὀνομάζεσθαι ἐπίσκοπον, καὶ ἱερουργεῖν ἂν ἐνεδόθη (2) αὐτῷ· ὥστε τὸ διὰ τῆς παρούσης ἐπιστολῆς οἰκονομηθὲν οὐκ ἔστι καθολικόν. Δηλοῦται δὲ τοῦτο καὶ ἐκ τοῦ γράψαι τοὺς Πατέρας, ὡς, εἴπερ παρὰ τῶν ἐγχωρίων καὶ ἕτερόν τι χρηστότερον γένηται εἰς τὸν γέροντα, ἀρέσκει τοῦτο τῇ συνόδῳ. Ἔτι εἰπὲ, ὡς, τῆς ἐν Χαλκηδόνι συνόδου διορι-

(1) Οὐ γὰρ κατεσείετο Χ. Τρ. — (2) Χ. Τρ. — ἐδόθη Ἑ. Βευερ.


ζομένης μηδένα ἀπολελυμένως χειροτονεῖσθαι, ὁ ὑποκρατήσας ἐπίσκοπος μόνην τὴν ἱερωσύνην, ὥς τινές φασι, ποίων ἱερέων ἱεράρχης ὀνομασθήσεται, ἢ τίνας διδάξει; ποίων δὲ καὶ ἐπισκοπεύσει; πάντως οὐδέ τινων· διὸ οὐδὲ ἐνδυνάμως (1) μόνη ἡ ἱερωσύνη ὑποκρατηθήσεται. Ζήτει καὶ τὸν δέκατον κανόνα τοῦ ἁγίου Πέτρου, Ἀρχιεπισκόπου Ἀλεξανδρείας.

ΑΡΙΣΤ. Ἀντέχειν ὀφείλων Εὐστάθιος καρτερῶς, (τοῦτο γὰρ ἅπας ἐπίσκοπος), νῶτα δούς, ἀφελῶς παρῃτήσατο· Θεόδωρος ἀντὶ τούτου κεχειροτόνηται· ὁ δὲ, κλαίων καὶ δυσωπῶν, τὴν τιμὴν αἰτεῖ· ὁ ἀντ' ἐκείνου χειροτονηθεὶς(2) ἀνεύθυνος, ἔχων δηλαδὴ τὴν ἐκείνου παραίτησιν ἀντ' ἐγκλήματος (3).

Ὁ ἐπίσκοπος οὗτος Εὐστάθιος, ἀπράγμων ὢν, καὶ μὴ δυνάμενος τῶν τῆς ἐκκλησίας πραγμάτων ἀντέχεσθαι, καὶ πρὸς τὰς ἐπερχομένας αὐτῷ φροντίδας ἀνθίστασθαι, καὶ διακρούεσθαι ταύτας· παρῃτήσατο τὴν τῶν πραγμάτων διοίκησιν· καὶ ἐχειροτονήθη ἀντ' αὐτοῦ ἕτερος. Εἶτα τῇ ἐν Ἐφέσῳ συνόδῳ προσῆλθεν, οὐ τὴν ἐπισκοπὴν ἀνακαλούμενος· εἰ γὰρ ἄν, οὐδὲ εἰσηκούσθη, ἅπαξ ταύτην παραιτησάμενος, καὶ ἀντ' αὐτοῦ ἑτέρου χειροτονηθέντος· ἀλλὰ τὴν ἐπισκοπικὴν τιμὴν ζητῶν ἔχειν, καὶ τὴν κοινωνίαν· καὶ ἐδικαιώθη ἐπ' αὐτῇ, χωρὶς πάσης ἀντιλογίας, ὥστε ἐπίσκοπον αὐτὸν ὀνομάζεσθαι, καὶ τῆς τιμῆς, καὶ τῆς καθέδρας μετέχειν, καὶ ἱερουργεῖν, οὐκ ἐξ ἰδίας αὐθεντίας· ἀλλ' ὁπότε παρ' ἀδελφοῦ καὶ συνεπισκόπου ἐπιτραπῇ, κατὰ διάθεσιν καὶ ἀγάπην τὴν ἐν Χριστῷ. Κατὰ συμπαθῆ δὲ λόγον οἱ τῆς συνόδου ταύτης Πατέρες ὑπέθεντο τῇ ἐν Παμφυλίᾳ συνόδῳ, εἰς ἣν ἐτέλει καὶ ὁ Εὐστάθιος, χρηστότερόν τι περὶ αὐτοῦ βουλεύσασθαι, ἢ νῦν, ἢ μετέπειτα· τὸ δὲ ἦν, ἢ εἰς ἐκκλησίαν σχολάζουσαν προχειρίσασθαι, ἢ ἄλλως χειραγωγῆσαι αὐτόν.

---

(1) Χ. Τρ. — ἐν δυνάμει Βευερ. Ε. — (2) χειροτονήσας Βευερ. — (3) Ὁ δὲ δεδικαίωται μόνον τοῦτο, τὸ τῆς ἐπισκοπῆς ἔχειν ὄνομα, καὶ τὴν κοινωνίαν αὐτήν, καὶ ὅ, τι χρηστότερον δέδοκται. Β.



ΚΑΝΟΝΕΣ

ΤΗΣ ΕΝ ΧΑΛΚΗΔΟΝΙ

ΑΓΙΑΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗΣ

ΤΕΤΑΡΤΗΣ ΣΥΝΟΔΟΥ (1).

ΖΩΝΑΡ. καὶ ΒΑΛΣ. Ἡ ἁγία τετάρτη καὶ οἰκουμενικὴ σύνοδος γέγονεν ἐν τοῖς χρόνοις τῆς βασιλείας (2) Μαρκιανοῦ, ἑξακοσίων τριάκοντα ἁγίων Πατέρων συναθροισθέντων ἐν Χαλκηδόνι, κατὰ Διοσκόρου τῆς περιωνύμου προστατοῦντος (3) Ἀλεξανδρείας, καὶ Εὐτυχοῦς, ἀρχιμανδρίτου Κωνσταντινουπόλεως, οἳ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὁμοούσιον μὲν τῷ Πατρὶ ὡμολόγουν, περὶ δὲ τὴν ἐνανθρώπησιν ἐβλασφήμουν, καὶ φεύγοντες τὴν τοῦ Νεστορίου διαίρεσιν, δύο Υἱοὺς εἰσάγοντος, εἰς ἄλλο κακὸν ἐκ διαμέτρου ἐνέπιπτον (4). Τὰς γὰρ δύο φύσεις τῆς Θεότητος καὶ τῆς ἀνθρωπότητος μετὰ τὴν ἕνωσιν συγκραθῆναι, καὶ εἰς μίαν ἀποτελεσθῆναι φύσιν ἀσεβῶς ἐδογμάτιζον, ὡς καὶ τῇ Θεότητι προσαρμόζειν τὰ πάθη. Ἀλλὰ καὶ τὴν σάρκα οὐχ ὁμοούσιον ἡμῖν ἀνειληφέναι τὸν Κύριον ἔλεγον, οὐδὲ ἐκ τῶν παρθενικῶν αἱμάτων συμπαγεῖσαν, ἀλλὰ καὶ ἀῤῥήτως πως, καὶ θειοτέρως σεσαρκῶσθαι αὐτὸν ἀνέπλαττον, καὶ ἄλλα δὲ ἐφλυάρουν· οὓς καθεῖλε καὶ ἀνεθεμάτισεν ἡ ἁγία σύνοδος αὕτη, τέλειον Θεὸν, καὶ τέλειον ἄνθρωπον τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δογματίσασα, ἐν δύο φύσεσιν ἀδιαιρέτως, καὶ ἀσυγχύτως. Ἐξέθετο δὲ καὶ κανόνας τοὺς ὑποτεταγμένους.

Κανὼν Α'.

Τοὺς παρὰ τῶν ἁγίων Πατέρων καθ' ἑκάστην σύνοδον

---

(1) Ὅροι ἐκκλησιαστικοὶ ἐκφωνηθέντες παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Χαλκηδόνι συναχθείσης, Βρ. — (2) τοῦ βασιλέως Χ. Τρ. — (3) προστάντος Χ. Τρ. — (4) εἰς ἄλλο μεῖζον κακὸν ἐνέπιπτον Χ. Τρ.

ἄχρι τοῦ νῦν ἐκτεθέντας κανόνας κρατεῖν ἐδικαιώσαμεν.

—

ΖΩΝΑΡ. Καὶ αἱ οἰκουμενικαὶ σύνοδοι, καὶ αἱ τοπικαὶ, αἱ πρὸ ταύτης τῆς ἁγίας συνόδου γενόμεναι, κανόνας ἐξέθεντο, τοὺς μὲν, εἰς δογμάτων συντελοῦντας ἀκρίβειαν, τοὺς δὲ, εἰς ἐκκλησιαστικὴν ἀφορῶντας κατάστασιν, καὶ τὰς ἐκκλησίας ῥυθμίζοντας. Ἅπαντας οὖν ἐκείνους οἱ ἐν ταύτῃ τῇ συνόδῳ συναθροισθέντες ἅγιοι Πατέρες ἐπεκύρωσαν διὰ τοῦ παρόντος κανόνος, καὶ κρατεῖν ἐδικαίωσαν, ἀντὶ τοῦ δίκαιον ἔκριναν, καὶ ἡγήσαντο.

ΒΑΛΣ. Ἐδικαίωσαν οἱ Πατέρες, ἀντὶ τοῦ δίκαιον εἶναι ἔκριναν, κρατεῖν τοὺς πρὸ τῆς δ'. συνόδου ἐκτεθέντας κανόνας ὑπὸ τῶν πρὸ αὐτῶν ἁγίων Πατέρων. Καὶ μὴ εἴπῃς, πῶς οὐκ ἐμνήσθη ὁ κανὼν τοπικῶν συνόδων καὶ οἰκουμενικῶν· ἀπὸ γὰρ τοῦ κυρωθῆναι τοὺς παρὰ τῶν ἁγίων Πατέρων καθ' ἑκάστην σύνοδον μέχρι τοῦ τότε καιροῦ συντεθέντας κανόνας, στηρίζονται πασῶν τῶν συνόδων τὰ θεσπίσματα.

ΑΡΙΣΤ. Οἱ τῶν ἁγίων Πατέρων ἑκάστης συνόδου κανόνες κρατείτωσαν.

Κανὼν Β'.

Εἴ τις ἐπίσκοπος, ἐπὶ χρήμασι χειροτονίαν ποιήσαιτο, καὶ εἰς πρᾶσιν καταγάγοι τὴν ἄπρατον χάριν, καὶ χειροτονήσοι ἐπὶ χρήμασιν ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ πρεσβυτέρους, ἢ διακόνους (1), ἢ ἕτερόν τινα τῶν ἐν τῷ κλήρῳ κατηριθμημένων (2), ἢ προβάλλοιτο ἐπὶ χρήμασιν οἰκονόμον, ἢ ἔκδικον, ἢ παραμονάριον (3), ἢ ὅλως τινὰ τοῦ κανόνος, δι' αἰσχροκέρδειαν οἰκείαν (4), ὁ τοῦτο ἐπιχειρήσας, ἐλεγχθεὶς, κινδυνευέτω περὶ τὸν οἰκεῖον βαθμόν· καὶ ὁ χειροτονούμενος, μηδὲν ἐκ τῆς κατ' ἐμπορίαν ὠφελείσθω χειροτονίας, ἢ προβολῆς· ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας, ἢ τοῦ φροντίσματος, οὗπερ ἐπὶ χρήμασιν ἔτυχεν. Εἰ δέ

---

(1) Π. Σ. Ρ.'Ιουστ.—ἢ πρεσβύτερον, ἢ διάκονον Βρ. Βευερ.—(2) καταριθμουμένων Βρ. —(3) ἢ προσμονάριον Βρ. — (4) τὸ, οἰκείαν, οὐ κεῖται παρὰ Βευερ.

τις καὶ μεσιτεύων φανείη τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι, καὶ οὗτος, εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ· εἰ δὲ λαϊκὸς, ἢ μονάζων, ἀναθεματιζέσθω.

ΖΩΝΑΡ. Καὶ τῶν ἁγίων Ἀποστόλων, καὶ συνόδων ἄλλων κανόνες εἰσὶ διάφοροι περὶ τοῦ μὴ χειροτονεῖσθαί τινας ἐπὶ δόσει χρημάτων, μήτε μὴν διὰ προστασίας ἀρχοντικῆς. Ὁ δὲ παρὼν κανὼν οὗτος πλατύτερον τὰ περὶ τούτου διατάττεται, καὶ ἀπαριθμεῖ τοὺς χειροτονουμένους, καὶ τοὺς προβαλλομένους. Οἱ μὲν γὰρ χειροτονοῦνται, ὡς ἐπίσκοποι, καὶ πρεσβύτεροι, καὶ διάκονοι, καὶ ὑποδιάκονοι· οἱ δὲ σφραγίζονται μόνον, καὶ τοῦτο διὰ χειροθεσίας ἐστὶν, ὡς ἀναγνῶσται, καὶ ψάλται, καὶ οἱ τούτοις ὅμοιοι· οἱ δὲ προβάλλονται, ὡς οἰκονόμοι, καὶ ἔκδικοι, καὶ παραμονάριοι. Πάντας οὖν τούτους ἀπαγορεύει ὁ κανὼν οὗτος ἐπὶ δόσει χρημάτων γίνεσθαι, καὶ τοὺς τὴν ἄπρατον χάριν τοῦ ἁγίου Πνεύματος, τὴν ἀτίμητον δηλαδὴ, τὴν πράσει μὴ ὑποπίπτουσαν, διὰ τὸ ὑπερφυὲς αὐτῆς καὶ ὑπέρτιμον, πωλοῦντας (τοῦτο γὰρ τὸ εἰς πρᾶσιν κατάγειν), ἐλεγχομένους, κινδυνεύειν θεσπίζει περὶ τὸν οἰκεῖον βαθμὸν, ἀντὶ τοῦ ἐκπίπτειν τούτου, καθαιρουμένους. Ταῦτα μὲν οὖν περὶ τῶν ἐπὶ (1) χρήμασι χειροτονούντων, ἢ καὶ προβαλλομένων ὅλως τινὰ τῶν τοῦ κανόνος, ἤτοι τοῦ ἐκκλησιαστικοῦ τάγματος. Τοὺς δὲ χειροτονουμένους ἐπὶ δόσει χρημάτων, ἢ προβαλλομένους, μὴ ὠφελεῖσθαι ἐκ τῆς κατ᾽ ἐμπορίαν χειροτονίας, ἤγουν κατὰ πραγματείαν αἰσχροκερδῆ (2), διατάττεται. Εἰ γὰρ τοὺς ἐν τῷ κλήρῳ κατειλεγμένους οἱ ἱεροὶ κανόνες κωλύουσιν ἀλλοτρίων κτημάτων γίνεσθαι μισθωτὰς, καὶ κοσμικὰ πράγματα ἐργολαβεῖν δι᾽ αἰσχροκέρδειαν, κατὰ τὸν ἐφεξῆς κανόνα, καὶ κατὰ τὸν ις΄. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου, λέγοντα, Μὴ δεῖν ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἐκλήπτορας γίνεσθαι, ἢ προκουράτωρας, (3) μηδὲ ἔκ τινος αἰσχροῦ, ἢ ἀτίμου πράγματος τροφὴν

---

(1) Χ. Τρ. — ἐν χρήμασι Κ. Βευερ. — (2) Χ. Τρ. — αἰσχροκερδείας Κ. Βευερ. — (3) ἐκλήπτορας γίνεσθαι ἢ προκουράτωρας Χ. Τρ.

πορίζεσθαι, καὶ κατὰ τὸν μέγαν Ἀπόστολον, φάσκοντα· Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ, καὶ κατὰ τοὺς πολιτικοὺς νόμους· πολλῷ μᾶλλον μὴ τὰ τοιαῦτα ἐμπορεύεσθαι ἀπαγορεύουσί τινας, καὶ ὤνιον κτᾶσθαι τὴν χάριν τοῦ ἁγίου Πνεύματος· διὸ κἀκείνους ἐκπίπτειν τῆς ἀξίας, ἤτοι τοῦ βαθμοῦ. Τοῦτο ἐπὶ τῶν προβαλλομένων (1) ὁ παρὼν κανὼν διατάττεται· καὶ τοὺς μέσους δὲ γενομένους ἐν τοῖς τοιούτοις, καὶ σπουδὴν εἰσάγοντας, ὥστε τινὰς ἐπὶ χρήμασι χειροτονηθῆναι, ἢ προβληθῆναι, κἀκείνους, κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι κελεύει, λαϊκοὺς δὲ, ἢ μονάζοντας, ἀναθεματίζεσθαι. Ὁ δὲ τῶν ἁγίων Ἀποστόλων κανὼν κθ'. καὶ καθαιρεῖσθαι κελεύει τοὺς ἐπὶ χρήμασι χειροτονουμένους, καὶ τῆς κοινωνίας ἐκπίπτειν, ὡς Σίμων ὁ μάγος· κοινωνίαν δὲ νοητέον ἐνταῦθα, οὐ τὴν τῶν ἁγιασμάτων μετάληψιν, ἀλλὰ καὶ τὴν μετὰ τῶν πιστῶν σύναξίν τε καὶ σύστασιν. Ὁ γὰρ Σίμων ὑπὸ τοῦ Πέτρου τῆς τῶν πιστῶν ὁμηγύρεως τέλεον ἐξεκόπη, χρήματα προσαγαγὼν αὐτῷ, καὶ αἰτήσας δοθῆναι αὐτῷ ἀντὶ τούτων τὴν χάριν τοῦ ἁγίου Πνεύματος. Οὐ μόνον δὲ τοὺς χειροτονήσαντας, ἢ χειροτονηθέντας ἐπὶ χρήμασι κολάζει ὁ κανὼν, ἀλλὰ καὶ τοὺς ἐπιχειρήσαντας, κἂν πρὸ τοῦ εἰς ἔργον *ἀγαγεῖν* (2) τὸ κακὸν ἠλέγχθησαν.

ΒΑΛΣ. Ὁ κθ'. κανὼν τῶν ἁγίων Ἀποστόλων καὶ ὁ λ'. καὶ ἕτεροι, μεγάλως τιμωροῦσι τοὺς διὰ χρημάτων χειροτονοῦντάς τε καὶ χειροτονουμένους. Ὁ δὲ παρὼν κανὼν διορίζεται, μὴ μόνον τούτους καθαιρεῖσθαι, ἀλλὰ καὶ τοὺς οὕτω σφραγίζοντας, ἢ σφραγιζομένους, πρὸς δὲ, καὶ τοὺς οὕτω προβαλλομένους, ἢ προβληθησομένους. Οἱ μὲν γὰρ ἐπίσκοποι, οἱ χωρεπίσκοποι, οἱ πρεσβύτεροι, οἱ διάκονοι, καὶ οἱ ὑποδιάκονοι χειροτονοῦνται· οἱ ψάλται, οἱ ἀναγνῶσται, οἱ ἄρχοντες, καὶ ἕτεροι, σφραγίζονται· οἱ δὲ οἰκονόμοι, οἱ χαρτουλάριοι, οἱ παραμονάριοι, καὶ ἕτεροι, προβάλλονται· καὶ τοῦτο παρίσταται ἀπὸ τοῦ παρόντος κανόνος, λέγοντος, Μηδὲν ἐκ τῆς κατ' ἐμπορίαν ὠφελεῖσθαι χειροτονίας, ἢ

(1) τοῦτο ἐπὶ τῶν χειροτονουμένων, ἢ τοῦ φροντίσματος, τοῦτο ἐπὶ τῶν προβαλλομένων X. Τρ. — (2) X. Τρ. — οὐχ εὕρηται τὸ, ἀγαγεῖν, παρὰ Βευερ. Κ.

προβολῆς· τῷ γὰρ ὀνόματι τῆς χειροτονίας καὶ ἡ σφραγὶς περιέχεται, ὡς διὰ χειρὸς γινομένη, οὐ μὴν καὶ ἡ προβολή· αὕτη γὰρ καὶ δίχα σφραγίδος τελεῖται. Ἀναφαίνεται δὲ τοῦτο καὶ ἐκ τοῦ εἰπεῖν τὸν κανόνα, Ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας ἢ τοῦ φροντίσματος, οὗ ἐπὶ χρήμασιν ἔτυχεν. Οὐ μόνους δὲ τούτους κολάζει, ὡς εἴρηται, ἀλλὰ καὶ τοὺς μεσάσαντας μοναχοὺς, ἢ λαϊκοὺς ὄντας, ἀναθεματίζει. Σημείωσαι τὸ τοῦ παραμοναρίου, καὶ τὸ τοῦ οἰκονόμου· περὶ δὲ χωρεπισκόπου ζήτει τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανόνα ιγ'.

ΑΡΙΣΤ. Ὁ ἐξωνούμενος, καὶ ὁ πιπράσκων χειροτονίαν μέχρις καὶ προσμοναρίου, περὶ τοὺς βαθμοὺς ἐπικίνδυνοι. Καὶ οἱ μεσάζοντες, κληρικοὶ μὲν, ἐκπιπτέτωσαν· λαϊκοὶ δὲ, ἢ μοναχοὶ, ἀναθεματιζέσθωσαν.

Κατὰ τὸν μέγαν Βασίλειον, χείρων ἐστὶ καὶ Μακεδονίου τοῦ πνευματομάχου ὁ τὴν ἄπρατον τοῦ Θεοῦ χάριν πιπράσκων. Ἔςαι οὖν καὶ ὁ χειροτονῶν, καὶ ὁ χειροτονούμενος ἐπὶ χρήμασι, τοῦ οἰκείου βαθμοῦ ἀλλότριος, κἂν ἐν ἐσχάτῳ βαθμῷ τοῦ κλήρου κεχειροτόνηται. Ἀλλὰ καὶ οἱ μεσάζοντες ἐπὶ ταῖς τοιαύταις χειροτονίαις, εἰ μὲν κληρικοί εἰσιν, ἐκπιπτέτωσαν τοῦ οἰκείου βαθμοῦ· εἰ δὲ λαϊκοὶ, ἢ μονάζοντές εἰσιν, ἀναθεματιζέσθωσαν.

Κανὼν Γ'.

Ἦλθεν εἰς τὴν ἁγίαν σύνοδον, ὅτι τῶν ἐν τῷ κλήρῳ κατειλεγμένων τινὲς, δι' (1) αἰσχροκέρδειαν, ἀλλοτρίων κτημάτων γίνονται μισθωταὶ, καὶ πράγματα κοσμικὰ ἐργολαβοῦσι, τῆς μὲν τοῦ Θεοῦ λειτουργίας καταῤῥαθυμοῦντες, τοὺς δὲ τῶν κοσμικῶν ὑποτρέχοντες οἴκους, καὶ οὐσιῶν χειρισμοὺς ἀναδεχόμενοι διὰ φιλαργυρίαν. Ὥρισε τοίνυν ἡ ἁγία καὶ μεγάλη σύνοδος, μηδένα τοῦ λοιποῦ, μὴ ἐπίσκοπον, μὴ κληρικὸν, μὴ μονάζοντα, ἢ μισθοῦσθαι κτήματα, ἢ πραγμάτων (2) ἐπεισάγειν ἑαυτὸν κοσμι-

---

(1) δι' οἰκείαν Βρ. — (2) ἢ κτημάτων Χ. Τρ. — ἢ πράγματα, ἢ ἐπεισάγειν κτλ. Βρ. Βευερ.

καῖς διοικήσεσι· πλὴν εἰ μήπου ἐκ νόμων καλοῖτο εἰς ἀφηλίκων ἀπαραίτητον ἐπιτροπήν· ἢ ὁ τῆς πόλεως ἐπίσκοπος ἐκκλησιαστικῶν ἐπιτρέψοι φροντίζειν πραγμάτων, ἢ ὀρφανῶν, ἢ χηρῶν ἀπρονοήτων, καὶ τῶν προσώπων τῶν μάλιστα τῆς ἐκκλησιαστικῆς δεομένων βοηθείας, διὰ τὸν φόβον τοῦ Θεοῦ (1). Εἰ δέ τις παραβαίνων τὰ ὡρισμένα τοῦ λοιποῦ ἐπιχειρήσοι, ὁ τοιοῦτος ἐκκλησιαστικοῖς ὑποκείσθω ἐπιτιμίοις.

ΖΩΝΑΡ. Καὶ τῶν ἁγίων Ἀποστόλων οἱ κανόνες τοῦτο κωλύουσι, καὶ ἀρχαίων συνόδων, καὶ οἱ νόμοι τῆς πολιτείας· ἀλλ' οὕτως ἐπράττετό τε, καὶ πράττεται. Διὸ καὶ ἡ ἱερὰ αὕτη σύνοδος ἔσπευσε κωλῦσαι τὸ παρὰ κανόνα γινόμενον, εἰ μὴ καὶ κατορθῶσαι ὃ προέθετο ἴσχυσε. Φησὶ γοῦν, ὅτι τινὲς τῶν ἐν τῷ κλήρῳ τεταγμένων ἀλλοτρίων κτημάτων γίνονται μισθωταὶ, καὶ πράγματα κοσμικὰ ἐργολαβοῦσι. Τὸ δὲ ἐργολαβεῖν καὶ παρὰ τοῖς νόμοις διαβεβλημένον ἐστίν· ἐργολαβεῖν δέ ἐστι τὸ ἀλλοτρίας ὑποθέσεις, ἢ πράγματα, ὑπεισέρχεσθαί τινας διὰ κέρδος, φροντίδων καὶ θορύβων κοσμικῶν, ἢ καὶ ἐρίδων ἀντεχομένους, καὶ οὐσιῶν ἀλλοτρίων διοικήσεσιν ἐγχειροῦντας διὰ φιλαργυρίαν. Ὥρισεν οὖν ἡ ἁγία σύνοδος, μήτε ἐπίσκοπον, μήτε κληρικὸν, μήτε μονάζοντα τοιοῦτόν τι ποιεῖν, ἢ μόνον ἐπίτροπον γίνεσθαι παίδων ἀφηλίκων, διὰ μὲν τῆς ἐπιτροπῆς, τῶν ἀνήβων μνησθεῖσα· τούτοις γὰρ ἐπίτροποι δίδονται· διὰ δὲ τοῦ εἰπεῖν ἀφηλίκων, κουρατωρείας μνημονεύσασα· ἄνηβοι μὲν γάρ εἰσιν οἱ ἥττονες τῶν ιδ'. ἐτῶν, ἀφήλικες δὲ, οἱ τὴν μὲν ἥβην ὑπεραναβάντες, ἥττους δὲ τῶν κέ. ἐνιαυτῶν, ὧν προΐστανται οἱ κουράτωρες· καὶ τότε καλουμένους ἐκ τοῦ νόμου εἰς ἐπιτροπὴν, ἢ κουρατωρεῖαν, ἀπαραιτήτους ὑπεισιέναι ταύταις κελεύει τούτους, οὐ μὴν ἑαυτοὺς ἐπιῤῥίπτειν τοιαύταις διοικήσεσι. Καὶ ὅτε δὲ ὁ τῆς πόλεως ἐπίσκοπος, ἐν ᾗ κεκλήρωνται οἱ ἱερωμένοι, ἢ παροικοῦσιν οἱ μοναχοὶ, (καὶ τοὺς μοναχοὺς γὰρ τῷ ἑκάστης πόλεως ἐπισκόπῳ ὑπο-

---

(1) Π. Βευερ. Κ. 'Ε. — τοῦ Κυρίου Χ. Τρ. Βρ. Σ. Ῥ.

κεῖσθαι ὁ μετὰ τοῦτον θεσπίζει κανὼν), πραγμάτων ἐκκλησιαστικῶν ἀναθήσει φροντίδα, καὶ ὀρφανῶν, καὶ χηρῶν ἀπρονοήτων· (οὕτω γὰρ κἀν ταῖς Πράξεσιν ἱστόρηται τῷ θείῳ Λουκᾷ τοὺς Ἀποστόλους ποιῆσαι, προχειρισαμένους τοὺς ἑπτὰ διακόνους, ἵνα μὴ τῇ διακονίᾳ τῇ καθημερινῇ παραθεωρῶνται αἱ χῆραι), ἢ προσώπων ἐπιτρέψει ἀντέχεσθαι (διὰ τὸν φόβον τοῦ Κυρίου, οὐ διὰ κέρδος, οὐ διὰ δόξαν), τῶν μάλιστα ἐκκλησιαστικῆς δεομένων βοηθείας, οἷοί εἰσιν οἱ τῇ ἁγίᾳ ἐκκλησίᾳ (1) προσφεύγοντες, δεδιότες δυνάστας, ὑφ' ὧν ἀδικοῦνται, ἢ πταίσαντες ἴσως, καὶ τὴν τῆς ἐκκλησίας ζητοῦντες ἐπικουρίαν, καὶ οἱ ἀδίκως εἰς δουλείαν ἑλκόμενοι, καὶ ἄλλοι τοιοῦτοι, δι' οὓς ἔκδικοι γίνονται. Τοὺς δὲ παραβαίνοντας τὰ ὡρισμένα ταῦτα, ἐπιτιμίοις ὑποκεῖσθαι κελεύει· τὰ δὲ τῶν ἐπιτιμίων οὐ προστέθεικεν εἴδη. Τί δήποτε; ὅτι οἱ περὶ τούτων τῶν σεπτῶν Ἀποστόλων κανόνες, ὁ μὲν ἕκτος, καὶ ὁ πγ'. τοὺς κοσμικὰς φροντίδας ἀναλαμβάνοντας, ἢ ῥωμαϊκὴν ἀρχὴν, καὶ διοίκησιν ἱερατικὴν (2) μετιέναι ἐπιχειρήσαντας, καθαιρεῖσθαι προστάττει· ὁ δὲ πα'. τῶν αὐτῶν κανόνων μὴ καθιέναι ἑαυτοὺς τοὺς ἱερωμένους εἰς δημοσίαν ὁρίζει διοίκησιν, καὶ ἐπιφέρει· Ἢ πειθέσθωσαν οὖν τοῦτο μὴ ποιεῖν, ἢ καθαιρείσθωσαν. Ὡς οὖν ἤδη τῶν ἐπιτιμίων τούτων ὁρισθέντων παρὰ τῶν ἁγίων Ἀποστόλων, ἡ σύνοδος αὕτη παρεσιώπησε ταῦτα· ὅπερ καὶ ἡ ἐν Καρθαγένῃ πεποίηκε σύνοδος. Κἀκείνη γὰρ ἐν ιϛ'. κανόνι περὶ τούτου θεσμοθετήσασα, οὐκ ἐπήγαγεν ἐπιτίμιον, διὰ τὴν αὐτὴν πάντως αἰτίαν, ἀλλὰ ταῦτα καὶ τῶν εἰρημένων κανόνων διαταξαμένων, τὸ κακὸν ἀθεράπευτον ἔμεινε· διὸ καὶ ἡ ἕκτη σύνοδος ἐν ιά. κανόνι τὰ αὐτὰ πάλιν ἀνενεώσατο, καὶ οὐδ' οὕτως ἴασις τῆς νόσου ταύτης ἐγένετο. Καὶ μέχρι γὰρ νῦν γίνεται τὸ κακὸν, καὶ οὐδεὶς ὁ ἀνακόπτων αὐτὸ, οὐ πατριάρχης, οὐ βασιλεὺς, οὐκ ἐπίσκοπος. Παραθεωροῦνται γοῦν οἱ τοσοῦτοι κανόνες, καὶ τοῖς οὕτω καθῃρημένοις ἐκ τῶν κανόνων συλλειτουργοῦσι, καὶ συγκοινωνοῦσιν οἱ πατριάρχαι, καὶ οἱ ἐπίσκοποι.

ΒΑΛΣ. Διάφοροι κανόνες ἐκώλυσαν τοὺς μοναχοὺς, καὶ τοὺς

(1) οἱ ταῖς ἁγίαις ἐκκλησίαις Χ. Τρ. — (2) Χ. Τρ. — καὶ διοίκησιν ἱερατικὴν ἀξίαν Βευερ. Κ.

κληρικοὺς κοσμικῶν πραγμάτων φροντίδας(1) ἀναδέχεσθαι, καὶ ἀλλοτρίων ὑποθέσεων καὶ δουλειῶν ἐργολάβους γίνεσθαι. Καὶ ὡς τῶν κανόνων ἴσως ἀθετουμένων, ὥρισαν οἱ ἅγιοι Πατέρες, τοὺς τοιοῦτόν τι ποιοῦντας ὑπὸ ἐκκλησιαστικὸν εἶναι ἐπιτίμιον. Οἷον δὲ τοῦτό ἐστιν, εἴπομεν σαφέστερον ἐν τῷ ϛ'. ἀποστολικῷ κανόνι, καὶ ἐν τῷ πα'. καὶ ἐν τῷ πγ'. καὶ ἀνάγνωθι τούτους τε, καὶ τὰ ἐν αὐτοῖς, καὶ τὸ ιγ'. κεφ. τοῦ η'. τίτλου τοῦ παρόντος συντάγματος. Ζήτει καὶ τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ιϛ'. καὶ τῆς ζ'. συνόδου κανόνα ι'. Ἐπεὶ δὲ ὁ μὲν κανὼν διορίζεται, τοὺς ἐπισκόπους, κληρικούς τε, καὶ μοναχοὺς, ἀφηλίκων ἐπιτροπὰς ἀναδέχεσθαι, εἴπερ ἐκ νόμων καλοῖντο, καὶ ἐκκλησιαστικῶν πραγμάτων φροντίδας, καὶ προστασίας ὀρφανῶν, ἢ χηρῶν, ἢ ἄλλως ἀπρονοήτων προσώπων, καὶ τῆς ἐκκλησιαστικῆς δεομένων βοηθείας, εἴπερ παρὰ τοῦ ἐπισκόπου ἐπιτρέποιντο· ἡ δὲ ρκγ'. Ἰουστινιάνειος νεαρὰ, ἡ κειμένη ἐν βιβλίῳ τρίτῳ, τίτλῳ ά. κεφ. ιβ'. φησί· Τοὺς δὲ θεοφιλεστάτους ἐπισκόπους, καὶ μοναχοὺς, ἐκ μηδενὸς τρόπου ἐπιτρόπους, ἢ κουράτωρας οἱουδήτινος προσώπου γίνεσθαι συγχωροῦμεν· τοὺς δὲ πρεσβυτέρους, καὶ διακόνους, καὶ ὑποδιακόνους, τῷ δικαίῳ καὶ μόνῳ τῆς συγγενείας, εἰς ἐπιτροπὴν, ἢ κουρατωρείαν καλουμένους, τὴν τοιαύτην λειτουργίαν ὑποδέχεσθαι συγχωροῦμεν· εἴπῃ τις μὴ ὀφείλειν τοὺς ἐπισκόπους, καὶ τοὺς μοναχοὺς ἐξ οἱουδήτινος τρόπου γίνεσθαι ἐπιτρόπους, ἢ κουράτωρας (2), ὡς ὑπὸ τῆς νεαρᾶς κωλυθέντας. Ἐμοὶ δὲ δοκεῖ τὴν νεαρὰν ἐκφωνηθῆναι εἰς μόνον τὸ ἐμποδίζεσθαι τοὺς ἐπισκόπους καὶ τοὺς μοναχοὺς γίνεσθαι οἴκοθεν ἐπιτρόπους, ἢ κουράτωρας, ἢ ὅταν ὑπὸ τῶν νόμων εἰς τοῦτο καλῶνται· κατὰ γὰρ ἐπισκοπικὴν ἐπιτροπὴν πᾶσαν διοίκησιν ἀναδεχόμενοι, κατὰ τὴν περίληψιν τοῦ παρόντος κανόνος καὶ τοῦ μετ' αὐτὸν, οὐ προκριματισθήσονται. Οἱ μέν τοι πρεσβύτεροι, διάκονοι, καὶ ἀναγνῶσαι, κατὰ τὸν παρόντα κανόνα καὶ τὴν νεαρὰν, *καὶ*(3) χωρὶς ἐπισκοπικῆς ἐπιτροπῆς, γίνονται ὀρφανῶν ἐπίτροποι, καὶ κουράτωρες, ὅτε ὑπὸ τοῦ νόμου πρὸς τοῦτο καλοῦνται. Γίνωσκε

(1) Χ. Τρ. — μὴ ἀναδέχεσθαι Ἐ. Βευερ. — (2) οἴκοθεν Χ. Τρ. — (3) Χ. Τρ.

δὲ, ὅτι ἐπίτροποι μὲν δίδονται τοῖς ἀνήβοις ἄῤῥεσιν, ἀπὸ τοῦ πρώτου ἐνιαυτοῦ, μέχρι τοῦ ιδ'. καὶ αὐτοῦ· ὥσπερ καὶ ταῖς θηλείαις, μέχρι τοῦ ιβ'. καὶ αὐτοῦ· κουράτωρες δὲ τοῖς ἀφήλιξι, μέχρι τοῦ κέ. χρόνου καὶ αὐτοῦ, κἂν ἄῤῥενες ὦσι, κἂν θήλειαι. Ἐνεργεῖν δὲ τούτους πάντας (1) πράγματα ἐκκλησιαστικὰ ἀδιαστίκτως δέδοκται, κἂν ὁ παρὼν κανὼν φησι, μετὰ ἐπισκοπικῆς ἐπιτροπῆς τοῦτο γίνεσθαι· ὥστε συναγαγὼν εἰπὲ, ὅτι πάντες οἱ τῷ κανόνι περιεχόμενοι (2), κατ' ἐπιτροπὴν μὲν ἐπισκοπικὴν, οὐ μόνον ἐκκλησιαστικὰ πράγματα, ἀλλὰ καὶ πολιτικὰ ἐνεργήσουσιν ἀπροκριματίστως· πρὸς δὲ, καὶ πᾶσαν ἐπιτροπὴν, καὶ κουρατωρείαν· μὴ μεσολαβούσης δὲ τοιαύτης ἐπιτροπῆς, οἱ μὲν ἐπίσκοποι, καὶ οἱ μοναχοὶ, οὐκ ἐπιτροπεύσουσιν, οὐδὲ κουρατωρεύσουσιν (3), οὐδ' ὅτε εἰς τοῦτο ἐκ νόμου καλοῦνται· οἱ δὲ κληρικοὶ μόνον, ὅτε καλοῦνται ὑπὸ τοῦ νόμου, ἐπιτροπεύσουσι, καὶ κουρατωρεύσουσι· πάντες δὲ κοινῶς οὐκ ἐμποδισθήσονται διοικεῖν πράγματα ἐκκλησιαστικὰ, καὶ δίχα ἐπιτροπῆς ἐπισκοπικῆς. Ἡ μέντοι ξή. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, ἐνέδωκε μόνοις τοῖς μοναχοῖς, καὶ τοῖς κληρικοῖς, ἐπιτρόπους γίνεσθαι, καὶ διοικητὰς ἐπὶ τελευταίων βουλημάτων (4), καὶ ἐνεργήσουσι ταῦτα, κἂν κοσμικῶν πραγμάτων διοίκησίς ἐστι, καὶ δίχα ἐπισκοπικῆς ἐπιτροπῆς. Τῇ προφάσει δὲ τῆς τοιαύτης νεαρᾶς ἐνεργήσουσι καὶ ἐπίσκοποι ἐπιτροπὰς ἐπὶ τελευταίων βουλημάτων (4)· καὶ ἐρωτώμενοι πῶς τοῦτο ποιοῦσιν, ἐπεὶ ἀπὸ ταύτης οὐδέν τι ἐνδύναμον ἔχειν λέγουσι, προβάλλονται τοὺς κανόνας, καὶ τοὺς νόμους, τοὺς διοριζομένους, εἰς πάσας τὰς ψυχικὰς διαδόσεις τοὺς ἐπισκόπους μεσολαβεῖν. Ἐμοὶ δὲ δοκεῖ πρόσφορον εἶναι τοῦτο εἰς τοὺς ἐγχωρίους ἀρχιερεῖς, οὐ μὴν καὶ εἰς τοὺς παρ' ἐνορίαν γραφέντας ἐπιτρόπους. Ἀνάγνωθι οὖν ἐπιστατικώτερον τὴν ἄνωθεν καταστρωθεῖσαν Ἰουστινιάνειον νεαράν. Ἐπεὶ δὲ καὶ ἡ πς'. νεαρὰ τοῦ αὐτοῦ βασιλέως, τοῦ φιλοσόφου, διορίζεται ἀφορίζεσθαι τοὺς ἐπισκόπους, καὶ τοὺς κληρικοὺς, συνηγοροῦντας, ἢ ἐγγυωμένους, ἢ πολιτικά τινα ἐνεργοῦντας· καὶ εἰ μὴ διορθω-

(1) Χ. Τρ. — πάντας τούτων Βευερ. — (2) Χ. Τρ. — περιεργόμενοι 'Ε. Βευερ. (3) οὐκ ἐπιτροπεύουσιν, οὐδὲ κουρατωρεύουσι Χ. Τρ. — (4) Ἐ. Βευερ. — ἐπιτελευτίων βουλημάτων Χ. Τρ.

θῶσιν, ἐπάγεσθαι αὐτοῖς καὶ καθαίρεσιν, μὴ εἴπῃς ἐναντιοῦσθαι ταύτην τοῖς διαληφθεῖσιν ἀποστολικοῖς κανόσιν, ἀλλ' εἰπὲ ἰσοδυναμεῖν ἐκείνοις, ὡς ἐκληφθεῖσι μὴ ἄλλως τούτους καθαιρεῖσθαι, εἰ μὴ, εἰ μετὰ παραγγελίαν οὐ παύσωνται. Τὰ μέν τοι περὶ τῶν συνηγορούντων, καὶ ἐγγυωμένων ἱερωμένων (1) γραφέντα εἰς τὸ ιγ'. κεφάλαιον τοῦ ή. τίτλου τοῦ παρόντος συντάγματος, καὶ εἰς τὸν κ'. ἀποστολικὸν κανόνα, ἀρκοῦσιν εἰς ἑρμηνείαν καὶ τῆς παρούσης νεαρᾶς.

ΑΡΙΣΤ. Οἱ κοσμικῶν οἴκων ἐπιμέλειαν ἀναδεχόμενοι, ἐπιτιμητέοι· πλὴν εἰ μὴ καλέσει νόμος εἰς ἀφηλίκων διοίκησιν ἀπαραίτητον· ἢ ὁ ἐπίσκοπος ὀρφανῶν καὶ χηρῶν ἐπιμέλειαν ἐπιτρέψειε.

Οἱ τοῦ κλήρου, ἐν τοῖς οἴκοις τῶν κοσμικῶν πρὸς διδασκαλίαν τῶν παίδων αὐτῶν, καὶ τῶν οἰκετῶν, προσλαμβανέσθωσαν, κατὰ τὸν δέκατον κανόνα τῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον· ἐπιμέλειαν δὲ τῶν πραγμάτων αὐτῶν μὴ ἀναδεχέσθωσαν, εἰ μὴ βούλονται ἐπιτιμηθῆναι. Ὀρφανῶν δὲ, καὶ χηρῶν, καὶ ἄλλων ἐλεεινῶν διοίκησιν ἐπιτρεπέσθωσαν· ὥσπερ καὶ συγγενῶν ἰδίων, ἀφηλίκων ὄντων, κηδεμονίαν, εἴπερ νόμος αὐτοὺς εἰς τοῦτο καλέσει, δικαίῳ τῆς συγγενείας. Ἐπίσκοποι δὲ, ἢ μοναχοὶ, οὐδὲ συγγενῶν ἐπίτροποι, ἢ κουράτωρες γίνεσθαι συγχωροῦνται· διοικηταὶ δὲ οὗτοι πάντες τῶν μετὰ τὴν ἐκδημίαν καταλιμπανομένων πραγμάτων ὑπό τινων εἰς ψυχικὰς διαδόσεις γίνονται· καὶ καλοῦνται καὶ οἱ τοιοῦτοι ἐπίτροποι, κατὰ τὴν ἑξηκοστὴν ὀγδόην νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου.

Κανὼν Δ'.

Οἱ ἀληθῶς καὶ εἰλικρινῶς τὸν μονήρη μετιόντες βίον, τῆς προσηκούσης ἀξιούσθωσαν τιμῆς. Ἐπειδὴ δέ τινες τῷ μοναχικῷ κεχρημένοι προσχήματι (2), τάς τε ἐκκλησίας(3), καὶ τὰ πολιτικὰ διαταράσσουσι πράγματα, περιϊόν-

(1) Οὐχ εὕρηται τὸ, ἱερωμένων ἐν Χ. Τρ. — (2) σχήματι Ἰουστ. ἐν περισσ. — (3) Π. Χ. Τρ. Βρ. — τά τε τῆς ἐκκλησίας Βευερ.

τες ἀδιαφόρως(1) ἐν ταῖς πόλεσιν, οὐ μὴν ἀλλὰ καὶ μοναστήρια ἑαυτοῖς συνιστᾷν ἐπιτηδεύοντες, ἔδοξε, μηδένα μὲν μηδαμοῦ οἰκοδομεῖν, μηδὲ συνιστᾷν μοναστήριον, ἢ εὐκτήριον οἶκον, παρὰ γνώμην τοῦ τῆς πόλεως ἐπισκόπου· τοὺς δὲ καθ' ἑκάστην πόλιν, καὶ χώραν, μονάζοντας, ὑποτετάχθαι τῷ ἐπισκόπῳ, καὶ τὴν ἡσυχίαν ἀσπάζεσθαι, καὶ προσέχειν μόνῃ τῇ νηστείᾳ, καὶ τῇ προσευχῇ, ἐν οἷς τόποις ἀπετάξαντο (2), προσκαρτεροῦντες· μήτε δὲ ἐκκλησιαστικοῖς, μήτε βιωτικοῖς παρενοχλεῖν πράγμασιν, ἢ ἐπικοινωνεῖν, καταλιμπάνοντας τὰ ἴδια μοναστήρια, εἰ μήποτε ἄρα ἐπιτραπεῖεν διὰ χρείαν ἀναγκαίαν ὑπὸ τοῦ τῆς πόλεως ἐπισκόπου· μηδένα δὲ προσδέχεσθαι ἐν τοῖς μοναστηρίοις δοῦλον ἐπὶ τῷ μονάσαι, παρὰ γνώμην τοῦ ἰδίου δεσπότου· τὸν δὲ παραβαίνοντα τοῦτον ἡμῶν τὸν ὅρον, ὡρίσαμεν ἀκοινώνητον εἶναι, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ βλασφημῆται. Τὸν μέν τοι ἐπίσκοπον τῆς πόλεως, χρὴ τὴν δέουσαν πρόνοιαν ποιεῖσθαι τῶν μοναστηρίων.

ΖΩΝΑΡ. Τιμῆς ἀξίους τοὺς ἀληθῶς μονάζοντας, καὶ εἰλικρινῶς, ἀντὶ τοῦ καθαρῶς, καὶ οὐχ ὑποκεκριμένως, ἤ τινι κακίᾳ ἐπιμίκτως μετιόντας τὴν μοναδικὴν πολιτείαν, ἡ ἁγία σύνοδος ἔκρινε. Τοὺς δὲ τῷ μοναχικῷ σχήματι κεχρημένους ὡς ἐν προσχήματι, ἀντὶ τοῦ, δι' ἐπίδειξιν μόνον εἰς δέλεαρ, ὥστε δι' αὐτοῦ τοὺς ἀνθρώπους ἀπατᾷν, ἵνα, ὡς τὸ ἅγιον σχῆμα ἠμφιεσμένοι, τιμῶνται, τὰς ἐκκλησίας τε ὑπεισδύοντας, καὶ διδάσκειν ἴσως ἐπιχειροῦντας, ἤ τι ἕτερον ἐκκλησιαστικὸν ἐνεργεῖν, καὶ εἰς τὰ τῆς πόλεως πράγματα ἑαυτοὺς εἰσωθοῦντας, καὶ διοικεῖν ταῦτα θέλοντας, καὶ οὕτω ταράσσοντας τὰς ἐκκλησίας τε, καὶ τὰς πολιτείας (2), οὐκ ἀληθῶς μοναχοὺς ἡγεῖται ἡ σύνοδος. Καθάπαξ δὲ παντὶ ἀπηγόρευσε, μηδαμοῦ οἰκοδομεῖν μοναστήριον, ἢ εὐκτήριον, μὴ ἐν πόλει, μὴ ἐν κώμῃ,

---

(1) διαφόρως Σ. Ρ. — (2) Π. Χ. Τρ. Κ. — ἐπετάξαντο Ε. Βρ. Βευερ. — (3) πόλεις Χ. Τρ.

μὴ ἐν ἐρήμοις, καὶ ὄρεσι, παρὰ γνώμην τοῦ κατὰ χώραν ἐπισκόπου· καὶ τοὺς μοναχοὺς, τῷ ἑκάστης πόλεως ἐπισκόπῳ ὑποτετάχθαι ἐκέλευσε· καὶ ἡσυχάζειν ἐν οἷς ἀπετάξαντο τόποις, ἐργαζομένους τὰς ἀρετὰς, καὶ ἀμεθέκτους ὄντας πραγμάτων ἐκκλησιαστικῶν ὁμοῦ καὶ πολιτικῶν· μηδὲ καταλιμπάνειν τὰ ἴδια μοναστήρια, καὶ διοικήσεσι κοινωνεῖν πραγμάτων, εἰ μή που ὁ τῆς πόλεως ἐπίσκοπος ἐπιτρέψει τισὶ πραγμάτων οἰκονομίαν, διὰ χρείαν ἀναγκαίαν, κρίνας ἴσως αὐτοὺς ἐπιτηδείους πρὸς τοιαύτην διοίκησιν, καὶ ἀπορῶν ἑτέρων πρὸς τὸ πρᾶγμα τοιούτων (1). Ταῦτα καὶ ἡ σύνοδος, ἡ ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συγκροτηθεῖσα, ἐν τῷ πρώτῳ κανόνι διακελεύεται, καὶ ὁ ιζ'. κανὼν τῆς ἑβδόμης συνόδου. Ἑξῆς δὲ ὁ κανὼν οὗτος οἰκονομεῖ, μὴ προσδέχεσθαι δούλους ἐν μοναστηρίῳ μονάσαι θέλοντας, εἰ μὴ, γνώμῃ τῶν δεσποτῶν, ἵνα μὴ τὸ ὄνομα τοῦ Χριστοῦ βλασφημῆται. Εἰ γὰρ, ἄκοντος τοῦ δεσπότου, δοῦλός τινος καρῇ, βαρὺ τοῦτο ἡγήσεται ὁ κύριος αὐτοῦ, καὶ βλασφημήσει κατὰ τοῦ ἁγίου σχήματος, καὶ τῶν μοναχῶν· ἡ δὲ κατ αὐτῶν βλασφημία, καὶ εἰς τὸ Θεῖον αὐτὸ διαβήσεται. Βλασφημηθήσεται δὲ τὸ ὄνομα τοῦ Θεοῦ παρὰ τῶν ἀπίστων, καὶ ὅτε τοὺς μοναχοὺς ὁρῶσιν ἐν πόλεσι περιερχομένους, καὶ πολιτικὰ χειρίζοντας πράγματα. Ὑποτάξας δὲ ὁ κανὼν τοῖς κατὰ τόπον ἐπισκόποις τοὺς μοναχοὺς, καὶ τὰ μοναστήρια, ἐπάγει· Τὸν μέντοι ἐπίσκοπον τῆς πόλεως χρὴ τὴν δέουσαν πρόνοιαν ποιεῖσθαι τῶν μοναστηρίων, δύο πραγματευόμενος ἐνταῦθα, τό τε μὴ πράγματα ἔχειν τοὺς μοναχοὺς, μηδὲ ὀχλήσεις τὰς δι αὐτὰ, ἀλλ' εἶναι ἀπερισπάστους, καὶ ἡσυχάζειν, καὶ μόνον φροντίζειν τῶν εἰς ψυχικὴν συντεινόντων ὠφέλειαν, καὶ τὸ τὸν ἐπίσκοπον κἀντεῦθεν κέρδος ψυχικὸν περιποιεῖν ἑαυτῷ, καὶ εἰς δόξαν εἶναι Θεοῦ. Λαμψάτω γὰρ, φησὶν ὁ Κύριος, τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάζωσι τὸν Πατέρα ὑμῶν, τὸν ἐν τοῖς οὐρανοῖς. Ἐπεὶ δὲ τὰ τῶν ἐκκλησιῶν χρήματα πτωχικὰ ὀνομάζονται, καὶ εἰς ἐνδεεῖς ἐτάχθησαν ἀναλίσκεσθαι, καὶ τῷ ἐπισκόπῳ εἰς ἑαυτὸν ἐκ τούτων, πλὴν τῶν

(1) ποιούντων Χ. Τρ.

ἀναγκαίων πάνυ, ὅτε μὴ ἔχοι οἴκοθεν, οὐδὲν δαπανᾷν ἐφεῖται, ὡς ὁ μά. κανὼν τῶν ἁγίων Ἀποστόλων φησὶ, καὶ ὁ κέ. τῆς ἐν Ἀντιοχείᾳ συνόδου· καὶ τοῖς μοναχοῖς τοίνυν πράγματα μὴ ἔχουσι, καὶ λειπομένοις τῶν ἀναγκαίων, ἀπαιτεῖ ὁ κανὼν χορηγεῖν τὸν ἐπίσκοπον, ὡς ἐνδεέσι, τὰ χρειώδη πρὸς τὴν ζωήν.

ΒΑΛΣ. Σημείωσαι, ὅτι ἐφεῖται τοῖς ἐπισκόποις τὸ ἐπιτρέπειν μοναχοῖς διοίκησιν πολιτικῶν πραγμάτων· καὶ ἐὰν τοῖς ἐπισκόποις τοῦτο ἐνεδόθη, πολλῷ πλέον τοῖς βασιλεῦσιν ἐκκεχώρηται(1). Τοὺς καθαρῶς, τουτέςιν ἀληθῶς, καὶ μὴ καθ᾽ ὑπόκρισιν μονάζοντας, τιμᾶσθαι φησὶν ὁ κανών· τοὺς δὲ τῷ μοναχικῷ σχήματι κεχρημένους ὡς ἐν προσχήματι, καὶ πλανῶντας τοὺς ἀνθρώπους, σωφρονίζεσθαι, καὶ εἰς τὰς ἀποκάρσεις αὐτῶν πέμπεσθαι δέδοκται, ὡς ταράττοντας τάς τε ἐκκλησίας, καὶ τὰ πολιτικὰ πράγματα. Προϊόντες γὰρ διὰ μέσης τῆς ἀγορᾶς, καὶ παρεμβάλλοντες ἑαυτοὺς κοσμικοῖς πράγμασιν, ἴσως δὲ καὶ διδάσκοντες, ταράττουσι, τουτέςι μερίζουσι καὶ συγχέουσι τὰ Θεῖα, καὶ τὰ ἀνθρώπινα, μὴ ἐῶντες ταῦτα κατὰ τὴν οἰκείαν φύσιν ἐνεργεῖσθαι, ἤγουν, τὰ μὲν πραγματικὰ ὑπὸ τῶν λαϊκῶν, τὰ δὲ μοναχικὰ, καὶ ἐκκλησιαστικὰ, ὑπὸ τῶν ἀνατεθειμένων τῷ Θεῷ. Ἐπεὶ δὲ, φησὶν, οἱ αὐτοὶ διὰ φιλαρχίαν, καὶ μοναστήρια πειρῶνται ἐκ καινῆς ἀνεγείρειν, ἐφ᾽ ᾧ μὴ ὑποκεῖσθαι τῷ ἐπισκόπῳ, ὡρίσθη, μὴ ἔχειν ἐπ᾽ ἀδείας τινὰ ὁπουδήποτε μοναστήριον ἀνεγείρειν, ἢ εὐκτήριον, παρὰ γνώμην τοῦ ἐπισκόπου, ὑποκεῖσθαι δὲ πάντας τοὺς μοναχοὺς τῷ κατὰ χώραν ἐπισκόπῳ, καὶ προσκαρτερεῖν ἐν ᾗ ἀπεκάρησαν μονῇ. Προστίθησι δὲ εἶναι τούτους καὶ ἀμεθέκτους τῆς κοινωνίας, καὶ διοικήσεως τῶν ἐκκλησιαστικῶν πραγμάτων, ἢ τῶν βιωτικῶν, ἤτοι πολιτικῶν, εἰ μήπου ὁ τῆς πόλεως ἐπίσκοπο διὰ χρείαν ἀναγκαίαν ἐπιτρέψει τοῦτο. Τοὺς δούλους δὲ, παρὰ γνώμην τῶν δεσποτῶν, μὴ ἀποκείρειν ὥρισται· ἢ μὴν τὸν παραβαίνοντα (2) τοῦτον τὸν ὅρον, ἀκοινώνητον εἶναι. Τὸν μέν τοι ἐπίσκοπον τῆς πόλεως, χρὴ, φησὶ, προνοεῖσθαι τῶν μοναστηρίων. Σημείωσαι οὖν, ὅτι ἐκεῖσε οἱ μοναχοὶ προσ-

---

(1) Τὸ, Σημείωσαι, ὅτι . . . ἐκκεχώρηται, οὐ κεῖνται ἐν Χ. Τρ. — (2) Χ. Τρ. Ε. — τὸν παραβαίνοντα ταῦτα, τοῦτον τὸν ὅρον Βευηρ. Ἑ.

καρτερεῖν καὶ μονάζειν ὀφείλουσιν, ἔνθα δὴ καὶ ἀπετάξαντο, ἤγουν ἀπεκάρησαν· καὶ ὅτι, κατ' ἐπιτροπὴν τοῦ ἐπισκόπου, δύνανται μοναχοὶ διοικεῖν οὐ μόνον ἐκκλησιαστικὰ πράγματα, ἀλλὰ καὶ βιωτικά, τουτέστι πολιτικά· εἰ δὲ δύναται τοῦτο ποιεῖν ἡ ἐπισκοπικὴ ἐπιτροπή, πολλῷ πλέον ποιήσει ἡ βασιλικὴ ἐξουσία, ἡ προβαλλομένη καὶ ἐπισκόπους. Διὰ γὰρ τοῦτο, ὡς ἔοικε, καὶ ὁ μητροπολίτης ἐκεῖνος, ὁ Σίδης, ἀπαρεμποδίςως τὰ τῆς βασιλείας ᾠκονόμει, προσώπῳ τοῦ βασιλέως κυροῦ Μιχαὴλ τοῦ Δούκα. Καὶ ὁ μητροπολίτης ἐκεῖνος, ὁ Νεοκαισαρείας, ἀνεγράψατο τὰ τῆς πόλεως θαλάσσια δίκαια· καὶ ἄλλοι πολλοὶ ἀρχιερεῖς, καὶ μοναχοί, παρομοίως ἐνήργησαν δουλείας βασιλικάς, καὶ δημοσιακάς. Ἀνάγνωθι καὶ τὸν ά. κανόνα τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συγκροτηθείσης συνόδου, καὶ τὸν ιζ'. τῆς Ζ'. συνόδου (1). Ζήτει καὶ περὶ δούλων μοναζόντων παρὰ γνώμην τοῦ δεσπότου, τὸ λς'. κεφ. τοῦ ά. τίτ. τοῦ παρόντος συντάγματος.

ΑΡΙΣΤ. Εὐκτήριος οἶκος, ἢ μοναστήριον, γνώμης δίχα τοῦ ἐπισκόπου, ἀσύστατα· ἅπας δὲ μοναστὴς ὑποτετάχθω τῷ ἐπισκόπῳ· καὶ τῆς μονῆς, εἰ μὴ παρ' αὐτοῦ προτρέποιτο, μὴ ἀφιστάσθω· δοῦλος δέ, εἰ μὴ γνώμη τοῦ δεσπότου, μὴ μοναζέτω.

Ἄνευ γνώμης τοῦ κατὰ χώραν ἐπισκόπου, οὐ δεῖ μοναστήριον, ἢ ἐκκλησίαν κτίζεσθαι· ἀλλὰ καὶ πάντας τοὺς μοναχοὺς ὑποτάσσεσθαι αὐτῷ· καὶ τῆς μονῆς, ἐν ᾗ ἀπετάξαντο, μὴ ὑπαναχωρεῖν, εἰ μὴ ἐπιτραπῶσι παρὰ τοῦ ἐπισκόπου δι' ἑτέραν ὠφέλειαν. Δοῦλος δέ, παρὰ γνώμην τοῦ δεσπότου, ἐν μοναστηρίῳ μὴ προσδεχέσθω ἐπὶ τῷ μονάσαι· ὁ δὲ παραβαίνων τὰ ορισθέντα, ἔςαι ἀκοινώνητος. Χρὴ δὲ καὶ τὸν ἐπίσκοπον τὴν δέουσαν πρόνοιαν τῶν μοναστηρίων ποιεῖσθαι.

Κανὼν Ε'.

Περὶ τῶν μεταβαινόντων ἀπὸ πόλεως εἰς πόλιν ἐπισκόπων, ἢ κληρικῶν, ἔδοξε τοὺς περὶ τούτων τεθέντας κανόνας παρὰ τῶν ἁγίων Πατέρων ἔχειν τὴν (2) ἰσχύν.

—

(1) Χ. Τρ. Ε. — (2) Π. Χ. Τρ. Βευερ. — τὴν ἰδίαν ἰσχὺν Βρ.

ΖΩΝΑΡ. Κανόνες διάφοροι τῶν ἁγίων Ἀποστόλων περὶ τῆς ὑποθέσεως ταύτης εἰσὶν, οἳ καὶ ἐξηγήθησαν· ἀλλὰ μὴν καὶ διαφόρων συνόδων· οὓς καὶ κρατεῖν ὁ παρὼν κανὼν διατάττεται· τὸ γοῦν πάλιν τὰ αὐτὰ ἐξηγεῖσθαι, περιττὸν, ἢ καὶ ματαιοπονία ἐστίν. Ὁ δὲ βουλόμενος γνῶναι, τί περὶ τῆς ὑποθέσεως ταύτης οἱ κανόνες ἐκεῖνοι ὁρίζουσι, ζητησάτω αὐτοὺς, καὶ γνώσεται τὰ ὁρισθέντα, καὶ πότε, καὶ πῶς ἐπίσκοπος ἐκ τῆς ἰδίας πόλεως ἄπεισιν εἰς ἑτέραν.

ΒΑΛΣ. Διαφόρως ἐξηγήθησαν τὰ τοῦ τοιούτου κανόνος, καὶ οὐ χρὴ περὶ τῶν αὐτῶν ματαιοπονεῖν.

ΑΡΙΣΤ. Οἱ μεταβαίνοντες ἐκ πόλεως εἰς πόλιν, τοὺς περὶ τούτων κανόνας ὑποβλεπέτωσαν (1).

Εἴρηται καὶ ἐν τῷ τρισκαιδεκάτῳ κανόνι τῆς ἐν Ἀντιοχείᾳ συνόδου, μὴ τολμᾷν ἐπίσκοπον μεταβαίνειν ἐκ τῆς ἰδίας ἐπαρχίας εἰς ἑτέραν, καὶ χειροτονεῖν τινας, ἄνευ γνώμης τοῦ κατὰ χώραν ἐπισκόπου, ἢ ἕτερόν τι ἐπισκοπικὸν δίκαιον πράττειν· εἰ μὴ βούλεται καὶ τὰ ὑπ' αὐτοῦ πραττόμενα ἄκυρα μένειν, καὶ αὐτὸν δίκην δοῦναι τῆς ἀταξίας αὐτοῦ, καθῃρημένον ἐντεῦθεν ὄντα ὑπὸ τῆς ἁγίας Τριάδος· τοῦτο γοῦν καὶ ἐνταῦθα ὁ κανὼν οὗτος ὁρίζει.

Κανὼν ϛ'.

Μηδένα ἀπολελυμένως χειροτονεῖσθαι, μήτε πρεσβύτερον, μήτε διάκονον, μήτε ὅλως τινὰ τῶν ἐν τῷ ἐκκλησιαστικῷ τάγματι· εἰ μὴ ἰδικῶς ἐν ἐκκλησίᾳ πόλεως, ἢ κώμης (2), ἢ μαρτυρίῳ (3), ἢ μοναστηρίῳ, ὁ χειροτονούμενος ἐπικηρύττοιτο. Τοὺς δὲ ἀπολύτως χειροτονουμένους, ὥρισεν ἡ ἁγία σύνοδος, ἄκυρον ἔχειν τὴν τοιαύτην χειροθεσίαν, καὶ μηδαμοῦ δύνασθαι ἐνεργεῖν, ἐφ' ὕβρει τοῦ χειροτονήσαντος.

---

(1) Β. — ὑποπιπτέτωσαν Βευερ. — (2) Χ. Τρ. Βρ. Βευερ. Ἐ. Κ. Σ. Ῥ. — τὸ, κώμης, οὐ κεῖται ἐν Π. — (3) ἢ μαρτυρείῳ Σ, Ῥ.

ΖΩΝΑΡ. Ἱερεῖς καὶ διακόνους, ἢ ὅλως τινὰ τῶν ἐντεταγμένων ἐν κλήρῳ, διετάξατο ἡ σύνοδος αὕτη μὴ χειροτονεῖσθαι ἀπολελυμένως, ὥστε ὅπου βούλεται ἀπιέναι, καὶ ἱερουργεῖν, ἤ τινα ποιεῖν ἱερατικὴν πρᾶξιν (1)· ἀλλ' ἕκαστον χειροτονούμενον ἐν τῇ δε τῇ ἐκκλησίᾳ τῆς πόλεως, ἢ τῆς κώμης, ἢ τῷ δε τῷ ναῷ τῷ εἰς μάρτυρος οἱουδήτινος ὄνομα ᾠκοδομημένῳ, ἢ τῷ μοναστηρίῳ, ὀνομάζεσθαι. Καὶ ὥσπερ νῦν ἕκαστον τῶν ἀρχιερέων τῆς δε τῆς πόλεως ἐπίσκοπον ὁ χειροτονῶν αὐτὸν προβληθῆναι λέγει, οὕτω τὸ παλαιὸν πᾶς χειροτονούμενος τῆς δε τῆς ἐκκλησίας ἱερεὺς, ἢ διάκονος, ἢ κληρικὸς ἁπλῶς ὠνομάζετο, εἰ καὶ νῦν τοῦτο πάντη καταπεφρόνηται· τοὺς δὲ οὕτω χειροτονουμένους μὴ ὠφελεῖσθαι ἐκ τῆς χειροθεσίας, ἡ ἁγία σύνοδος ὥρισεν· ἠρνήσατο γὰρ αὐτοῖς τὴν ἐνέργειαν, ὥστε μή τι ἱερατικὸν δίκαιον ἐνεργεῖν, καὶ τοῦτο ἐφ' ὕβρει τοῦ χειροτονήσαντος. Ὄντως (2) γὰρ ὕβρις ἦν ἐκείνου, τὸ τὸν ὑπ' αὐτοῦ χειροτονηθέντα ἀφαιρεθῆναι τὴν ἀπονεμηθεῖσαν αὐτῷ ἐνέργειαν παρὰ τοῦ χειροτονήσαντος αὐτὸν ἀρχιερέως, καὶ ὡς μὴ χειροτονηθέντα λογίζεσθαι.

ΒΑΛΣ. Ὥσπερ χειροτονοῦνται οἱ ἀρχιερεῖς εἰς τήνδε *ἢ τήν δε*(3) τὴν ἐκκλησίαν, οὕτω, φησὶν ὁ κανὼν, χειροτονεῖσθαι καὶ τοὺς κληρικοὺς ἰδικῶς εἰς τόνδε τὸν ναὸν, ἢ εἰς τόδε τὸ μοναστήριον, καὶ μὴ ἀπολελυμένως· τὴν δὲ μὴ οὕτω γενομένην χειροτονίαν, ἄκυρον εἶναι· καὶ τὸν παρὰ γνώμην τοῦ χειροτονήσαντος ἀλλαχοῦ ἐνεργήσαντα, ἐφ' ὕβρει τούτου, μηδαμοῦ δύνασθαι ἐνεργεῖν. Σημείωσαι δὲ, ὅτι καὶ οἱ χειροτονούμενοι μοναχοὶ, κληρικοὶ λέγονται, καὶ τῷ κατὰ τόπον ὑπόκεινται ἐπισκόπῳ, καὶ οὐκ ὀφείλουσι, χωρὶς συστατικῆς γραφῆς καὶ ἀπολυτικῆς τοῦ ἐπισκόπου, εἰς ἑτέραν ἐνορίαν ἱερουργεῖν. Ἀνάγνωθι καὶ τὸν η. κανόνα τῆς παρούσης συνόδου. Ἐπεὶ δέ τινες ἐκλαμβάνεσθαι λέγουσι τὸν κανόνα εἰς μόνους πρεσβυτέρους, διακόνους, καὶ ὑποδιακόνους, οὐ μὴν καὶ εἰς ἀναγνώστας, διὰ τὸ μὴ χειροτονεῖσθαι καὶ τούτους, κἀντεῦθεν δύνασθαι αὐτοὺς ἀπὸ πόλεως εἰς πόλιν μεταβαίνειν, καὶ δίχα ἐπισκοπικῆς συστατικῆς γραφῆς καὶ ἀπολυτικῆς, φαμὲν, ὅτι καὶ οἱ ἀναγνῶσται κληρικοί εἰσι, καὶ χειροθεσίαν ἀρχιερέως

(1) Χ. Τρ. — τάξιν Κ. Βευερ. — (2) Χ. Τρ. — οὕτω Βευερ. Κ. — (3) Χ. Τρ.

ἔχουσι, τὴν διὰ χειρὸς τοῦ ἀρχιερέως δηλαδὴ σφραγίδα· καὶ πάντως κρατήσει καὶ ἐπὶ τούτοις ὁ κανών.

ΑΡΙΣΤ. Ἐπὶ μαρτυρίοις, ἢ μοναστηρίοις, ἀλλ' οὐκ ἀπολύτως χειροτονήσεις· εἰ δὲ μή, ἀχειροτόνητος ὁ δῆθεν χειροτονούμενος.

Τὸν μέλλοντα γενέσθαι πρεσβύτερον, ἢ διάκονον, ἢ ὅλως ἐν ἐκκλησιαστικῷ τάγματι συγκαταλεγῆναι, μὴ ἄλλως παραδεχθῆναι εἰς χειροτονίαν, εἰ μὴ ἐν ἐκκλησίᾳ πόλεως, ἢ κώμης, ἢ μοναστηρίῳ, εὑρίσκοιτο πρότερον ὑπὸ βαθμόν τινα τελῶν ἐκκλησιαστικὸν, καὶ δουλεύων ἐν αὐτῇ. Εἰ δὲ ἀπολελυμένος τις ὢν, πρεσβύτερος, ἢ διάκονος χειροτονηθῇ, μὴ ὢν ἐν ἐκκλησίᾳ ὑπό τινα βαθμὸν, οὐκ ὠφεληθήσεται ἐκ τούτου, ἀλλ' ἄκυρος ἔσται ἡ ἐπ' αὐτῷ χειροθεσία.

Κανὼν Ζ'.

Τοὺς ἅπαξ ἐν κλήρῳ τεταγμένους, ἢ καὶ μοναστὰς(1), ὡρίσαμεν μήτε ἐπὶ στρατείαν, μήτε ἐπὶ ἀξίαν κοσμικὴν ἔρχεσθαι· ἤ, τοῦτο τολμῶντας, καὶ μὴ μεταμελομένους, ὥστε ἐπιστρέψαι ἐπὶ τοῦτο, ὃ διὰ Θεὸν πρότερον εἵλοντο, ἀναθεματίζεσθαι.

ΖΩΝΑΡ. Ὁ μὲν ὀγδοηκοστὸς τρίτος κανὼν τῶν ἁγίων Ἀποστόλων, περὶ τῶν μενόντων ἐν τῷ τῶν κληρικῶν σχήματι, στρατείᾳ δὲ σχολαζόντων, καὶ ἀρχὰς μετιόντων κοσμικὰς, διατάττεται, καὶ κελεύει καθαιρεῖσθαι αὐτοὺς, ἔνθα καὶ τί ἐστιν ἐκεῖ τὸ σχολάζειν στρατείαις, ἡρμήνευται. Ὁ δὲ παρὼν κανὼν περὶ κληρικῶν, καὶ μοναχῶν, διαλέγεται, ἀποδυσαμένων τὸ σχῆμα τὸ ἱερὸν, καὶ ἀμφιασαμένων στρατιωτικὸν ἔνδυμα, ὡς στρατευσαμένων, ἢ πολιτικὸν, ὡς ἀξιώματος ἐπιθυμησάντων κοσμικοῦ· οὓς, εἰ μὴ μεταμεληθεῖεν, καὶ ἐπιστρέψοιεν εἰς τὸν βίον, ὅν περ προείλοντο, καὶ σχῆμα τῷ βίῳ κατάλληλον ἀναλάβοιεν αὖθις, ἀναθεματίζεσθαι ὥρισεν. Αὐτοὶ γὰρ ἑαυτοὺς τῆς ἀξίας τῆς ἱερατικῆς (2) γυ-

---

(1) Σ. Ῥ. — ἢ καὶ μονάσαντας Βρ. — τεταγμένους καὶ μοναστὰς Π. Χ. Τρ. Βευερ. Ἰουστ. — (2) Χ. Τρ. Κ. — τὸ, ἱερατικῆς, οὐ κεῖται παρὰ Βευερ.

μνώσαντες, οὐκέτι καθαιρέσει ὑπαχθῆναι, ὡς κολάσει, ἐκρίθησαν· διὸ καὶ μείζονος κολάσεως ἐνομίσθησαν ἄξιοι.

ΒΑΛΣ. Μὴ ἐναντιωθῇς τῷ πγ'. κανόνι τῶν ἁγίων Ἀποστόλων, λέγοντι, καθαιρεῖσθαι μόνον τοὺς σχολάζοντας στρατείᾳ πρεσβυτέρους, ἢ διακόνους· ἀλλ' εἰπὲ, ὅτι ἐκεῖ μὲν μετὰ τοῦ ἱερατικοῦ σχήματος στρατιωτικαῖς ἐνησχολεῖτο δουλείαις ὁ ἱερωμένος· ἐνταῦθα δὲ τὴν ἱερὰν στολὴν ἀπέθετο, καὶ ἐστρατεύσατο ἐπιθυμίᾳ κοσμικῆς ἀξίας· καὶ διὰ τοῦτο, ἐκεῖ μὲν ὁ μὴ μετὰ παραγγελίαν ἐπιστρέφων καθαιρεῖται· ἐνταῦθα δὲ, ὁ μὴ μεταμελόμενος ἀναθεματίζεται. Τὴν γὰρ καθαίρεσιν αὐτὸς ἑαυτῷ ἐπεψηφίσατο, καὶ πρὸ καταδίκης ἀπογυμνώσας ἑαυτὸν τῆς ἱερᾶς στολῆς, καὶ λαϊκὸς γεγονώς. Ἐπεὶ δὲ, ἑρμηνεύοντες τὸν πγ'. ἀποστολικὸν κανόνα εἴπομεν, μὴ ἀπεντεῦθεν καθαιρεῖσθαι τὸν δημοσιακὰς δουλείας ἐνεργοῦντα, ἀλλὰ μετὰ παραγγελίαν· ἐρωτήσει τις, γενήσεται τοῦτο καὶ εἰς τὸν ἀποθέμενον τὴν ἱερὰν στολὴν, καὶ στρατευσάμενον, ἢ καὶ πρὸ παραγγελίας ἀπεντεῦθεν ἀναθεματισθήσεται; Οἶμαι οὖν, ὅτι καὶ οὗτος μετὰ ἐπιφώνησιν ἀναθεματισθήσεται, εἰ μὴ ἐπιστρέψει· τοῦτο δὲ λέγειν πείθουσί με τὰ ῥήματα τοῦ κανόνος, τὰ λέγοντα ἀναθεματίζεσθαι τοὺς τολμῶντας τὸ τοιοῦτον κακὸν, καὶ μὴ μεταμελομένους, ὡς ἐπιστρέψαι ἐπὶ τοῦτο, ὃ διὰ Θεὸν πρότερον εἵλοντο. Καὶ ὁ ῥηθεὶς δὲ πγ'. ἀποστολικὸς κανὼν οὕτως ἡρμηνεύθη, ἐκ τοῦ λέγειν ἐν μέρει, καθαιρεῖσθαι τὸν σχολάζοντα στρατείᾳ, καὶ βουλόμενον ἀμφότερα κατέχειν, ῥωμαϊκὴν ἀρχὴν, καὶ ἱερατικὴν διοίκησιν. Ἐπὶ τούτοις γίνωσκε, ὅτι ἡ ζ'. καὶ ἡ ή. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου διορίζονται, τοὺς κληρικοὺς, καὶ τοὺς μοναχοὺς, μετασχηματισθέντας, καὶ λαϊκοὺς γενομένους, καὶ ἄκοντας πρὸς τὸ πρότερον σχῆμα ἀποκαθίστασθαι. Ἐπεὶ δὲ σὺν τούτοις καὶ ἀναθεματίζονται, ἐξ ἀνάγκης οὐδὲ ὡς κληρικοὶ, ἢ μοναχοὶ, λογισθήσονται, ἀλλὰ διὰ βίου ἐγκλεισθήσονται εἰς μοναστήρια. Οἴομαι δὲ, ὅτι οἱ οὕτω μετασχηματισθέντες, στρατευσάμενοι μὲν, κατὰ τὸν παρόντα κανόνα κολασθήσονται, μὴ στρατευσάμενοι δὲ, ἄλλως πως μετριώτερον τιμωρηθήσονται· πλὴν ἱερατικόν τι οὐδὲ οὗτοι ἐνεργήσουσιν. Ἀνάγνωθι καὶ τὸν ξβ'. κανόνα των ἁγίων Ἀποστόλων, καὶ τὴν ἑρμηνείαν αὐτοῦ.

ΑΡΙΣΤ. Ὁ κληρωθεὶς, ἢ μονάσας, εἰ ἐπὶ στρατείαν, ἢ ἀξίαν ἐπαυθαδιάσοι, ἐπάρατος.

Ἐὰν οἱ μονασταὶ, ἢ οἱ ἅπαξ ἐν κλήρῳ ταχθέντες, καταλιπόντες τὸν μονήρη βίον, ἢ τὸν ἐν κλήρῳ, καὶ τὸ σχῆμα μεταλλαξάμενοι, ἐπὶ στρατείαν μεταπέσωσιν, ἢ κοσμικὴν ἀξίαν μετέλθωσι, καὶ οὐ μεταμεληθῶσιν, ὥστε ἐπιστρέψαι ἐπὶ τὸ σχῆμα τοῦτο, ὃ διὰ Θεὸν πρότερον εἵλοντο, ἀναθεματιζέσθωσαν. Συνᾴδει γοῦν τῷ παρόντι κανόνι καὶ ἡ ὀγδόη νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, μὴ συγχωροῦσα τοῖς μονασταῖς λαϊκοῦ σχῆμα ἀναλαμβάνειν· κἂν ἡ ἑνδεκάτη διάταξις, ἡ ἐν τῷ ξϐʹ. κεφαλαίῳ τοῦ πρώτου τίτλου, τοῦ τετάρτου βιβλίου τῶν βασιλικῶν κειμένη, καὶ τῷ παρόντι κανόνι, καὶ τῇ νεαρᾷ ταύτῃ ἐναντιοῦται.

Κανὼν Ηʹ.

Οἱ κληρικοὶ τῶν πτωχείων, καὶ μοναστηρίων, καὶ μαρτυρίων, ὑπὸ τὴν ἐξουσίαν τῶν ἐν ἑκάστῃ πόλει ἐπισκόπων, κατὰ τὴν τῶν ἁγίων Πατέρων παράδοσιν, διαμενέτωσαν· καὶ μὴ κατὰ αὐθάδειαν ἀφηνιάτωσαν (1) τοῦ ἰδίου(2) ἐπισκόπου. Οἱ δὲ τολμῶντες ἀνατρέπειν τὴν τοιαύτην διατύπωσιν, καθ' οἱονδήποτε τρόπον, καὶ μὴ ὑποταττόμενοι τῷ ἰδίῳ ἐπισκόπῳ (3), εἰ μὲν εἶεν κληρικοὶ, τοῖς τῶν κανόνων ὑποκείσθωσαν ἐπιτιμίοις· εἰ δὲ μονάζοντες, ἢ λαϊκοὶ, ἔστωσαν ἀκοινώνητοι.

ΖΩΝΑΡ. Πάντας τοὺς ἐν ταῖς ἐκκλησίαις καὶ (4) πόλεσι κληρικοὺς, καὶ ταῖς τούτων ἐνορίαις μοναχοὺς, οἱ θεῖοι κανόνες τοῖς ἐπισκόποις ὑπείκειν κελεύουσι· διὸ καὶ ὁ παρὼν κανὼν τοὺς τῶν πτωχείων κληρικοὺς τῷ ἐπισκόπῳ ὑπέταξε. Πτωχεῖα δέ εἰσι τὰ εἰς πτωχῶν ἀφωρισμένα πρόνοιαν καὶ διοίκησιν, τὰ γηροκομεῖα

(1) Π. Χ. Τρ. — καὶ μὴ καταυθαδιάζεσθαι, ἢ ἀφηνιᾷν Βρ. — (2) τὸ, ἰδίου, οὐ κεῖται ἐν Χ. Τρ. — (3) Π. 'Ε. Κ. — τὸ, καθ' οἱονδήποτε τρόπον καὶ μὴ ὑποταττόμενοι τῷ ἰδίῳ ἐπισκόπῳ, οὐ κεῖται ἐν Χ. Τρ. καὶ παρὰ Βευερ. — (4) Βευερ. Κ. — τὸ, ἐκκλησίαις καὶ, οὐ κεῖται ἐν Χ. Τρ.

δηλονότι, καὶ ὀρφανοτροφεῖα, καὶ τὰ τοιαῦτα, ἐν οἷς καταπαθεῖς ἀνάκεινται, καὶ τρέφονται. Ἵνα γὰρ μὴ οἱ ἐν αὐτοῖς ἀνακείμενοι εὐχῶν εἶεν ἀμέθεκτοι, μὴ δυνάμενοι εἰς τὰς ἐν ἐκκλησίαις συνάξεις ἀπιέναι διὰ γήρως βαθέος βαρύτητα, ἢ πηρώσεις σωματικὰς, ἢ νόσους, πρόνοιαν ἔθεντο οἱ τῶν πτωχείων δομήτορες, ναούς τε ἐν αὐτοῖς ἀνεγεῖραι, καὶ κληρικοὺς κατατάξαι, ἵνα ἐκτελῆται παρ' αὐτῶν ἡ πρὸς τὸ Θεῖον ὑμνῳδία, καὶ οἱ ἐν αὐτοῖς ἀνακείμενοι, ἀταλαιπώρως ταύτης ἀκούωσι. Καὶ τοὺς τοιούτους τοίνυν κληρικοὺς, καὶ τοὺς τῶν μαρτυρίων, τῶν ἐπ' ὀνόμασι μαρτύρων οἰκοδομηθέντων ναῶν, τῷ κατὰ χώραν ἐπισκόπῳ ὑποκεῖσθαι ἡ παροῦσα κελεύει σύνοδος· ἀλλὰ καὶ τοὺς τῶν μοναστηρίων· τῷ ὀνόματι δὲ τῶν κληρικῶν, καὶ τοὺς ἐν μοναστηρίοις ὄντας ἱερωμένους διέλαβεν, ὅτι μηδένα χειροτονεῖσθαι (1) ἀπολελυμένως, ἡ τοιαύτη σύνοδος ὥρισεν ἐν τῷ ἕκτῳ κανόνι. Ἐπεὶ οὖν καὶ οἱ μοναχοὶ χειροτονούμενοι τῆς μονῆς τῆσδε ὀνομάζονται ἱερεῖς, ἢ διάκονοι, καὶ ἐφεξῆς οἱ τῶν κατωτέρων ταγμάτων, εἰκότως κεκληρῶσθαι ἕκαστος τῇ μονῇ, ᾗ ὠνομάσθησαν, ἐνομίζοντο, καὶ κληρικοὺς καὶ αὐτοὺς οἱ τῆς συνόδου θεῖοι Πατέρες ἐκάλεσαν. Τούτους οὖν ἅπαντας, ὑποκεῖσθαι κελεύει τῷ ἐπισκόπῳ, μηδὲ ἀφηνιάζειν, ἀντὶ τοῦ τῆς ἐξουσίας ἐκείνου ἐκφεύγειν τε καὶ ἀποσκιρτᾶν, ὥσπερ πῶλος ἀποπτύσας τὸν χαλινόν· οὗτος γὰρ ἡ ἡνία· τοὺς δὲ παραβαίνοντας τὸν *παρόντα* (2) κανόνα, κληρικοὺς μὲν ὄντας, κανονικοῖς ἐπιτιμίοις ὑπέθετο, τῇ τοῦ ἐπισκόπου ἐξουσίᾳ, καὶ διακρίσει καταλιπὼν τὴν τῶν ἐπιτιμίων ποιότητα· μοναχοὺς δὲ ὄντας, ἢ λαϊκοὺς, ἀκοινωνήτους εἶναι ὡρίσατο. Πῶς δὲ περὶ κληρικῶν διαλεγόμενος ὁ κανὼν, λαϊκῶν ἐμνήσθη; Οἶμαι τοίνυν τοιαύτην εἶναι τὴν ἔννοιαν τῶν Πατέρων· τοὺς κληρικοὺς μὴ ἀφ' ἑαυτῶν τολμᾷν καταναιδεύεσθαι τῶν ἀρχιερέων, ἔκριναν, καὶ ἀποσκιρτᾷν τῆς ἐξουσίας αὐτῶν· ἀλλ' ἴσως δυνατοῖς πεποιθότας τισὶ, θάρσος ἐκείνοις περιποιοῦσιν ἐκ τῆς σφῶν δυναστείας, ἢ μᾶλλον θράσος πρὸς τὴν αὐθάδειαν· κἀκείνους οὖν τῇ ἀκοινωνησίᾳ ὑπάγει.

---

(1) Χ. Τρ. Κ. — χειροτονηθῆναι Βευερ. — (2) Χ. Τρ. — οὐ κεῖται τὸ, παρόντα παρὰ Κ. καὶ Βευερ.

ΒΑΛΣ. Ὡς ἔοικεν, ἔλεγόν ποτέ τινες, μόνους τοὺς κληρικοὺς τῆς ἐπισκοπῆς, ἢ τῆς μητροπόλεως, ὑποκεῖσθαι τῷ κατὰ χώραν ἐπισκόπῳ· τοὺς δὲ μοναχούς, ἢ καὶ τοὺς κληρικοὺς τῶν ἐν τοῖς ὀρφανοτροφείοις, καὶ γηροκομείοις, θείων ναῶν, ἢ καὶ τῶν ἐκκλησιῶν τῶν μαρτυρίων (1), μὴ ὑποκεῖσθαι τῷ ἐπισκόπῳ, κἂν ὑπὸ τὴν ἐνορίαν τούτου ὦσιν, ἀλλὰ (2) τοῖς δομήτορσι τῶν μοναστηρίων, καὶ τῶν λοιπῶν. Τὸν γοῦν τοιοῦτον ἀκανόνιστον αὐτῶν λόγον οἱ θεῖοι Πατέρες ἀποσκευαζόμενοι, ὥρισαν, πάντας τούτους ὑπὸ τὴν ἐξουσίαν εἶναι τοῦ κατὰ χώραν ἐπισκόπου, κατὰ τὴν περὶ τούτου τῶν ἁγίων Πατέρων παράδοσιν. Τοὺς δὲ τολμῶντας ἀνατρέπειν τοῦτο, ἤγουν θέλοντας μὴ ὑποκεῖσθαι αὐτοὺς τῷ ἐπισκόπῳ, κληρικοὺς μὲν ὄντας, ἐπιτιμᾶσθαι παρὰ τοῦ ἐπισκόπου, κατὰ τὸ δοκοῦν αὐτῷ· μονάζοντας δέ, ἢ λαϊκούς, ἀκοινωνήτους εἶναι, ἤγουν ἀφωρισμένους. Πτωχεῖα δὲ λέγονται, πάντα τὰ εἰς πτωχῶν πρόνοιαν ἀφορισθέντα. Οἱ γοῦν σήμερον λέγοντες μοναχοί, ἢ κληρικοί, μὴ ὑποκεῖσθαι τῷ πατριάρχῃ, ἢ τῷ ἐγχωρίῳ ἐπισκόπῳ, ὡς ἀπὸ ἐλευθέρας μονῆς ἢ ἐκκλησίας ὄντες, προβαλλόμενοι δῆθεν καὶ κτητορικῶν τυπικῶν διατάγματα, τί πρὸς ταῦτα ἀπολογήσονται; πάντως οὐδέν. Κἂν γὰρ δομήτωρ τις μοναστηρίου, ἢ ἐκκλησίας, ἐν τυπικῷ, ἢ διατάξει αὐτοῦ, διορίσηται, μὴ ὑποκεῖσθαι τοὺς μοναχούς, ἢ τοὺς κληρικοὺς τούτων, τῷ κατὰ χώραν ἐπισκόπῳ, οὐκ εἰσακουσθήσεται, ὡς τοῖς θείοις καὶ ἱεροῖς κανόσιν ὑπεναντίως διαταξάμενος, καὶ ἀνυπόστατα γράψας. Περὶ δὲ τῶν διαταττομένων παρὰ τῶν βασιλέων, χάριν τῶν παρὰ τούτων κτιζομένων μοναστηρίων, καὶ ἐκκλησιῶν, ζήτει τῆς παρούσης συνόδου ϛ'. καὶ ιζ'. κανόνα.

ΑΡΙΣΤ. Ὁ ἐν πτωχείῳ, ἢ ἐν σεμνείῳ κληρικὸς βλεπέτω τὴν ἐξουσίαν τοῦ ἐπισκόπου τῆς πόλεως· ὁ δὲ τούτου ἀφηνιάζων γινωσκέτω τὸ ἐπιτίμιον.

Ὑποκεῖσθαι καὶ οὗτοι ὀφείλουσι τῇ ἐξουσίᾳ τοῦ ἐπισκόπου τῆς

---

(1) τῶν μαρτύρων Χ. Τρ. — (2) Χ. Τρ. — καὶ τοῖς δομήτορσι Βευερ.

πόλεως· εἰ δὲ οὐ πείθονται κατ' οἰκείαν αὐθάδειαν ὑπ' αὐτὸν τελεῖν, τοῖς τῶν κανόνων ἐπιτιμίοις ὑποπεσοῦνται.

Κανὼν Θ'.

Εἴτις κληρικὸς πρὸς κληρικὸν πρᾶγμα ἔχει, μὴ ἐγκαταλιμπανέτω τὸν οἰκεῖον ἐπίσκοπον, καὶ ἐπὶ κοσμικὰ δικαστήρια μὴ(1) κατατρεχέτω, ἀλλὰ πρότερον τὴν ὑπόθεσιν γυμναζέτω παρὰ τῷ ἰδίῳ ἐπισκόπῳ, ἢ γοῦν, γνώμῃ αὐτοῦ τοῦ ἐπισκόπου, παρ' οἷς ἂν ἀμφότερα τὰ μέρη βούλωνται, τὰ τῆς δίκης συγκροτείσθω (2)· εἰ δέ τις παρὰ ταῦτα ποιήσοι, κανονικοῖς ἐπιτιμίοις ὑποκείσθω. Εἰ δὲ κληρικὸς πρᾶγμα ἔχει πρὸ τὸν ἴδιον, ἢ καὶ (3) πρὸς ἕτερον ἐπίσκοπον, παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας δικαζέσθω. Εἰ δὲ πρὸς τὸν τῆς αὐτῆς ἐπαρχίας μητροπολίτην, ἐπίσκοπος, ἢ κληρικὸς ἀμφισβητοίη, καταλαμβανέτω (4) τὸν ἔξαρχον τῆς διοικήσεως, ἢ τὸν τῆς βασιλευούσης Κωνσταντινουπόλεως θρόνον, καὶ ἐπ' αὐτῷ δικαζέσθω.

—

ΖΩΝΑΡ. Τοὺς κληρικοὺς πράγματα πρὸς ἀλλήλους ἔχοντας, δίκας δηλονότι καὶ ὑποθέσεις, βούλεται ὁ κανὼν παρὰ τῷ ἰδίῳ ἐπισκόπῳ ταύτας γυμνάζειν, καὶ μὴ ἀπιέναι ἐπὶ κοσμικὰ δικαστήρια· τοῦτο γὰρ εἰς περιφρόνησιν καὶ ὕβριν τοῦ ἐπισκόπου ἐστίν· ἢ τέως, γνώμῃ τοῦ ἐπισκόπου, ἤτοι αὐτοῦ ἐπιτρέποντος, παρ' οἷς τὰ ἀντίθετα μέρη ἀρέσκονται, ζητεῖσθαι τὰς ὑποθέσεις· τοὺς δὲ μὴ φυλάσσοντας τὴν τοῦ κανόνος διαταγὴν, ἐπιτιμᾶσθαι κανονικῶς παρὰ τῶν ἐπισκόπων αὐτῶν. Ταῦτα μὲν, ὅτε πρὸς ἀλλήλους δικάζονται κληρικοί. Εἰ δὲ κληρικοὶ τῷ ἰδίῳ ἐπισκόπῳ *ἐπεγκαλοῦσιν* (5), ἢ ἑτέρῳ, καὶ δίκην ἐνιστῶσι κατ' αὐτοῦ, τοὺς τῆς ἐπαρχίας ἐκείνης ἐπισκόπους καθίζει δικαστὰς ὁ κανών. Συνιόντες γὰρ, ἀκροάσονται τῶν ὑποθέσεων, καὶ ψη-

---

(1) Βευερ. Χ. Τρ. Ἑ. — ὁ, μὴ, οὐ κεῖται παρὰ Βρ. ἐν Π. καὶ Σ. Ῥ. — (2) Χ. Τρ. Βρ. — συγκροτεῖσθαι Π. Βευερ. Κ. Ἑ. Σ. Ῥ. — (3) Π. Σ. Ῥ. — ὁ, καὶ, οὐ κεῖται ἐν Χ. Τρ. Βρ. — (4) ἢ τὸν Π. — (5) Χ. Τρ. — οὐ κεῖται τὸ, ἐπεγκαλοῦσι παρὰ Βευερ. καὶ Κ.

φίσονται. Εἰ δὲ πρὸς τὸν μητροπολίτην τῆς ἐπαρχίας ἔχει πρᾶγμα, ἤγουν ἀμφιβολίαν τινὰ καὶ δίκην ἐπίσκοπος, ἢ κληρικὸς, τὸν τῆς διοικήσεως ἐκείνης, παρ' ᾗ καὶ οἱ ἀμφισβητοῦντες *ἀλλήλοις* (1) εἰσὶν, ἔξαρχον, βούλεται ὁ κανὼν διαιτητὴν τῆς ὑποθέσεως γίνεσθαι, ἢ τὸν τῆς Κωνσταντινουπόλεως ἀρχιεπίσκοπον· ἐξάρχους δὲ τῶν διοικήσεων, τοὺς πατριάρχας εἶναι φασίν· ἄλλοι δὲ τοὺς μητροπολίτας· πλατύτερον δὲ τὰ περὶ τούτου ἐν τῷ ιζ'. κανόνι εἴρηται.

ΒΑΛΣ. Ὁροθετήσαντες οἱ ἅγιοι Πατέρες πάντας τοὺς κληρικοὺς ὑποκεῖσθαι τῷ κατὰ χώραν ἐπισκόπῳ· (τῷ ὀνόματι δὲ τῶν κληρικῶν καὶ οἱ μοναχοὶ περιέχονται)· ἐπάγουσι διὰ τοῦ παρόντος κανόνος, μὴ ἔχειν ἐπ' ἀδείας κληρικὸν παρὰ πολιτικῷ δικαστηρίῳ ἐνάγειν κατὰ κληρικοῦ, ἀλλὰ παρὰ τῷ ἰδίῳ ἐπισκόπῳ, ἢ, κατὰ γνώμην τοῦ ἐπισκόπου, παρ' οἷς ἂν τὰ μέρη θελήσωσιν, ὀφείλουσιν εἶναι πάντως προσφόροις, ἤγουν ἐκκλησιαστικοῖς· εἰκὸς γάρ ἐστι μὴ θέλειν τὸν ἐπίσκοπον ἀκροάσασθαι τῆς ὑποθέσεως, διά τινα εὔλογον αἰτίαν· τὸν δὲ παρὰ ταῦτα ποιήσαντα (2), κανονικοῖς ἐπιτιμίοις ὑποβάλλει ὁ κανών. Καὶ ταῦτα μὲν ὅταν δύο κληρικοὶ μιᾶς ἐνορίας κατ' ἀλλήλων δικαστήριον ἔχωσιν. Εἰ δὲ κληρικὸς ἔχει ἀγωγὴν κατὰ τοῦ ἰδίου ἐπισκόπου, ἢ καθ' ἑτέρου ἐπισκόπου, τὰ τῆς ὑποθέσεως ἐξετασθήσονται παρὰ τῷ προσφόρῳ μητροπολίτῃ τῆς ἐπαρχίας. Εἰ δὲ κατὰ μητροπολίτου ἔχει ἀγωγὴν ἐπίσκοπος, ἢ κληρικὸς τοῦ μητροπολίτου, διορίζεται ὁ κανὼν δικάζειν τὴν ὑπόθεσιν, ἢ τὸν ἔξαρχον τῆς διοικήσεως, ἢ τὸν πατριάρχην Κωνσταντινουπόλεως. Ὀφείλομεν οὖν λέγειν, ὡς, εἴ τις κληρικὸς μέλλει γυμνάσαι ὑπόθεσιν κατὰ κληρικοῦ, ἢ ἐπισκόπου, ἢ μητροπολίτου, τῷ φόρῳ τοῦ ἐναγομένου κατὰ νόμους ἀκολουθείτω. Οἱ μὲν γὰρ κληρικοὶ, καὶ μοναχοὶ, παρὰ τῷ ἐγχωρίῳ ἐπισκόπῳ ἑλκυσθήσονται, ὁ ἐπίσκοπος παρὰ τῷ μητροπολίτῃ· καὶ ὁ μητροπολίτης παρὰ τῷ πατριάρχῃ· καὶ οὐκ ἔσται ἄδεια τυχὸν κληρικῷ

(1) Χ. Τρ. — οὐ κεῖται τὸ, ἀλλήλοις παρὰ Βευερ. καὶ Κ. — (2) ποιήσοντα Χ. Τρ.

τῆς ἐπισκοπῆς τοῦ Ἀθύρα, παρὰ τῷ μητροπολίτῃ Ἡρακλείας ἐναγαγεῖν κατὰ (1) τοῦ συγκληρικοῦ αὐτοῦ, ἀλλ᾽ ὡς ἄνωθεν εἴρηται, ποιῆσαι ἀναγκασθήσεται. Ἐρωτήσει δέ τις, ἐὰν κληρικὸς οὐ θελήσῃ παρὰ τῷ ἰδίῳ ἐπισκόπῳ δικάσασθαι μετὰ συγκληρικοῦ αὐτοῦ, ἀλλὰ παρὰ τῷ μητροπολίτῃ ἐναγάγῃ, ἐκπεσεῖται τῆς οἰκείας ἐναγωγῆς, ὅπερ ἔμελλε παθεῖν, εἴπερ εἰς κοσμικὸν δικαστήριον εἵλκυσε τοῦτον; Λύσις. Οὐκ ἐκπέσῃ μὲν τῆς οἰκείας ὑποθέσεως, ὡς μὴ ἐναγαγὼν εἰς πολιτικὸν δικαστήριον· ἐπιτιμηθήσεται δὲ κατὰ τὸν παρόντα κανόνα. Μὴ ἐναντιωθῇ δέ σοι τὸ ϛ'. κεφ. τοῦ ά. τίτ. τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, λέγον, Δυνατὸν καὶ παρὰ τῷ πατριάρχῃ πρῶτον αἰτιάσασθαι, καὶ αἰτεῖν διὰ γραμμάτων αὐτοῦ δοθῆναι δικαστήν τινα τῶν κατὰ τόπον ἐπισκόπων· οὗ παραιτηθείσης τῆς ψήφου, πάλιν ὁ πατριάρχης δικάσει (2)· ἀλλ᾽ ἀνάγνωθι μετ᾽ ἐπιστασίας τὸν παρόντα κανόνα, τὸν ιέ. τῆς ἐν Καρθαγένῃ συνόδου, τὸν ϛ'. τῆς β'. συνόδου, καὶ τὸ ά. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ, λύοντα τὸ ἐναντιοφανές. Τὸ δὲ εἰρημένον ἐνταῦθα, Ἢ γοῦν γνώμῃ τοῦ ἐπισκόπου παρ᾽ οἷς ἂν ἀμφότερα τὰ μέρη βούλωνται τὰ τῆς δίκης συγκροτεῖσθαι, μὴ εἴπῃς περὶ αἱρετοῦ δικαστοῦ ἐκλαμβάνεσθαι, μὴ ἔχοντος δικαιοδοσίαν· τοῦτον γὰρ θέλησις τῶν μερῶν ποιεῖ δικαστὴν, καὶ ἐπερώτησις προστίμου, ὅπερ ἀπὸ τοῦ παρόντος κανόνος οὐκ ἀναφαίνεται· ἀλλὰ περὶ δικαστοῦ ἔχοντος δικαιοδοσίαν ἐκκλησιαστικὴν, ἀπροσφόρου δὲ ὄντος τοῖς μέρεσιν· ὥστε ὁ δίχα γνώμης τοῦ ἐγχωρίου ἐπισκόπου καταδεξάμενος κληρικὸς παρ᾽ ἀπροσφόρῳ δικαστηρίῳ δικάσασθαι, κἂν ἐκκλησιαστικός ἐστι, ἐπιτιμηθήσεται κατὰ τὸν παρόντα κανόνα. Ὁ μέν τοι ἔξαρχος τῆς διοικήσεώς ἐστιν, ὡς ἐμοὶ δοκεῖ, οὐχ ὁ ἑκάστης ἐπαρχίας μητροπολίτης, ἀλλ᾽ ὁ τῆς ὅλης διοικήσεως μητροπολίτης. Διοίκησις δέ ἐστιν ἡ πολλὰς ἐπαρχίας ἔχουσα ἐν ἑαυτῇ. Τοῦτο δὲ τὸ τῶν ἐξάρχων προνόμιον σήμερον οὐκ ἐνεργεῖ· κἂν γὰρ λέγωνται ἔξαρχοί τινες τῶν μητροπολιτῶν, ἀλλὰ τοὺς ἐν ταῖς διοικήσεσιν ὄντας ἑτέρους μητροπολίτας, οὐκ ἔχουσιν ὅλως ὑπο-

(1) Χ. Τρ. — κατὰ συγκληρικοῦ Βευερ. Ἐ. — (2) Χ. Τρ. — δικάζει Βευερ. Ἐ.

κειμένους αὐτοῖς. Ἔοικεν οὖν ἑτέρους τινὰς εἶναι κατὰ τοὺς τότε καιροὺς ἐξάρχους τῶν διοικήσεων· ἢ τούτους μὲν εἶναι, ἀπρακτῆσαι δὲ τὰ ὑπὸ τῶν κανόνων δοθέντα τούτοις προνόμια.

ΑΡΙΣΤ. Κληρικοὶ διαδικαζόμενοι, εἰ, ἀφέντες τὸν ἐπίσκοπον, κοσμικοῖς κριτηρίοις προσέλθωσι, κανονικῶς εὐθυνέσθωσαν. Καὶ κληρικὸς ἐπισκόπῳ διαφερόμενος, μενέτω τὴν σύνοδον· καὶ μητροπολίτῃ ἐπίσκοπος, τὸν Κωνσταντινουπόλεως ἐξαιτείτω.

Οὐ δεῖ κληρικὸν, ἔχοντα κατὰ κληρικοῦ, δικάζεσθαι παρὰ κοσμικοῖς δικασταῖς, ἀλλὰ παρὰ τοῦ ἰδίου ἐπισκόπου. Εἰ δὲ καὶ τὸν οἰκεῖον οὗτος ἀφεὶς ἐπίσκοπον, κοσμικοῖς προσέλθοι δικαστηρίοις, κανονικῶς ἐπιτιμηθήσεται· ὥσπερ δὴ καὶ κατὰ ἐπισκόπου ἔχων ὁ κληρικὸς, παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας ὀφείλει δικάζεσθαι. Ἀλλὰ καὶ ἐπίσκοπος, ἢ κληρικὸς, εἰ κατὰ μητροπολίτου ἔχει τινὰ ὑπόθεσιν, ἢ παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως, ἤτοι τῷ πατριάρχῃ, ὑφ' ὃν τελοῦσιν οἱ τῶν ἐπαρχιῶν ἐκείνων μητροπολῖται, δικάζεσθαι, ἢ παρὰ τῷ πατριάρχῃ Κωνσταντινουπόλεως· ὅπερ προνόμιον οὐδενὶ τῶν ἄλλων πατριαρχῶν ἐδόθη, οὔτε ἀπὸ τῶν κανόνων, οὔτε ἀπὸ τῶν νόμων, τὸ δικάζεσθαι μητροπολίτην τελοῦντα ὑφ' ἕτερον πατριάρχην παρὰ πατριάρχῃ ἑτέρῳ, εἰ μὴ μόνῳ τῷ Κωνσταντινουπόλεως.

Κανὼν Ι'.

Μὴ ἐξεῖναι κληρικὸν (1) ἐν δύο πόλεων κατὰ ταυτὸν καταλέγεσθαι ἐκκλησίαις, ἐν ᾗ τε τὴν ἀρχὴν ἐχειροτονήθη, καὶ ἐν ᾗ προσέφυγεν, ὡς μείζονι δῆθεν, διὰ δόξης κενῆς ἐπιθυμίαν (2). Τοὺς δέ γε τοῦτο ποιοῦντας ἀποκαθίστασθαι τῇ ἰδίᾳ ἐκκλησίᾳ, ἐν ᾗ ἐξ ἀρχῆς (3) ἐχειροτονήθησαν, καὶ (4) ἐκεῖ μόνον λειτουργεῖν. Εἰ μέντοι ἤδη τις μετετέθη ἐξ ἄλλης εἰς ἄλλην ἐκκλησίαν, μηδὲν τοῖς τῆς προτέρας ἐκκλησίας, ἤτοι τῶν ὑπ' αὐτὴν μαρτυρίων, ἢ πτωχείων, ἢ ξενοδοχείων ἐπικοινωνεῖν πράγμασι. Τοὺς δέ γε

(1) Π. Βρ. Βευερ. Κ. Ἑ. — κληρικῷ Μάνσ. ἐν περισελ. — (2) ἐπιθυμίαις Μάνσ. ἐν περισελ. — (3) Π. Βρ. — τὴν ἀρχὴν Χ. Τρ. Ἑ. Βευερ. — (4) Βρ. — ὁ καὶ, οὐ κεῖται ἐν Χ. Τρ. καὶ παρὰ Βευερ.

τολμῶντας, μετὰ τὸν ὅρον τῆς μεγάλης καὶ οἰκουμενικῆς ταύτης συνόδου, πράττειν τι τῶν νῦν ἀπηγορευμένων, ὥρισεν ἡ ἁγία σύνοδος ἐκπίπτειν τοῦ ἰδίου (1) βαθμοῦ.

—

ΖΩΝΑΡ. Δύο πόλεων ἐκκλησίαις κατατάττεσθαί τινα ὡς κληρικὸν, ὁ παρὼν ἀπαγορεύει κανών. Ἴσως γὰρ εἰς πόλιν μικρὰν ἐχειροτονήθη, διὰ δὲ φιλοδοξίαν *ἐσπούδασεν* (2) εἰς μείζονος πόλεως ἐκκλησίαν, εἰς μητρόπολιν τυχὸν ἐξ ἐπισκοπῆς μετατεθῆναι, ἢ ἐκ μητροπόλεως εἰς πατριαρχεῖον. Τοὺς τοιούτους οὖν ἡ σύνοδος ὥρισεν ἀποκαθίστασθαι τῇ ἐκκλησίᾳ, ἐν ᾗ ἐχειροτονήθησαν· ταῦτα δὲ μετὰ τὸν κανόνα ἐκέλευσε γίνεσθαι. Εἰ δὲ ἤδη, φησί, τις μετετέθη ἐξ ἐκκλησίας εἰς ἐκκλησίαν, μένων ἐν τῇ μεταθέσει μὴ ἐνοχλείτω τοῖς πράγμασι τῆς ἐκκλησίας, ἐξ ἧς μετετέθη· ἀποστὰς γὰρ ἐκείνης οὐδεμίαν μετουσίαν πρὸς αὐτὴν ἕξει, οὐδὲ κοινόν τι αὐτῷ πρὸς ἐκείνην ἔσται. Τοὺς δὲ μὴ φυλάσσοντας τὰ διατετυπωμένα, ἐπιχειροῦντας δέ τι ποιεῖν τῶν διὰ *τούτου* (3) τοῦ κανόνος ἀπαγορευθέντων, ἐκπτώσει κολάζει τοῦ οἰκείου βαθμοῦ, ἤτοι καθαιρέσει. Ἡ δὲ ις'. νεαρὰ κειμένη εἰς τὸν τρίτον τίτλον τοῦ τρίτου βιβλίου τῶν βασιλικῶν διετάξατο, Εἰ τελευτήσει ἐν ἐκκλησίᾳ τινὶ κληρικὸς, μὴ εὐθὺς ἄλλον χειροτονεῖσθαι ἐκεῖ, ἀλλ' εἰ ἑτέραις ἐκκλησίαις εἰσὶ κληρικοὶ πλείονες τοῦ ἐξ ἀρχῆς ἐν ἑκάστῃ αὐτῶν ταχθέντος ἀριθμοῦ, ἐκεῖθεν μετάγειν τινὰς, καὶ ἀντὶ τῶν λειψάντων αὐτοὺς ἀντεισάγειν (4), μέχρις ἂν εἰς τὸν ἀρχῆθεν ὡρισμένον ἀριθμὸν κατασταῖεν οἱ ἐκκλησίας ἑκάστης κληρικοί.

ΒΑΛΣ. Τινὲς κληρικοὶ δοξομανοῦντες, μεθίστανται ἀπὸ πόλεων μικροτέρων εἰς ἑτέρας μείζονας πόλεις, τυχὸν ἀπὸ τοῦ Ἀθύρα εἰς Ἡράκλειαν. Φησὶν οὖν ὁ κανὼν, μὴ ἔχειν τινὰ ἐπ' ἀδείας τοῦτο ποιεῖν, διά τε τὴν τιμὴν τοῦ χειροτονήσαντος τοῦτον, καὶ διὰ τὸ ἀδύνατον εἶναι τὸν αὐτὸν καὶ ἕνα δύο ἐπισκόποις ὑποκεῖσθαι· τὸν δὲ τοῦτο ποιεῖν ἐπιχειρήσαντα ἀποκαθίστασθαι εἰς τὴν

---

(1) τοῦ οἰκείου Βρ. Σ. Ῥ. — (2) Χ. Τρ. — οὐ κεῖται τὸ, ἐσπούδασεν, παρὰ Βευερ. Κ. — (3) Χ. Τρ. — διὰ τοῦ κανόνος Κ. Βευερ. — (4) Χ. Τρ Κ. — εἰσάγειν Βευερ.

ἐκκλησίαν, ἐν ᾗ πρώτως ἐχειροτονήθη, ἐφ᾽ ᾧ ἐκεῖ μόνον λειτουργεῖν. Τοῖς δὲ πρὸ τοῦ κανόνος τούτου εἰς δύο ἐνοριῶν ἐκκλησίας ταχθεῖσι, τιμωρίαν ἐπάγει, τὸ μὴ δύνασθαι ἀνακαλεῖσθαι τὰ τῆς προτέρας ἐκκλησίας δίκαια. Εἶτα διορίζεται, καθαιρεῖσθαι τοὺς τολμήσοντας διαπράξασθαί τι ἐκ τῶν ἀπηγορευμένων ἐν τούτῳ. Τούτων οὕτως ἐχόντων, τινὲς τὸ μὴ γίνεσθαί τινα κληρικὸν ἐν δύο πόλεων ἐκκλησίαις, καὶ εἰς δύο ἐκκλησίας μιᾶς πόλεως ἐξελάβοντο. Οὐκ ἔστι δὲ τοῦτο τῆς ἐννοίας τοῦ κανόνος, ὡς ἐμοὶ δοκεῖ. Ὅπως δὲ οὐ δύναται κληρικὸς ἐξ ἑτέρας ἐνορίας εἰς ἑτέραν ἀπέρχεσθαι, δίχα συστατικῆς καὶ ἀπολυτικῆς γραφῆς τοῦ χειροτονήσαντος αὐτὸν, καὶ ὅπως κολάζεται ὁ τοῦτο ποιήσας, καὶ ὁ δεξάμενος αὐτὸν, ἔμαθες ἀπὸ τοῦ ιέ. καὶ ις΄. ἀποστολικοῦ κανόνος. Εἰ δέ τις ἐρωτήσει σε, διὰ τί ὁ παρὼν κανὼν, κατὰ τὰς ἀρχὰς μὲν, ἀποκαθίστασθαί φησιν εἰς τὴν προτέραν ἐκκλησίαν τὸν ἀπὸ πόλεως εἰς πόλιν μεταπηδήσαντα, κατὰ δὲ τὸ τέλος, παρακελεύεται καθαιρεῖσθαι τὸν τούτου παραβάτην; εἰπὲ, ὅτι τὸν μὲν μεταπηδήσαντα ἀπὸ πόλεως εἰς πόλιν, μήπω δὲ κληρωθέντα εἰς τὴν δευτέραν ἐκκλησίαν, ἀποκαθίστασθαι διορίζεται εἰς τὴν πρώτην· τὸν δὲ κληρωθέντα, καὶ ἐγκαταστάντα εἰς τὴν δευτέραν, ἐκπίπτειν τοῦ οἰκείου βαθμοῦ. Περὶ δὲ τοῦ μὴ εἶναι τὸν τοιοῦτον ἀπεντεῦθεν καθῃρημένον, ἀλλὰ μετὰ παραγγελίαν, ἀνάγνωθι τὸν ιέ. ἀποστολικὸν κανόνα, καὶ τὸν τῆς ἐν τῷ Τρούλλῳ συνόδου κανόνα ιζ΄.

ΑΡΙΣΤ. Δύο πόλεων ναοῖς κληρικὸς οὐ καταλέγεται· εἰ δὲ καταλεχθείη, τῷ προτέρῳ ἐπιστραφήσεται. Εἰ δὲ μετετέθη τις ἤδη, μηδὲ κοινωνείτω κατά τινα τρόπον τοῖς τῆς προτέρας ἐκκλησίας πράγμασι (1).

Οὐ συγκεχώρηται ὁ αὐτὸς ὑπὸ δύο ἐπισκόπους τελεῖν, καὶ ἀμφοτέρων εἶναι κληρικός· ἀλλ᾽ εἰ δι᾽ ἐπιθυμίαν δόξης κενῆς μείζονι ἐκκλησίᾳ προσφύγῃ, ἀποκατασταθήσεται αὖθις εἰς ἣν ἐχειροτονήθη πρότερον· εἰ δὲ μετὰ γνώμης τοῦ ἰδίου ἐπισκόπου εἰς ἑτέραν ἐκκλησίαν μετετέθη καὶ ἐκληρώθη, μὴ μετεχέτω ὅλως ἐν τοῖς τῆς προτέρας ἐκκλησίας πράγμασιν, εἰ μὴ βούλεται τοῦ ἰδίου ἐκπεσεῖν βαθμοῦ, τοιαῦτα δι᾽ ἀπληστίαν ἐπιχειρῶν.

---

(1) Β. — τὸ, πράγμασι, οὐ κεῖται παρὰ Βευερ.

Κανὼν ΙΑ'.

Πάντας τοὺς πένητας καὶ δεομένους ἐπικουρίας, μετὰ δοκιμασίας ἐπιστολίοις, εἴτουν εἰρηνικοῖς ἐκκλησιαστικοῖς μόνοις, ὁδεύειν ὡρίσαμεν, καὶ μὴ συστατικοῖς· διὰ τὸ τὰς συστατικὰς ἐπιστολὰς προσήκειν τοῖς οὖσιν ἐν ὑπολήψει μόνοις παρέχεσθαι προσώποις.

ΖΩΝΑΡ. Εἰρηνικαὶ μὲν ἐπιστολαί εἰσιν, αἱ λεγόμεναι ἀπολυτικαί, οἷαί εἰσιν αἱ διδόμεναι τοῖς ἐπισκόποις παρὰ τῶν μητροπολιτῶν, οἷς ὑπόκεινται, καὶ τοῖς μητροπολίταις, παρὰ τῶν πατριαρχῶν, ὑφ' ὧν προχειρίζονται, ὅτε διά τινα χρείαν ἀναγκαίαν ἀπιᾶσι πρὸς βασιλέα· καὶ οἷαί εἰσιν αἱ παρεχόμεναι κληρικοῖς παρὰ τῶν οἰκείων ἐπισκόπων, θέλουσιν εἰς ἑτέραν πόλιν ἀπελθεῖν, καὶ καταλεγῆναι τῇ ἐκεῖ ἐκκλησίᾳ, κατὰ τὸν ιζ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ τοῦ παλατίου συστάσης συνόδου. Καὶ ἄλλαι δὲ τοιαῦταί εἰσιν· εἰρηνικαὶ δὲ λέγονται, ὡς εἰρήνην βραβεύουσαι. Εἰ γάρ τις ἐξ ἑτέρας πόλεως εἰς ἑτέραν ἀπέλθῃ κληρικὸς ἄνευ γνώμης τοῦ ἐπισκόπου αὐτοῦ, ὑπὸ ἐπιτίμιόν ἐστι κἀκεῖνος, καὶ ὁ δεξάμενος αὐτόν· ὁ μὲν γὰρ κληρικὸς παύεται τῆς λειτουργίας· ὁ δὲ ἐπίσκοπος, ὁ τοῦτον δεξάμενος, ἀφορίζεται, κατὰ τὸν ιέ. καὶ ις'. ἀποστολικὸν κανόνα. Οἱ δὲ πρὸς βασιλέα ἀπιόντες ἐπίσκοποι ἄνευ γραμμάτων τοῦ μητροπολίτου καὶ τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων, ἐκπίπτουσιν οὐ μόνον τῆς κοινωνίας, ἀλλὰ καὶ τῆς ἀξίας τῆς ἱερατικῆς, κατὰ τὸν ιά. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου. Συστατικαὶ δὲ ἐπιστολαὶ λέγονται, αἱ ἐγχειριζόμεναι κληρικοῖς, ἢ λαϊκοῖς ἀφωρισμένοις, ἢ ἀγνώστοις παντάπασιν, ἐν ἑτέρᾳ πόλει ἀπιοῦσι, καὶ συνιστῶσαι τῷ ἐν τῇ πόλει ἐκείνῃ ἐπισκόπῳ τοὺς ἄνδρας, ὡς λυθέντας τῶν ἐπιτιμίων, ἢ πιστοὺς ὄντας, κατὰ τὸν ιβ'. ἀποστολικὸν κανόνα, καὶ τὸν λγ', ἢ ὅταν κατηγορία κατά τινος γένηται, καὶ φανῇ ἀθῶος ὁ κατηγορηθείς, καὶ δοθῇ αὐτῷ ἐπιστολὴ συνιστῶσα αὐτὸν τῷ πρὸς ὃν ἀπεστάλη, καὶ διδάσκουσα συκοφαντικῶς αὐτὸν κατηγορηθῆναι. Οὕτως ἐχουσῶν τῶν ἐπιστολῶν τούτων, φησὶν ὁ κανὼν, τοῖς πένησι καὶ δεομένοις βοηθείας, καὶ διὰ τοῦτο προσερχομένοις τῇ ἐκκλησίᾳ,

εἰρηνικὰς δεῖν δίδοσθαι ἐπιστολὰς ἐκ τῆς ἐκκλησίας, καὶ μὴ συστατικάς· χρέος γὰρ εἶχον οἱ ἀρχιερεῖς ἀντιλαμβάνεσθαι τῶν προσφευγόντων τῇ ἐκκλησίᾳ πενήτων, ἢ ὀρφανῶν καὶ χηρῶν, ὡς καταδυναστευομένων ἴσως, ἢ ἀδικουμένων, ἢ ἀποστερουμένων τῶν ἀνηκόντων αὐτοῖς· καὶ τοσοῦτον, ὥστε κωλυόμενοι οἱ ἐπίσκοποι ἀπιέναι πρὸς βασιλέα διὰ δεήσεις οἰκείας, καὶ ἐνοχλεῖν, ἐπιτρέπονται τοῦτο ποιεῖν διὰ τοὺς τῇ ἐκκλησίᾳ προσφεύγοντας, ἢ στέλλειν διακόνους ἰδίους εἰς ἐπικουρίαν τῶν δεομένων, καὶ εἰς καταλλαγὴν τῶν διὰ πταίσματα (1) καταδικασθέντων κολασθῆναι, ἢ περιορισθῆναι, ὡς ὁ ζ'. καὶ ὁ η'. κανὼν τῆς ἐν Σαρδικῇ συνόδου διαλαμβάνει. Τοῖς γοῦν καθ' οἱονδήτινα τρόπον ἐπικουρίας δεομένοις ἐνεχείριζον ἐπιστολὰς οἱ ἐπίσκοποι, βοηθούσας αὐτοῖς, ἐφ' οἷς ἐδέοντο· κἀκεῖναι δὲ εἰρηνικαὶ ἐκαλοῦντο, ὡς εἰρήνην βραβεύουσαι τοῖς δι' ὀργὴν ἀρχόντων, ἢ δυναστευόντων, ἄδικον γνώμην πάσχουσι. Παρέχειν δὲ ταύτας αὐτοῖς ὁ κανὼν διατάττεται μετὰ δοκιμασίας· οὐ γὰρ ἁπλῶς καὶ ἀδοκιμάστως παντὶ προσερχομένῳ δεῖ βοηθεῖν, ἀλλὰ τῷ ἀδικουμένῳ· εἰ γάρ τις ἀδικῶν προσέλθῃ τῇ ἐκκλησίᾳ, ἢ κακουργῶν, οὐ χρὴ τοῖς τοιούτοις ἐπικουρεῖν. Μὴ ἐλεήσῃς γάρ, φησί, πτωχὸν ἐν κρίσει· ἐπεὶ γὰρ ἡ πενία πρὸς οἶκτόν ἐστιν εὐκατάφορος, Ἀδικοῦντα, φησὶν ἡ γραφή, μὴ ἐλεήσῃς ἐν κρίσει, κἂν πτωχὸς ἐστιν. Εἰ γοῦν χρεωστῶν τις προσρυῇ τῇ ἐκκλησίᾳ, μὴ ἀδίκως μὲν ἀπαιτηθῆναί τι αὐτόν, δεῖ διὰ φροντίδος ποιεῖσθαι τὸν ἐπίσκοπον· ὃ δὲ δικαίως χρεωστεῖ, ἀποδώσει, πρὸς τοῦτο τοῦ ἐπισκόπου μὴ κωλύοντος· ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν.

ΒΑΛΣ. Συστατικαὶ γραφαὶ λέγονται αἱ διδόμεναι κληρικοῖς παρὰ τῶν χειροτονησάντων αὐτοὺς ἐπισκόπων, καὶ συνιστῶσαι, ἤτοι δηλοποιοῦσαι τὴν χειροτονίαν τούτων, καθὼς παρίσταται ἀπὸ τοῦ ιγ'. κανόνος τῆς παρούσης συνόδου. Συστατικαὶ γραφαὶ λέγονται καὶ (2) αἱ διδόμεναι ἐπισκόποις, ἢ κληρικοῖς, ἢ καὶ λαϊκοῖς ἀφορισθεῖσι, καὶ ἄλλως γενομένοις ἐν ὑπολήψει οὐκ ἀγαθῇ· καθὼς τοῦτο παρίσταται ἀπὸ τοῦ παρόντος κανόνος. Αἱ μέν τοι

(1) Χ. Τρ. — πταίσματος Βευερ. Κ. — (2) Χ. Τρ. — ὁ καί, οὐ κεῖται παρὰ Βευερ. καὶ Ε.

ἀπολυτικαὶ γραφαὶ, αἱ καὶ εἰρηνικαὶ λεγόμεναι, ἕτεραί εἰσι· λέγονται δὲ ἀπολυτικαὶ μὲν, ὡς παριστῶσαι κατὰ γνώμην καὶ ἀπόλυσιν ἀρχιερατικὴν, τὸν κληρικὸν, ἢ τὸν ἐπίσκοπον μεταπεσεῖν· εἰρηνικαὶ δὲ, ὅτι, τοιαύτης προκομιζομένης γραφῆς παρὰ τοῦ χειροτονηθέντος, εἰρήνη ἔσται μέσον τῶν ἀρχιερέων. Οὔτε γὰρ ὁ δεχόμενος τὸν ἀλλότριον κληρικὸν, τὸν συνάδελφον αὐτοῦ θλίψει καὶ προκριματισθήσεται, οὔτε ὁ κληρικὸς βλαβήσεται, ὡς ὑβρίζων τὸν χειροτονήσαντα αὐτόν. Φησὶν οὖν ὁ κανὼν, ὅτι τοὺς μὴ δεομένους συστατικῶν ἐπιστολῶν, ἤτοι τοὺς μὴ διά τινα πρόφασιν οὐκ ἀγαθὴν ἀφορισθέντας, ἢ ὑπόπτους ὄντας, (περὶ γὰρ τῶν δεομένων συστατικῶν γραφῶν οὐκ ἔστι λόγος ἐνταῦθα), διὰ μόνων εἰρηνικῶν γραφῶν ὀφείλομεν ἐφοδιάζειν. Ὥρισε δὲ ταῦτα περὶ πενήτων καὶ δεομένων ἐπικουρίας, οὐχ ὡς τῶν λοιπῶν, τῶν ὑπὸ τὸν ἐπίσκοπον, μὴ ὀφειλόντων οὕτως ἐφοδιάζεσθαι· ἀλλ'ὅτι ἐπὶ πλέον οἱ πενητεύοντες τῆς ἐκκλησιαστικῆς ἐπικουρίας δέονται. Καλῶς δὲ προσετέθη, ταῦτα δίδοσθαι μετὰ δοκιμασίας· εἰ γὰρ ἄδικόν ἐστι τὸ τοῦ δεομένου ζήτημα, κἂν πένης ἐστὶν, οὐ δοθήσεται αὐτῷ ἐπιστολή. Ζήτει τὸν ιϐ'. ιέ. ις'. καὶ λγ'. ἀποστολικὸν κανόνα, τὸν ιζ'. τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὸν ιά. τῆς ἐν Ἀντιοχείᾳ, καθαιροῦντα τὸν ἐπίσκοπον τὸν ἄνευ ἐπιςολῆς εἰρηνικῆς τοῦ μητροπολίτου ἀπελθόντα εἰς βασιλέα. Ὅτι δὲ ἀναγκάζονται οἱ ἐπίσκοποι πᾶσι τοῖς ὑπ' αὐτοὺς βοηθεῖν διὰ γραμμάτων, εἴπερ δι ἑαυτῶν οὐ δύνανται παρουσιάζειν, δηλοῦται ἀπὸ τοῦ ζ'. καὶ ή. κανόνος τῆς ἐν Σαρδικῇ συνόδου. Σημείωσαι οὖν, ὅτι οἱ θέλοντες ἱερουργεῖν εἰς ἀλλοτρίας ἐνορίας, ὀφείλουσι μὴ μόνον συστατικὰς ἐπιστολὰς προκομίζειν, ἀλλὰ καὶ εἰρηνικάς.

ΑΡΙΣΤ. Οἱ δεόμενοι ἐπικουρίας πένητες, ἐπιστολαῖς εἰρηνικαῖς ἀλλὰ μὴ συστατικαῖς ὁδευέτωσαν· αἱ γὰρ συστατικαὶ τοῖς ἐν ὑπολήψει μόνοις παρέχονται.

Εἰρηνικὴ ἐπιστολή ἐστιν, ἡ ἄνευ σκανδάλου τινὸς τῷ ἐπικομιζομένῳ ἐγχειριζομένη· συστατικὴ δὲ, ἡ τὸ ἀνεπίληπτον τοῦ βίου καὶ τῆς θρησκείας τῷ ἐπιφερομένῳ προσμαρτυροῦσα· οἱ γοῦν δεόμενοι βοηθείας πένητες, μετὰ εἰρηνικῶν ἐπιστολῶν τῶν ἐπισκόπων ὁδεύειν ὀφείλουσιν, ἵν' ἐλεῶνται ὑπὸ τῶν δυνα-

μένων βοηθεῖν αὐτοῖς· συστατικῶν δὲ ἐπιστολῶν χρείαν οὐκ ἔχουσιν· αὗται γὰρ πρεσβυτέροις, καὶ διακόνοις, καὶ τοῖς λοιποῖς τοῖς ἐν κλήρῳ παρέχονται.

Κανὼν ΙΒ'.

Ἦλθεν εἰς ἡμᾶς, ὥς τινες παρὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς προσδραμόντες δυναστείαις, διὰ πραγματικῶν (1) τὴν μίαν ἐπαρχίαν εἰς δύο κατέτεμον, ὡς ἐκ τούτου δύο μητροπολίτας εἶναι ἐν τῇ αὐτῇ ἐπαρχίᾳ. Ὥρισε τοίνυν ἡ ἁγία σύνοδος, τοῦ λοιποῦ μηδὲν τοιοῦτον τολμᾶσθαι παρὰ ἐπισκόπου (2)· ἐπεὶ, τὸν τοιοῦτο ἐπιχειροῦντα ἐκπίπτειν τοῦ ἰδίου βαθμοῦ. Ὅσαι δὲ ἤδη πόλεις διὰ γραμμάτων βασιλικῶν τῷ τῆς μητροπόλεως ἐτιμήθησαν ὀνόματι, μόνης ἀπολαυέτωσαν τῆς τιμῆς, καὶ ὁ τὴν ἐκκλησίαν αὐτῆς διοικῶν ἐπίσκοπος, δηλονότι σωζομένων (3) τῇ κατ' ἀλήθειαν μητροπόλει τῶν οἰκείων δικαίων.

ΖΩΝΑΡ. Ἐπίσκοποί τινες, διὰ φιλοπρωτίαν, καὶ φιλαρχίαν, προσιόντες τοῖς βασιλεῦσι, διὰ προσταγμάτων ἐγγράφων, (ταῦτα γάρ εἰσι τὰ πραγματικὰ), ἠτοῦντο τὰς οἰκείας ἐπισκοπὰς τῇ τῶν μητροπόλεων τιμηθῆναι κλήσει· ὡς οὕτω συμβαίνειν εἰς δύο ἐπαρχίας τὴν μίαν μερίζεσθαι, καὶ ἐν τῇ αὐτῇ ἐπαρχίᾳ δύο μητροπολίτας εἶναι, καὶ οὕτω διαφέρεσθαι ἀλλήλοις τοὺς τῆς ἐπαρχίας ἐκείνης ἐπισκόπους (4)· ὅπερ ποτὲ καὶ ἐν τῇ τῶν Καππαδοκῶν ἐπαρχίᾳ συμβέβηκε, τῆς πόλεως τῶν Τυάνων νέας μητροπόλεως γενομένης, ὡς ὁ Θεολόγος Γρηγόριος ἐν τῷ ἐπιταφίῳ τοῦ μεγάλου Βασιλείου φησί. Διὰ ταῦτα τοίνυν τὸν κανόνα τοῦτον ἡ σύνοδος ἔθετο, κωλύοντα μὴ γίνεσθαι τοιαῦτα, μηδὲ ζητεῖν τοὺς ἐπισκόπους νέας ὀνομάζεσθαι μητροπόλεις· τὸν δ' ἐπιχειροῦντα τοιαύτῃ πράξει, καθαιρεῖσθαι καὶ διὰ μόνην

---

(1) Π. Χ. Τρ. Βευερ. Ἐ. Κ. Σ. Ῥ. — διὰ πραγματικῶν βασιλικῶν Βρ. — (2) Π. Χ. Τρ. Βευερ. Ἐ. Κ. Σ. Ῥ.—ἐπισκόπῳ Βρ. — ἐπισκόπων Μάνσ. ἐν περισελ. — (3) Π. Κ. Ἐ. — σωζομένων δηλονότι Χ. Τρ. Βευερ. Βρ. — (4) Κ. Βευερ. — μητροπολίτας Χ. Τρ.

τὴν ἐπιχείρησιν. Οὐ γὰρ τὸν εἰς πρᾶξιν ἀγαγόντα τὴν ἐπιχείρησιν κολάζει μόνον, ἀλλὰ καὶ τὸν μόνον ἐπιχειροῦντα, κἂν μὴ τύχῃ τοῦ ἐφετοῦ. Ἀλλὰ ταῦτα μὲν μετὰ τὸν κανόνα ὥρισε γίνεσθαι· τὰς δὲ πρὸ τοῦ κανόνος τιμηθείσας πόλεις εἰς μητροπόλεις διὰ γραμμάτων βασιλικῶν, (ἅ γὰρ ἄνω ὠνόμασε πραγματικὰ, ἐνταῦθα ἐσαφήνισε, καὶ γράμματα ἔφη βασιλικὰ), ἀπολαύειν παρεχώρησε τιμῆς μόνης, καὶ τοὺς ἐν αὐταῖς ἐπισκόπους· μὴ ἐνοχλεῖν δὲ τῇ παλαιᾷ μητροπόλει· σώζεσθαι δὲ ἐκείνῃ τῇ ὡς ἀληθῶς μητροπόλει, ὡς τῷ χρόνῳ βεβαίως κτησαμένῃ τὴν κλῆσιν, τὰ δίκαια πάντα, μή τινος παρασπωμένου παρὰ τοῦ νέου μητροπολίτου. Καὶ οὗτος δὲ ὁ κανὼν οὐ φυλάττεται· τινὲς γὰρ ἐπίσκοποι καὶ ἐφ' ἡμῶν διὰ βασιλικῶν προσταγμάτων εἰς τιμὴν ἀνήχθησαν μητροπολίτου (1).

ΒΑΛΣ. Τὰ βασιλικὰ προστάγματα, πραγματικοὶ τύποι λέγονται. Φησὶ γοῦν ὁ κανὼν, ὡς, ἐπεί τινες ἐπίσκοποι διὰ φιλαρχίαν ἐσπούδασαν, κατὰ πρόσταξιν βασιλικὴν, εἰς μητροπολίτας τιμηθῆναι, κἀντεῦθεν τὴν μίαν ἐπαρχίαν διεῖλον εἰς μητροπόλεις δύο, ὀφείλουσι καθαιρεῖσθαι, μὴ μόνον ὁ πορισόμενος τὴν τοιαύτην πρόσταξιν, ἀλλὰ καὶ ὁ τολμήσων τοιοῦτόν τι ἐπιχειρῆσαι. Τὰς μέν τοι πρὸ τοῦ παρόντος κανόνος τιμηθείσας ἐκκλησίας ἀπὸ ἐπισκοπῶν (2) εἰς μητροπόλεις κατὰ πρόσταξιν βασιλικὴν, διορίζεται ἔχειν μόνην τὴν τιμὴν, ὡς τῶν λοιπῶν δικαίων, τῶν προσόντων ἐπ' αὐταῖς τῇ κατ' ἀλήθειαν μητροπόλει, ὀφειλόντων μένειν ἀκαινοτομήτων. Ταῦτα τοῦ κανόνος διοριζομένου, εἴπῃ τις, καὶ πῶς διάφοροι βασιλεῖς διαφόρους ἐπισκοπὰς εἰς μητροπόλεις ἐτίμησαν; Αὐτίκα γὰρ ἡ μητρόπολις Λακεδαιμονίας ἐπισκοπὴ ἦν (3) τῶν Παλαιῶν Πατρῶν· τὰ Μάδιτα, τῆς (4) Ἡρακλείας· ἡ Ἄβυδος, τῆς (5) Κυζίκου· καὶ ἄλλαι δὲ ἐπισκοπαὶ ἐτιμήθησαν. Ἔοικεν οὖν μοι ἀπὸ τοῦ λη'. κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τοῦ ιζ'. κανόνος τῆς παρούσης συνόδου, τοὺς τοιούτους γίνεσθαι διορισμοὺς (6) παρὰ τῶν βασιλέων,

(1) Χ. Τρ. — μητροπόλεως Κ. Βευερ. — (2) Χ. Τρ. — ἀπὸ ἐπισκόπων Ἐ. Βευερ. — (3) τῆς μητροπόλεως τῶν Παλαιῶν Πατρῶν, Ἐ, — (4) τοῦ Ἡρακλείας Χ. Τρ. — (5) τοῦ Κυζίκου Χ. Τρ. — (6) Χ. Τρ. — ὁρισμοὺς Βευερ. Ἐ.

κατὰ τὴν δοθεῖσαν αὐτοῖς ἄνωθεν ἐξουσίαν. Διὰ γὰρ τοῦτο καὶ ἠπράκτησε τὸ γ'. κεφ. τοῦ ά. τίτ. τοῦ γ'. βιϐλ. τῶν βασιλ., ὅπερ κατεστρώθη εἰς τὸ κ'. κεφ. τοῦ ά. τίτλ. τοῦ παρόντος συντάγματος. Τὰ μέν τοι ὀφείλοντα εἶναι δίκαια παρὰ τῷ πρώτῳ, ἤγουν τῷ μητροπολίτῃ, κατὰ τῆς ἐκκλησίας τῆς τιμηθείσης ἀπὸ ἐπισκοπῆς εἰς μητρόπολιν, ἐζήτησάν τινες μαθεῖν, ὁποῖά εἰσι· καὶ ἤκουσαν, ὅτι, πλὴν (1) τοῦ καλεῖσθαι τὴν ἐπισκοπὴν μητρόπολιν, κατὰ τὰ ἄλλα πάντα, ὑποκεῖσθαι αὔτη τῇ παλαιᾷ μητροπόλει ὀφείλει. Ὁ γὰρ ταύτης ἐπίσκοπος παρὰ τοῦ παλαιοῦ μητροπολίτου χειροτονηθήσεται, καὶ παρ' αὐτῷ κριθήσεται, καὶ ἁπλῶς αὐτῷ ὑποκείσεται. Ἀνάγνωθι καὶ τὸν ϐ'. κανόνα τῆς ϐ'. συνόδου, καὶ τὸν ς'. καὶ ζ'. κανόνα τῆς πρώτης συνόδου. Ταῦτα δὲ διὰ προστάξεως βασιλικῆς ἄλλως μετατυποῦνται· καθὼς ἄνωθεν εἴρηται. Ἀνάγνωθι (2) καὶ τῆς ἐν τῷ Τρούλλῳ συνόδου κανόνα λή. καὶ τὸ ἐν τῷ σχολίῳ αὐτοῦ καταστρωθὲν βασιλικὸν σημείωμα, ἐν μέρει. Ἐπεὶ δὲ κατὰ τὸν Ἀπρίλιον μῆνα τῆς ιά. (3) Ἰνδίκτου ,ςψά. ἔτους ἀπολυθέντος προσκυνητοῦ χρυσοϐούλλου, τοῦ θεοστεφοῦς, κρατίστου, καὶ ἁγίου ἡμῶν αὐτοκράτορος, κυροῦ Ἰσαακίου τοῦ Ἀγγέλου, καὶ τοὺς ἀνακαλουμένους μὲν μητροπολίτας τὰς διαφερούσας τούτοις ἐπισκοπὰς, καὶ εἰς μητροπόλεις ἢ ἀρχιεπισκοπὰς τιμηθείσας, ἐπιστομίζοντος, οὐχ ἧττον δὲ καὶ τοὺς ἐπιχειρήσοντας ὁτεδήποτε (4) τὴν βασιλικὴν ἀποστερῆσαι περιωπὴν τοῦ ἀνάγειν ἐπισκοπὰς εἰς μητροπόλεις, ἢ ἀρχιεπισκοπὰς, κατὰ τὴν δοθεῖσαν αὐτοῖς ἄνωθεν ἐξουσίαν, ἠρωτήθη παρά τινων, τί ἐστι τὸ περιεχόμενον τῷ κανόνι, χάριν τοῦ ἔχειν τὰς τιμηθείσας μητροπόλεις μόνην τὴν τιμὴν, ὡς τῶν ἄλλων δικαίων σωζομένων τῇ κατὰ ἀλήθειαν μητροπόλει; Φαμὲν, ὅτι καὶ τὸ περὶ τούτου ἀμφίϐολον λύεται ἀπὸ τοῦ αὐτοῦ βασιλικοῦ σημειώματος. Συνεζητήθη γὰρ, καὶ μετὰ πολλὰς δικαιολογίας διελήφθησαν χάριν τούτου ταῦτα ῥητῶς· Καὶ ὅτι μὲν καθολικῷ λόγῳ, καὶ διαγνώσει γενι-

(1) ἄνευ τοῦ καλεῖσθαι Χ. Τρ. — (2) Οὐ κεῖται παρὰ Ε. τὸ μέρος τοῦτο μέχρις τοῦ τέλους τῆς εἰς τὸν παρόντα κανόνα ἑρμηνείας τοῦ Βαλσαμῶνος. — (3) τῆς ιϐ'. Χ. Τρ. — (4) ὁτεδήποτε Χ. Τρ.

κῶς ἐκτιθεμένη τὰς εἰς ὑπερβαθμιώτερον θρόνον ἀναβιβαζομένας ἐκκλησίας προστάξει βασιλικῇ, καὶ τῆς τιμῆς ἀξιοῦσθαι χρεὼν, καὶ τὰς ψήφους ἐνταῦθα (1) προβαίνειν κατὰ τὸν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ παρηκολουθηκότα κανονικὸν τύπον, τῶν μητροπολιτῶν συνιόντων, καὶ ἀρχιεπισκόπους, καὶ μητροπολίτας ψηφιζομένων, ἥ τε βασιλεία μου διαγινώσκει, καὶ ἡ θεία καὶ ἱερὰ σύνοδος τῷ διατάγματι ἕψεται τούτῳ, ὡς τὴν ἐκκλησιαστικὴν παραφυλαττομένῳ ἀκρίβειαν, καὶ τῆς κανονικῆς εὐθύτητος μὴ ἐκπίπτοντι. Ἀνάγνωθι οὖν εἰς πλάτος τὸ τοιοῦτον σημείωμα, καὶ εἰπὲ πρὸς τοὺς λέγοντας, ὡς, εἰ μὴ ἐν τῷ ἀνάγεσθαι τὴν ἐπισκοπὴν εἰς μητρόπολιν, ἢ ἀρχιεπισκοπὴν, προστεθῇ παρὰ τῆς βασιλικῆς ἐξουσίας, τὸ τὰς ψήφους τούτων γίνεσθαι κατ' ἐπιτροπὴν πατριαρχικὴν, ὁ κατ' ἀλήθειαν μητροπολίτης ποιήσει τὴν ψῆφον αὐτῶν· τοῦτο γὰρ φυλάττεται καὶ μέχρι τοῦ νῦν εἰς τὸν οἰκουμενικὸν πατριάρχην, χειροτονούμενον παρὰ τοῦ Ἡρακλείας, διὰ τὸ εἶναι τὴν Κωνςαντινούπολιν, ἤτοι τὸ Βυζάντιον, ποτὲ τοῦ Ἡρακλείας ἐπισκοπήν· ὅτι ἀπὸ τοῦ τοιούτου σημειώματος, πᾶσα τοιαύτη δικαιολογία περιαιρεῖται· καὶ ὁ Κωνσταντινουπόλεως οὐκ ἐξ ἀνάγκης παρὰ τοῦ Ἡρακλείας χειροτονεῖται· εὕρηται γὰρ καὶ Στέφανος, ὁ ἀδελφὸς τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ, πατριάρχης χειροτονηθεὶς Κωνσταντινουπόλεως, παρὰ Θεοφάνους μητροπολίτου Καισαρείας· καὶ πρὸ ὀλίγων χρόνων ὁ Λεόντιος, παρὰ Δημητρίου τοῦ Καισαρείας (2).

ΑΡΙΣΤ. Εἰς ἐπαρχίας δύο ἐπαρχία μία οὐ τέμνεται· ὁ δὲ τεμὼν, ἀνεπίσκοπος. Αἱ δὲ γράμματι βασιλικῷ τιμηθεῖσαι πόλεις, τῆς τιμῆς ἀπολαυέτωσαν μόνης, καὶ ὁ αὐτόθι ἐπίσκοπος. Τῇ δὲ ἀληθῶς μητροπόλει τὰ οἰκεῖα σωζέσθωσαν.

Ὁ προσελθὼν δυναστείαις ἐπίσκοπος, καὶ σπουδάσας τιμηθῆναι τὴν ἐπισκοπὴν αὐτοῦ τῷ τῆς μητροπόλεως ὀνόματι, ὡς ἐκ τούτου τὴν μίαν ἐπαρχίαν μερισθῆναι εἰς δύο, τοῦ ἰδίου ἐκπεσεῖται βαθμοῦ· ὅσαι δὲ τῶν ἐπισκοπῶν, οὐκ ἀπὸ σπουδῆς τῶν

---

(1) Χ. Τρ. καὶ Bonefideus.—ἐν ἀδείᾳ, Βευερ. — (2) Ἡ τελευταία φράσις ἀπὸ τοῦ, καὶ πρὸ ὀλίγου χρόνου, οὐ κεῖται ἐν Χ. Τρ. ἀλλὰ μόνον παρὰ Βευερ.

ἐπισκόπων, ἀλλὰ μᾶλλον δι' ἀρετὴν αὐτῶν, ἢ διὰ τιμὴν τῶν πόλεων, ἔφθασαν διὰ βασιλικῶν γραμμάτων τιμηθῆναι ὡς μητροπόλεις, ἀπολαύσουσι τῆς τιμῆς, καὶ μόνης· τῇ δὲ κατ' ἀλήθειαν μητροπόλει, ὑφ' ἣν ἐτέλουν τὸ πρότερον, τὰ οἰκεῖα παραφυλαχθήσονται δίκαια· ἄνωθεν γὰρ καὶ αὖθις ὁ ταύτης ἐπίσκοπος τοῦ μετὰ ταῦτα τιμηθέντος ὑπὸ βασιλέως καθίσει· καὶ αἱ τῆς ἐπαρχίας πᾶσαι ἐπισκοπαὶ τοῦτον καὶ μόνον μητροπολίτην ἕξουσι, καὶ οὐ συμμερισθήσονται καὶ αὗται κατὰ τὴν τῆς ἐπαρχίας διαίρεσιν· καὶ εἴ τι ἄλλο ἐπισκοπικὸν δίκαιον ἐν πάσῃ τῇ ἐπαρχίᾳ εἶχεν, ἀκέραιον αὐτῷ συντηρηθήσεται· καὶ ἁπλῶς οὐδέν τι ἀφαιρεθήσεται τῶν προνομίων αὐτοῦ, καὶ τῷ τιμηθέντι δοθήσεται.

Κανὼν ΙΓ'.

Ξένους κληρικοὺς καὶ ἀγνώστους (1), ἐν ἑτέρᾳ πόλει, δίχα συστατικῶν γραμμάτων τοῦ ἰδίου ἐπισκόπου, μηδόλως μηδαμοῦ (2) λειτουργεῖν.

—

ΖΩΝΑΡ. Τοῦτο πρὸ τῆς συνόδου ταύτης ὥρισαν οἱ θεῖοι Ἀπόστολοι, τὸν καταλιπόντα τὴν ἑαυτοῦ παροικίαν, καὶ εἰς ἑτέραν μετοικήσαντα παρὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου, κελεύσαντες μηκέτι λειτουργεῖν, ἐπιμένοντα τῇ ἀταξίᾳ, ὡς δὲ λαϊκὸν κοινωνεῖν, ὡς ὁ ιε'. ἀποστολικὸς περιέχει κανών. Καὶ ὁ παρὼν οὖν κανὼν τὰ αὐτὰ διατάττεται, καὶ τὸν δίχα γραμμάτων τοῦ ἐπισκόπου ἀπιόντα ἐν ἑτέρᾳ πόλει, κελεύει μήτε ἐκεῖ, μήτε που ἀλλαχοῦ λειτουργεῖν. Τοῦτο γάρ ἐστι τὸ, μηδόλως μηδαμοῦ. Ἐπεὶ δ' ἐνταῦθα συστατικῶν ἐμνήσθη ἐπιστολῶν, δείκνυται ἐκ τούτου, ὅτι καὶ ἐπί τισι κατηγορήθησαν οἱ κληρικοὶ οἱ ἀναχωρήσαντες τῆς ἰδίας παροικίας· αἱ γὰρ συστατικαὶ τοῖς κατηγορηθεῖσι δίδονται, ὅταν ἀθῶοι φανῶσιν, ὡς ἤδη δεδήλωται, ἢ ὅτι ἀφωρισμένοι ἦσαν παρὰ τοῦ ἰδίου ἐπισκόπου.

ΒΑΛΣ. Καὶ πάλιν οἱ ἅγιοι Πατέρες διορίζονται τοὺς κληρω-

---

(1) Ἐ. Κ. Βευερ. — ἀναγνώστας Χ. Τρ. Π. Βρ. Σ. Ῥ. — (2) Χ. Τρ. Ἐ. Κ. Βρ. Βευερ. Σ. Ῥ. — τὸ, μηδόλως οὐ κεῖται ἐν Π.

θέντας ἔν τινι ἐκκλησίᾳ, ἐν ἑτέρᾳ πόλει μὴ λειτουργεῖν ἄνευ συστατικῶν γραμμάτων τοῦ ἰδίου ἐπισκόπου. Καί τινες μὲν εἶπον, συστατικὰς γραφὰς ἐνταῦθα, τὰς ἀπολυτικὰς εἰρῆσθαι· ἄλλοι δὲ εἶπον περὶ συστατικῶν γραφῶν λέγειν τὸν κανόνα, διδομένων ἀνθρώποις κατηγορηθεῖσι, καὶ μετὰ ἐξέτασιν ἀθωωθεῖσιν. Ἐμοὶ δὲ δοκεῖ τὸν κανόνα διορίζεσθαι περὶ συστατικῶν γραμμάτων, συνιστώντων τὴν τοῦ κληρικοῦ χειροτονίαν, καὶ ἀπολυόντων αὐτὸν καὶ ἀλλαχοῦ ἐνεργεῖν· τὰ γὰρ συνιστῶντα τὴν ἑκάστου ὑπόληψιν συστατικά, καὶ λαϊκοῖς δίδοται, περὶ ὧν οὐδεμία γέγονεν ἐνταῦθα μνεία. Ἀνάγνωθι δὲ καὶ τὴν ἑρμηνείαν τοῦ ιά. κανόνος.

ΑΡΙΣΤ. Κληρικὸς, δίχα συστατικῶν, ἀκοινώνητος εἰς πόλιν ἑτέραν.

Τοῦτο ἐν πολλοῖς τῶν κανόνων κεῖται, ὡς οἱ ξενοχειροτόνητοι κληρικοί, μὴ ἐπιφερόμενοι συστατικὰ τῶν ἐπισκόπων αὐτῶν, εἰς πόλιν ἑτέραν οὐ συγκεχώρηνται λειτουργεῖν.

Κανὼν ΙΔ'.

Ἐπειδὴ ἔν τισιν ἐπαρχίαις συγκεχώρηται τοῖς ἀναγνώσταις, καὶ ψάλταις, γαμεῖν, ὥρισεν ἡ ἁγία σύνοδος, μὴ ἐξεῖναί τινι αὐτῶν ἑτερόδοξον γυναῖκα λαμβάνειν. Τοὺς δὲ ἤδη ἐκ τοιούτου γάμου (1) παιδοποιήσαντας, εἰ μὲν ἔφθασαν βαπτίσαι τὰ ἐξ αὐτῶν τεχθέντα (2) παρὰ τοῖς αἱρετικοῖς, προσάγειν αὐτὰ τῇ κοινωνίᾳ τῆς καθολικῆς ἐκκλησίας· μὴ βαπτίσαντας (3) δὲ, μὴ δύνασθαι ἔτι βαπτίζειν αὐτὰ παρὰ (4) τοῖς αἱρετικοῖς, μήτε μὴν συνάπτειν πρὸς γάμον αἱρετικῷ, ἢ Ἰουδαίῳ, ἢ Ἕλληνι, εἰ μὴ ἄρα ἐπαγγέλλοιτο μετατίθεσθαι εἰς τὴν ὀρθόδοξον πίστιν τὸ συναπτόμενον πρόσωπον τῷ ὀρθοδόξῳ. Εἰ δέ τις τοῦτον

(1) ἐκ τοιούτων γάμων Βρ. — (2) Π. Κ. Ε. Βρ. — τέκνα Χ. Τρ. Βευερ. — (3) Π. Ἑ. Κ. Χ. Τρ. Βευερ. Σ. Ρ. — μὴ βαπτισθέντα Βρ. — (4) Π. Ἑ. Κ. Βρ. Σ. Ρ. — ἐπὶ Χ. Τρ. Βευερ.

τὸν ὅρον παραβαίη τῆς ἁγίας συνόδου, κανονικῷ ὑποκείσθω ἐπιτιμίῳ (1).

—

ΖΩΝΑΡ. Τοῦτο καὶ ἡ ἐν Λαοδικείᾳ σύνοδος ἐν ι'. καὶ λά. κανόνι διετυπώσατο, καὶ ἡ ἐν Καρθαγένῃ ἐν κά. διετάξατο, καὶ ἡ ἐν τῷ Τρούλλῳ τοῦ παλατίου συστᾶσα οἰκουμενικὴ σύνοδος πλατύτερον διωρίσατο. Ἀλλ' ἡ μὲν ἐν Καρθαγένῃ σύνοδος ὁμοίως τῷ παρόντι κανόνι περὶ μόνων κληρικῶν διαλέγεται· ἡ δὲ ἐν Λαοδικείᾳ, καὶ ἡ ἐν τῷ Τρούλλῳ, καθάπαξ παντὶ ὀρθοδόξῳ ἀπαγορεύει συναλλάττειν γάμον πρὸς αἱρετικούς, καὶ διασπᾶσθαι τὸν τοιοῦτον γάμον, κἂν γένηται, παρακελεύεται. Ὡς δὲ ἐκ τῆς συγγραφῆς τοῦ παρόντος κανόνος δηλοῦται, οὐ πανταχοῦ τότε τοῖς ἀναγνώσταις καὶ ψάλταις ἐφεῖτο μετὰ τὴν χειροθεσίαν λαμβάνειν γυναῖκας, καί τοι τοῦ κϛ'. κανόνος τῶν ἱερῶν Ἀποστόλων περιέχοντος ταῦτα· Τῶν εἰς κλῆρον προσελθόντων ἀγάμων, κελεύομεν βουλομένους γαμεῖν, ἀναγνώστας καὶ ψάλτας μόνον. Καὶ εἰς τὸ ἑξῆς μὲν ἀπηγόρευσεν ἡ σύνοδος αὕτη τοὺς ὀρθοδόξους κληρικοὺς ἑτεροδόξοις συνοικεῖν γυναιξί· τοὺς δὲ ἤδη συνῳκηκότας, καὶ ἐξ ἐκείνων παιδοποιήσαντας, ἀπαιτεῖ τοὺς οἰκείους παῖδας προσάγειν τῇ καθολικῇ ἐκκλησίᾳ, κἂν ἔφθασαν ὑπὸ αἱρετικῶν βαπτισθῆναι· προσαχθέντες γάρ, ἢ τῷ ἁγίῳ χρίσματι χρισθήσονται μόνον, εἰ ὑπὸ αἱρετικῶν ἐβαπτίσθησαν, ὧν τὸ βάπτισμα δεκτὸν τῇ ἐκκλησίᾳ λογίζεται· ἢ καὶ ἄνωθεν βαπτισθήσονται, εἰ ἀπόβλητον τὸ βάπτισμα τῶν βαπτισάντων αὐτοὺς αἱρετικῶν τῇ ἐκκλησίᾳ ἐστίν· εἰ δὲ οὔπω βαπτίσματος ἔτυχον, μηκέτι ὑπὸ αἱρετικῶν βαπτίζεσθαι· μήτε μὴν ὀνόματι τῶν παίδων αὐτῶν συναλλάττειν γάμον πρὸς αἱρετικούς, μήτε πρὸς Ἰουδαῖον, μήτε πρὸς Ἕλληνα, αἱρετικοὺς μέν, τοὺς τὸ καθ' ἡμᾶς δεχομένους μυστήριον λέγων, ἔν τισι δὲ σφαλλομένους, καὶ διαφερομένους τοῖς ὀρθοδόξοις· Ἰουδαίους δέ, τοὺς Χριστοκτόνους· καὶ Ἕλληνας, τοὺς πάντῃ ἀπίστους, καὶ εἰδώλων προσκυνητάς· εἰ δ' ἴσως ὁ αἱρετικός, ἢ ὁ ἄπιστος ἐπαγγέλλεται συνθέσθαι τῇ ὀρθοδόξῳ πίστει, τὸ μὲν συνάλλαγμα προβήσεται, ἡ δὲ συνάφεια ὑπερτεθήσεται,

(1) Π. Χ. Τρ. Βευερ. Ἑ. Κ. — κανονικῶς ὑποκείσθω Βρ.

μέχρις ἂν τὴν ἐπαγγελίαν πληρώσῃ ὁ ταύτην ποιησάμενος· ὁ δὲ τούτων παραβάτης ἐπιτιμίοις κανονικοῖς ὑποκείσεται.

ΒΑΛΣ. Ὥς ἔοικεν, ἔν τισι μὲν χώραις ἐξεχωροῦντο ἀναγνῶςαι καὶ ψάλται γαμικὰ συναλλάττειν συναλλάγματα, ἀκολούθως τῷ ἀποςολικῷ κϛ'. κανόνι· ἔν τισι δὲ καὶ οὗτοι παραλόγως ἐκωλύοντο. Ὡρίσθη οὖν διὰ τοῦ παρόντος κανόνος, ὡς, εἰ καὶ ἐφειμένον ἐςὶν αὐτοῖς γυναῖκας λαμϐάνειν, ἀλλ' οὐκ ἔξεστιν ἑτεροδόξοις συνάπτεσθαι· τοὺς δὲ παιδοποιήσαντας ἐκ τοῦ τοιούτου γάμου, παράγειν τὰ οἰκεῖα τέκνα παρὰ τῇ τῶν ὀρθοδόξων ἐκκλησίᾳ· ἐφ' ᾧ, εἰ μὲν ἔφθασαν αὐτὰ βαπτισθῆναι παρὰ αἱρετικῶν, χρισθῆναι μόνον ὑπὸ ἁγίου μύρου· εἰ δὲ μὴ, βαπτισθῆναι ὑπὸ τῆς ἐκκλησίας. Ὡσαύτως ὡρίσθη, μὴ συνάπτεσθαι τὰ τούτων τέκνα αἱρετικοῖς, ἢ Ἰουδαίοις, ἢ Ἕλλησιν, εἰ μήπω τὰ κεκωλυμένα πρόσωπα κατάθωνται, ἀποστῆναι τῆς οἰκείας αἱρέσεως, ἢ θρησκείας· τηνικαῦτα γὰρ, ἐὰν προστεθῶσι τῇ ὀρθοδόξῳ πίστει, ἐπακολουθήσει καὶ ὁ γάμος· Τοὺς μέντοι παραϐαίνοντας ταῦτα κανονικοῖς ἐπιτιμίοις καθυποϐάλλει ἡ σύνοδος. Ἀνάγνωθι τῆς ἐν Λαοδικείᾳ συνόδου κανόνα ί. καὶ λά. καὶ τῆς ἐν Καθαργένῃ κανόνα κά. καὶ εὑρήσεις διασπώμενον τὸν μετὰ αἱρετικοῦ συστάντα γάμον. Οἴομαι δὲ σὺν τῷ διασπασμῷ, καὶ ἐπιτιμᾶσθαι τούτους κατὰ τὸν παρόντα κανόνα· οὕτω γὰρ οἱ κανόνες συμϐιϐασθήσονται. Καλῶς δὲ εἶπεν ὀφείλειν τοὺς πρὸ (1) τούτου τεχθέντας ἐξ αἱρετικῶν παῖδας προσάγεσθαι τῇ κοινωνίᾳ τῆς ἐκκλησίας. Οἶδας γὰρ, ὅτι οἱ αἱρετικοὶ εἰς δύο διαιροῦνται, εἴς τε τοὺς δεχομένους μὲν τὸ καθ' ἡμᾶς μυστήριον, καὶ τὴν Θεϊκὴν συγκατάβασιν, ἔν τισι δὲ σφαλλομένους, οὓς καὶ μύρῳ μόνῳ χρίομεν προσερχομένους, καὶ εἰς τοὺς πάντη μὴ δεχομένους τοῦτο, καὶ ὄντας ἀπίςους, Ἰουδαίους δηλονότι καὶ Ἕλληνας, οὓς καὶ βαπτίζομεν. Τῷ ὀνόματι γοῦν τῆς κοινωνίας ἐδηλώθησαν καὶ ἀμφότερα (2), ὥστε ἢ μύρῳ χρισθῆναι, ἢ βαπτισθῆναι. Ἀνάγνωθι τὸν ζ'. κανόνα τῆς β'. συνόδου, τὸ ά. κεφ. τοῦ δ'. τίτλου τοῦ κη'. βιβλίου τῶν βασιλικῶν, καὶ τὸν οβ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου· καὶ σημείωσαι, ὅτι κατὰ

(1) Χ. Τρ. Ἑ. — παρὰ Βευερ. — (2) Χ. Τρ. — ἀμφότεροι Ἑ. Βευερ.

τὸν παρόντα κανόνα, ὡς ἔοικεν, ἀναγκάζει τὸ μέρος τῆς ἐκκλησίας τοὺς Λατίνους ἐξόμνυσθαι, θέλοντας γυναῖκας λαβεῖν ἐκ τῆς Ῥωμανίας.

ΑΡΙΣΤ. Ἑτερόδοξος ψάλτης, καὶ ἀναγνώστης, εἰ γήμας ἐτέκνωσε, προσάγει τῇ κοινωνίᾳ τὰ τέκνα, εἴπερ ἐκεῖσε βεβάπτισται· εἰ δ' ἔτι ἀβάπτιστα, οὐκέτι βαπτίζεται τοῖς αἱρετικοῖς.

Τὸ συνάπτεσθαι ὀρθόδοξον αἱρετικῇ γυναικὶ, ἢ τὸ ἀνάπαλιν, καὶ ὁ δέκατος κανὼν, καὶ ὁ τριακοστὸς πρῶτος τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ ὁ δεύτερος τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, καὶ ὁ παρὼν οὗτος ἀπαγορεύουσιν. Εἰ δέ τις τῶν ψαλτῶν, καὶ τῶν ἀναγνωστῶν, πρὸ τῶν κανόνων τούτων ἑτερόδοξον γυναῖκα ἔλαβε, καὶ ἐτέκνωσεν ἐξ αὐτῆς, καὶ τὰ τέκνα ἐβάπτισε παρὰ τοῖς αἱρετικοῖς μένων, προσαγέτω ταῦτα τῇ κοινωνίᾳ τῆς καθολικῆς ἐκκλησίας· εἰ δ' ἀβάπτιστα αὐτὰ ἔχοι, μηκέτι παρὰ τοῖς αἱρετικοῖς ποιούμενος τὴν ἀναστροφὴν, βαπτιζέσθω· ἀλλ' ἐκεῖθεν ὑπαναχωρῶν, τῇ καθολικῇ προσαγέτω ἐκκλησίᾳ, καὶ τοῦ θείου ταῦτα καταξιούτω βαπτίσματος.

Κανὼν ΙΕ'.

Διάκονον (1) μὴ χειροτονεῖσθαι γυναῖκα πρὸ ἐτῶν τεσσαράκοντα, καὶ ταύτην μετ' ἀκριβοῦς δοκιμασίας. Εἰ δέ γε δεξαμένη τὴν χειροθεσίαν (2), καὶ χρόνον τινὰ παραμείνασα τῇ λειτουργίᾳ, ἑαυτὴν ἐπιδῷ γάμῳ, ὑβρίσασα τὴν τοῦ Θεοῦ χάριν, ἡ τοιαύτη ἀναθεματιζέσθω μετὰ τοῦ αὐτῇ συναφθέντος.

ΖΩΝΑΡ. Διὰ τὸ εὐεξαπάτητον τῶν γυναικῶν καὶ εὐόλισθον, οὐχ ἧττονα τῶν τεσσαράκοντα ἐτῶν γυναῖκα χειροτονεῖσθαι διάκονον, ὁ παρὼν βούλεται κανών. Καὶ ὁ ιδ'. δὲ καὶ ιε. κανὼν τῆς ἐν τῷ Τρούλλῳ οἰκουμενικῆς συνόδου ὁμοίως φησὶ, καὶ τοὺς παρὰ τοὺς ὁρισθέντας ἐφ' ἑκάστῳ χρόνους χειροτονηθέντας, καθαιρεῖσθαι

(1) Π. Χ. Τρ. Ἑ. Κ. Βευερ. — διακόνισσαν Βρ. Σ. Ῥ. — (2) Π. Βρ. Ἑ. Κ. — χειροτονίαν Χ. Τρ. Βευερ.

κελεύει· καὶ τεσσαράκοντα δὲ οὖσαν ἐνιαυτῶν τὴν γυναῖκα, μετ' ἀκριβοῦς δοκιμασίας χειροτονεῖσθαι βούλεται ὁ κανὼν οὗτος, τοῦ βίου καὶ τῆς διαγωγῆς αὐτῆς ἀκριβουμένης. Εἰ δὲ δέξεται τὴν χειροτονίαν, καὶ μετά τινα χρόνον ἀρνήσεται τὴν χάριν τοῦ Πνεύματος, καὶ ἐπιδῷ ἑαυτὴν γάμῳ, ἀναθεματίζεσθαι κἀκείνην καὶ τὸν αὐτῆς γαμέτην, διακελεύεται. Ὁ δὲ μέγας Ἀπόστολος Παῦλος, Τιμοθέῳ ἐπιστέλλων, Χήρα μὴ καταλεγέσθω, φησίν, ἐλάττων ξ'. ἐτῶν. Διὰ τί οὖν οὕτω διαταξαμένου τοῦ Παύλου, ἡ σύνοδος αὕτη τεσσαράκοντα ἐτῶν εἶναι τὴν χειροτονουμένην εἰς διακόνισσαν διετυπώσατο; Φασὶν οὖν, ὅτι ὁ μὲν Ἀπόστολος περὶ χηρῶν διωρίσατο· ἡ δὲ σύνοδος αὕτη, περὶ παρθένων. Ἡ γοῦν ἑαυτὴν μέχρι τοῦ τεσσαρακοστοῦ χρόνου ἐν ἁγνείᾳ τηρήσασα, καὶ ἀπείρατος μείνασα τῆς ἐκ συναφείας ἀνδρῴας ἡδονῆς, καὶ τὸ τῆς διακόνου χάρισμα δεξαμένη, οὐ ῥᾶον πιστεύεται ἀποκλῖναι εἰς γάμον, καὶ εἰς ἐπιθυμίαν μίξεως ἐλθεῖν, ἧς οὔπω πεπείραται. Ἡ δὲ χήρα, εὐνῆς ἀνδρῴας καταπολαύσασα, καὶ γευσαμένη τῆς ἐξ ἀνδρῴας μίξεως ἡδονῆς, μᾶλλον ἂν εἴη πρὸς τὸ πάθος ἐπικλινής· διὸ καὶ ὁ μέγας Βασίλειος, ἐν τῷ ιή. τῶν αὐτοῦ κανόνων, οὐχ ὁμοίως παρθένον κανονικὴν ἐκπεσοῦσαν κολάζει, καὶ χήραν ἐπίσης ἁμαρτήσασαν· ἀλλὰ τὴν μὲν χήραν, δούλῃ ἀπεικάζει πορνευθείσῃ, καὶ μύσους τὸν οἶκον τοῦ κυρίου αὐτῆς πλησάσῃ· τὴν δὲ παρθένον, νύμφῃ μοιχευθείσῃ· καὶ ταύτην μὲν τῷ τῆς μοιχείας ὑπάγει κρίματι· τὴν δὲ χήραν, ὡς δούλην ἐπὶ πορνείᾳ ἁλοῦσαν, καταδικάζει· ὡς οὖν πρὸς τὸ πάθος τῆς μίξεως εὐκατάφορον μᾶλλον τὴν χήραν οὖσαν, ἢ τὴν παρθένον, ἐν γήρᾳ (1) πλείονι κατατάττεσθαι ὁ μέγας Ἀπόστολος διετάξατο. Διὸ καὶ ὁ πολὺς τὴν σοφίαν Βασίλειος, ἐν τῷ κδ'. κανόνι περὶ χήρας μετὰ τὸ καταλεγῆναι εἰς τὸν ἀριθμὸν τῶν χηρῶν ἀνδρὶ συνοικησάσης διαλεγόμενος, ἐπάγει· Ἐὰν μέν τοι πρὸ ἑξήκοντα ἐτῶν ἀριθμήσωμεν αὐτήν, ἡμέτερον τὸ ἔγκλημα, οὐ τοῦ γυναίου.

ΒΑΛΣ. Τὰ τοῦ παρόντος κανόνος πάντη ἐσχόλασαν· διακόνισσα γὰρ σήμερον οὐ χειροτονεῖται, κἂν καταχρηστικῶς τινες τῶν ἀσκητριῶν διακόνισσαι λέγονται· ὅτι κανών ἐστι διοριζόμενος μὴ

(1) Χ. Τρ. — ἐν χρόνῳ Κ. Βευερ.

εἰσέρχεσθαι γυναῖκας ἐν τῷ ἁγίῳ βήματι. Ἡ γοῦν μὴ δυναμένη ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ εἰσελθεῖν, πῶς τὰ τῶν διακόνων ἐνεργήσει; Ἀνάγνωθι τὸν ιδ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου καὶ τὸν ιέ. λέγοντας, καθαιρεῖσθαι τὴν διακόνισσαν χειροτονηθεῖσαν πρὸ τοῦ πληρῶσαι τὸν τεσσαρακονταετῆ χρόνον. Ὁ δὲ παρὼν κανὼν φησιν ἀναθεματίζεσθαι τὴν μετὰ τὴν χειροτονίαν γάμοις ἑαυτὴν ἐπιδοῦσαν, ὡς ὑβρίστριαν τῆς χάριτος τοῦ Θεοῦ. Περὶ δὲ μοναζουσῶν, ὁ ἐφεξῆς διδάσκει κανών· ζήτει καὶ τοῦ μεγάλου Βασιλείου κανόνα ιή. καὶ κδ'.

ΑΡΙΣΤ. Διακόνισσα, εἰ μὴ τεσσαρακονταετής, οὐ γίνεται· τῇ δὲ διὰ γάμου τὴν λειτουργίαν ἐξυβρισάσῃ ἀνάθεμα.

Οὐ δεῖ γυναῖκα πρὸ τεσσαράκοντα χρόνων χειροτονεῖσθαι διάκονον. Εἰ δὲ χρόνων τεσσαράκοντα οὖσα χειροτονηθῇ, καὶ μετὰ τὴν χειροτονίαν γάμῳ προσομιλήσει, ὡς ἐξυβρίσασα τὴν τοῦ Θεοῦ χάριν, ἀναθεματιζέσθω.

Κανὼν Ιϛ'.

Παρθένον ἀναθεῖσαν ἑαυτὴν τῷ δεσπότῃ Θεῷ, ὡσαύτως δὲ καὶ μονάζοντας (1), μὴ ἐξεῖναι γάμῳ προσομιλεῖν. Εἰ δέ γε εὑρεθεῖεν τοῦτο ποιοῦντες, ἔστωσαν ἀκοινώνητοι. Ὡρίσαμεν δὲ ἔχειν τὴν αὐθεντίαν τῆς ἐπ' αὐτοῖς φιλανθρωπίας τὸν κατὰ τόπον ἐπίσκοπον.

ΖΩΝΑΡ. Τοὺς ὁμολογήσαντας παρθενεύειν, κἂν ἄνδρες εἶεν, κἂν γυναῖκες, ὡς ἀνάθημα ἑαυτοὺς προσαγαγόντας τῷ Θεῷ, βούλεται ὁ κανὼν τὴν ὁμολογίαν φυλάττειν, καὶ μὴ παραβάτας τῶν ὡμολογημένων εὑρίσκεσθαι. Εἰ γὰρ τὰς πρὸς ἀλλήλους ὁμολογίας ἐμπεδοῖ Θεὸς μέσος παραληφθείς, κατὰ τὴν θεολόγον φωνὴν, πόσος ὁ κίνδυνος, ὧν πρὸς αὐτὸν ἐθέμεθα συνθηκῶν, τούτων παραβάτας εὑρίσκεσθαι; Εἰ δέ τινες εὑρεθεῖεν μετὰ τὴν ὁμολογίαν γάμον ἑλόμενοι, ἀκοινωνήτους, ἤτοι ἀφωρισμένους εἶναι τούτους ὁ κανὼν διακελεύεται. Τὴν δὲ ἐξουσίαν τοῦ φιλανθρωπεύσασθαι

---

(1) Π. Χ. Τρ. — μονάζοντα Βρ. Σ. Ῥ.

ἴσως καὶ λῦσαι τὸ ἐπιτίμιον αὐτοῖς, ἢ ἐλαφρῦναι, καὶ τὸν χρόνον αὐτοῖς συστεῖλαι, τῇ ἐξουσίᾳ τοῦ κατὰ τόπον ἐπισκόπου ἀνέθετο. Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ συνόδου ιθ'. κανὼν, Οἱ παρθενίαν, φησὶν, ἐπαγγελλόμενοι, καὶ ἀθετοῦντες τὰ ἐπηγγελμένα, τὸν τῶν διγάμων ὅρον ἐκπληρούτωσαν. Ὁ δὲ μδ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, Μοναχὸς, φησὶν, ἐπὶ πορνείᾳ ἁλοὺς, ἢ πρὸς γάμον γυναῖκα ἀγαγόμενος, τοῖς τῶν πορνευόντων ὑποβληθήσεται ἐπιτιμίοις. Ὁ δέ γε τοῦ μεγάλου Βασιλείου ξ'. κανὼν οὕτω περιέχει· Ἡ παρθενίαν ὁμολογήσασα καὶ ἐκπεσοῦσα τῆς ἐπαγγελίας, τὸν χρόνον τοῦ ἐπιτιμίου τῆς μοιχείας ἐν τῇ οἰκονομίᾳ τῆς καθ' ἑαυτὴν ζωῆς πληρώσει· τὸ αὐτὸ καὶ ἐπὶ μοναχῶν ἐκπιπτόντων. Ἐν δὲ τῷ ιθ'. αὐτοῦ κανόνι, τῷ τῶν πορνευόντων ἐπιτιμίῳ καταδικάζει τοὺς μετὰ τὴν ὁμολογίαν μετατιθεμένους μονάζοντας (1) εἰς τὸν φιλόσαρκον καὶ ἡδονικὸν βίον.

ΒΑΛΣ. Τὸ παλαιὸν γυναῖκές τινες προσήρχοντο τῷ Θεῷ μετὰ λαϊκοῦ σχήματος, καὶ ὡμολόγουν παρθενεύειν· διορίζονται τοίνυν οἱ Πατέρες τοὺς ὁμολογήσαντας τοῦτο, κἂν ἄνδρες εἶεν μονάζοντες, κἂν γυναῖκες, μὴ ἀφίστασθαι τῶν ὡμολογημένων, καὶ γάμοις προσομιλεῖν· τοὺς δὲ παραβάτας τούτων, ἀκοινωνήτους, ἤτοι ἀφωρισμένους εἶναι. Τὴν μέν τοι ἐξουσίαν τοῦ ἀφορισμοῦ, ἤτοι τὴν ἐπέκτασιν, ἢ τὴν μείωσιν, τῷ ἐγχωρίῳ ἐπισκόπῳ ἀνέθετο· σήμερον δὲ τέως ἐν τῇ Κωνσταντινουπόλει, οὔτε παρθένοι μετὰ (2) λαϊκοῦ σχήματος τῷ Θεῷ ἀνατίθενται, οὔτε παρθενών ἐστι. Μόνος δὲ ὁ ἅγιος ἐκεῖνος μητροπολίτης Θηβῶν, ὁ Καλοκτένης, ἐποίησε παρθενῶνα εἰς Θήβας, καὶ ἔταξε παρθένους ἐπ' αὐτῷ λαϊκάς· διὸ καὶ ἔστι τὸ μνημόσυνον αὐτοῦ αἰωνίζον καὶ χάριν τούτου. Εἰ δὲ θέλεις εἰπεῖν τὰς ἀσκητρίας τοιαύτας παρθένους, οὐδὲν εὑρήσεις ἐμποδών· εἰ μήπω θέλεις ταύτας παρεικάσαι ταῖς μοναζούσαις διὰ τὴν ἀπόκαρσιν, καὶ τὰς ἐπ' ἐκκλησίας συνθήκας αὐτῶν. Ἀνάγνωθι καὶ τὸν ιθ'. κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου, τῷ τῶν διγάμων ἐπιτιμίῳ ταύτας καθυποβάλλοντα, τῆς ἐν τῷ Τρούλλῳ μδ'. καὶ τοῦ μεγάλου Βασιλείου ιθ'. καὶ ξ'. οἱ μὲν γὰρ, ὡς πόρνους, οἱ δὲ, ὡς μοιχοὺς, τοὺς ἀθετητὰς τῶν ὁμολογιῶν αὐτῶν

(1) τὸ, μονάζοντας, οὐ κεῖται ἐν Χ. Τρ. — (2) ἢ, μετὰ, οὐ κεῖται ἐν Χ. Τρ.

καταδικάζουσι· μὴ γοῦν ἐναντιωθῆς τινι ἐξ αὐτῶν· ἀλλ'εἰπὲ, ὅτι, ἐπεὶ παρὰ τῇ ἐξουσίᾳ τοῦ ἐπισκόπου τὰ τῶν ἐπιτιμίων ἀνετέθησαν, αὐτὸς τὸν ἁμαρτήσαντα κατὰ τὸ δοκοῦν αὐτῷ ἐπιτιμήσει μετὰ δοκιμασίας. Ἀνάγνωθι καὶ βιβλίον κή. τιτλ. ς'. κεφ. ά. διοριζόμενον, μὴ μόνον διασπᾶσθαι τὸν ἀθέμιτον γάμον, ἤτοι τὸν μετὰ συγγενοῦς, καὶ τὸν παράνομον, ἤτοι τὸν μετὰ τῆς ἐπιτροπευομένης, καὶ τὸν κατάκριτον, δηλονότι τὸν μετὰ τῆς τῷ Θεῷ ἀνατεθειμένης, ἀλλὰ καὶ δημεύεσθαι τοὺς συναλλάξαντας, καὶ ἐξορίζεσθαι, εὐτελεῖς δὲ ὄντας, καὶ μαστίζεσθαι· ὥστε οὐ μόνον τὰ τῆς νεαρᾶς γενήσονται, ἀλλὰ καὶ ἐπιτίμια ἐπακολουθήσουσιν.

ΑΡΙΣΤ. Μονάζοντες, ἢ μονάζουσαι, μὴ γαμείτωσαν· ἐπεὶ, ἔστωσαν ἀκοινώνητοι.

Οὗτοι τῆς ἐπαγγελίας αὐτῶν ἐκπεσόντες, καὶ τὰς συνθήκας αὐτῶν ἀθετήσαντες, ἀκοινωνησίᾳ ὑπόκεινται. Ὁ δὲ ἑξηκοστὸς κανὼν τοῦ μεγάλου Βασιλείου τῷ τῆς μοιχείας ἐπιτιμίῳ τούτους καθυπάγει.

Κανὼν ΙΖ'.

Τὰς καθ' ἑκάστην ἐπαρχίαν (1) ἀγροικικὰς παροικίας ἢ ἐγχωρίους, μένειν ἀπαρασαλεύτους παρὰ τοῖς κατέχουσιν αὐτὰς ἐπισκόποις, καὶ μάλιστα εἰ τριακονταετῆ χρόνον ταύτας ἀβιάστως διακατέχοντες (2) ᾠκονόμησαν. Εἰ δὲ ἐντὸς τῶν τριάκοντα ἐτῶν γεγένηταί τις, ἢ γένοιτο (3) περὶ αὐτῶν ἀμφισβήτησις, ἐξεῖναι τοῖς λέγουσιν ἠδικεῖσθαι (4), περὶ τούτων κινεῖν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας. Εἰ δέ τις ἀδικοῖτο παρὰ τοῦ ἰδίου μητροπολίτου (5), παρὰ τῷ ἐξάρχῳ (6) τῆς διοικήσεως, ἢ τῷ Κωνσταντινουπόλεως θρόνῳ δικαζέσθω, καθὰ προείρηται. Εἰ δὲ καί τις ἐκ βασιλικῆς ἐξουσίας ἐκαινίσθη πόλις, ἢ αὖθις καινι-

(1) Π. Βευερ. Χ. Τρ. — ἐκκλησίαν Βρ. Σ. Ῥ. — (2) Π. Βρ. Χ. Τρ. Σ. Ῥ. — κατέχοντες Βευερ. — (3) Π. Βευερ. Κ. Ἐ. Σ Ῥ. — ἐγένετό τις, ἢ γένηται Χ. Τρ. — (4) ἀδικεῖσθαι Βευερ. — (5) παρὰ τοῦ ἰδίου ἐπισκόπου, ἢ μητροπολίτου Ἐ. Κ. — (6) ἐπάρχῳ Βρ.

σθείη, τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις, καὶ τῶν ἐκκλησιαστικῶν παροικιῶν ἡ τάξις ἀκολουθείτω (1).

ΖΩΝΑΡ. Τὸ ἀλλοτρίοις ἐπεμβαίνειν δικαίοις, καὶ τοὺς πλησιάζοντας ἀδικεῖν, καὶ ὑφαρπάζειν τὰ μὴ σφίσι προσήκοντα, ἅπασι κοινῶς ἀπηγόρευται· πολλῷ δὲ μᾶλλον ἐπισκόποις, οἳ καὶ ἀρχέτυπον ὀφείλουσι προκεῖσθαι τοῖς ὑπ' αὐτούς, εἰς μίμησιν παντὸς ἀγαθοῦ. Θεσπίζει τοίνυν ὁ κανὼν οὗτος, τὰς παροικίας ἀπαρασαλεύτους εἶναι παρὰ τοῖς κατέχουσιν αὐτάς, κἂν ἀγροικικαὶ εἶεν, κἂν ἐγχώριοι, τὰ αὐτὰ σχεδὸν τῇ τῆς τρίτης συνόδου ψήφῳ, τῆς ἐν Ἐφέσῳ, κελευούσῃ· πλὴν ὅσον ἐκείνη μὲν περὶ ἐπαρχιῶν καὶ ἐνοριῶν μειζόνων διετάξατο, ἐν αἷς καὶ ἐπίσκοποι ἐχειροτονοῦντο· αὕτη δὲ, περὶ παροικιῶν, αἵτινες εἶεν ἂν ἐνορίαι μικραὶ καὶ οὐ πολυπληθεῖς, ἃς εἰς ἀγροικικὰς καὶ ἐγχωρίους διαιρεῖ. Ἀγροικικὰς μὲν οὖν φασιν εἶναι τὰς ἐν ἐσχατιαῖς κειμένας, καὶ ὀλίγους ἐχούσας τοὺς ἐν αὐταῖς οἰκοῦντας, αἳ καὶ μονοίκια λέγονται· ἐγχωρίους δὲ, τὰς ἀγροῖς καὶ κώμαις πλησιαζούσας, καὶ πλείονας τοὺς κατοίκους ἐχούσας. Ταύτας οὖν τὰς παροικίας, ὁποῖαί ποτ' ἂν εἶεν, παρὰ τοῖς κατέχουσιν αὐτὰς ἐπισκόποις ἀναφαιρέτους εἶναι διακελεύεται· καὶ ἐπὶ πλέον αὐτοῖς ταύτας διαφέρειν φησὶν, εἰ ἐπὶ τριάκοντα ἐνιαυτοὺς ἀβιάστως, τουτέστι μή τινα βιασάμενοι, καλῇ δὲ πίστει, ἤτοι χωρίς τινος ἀδίκου αἰτίας, κατέσχον αὐτὰς καὶ ᾠκονόμησαν. Ἡ γὰρ τριακονταετία αὐτοῖς τὴν αὐτῶν κατοχὴν βεβαίαν ἔθετο. Εἰ δὲ ἐντὸς τῶν λ'. ἐτῶν διαναστῇ τις λέγων, αὐτῷ τὴν τοιαύτην παροικίαν διαφέρειν, παρὰ τῇ τῆς ἐπαρχίας συνόδῳ ζητεῖσθαι τὴν ὑπόθεσιν βούλεται. Εἰ δὲ ὁ τῆς ἐνορίας ἐπίσκοπος τὸν ἴδιον μητροπολίτην αἰτιᾶται, παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως δικάζεσθαι αὐτούς, ἢ τῷ Κωνσταντινουπόλεως (2). Τινὲς μὲν οὖν ἐξάρχους τῶν διοικήσεων, τοὺς πατριάρχας φασὶ, καὶ εἰς σύστασιν τοῦ οἰκείου λόγου, χρῶνται τῷ μβ'. κανόνι τῆς ἐν Καρθαγένῃ συνόδου, λέγοντι, τὸν τῆς πρώτης καθέδρας ἐπίσκοπον, μὴ λέ-

(1) Χ. Τρ. Βιυερ. Ἐ. Κ. Βρ. Σ. Ῥ. — ἀκολουθείτωι Π. — (2) Χ. Τρ. — ἐπισκόπῳ Βευερ.

γεσθαι ἔξαρχον τῶν ἱερέων, ἢ ἄκρον ἱερέα, ἢ τοιουτότροπον τίποτε, ἀλλὰ μόνον ἐπίσκοπον τῆς πρώτης καθέδρας. Ἄλλοι δὲ τοὺς μητροπολίτας τῶν ἐπαρχιῶν φασιν ὀνομάζεσθαι ἐξάρχους, τὸν ἕκτον κανόνα τῆς ἐν Σαρδικῇ συνόδου παράγοντες εἰς πίστιν, λέγοντα· Χρὴ ὑπομιμνήσκεσθαι διὰ γραμμάτων τοῦ ἐξάρχου τῆς ἐπαρχίας, λέγω δὴ, τοῦ ἐπισκόπου τῆς μητροπόλεως. Κρεῖσσον δ' ἂν εἴη, τοὺς μητροπολίτας τῶν ἐπαρχιῶν ἐξάρχους λέγεσθαι, ὡς ὁ ῥηθεὶς κανὼν τῆς ἐν Σαρδικῇ συνόδου τούτους ὠνόμασεν. Ὥστε τοιαύτην εἶναι τοῦ κανόνος τούτου τὴν ἔννοιαν, διαιροῦσαν δηλαδὴ τὰ δικαστήρια· καὶ ὅτε μὲν ἐπίσκοπος κατὰ συνεπισκόπου (1) ἐνάγει, ἢ κληρικὸς κατὰ ἐπισκόπου, τότε τὸν μητροπολίτην καθίζειν δικαστὴν, ὃν καὶ ἔξαρχον τῆς διοικήσεως ὀνομάζει· ὅτε δὲ ἐπίσκοπος κατὰ μητροπολίτου αὐτοῦ δίκην ἔχει, τότε τῷ Κωνσταντινουπόλεως ἐπιτρέπειν τὸ δικαστήριον. Οὐ πάντων δὲ τῶν μητροπολιτῶν πάντως ὁ Κωνσταντινουπόλεως καθιεῖται δικαστὴς, ἀλλὰ τῶν ὑποκειμένων αὐτῷ. Οὐ γὰρ δὴ καὶ τοὺς τῆς Συρίας μητροπολίτας, ἢ τοὺς τῆς Παλαιστίνης, καὶ Φοινίκης, ἢ τοὺς τῆς Αἰγύπτου, ἄκοντας ἑλκύσει δικάσασθαι παρ' αὐτῷ· ἀλλ' οἱ μὲν τῆς Συρίας, τῷ τοῦ Ἀντιοχείας ὑπόκεινται φόρῳ· οἱ δὲ τῆς Παλαιστίνης, τῷ τοῦ Ἱεροσολύμων· οἱ δὲ τῆς Αἰγύπτου, παρὰ τῷ Ἀλεξανδρείας δικάσονται, παρ' ὧν καὶ χειροτονοῦνται, καὶ οἷς περ ὑπόκεινται. Ἐλέγοντο δὲ ἔξαρχοι καὶ ἕτεροι, ἤγουν ὁ Καισαρείας Καππαδοκίας, καὶ ὁ Ἐφέσου, καὶ ὁ Θεσσαλονίκης, καὶ ὁ Κορίνθου· οἷς λέγεται διὰ τοῦτο καὶ προνόμιον δοθῆναι, πολυσταύρια φορεῖν ἐν ταῖς ἐκκλησίαις αὐτῶν. Εἰ (2) δὲ καί τις ἐκ βασιλικῆς ἐξουσίας ἐκαινίσθη πόλις, ἢ καινισθείη, φησὶν ὁ κανὼν καὶ τὰ ἑξῆς· ὃ δὲ λέγει τοῦτό ἐστιν· ὅτι ἐὰν βασιλεὺς καινὴν ποιήσῃ πόλιν, καὶ διὰ δημοσίων τύπων, ἤγουν ἐγγράφων προσταγμάτων, δώσῃ αὐτῇ δίκαιά τινα καὶ προνόμια, τοῖς δημοσίοις τούτοις τύποις ἀκολουθείτω καὶ ἡ τάξις τῶν ἐκκλησιαστικῶν παροικιῶν· μονονουχὶ τοῦτο τῶν Πατέρων λεγόντων, ὅτι, ἐπεὶ τῇ βασιλικῇ ἐξουσίᾳ ἀντιπίπτειν οὐ δεδυνήμεθα,

---

(1) κατὰ ἐπισκόπου Χ. Τρ. — (2) Ἅπαν τὸ μέρος τοῦτο τῆς παρούσης ἑρμηνείας μέχρι τέλους αὐτῆς εὕρηται ἐν Χ. Τρ. οὐ κεῖται δὲ παρὰ Βευερ. καὶ Κ.

τοῖς τυπουμένοις παρὰ τῶν βασιλέων, ἐν τούτοις ἀκολουθείτω καὶ ἡ ἐκκλησιαστικὴ τάξις*.

ΒΑΛΣ. Τινὲς εἶπον ἐνταῦθα, μὴ περὶ ἐνοριῶν λέγειν τὸν κανόνα, ἀλλὰ περὶ ἑτέρων δικαίων, διαφερόντων ἑκάστης ἐπαρχίας ἐπισκοπῇ. Οὐκ ἔστι δὲ τοῦτο ἀληθές, καθὼς δηλοῦται ἀπὸ τοῦ τέλους τοῦ κανόνος, λέγοντος, δύνασθαι τὸν βασιλέα ἐπὶ ταῖς ὑπ' αὐτοῦ καινισθείσαις, ἢ καινισθησομέναις πόλεσιν, ὑποτυποῦν τὰ βουλητέα αὐτῷ, χάριν τῶν ἐπισκοπικῶν δικαίων· καὶ ἀνάγνωθι τὸν ιϐ΄. κανόνα τῆς παρούσης συνόδου, καὶ τὸν λή. τῆς ἐν τῷ Τρούλλῳ συνόδου. Ὃ δὲ λέγει ὁ παρὼν κανὼν, τοιοῦτόν ἐστιν. Ἤθελόν τινες ἐξακούεσθαι τοὺς περὶ τῶν ἐνοριῶν κανόνας εἰς πολιτικὰς ἐνορίας, οὐ μὴν καὶ εἰς εὐτελεῖς ἀγροικίας (1). Ὡρίσθη οὖν κατέχειν ἀμάχως τοὺς ἐπισκόπους τὰς ἐπὶ τριακονταετίᾳ (2) νεμηθείσας παρ' αὐτῶν ἐνορίας ἀδιάστως, κἂν ἀγροικικαὶ ὦσιν, ἤτοι μικραὶ, αἳ καὶ μονοίκια λέγονται, κἂν ἐγχώριοι, ἤτοι πολλοὺς κατοίκους ἔχουσαι. Εἰ δὲ, φησὶν, ἐντὸς τῶν τριάκοντα ἐτῶν ἐναγάγῃ ἕτερος ἐπίσκοπος χάριν τούτου παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας, τὰ περὶ τούτου τηρηθήσεται. Ἐὰν δὲ μητροπολίτης ἀδικῇ ἐπίσκοπον αὐτοῦ, παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως, ἢ παρὰ τῷ πατριάρχῃ, τὰ περὶ τῆς ἐνορίας κριθήσεται. Τὰ μέν τοι παρὰ τῶν βασιλέων διοριζόμενα διὰ δημοσίων τύπων, ἤτοι βασιλικῶν προσταγμάτων, χάριν τῶν παρὰ τούτων καινισθεισῶν, ἢ καινισθησομένων πόλεων, μένειν καθὼς ὡρίσθησαν· ὡς καὶ τῆς ἐκκλησίας ὀφειλούσης ἀκολουθεῖν τοῖς οὕτω διοριζομένοις. Τούτων οὕτως ἐχόντων, μὴ εἴπῃς, τοὺς μὲν ἀδιάστως κατέχοντας ἐπὶ τριακονταετίᾳ ἐνορίας, ἀπαρασαλεύτους εἶναι· τοὺς δὲ μὴ τοιούτους, ἤγουν τοὺς κατὰ βίαν νεμομένους, καὶ μετὰ τριακονταετίαν ἐνάγεσθαι· ἀλλ' ἀνάγνωθι τὸ τελευταῖον κεφάλαιον τοῦ ϐ΄. τίτλ. τοῦ έ. βιϐλίου τῶν βασιλικῶν, ἤγουν κεφάλαιον ά. τῆς ριά. νεαρᾶς, οὕτω λέγον· Πᾶσα ἀγωγὴ προσήκουσα σεπτῷ οἴκῳ, εἴτε προσωπικὴ, εἴτε ὑποθηκαρία ἐστὶν, οὐχ ὑπερϐαίνει τὰ τεσσαράκοντα ἔτη, τῶν ἁρμοζουσῶν ἑκάστῳ οἴκῳ τοιούτῳ εὐαγεῖ προσκαίρων παραγραφῶν φυλαττουσῶν μέντοι γε τοὺς οἰκείους χρόνους· καὶ τὸν

(1) ἀγροικικὰς Χ. Τρ. — (2) ἐπὶ τριάκοντα ἔτη Χ. Τρ.

ἔξωθεν αὐτοῦ Παλαιὸν, οὕτω λέγοντα· Ἡ μὲν παροῦσα νεαρὰ διάταξις κατὰ ἰδιωτῶν ἐναγούσαις ταῖς ἐκκλησίαις τὴν τεσσαρακονταετίαν ὑφαπλοῖ· ὁ δὲ ιζ'. κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου, κείμενος ἐν τῷ έ. κεφ. τοῦ ά. τίτλου τοῦ νομοκάνονος, ταῖς ἐκκλησίαις κατὰ ἐκκλησιῶν ἐναγούσαις, τριακονταετίαν δίδωσι. Μὴ θαυμάσῃς δὲ τοῦτο· ἀπὸ γὰρ τῆς τοιαύτης ριά. νεαρᾶς, καὶ ἀπὸ τοῦ γ'. κεφ. τοῦ γ'. τίτλου τοῦ έ. βιβλ. ἤτοι τῆς ρλά. νεαρᾶς, καὶ ἕτερον προνόμιον αἱ ἐκκλησίαι ἔχουσι. Φησὶ γὰρ τὸ τοιοῦτον κεφ. Ἀντὶ δὲ χρονίων παραγραφῶν τῶν δέκα, καὶ εἴκοσι, καὶ τριάκοντα ἐνιαυτῶν, ταῖς ἁγίαις ἐκκλησίαις, καὶ τοῖς ἄλλοις ἅπασι σεβασμίοις τόποις, μόνην τὴν τῶν μ'. ἐνιαυτῶν παραγραφὴν ἀντιτίθεσθαι προστάττομεν· τούτου αὐτοῦ φυλαττομένου καὶ ἐπὶ τῇ ἀπαιτήσει τῶν ληγάτων, καὶ τῶν κληρονομιῶν, τῶν (1) εἰς εὐσεβεῖς αἰτίας καταλελειμμένων· ὥστε αἱ μὲν ἐκκλησίαι μὴ κατὰ εὐαγῶν οἴκων ἐνάγουσαι, διὰ μόνης τῆς τεσσαρακονταετίας ἀποκλείονται· οἱ δὲ κατὰ τούτων ἐνάγοντες, διὰ τῶν νομίμων παραγραφῶν ὑπὸ τῶν ἐκκλησιῶν ἐξωθοῦνται. Ὅταν μέν τοι ἐκκλησίαι κατ' ἀλλήλων ἐνάγωσι, τὸ τῆς τεσσαρακονταετίας οὐκ ἔχουσι προνόμιον, ἀλλὰ τοῖς κοινοῖς νομίμοις (2) χρῶνται. Σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ἔξεστι τῷ βασιλεῖ προνόμια ἐκκλησιαστικὰ ἀφαιρεῖσθαι. Εἰ γὰρ ἐφεῖται τούτοις τὰ βουλητέα αὐτοῖς περὶ ἐνοριῶν διατάττεσθαι, χάριν τῶν καινιζομένων ὑπὸ τούτων πόλεων· πολλῷ πλέον, ὡς ἐμοὶ δοκεῖ, ἐπισκοπὴν εἰς μητρόπολιν τιμήσουσι, καὶ προχειρίσεις ἡγουμενικὰς ὑποτυπώσουσι, καὶ ἄλλα τινὰ τοιαῦτα ἐνδυνάμως προστάξουσι.

ΑΡΙΣΤ. Ἐγχώριος, καὶ ἀγροικικὴ παροικία, εἰ τριακονταετίᾳ ἐσχέθησαν, κατεχέσθωσαν· εἰ δὲ ταύτης ἐντὸς, εἶεν ἐπίδικοι. Εἰ δὲ κεκαίνισται ἐκ βασιλικῆς κελεύσεως πόλις, τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις ἀκολουθείτω καὶ ἡ τῶν ἐκκλησιαστικῶν παροικιῶν τάξις.

Εἰ μὲν κατὰ ἰδιωτῶν ἔσχον ἀγωγὰς αἱ ἐκκλησίαι περί τινων ἀκινήτων, καὶ ἐπὶ τεσσαρακονταετίαν ἡσύχασαν, μηδόλως ὀχλή-

(1) Χ. Τρ. — αὐτῶν Βευερ. Ε. — (2) Χ. Τρ. Ε. — νόμοις Βευερ.

σασαι τοὺς κατέχοντας· οὐκ ἔτι ταύτας ἐνδυνάμως κινεῖν δύνανται, παραφραστικῶς ἐκβαλλόμεναι. Εἰ δὲ ἐκκλησία ἔχει κατὰ ἐκκλησίας, ἐπὶ ἴσου δικαίου εἰσὶ καὶ ἀμφότεραι, ἐὰν ἐπὶ τριακονταετίαν οὐκ ἐλάλησεν, ἀλλ' ἡσύχασεν· εἰ μετὰ ταῦτα κινήσει, διὰ τῆς τοῦ χρόνου παραγραφῆς ἐξωθεῖται. Διατάττεται γοῦν καὶ ὁ παρὼν κανών, ὡς, ἐὰν κατέσχον ἐπὶ τριακονταετίαν τινὲς τῶν ἐπισκόπων ἑτέρων ἐπισκοπῶν ἀγροικικὰς παροικίας, ἢ ἐγχωρίους, ἀπαρασαλεύτως κατεχέτωσαν ταύτας· εἰ δὲ ἐντὸς τῆς τριακονταετίας ἀμφιβολία περὶ αὐτῶν γέγονε, τῇ παραδρομῇ τῆς τριακονταετίας οἱ κατέχοντες ταύτας οὐκ ἐκβληθήσονται, ἀλλὰ κριθήσονται περὶ αὐτῶν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας μετὰ τῶν οἰομένων ἀδικεῖσθαι. Ἀγροικικὰς δὲ ἐνταῦθα παροικίας, καὶ ἐγχωρίους νοήσεις, οὐ πόλεις τινὰς καὶ κώμας, ἀλλ' ἀγρούς· καὶ ἐγχωρίους μὲν, τοὺς ἐν μέσοις ἀγροῖς καὶ κώμαις κειμένους· ἀγροικικοὺς δὲ, τοὺς τούτων ἀφεστῶτας, καὶ ἐν ἐσχατιαῖς ἱδρυμένους, οὓς καὶ μονοίκια νῦν λέγουσιν. Εἰ δὲ βασιλεὺς ἐκ νέου πόλιν ἐκαίνισεν, ἢ καὶ αὖθις καινίσοι, οὐ φιλονεικήσει περὶ αὐτῆς ὁ γειτνιάζων ἐπίσκοπος, καὶ ὑπὸ τὴν παροικίαν αὐτοῦ ποιῆσαι ταύτην ἐπεγκαλέσει· ἀλλὰ τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις ἀκολουθήσει· ὥστε ἐκείνης τῆς ἐπαρχίας, ἢ παροικίας τὸν ἐπίσκοπον ταύτην ὑφ' ἑαυτὸν ἔχειν, εἰς ἣν αὕτη ἐναπεγράφη, καὶ ὑπετέθη τελεῖν.

Κανὼν ΙΗ'.

Τὸ τῆς συνωμοσίας, ἢ φατρίας, ἔγκλημα καὶ παρὰ τῶν ἔξω νόμων πάντη κεκώλυται, πολλῷ δὴ μᾶλλον ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ τοῦτο γίνεσθαι ἀπαγορεύειν προσήκει. Εἴ τινες τοίνυν κληρικοὶ, ἢ μονάζοντες, εὑρεθεῖεν συνομνύμενοι, ἢ φατριάζοντες, ἢ κατασκευὰς τυρεύοντες ἐπισκόποις, ἢ συγκληρικοῖς, ἐκπιπτέτωσαν πάντη τοῦ οἰκείου βαθμοῦ.

ΖΩΝΑΡ. Καὶ τοῖς πολιτικοῖς νόμοις, οὓς ἔξω ἐκάλεσεν ὁ κανὼν, διὰ τὸ παρὰ Ἑλλήνων πάντας σχεδὸν συντεθεῖσθαι, τὸ τῆς συνωμοσίας ἔγκλημα κεκώλυται, καὶ κεκόλασται, ὡς ἔστιν εὑρεῖν ἐν βιβλίῳ ἑξηκοστῷ, τίτλῳ τριακοστῷ ἕκτῳ, κεφαλαίῳ

δ'. καὶ τίτλῳ να'. κεφαλαίῳ πρώτῳ, θέματι (1) τρίτῳ· Συνωμοσία δ' ἐστὶ, τὸ τινὰς κατά τινων βουλεύσασθαι, καὶ ἀλλήλους ὅρκοις συνδῆσαι, μὴ ἀποστῆναι τοῦ ἀτόπου βουλεύματος, μέχρις ἂν τοῦτο ἐκτελεσθείη· ὅπερ ἐν ταῖς Πράξεσιν ἱστόρηται τῷ θείῳ Λουκᾷ, λέγοντι, ὅτι ποιήσαντές τινες τῶν Ἰουδαίων συςροφὴν, ἀνεθεμάτισαν ἑαυτοὺς, λέγοντες, μήτε φαγεῖν, μήτε πιεῖν, ἕως οὗ ἀποκτείνωσι τὸν Παῦλον. Φατρία δέ ἐστι κακοθελὲς διαβούλιον, καὶ συμφωνία τινῶν ἐπὶ πράξεσι φαύλαις· ταῦτα τοίνυν πολλῷ μᾶλλον ἀποτρέπεσθαι χρὴ τοὺς ἱερωμένους, καὶ τοὺς μονάζοντας. Εἰ δέ τινες εὑρεθεῖεν, φησὶν ὁ κανὼν, τοιοῦτοι συνομνύμενοι, ἢ φατριάζοντες, καί τινα μηχανώμενοι, (τοῦτο γὰρ τὸ, τυρεύοντες, ἀντὶ τοῦ, σκληρὰ καὶ πονηρὰ κατασκευάζοντες, κατὰ τὸ, ἐτυρώθη ἡ καρδία αὐτῶν, ἀντὶ τοῦ, ἐσκληρύνθη), τοὺς τοιούτους ἐκπίπτειν κελεύει τοῦ οἰκείου βαθμοῦ.

ΒΑΛΣ. Συνωμοσία ἐστὶ τὸ κατεμπεδῶσαι τινὰς κακά τινα οἰκεῖα θελήματα μετὰ ὅρκου ἀμοιβαδὸν πρὸς ἀλλήλους γενομένου. Φατρία δέ ἐστι, τὸ συνελθεῖν καὶ ὁμοφρονῆσαί τινας χάριν τοῦ ποιῆσαι τόδε τι κακόν. Ἔξω δὲ νόμους ὁ κανὼν καλεῖ τοὺς πολιτικοὺς, διὰ τὸ τοὺς πλείστους ἐξ αὐτῶν παρὰ τῶν τῆς ἔξω γραφῆς σοφῶν, ἤτοι τῶν Ἑλλήνων, συντεθῆναι. Φησὶ γοῦν, ὡς, ἐπεὶ καὶ ὁ πολιτικὸς νόμος τοὺς φατριαστὰς καὶ συνωμότας κολάζει, ὀφείλουσι καθαιρεῖσθαι οἱ τοιοῦτόν τι ποιοῦντες κληρικοὶ ἢ μονάζοντες. Καὶ ὁ μὲν κανὼν τοὺς κατὰ ἐπισκόπων ἢ συγκληρικῶν τυρεύοντας, (ἤτοι κατασκευάζοντας, κατὰ τὸ, ἐτυρώθη ἡ καρδία αὐτῶν, ἀντὶ τοῦ, ἐσκληρύνθη), καθαιρεῖσθαί φησιν· οἴομαι δὲ καὶ τοὺς κατὰ λαϊκῶν τοιοῦτόν τι ποιοῦντας ἱερωμένους ὁμοίως κολάζεσθαι. Ἀνάγνωθι καὶ τὸ λζ'. κεφ. τοῦ ἐννάτου τίτλου τοῦ παρόντος συντάγματος, καὶ τῆς ς'. συνόδου κανόνα λδ'.

ΑΡΙΣΤ. Κληρικοὶ καὶ μονάζοντες, εἰ φωραθεῖεν ἢ φρατριάζοντες, ἢ συνομνύμενοι κατ' ἐπισκόπου, τῶν βαθμῶν αὐτῶν ἔκπτωτοι.

---

(1) Χ. Τρ. — Θεσπίσματι Κ. Βευερ.

Ἡ συνωμοσία, καὶ ἡ φρατρία, εἰ ἐπὶ ἀναιρέσει τινὸς τῶν οἱωνδήποτε συγκλητικῶν γένηται, μείζονα πάντων τῶν ἄλλων ἐγκλημάτων ἀπὸ τῶν νόμων ἔχει τὴν καταδίκην· διὰ τοῦτο γοῦν καὶ ὁ κανὼν τοῖς κατ' ἐπισκόπων συνωμοσίας ἢ φρατρίας ποιουμένοις, ἔκπτωσιν τῶν οἰκείων βαθμῶν ὁρίζει.

Κανὼν ΙΘ'.

Ἦλθεν εἰς τὰς(1) ἡμετέρας ἀκοάς, ὡς ἐν ταῖς ἐπαρχίαις αἱ κεκανονισμέναι σύνοδοι τῶν ἐπισκόπων οὐ γίνονται, καὶ ἐκ τούτου πολλὰ παραμελεῖται τῶν διορθώσεως δεομένων ἐκκλησιαστικῶν πραγμάτων. Ὥρισε τοίνυν ἡ ἁγία σύνοδος, κατὰ τοὺς τῶν ἁγίων Πατέρων κανόνας, δὶς τοῦ ἐνιαυτοῦ ἐπὶ τὸ αὐτὸ συντρέχειν καθ' ἑκάστην ἐπαρχίαν τοὺς ἐπισκόπους, ἔνθα ἂν ὁ τῆς μητροπόλεως ἐπίσκοπος δοκιμάσῃ, καὶ διορθοῦν ἕκαστα τὰ ἀνακύπτοντα. Τοὺς δὲ μὴ συνιόντας ἐπισκόπους, ἐνδημοῦντας ταῖς ἑαυτῶν πόλεσι, καὶ ταῦτα ἐν ὑγείᾳ διάγοντας, καὶ πάσης ἀπαραιτήτου καὶ ἀναγκαίας ἀσχολίας ὄντας ἐλευθέρους, ἀδελφικῶς ἐπιπλήττεσθαι.

ΖΩΝΑΡ. Περὶ τῶν ἐτησίως διαταχθεισῶν γίνεσθαι συνόδων ἐν ἐπαρχίᾳ ἑκάστῃ, καὶ ἐν τοῖς τῶν ἁγίων Ἀποστόλων κανόσιν ἐξήγηται, καὶ ἐν τῷ ε. κανόνι τῆς πρώτης συνόδου· καὶ ζητητέον ἐκεῖνα.

ΒΑΛΣ. Περὶ τῶν ἐτησίως ὀφειλουσῶν γίνεσθαι συνόδων, ζήτει τὸν ε. κανόνα τῆς α. συνόδου· καὶ τὰ ἐν αὐτῷ.

ΑΡΙΣΤ. Δὶς τοῦ ἐνιαυτοῦ σύνοδος γινέσθω, ἔνθα δοκεῖ τῷ ἐπισκόπῳ τῆς μητροπόλεως, καὶ λυέσθω τὰ ἀνακύπτοντα.

Ὡς ἔμπροσθεν εἴρηται, τὸ δὶς τοῦ ἔτους γίνεσθαι σύνοδον, ἐκωλύθη παρὰ τοῦ ἕκτου κανόνος τῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον, καὶ τοῦ ὀγδόου κανόνος τῆς ἐν τῷ Τρούλλῳ ἕκτης

---

(1) Βρ. Βευερ. — εἰς ἡμετέρας Π. Χ. Τρ.

συνόδου, διὰ τὴν συντριβὴν, καὶ τὸ ἐνδεῶς ἔχειν πρὸς ὁδοιπορίαν τοὺς συναθροιζομένους ἐπισκόπους· καὶ ὡρίσθη ἅπαξ τοῦ ἐνιαυτοῦ γίνεσθαι, ἀπὸ τῆς ἁγίας τοῦ Πάσχα ἑορτῆς καὶ μέχρι συμπληρώσεως τοῦ Ὀκτωβρίου μηνός.

Κανὼν Κ'.

Κληρικοὺς εἰς ἐκκλησίαν τελοῦντας, καθὼς ἤδη ὡρίσαμεν, μὴ ἐξεῖναι εἰς ἄλλης πόλεως τάττεσθαι ἐκκλησίαν· ἀλλὰ στέργειν ἐκείνην, ἐν ᾗ λειτουργεῖν ἐξ ἀρχῆς ἠξιώθησαν, ἐκτὸς ἐκείνων, οἵτινες ἀπολέσαντες τὰς οἰκείας πατρίδας ἀπὸ (1) ἀνάγκης, εἰς ἄλλην ἐκκλησίαν μετῆλθον. Εἰ δέ τις ἐπίσκοπος (2) μετὰ τὸν ὅρον τοῦτον, ἄλλῳ ἐπισκόπῳ προσήκοντα δέξοιτο κληρικὸν, ἔδοξεν ἀκοινώνητον εἶναι καὶ τὸν δεχθέντα, καὶ τὸν δεξάμενον, ἕως ἂν ὁ μεταστὰς κληρικὸς εἰς τὴν ἰδίαν ἐπανέλθῃ ἐκκλησίαν.

ΖΩΝΑΡ. **Καὶ περὶ τούτου ἐν διαφόροις κανόσιν ἐξήγηται, καὶ ἀρκοῦσιν ἐκεῖνα.**

ΒΑΛΣ. Περὶ τούτου ἀρκούντως ὄπισθεν ἐξηγησάμεθα· μὴ ἐναντιωθῇ δέ σοι ὁ κγ'. κανὼν τῆς παρούσης συνόδου, μὴ ἐπάγων ἀφορισμὸν τοῖς ἐν ἀλλοτρίᾳ χώρᾳ διατρίβουσι κληρικοῖς· ἀλλὰ διοριζόμενος διώκεσθαι τούτους· ἀνάγνωθι δὲ τὰ ἐν ἐκείνῳ γραφέντα.

ΑΡΙΣΤ. Κληρικὸς ἑτέρας πόλεως εἰς ἑτέραν οὐ ταχθήσεται· ὁ δὲ τὴν οἰκείαν ἀπολέσας πατρίδα, εἰ ἐπ' ἄλλην ἐκκλησίαν ἐλήλυθεν, ἀνεπιτίμητος. Ἐπίσκοπος δὲ ξένον κληρικὸν εἰσδεξάμενος, μετὰ τοῦ δεχθέντος ἕξει τὸ ἀκοινώνητον.

Ἐν πολλοῖς τοῦτο κανόσιν εἴρηται, τὸ μὴ τάττεσθαι κληρικὸν ἑτέρας πόλεως εἰς ἑτέραν, ἄνευ γνώμης τοῦ ἰδίου ἐπισκόπου. Ἔσται γοῦν καὶ ὁ ἐπίσκοπος, ὁ τὸν ξένον κληρικὸν τῇ ἰδίᾳ ἐπισκοπῇ κληρώσας, καὶ αὐτὸς ὁ κληρωθεὶς, ἀφωρισμένος, μέ-

---

(1) ὑπὸ ἀνάγκης Χ. Τρ. — (2) εἰ δέ τινες ἐπίσκοποι Χ. Τρ.

χρις ἂν αὐτὸς ὁ κληρικὸς εἰς τὴν ἰδίαν ἐκκλησίαν ἐπανέλθῃ. Ὁ δὲ τὸν τὴν οἰκείαν πατρίδα ἀπολέσαντα κληρικὸν ἀπό τινος ἀνάγκης δεξάμενος, ἀνεπιτίμητος.

Κανὼν ΚΑ'.

Κληρικούς, ἢ λαϊκούς, κατηγοροῦντας ἐπισκόπων, ἢ κληρικῶν, ἁπλῶς καὶ ἀδοκιμάστως μὴ προσδέχεσθαι εἰς κατηγορίαν (1), εἰ μὴ πρότερον ἐξετασθείη αὐτῶν ἡ ὑπόληψις.

—

ΖΩΝΑΡ. Καὶ ὁ ἕκτος κανὼν τῆς δευτέρας συνόδου περὶ τούτων διατάττεται· ἃ οὖν ἐγράφη ἐκεῖ, εἰς ἐξήγησιν καὶ τοῦ παρόντος κεφαλαίου ἀρκοῦσιν.

ΒΑΛΣ. Ζήτει κανόνα ϛ'. τῆς β'. συνόδου, καὶ μάθῃς τὴν τοῦ παρόντος κανόνος ἐξήγησιν.

ΑΡΙΣΤ. Ἀδοκιμάστως κληρικός, ἢ λαϊκός, ἐπισκόπου κατηγορῶν, ἀνεπίδεκτος.

Δεῖ τὰς ὑπολήψεις τῶν κατηγορούντων ἐπισκόπων, ἢ κληρικῶν, ἐξετάζεσθαι· καὶ μὴ ἀπροδοκιμάστως αὐτοὺς εἰς κατηγορίαν αὐτῶν παραδέχεσθαι, κἂν κληρικοί εἰσιν οἱ κατηγοροῦντες, κἂν λαϊκοί· μήποτε ἀποβεβλημένοι οὗτοι εἶεν, ἢ ἀκοινώνητοι, ἢ ἐπὶ ἐγκλήμασί τισι κατηγορούμενοι, καὶ μήπω φανέντες ἀνεύθυνοι, ἢ ἄλλως πως τὸν βίον ἐπίμεμπτοι, ἢ τὴν θρησκείαν ἀλλότριοι. Πολλοὶ γὰρ τοιοῦτοι τὴν ἐκκλησιαστικὴν εὐταξίαν συγχεῖν καὶ ἀνατρέπειν βουλόμενοι, συκοφαντικὰς αἰτίας συῤῥάπτουσι κατὰ τῶν ἀνεπιλήπτων καὶ ὀρθοδόξων ἐπισκόπων καὶ κληρικῶν.

Κανὼν ΚΒ'.

Μὴ ἐξεῖναι κληρικοῖς (2) μετὰ θάνατον τοῦ ἰδίου ἐπισκόπου, διαρπάζειν (3) τὰ διαφέροντα αὐτῷ πράγματα,

---

(1) Οὐ κεῖται τὸ, εἰς κατηγορίαν, παρὰ Βρ.—(2) Χ. Τρ. Βρ. Σ. Ῥ. — κληρικοὺς Βευερ. Π. — (3) ἁρπάζειν Χ. Τρ. Βευερ.

καθὼς καὶ τοῖς παραλαμβάνουσιν (1) ἀπηγόρευται· ἢ τοὺς τοῦτο ποιοῦντας, κινδυνεύειν περὶ τοὺς ἰδίους (2) βαθμούς.

—

ΖΩΝΑΡ. Καὶ ὁ τεσσαρακοστὸς τῶν ἁγίων Ἀποστόλων κανὼν, φανερὰ εἶναι ὁρίζει τὰ ἴδια πράγματα τοῦ ἐπισκόπου, καὶ τὰ Κυριακὰ φανερά· καὶ ἐξουσίαν δίδωσι τῷ ἐπισκόπῳ τὰ οἰκεῖα οἷς βούλεται καταλιμπάνειν. Καὶ ὁ κδ΄. τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανὼν τὰ αὐτὰ διατάττεται. Καὶ ὁ παρὼν δὲ κανὼν ἀπαγορεύει, τὰ τῷ ἐπισκόπῳ διαφέροντα πράγματα παρὰ τῶν κληρικῶν διαρπάζεσθαι, ἐκείνου θανόντος. Τὸ δὲ, καθὼς καὶ τοῖς παραλαμβάνουσιν ἀπηγόρευται, νοητέον κατὰ τὸν λέ. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, κωλύοντα καὶ τὸν μητροπολίτην, ᾧ ὑπέκειτο ὁ τελευτήσας ἐπίσκοπος, μήτε τι τῶν τῆς ἐκκλησίας, μήτε τῶν ἰδικῶν τοῦ ἐπισκόπου σφετερίζεσθαι· ἀλλ' εἰ μὲν εἶεν τῇ ἐπισκοπῇ κληρικοὶ, παρ' ἐκείνων κελεύοντα τὰ πράγματα φυλάττεσθαι, μέχρις ἂν ἕτερος ἐπίσκοπος γένηται· εἰ δ' οὐκ εἶεν ἴσως κληρικοὶ, τῷ μητροπολίτῃ τὴν τούτων ἀνατιθέμενον φυλακὴν, ἵν' ἀποδοίη ταῦτα ἀκαινοτόμητα τῷ χειροτονηθησομένῳ ἐπισκόπῳ· παραλαμβάνοντας οὖν τοὺς κληρικοὺς, ἢ τοὺς μητροπολίτας φησὶν, ὡς τὴν τῶν πραγμάτων φυλακὴν ἐμπιστευομένους· τοῖς δὲ διαρπάζουσιν, ἢ νοσφιζομένοις τι τῶν τῆς ἐπισκοπῆς, ἢ τῶν τοῦ ἐπισκόπου πραγμάτων, ἐπιτίμιον ἐπάγει τὴν ἔκπτωσιν τῶν οἰκείων βαθμῶν. Καταλιμπάνειν δὲ ἐπίσκοπον αἱρετικοῖς τὰ οἰκεῖα κεκώλυται· μᾶλλον δὲ τοιούτοις καταλιπὼν καὶ ὑπὸ ἀνάθεμά ἐστιν. Ἀδιαθέτου δὲ τοῦ ἐπισκόπου τελευτήσαντος, ὁ μετ' ἐκεῖνον ἐπίσκοπος τὰ ἐκείνου ὡρίσθη οἰκονομεῖν πράγματα θεαρέστως, κατὰ τὸν κϐ'. καὶ πά. τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν καθαιρεῖσθαί φησι τοὺς κληρικοὺς, τοὺς μετὰ θάνατον τοῦ ἰδίου ἐπισκόπου ἁρπάζοντας τὰ τούτῳ διαφέροντα πράγματα· καὶ οὐ μόνον αὐτοὺς, ἀλλὰ καὶ τοὺς

---

(1) Βευερ. Χ. Τρ. Μάνσ. ἐν περιθελ. — τοῖς πάλαι κανόσιν Π. Βρ. — (2) Π. Βρ. — οἰκείους Χ. Τρ. Βευερ.

λοιπούς, τοὺς χρεωστοῦντας φυλακὴν τούτων, μητροπολίτας δηλαδὴ, καὶ ἑτέρους, παρ' οἷς ἐτελεύτησεν ὁ ἐπίσκοπος, οἳ καὶ παραλαμβάνοντες καλοῦνται. Τότε δὲ λέγεται ἔχειν ὁ ἐπίσκοπος πράγματα, καὶ δύναται διατίθεσθαι, ὅταν, κατὰ τὸν μ'. ἀποστολικὸν κανόνα, ἀπογράψηται, ἅμα τῷ χειροτονηθῆναι, τὰ οἰκεῖα, καὶ τὰ τῆς ἐπισκοπῆς· εἰ γὰρ μὴ οὕτω ποιήσει, πάντα τὰ τούτου τῇ ἐκκλησίᾳ ἀνήκουσιν. Ἀπογραφῆς δὲ γενομένης, ὡς εἴρηται, ἐὰν ἀδιάθετος ὁ ἐπίσκοπος τελευτήσῃ, νομίζω, ὅτι κατὰ νόμους ὑπὸ τῶν ἐξ ἀδιαθέτου καλουμένων προσγενῶν αὐτοῦ κληρονομηθήσεται. Κἂν γάρ τινες ἀπὸ τοῦ πα'. κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου εἶπον, ἔχειν ἐπ' ἀδείας τὸν μετ' ἐκεῖνον ἐπίσκοπον τὰ πράγματα τοῦ ἀδιαθέτως τελευτήσαντος ἐπισκόπου κατὰ τὸ βουλητὸν αὐτῷ οἰκονομεῖν· ἀλλ' ἐμοὶ δοκεῖ ὅτι ἀπὸ τοῦ τοιούτου κανόνος, λέγοντος, ὀφείλειν τὸν ἐπιγινόμενον ἐπίσκοπον, τοῦ ἀδιαθέτου ἐπισκόπου τὴν διατύπωσιν ἁρμοδίαν τῷ ἑαυτοῦ ἐπαγγέλματι ποιήσασθαι, μάλιστα παρίσταται κατὰ νόμους γίνεσθαι τὴν διαδοχὴν τῶν πραγμάτων τοῦ τελευτήσαντος· ταῦτο γὰρ ποιῶν, ἁρμοδίαν διατύπωσιν ποιήσει τῷ αὐτοῦ ἐπαγγέλματι. Ζήτει καὶ τὸν κδ'. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου, καὶ τῆς ἐν τῷ Τρούλλῳ κανόνα λέ.

ΑΡΙΣΤ. Ὁ ἐξ ἀνθρώπων ἐπισκόπου γεγενημένου, τὰ ἐκείνου ἁρπάζων, τοῦ βαθμοῦ ἁμαρτήσεται.

Ὅσοι τῶν κληρικῶν τὰ τοῦ ἐπισκόπου πράγματα διαρπάζουσι μετὰ θάνατον ἐκείνου, περὶ τὸν ἴδιον βαθμὸν κινδυνεύουσιν.

Κανὼν ΚΓ'.

Ἦλθεν εἰς τὰς(1) ἀκοὰς τῆς ἁγίας συνόδου, ὡς κληρικοί τινες καὶ μονάζοντες, μηδὲν ἐγκεχειρισμένοι ὑπὸ τοῦ ἰδίου ἐπισκόπου, ἔστι δ' ὅτε καὶ ἀκοινώνητοι γενόμενοι παρ' αὐτοῦ, καταλαμβάνοντες(2) τὴν βασιλεύουσαν Κωνσταντινούπολιν, ἐπὶ πολὺ ἐν αὐτῇ διατρίβουσι, ταραχὰς ἐμ-

(1) Χ. Τρ. — (2) Π. Σ. Ῥ. Βρ. Ἑ. Κ. — καταλαμβάνουσι Χ. Τρ. Βευερ.

ποιοῦντες, καὶ θορυβοῦντες τὴν ἐκκλησιαστικὴν κατάστασιν, ἀνατρέπουσί τε οἴκους τινῶν. Ὥρισε τοίνυν ἡ ἁγία σύνοδος, τοὺς τοιούτους ὑπομιμνήσκεσθαι μὲν πρότερον διὰ τοῦ ἐκδίκου τῆς κατὰ Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας (1) ἐπὶ τῷ ἐξελθεῖν τῆς βασιλευούσης πόλεως· εἰ δὲ τοῖς αὐτοῖς πράγμασιν ἐπιμένοιεν ἀναισχυντοῦντες, καὶ ἄκοντας αὐτοὺς διὰ τοῦ αὐτοῦ ἐκδίκου ἐκβάλλεσθαι, καὶ τοὺς ἰδίους καταλαμβάνειν τόπους.

—

ΖΩΝΑΡ. Τοὺς κληρικοὺς βούλεται ὁ κανὼν ταῖς ἐκκλησίαις προσμένειν, αἷς ἐκληρώθησαν, (κἂν ἴσως μὴ κρίνοιντο παρὰ τοῦ ἐπισκόπου εἰς ἐγχείρησιν (2) πραγμάτων, ἤτοι διοίκησιν, ἐπιτήδειοι, κἂν ἴσως καὶ ἐπιτιμηθῶσι παρ᾽ αὐτοῦ τῷ τῆς ἀκοινωνησίας ἐπιτιμίῳ), καὶ μὴ ἀποσκιρτᾷν, καὶ ἀλλαχοῦ ἀπιέναι, καὶ διατρίβειν ἐκεῖ, καὶ ταραχὰς, καὶ θορύβους ποιεῖν, καὶ συγχέειν τὴν ἐκκλησιαστικὴν κατάστασιν, κακὸν ὑπόδειγμα τοῖς ἄλλοις κληρικοῖς γινομένους, καὶ οἴκους τινῶν ἀνατρέποντας, ἢ τῶν μιμουμένων αὐτοὺς κληρικῶν, καὶ τῇ τάξει μὴ ἐμμενόντων τῆς ἐκκλησίας, ἢ τῶν δεχομένων αὐτοὺς καὶ εἰς οἰκονομίαν πραγμάτων ἴσως χρωμένων αὐτοῖς. Τοὺς τοιούτους οὖν παρὰ τῶν ἐκδίκων ὑπομιμνήσκεσθαι βούλεται ὁ κανὼν, ἐξελθεῖν τῆς πόλεως, ᾗ παροικοῦσιν· εἰ δὲ μὴ πείθοιντο, τοῖς αὐτοῖς δὲ πράγμασιν ἐπιμένοιεν, τῇ ἀνυποταξίᾳ δηλαδὴ, καὶ ἀναισχυντίᾳ, ἢ τῇ διοικήσει τῶν ἴσως αὐτοῖς ἐγχειρισθέντων πραγμάτων, ἐκβάλλεσθαι καὶ ἄκοντας ὁ κανὼν διατάττεται παρὰ τοῦ ἐκδίκου, καὶ εἰς τοὺς ἰδίους ἀπιέναι τόπους· τὰ αὐτὰ καὶ περὶ μοναχῶν.

ΒΑΛΣ. Ἀπαγορεύουσιν οἱ Πατέρες κληρικοὺς, ἢ μονάζοντας, παρὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου, πολλάκις καὶ ἀφωρισμένους ὄντας, καταλαμβάνειν τὴν Κωνσταντινούπολιν, καὶ ἐπὶ πολὺ ἐν αὐτῇ διατρίβειν, διὰ τὸ μὴ ἔχειν ἴσως διακονίας ἐκκλησιαστι-

---

(1) Π. Βευερ. Βρ. Ἐ. Κ. Σ. Ῥ. — τῆς Κωνσταντινουπόλεως ἁγίας συνόδου Χ. Τρ. — (2) χείρησιν Χ. Τρ.

κάς. Τοῦτο γὰρ, φησὶν, ἀνατρέπει τὴν ἐκκλησιαστικὴν κατάστασιν, καὶ τοὺς οἴκους τῶν παραδεχομένων αὐτούς. Καὶ ἐνταῦθα μὲν ἐκδιώκεσθαι τούτους καὶ ἄκοντας, ὁ κανὼν διορίζεται, εἰ μὴ θελήσωσι παρὰ τῶν ἐκδίκων ὑπομιμνησκόμενοι ἑκόντες ὑποχωρῆσαι. Ὁ δὲ κ'. κανὼν τῆς παρούσης συνόδου, ἀκοινωνήτους εἶναί φησι καὶ τὸν δεχθέντα, καὶ τὸν τοῦτον δεξάμενον. Καὶ μὴ ἐναντιωθῇ σοι· ἀλλ' εἰπὲ ὅτι ἐκεῖ μὲν ἔφθασαν δεχθῆναι, καὶ διὰ τοῦτο ἀκοινωνησίᾳ κατακρίνονται σὺν τοῖς δεξαμένοις αὐτοὺς ἐπισκόποις. Ἐνταῦθα δὲ οὐκ ἐδέχθησαν εἰσέτι, καὶ διὰ τοῦτο διώκονται, καὶ ἀναγκάζονται ἀπελθεῖν ἔνθα ἐχειροτονήθησαν. Ἀνάγνωθι καὶ τὸν ιϛ'. ἀποστολικὸν κανόνα.

ΑΡΙΣΤ. Οἱ ἐπισκόπου δίχα, τῇ Κωνσταντίνου διατρίβοντες πόλει, κληρικοὶ καὶ μονάζοντες, καὶ ταραχὰς ἀνεγείροντες, τῆς πόλεως ἐλαυνέσθωσαν.

Οἱ παρὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου εὑρισκόμενοι ἐν Κωνσταντινουπόλει κληρικοὶ καὶ μονάζοντες, καὶ τὴν ἐκκλησιαστικὴν θορυβοῦντες κατάστασιν, διὰ τοῦ ἐκδίκου τῆς κατὰ Κωνσταντινούπολιν ἐκκλησίας τῆς πόλεως ἐλαυνέσθωσαν.

Κανὼν ΚΔ'.

Τὰ ἅπαξ καθιερωθέντα μοναστήρια, κατὰ γνώμην ἐπισκόπου, μένειν εἰς τὸ διηνεκὲς μοναστήρια, καὶ τὰ ἀνήκοντα (1) αὐτοῖς πράγματα φυλάττεσθαι (2), καὶ μηκέτι γίνεσθαι (3) ταῦτα κοσμικὰ καταγώγια· τοὺς δὲ συγχωροῦντας τοῦτο γίνεσθαι, ὑποκεῖσθαι τοῖς ἐκ (4) τῶν κανόνων ἐπιτιμίοις.

—

ΖΩΝΑΡ. Ὁ πρῶτος κανὼν τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης συνόδου περιέχει μετὰ τῶν ἄλλων καὶ ταῦτα· Ὥρισεν ἡ ἁγία σύνοδος, μηδενὶ ἐξεῖναι μοναστήριον οἰκοδομεῖν ἄνευ τῆς τοῦ ἐπισκόπου γνώμης καὶ βουλῆς, καὶ τὰ ἑξῆς. Καὶ ὁ πολιτικὸς νόμος ἐν βιβλίῳ τετάρτῳ τῶν βασιλικῶν κείμενος,

(1) τὰ προσήκοντα Βρ. — (2) τῷ μοναστηρίῳ Σ. Ῥ. — (3) δύνασθαι γενέσθαι Σ. Ῥ. — (4) τοῖς τῶν κανόνων Χ. Τρ.

τίτλῳ πρώτῳ, τὰ αὐτὰ διορίζεται. Τὰ γοῦν οὕτω, κατὰ γνώμην δηλονότι τοῦ ἐπισκόπου καθιερωθέντα μοναστήρια, ἤγουν διὰ τῆς εὐχῆς ἐκείνου ἀνατεθέντα τῷ Θεῷ, μὴ κοινοῦσθαι οὗτος ὁ κανὼν διατάττεται, μένειν δὲ ἀεὶ μοναστήρια, καὶ μὴ κοινὰ καὶ κοσμικὰ καταγώγια γίνεσθαι· φυλάττεσθαι δὲ καὶ τὰ αὐτοῖς ἀνήκοντα πράγματα, ὡς, εἴγε μὴ κατὰ γνώμην ἐπισκόπου συσταίη μονὴ, οὐδ' εὐχὴ αὐτοῦ τῆς οἰκοδομῆς προηγήσεται, καὶ οἷά τις ἀῤῥαγὴς καταβληθείη θεμέλιος, οὐδὲ μονὴ λογισθήσεται· διὰ τοῦτο γὰρ ὁ κανὼν ἐπήνεγκε τὸ, κατὰ γνώμην ἐπισκόπου· τοὺς δὲ ταῦτα παραβαίνοντας, κανονικοῖς ἐπιτιμίοις ὑποκεῖσθαι ἐψηφίσατο.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν διοριζόμενος, μὴ γίνεσθαι κοσμικὰ καταγώγια, μηδὲ κοινοῦσθαι τὰ κατὰ γνώμην τοῦ ἐπισκόπου καθιερωθέντα μοναστήρια, φυλάττεσθαι δὲ καὶ τὰ ἀνήκοντα αὐτοῖς πράγματα, ἀσυμφανῶς παρακελεύεται, καὶ τὰ περὶ τῆς ποιήσεως τῶν μοναστηρίων, διὰ τοῦ εἰπεῖν κατὰ γνώμην τοῦ ἐπισκόπου. Μαθήσῃ δὲ πλατύτερον πῶς ὀφείλουσι γίνεσθαι τὰ μοναστήρια, ἀπὸ τοῦ ά. κανόνος τῆς ἐν τῷ ναῷ τῶν ἁγίων(1) Ἀποστόλων συστάσης συνόδου, καὶ ἀπὸ τοῦ ά. κεφ. τοῦ ά. τίτ. τοῦ δ'. βιβλίου τῶν βασιλικῶν, ὅπερ ἐστὶ κεφ. νβ'. τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς, συνοψισθὲν εἰς τὸ ά. κεφ. τοῦ ια'. τίτλ. τοῦ παρόντος συντάγματος. Ἐρωτήσει δέ τις, μετὰ ποίας φυλακῆς τὰ πράγματα τῶν μοναστηρίων φυλάττεσθαι ὁ κανὼν παρακελεύεται, καὶ ποῖα ταῦτά εἰσι. Καί τινες μὲν εἶπον, ὀφείλειν πάντα τὰ τῶν μοναστηρίων κινητὰ καὶ ἀκίνητα, ὡς καὶ αὐτὰ τὰ μοναστήρια, συντηρεῖσθαι ἀνεκποίητα· ἐμοὶ δὲ δοκεῖ ὅτι ὁ κανὼν ἐνταῦθα περὶ φυλακῆς λέγει μεγάλης, δηλονότι ἄκρας ἐπιμελείας. Τῶν γὰρ διαφερόντων τούτοις ἀκινήτων, πρὸς δὲ καί τινων ἱερῶν σκευῶν ἔστιν ὅτε ἡ ἐκποίησις ἐπιτρέπεται· καὶ ἀνάγνωθι τὸν ὅλον δεύτερον τίτλον τοῦ έ. βιβλίου τῶν βασιλικῶν, διδάσκοντα ἐξ εὐλόγων αἰτιῶν τινων, μὴ μόνον ὑποτίθεσθαι τὰ τῶν ἐκκλησιῶν ἀκίνητα καὶ ἱερὰ σκεύη, ἀλλὰ

(1) Χ. Τρ.

καὶ ἐκποιεῖσθαι κατὰ πᾶσαν ἐκποίησιν. Ἐπεὶ δέ φησι, τοὺς συγχωροῦντας κοινοῦσθαι τὰ μοναστήρια, ὑποκεῖσθαι τοῖς τῶν κανόνων ἐπιτιμίοις, ἐρωτήσει τις ποῖα ταῦτά εἰσι. Γίνωσκε οὖν ὅτι ὁ ιγ'. κανὼν τῆς ζ'. συνόδου φησί, Τοὺς τὰ ἱερὰ κοινοῦντας, καὶ μὴ ἀποκαθιστῶντας αὐτὰ εἰς τὸ ἀρχαῖον σχῆμα, ἱερωμένους μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἢ μοναχοὺς, ἀφορίζεσθαι. Ἀνάγνωθι καὶ τὸν μθ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου.

ΑΡΙΣΤ. Μοναστήριον ἐπισκόπου γνώμῃ παγὲν, μενέτω ἀμεταποίητον· καὶ ὅ,τι τούτῳ ἀνήκει, ἤτω ἀνεκποίητον· ὁ δ' ἄλλως ἐπιχειρῶν, οὐκ ἀνεύθυνος.

Τὰ μὲν δίχα γνώμης τοῦ ἐπισκόπου κτισθέντα μοναστήρια, καὶ ἀσύστατά εἰσι, καὶ ἀνίερα. Τὸ δὲ μετὰ βουλῆς ἐπισκόπου κτισθὲν μοναστήριον, ὡς θείου δικαίου ὂν, ὀφείλει μένειν ἀμεταποίητον, καὶ μὴ κοσμικῶν καταγώγιον γίνεσθαι· φυλάττεσθαι δὲ καὶ τὰς ἀκινήτους αὐτοῦ κτήσεις ἀνεκποιήτους. Τὸν δὲ ἀθετοῦντα ταῦτα, τοῖς ἐκ τῶν κανόνων ἔνοχον εἶναι ἐπιτιμίοις.

Κανὼν ΚΕ'.

Ἐπειδὴ πέρ (1) τινες τῶν μητροπολιτῶν, ὡς περιηχήθημεν, ἀμελοῦσι τῶν ἐγκεχειρισμένων αὐτοῖς ποιμνίων, καὶ ἀναβάλλονται τὰς χειροτονίας τῶν ἐπισκόπων· ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ἐντὸς τριῶν μηνῶν γίνεσθαι τὰς χειροτονίας τῶν ἐπισκόπων, εἰ μήποτε ἄρα ἀπαραίτητος ἀνάγκη παρασκευάσοι ἐπιταθῆναι τὸν τῆς ἀναβολῆς χρόνον. Εἰ δὲ μὴ τοῦτο ποιήσοι, ὑποκεῖσθαι αὐτὸν (2) ἐκκλησιαστικοῖς ἐπιτιμίοις (3). Τὴν μέν τοι πρόσοδον τῆς χηρευούσης ἐκκλησίας, σώαν παρὰ τῷ οἰκονόμῳ τῆς αὐτῆς ἐκκλησίας φυλάττεσθαι (4).

—

(1) Π. Χ. Τρ. Κ. Σ. Ῥ. — Ἐπειδὴ δέ τινες Βρ. — (2) Βρ. Σ. Ῥ. — τὸ, αὐτὸν, οὐ κεῖται ἐν Π. Βευερ. — (3) ἐκκλησιαστικῷ ἐπιτιμίῳ Ἐ. Κ. Βευερ. Σ. Ῥ. Χ. Τρ. — κανονικῷ ἐπιτιμίῳ Βρ. — (4) Π. Βευερ. Χ. Τρ. Κ. Ἐ. — σώαν φυλάττεσθαι παρὰ τῷ οἰκονόμῳ τῆς ἐκκλησίας Βρ.

ΖΩΝΑΡ. Τὰς τῶν ἐπισκόπων χειροτονίας, μὴ ἐπὶ πολὺ ὑπερτίθεσθαι τοὺς μητροπολίτας, οἷς ἡ ἐκείνων ἀνήκει προχείρισις, ὁ παρὼν κανὼν διορίζεται· διὸ καὶ χρόνον, οὗ ἐντὸς χειροτονεῖσθαι δέον τοὺς ἐπισκόπους, ἔταξεν, ὁ δ᾽ ἐστὶ τρίμηνον· οὐδὲ γὰρ ἐπὶ πολὺ χρὴ τοὺς ὑπ᾽ ἐκείνους λαοὺς ἀνεπισκοπήτους εἶναι, καὶ ὡς ἔτυχε φέρεσθαι, μὴ ὄντος τοῦ καταρτίζοντος αὐτούς. Εἰ δέ ποτε συμβαίη ἀπαραίτητός τις αἰτία κωλύουσα τὴν διὰ τοῦ τριμήνου προχείρισιν, ἐπιταθήσεται, φησὶν, ὁ χρόνος, καὶ ὑπερτεθήσεται ἡ χειροτονία. Ἴσως γὰρ ἑάλω ὑπὸ βαρβάρων ἡ πόλις ἐκείνη, καὶ οὐκ ἔστι ῥᾴδιον ἀπελθεῖν ἐκεῖσέ τινα· τοὺς δὲ μὴ οὕτω ποιοῦντας, ὑποκεῖσθαι κελεύει ἐκκλησιαστικοῖς ἐπιτιμίοις. Ἐφ᾽ ὅσον δὲ ἡ χειροτονία τοῦ ἐπισκόπου ὑπερτεθῇ, εἴτε ἐπὶ τρίμηνον, εἴτε ἐπὶ πλέον, ἀνάγκης ἐπικειμένης, ἡ πρόσοδος φυλάττεσθαι ὀφείλει τῷ χειροτονηθησομένῳ ἐπισκόπῳ, παρὰ τοῦ οἰκονόμου τῆς ἐκκλησίας, ποιοῦντος τὰς ἀναγκαίας ἐξόδους τῆς ἐπισκοπῆς, τὰ δὲ περιττεύοντα ἴσως φυλάττοντος.

ΒΑΛΣ. Οἱ θεῖοι Πατέρες τὰς τῶν πολλῶν κακεντρεχείας ἀνακόπτοντες, ὥρισαν μὴ ἔχειν ἐπ᾽ ἀδείας τοὺς μητροπολίτας τὰς τῶν ἐπισκόπων ἀναβάλλεσθαι χειροτονίας ἐπὶ πολὺ, ἀλλ᾽ ἐντὸς τριμήνου ταύτας ποιεῖν (1), ἵνα μὴ ἐντεῦθεν τὰ τῶν ἐπι-

---

(1) Κατά τε τὸ Χ. Τρ. καὶ τὸν Ἐ. κατόπιν τοῦ ποιεῖν, ἕπονται τὰ ἐν τῇ παρούσῃ ἐκδόσει. «Ἵνα μὴ ἐντεῦθεν ... ἕως τοῦ τέλους τῆς ἑρμηνείας.» Παρὰ δὲ Βευερ. μετὰ τὸ, ποιεῖν, ἀναγινώσκονται τὰ κατωτέρω, ἅπερ παρὰ μὲν Ἐ. οὐ κεῖνται, ἐν δὲ Χ. Τρ. ἀποτελοῦσιν ἑτέραν ἑρμηνείαν μετά τινων παραλλαγῶν, ἃς ὑπεσημειώσαμεν.

Καὶ ταῦτα μὲν περὶ τῶν μὴ ψηφιζομένων μητροπολιτῶν τὰς ἰδίας ἐπισκοπάς. Περὶ δὲ τῶν ψηφιζομένων καὶ ὑπερτιθεμένων τὴν καταδοχὴν, ἢ τὴν παραίτησιν, ἐζητήθη διαφόρως τί μέλλει γενέσθαι· καὶ οὐχ ὡρίσθη τὸ ποιητέον· διό φημι, ὅτι τρίμηνον ὀφείλει μετὰ τὴν ψῆφον ὑφαπλοῦσθαι τῷ ψηφισθέντι, χάριν τοῦ καταδέξασθαι, ἢ παραιτήσασθαι, ὅπερ καὶ τῷ μητροπολίτῃ ἀπὸ τοῦ παρόντος κανόνος ἐδόθη χάριν τοῦ ψηφίσασθαι τὴν ἐπισκοπήν. Καὶ εἰ ἐντὸς αὐτῶν οὐ καταδέξεται ὁ ψηφισθεὶς, ἢ οὐ παραιτήσεται, ὀφείλει ἑτέρα γίνεσθαι ψῆφος, μὴ δυναμένου τοῦ ὑπερθεμένου ἀνακαλεῖσθαι τὴν χειροτονίαν μετὰ τὴν τρίμηνον· μᾶλλον μὲν οὖν καὶ εὐθυνομένου ἐκκλησιαστικῶς, ὡς παίζοντος διακενῆς ἐν οὐ παικτοῖς, καὶ λυμαινομένου τὸ ποίμνιον τοῦ Θεοῦ· καὶ οὐδὲ ὀφείλει ἐπιφωνεῖσθαι ὁ ψηφισθεὶς παρὰ τοῦ ψηφισαμένου, διότι οὐδὲ ὁ μητροπολίτης ἐπιφωνεῖται παρὰ τῷ πατριάρχῃ ψηφίσασθαι. Συγκροτεῖ δὲ τὴν τοιαύτην ἑρμηνείαν καὶ ἀπὸ τοῦ ή. κεφ. τοῦ ά. τίτ.

σκοπῶν (1) λυμαίνωνται, καὶ ἡ τοῦ λαοῦ ἀμελῆται διδασκαλία· εἰ δὲ, φασὶ, διά τινα περίστασιν ἀπαραίτητον κωλύεται ἡ τοῦ ἐπισκόπου προχείρισις, (τυχὸν γὰρ ἡ χηρεύουσα πόλις ἐπισκόπου ὑπὸ ἐθνῶν ἑάλω, καὶ οὐκ ἔστι ῥᾷον ἀπελθεῖν ἐκεῖσέ τινα), πάντως ὑπερτεθείη καὶ ἡ χειροτονία. Τὴν μέν τοι πρόσοδον τῆς ἐπισκοπῆς, παρὰ τοῦ οἰκονόμου ταύτης εἰσοδιάζεσθαι θέλει ὁ κανὼν, δοθῆναι ὀφείλουσαν οὐ τῷ μητροπολίτῃ, ἀλλὰ τῷ χειροτονηθησομένῳ ἐπισκόπῳ, κἂν ἐπὶ τρίμηνον ἡ χειροτονία ὑπερτεθῇ, κἂν ἐπὶ πλέον· τοὺς δὲ παρὰ ταῦτα ποιοῦντας μητροπολίτας, ἐπιτιμίῳ καθυποβάλλει. Οἷον δὲ τοῦτό ἐςιν, οὐκ οἶδα· νομίζω δὲ τὸ παρὰ τῆς συνόδου ὁρισθησόμενον. Σημείωσαι οὖν, πῶς νοεῖται τὸ τῆς ἀπαραιτήτου ἀνάγκης· τὸ γὰρ ἐπηρεάζεσθαι τὰ τῆς ἐπισκοπῆς ὑπὸ πρακτορικῆς ἀδικίας, ἢ ἕτερόν τι τοιοῦτον, ἀναβολὴν εὔλογον χειροτονίας ἐπισκόπου τῷ μητροπολίτῃ οὐ δίδωσιν. Ἀνάγνωθι καὶ κεφ. θ'. τοῦ ά. τίτ. τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ.

Ἑτέρα ἑρμηνεία.

Περὶ μὲν τῶν μητροπολιτῶν, τῶν μὴ ψηφιζομένων εἰς τὰς χηρευούσας ἐπισκοπὰς αὐτῶν ἐπισκόπους, τὰ ἐν τῷ παρόντι κανόνι διελήφθησαν. Περὶ δὲ τῶν μετὰ τὴν ψῆφον μηνυομένων, καὶ ἀναβαλλομένων τὴν καταδοχὴν, ἢ τὴν παραίτησιν, λόγος ἐγένετο κατὰ διαφόρους καιρούς· καὶ ἐζητήθη τὸ ποιητέον· καὶ μᾶλλον ἐπὶ τοῦ Λαχανᾶ ἐκείνου Θεοδώρου εἰς Ἡράκλειαν ἐπικηρυχθέντος, καὶ ἐπὶ χρόνον ἕνα πρὸς τῷ ἡμίσει μὴ καταδεξάμενον, ἢ παραιτησάμενον. Ὅτι οὖν οὐδέν τι σαφὲς ἐκυρώθη τότε, λέγει, ὅτι τριμηναῖος καιρὸς μετὰ τὴν ψῆφον ὀφείλει ὑφαπλωθῆναι καὶ τῷ ψηφισθέντι, χάριν τοῦ καταδέξασθαι, ἢ παραιτήσασθαι, κατὰ τὸν παρόντα κανόνα, ὅσος δηλονότι καὶ

τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, εἰς τρίμηνον στενοχωροῦντος τὴν δοκιμασίαν τῆς συμβάσης ἀντιλογίας κατὰ τοῦ ψηφισθέντος· ὅπερ κατέκειτο εἰς τὸ σχόλιον τοῦ ή. κεφ. τοῦ ά. τίτ. τοῦ παρόντος συντάγματος. Ὀφείλει δὲ ποιεῖν τὰς χειροτονίας ἐντὸς τριμήνου, ἵνα μὴ ἐντεῦθεν τὰ τῶν ἐπισκόπων λυμαίνωνται, — Εἶτα ἕπονται τὰ ἐν τῷ κειμένῳ, καὶ ἡ τοῦ λαοῦ ἀμελῆται διδασκαλία. κτλ.

(1) Χ. Τρ. — τὰ τῶν ἐπισκόπων Ἑ. Βευερ.

τῷ μητροπολίτῃ ἐδόθη χάριν τοῦ ψηφίσασθαι τὴν ἐπισκοπὴν, διὰ τὴν αἰτίαν, δι' ἣν καὶ ὁ μητροπολίτης τιμωρεῖται μὴ ἐμπροθέσμως ψηφιζόμενος. Τούτου δὲ παρελθόντος διακενῆς, ἑτέρα ψῆφος τῆς ἐκκλησίας γενήσεται, καὶ ὁ μηνυθεὶς μετὰ τὸ τρίμηνον ἀνακαλούμενος τὴν χειροτονίαν, οὐκ εἰσακουσθήσεται· μᾶλλον μὲν οὖν καὶ ἐκκλησιαστικῶς κολασθήσεται, ὡς παίζων ἐν οὐ παικτοῖς, καὶ τὸ τοῦ Θεοῦ ποίμνιον ἐξ ὑπερθέσεως οἰκείας λυμηνάμενος. Ἐπεὶ δὲ ἤκουσά τινος λέγοντος, ὡς ὀφείλει δι' ἐπιφωνημάτων ὁ μηνυθεὶς μετακαλεῖσθαι, καὶ, εἰ μὴ τοῦτο γένηται, ἀκινδύνως ἔσται αὐτῷ ἡ ὑπέρθεσις, λέγω ὅτι, ἐπεὶ οὐκ ἔχει τοῦτο τὸ δίκαιον ὁ μητροπολίτης, ὡς μὴ ἐπιφωνούμενος παρὰ τοῦ πατριάρχου, οὐδὲ [εἰ] ἐμηνύθη ἕξει αὐτό. Ἐπιῤῥωννύω δὲ τὴν τοιαύτην ἑρμηνείαν καὶ ἀπὸ τοῦ ή. κεφ. τοῦ ά. τίτ. τοῦ γ'. βιβλ. τῶν βασιλικῶν, εἰς τρίμηνον στενοχωροῦντα τὴν δοκιμασίαν τῆς ἐπενεχθείσης ἀντιλογίας κατὰ τοῦ ψηφισθέντος. Ἀνάγνωθι οὖν τοῦτο, καταστρωθὲν εἰς τὸ σχόλιον τοῦ ή. κεφ. τοῦ ά. τίτ. τοῦ παρόντος συντάγματος.

ΑΡΙΣΤ. Ἔσω μηνῶν τριῶν αἱ τῶν ἐπισκόπων τελοῦνται χειροτονίαι· παρατείνει δὲ τὸν καιρὸν ἀνάγκη τις ἀπαραίτητος· εἰ δὲ μὴ, ὁ χειροτονῶν τὸ ἐπιτίμιον εἴσεται. Ἡ μέν τοι πρόσοδος μενέτω τῷ οἰκονόμῳ.

Τινὲς τῶν μητροπολιτῶν, τῶν ἐγκεχειρισμένων αὐτοῖς ἀμελοῦντες ποιμνίων, καὶ τὰς τῶν ἐπισκόπων χειροτονίας ἀναβαλλόμενοι, ὡρίσθησαν ἐντὸς τριῶν μηνῶν μετὰ τελευτὴν τοῦ ἐπισκόπου ἕτερον χειροτονεῖν ἐπίσκοπον· εἰ μὴ διά τινα ἀπαραίτητον ἀνάγκην ἐπιταθῇ ὁ καιρός. Εἰ δὲ πλέον τῆς τριμήνου ἐπισκόπου χηρεύσει ἡ ἐκκλησία, ἄνευ τινὸς ἀπαραιτήτου ἀνάγκης, ὁ μητροπολίτης ἐπιτιμηθήσεται. Ἡ μέν τοι πρόσοδος τῆς χηρευούσης ἐκκλησίας ἐν τῷ μεταξὺ παρὰ τοῦ οἰκονόμου σῶα φυλαχθήσεται.

Κανὼν Κϛ'.

Ἐπειδὴ ἔν τισιν ἐκκλησίαις, ὡς περιηχήθημεν, δίχα οἰκονόμων οἱ ἐπίσκοποι τὰ ἐκκλησιαστικὰ χειρίζουσι πράγ-

ματα, ἔδοξε πᾶσαν ἐκκλησίαν ἐπίσκοπον ἔχουσαν, καὶ οἰκονόμον ἔχειν ἐκ τοῦ ἰδίου κλήρου, οἰκονομοῦντα τὰ ἐκκλησιαστικὰ κατὰ γνώμην τοῦ ἰδίου (1) ἐπισκόπου· ὥςε μὴ (2) ἀμάρτυρον εἶναι τὴν οἰκονομίαν τῆς ἐκκλησίας, καὶ ἐκ τούτου σκορπίζεσθαι τὰ αὐτῆς (3) πράγματα, καὶ λοιδορίαν τῇ ἱερωσύνῃ προστρίβεσθαι· εἰ δὲ μὴ τοῦτο ποιήσοι, ὑποκεῖσθαι αὐτὸν τοῖς θείοις κανόσιν.

—

ΖΩΝΑΡ. Τὴν μὲν ἐξουσίαν τῆς διοικήσεως τῶν ἐπισκοπῆς ἑκάστης πραγμάτων, οἱ κανόνες τοῖς ἐπισκόποις ἀνατιθέασιν· οὐ βούλονται δὲ καθ' ἑαυτοὺς ταῦτα διοικεῖν, μή τινος ἔχοντος εἴδησιν· οὐδὲ οἰκείους τινὰς, συγγενεῖς τυχὸν, ἢ ἰδίους θεράποντας προϊστᾷν οἰκονόμους, ἀλλ' ἐκ τοῦ κλήρου τῆς ἐπισκοπῆς τὸν οἰκονόμον προβάλλεσθαι παρὰ τοῦ ἐπισκόπου· ὥστε ἐκείνου τὰ τῆς ἐκκλησίας διοικοῦντος, κατὰ γνώμην τοῦ ἐπισκόπου, δῆλον εἶναι, ὅπη προχωροῖεν καὶ δαπανῶνται τὰ ἐκκλησιαστικὰ πράγματα, καὶ μὴ ὑπόνοιαν κατὰ τοῦ ἐπισκόπου φύεσθαι ὡς κακῶς ἀναλίσκοντος τὰ τῆς ἐκκλησίας· τοῦτο γὰρ δηλοῦται διὰ τοῦ σκορπίζεσθαι, καὶ λοιδορεῖσθαι τὸν ἀρχιερέα, ὡς ἀθέσμως καὶ οὐκ εὐσεβῶς χρώμενον τοῖς ἐκκλησιαστικοῖς, καὶ οὕτως ἀπιστίαν τοῖς ὑπ' αὐτὸν τίκτεσθαι κατ' αὐτοῦ, καὶ σκανδάλων ἀφορμὰς διδόναι αὐτοῖς, διὰ τῆς δοθείσης αὐτῷ ἐξουσίας. Ἁρμόσουσι γὰρ αὐτῷ τὰ τοῦ μεγάλου Παύλου ῥητὰ, λέγοντος· Βλέπετε μήπως ἡ ἐξουσία ἡμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσι· καὶ μετά τινα· Οὕτω δὲ εἰς τοὺς ἀδελφοὺς ἁμαρτάνοντες, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε· τοὺς δὲ μὴ διὰ οἰκονόμων, ἐκ τοῦ κλήρου ὄντων, διοικοῦντας τὰ πράγματα τῶν ἐκκλησιῶν, ἐπιτιμᾶσθαι κανονικῶς. *Ὁ δὲ τῆς ζ'. συνόδου ιά. κανὼν ὁρίζει, εἰ μὴ οἰκονόμους ἔχοιεν οἱ ἀρχιερεῖς εἰς τὰς ἐκκλησίας αὐτῶν,. ἐν μὲν ταῖς ἐπισκοπαῖς προβάλλεσθαι αὐτοὺς παρὰ τῶν μητροπολιτῶν, οἷς ὑπόκεινται, ἐν

---

(1) Π. Βρ. 'Ε. Κ. — οἰκείου Χ. Τρ. Βευερ. — (2) μήτε ἀμάρτυρον Χ. Τρ. — (3) τὰ τῆς αὐτῆς ἐκκλησίας Σ. Ρ.

δὲ ταῖς μητροπόλεσι παρὰ τοῦ πατριάρχου* (1). Τὰ αὐτὰ δὲ νοητέον καὶ ἐπὶ τοῖς προεστῶσι μονῶν, εἰ καὶ νῦν οὔτε τοῖς πλείοσι τῶν ἀρχιερέων, οὔτε τισὶν ἡγουμένοις μοναχῶν ταῦτα παραφυλάττονται.

ΒΑΛΣ. Ὡς ἔοικε, πρὸ τοῦ παρόντος κανόνος, οἱ πλείους τῶν ἐπισκόπων λαϊκοὺς ἐποίουν οἰκονόμους. Τοῦτο οὖν οἱ θεῖοι Πατέρες διορθούμενοι, παρακελεύονται διὰ κληρικῶν οἰκονομεῖσθαι τὰ ἐκκλησιαστικά, κατὰ γνώμην τοῦ ἐπισκόπου· ἐφ' ᾧ καταδήλους τε εἶναι τὰς εἰσόδους τῆς ἐκκλησίας, καὶ μὴ σκορπίζεσθαι, καὶ τὸν ἐπίσκοπον ἀδιάβλητον συντηρεῖσθαι· τὸν δὲ μὴ ποιοῦντα οὕτως ἀρχιερέα, ὑποκεῖσθαι τοῖς κανόσι παρακελεύεται. Μὴ οὖν ἐναντιωθῇς τῷ λή. καὶ τῷ μά. κανόνι τῶν ἁγίων Ἀποστόλων· κἂν γὰρ ἀνεκλόγιστον ἐξουσίαν ἔχωσιν οἱ ἐπίσκοποι, ἀλλ' οὐκ ἐφεῖται τούτοις ὡς ἰδικοῖς, καὶ δεσποτικῶς αὐτοῖς διαφέρουσι, τοῖς τῆς ἐκκλησίας χρᾶσθαι πράγμασι· τοσοῦτον, ὅτι καὶ τὰ περιττεύοντα μετὰ τὰς ἀναγκαίας ἐξόδους, τοῖς πτωχοῖς διαδιδόναι ἀναγκάζονται, ὅτι καὶ πτωχικὰ τὰ ἐκκλησιαστικὰ λέγονται πράγματα. Εἰ γοῦν οἰκονομοῦνται ταῦτα διὰ κληρικῶν, ἀνέγκλητος ἔσται ὁ ἐπίσκοπος, καὶ οὐδέ τις γογγύσει κατ' αὐτοῦ, ὡς μὴ τοὺς ὑπ' αὐτὸν κληρικούς, ἢ ἄλλους πενομένους, χειραγωγοῦντος· εἰ τάχα δὲ τὸ ἐπιτίμιον τῶν παραβαινόντων τὸν παρόντα κανόνα ἐνταῦθα οὐ κεῖται. Ἀλλ' ἀνάγνωθι τὸν ιά. κανόνα τῆς ζ'. συνόδου, καὶ μάθῃς τί γίνεται εἰς τοὺς μὴ διοικοῦντας ἐπισκόπους διὰ κληρικῶν τὰ τῶν ἐκκλησιῶν αὐτῶν, ἀλλὰ μὴν καὶ εἰς τοὺς ἡγουμένους.

ΑΡΙΣΤ. Οἰκονόμος ἀνὰ πάσας ἔστω τὰς ἐκκλησίας ἀπὸ τοῦ κλήρου· ὁ δὲ τούτου καταφρονῶν ἐπίσκοπος, οὐκ ἀνέγκλητος.

Ἀπὸ τοῦ κλήρου δεῖ τοῦ οἰκείου ἕκαστον τῶν ἐπισκόπων προχειρίζεσθαι οἰκονόμον, εἰς τὸ τὰ τῆς ἐκκλησίας πράγματα διοικεῖν κατὰ γνώμην αὐτοῦ. Εἰ δὲ δίχα οἰκονόμου κεκληρωμένου τὰ τῆς ἐκκλησίας εὑρίσκεταί τις ἐπίσκοπος διοικῶν, ὡς λοι-

(1) Χ. Γρ. — Ἅπαντα τὰ ἐντὸς ἀστερίσκων οὐχ εὕρηνται παρὰ Κ. καὶ Βευερ.

δορίαν τῇ ἱερωσύνῃ προστρίβων, διὰ τὴν ἀδιάγνωστον καὶ ἀμάρτυρον οἰκονομίαν, κανονικῶς ἐπιτιμηθήσεται.

Κανὼν ΚΖ'.

Τοὺς ἁρπάζοντας γυναῖκας ἐπ' ὀνόματι (1) συνοικεσίου, ἢ συμπράττοντας, ἢ συναιρομένους (2) τοῖς ἁρπάζουσιν, ὥρισεν ἡ ἁγία σύνοδος, εἰ μὲν κληρικοὶ εἶεν, ἐκπίπτειν τοῦ ἰδίου βαθμοῦ· εἰ δὲ λαϊκοί, ἀναθεματίζεσθαι (3).

ΖΩΝΑΡ. Καὶ οἱ πολιτικοὶ νόμοι, σφοδρῶς τοὺς ἅρπαγας γυναικῶν κολάζουσι, καὶ οὐδὲ εἰς γυναῖκα συζεύγνυσθαι τὴν ἁρπαγεῖσαν συγχωροῦσι τῷ ἅρπαγι, κἂν ὁ ταύτης πατὴρ συναινῇ συγχωρῶν τὸ ἔγκλημα· καὶ οἱ κανόνες δὲ κολάζουσι τοὺς τοιούτους. Οὗτος δὲ ὁ κανὼν δριμύτερον τῶν ἄλλων ἐπεξέρχεται τοὺς ἁρπαγὴν πλημμελοῦντας, τοὺς μὲν κληρικοὺς καθαιρῶν, τοὺς δὲ λαϊκοὺς ἀναθεματίζων· καὶ οὐ μόνον τοὺς ἁρπάζοντας (4) τιμωρεῖται, ἀλλὰ καὶ τοὺς συμπράττοντας, ἢ συναιρομένους ὑπὸ τὰς αὐτὰς ποιεῖται κολάσεις, καὶ εἰκότως. Ὁ μὲν γὰρ ἑαυτῷ ἁρπάζων γυναῖκα, ἔχει τὸν ἔρωτα πρὸς τὴν ἀθέμιτον πρᾶξιν αὐτὸν βιαζόμενον· ὁ δὲ συμπράττων, ἢ συναιρόμενος, μᾶλλον ἂν εἴη ἀσύγγνωστος, μηδὲν ἔχων πρὸς τὴν ἐξάγιστον πρᾶξιν συνελαῦνον αὐτόν, ἢ τὴν οἰκείαν κακίαν, δι' ἣν μόνην συντρέχει τῷ τὴν ἁρπαγὴν ἁμαρτάνοντι. Συμπράττοντας δὲ νοητέον τοὺς συνεργοῦντας ἐπὶ τῇ ἁρπαγῇ· συναιρομένους δέ, τοὺς μὴ ἔργῳ συμβοηθήσαντας, συμβουλὴν δὲ καὶ σπουδὴν εἰσαγαγόντας, καὶ οὕτως ἐπικουρήσαντας, καὶ ἀντιλαβομένους τῶν πλημμελούντων.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν καὶ ὁ μβ'. τῆς ἐν τῷ Τρούλλῳ συνόδου ἀπαραλλάκτως ἔχουσι, διοριζόμενοι τοὺς ἁρπάζοντας γυναῖκας, ἢ συμπράττοντας, ἢ συναιρομένους τοῖς ἁρπάζουσι, κληρικοὺς μὲν ὄντας καθαιρεῖσθαι, λαϊκοὺς δέ, ἀναθεματίζεσθαι. Ἀνά-

(1) καὶ ἐπ' ὀνόματι Βρ. — (2) Σ. Ῥ. Χ. Τρ. Βευερ. Ἑ. Κ. — συναιρουμένους Π. Βευερ. — ἢ συναινοῦντας Βρ. — (3) αὐτοὺς Βρ. — (4) τοὺς ἅρπαγας Χ. Τρ.

γνωθι καὶ τίτλον θ'. τοῦ παρόντος συντάγματος κεφ. λ'. καὶ τὰ ἐν αὐτῷ. Ὡσαύτως καὶ τὸν ξζ'. ἀποστολικὸν κανόνα· ἐκεῖσε γὰρ πλατύτερον ἐδιδάξαμεν, πῶς τιμωρεῖται ὁ ἅρπαξ, καὶ πῶς ὁ βίαν πεποιηκώς. Ἴσως δέ τις ἐρεῖ, καὶ πῶς ὁμοίως ὁ ἁρπάζων, καὶ ὁ συμπράττων, καὶ ὁ συναιρόμενος (1) κολάζονται; Εἰπὲ οὖν ὅτι καὶ τοὺς συμπράττοντας, καὶ τοὺς συναιρομένους, οὐχ ἧττον τοῦ ἁρπάσαντος μυσάττεται ὁ κανών. Ὁ μὲν γὰρ ἁρπάζων ἔχει τὸν ἄθεσμον ἔρωτα πρόφασιν· οἱ δὲ κακίας μόνης καὶ ἀδίκου κατηγοροῦνται προθέσεως, καταστρεφούσης τὴν τῆς πόλεως κοσμιότητα. Ἔστι δὲ συμπράττων, ὁ πραγματικῶς τὴν ἁρπαγὴν καταρτύων σὺν τῷ ἁρπάζοντι· συναιρόμενος δέ, ὁ διὰ συμβουλῆς, ἢ καὶ ἐπικουρίας ἄλλης συντρέχων τῷ πλημμελήσαντι. Ζήτει καὶ τὴν λέ. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, τιμωροῦσαν τὸν μετὰ ἁρπαγῆς βιασάμενον κόρην, οὐ μόνον διὰ δημεύσεως (2), ἀλλὰ καὶ διὰ σωματικῆς ποινῆς· ὡσαύτως καὶ τοὺς συναραμένους αὐτῷ· καὶ διαλαμβάνουσαν, ἄλλως τιμωρεῖσθαι τοὺς ἔνοπλον ἁρπαγὴν ποιησαμένους, καὶ ἄλλως τοὺς μὴ οὕτως ἀτακτήσαντας· τιμωρεῖσθαι δὲ καὶ τὸν πατέρα, ἐὰν καταδέξηται τὸ γεγονός.

ΑΡΙΣΤ. Κληρικὸς ἁρπάζων γυναῖκα, ἀνεκκλησίαστος· ὁ δὲ λαϊκός, ἔστω ἀνάθεμα· κατὰ τοῦτο καὶ ὁ συναιρόμενος.

Ἔχει μὲν καὶ ἀπὸ τῶν νόμων μεγάλην τὴν καταδίκην ὁ ἁρπαγὴν ποιούμενος γυναικός· οὐκ ἔλαττον δὲ καὶ ἀπὸ τῶν κανόνων ἔχει τὸ ἐπιτίμιον. Ὁ μὲν γὰρ κληρικός, ὡς ὁ παρὼν διαλαμβάνει κανών, καθαιρεῖται· ὁ δὲ λαϊκός, καὶ οἱ συναιρόμενοι τούτῳ ἐν τῇ τῆς γυναικὸς ἁρπαγῇ, ἀναθεματίζονται, μέχρις ἂν τὴν ἁρπαγεῖσαν, εἰ μὲν προμνηστευθεῖσα ἦν, τῷ οἰκείῳ μνηστῆρι ἀποκαταστήσωσιν· εἰ δὲ σχολάζουσα, τοῖς γονεῦσιν αὐτοῖς, κατὰ τὸν εἰκοστὸν δεύτερον κανόνα τοῦ μεγάλου Βασιλείου.

Κανὼν ΚΗ'.

Πανταχοῦ τοῖς τῶν ἁγίων Πατέρων ὅροις ἑπόμενοι,

---

(1) συναιρόμενος Χ. Τρ.—(2) Χ. Τρ. = διὰ πραγμάτων ἀφαιρέσεως Ἐ, Βευερ.

καὶ τὸν ἀρτίως ἀναγνωσθέντα κανόνα τῶν ἑκατὸν πεντήκοντα θεοφιλεστάτων ἐπισκόπων, τῶν συναχθέντων ἐπὶ τοῦ τῆς εὐσεβοῦς μνήμης Μεγάλου Θεοδοσίου, τοῦ γενομένου βασιλέως ἐν τῇ βασιλίδι Κωνσταντινουπόλεως Νέᾳ Ῥώμῃ (1), γνωρίζοντες, τὰ αὐτὰ καὶ ἡμεῖς ὁρίζομέν τε καὶ ψηφιζόμεθα περὶ τῶν πρεσβείων τῆς ἁγιωτάτης ἐκκλησίας τῆς αὐτῆς Κωνσταντινουπόλεως Νέας Ῥώμης· καὶ γὰρ τῷ θρόνῳ τῆς πρεσβυτέρας Ῥώμης, διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην, οἱ Πατέρες εἰκότως ἀποδεδώκασι (2) τὰ πρεσβεῖα. Καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ ἑκατὸν πεντήκοντα θεοφιλέστατοι ἐπίσκοποι, τὰ ἴσα πρεσβεῖα ἀπένειμαν τῷ τῆς νέας Ῥώμης ἁγιωτάτῳ θρόνῳ, εὐλόγως κρίναντες, τὴν βασιλείᾳ καὶ συγκλήτῳ τιμηθεῖσαν πόλιν, καὶ τῶν ἴσων ἀπολαύουσαν πρεσβείων τῇ πρεσβυτέρᾳ βασιλίδι Ῥώμῃ, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασι, δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν. Καὶ ὥστε τοὺς τῆς Ποντικῆς, καὶ τῆς Ἀσιανῆς, καὶ τῆς Θρᾳκικῆς διοικήσεως μητροπολίτας μόνους, ἔτι δὲ καὶ τοὺς ἐν τοῖς βαρβαρικοῖς ἐπισκόπους τῶν προειρημένων διοικήσεων χειροτονεῖσθαι ὑπὸ τοῦ προειρημένου ἁγιωτάτου θρόνου τῆς κατὰ Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας· δηλαδὴ ἑκάστου μητροπολίτου τῶν προειρημένων διοικήσεων μετὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων χειροτονοῦντος τοὺς τῆς ἐπαρχίας ἐπισκόπους, καθὼς τοῖς θείοις κανόσι διηγόρευται· χειροτονεῖσθαι δὲ, καθὼς εἴρηται, τοὺς μητροπολίτας τῶν προειρημένων διοικήσεων παρὰ τοῦ Κωνσταντινουπόλεως ἀρχιεπισκόπου, ψηφισμάτων συμφώνων κατὰ τὸ ἔθος γινομένων, καὶ ἐπ' αὐτὸν ἀναφερομένων.

—

(1) Π. Ἰουστ. Σ. Ῥ. — ἅπασα ἡ φράσις, τῶν συναχθέντων . . . Ῥώμῃ, οὐ κεῖται ἐν Χ. Τρ. Ἐ. Κ. Βευερ. Βρ. — (2) ἀποδιδόασι Σ. Ῥ.

ΖΩΝΑΡ. Βιάζονταί τινες κατασκευάζειν, μὴ ἐλαττοῦσθαι τῇ τιμῇ τὸν τῆς Κωνσταντινουπόλεως θρόνον τοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, ἀλλὰ τῶν ἴσων πρεσβείων ἐκείνῃ καταπολαύειν. Ἤδη μὲν οὖν ἐν τῷ γ'. κανόνι τῆς β'. συνόδου εἴρηται περὶ τούτου, καὶ ἀποδέδεικται μὴ εὐστόχως ἐκείνους λέγειν, καὶ ζητητέον τὰ ἐκεῖ εἰρημένα, ἀρκοῦντα εἰς ἀπόδειξιν τοῦ δευτέραν ταύτην τὴν βασιλίδα πόλιν κατὰ τάξιν τῆς τιμῆς κρίνεσθαι. Τὸ γὰρ τῶν ἴσων ἀπολαύειν πρεσβείων, διὰ τὴν βασιλείαν καὶ τὴν σύγκλητον εἴρηται· εἰ καὶ νῦν (1) ἡ μὲν εἰς τυραννίδα μετήμειπται· ἡ δὲ συγκέκλεισται, καὶ ἐκλέλοιπε· τοῦτο λεγόντων τῶν ἁγίων Πατέρων ἐκείνων, ὅτι, ἐπεὶ βασιλείᾳ ἐτιμήθη ἡ πόλις αὕτη καὶ συγκλήτῳ, ὡς ἡ πάλαι Ῥώμη, δεῖ αὐτὴν καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς προνομίοις, ὡς ἐκείνην, τιμᾶσθαι, πασῶν τῶν ἄλλων προτιμωμένην ἐκκλησιῶν, δευτέραν δὲ μετ' ἐκείνην ὑπάρχουσαν. Τῶν ἴσων γὰρ ἐν ἅπασιν ἀξιοῦσθαι ταύτην ἀμήχανον, δι' ἃς αἰτίας ἐκεῖσε εἰρήκαμεν, εἰ μήπου τις εἴποι, ὅτι, προορῶντες ἐν Πνεύματι ἁγίῳ οἱ θεῖοι Πατέρες ἐκεῖνοι, ὡς ἀποτμηθήσεται τῆς τῶν ὀρθοδόξων ὁλοκληρίας, καὶ ἐξοστρακισθήσεται τῆς ὁμηγύρεως τῶν πιστῶν διὰ δόγματα ἑτερόδοξα ἡ Ῥωμαίων ἐκκλησία, πρώτην ταύτην ἐλογίσαντο· καὶ οὕτω τῶν αὐτῶν ἐκείνῃ δικαίων ἐν πᾶσιν ἠξίωσαν πρωτεύειν μέλλουσαν, ὡς ἐκείνη ποτέ· τὴν γὰρ, μετὰ, πρόθεσιν, οὐ συγχωρεῖ κατ' ἐκείνους νοεῖσθαι ἐπὶ τῷ μεταχρόνῳ τῆς συστάσεως τῆς βασιλίδος τῶν πόλεων, ὁ λϛ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου, δεύτερον τὸν θρόνον τῆς Κωνσταντινουπόλεως τάττων μετὰ τὸν τῆς πρεσβυτέρας Ῥώμης, καὶ ἐπάγων, Μεθ' ὃν ὁ τῆς Ἀλεξανδρείας ἀριθμείσθω θρόνος, εἶτα ὁ τῆς Ἀντιοχείας, καὶ μετὰ τοῦτον, ὁ τῆς Ἱεροσολυμιτῶν. Ὡς γὰρ ἐπὶ τῶν ἄλλων θρόνων ἡ, μετὰ, πρόθεσις ὑποβιβασμὸν δηλοῖ, οὕτω καὶ ἐπὶ τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως ἐτέθη· καὶ οὕτω νοεῖσθαι χρεών. Καὶ ὁ ἐν πατριάρχαις δὲ ἀοίδιμος Νικηφόρος ὁ θεῖος, ἐν τῷ δωδεκάτῳ τῶν παρ' αὐτοῦ συγγρα-

(1) Χ. Γρ. — τὸ νῦν οὐ κεῖται παρὰ Βευερ. καὶ Κ.

φέντων κεφαλαίων κατὰ τῶν εἰκονομάχων, ταῦτά φησιν· Ὅτι δὲ τῆς καθολικῆς ἐκκλησίας ἀπεῤῥιμμένοι εἰσί, σαφῶς μαρτυροῦσι καὶ τὰ πεμφθέντα γράμματα παρὰ τοῦ μακαριωτάτου ἀρχιερέως τῆς πρεσβυτέρας Ῥώμης, τουτέστι τοῦ πρώτου καὶ ἀποστολικοῦ θρόνου. Ταῦτα περὶ τῆς τάξεως καὶ τιμῆς διαταξαμένη ἡ ἱερὰ σύνοδος τοῦ θρόνου τῆς μεγαλοπόλεως ταύτης, διαλέγεται καὶ περὶ τῶν ὑποκεῖσθαι μελλουσῶν αὐτῇ διοικήσεων, καὶ ταύτας εἶναί φησι, τὴν Ποντικὴν, τὴν Ἀσιανὴν, καὶ τὴν Θρακικήν· ὧν δὴ διοικήσεων καὶ τὰς χειροτονίας τῶν μητροπολιτῶν μόνων ἀνατίθησι τῷ Κωνσταντινουπόλεως. Εἴρηται δὲ τὸ, μόνων, ἵνα μὴ καὶ τὰς τῶν ἐπισκόπων χειροτονίας σφετερίσηταί τις τῶν Κωνσταντινουπόλεως ἐπισκόπων· ἐκεῖναι γὰρ ἑκάστῳ τῶν μητροπολιτῶν, οἷς ἀνέκαθεν ἀνῆκον, εἰάθησαν· διὸ καὶ ἐπιφέρει ὁ κανὼν τὸ, δηλαδὴ ἑκάστου μητροπολίτου χειροτονοῦντος τοὺς τῆς ἐπαρχίας ἐπισκόπους μετὰ τῶν ἐπισκόπων τῆς αὐτῆς ἐπαρχίας. Ἀνατίθησι δὲ τῷ Κωνσταντινουπόλεως καὶ τὴν χειροτονίαν τῶν ἐπισκόπων τῶν ἐν τοῖς βαρβαρικοῖς ἔθνεσι, τοῖς οὖσιν ἐν ταῖς ῥηθείσαις διοικήσεσιν· οἷοί εἰσιν οἱ Ἀλανοὶ καὶ οἱ Ῥῶσοι· οἱ μὲν γὰρ, τῇ Ποντικῇ διοικήσει, οἱ δὲ Ῥῶσοι τῇ Θρᾳκικῇ συμπαράκεινται. Ἵνα δὲ μὴ τῇ αὐθεντίᾳ τοῦ Κωνσταντινουπόλεως νομισθῶσιν οἱ θεῖοι Πατέρες ἐκεῖνοι τὸ πᾶν τῆς χειροτονίας ἀνατιθέναι, ὥστε ποιεῖν ἐκεῖνον ἐπὶ ταῖς χειροτονίαις κατ᾽ ἐξουσίαν ἃ βούλεται, προσέθεντο χειροτονεῖσθαι παρ᾽ αὐτοῦ τοὺς μητροπολίτας, συμφώνων ψηφισμάτων γινομένων, καὶ ἐπ᾽ αὐτὸν ἀναφερομένων, μονονουχὶ τοῦτο λέγοντες· ὅτι οὐχ οὓς βούλεται ὁ Κωνσταντινουπόλεως χειροτονήσει μητροπολίτας, ἀλλ᾽ ἡ ὑπ᾽ αὐτὸν σύνοδος τὰς ψήφους ποιήσεται· καὶ ἐφ᾽ οὓς ἂν οἱ ψηφιζόμενοι συμφωνήσουσιν, ἐξ ἐκείνων χειροτονήσει, ἀναφερομένων τῶν ψηφισμάτων πρὸς αὐτόν. Τισὶ μὲν οὖν τὸ μόνων οὕτω νενόηται, καθὼς εἴρηται· ἄλλοι δὲ εἰς διαστολὴν φασι τεθῆναι τῶν λοιπῶν διοικήσεων, διαστελλόντων τῶν Πατέρων τὰς ἄλλας διοικήσεις, καὶ τὰς εἰρημένας μόνας ἀνατιθεμένων τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως. Αἱ γὰρ λοιπαὶ διοικήσεις, ἡ τῆς Μακεδονίας δηλαδὴ καὶ

Θετταλίας, Ἑλλάδος τε, καὶ τῆς Πελοποννήσου, καὶ τῆς λεγομένης Ἠπείρου, καὶ τοῦ Ἰλλυρικοῦ, τῷ Ῥώμης τῆς παλαιᾶς ἐπισκόπῳ τότε ἀνέκειντο.

ΒΑΛΣ. Περὶ τοῦ πῶς ἐτιμήθη ὁ τῆς Κωνσταντινουπόλεως θρόνος, εἴπομεν εἰς τὸν γ'. κανόνα τῆς δευτέρας συνόδου, καὶ ἀνάγνωθι τοῦτον, καὶ τὸ ά. κεφ. τοῦ ή. τίτλ. τοῦ παρόντος συντάγματος. Ὁ δὲ παρὼν κανὼν, μετὰ τὸ εἰπεῖν, ἔχειν μὲν τὸν τῆς Κωνσταντινουπόλεως θρόνον τὰ πρεσβεῖα τῆς τῶν Ῥωμαίων ἐκκλησίας, εἶναι δὲ δεύτερον μετ' ἐκεῖνον, προστίθησι, τινὰς μητροπολίτας ὑπὸ τούτου χειροτονεῖσθαι, ὡς καὶ ἑκάστου αὐτῶν ὀφείλοντος πάλιν χειροτονεῖν μετὰ τῆς κατ' (1) αὐτὸν συνόδου τοὺς ὑπὸ τοῦτον ἐπισκόπους. Τὰς μέν τοι ψήφους τῶν μητροπόλεων γίνεσθαι παρὰ τῶν μητροπολιτῶν κατὰ τὸ ἔθος, καὶ ἀναφέρεσθαι τὸ γινόμενον παρὰ τούτων τῷ πατριάρχῃ, ὡς ἂν τῇ δοκιμασίᾳ τούτου ἀπὸ τῶν ψηφισθέντων τριῶν ὁ εἷς χειροτονηθῇ. Σημείωσαι οὖν ὅτι πρὸ τοῦ κανόνος τούτου οὐκ ἐχειροτόνουν οἱ πατριάρχαι τοὺς μητροπολίτας, ἀλλ' οἱ ἑκάστης ἐπαρχίας ἐπίσκοποι· καὶ ὅτι οἱ μητροπολῖται ἔχουσι τὰ ἀρχιερατικὰ δίκαια εἰς τὸ ποιεῖν ἐπισκόπους, καὶ ὅτι οὐκ ὀφείλουσιν οἱ πατριάρχαι, ἢ οἱ μητροπολῖται, παρουσιάζειν εἰς τὰς ψήφους τῶν μητροπολιτῶν, ἢ τῶν ἐπισκόπων. Ζήτει καὶ τὸν δ'. κανόνα τῆς ά. συνόδου, τῆς ϐ'. συνόδου κανόνα ϐ', τῆς γ'. ή, καὶ τῆς ς'. λθ'. Γίνωσκε δὲ, ὅτι Ποντικοὶ λέγονται μητροπολῖται, οἱ τῷ Εὐξείνῳ Πόντῳ παρακείμενοι μέχρι τῆς Τραπεζοῦντος, καὶ ἐνδοτέρω. Ἀσιανοὶ (2), οἱ περὶ τὴν Ἔφεσον, Λυκίαν, Παμφυλίαν, καὶ τὰ πέριξ αὐτῶν, οὐχὶ Ἀνατολικοὶ, ὥς φασί τινες· τῆς Ἀνατολῆς ὁ Ἀντιοχείας ἔχει χειροτονίαν· καὶ Θρᾳκικοὶ οἱ δυτικοί. Κἂν γάρ τινες τὴν Θρᾴκην μέχρι τῶν ὁρίων Μακεδονίας ἐστενοχώρησαν, καὶ εἶπον τοὺς τῆς Μακεδονίας μητροπολίτας, Θετταλοὺς, Ἑλλαδικούς τε, καὶ Πελοπον-

(1) Χ. Τρ. —ὑπ'αὐτὸν Βευερ. —(2) Ἡ φράσις αὕτη ἔχει οὕτως ἐν Χ. Τρ. Ἀσιανοὶ οὐχὶ οἱ Ἀνατολικοὶ, ὥς τινές φασι, τῆς γὰρ Ἀνατολῆς ὁ Ἀντιοχείας ἔχει τὴν χειροτονίαν, ἀλλ' οἱ περὶ τὴν Ἔφεσον, καὶ Θρᾳκικοὶ, οἱ Δυτικοί. — Οὕτω δὲ ἐν Ἑ. Ἀσιανοὶ οἱ μέχρι τῶν Ταυρείων διήκοντες, καὶ Θρᾳκικοὶ οἱ Δυτικοί.

νησίους, ποτὲ χειροτονεῖσθαι παρὰ τοῦ πάπα Ῥώμης, καὶ παρίστασθαι τοῦτο δῆθεν ἐκ τοῦ μὴ ἐνδοθῆναι τῷ Κωνσταντινουπόλεως καὶ τούτους χειροτονεῖν· ἀλλὰ σὺ τοῖς λεγομένοις μὴ προσχῇς· τῷ γὰρ ὀνόματι τῆς Θρᾴκης περιέχονται αἱ μέχρι καὶ αὐτοῦ τοῦ Δυῤῥαχίου μητροπόλεις. Τὸν δὲ πάπαν κακῶς λέγουσί τινες χειροτονεῖν ποτὲ τὸν Θεσσαλονίκης, καὶ ἑτέρους δυτικοὺς μητροπολίτας· λεγάτους γὰρ εἶχε τούτους. Ἐπισκοπὰς δὲ εἶπε εἶναι ἐν τοῖς βαρβάροις τὴν Ἀλανίαν, τὴν Ῥωσίαν καὶ ἑτέρας. Οἱ μὲν γὰρ Ἀλανοὶ τῆς Ποντικῆς εἰσὶ διοικήσεως, οἱ δὲ Ῥῶσοι (1) τῆς Θρᾳκικῆς. Περὶ δὲ τῶν λεγάτων τοῦ πάπα Ῥώμης, καὶ τίνες οὗτοί εἰσι, καὶ πῶς ἐνεδόθη αὐτῷ ἡμετέρους μητροπολίτας ἔχειν λεγάτους, εἰρήσεται μετὰ τὸ προσφώνημα τῆς ἐν τῷ Τρούλλῳ συνόδου.

Ἑτέρα ἑρμηνεία.

Ὁ μὲν παρὼν κανὼν διορίζεται ἔχειν τὸν Κωνσταντινουπόλεως ἀρχιεπίσκοπον, τὰ πρεσβεῖα τοῦ πάπα Ῥώμης, καὶ κατ' ἐκεῖνον ἐπὶ πᾶσι τοῖς ἐκκλησιαστικοῖς πράγμασι μεγαλύνεσθαι, ἀκολούθως τῷ γ'. κανόνι τῆς β'. συνόδου. Τινὲς δὲ, βλέποντες τοῦτον διὰ μηδενὸς τῶν προνομίων τοῦ πάπα Ῥώμης ἀποσεμνυνόμενον, (οὔτε γὰρ ὑπὸ βασιλικοῦ λώρου τὴν κεφαλὴν καταλύπτεται, οὔτε μετὰ βασιλικοῦ σκήπτρου, καὶ σίγνων, καὶ βάντων προοδεύει, οὔτε ἀξιώματα προβάλλεται βασιλικὰ, οὔτε ἀληθινὰ ἐνδιδύσκεται, καὶ καβαλικεύει κατὰ τὴν περίληψιν τοῦ γεγονότος βασιλικοῦ θεσπίσματος παρὰ τοῦ ἁγίου μεγάλου Κωνσταντίνου, πρὸς τὸν πάπαν Ῥώμης ἅγιον Σίλβεστρον, καὶ τοὺς μετ' αὐτὸν), λέγουσιν ἀπρακτῆσαι τὰ τῶν κανόνων, κατασκευάζοντες τὸν οἰκεῖον λόγον καὶ ἀπὸ τοῦ μὴ καταστρωθῆναι εἰς τὰ βασιλικὰ, τὰ μεταγενεστέρως κατὰ πολὺ συγγραφέντα καὶ ἀνακαθαρθέντα, τοὺς νόμους τοὺς διοριζομένους ἔχειν τὸν Κωνσταντινουπόλεως τὰ προνόμια τοῦ πάπα Ῥώμης, καθὼς καὶ ἡμεῖς παρεδηλώσαμεν τὰ περὶ τούτου, ἐν τῷ ά. κεφ. τοῦ ή. τίτλ. τοῦ παρόντος συντάγματος. Ἐγὼ δὲ Κωνσταντι-

---

(1) ἡ δὲ Ῥωσσία Ἐ.

νουπολίτης ὢν ἀκραιφνέστατος, καὶ τοῦ ἁγιωτάτου θρόνου τῆς Κωνσταντινουπόλεως μέρος γεγονὼς, τῇ χάριτι τοῦ Θεοῦ, καιριώτατον, θέλω καὶ εὔχομαι ἔχειν τὸν Κωνσταντινουπόλεως ἀσκανδαλίστως πάντα τὰ παρὰ τῶν θείων κανόνων ἐπιφιλοτιμηθέντα αὐτῷ προνόμια.

ΑΡΙΣΤ. Ὁ τῆς νέας ἐπίσκοπος Ῥώμης τῷ τῆς παλαιᾶς ὁμότιμος, διὰ τὴν τῶν σκήπτρων μετάθεσιν· ὅθεν οἱ Πόντου, καὶ Θράκης, καὶ Ἀσίας, καὶ οἱ Βάρβαροι, τῷ τῆς Κωνσταντινουπόλεως κεχειροτόνηνται.

Ἰσότιμος ὁ Κωνσταντινουπόλεως τῷ τῆς Ῥώμης ἐπισκόπῳ, καὶ τῶν ἴσων ἀπολαύσει πρεσβείων, διὰ τὸ βασιλείᾳ τε καὶ συγκλήτῳ ταύτην τιμηθῆναι· ὑποκείσονται δὲ αὐτῷ μόνοι οἱ τοῦ Πόντου, καὶ Ἀσίας, καὶ τῆς Θράκης μητροπολῖται, καὶ χειροτονηθήσονται ὑπ' αὐτοῦ· ὡσαύτως καὶ οἱ ἐν ταῖς τοιαύταις διοικήσεσι τῶν βαρβάρων ἐπίσκοποι. Ἡ γὰρ τῆς Μακεδονίας, καὶ Ἰλλυριῶν, καὶ Θετταλίας, καὶ Ἀττικῆς, καὶ Πελοποννήσου, καὶ πάσης Ἠπείρου, καὶ τῶν ταύτης ἐθνῶν διοίκησις ὑπὸ τὸν Ῥώμης τῷ τότε ἐτέλει.

Κανὼν ΚΘ΄.

Ἐπίσκοπον εἰς πρεσβυτέρου βαθμὸν φέρειν, ἱεροσυλία ἐστίν. Εἰ δὲ αἰτία τις δικαία ἐκείνους ἀπὸ τῆς πράξεως τῆς ἐπισκοπῆς ἀποκινεῖ, οὐδὲ πρεσβυτέρου τόπον κατέχειν ὀφείλουσιν. Εἰ δὲ ἐκτὸς τινος ἐγκλήματος ἀπεκινήθησαν τοῦ ἀξιώματος, πρὸς τὴν τῆς ἐπισκοπῆς ἀξίαν ἐπαναστρέψουσιν (1).

Ἀνατόλιος, ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, εἶπεν· Οὗτοι οἱ λεγόμενοι ἀπὸ τῆς ἐπισκοπικῆς ἀξίας εἰς τὴν τοῦ πρεσβυτέρου τάξιν κατεληλυθέναι, εἰ μὲν ἀπὸ εὐλόγων τινῶν αἰτιῶν καταδικάζονται, εἰκότως

(1) Ὁ κανὼν οὗτος λήγει ἐνταῦθα ἐν Π.—παρὰ δὲ Βευερ. Χ. Τρ. Ἑ. Κ. καὶ Βρ. μέρος αὐτοῦ ἀποτελεῖ καὶ ὁ ἑπόμενος παράγραφος.

οὐδὲ τῆς πρεσβυτέρου ἐντὸς ἄξιοι τυγχάνουσιν εἶναι τιμῆς· εἰ δὲ δίχα τινὸς αἰτίας εὐλόγου εἰς τὸν ἥττονα κατεβιβάσθησαν βαθμὸν, δίκαιοι τυγχάνουσιν, εἴγε ἀνεύθυνοι φανεῖεν, τὴν τῆς ἐπισκοπῆς ἐπαναλαβεῖν ἀξίαν τε καὶ ἱερωσύνην.

—

ΖΩΝΑΡ. Τοὺς ἐπισκόπους οὐ δεῖ κατάγεσθαι εἰς πρεσβυτέρου βαθμόν. Ἢ γὰρ διά τινα αἰτιάματα τῆς ἀρχιερωσύνης ἐκβάλλεταί τις, καὶ οὐδὲ ἱερεὺς ὁ τοιοῦτος δύναται εἶναι· ἢ χωρὶς αἰτίας εἴργεται τοῦ εἶναι ἐπίσκοπος, καὶ οὐ κατενεχθήσεται εἰς πρεσβυτέρου τάξιν, ἀλλ' ὡς μάτην ἐκπεσὼν τῆς οἰκείας ἀξίας, καὶ ἐξ οὐδεμιᾶς δικαίας αἰτίας, ἐπαναλήψεται τὸν οἰκεῖον τόπον, καὶ ἔσται αὖθις ἐπίσκοπος. Τὸ γὰρ ἐξ ἐπισκοπῆς εἰς πρεσβυτέρου βαθμὸν καταχθῆναι, ἱεροσυλίαν ὁ κανὼν ὠνόμασε· συλᾶται γὰρ τὴν ἱερωσύνην ὁ ταύτης οὐκ ἐνδίκως στερούμενος, καὶ ὁ ἀδίκως στερῶν αὐτῆς τὸν ἔχοντα ταύτην οὐχ ἱερόν τι συλᾷ, ἀλλὰ καί τι πλέον, καὶ μεῖζον. Διὰ γὰρ τῆς ἐπικλήσεως τοῦ ἀρχιερέως, οἱ ναοὶ καθιεροῦνται τῇ τοῦ ἁγίου Πνεύματος ἐπιφοιτήσει, καὶ τὰ ἱερὰ ἁγιάζονται, καὶ μεῖζον πάντως τὸ ἁγιάζον τοῦ ἁγιαζομένου.

ΒΑΛΣ. Γέγραπται περὶ τὰ τέλη τῶν πρακτικῶν τῆς δ'. συνόδου, ἀνενεχθῆναι παρὰ Φωτίου, ἐπισκόπου τῆς μητροπόλεως Τύρου, τῷ βασιλεῖ Μαρκιανῷ, ὡς ὁ ἐπίσκοπος τῆς Βηρυτῶν πόλεως, καιροῦ δραξάμενος, ἀπέσπασεν ἀπὸ τῆς ἐκκλησίας τῶν Τυρίων διαφόρους ἐπισκοπὰς, Βύβλον, Βότρυν, Τρίπολιν, Ὀρθωσιάδα, Ἀρκὰς, καὶ Ἀντάραδον· καὶ τοὺς ὑπὸ τοῦ αὐτοῦ Φωτίου χειροτονηθέντας ἐπισκόπους καθελὼν, εἰς πρεσβυτέρου τόπον κατήγαγε. Τοῦτο γοῦν τηρήσαντες κατὰ βασιλικὸν ὁρισμὸν οἱ ἐν Χαλκηδόνι συνελθόντες Πατέρες, μετὰ καὶ πολιτικῶν ἀρχόντων, ὥρισαν, δίκαιον εἶναι ἀποκατασταθῆναι τῇ τῶν Τυρίων ἐκκλησίᾳ τὰς ἀφαιρεθείσας, ὡς εἴρηται, ἐπισκοπὰς, καὶ ἔχειν τοὺς καθαιρεθέντας ἐπισκόπους τὴν προτέραν τιμήν. Καὶ οἱ μὲν τοποτηρηταὶ τῆς ἐκκλησίας Ῥώμης ἀπεφήναντο, Ἐπίσκοπον εἰς πρεσβυτέρου βαθμὸν φέρειν, ἱεροσυλία ἐστὶ, καὶ τὰ ἑξῆς· ὁ

Ἀνατόλιος δὲ, καὶ οἱ ἄρχοντες, καὶ ἡ λοιπὴ σύνοδος ἠκολούθησαν. Ἀνάγνωθι τὸν ά. καὶ β'. κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου, τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανόνα θ', συνόδου ἕκτης κανόνα γ'. καὶ κς', καὶ τοῦ ἁγίου Βασιλείου κανόνα κζ'. καὶ ο'. Ὑπέξελέ μοι τοὺς μετὰ τὴν χειροτονίαν γαμήσαντας· οὗτοι γὰρ, μετὰ τὸ παυθῆναι τῆς λειτουργίας, ἐνεργοῦσι τινά. Καὶ ἀνάγνωθι τὴν οθ'. νεαρὰν τοῦ βασιλέως κυρίου Λέοντος τοῦ φιλοσόφου, καταστρωθεῖσαν εἰς τὸν ς'. κανόνα τῆς ς'. συνόδου· καὶ τὸ τέλος τῶν γεγονυιῶν ἐρωτήσεων πρὸς τὴν ἐν Κωνσταντινουπόλει ἁγίαν σύνοδον, καὶ τὰς ἐπ' αὐτῶν ἀποκρίσεις κατὰ τὴν ἐφημερίαν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Νικολάου.

ΑΡΙΣΤ. Ὁ καταβιβάζων ἐπίσκοπον εἰς πρεσβύτερον, ἱερόσυλος· ὁ γὰρ ὑπαίτιος, καὶ ἀνίερος· ὁ δὲ καταβιβασθεὶς ἀναίτιος, ἔστω ἐπίσκοπος.

Ἱεροσυλία ἐστὶν ἄντικρυς, τὸ τὸν ἐπίσκοπον εἰς πρεσβυτέρου κατάγειν βαθμόν· ἢ γὰρ ὑπαίτιός ἐστι, καὶ καθαιρεῖται τῆς ἱερωσύνης· ἢ ἐκτός τινος ἐγκλήματος, καὶ οὐκ ὀφείλει μετακινεῖσθαι τοῦ τῆς ἐπισκοπῆς ἀξιώματος.

Κανὼν Λ'.

Ἐπειδὴ οἱ εὐλαβέστατοι ἐπίσκοποι τῆς Αἰγύπτου(1), οὐχ ὡς μαχόμενοι τῇ καθολικῇ πίστει, ὑπογράψαι τῇ ἐπιστολῇ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος ἐπὶ τοῦ παρόντος ἀνεβάλλοντο, ἀλλὰ φάσκοντες, ἔθος εἶναι ἐν τῇ Αἰγυπτιακῇ διοικήσει, παρὰ γνώμην καὶ διατύπωσιν τοῦ ἀρχιεπισκόπου μηδὲν τοιοῦτο ποιεῖν· καὶ ἀξιοῦσιν ἐνδοθῆναι αὐτοῖς ἄχρι τῆς χειροτονίας τοῦ ἐσομένου τῆς τῶν Ἀλεξανδρέων μεγαλοπόλεως ἐπισκόπου· εὔλογον ἡμῖν ἐφάνη καὶ φιλάνθρωπον, ὥστε αὐτοῖς μένουσιν ἐπὶ τοῦ οἰκείου(2) σχήματος ἐν τῇ βασιλευούσῃ πόλει, ἔνδοσιν παρασχεθῆναι, ἄχρις ἂν χειροτονηθῇ ὁ ἀρχιεπίσκοπος τῆς Ἀλεξανδρέων μεγαλοπόλεως. Ὅθεν μένοντες ἐπὶ τοῦ

(1) τῆς Αἰγυπτίων Σ. Ρ. — (2) Χ. Τρ. Βρ. — ὁμοίου Σ. Ρ. Βινερ. Π.

οἰκείου σχήματος, ἢ ἐγγύας παρέξουσιν, εἰ τοῦτο αὐτοῖς δυνατὸν, ἢ ἐξωμοσίᾳ καταπιστευθήσονται (1).

—

ΖΩΝΑΡ. Ἐν τῇ τετάρτῃ συνόδῳ, τῇ ἐν Χαλκηδόνι συγκροτηθείσῃ κατὰ Διοσκόρου καὶ Εὐτυχοῦς, καὶ τῶν ὁμοφρόνων αὐτοῖς, παρῆσαν καί τινες τῶν ἐξ Αἰγύπτου ἐπίσκοποι, οἳ παρῃτοῦντο ὑπογράψαι τοῖς δογματισθεῖσι τῇ ἁγίᾳ συνόδῳ, ἑπομένῃ τῇ ἐπιςολῇ τοῦ ὁσίου Λέοντος πάπα Ῥώμης, ἣν ἀπέστειλε τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως Φλαβιανῷ. Παρῃτοῦντο δὲ, οὐχ ὡς ἀπαρεσκόμενοι τοῖς δόξασι τῇ συνόδῳ· ἀλλ' ὅτι Ἀλεξανδρείας οὐκ ἦν τηνικαῦτα ἀρχιεπίσκοπος, λέγοντες ἔθος εἶναι τοῖς* (2) ἐν Αἰγύπτῳ ἀρχιερεῦσι, μηδέν τι πράττειν ἐκκλησιαστικὸν παρὰ γνώμην τοῦ Ἀλεξανδρείας ἀρχιεπισκόπου, καὶ ἀξιοῦντες ἐνδοθῆναι αὐτοῖς, μέχρις ἂν Ἀλεξανδρείας ἀρχιεπίσκοπος γένηται. Οἱ μὲν οὖν τῆς συνόδου ἀρχιερεῖς, ὑποπτεύοντες ὡς ἑτεροδοξοῦσιν οἱ Αἰγύπτιοι ἐπίσκοποι, καὶ διὰ τοῦτο οὐ βούλονται βεβαιῶσαι δι' ὑποσημασίας οἰκείας τὰ συνοδικῶς ψηφισθέντα, καθαίρεσιν ἐκείνων κατεψηφίζοντο· οἱ δὲ συμπαρόντες τῇ συνόδῳ ἄρχοντες, καὶ ἡ σύγκλητος, διέγνων δεῖν ἐνδοθῆναι αὐτοῖς, μένουσιν ἐπὶ τοῦ οἰκείου σχήματος τῆς ἀρχιερατικῆς ἀξίας, ἀναμένειν τὴν χειροτονίαν τοῦ Ἀλεξανδρείας ἀρχιεπισκόπου. Οἱ δέ γε τῆς συνόδου ἀρχιερεῖς, σκη-

---

(1) Χ. Τρ. Βρ. Βευερ. 'Ε. Κ. — Ἐν δὲ τῷ Π τὰ ἀπὸ τοῦ, ἢ ἐγγύας κτλ. ἀναγινώσκεται οὕτως· Ἐγγύας οὖν δότωσαν, ὅτι οὐκ ἐξέρχονται ταύτης τῆς πόλεως, ἕως οὗ ἡ Ἀλεξανδρέων πόλις ἐπίσκοπον δέξηται. Ἐν δὲ Σ. Ῥ. μετὰ τὸν κανόνα ἀναγινώσκεται καὶ τὸ ἑξῆς μέρος τῶν πρακτικῶν, ἐξ οὗ μετεπλάσθη ὁ κανών· « Πασχασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος, τοποτηρητὴς τοῦ ἀποστολικοῦ θρόνου Ῥώμης, εἶπεν· Εἰ προστάττει ἡ Ὑμετέρα ἐξουσία, καὶ κελεύεται τίποτε αὐτοῖς παρασχεθῆναι φιλανθρωπιας ἐχόμενον, ἐγγύας δότωσαν, ὅτι οὐκ ἐξέρχονται ταύτης τῆς πόλεως, ἕως οὗ ἡ Ἀλεξανδρέων ἐπίσκοπον δέξηται. Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ἡ τοῦ ὁσιωτάτου ἐπισκόπου Πασχασίνου ψῆφος βεβαία ἔστω· ὅθεν μένοντες ἐπὶ τοῦ οἰκείου σχήματος οἱ εὐλαβέστατοι ἐπίσκοποι τῶν Αἰγυπτίων, ἢ ἐγγύας παρέξουσιν, εἰ τοῦτο αὐτοῖς δυνατὸν, ἢ ἐξωμοσίᾳ καταπιστευθήσονται, ἀναμένοντες τὴν χειροτονίαν τοῦ ἐσομένου ἐπισκόπου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως. Παρὰ δὲ Ἰουστέλ. ὅλως οὐ κεῖται ὁ κανὼν οὗτος, ὡς προφανὴς διαλαλιὰ ἐκ τῶν Πρακτικῶν. Συν. Συλλ. Τ. Β. σελ. 144, 303. — (2) Χ Τρ.

ψιν τὴν ὑπέρθεσιν ὑπολαβόντες εἶναι, ἵνα τυχόντες ἀδείας ὑποχωρήσωσιν, ᾔτουν ἐγγύας δοῦναι αὐτοὺς προσμένειν τῇ βασιλίδι τῶν πόλεων· καὶ οἱ ἄρχοντες, καὶ ἡ σύγκλητος ἀπεφήναντο, ἢ ἐγγύας αὐτοὺς παρασχεῖν, εἰ εὐποροῖεν ἐγγυητῶν, ἢ ἐξωμοσίᾳ καταπιστευθῆναι. Ἐξωμοσία δ'ἐστὶ, τὸ εἰς τὴν κεφαλὴν, καὶ τὴν σωτηρίαν τοῦ βασιλέως, καὶ εἰς τὴν οἰκείαν σωτηρίαν ὀμόσαι.

ΒΑΛΣ. Γέγραπται ἐν τῇ τετάρτῃ πράξει τῶν πρακτικῶν τῆς δ'. συνόδου, ὅτι μετὰ τὴν καθαίρεσιν Διοσκόρου, ἐπισκόπου Ἀλεξανδρείας, τρισκαίδεκα ἐπίσκοποι Αἰγύπτιοι παρουσιάζοντες ἀπὸ τῆς διοικήσεως Ἀλεξανδρείας, τὸν μὲν Εὐτυχέα καὶ τὰ δόγματα αὐτοῦ ἀνεθεμάτισαν· ὑπογράψαι δὲ ἀκολούθως τῇ ἐπιστολῇ τοῦ ἁγίου Λέοντος, πάπα Ῥώμης, ἣν ἀπέστειλε τῷ πατριάρχῃ Κωνσταντινουπόλεως Φλαβιανῷ, ὡς στοιχοῦντες τοῖς ἐν αὐτῇ, οὐκ ἐπείθοντο, λέγοντες, ἀσύνηθες εἶναι τῇ κατ' αὐτοὺς Αἰγυπτιακῇ διοικήσει, παρὰ γνώμην τοῦ ἐπισκόπου Ἀλεξανδρείας τοιοῦτόν τι ποιεῖν· καὶ παρακαλοῦντες ἐνδοθῆναι αὐτοῖς, μέχρις ἂν Ἀλεξανδρείας ἀρχιεπίσκοπος γένηται. Ὅτι οὖν τινες οὐ παρεδέχοντο τούτους ταῦτα λέγοντας, ὥρισεν ἡ σύνοδος, μηδέν τι αὐτοὺς παθεῖν κακὸν, ἀλλὰ μένειν ἐπὶ τῆς οἰκείας ἐπιτιμίας, καὶ ἀναμένειν τὴν τοῦ Ἀλεξανδρείας χειροτονίαν· ἐν τῷ μέσῳ δὲ, ἢ ἐγγυητὰς δοῦναι παραστάσεως, ἢ, ἐὰν μὴ δύνανται δοῦναι ἐγγυητὰς, ἐξωμοσίᾳ καταπιστευθῆναι. Ἐξωμοσία δέ ἐστι τὸ εἰς τὴν κεφαλὴν τοῦ βασιλέως, ἢ εἰς τὴν οἰκείαν σωτηρίαν ὀμόσαι τινά. Καλεῖται δὲ ἐξωμοσία, ὅτι οὐκ ἀνάγεται ὁ ὅρκος οὗτος, κατὰ τοὺς νομομαθεῖς, εἰς τοὺς νενομισμένους πέντε ὅρκους, ἀλλ' ἔξω τούτων ἐστί. Καὶ ἀνάγνωθι τὸ ά. θέμα τοῦ κ'. κεφ. τοῦ ς'. τίτ. τοῦ ζ'. βιβλίου τῶν βασιλικῶν, καὶ τὰ ἔξωθεν αὐτοῦ γεγραμμένα. Σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος, ὅπως ἑρμηνεύεται ὁ ἀποστολικὸς κ'. κανὼν, ὁ λέγων, Κληρικὸς, ἐγγύας διδοὺς, καθαιρείσθω· καὶ ἀνάγνωθι τὴν τούτου ἑρμηνείαν.

ΑΡΙΣΤ. Εἴθισται τοῖς Αἰγυπτίοις, εἰ μὴ ὁ ἀρχιεπίσκοπος ἐπιτρέπει, μὴ ὑπογράφειν. Ἐντεῦθεν ἄμεμπτοι, μὴ ὑπογράφοντες τῇ ἐπιστολῇ τοῦ ὁσίου Λέοντος, ἕως ἀρχιεπίσκοπος αὐτοῖς γένηται.

Ἔθος ἐπεκράτησεν ἐν τῇ Αἰγυπτιακῇ διοικήσει, ἄνευ ἐπιτροπῆς τοῦ ἀρχιεπισκόπου αὐτῶν, μὴ ὑπογράφειν τοὺς ἐπισκόπους. Ἐπεὶ δὲ αὕτη ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος, ἐπὶ Μαρκιανοῦ, τοῦ εὐσεβεστάτου βασιλέως, κατὰ τοῦ τότε ὄντος ἀρχιεπισκόπου Ἀλεξανδρείας συνῆλθε, τοῦ βεβήλου καὶ αἱρετικοῦ Διοσκόρου, τοῦ φαντασίᾳ τὴν σάρκα μυθολογήσαντος φορέσαι τὸν Κύριον, καὶ ἐν μιᾷ φύσει αὐτὸν ὑπάρχειν, καὶ τῇ θεότητι πάθη προσνέμοντος, καὶ τοῦ θρόνου καθεῖλεν αὐτὸν, καὶ οὔπω ἦν ἕτερος ἀντ' αὐτοῦ τοῦ δυσσεβοῦς προβληθεὶς πατριάρχης· κατὰ τοῦτο τῇ τοῦ ἁγίου Πάπα Λέοντος ὀρθοδοξοτάτῃ ἐπιστολῇ ὑπογράψαι οὐκ ἠναγκάσθησαν· ἀλλ' ἐνεδόθη αὐτοῖς, μέχρις ἂν χειροτονηθῇ τῶν Ἀλεξανδρέων ἐπίσκοπος, καὶ οὕτω κατὰ πρόσταξιν αὐτοῦ ὑπογράψουσιν. Ἀπητήθησαν δὲ δοῦναι ἐγγυητὰς, ἢ εἰς τὴν τοῦ βασιλέως κεφαλὴν ἐπομόσασθαι, προσκαρτερεῖν ἐνταῦθα μέχρις ἂν ἡ τῶν Ἀλεξανδρέων πόλις ἐπίσκοπον δέξηται.

ΠΕΡΙ ΤΗΣ ΠΕΜΠΤΗΣ ΣΥΝΟΔΟΥ.

ΖΩΝΑΡ. Ἡ Ε΄. σύνοδος γέγονεν ἐπὶ Ἰουστινιανοῦ βασιλέως τοῦ πρώτου, ἑκατὸν ἑξήκοντα πέντε ἁγίων Πατέρων συνελθόντων ἐν Κωνσταντινουπόλει· ἥτις ἐπεκύρωσε τὰ δογματισθέντα ὑπὸ τῆς ἁγίας Δ΄. συνόδου, καὶ ἐβεβαίωσε· καὶ τοὺς κατ' αὐτῆς βλασφημοῦντας ἀνεθεμάτισε, καὶ Ὠριγένην καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα, καὶ ἀλλόκοτα δόγματα, Εὐάγριόν τε, καὶ Δίδυμον, καὶ τὰ παρ' αὐτῶν ἐκτεθέντα κεφάλαια· καὶ πρὸς τούτοις, τὸν Μοψουεστίας Θεόδωρον, τὸν Νεστορίου διδάσκαλον, καὶ τὰς αὐτοῦ βλασφήμους διδασκαλίας· Ἄνθιμόν τε, καὶ Πέτρον, καὶ Ζωώραν, καὶ τοὺς ὁμοδοξοῦντας αὐτοῖς· καὶ τὰ παρὰ τοῦ Θεοδωρήτου συγγραφέντα κεφάλαια· καὶ τὴν Ἴβα ἐπιστολήν. Κανόνας δὲ ἡ τοιαύτη σύνοδος οὐκ ἐξέθετο.

ΒΑΛΣ. Ἡ Ε΄. σύνοδος γέγονεν ἐπὶ Ἰουστινιανοῦ βασιλέως τοῦ πρώτου, ἑκατὸν ἑξήκοντα πέντε ἁγίων Πατέρων συνελθόντων ἐν Κωνσταντινουπόλει· ἥτις ἐπεκύρωσε τὰ δογματισθέντα ὑπὸ τῆς ἁγίας Δ΄. συνόδου καὶ ἐβεβαίωσε, καὶ τοὺς κατ' αὐτῆς βλασφημοῦντας ἀνεθεμάτισε, καὶ Ὠριγένην καὶ τὰ αὐτοῦ ἀσεβῆ δόγματα, καὶ συγγράμματα, Εὐάγριόν τε, καὶ Δίδυμον, καὶ τὰ παρ' αὐτῶν ἐκτεθέντα κεφάλαια· καὶ πρὸς τούτοις, τὸν Μοψουεστίας Θεόδωρον, τὸν Νεστορίου διδάσκαλον, καὶ τὰς αὐτοῦ βλασφήμους διδασκαλίας· Ἄνθιμόν τε, καὶ Πέτρον, καὶ Ζωώραν, καὶ τοὺς ὁμοδοξοῦντας αὐτοῖς· καὶ τὰ παρὰ τοῦ Θεοδωρήτου συγγραφέντα κεφάλαια, καὶ τὴν Ἴβα ἐπιστολήν. Κανόνας δὲ οὐκ ἐξέθετο.

ΠΕΡΙ ΤΗΣ ΕΚΤΗΣ ΣΥΝΟΔΟΥ.

ΖΩΝΑΡ. Ἡ ἕκτη σύνοδος γέγονεν ἐν ταύτῃ τῇ βασιλίδι τῶν πόλεων, βασιλεύοντος Κωνσταντίνου τοῦ Πωγωνάτου, τοῦ ἀπογόνου Ἡρακλείου, ἑκατὸν ἑβδομήκοντα ἁγίων Πατέρων συναθροισθέντων κατὰ Θεοδώρου, ἐπισκοπήσαντος ἐν Φαρὰν, Ὀνωρίου Ῥώμης, Κύρου Ἀλεξανδρείας, Σεργίου, Πύῤῥου, Παύλου, καὶ Πέτρου, τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας προεδρευσάντων, Μακαρίου Ἀντιοχείας, καὶ Στεφάνου τοῦ μαθητοῦ αὐτοῦ, καὶ Πολυχρονίου τοῦ νηπιόφρονος γέροντος, τῶν τολμησάντων ἓν θέλημα καὶ μίαν ἐνέργειαν δογματίσαι ἔχειν μετὰ τὴν σάρκωσιν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· οὓς μετὰ τῶν συμφρονούντων αὐτοῖς ἐξέκοψε τῆς ἐκκλησίας, καὶ ἀνεθεμάτισεν ἡ ἁγία αὕτη σύνοδος· δύο θελήματα φυσικὰ, καὶ δύο ἐνεργείας ὁμοίως ἔχειν μετὰ τὴν σάρκωσιν δογματίσασα, καὶ κυρώσασα, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, οὐκ ἐν διαιρέσει προσώπων, ἀλλ᾽ ὅτι οὐδεμία φύσις τῶν δύο φύσεων ἐπὶ Χριστοῦ ἀθέλητος ἦν, ἢ ἀνενέργητος· ἵνα μὴ, τῶν ἰδιωμάτων τούτων ἑκατέρας τῆς φύσεως ἀναιρουμένων, τῆς ἐνεργείας, λέγω, καὶ τῆς θελήσεως, καὶ αἱ φύσεις, ὧν εἰσιν ἰδιώματα, συναναιρεῖσθαι δοκῶσιν. Οὐδὲ αὕτη μέντοι ἡ σύνοδος κανόνας ἐξέθετο.

ΒΑΛΣ. Ἡ ἕκτη σύνοδος γέγονεν ἐν ταύτῃ τῇ βασιλίδι τῶν πόλεων, βασιλεύοντος Κωνσταντίνου τοῦ Πωγωνάτου, πατρὸς μὲν τοῦ Ἰουστινιανοῦ, ἀπογόνου δὲ τοῦ Ἡρακλείου, ἑκατὸν ἑβδομήκοντα ἁγίων Πατέρων συνελθόντων κατὰ Θεοδώρου ἐπισκοπεύσαντος ἐν Φαρᾷ, Ὀνωρίου Ῥώμης, Κύρου Ἀλεξανδρείας, Σεργίου, Πύῤῥου, Παύλου, καὶ Πέτρου τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας προεδρευσάντων, Μακαρίου Ἀντιοχείας, καὶ Στεφάνου τοῦ μαθητοῦ αὐτοῦ, καὶ Πολυχρονίου τοῦ νηπιόφρονος γέροντος, τῶν τολμησάντων δογματίσαι, ἓν θέλημα καὶ μίαν ἐνέργειαν ἔχειν μετὰ τὴν σάρκωσιν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· οὓς μετὰ τῶν συμφρονούντων αὐ-

τοῖς ἐξέκοψε τῆς ἐκκλησίας, καὶ ἀνεθεμάτισεν ἡ ἁγία αὕτη σύνοδος· δύο θελήματα φυσικὰ, καὶ δύο ἐνεργείας ὁμοίας ἔχειν μετὰ τὴν σάρκωσιν δογματίσασα, καὶ κυρώσασα, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, οὐκ ἐν διαιρέσει προσώπων, ἀλλ' ὅτι μηδεμία φύσις τῶν δύο φύσεων τοῦ Χριστοῦ, ἀθέλητος ἦν ἢ ἀνενέργητος· ἵνα μὴ, τῶν ἰδιωμάτων τούτων ἑκατέρας τῆς φύσεως ἀναιρουμένων, τῆς ἐνεργείας, λέγω, καὶ τῆς θελήσεως, καὶ αἱ δύο φύσεις, ὧν εἰσιν ἰδιώματα, συναναιρεῖσθαι δοκῶσιν. Οὐδὲ αὕτη μέν τοι ἡ σύνοδος κανόνας ἐξέθετο (1).

ΠΕΡΙ ΤΗΣ ΛΕΓΟΜΕΝΗΣ ΕΚΤΗΣ ΣΥΝΟΔΟΥ.

ΖΩΝΑΡ. Διὸ τοῦ δευτέρου Ἰουστινιανοῦ, τοῦ Ῥινοτμήτου δηλαδὴ, βασιλεύοντος, ὃς ἦν υἱὸς τοῦ Πωγωνάτου Κωνσταντίνου, συνῆλθον ἐπίσκοποι διακόσιοι εἰκοσιεπτὰ, κατὰ κέλευσιν τοῦ ῥηθέντος αὐτοκράτορος, καὶ κανόνας ἐξέθεντο εἰς κατάστασιν ἐκκλησιαστικὴν, βεβαιωθέντας καὶ παρὰ τοῦ εἰρημένου βασιλέως· ἥτις καὶ αὐτὴ ἕκτη ὀνομάζεται, ὅτι τε μὴ περὶ πίστεως καὶ δογμάτων ἐν αὐτῇ γέγονε ζήτησις, ὥστε αὐτὴν ἰδιαιτάτην διὰ τοῦτο λογίζεσθαι σύνοδον, καὶ ὅτι τὸ (2) τῆς ἕκτης ὑστέρημα, τὴν τῶν κανόνων ἔκθεσιν, αὕτη ἀνεπλήρωσε, καὶ διὰ τὸ προσεχεστέραν πρὸς ἐκείνην εἶναι, συνηριθμήθη ἐκείνῃ.


ΒΑΛΣ. Τοῦ δευτέρου Ἰουστινιανοῦ, τοῦ Ῥινοτμήτου δηλαδὴ, βασιλεύοντος, ὃς ἦν υἱὸς τοῦ Πωγωνάτου Κωνσταντίνου, συνῆλθον ἐπίσκοποι διακόσιοι εἴκοσι καὶ ἑπτὰ, κατὰ κέλευσιν τοῦ ῥηθέντος αὐτοκράτορος, καὶ κανόνας ἐξέθεντο εἰς κατάστασιν ἐκκλησιαστικὴν (3).

---

(1) Ὁ πρόλογος οὗτος τοῦ Βαλσαμῶνος, ὅμοιος ὅλως τῷ τοῦ Ζωναρᾶ, οὐ κεῖται ἐν Χ. Τρ.

(2) τὸ τῶν πρὸ αὐτῆς ὑστέρημα Χ. Τρ.

(3) Οὐδ' οὗτος ὁ πρόλογος τοῦ Βαλσ. κεῖται ἐν Χ. Τρ.



ΚΑΝΟΝΕΣ

ΤΩΝ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ,

ΕΝ ΤΩ ΤΡΟΥΛΛΩ ΤΟΥ ΒΑΣΙΛΙΚΟΥ ΠΑΛΑΤΙΟΥ ΣΥΝΕΛΘΟΝΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ, ΕΠΙ ΙΟΥΣΤΙΝΙΑΝΟΥ, ΤΟΥ ΕΥΣΕΒΕΣΤΑΤΟΥ ΚΑΙ ΦΙΛΟΧΡΙΣΤΟΥ ΗΜΩΝ ΒΑΣΙΛΕΩΣ (1).

Προσφωνητικὸς λόγος τῶν ἐν Κωνσταντινουπόλει ἐν τῷ Τρούλλῳ τοῦ βασιλικοῦ παλατίου συνελθόντων ἁγίων Πατέρων, πρὸς Ἰουστινιανὸν τὸν εὐσεβέστατον βασιλέα(2).

ΤΩι ΕΥΣΕΒΕΣΤΑΤΩι ΚΑΙ ΦΙΛΟΧΡΙΣΤΩι ΒΑΣΙΛΕΙ ΙΟΥΣΤΙΝΙΑΝΩι.

Ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἡ κατὰ θεῖον νεῦμα καὶ θέσπισμα τοῦ εὐσεβεστάτου ὑμῶν κράτους συναθροισθεῖσα κατὰ ταύτην τὴν θεοφύλακτον καὶ βασιλίδα πόλιν.

ΤΗΣ ἀρρήτου καὶ θείας χάριτος τοῦ λυτρωτοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πᾶσαν περιλαβούσης τὴν γῆν, καὶ τοῦ ζωηφόρου τῆς ἀληθείας κηρύγματος ταῖς ἁπάντων ἀκοαῖς ἐνσπαρέντος, ὁ μὲν λαὸς, ὁ καθήμενος ἐν σκότει τῆς ἀγνοίας, φῶς εἶδε μέγα τῆς ἐπιγνώσεως, καὶ τῶν τῆς πλάνης ἠλευθερώθη δεσμῶν, βασιλείαν οὐρανῶν τῆς παλαιᾶς δουλείας ἀνταλλαξάμενος· ὁ δὲ τοῦ

---

(1) Ἡ σύνοδος αὕτη ὀνομάζεται καὶ, Σύνοδος Πενθέκτη, καθὸ συνεχὴς μετὰ τῆς πέμπτης καὶ ἕκτης, αἵτινες οὐκ ἐξέθεντο κανόνας. — (2) Προσφωνητικὸς τῆς αὐτῆς ἁγίας συνόδου πρὸς τὸν εὐσεβέστατον βασιλέα, ᾧ ὑπέταξαν τοὺς ὑπ' αὐτῶν ἐκτεθέντας κανόνας. Χ. Τρ. Συν. Συλ. Τ. Β'. σελ. 680.

κάλλους τῆς πρώτης λαμπρότητος δι' ἔπαρσιν ἀπωσθείς, ὁ πρῶτος δράκων, ὁ νοῦς ὁ μέγας, ὁ Ἀσσύριος, ὑπὸ τῶν πρὶν αἰχμαλώτων ἁλίσκεται, καὶ γίνεται τῇ δυνάμει τοῦ σαρκωθέντος λόγου πάσης ἰσχύος ἀλλότριος, καθὼς γέγραπται· Ὅτι τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος. Πανταχοῦ γὰρ λατρεία λογικὴ νενομοθέτηται, καὶ ὁλοκάρπωσις ἀναφέρεται, καὶ ὁ Θεὸς θυόμενος, καὶ διαδιδόμενος εἰς σωμάτων ὁμοῦ καὶ ψυχῶν περιποίησιν, θεουργεῖ τοὺς μετέχοντας· ὑφ' οὗ καὶ δαίμονες φυγαδεύονται, καὶ ἱερὰ τῶν ἀνθρώπων ἀθροιζομένη πανήγυρις ἐν ἐκκλησίαις, μυστικῶς ἁγιάζεται, καὶ τῆς τρυφῆς ὁ παράδεισος τοῖς πᾶσιν ἀνέῳκται, καὶ τέλος, γίνεται τὰ πάντα καινά. Ἀλλ' ἐπεὶ ὁ ἀνθρωποκτόνος διάβολος ἅπαξ κατέναντι Κυρίου παντοκράτορος τραχηλιάσας, καὶ ὠδινήσας, καὶ τεκὼν πόνον τῆς ἀποστάσεως, μὴ φέρων βλέπειν ἡμᾶς ἐγερθέντας τοῦ τῆς παραβάσεως πτώματος, καὶ τὸν οὐρανὸν διαπτάντας διὰ τῆς ἀπαρχῆς ἡμῶν, τουτέστι Χριστοῦ, τοῦ δόντος ἑαυτὸν λύτρον ὑπὲρ ἡμῶν, οὐκ ἀνῆκε τὰ τῆς κακίας βέλη κινῶν, καὶ τοὺς πιστοὺς τιτρώσκων τοῖς πάθεσιν, ὡς ἂν χωρισθεῖεν τῆς δοθείσης αὐτοῖς ἐνεργείας τοῦ Πνεύματος, τιμῆς τε, καὶ χάριτος· οὐδὲ ὁ ἀγαθὸς ἡμῶν ἀθλοθέτης καὶ τῆς σωτηρίας ἀρχηγὸς παρεῖδε Θεὸς ἀβοηθήτους ἡμᾶς, καθ' ἑκάστην ἀνιστῶν γενεὰν τοὺς ἐν τῷ τοῦ βίου τούτου σταδίῳ διὰ τῶν ὅπλων αὐτῷ τῆς εὐσεβείας παραταξαμένους, καὶ τὸν πρὸς αὐτὸν συνάψαντας πόλεμον· οἳ τὴν τοῦ Πνεύματος σπασάμενοι μάχαιραν, ὅ ἐστι ῥῆμα Θεοῦ, καὶ οὕτω συμπλακέντες τῷ πονηρῷ, τὴν καθ' ἡμῶν τυραννίδα κατέλυσαν, ὁδηγοὶ τῶν ποιμνίων γενόμενοι, καὶ τὰς ὁδοὺς Κυρίου τοῖς λαοῖς εὐθετίζοντες, ὅπως μὴ κατὰ κρημνῶν τῆς ἀνομίας ὑπ' ἀγνοίας τοῦ κρείττονος ὠθοῖντό τε, καὶ διολισθαίνοιεν. Ἔδει γὰρ τὸν τὸ εἶναι ἡμῖν χαρισάμενον, καὶ τοσούτῳ μεγέθει

συγκαταβάσεώς τε καὶ ταπεινώσεως τὸ ἡμέτερον γένος μεταποιήσαντα, καὶ πρὸς ἑαυτὸν ἀνακαλεσάμενον (1), καὶ ἀναβιβάσαντα, καὶ τὴν εἰς τὸ εὖ εἶναι τρίβον ἡμῖν ὑποδεῖξαι (2) διὰ τῶν τῆς ἐκκλησίας λαμπτήρων, καὶ διδασκάλων, φωταγωγούντων τὰ κατὰ Θεὸν ἡμῶν διαβήματα, καὶ πρὸς τὸ Εὐαγγέλιον παρορμώντων· ὧν καὶ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, κατὰ τὸν θεῖον Ἀπόστολον. Ὅθεν καὶ νῦν ἡμῖν, τὸν οἰκεῖον βίον διεξάγουσι ῥᾳθυμότερον, καὶ τῇ τῶν λογισμῶν ἀργίᾳ καθεύδουσιν, (ὡς ἐπεισελθεῖν ἀφυλάκτοις τὸν ὀδοστάτην ἐχθρὸν, καὶ κατὰ μικρὸν τὴν ἀρετὴν ὑποκλέψαντα, τὴν κακίαν ἡμῖν ἀνθυπενεγκεῖν), ὁ τὴν μεγίστην ταύτην τοῦ παρόντος (3) κόσμου πηδαλιουχῶν ὁλκάδα Χριστὸς ὁ Θεὸς ἡμῶν, σὲ τὸν σοφὸν ἡμῖν κυβερνήτην, τὸν εὐσεβῆ βασιλέα, προστάτην ὄντως ἀνέστησεν, οἰκονομοῦντα τοὺς λόγους ἐν κρίσει, φυλάσσοντα εἰς τὸν αἰῶνα ἀλήθειαν, ποιοῦντα κρῖμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς, καὶ ἐν ἀμώμῳ ὁδῷ πορευόμενον· ὃν ἡ σοφία κυοφορήσασα, καὶ μαιεύσασα καλῶς ταῖς ἀρεταῖς, ἐκθρέψασά τε καὶ περιστείλασα, καὶ θείου πληρώσασα πνεύματος, ὀφθαλμὸν οἰκουμένης ἀπέδειξε, τῇ τοῦ νοῦ καθαρότητι καὶ λαμπρότητι διαυγάζοντα περιφανῶς τὸ ὑπήκοον· ᾧ τὴν ἑαυτῆς ἐκκλησίαν παρέθετο, καὶ τὸν νόμον αὐτῆς μελετᾷν νυκτὸς καὶ ἡμέρας ἐδίδαξε, πρὸς καταρτισμὸν καὶ οἰκοδομὴν τῶν ὑπὸ χεῖρα λαῶν· ὅς, τῷ θερμῷ τοῦ πρὸς Θεὸν πόθου, τὸν ζηλωτὴν ὑπερβαλὼν Φηνεὲς, καὶ τὴν ἁμαρτίαν ἐκκεντήσας τῷ κράτει τῆς εὐσεβείας τε καὶ συνέσεως, καὶ τὸ ποίμνιον τῆς κακίας τε καὶ φθορᾶς συνεξελέσθαι προείλου. Ἔπρεπε γὰρ τὸν τῶν οἰάκων, μετὰ τὴν ἄνω ῥοπὴν, τοῦ ἀνθρωπίνου γένους ἐπειλημμένον, μὴ μόνον τὸ καθ' ἑαυτὸν σκοπεῖν, καὶ ὅπως ἂν ὁ οἰκεῖος αὐτῷ διευθύνοιτο βίος, ἀλλὰ καὶ πᾶν τὸ ἀρχόμενον

(1) μετακαλεσάμενον Χ. Τρ. — (2) Χ. Τρ. — (3) τοῦ παντὸς Κ.

ἐκ τρικυμίας περισώζειν, καὶ τῆς πολλῆς τῶν πραγμάτων (1) συγχύσεως, ἐπικλυζόντων πάντοθεν τῶν πνευμάτων τῆς πονηρίας, καὶ τὸ σῶμα ἡμῶν ἐκταρασσόντων τῆς ταπεινώσεως. Ἐπειδὴ δὲ αἱ ἅγιαι καὶ οἰκουμενικαὶ δύο σύνοδοι, αἱ κατὰ ταύτην τὴν βασιλίδα καὶ θεοφύλακτον πόλιν συναθροισθεῖσαι, ἡ μὲν ἐπὶ τῶν χρόνων Ἰουστινιανοῦ τοῦ τῆς θείας λήξεως, ἡ δὲ ἐπὶ τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένου ἡμῶν βασιλέως Κωνσταντίνου, τοῦ πατρὸς τῆς σῆς ἡμερότητος, τὸ περὶ τῆς πίστεως πατρικῶς διατρανώσασαι μυστήριον, οὐδαμῶς ἱεροὺς κανόνας ἐνέγραψαν, καθάπερ αἱ λοιπαὶ ἅγιαι τέσσαρες οἰκουμενικαὶ σύνοδοι, δι' ὧν ἀποστήσονται μὲν οἱ λαοὶ τῆς χείρονος καὶ ταπεινοτέρας διαγωγῆς, ἐπὶ δὲ τὸν κρείττονα καὶ ὑψηλότερον μεταθῶνται βίον· ἐντεῦθέν τε τὸ ἔθνος τὸ ἅγιον, τὸ βασίλειον ἱεράτευμα, ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν, ὑπὸ πολλῶν ἐξ ἀταξίας παθῶν διασπώμενον, καὶ ὑποσυρόμενον, καὶ κατὰ μικρὸν τῆς θείας μάνδρας ἀποῤῥαγὲν, καὶ διατμηθὲν, καὶ τῇ ἀγνοίᾳ καὶ λήθῃ τῶν τῆς ἀρετῆς κατορθωμάτων ἀπολισθῆσαν, καὶ, ἀποστολικῶς εἰπεῖν, τὸν Υἱὸν τοῦ Θεοῦ καταπατῆσαν, καὶ τὸ αἷμα τῆς διαθήκης, ἐν ᾧ ἡγιάσθη, κοινὸν ἡγησάμενον, τὴν τοῦ Πνεύματος ὕβρισε χάριν· τοῦτο λίαν, ὡς περιούσιον λαὸν, ἐπισυναγαγεῖν βουληθεὶς, μιμήσει τοῦ τὸ πλανώμενον πρόβατον ἐπὶ τὸ ὄρος ἐπιζητοῦντος (2), Χριστοῦ, καὶ τῇ αὐτοῦ ἀποκαταστῆσαι αὐλῇ, καὶ πεῖσαι φυλάττειν τὰς ἐντολάς τε καὶ τὰ θεῖα προστάγματα, δι' ὧν, τῶν νεκρῶν ἀποχωροῦντες ἔργων, ζωοποιούμεθα· πᾶσάν τε περινοήσας σωτηρίας διάσκεψιν, καὶ Θεὸν ἐκζητήσας, κατὰ τὸ φάσκον ῥητὸν, Οἱ ζητοῦντες τὸν Κύριον εὑρήσουσι γνῶσιν μετὰ δικαιοσύνης· οἱ δὲ ὀρθῶς ζητοῦντες αὐτὸν εὑρήσουσιν εἰρήνην· τὴν ἁγίαν ταύτην καὶ θεόλεκτον οἰκουμενικὴν ἀθροισθῆναι σύνοδον

(1) πταισμάτων Χ. Τρ. — (2) ποιμένος Χριστοῦ Συν. Συλ.

ὥρισας, ὅπως, τῇ τῶν πολλῶν (1) ἐπὶ τὸ αὐτὸ συνελεύσει τε καὶ συμπνοίᾳ, κατορθωθείη σοι εἰς δέον τὸ σπουδαζόμενον· ἀλλὰ καὶ εἴ τι λείψανον ἑλληνικῆς, ἢ ἰουδαϊκῆς σκαιότητος τῷ τῆς ἀληθείας ὡρίμῳ σίτῳ ἐγκαταμέμικται, ἐκ ῥίζης αὐτῆς ὡς ζιζάνιον ἀρθείη, καὶ καθαρὸν ἀποδειχθείη τὸ τῆς ἐκκλησίας λήϊον· Ὅπου γάρ εἰσι δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ ἐμῷ ὀνόματι, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν, ἡ Κυρία ἔφη φωνή. Καὶ πάλιν διὰ Ἱερεμίου ἡμῖν ἀνακέκραγεν· Ἐκζητήσατέ με ἐν ὅλῃ καρδίᾳ ὑμῶν, καὶ ἐπιφανοῦμαι ὑμῖν. Ἐπὶ τούτῳ τοίνυν κατὰ κέλευσιν τῆς σῆς εὐσεβείας συνελθόντες κατὰ ταύτην τὴν θεοφύλακτον καὶ βασιλίδα πόλιν, κανόνας ἱεροὺς ἀνεγράψαμεν. Διὸ τῆς σῆς εὐσεβείας δεόμεθα, τὰς τῶν πρὶν ἐν ταύτῃ τῇ θεοφυλάκτῳ πόλει, ἐπὶ τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένου ἡμῶν βασιλέως (2), συναθροισθέντων Πατέρων φωνάς σοι προσάγοντες, ἵνα, ὥσπερ τοῖς τῆς κλήσεως γράμμασι τὴν ἐκκλησίαν τετίμηκας, οὕτω καὶ τῶν δοξάντων δι' εὐσεβῶν κεραιῶν ἐπισφραγίσῃς τὸ τέλος. Ὁ δὲ Κύριος στηρίξαι σου τὴν βασιλείαν ἐν εἰρήνῃ καὶ δικαιοσύνῃ, καὶ παραπέμψοι γενεαῖς γενεῶν, καὶ προσθείη τῷ ἐπιγείῳ κράτει, καὶ τῆς βασιλείας τῆς ἐν οὐρανοῖς τὴν ἀπόλαυσιν.

ΖΩΝΑΡ. Ἡ γραφὴ αὕτη προοίμιόν ἐστι τῆς συγγραφῆς τῶν κανόνων, καὶ πρὸς βασιλέα Ἰουστινιανὸν τὸν Ῥινότμητον ἐκ τῆς συνόδου προσφώνησις, διηγουμένη πῶς, καὶ διὰ τίνα αἰτίαν ἡ τῆς συνόδου ταύτης συνάθροισις γέγονε, κελεύσει βασιλικῇ· καὶ ὅτι αἱ δύο οἰκουμενικαὶ σύνοδοι, ἥ τε πέμπτη, δηλαδὴ, καὶ ἡ ἕκτη, ἡ μὲν, ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ Μεγάλου συστᾶσα, ἡ δὲ, βασιλεύοντος Κωνσταντίνου τοῦ Πωγωνάτου, ὃς ἦν πατὴρ τοῦ, πρὸς ὃν ὁ λόγος, βασιλέως Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου, περὶ δογμάτων ζητήσεις καὶ ψήφους ἐποιήσαντο, κανόνας δὲ,

(1) Χ. Τρ. Ε. Κ. — πολέων Βευερ.— (2) Θεοδοσίου Συν. Συλ.

ὡς αἱ προλαβοῦσαι σύνοδοι, οὐκ ἐξέθεντο εἰς κατάστασιν ἐκκλησιαστικὴν, καὶ εἰς ὠφέλειαν τοῦ πιστοῦ λαοῦ. Καὶ διὰ τοῦτο φροντὶς τῷ εἰρημένῳ γέγονε βασιλεῖ, ἵνα μὴ ἀγνοίᾳ τοῦ προσήκοντος, ἀποπλανῶνται τῆς ἐναρέτου ζωῆς οἱ λαοὶ, καὶ πρὸς ἀδιάφορον ἐκκλίνοιεν βιοτὴν, καὶ τέλος, πρὸς τὸ τῆς κακίας κατολισθαίνοιεν βάραθρον. Ἀθροισθῆναι οὖν σύνοδον ὥρισε· κἀντεῦθεν ἠθροίσθησαν οἱ Πατέρες ἐκεῖνοι, καὶ κανόνας ἐξέθεντο, τὸ ὑστέρημα τῶν εἰρημένων συνόδων ἀναπληροῦντες. Καὶ τέλος, ἀξιοῖ ἡ γραφὴ αὕτη, τὸν βασιλέα δι' οἰκείας ὑπογραφῆς βεβαιῶσαι τοὺς παρὰ τῆς αὐτῆς συνόδου τεθέντας κανόνας, καὶ ταύτην ἐπιθεῖναι αὐτοῖς ἐπισφράγισμα, εἶτα εἰς εὐχὴν τὴν ὑπὲρ τοῦ βασιλέως τραπεῖσα, καταπαύει τὸν λόγον.

ΒΑΛΣ. Ἀπὸ τοῦ παρόντος προσφωνήματος, τοῦ γεγονότος πρὸς τὸν βασιλέα Ἰουστινιανὸν, τὸν καὶ Ῥινότμητον λεγόμενον, παρίσταται, ὅτι τῶν δύο οἰκουμενικῶν συνόδων, τῆς πέμπτης δηλαδὴ, τῆς γενομένης βασιλεύοντος Ἰουστινιανοῦ τοῦ Μεγάλου, καὶ τῆς ἕκτης, τῆς γενομένης βασιλεύοντος Κωνσταντίνου τοῦ Πωγωνάτου, μὴ ποιησασῶν κανόνας εἰς κατάστασιν τῶν ἐκκλησιῶν, γέγονεν αὕτη ἡ σύνοδος εἰς ἀναπλήρωσιν τῶν δύο. Διὰ γὰρ τοῦτο καὶ οὐδὲ ἕκτη κυρίως κατονομάζεται, ἀλλὰ πενθέκτη· ἀνεπλήρωσε γὰρ τὸ ὑστέρημα τῆς τε πέμπτης, καὶ τῆς ἕκτης συνόδου. Ἔστι δὲ καὶ οἰκουμενική· κἂν γὰρ οἱ Δυτικοὶ ἐπίσκοποι, Ἰταλοὶ δηλονότι καὶ Λατῖνοι, ὑπὸ τῶν κανόνων τῆς τοιαύτης συνόδου καιρίως πληττόμενοι, διενίστανται, μὴ εἶναι ταύτην οἰκουμενικὴν, μηδὲ τοποτηρητὰς τοῦ πάπα Ῥώμης ἐν αὐτῇ παρουσιάζειν, διὰ τὸ ἄλλην εἶναι τὴν ἕκτην σύνοδον, τὴν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου γενομένην, ὡς εἴρηται, ταύτην δὲ μετὰ χρόνους γενέσθαι πολλοὺς, κατὰ κέλευσιν τοῦ Ῥινοτμήτου Ἰουστινιανοῦ· ἀλλ' ἐγὼ, μὴ ἀνεχόμενος ἀκούειν τοιούτων, καὶ μᾶλλον βλέπων τὴν ὑφὴν τοῦ προσφωνήματος τούτου, καὶ ἐφεξῆς τοὺς κανόνας, λέγοντας· Ὥρισεν ἡ ἁγία καὶ οἰκουμενικὴ αὕτη σύνοδος τάδε καὶ τάδε· τὰ μὲν νεόγραφα νομοκάνονα, ὡς μὴ ἔχοντα καὶ ὑπογραφὰς τῶν ἐκθεμένων τὰς συνόδους βασιλέων καὶ Πατέρων, παρέδραμον, ἐψηλάφησα δὲ παλαιόγρα-

φα (1) νομοκάνονα, καὶ εὗρον ἐκ τῶν ὑπογραφῶν, ὅτι καὶ ἐν τῇ τοιαύτῃ συνόδῳ, ἐν τῷ Τρούλλῳ τοῦ βασιλικοῦ παλατίου συστάσῃ, παρῆσαν Βασίλειός τις ἐπίσκοπος τῆς Γορτυνίων, μητροπόλεως τῆς νήσου Κρήτης, καί τις ἐπίσκοπος Ῥαβένης, τὸν τόπον ἐπέχοντες πάσης τῆς συνόδου τῆς ἐκκλησίας Ῥώμης, καὶ οὐ μόνον αὐτοὶ, ἀλλὰ καὶ οἱ τότε ὄντες λεγάτοι τοῦ πάπα, ὁ Θεσσαλονίκης, ὁ Σαρδηνίας, ὁ Ἡρακλείας, ὁ Θράκης, καὶ ὁ Κορίνθου. Λεγάτοι δέ εἰσιν οἱ ἐκ προσώπου λεγόμενοι, οἵτινες καὶ μερικὴν δικαιοδοσίαν ἔχουσι, καθὼς τοῦτο παρίσταται ἀπὸ τοῦ ϐ'. τίτλου τοῦ ϛ'. βιϐλίου τῶν βασιλικῶν. Ὅτι δὲ ὁ πάπας Ῥώμης οὐκ εἶχε δίκαιον χειροτονίας εἰς τὴν ἡμετέραν ἐνορίαν, καθὼς τινες πλανῶνται, λέγοντες, τὸν Θεσσαλονίκης, καὶ ἑτέρους ὑπὸ τούτου χειροτονεῖσθαι, ἀλλὰ λεγάτους εἶχε, τουτέστιν ἐκ προσώπου, ὅτε δεήσει, παρουσιάζειν ὀφείλοντας, παρίσταται μὲν καὶ ἀπὸ ἄλλων πολλῶν, τέως δὲ καὶ ἀπὸ τοῦ ποτὲ μὲν ὡς λεγάτους παρουσιάζειν τοῦ πάπα τὸν Θεσσαλονίκης, τὸν Ἀθηνῶν, καὶ τὸν Κορίνθου· ποτὲ δὲ τὸν Κορίνθου, τὸν Κρήτης, τὸν Πατρῶν, τὸν Ῥαβένης, καὶ ἑτέρους· ἐνίοτε δὲ ἄλλους· ὡς εἶναι δῆλον, ἐκείνους εἶναι τοῦ πάπα λεγάτους, οὓς ὁ καθ' ἕνα τούτων ἡρετίσατο, οὐ μὴν ἔχειν τοσούτους ὑπερορίους ἐπισκόπους ὑφ' ἑαυτὸν, καὶ χειροτονεῖν τούτους. Τὸ δὲ ἔχειν τὸν πάπαν λεγάτους τινὰς καὶ ἀπὸ τῆς ἡμετέρας ἐνορίας, ἐπενοήθη διὰ τὸ μῆκος τῆς ὁδοῦ. Εἰ θέλεις οὖν μαθεῖν τὰ περὶ τούτου πλατύτερον, ἀνάγνωθι τὸ πρῶτον τῆς παρὰ τοῦ Καισαρέως Κωνσταντίνου συγγραφείσης ἱστορίας.

[Σημείωσαι, διὰ τί οὐ λέγεται ἕκτη κυρίως σύνοδος ἡ ἐν τῷ Τρούλλῳ τοῦ βασιλικοῦ παλατίου συστᾶσα, ἀλλὰ πενθέκτη· καὶ ὅτι οἰκουμενικὴ καὶ αὕτη σύνοδός ἐστι· καὶ ὅτι οὐδεμία τῶν ἡμετέρων ἐκκλησιῶν ὑπέκειτο ποτὲ τῷ πάπᾳ Ῥώμης] (2).

Κανὼν Α'.

Τάξις ἀρίστη, παντὸς ἀρχομένου (3) καὶ λόγου καὶ πράγ-

(1) παλαιότερα Ἑ. Χ. Τρ. — (2) Ἡ Σημ. αὕτη ἀναγινώσκεται ἐν Χ. Τρ. ἐν τῷ περιτελ. — (3) Χ. Τρ. Ἑ. Κ. Βρ. Βιυερ. — ἀρχομένῳ Π.

ματος, ἐκ Θεοῦ τε ἄρχεσθαι. καὶ εἰς Θεὸν ἀναπαύεσθαι, κατὰ τὴν θεολόγον φωνήν. Ὅθεν, καὶ τῆς εὐσεβείας ὑφ' ἡμῶν ἤδη διαπρυσίως κηρυττομένης, καὶ τῆς ἐκκλησίας, ἐφ' ᾗ (1) Χριστὸς τεθεμελίωται, διηνεκῶς αὐξανούσης καὶ προκοπτούσης, ὡς τῶν τοῦ Λιβάνου κέδρων ταύτην ὑπερεκτείνεσθαι· καὶ νῦν ἀρχὴν τῶν ἱερῶν ποιούμενοι λόγων χάριτι θείᾳ, ὁρίζομεν, ἀκαινοτόμητόν τε καὶ ἀπαράτρωτον φυλάττειν (2) τὴν παραδοθεῖσαν ἡμῖν πίστιν ὑπό τε τῶν αὐτοπτῶν καὶ ὑπηρετῶν τοῦ Λόγου, τῶν θεοκρίτων Ἀποστόλων· ἔτι δὲ καὶ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων καὶ μακαρίων Πατέρων, τῶν ἐν Νικαίᾳ συνελθόντων ἐπὶ Κωνσταντίνου τοῦ γενομένου ἡμῶν βασιλέως, κατ' Ἀρείου τοῦ δυσσεβοῦς, καὶ τῆς παρ' αὐτοῦ δογματισθείσης ἐθνικῆς ἑτεροθείας, ἢ πολυθείας, εἰπεῖν οἰκειότερον· οἳ τῇ ὁμογνωμοσύνῃ τῆς πίστεως τὸ ὁμοούσιον (3) ἡμῖν ἐπὶ τῶν τριῶν τῆς θεαρχικῆς φύσεως ὑποστάσεων ἀπεκάλυψάν τε καὶ διετράνωσαν, μὴ ἐπικεκρύφθαι τῷ μοδίῳ τῆς ἀγνωσίας τοῦτο παραχωρήσαντες, ἀλλὰ τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα προσκυνεῖν μιᾷ προσκυνήσει τοὺς πιστοὺς ἀναφανδὸν ἐκδιδάξαντες· καὶ τήν τε τῶν ἀνίσων βαθμῶν τῆς Θεότητος δόξαν καθελόντες καὶ διασπάσαντες, τά τε ὑπὸ τῶν αἱρετικῶν συστάντα ἐκ ψάμμου κατὰ τῆς ὀρθοδοξίας μειρακιώδη ἀθύρματα καταβαλόντες καὶ ἀνατρέψαντες· ὡσαύτως δὲ καὶ τὴν ἐπὶ τοῦ μεγάλου Θεοδοσίου, τοῦ γενομένου ἡμῶν βασιλέως, ὑπὸ τῶν ἐν ταύτῃ τῇ βασιλίδι πόλει συναχθέντων ἑκατὸν πεντήκοντα ἁγίων Πατέρων κηρυχθεῖσαν πίστιν κρατύνομεν, τὰς θεολόγους (4) φωνὰς ἀσπαζόμενοι, καὶ τὸν βέβηλον Μακε-

---

(1) Βευερ. Ἐ. Κ. Σ. Ῥ. — ἐν ᾗ Π. — ἐφ' ἧς Χ. Τρ. — ἥτις ἐπὶ Χριστῷ τεθεμελίωται Βρ. — (2) Βευερ. Χ. Τρ. Βρ. Σ. Ῥ. — ὑπάρχειν Π. Ἐ. Κ.

(3) ὁμοούσιον Κ. — (4) Π. Κ. Ἐ. — τὰς θεολόγους περὶ τοῦ ἁγίου Πνεύματος Χ. Τρ. Βρ. Βευερ.

δόνιον τοῖς προτέροις (1) ἐχθροῖς τῆς ἀληθείας συνεξελαύνοντες, ὡς δοῦλον αὐθαδῶς τὸ δεσπόζον δοξάσαι τολμήσαντα, καὶ σχίσαι τὴν ἄτμητον μονάδα (2) ληστρικῶς προελόμενον (3), ὡς ἂν μὴ ἐντελὲς ἡμῖν τὸ τῆς ἐλπίδος εἴη μυστήριον· τῷ βδελυρῷ τούτῳ καὶ κατὰ τῆς ἀληθείας λυττήσαντι, καὶ Ἀπολλινάριον, τὸν τῆς κακίας μύστην, συγκατακρίναντες, ὃς ἄνουν καὶ ἄψυχον (4) τὸν Κύριον ἀνειληφέναι σῶμα δυσσεβῶς ἐξηρεύξατο, ἐντεῦθεν καὶ οὗτος ἀτελῆ τὴν σωτηρίαν ἡμῖν γενέσθαι συλλογιζόμενος. Ἀλλὰ μὴν καὶ τὰ παρὰ τῶν ἐν τῇ Ἐφεσίων πόλει τὸ πρότερον συναχθέντων ἐπὶ Θεοδοσίου, τοῦ υἱοῦ Ἀρκαδίου, γενομένου ἡμῶν βασιλέως, διακοσίων Θεοφόρων Πατέρων ἐκτεθέντα διδάγματα, ὡς κράτος ἀῤῥαγὲς τῆς εὐσεβείας, ἐπισφραγίζομεν, ἕνα Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ σαρκωθέντα κηρύττοντες, καὶ τὴν αὐτὸν ἀσπόρως τεκοῦσαν ἄχραντον ἀειπάρθενον, κυρίως καὶ κατὰ ἀλήθειαν Θεοτόκον δοξάζοντες· καὶ τὴν ληρώδη τοῦ Νεστορίου διαίρεσιν, ὡς ἀπῳκισμένην θείας μοίρας ἀποδιώκοντες, ἄνθρωπον ἰδικῶς, καὶ Θεὸν ἰδικῶς, τὸν ἕνα Χριστὸν δογματίζοντος, καὶ τὴν ἰουδαϊκὴν ἀνανεοῦντος δυσσέβειαν. Οὐ μὴν ἀλλὰ καὶ τὴν ἐν Χαλκηδονέων μητροπόλει ἐπὶ Μαρκιανοῦ, καὶ αὐτοῦ γενομένου ἡμῶν βασιλέως, τῶν ἑξακοσίων τριάκοντα θεοκρίτων Πατέρων στηλογραφηθεῖσαν πίστιν ὀρθοδόξως ἐπικυροῦμεν· ἥτις τὸν ἕνα Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ ἐκ δύο συντεθέντα τῶν φύσεων, καὶ ἐν δύο ταῖς αὐταῖς δοξαζόμενον φύσεσι, μεγαλοφώνως τοῖς πέρασι (5) παραδέδωκε, καὶ Εὐτυχέα τὸν ματαιόφρονα, τὸν δοκήσει τὸ μέγα τῆς οἰκονομίας μυστήριον τελεσθῆναι ἀποφηνάμενον, ὡς ἀποτρόπαιόν τι καὶ μίασμα τῶν ἱερῶν τῆς ἐκ-

(1) τοῖς πρότερον Βρ. — (2) Τριάδα Σ. Ρ. — (3) Π. Χ. Τρ. Βρ. — προσελόμενον Κ. Ε. Βευερ. — (4) Π. — ὃς ἄνουν, ἄνευ τοῦ, ἄψυχον, Χ. Τρ. — ὡς ἂν οὖν Ε. Κ. Βρ. Βευερ. — (5) τῆς γῆς Βρ.

κλησίας περιβόλων ἐξήλασε· σὺν αὐτῷ δὲ καὶ Νεστόριον, καὶ Διόσκορον (1), τὸν μὲν, τῆς διαιρέσεως, τὸν δὲ, τῆς συγχύσεως ὑπερασπιστήν τε καὶ πρόμαχον, τοὺς ἐκ διαμέτρου τῆς ἀσεβείας πρὸς ἓν ἐκπεπτωκότας ἀπωλείας καὶ ἀθεότητος βάραθρον. Ἀλλά γε καὶ τὰς εὐσεβεῖς φωνὰς τῶν ἑκατὸν ἑξήκοντα πέντε Θεοφόρων Πατέρων, τῶν κατὰ ταύτην τὴν βασιλίδα συναγηγερμένων πόλιν, ἐπὶ Ἰουστινιανοῦ, τοῦ τῆς εὐσεβοῦς λήξεως γενομένου ἡμῶν βασιλέως, ὡς ὑπὸ τοῦ Πνεύματος ἐξενεχθείσας γινώσκομεν, καὶ τοὺς μεθ' ἡμᾶς (2) ἐκδιδάσκομεν. Οἳ Θεόδωρον τὸν Μοψουεστίας, τὸν Νεστορίου διδάσκαλον, Ὠριγένην τε, καὶ Δίδυμον, καὶ Εὐάγριον, τοὺς τὰς ἑλληνικὰς ἀναπλασαμένους μυθοποιίας, καὶ σωμάτων τινῶν, καὶ ψυχῶν ἡμῖν περιόδους, καὶ ἀλλοιώσεις ἀναπεμπάσαντας ταῖς τοῦ νοῦ παραφοραῖς τε, καὶ ὀνειρώξεσι, καὶ εἰς τὴν τῶν νεκρῶν δυσσεβῶς ἐμπαροινήσαντας ἀναβίωσιν· τά τε γραφέντα παρὰ Θεοδωρήτου κατὰ τῆς ὀρθῆς πίστεως, καὶ τῶν δώδεκα κεφαλαίων τοῦ μακαρίου Κυρίλλου, καὶ τὴν λεγομένην Ἴβα ἐπιστολὴν, συνοδικῶς ἀνεθεμάτισάν τε καὶ ἐβδελύξαντο. Καὶ τὴν ὑπὸ τῆς ἔναγχος συναθροισθείσης κατὰ ταύτην τὴν βασιλίδα πόλιν, ἐπὶ τοῦ ἐν θείᾳ τῇ λήξει γενομένου ἡμῶν βασιλέως Κωνσταντίνου, ἕκτης ἁγίας συνόδου πίστιν, ἣ μειζόνως τὸ κῦρος ἐδέξατο, δι' ὧν ὁ εὐσεβὴς βασιλεὺς σφραγῖσι τοὺς ταύτης τόμους κατησφαλίσατο, πρὸς τὴν ἐν τῷ παντὶ αἰῶνι ἀσφάλειαν, καὶ αὖθις ὁμολογοῦμεν φυλάττειν ἀπαρεγχείρητον· ἣ δύο φυσικὰς θελήσεις, ἤτοι θελήματα, καὶ δύο φυσικὰς ἐνεργείας ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ, δοξάζειν ἡμᾶς θεοφιλῶς διεσάφησε· τοὺς τὸ εὐθὲς τῆς ἀληθείας δόγμα παραχαρά-

(1) Χ. Τρ. Ἐ. Βρ. Σ. Ῥ. Βευερ. — καὶ Διόσκορον, καὶ Νεστόριον Π. Κ. — (2) τοὺς ὑφ' ἡμᾶς Κ. Σ. Ῥ.

ξαντας, καὶ ἓν θέλημα, καὶ μίαν ἐνέργειαν ἐπὶ τοῦ ἑνὸς Κυρίου τοῦ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ τοὺς λαοὺς ἐκδιδάξαντας, τῇ τῆς εὐσεβείας ψήφῳ καταδικάσασα· φαμὲν, Θεόδωρον τὸν τῆς Φαρὰν, Κῦρον τὸν Ἀλεξανδρείας, Ὁνώριον τὸν Ῥώμης, Σέργιον, Πύῤῥον, Παῦλον, Πέτρον, τοὺς ἐν ταύτῃ τῇ θεοφυλάκτῳ προεδρεύσαντας πόλει, Μακάριον, τὸν γενόμενον τῆς Ἀντιοχέων ἐπίσκοπον, Στέφανον τὸν αὐτοῦ μαθητὴν, καὶ τὸν ἄφρονα Πολυχρόνιον· ἐντεῦθεν ἀνέπαφον τηροῦσα τὸ κοινὸν σῶμα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Καὶ συνελόντα φάναι, πάντων τῶν ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ διαπρεψάντων ἀνδρῶν, οἳ γεγόνασι φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες, τὴν πίστιν κρατεῖν βεβαίαν, καὶ μέχρι συντελείας τοῦ αἰῶνος ἀσάλευτον διαμένειν θεσπίζομεν, καὶ τὰ αὐτῶν θεοπαράδοτα συγγράμματά τε καὶ δόγματα, πάντας ἀποβαλλόμενοί τε, καὶ ἀναθεματίζοντες, οὓς ἀπέβαλον (1), καὶ ἀνεθεμάτισαν, ὡς τῆς ἀληθείας ἐχθροὺς, καὶ κατὰ Θεοῦ φρυαξαμένους κενὰ, καὶ ἀδικίαν εἰς ὕψος ἐκμελετήσαντας. Εἰ δέ τις τῶν ἁπάντων μὴ τὰ προειρημένα τῆς εὐσεβείας δόγματα κρατοῖ καὶ ἀσπάζοιτο, καὶ οὕτω δοξάζοι τε, καὶ κηρύττοι, ἀλλ' ἐξ ἐναντίας ἰέναι τούτων ἐπιχειροῖ, ἔστω ἀνάθεμα, κατὰ τὸν ἤδη ἐκτεθέντα ὅρον ὑπὸ τῶν προδηλωθέντων ἁγίων καὶ μακαρίων Πατέρων, καὶ τοῦ χριστιανικοῦ καταλόγου, ὡς ἀλλότριος, ἐξωθείσθω καὶ ἐκπιπτέτω (2). Ἡμεῖς γὰρ οὔτε προστιθέναι τι, οὔτε μὴν ἀφαιρεῖν, κατὰ τὰ προορισθέντα, παντελῶς διεγνώκαμεν, ἢ καθ' ὁντιναοῦν δεδυνήμεθα λόγον.

—

ΑΡΙΣΤ. Ἡ τῶν Ἀποστόλων πίστις ἀκαινοτόμητος. Ἡ τῶν ἐν Νικαίᾳ ὁλόκληρος, ἣ τὸ τοῦ Ἀρείου δόγμα, βαθμοὺς εἰσάγον Θεότητος, διὰ τοῦ ὁμοουσίου κατέστρεψεν.

(1) ἀπεβάλοντο Χ. Τρ. Βευέρ. Βρ. — (2) Π. Βευερ.—ἐκριπτέσθω Κ. Ε. Βρ. Σ. Ρ.

Ἡ ἐπὶ Θεοδοσίου τοῦ μεγίστου σύνοδος, ἀπαράτρωτος, ἣ Μακεδόνιον, δοῦλον εἰπόντα τὸ Πνεῦμα τὸ ἅγιον, καθῄρηκεν.

Οἱ ἐπὶ τοῦ μικροῦ Θεοδοσίου εἰς Ἔφεσον συνελθόντες διακόσιοι, ἀεισέβαστοι· ἄνθρωπον ἰδικῶς, καὶ Θεὸν ἰδικῶς τὸν Κύριον εἰπόντα Νεστόριον, ἐξελάσαντες.

Οἱ κατὰ τὴν Χαλκηδόνα τῷ Μαρκιανῷ συνελθόντες, ἀείμνηστοι, Εὐτυχέα, δοκήσει τελεσθῆναι τὸ μέγα μυστήριον φράσαι τολμήσαντα, καθελόντες, καὶ Νεστόριον, καὶ Διόσκορον, τοὺς ἐκ διαμέτρου ἴσα παραλογίσαντας.

Εἰς τὴν βασιλεύουσαν, πέντε καὶ ἑξήκοντα καὶ ἑκατὸν ἐπὶ Ἰουστινιανοῦ συνεληλύθασιν, οἳ Ὠριγένην, σωμάτων καὶ ψυχῶν περιόδους ἀποφηνάμενον, καὶ Θεοδώρητον, κατὰ τῶν δώδεκα κεφαλαίων θρασυνθέντα Κυρίλλου, ἀνεθεμάτισαν.

Εἰς τὴν Κωνσταντίνου, ἐπὶ Κωνσταντίνου, συνείλεκται σύνοδος, ἣ Ὀνώριον τὸν Ῥώμης, καὶ Σέργιον Κωνσταντινουπόλεως, ἓν θέλημα, καὶ μίαν ἐνέργειαν δογματίσαντας, ἀποβέβληκεν.

Αὕτη ἡ σύνοδος ἐπὶ Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου συναθροισθεῖσα, καὶ τοὺς ἀποστολικοὺς κανόνας, καὶ τὰς προγενομένας οἰκουμενικὰς ἓξ συνόδους, καὶ τὰς τοπικὰς τὰς ἑπτὰ, βεβαίας μένειν ὁρίσασα, καὶ ἀκαινοτομήτους, καὶ ἀπαρατρέπτους φυλάττεσθαι, ἐξέθετο καὶ τοὺς ὑποτεταγμένους κανόνας, εἰς ψυχῶν θεραπείαν καὶ ἰατρείαν παθῶν. Καὶ πρώτως αὐτίκα τὴν τῶν ἀποστολικῶν κανόνων παράδοσιν βεβαιοῖ· καθεξῆς δὲ τῶν οἰκουμενικῶν, καὶ τοπικῶν συνόδων τοὺς ἱεροὺς κανόνας ἐπισφραγίζει. Γέγονε δὲ ἡ μὲν πρώτη σύνοδος ἐν Νικαίᾳ, ἐπὶ τοῦ ἐν ἁγίοις βασιλέως Κωνσταντίνου τοῦ Μεγάλου, κατὰ Ἀρείου τοῦ δυσσεβοῦς, ἐθνικὴν ἑτεροθεΐαν, [ἢ πολυθεΐαν], εἰπεῖν οἰκειότερον, δογματίσαντος, καὶ τὸν Υἱὸν τοῦ Θεοῦ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν, κτίσμα εἰπεῖν τολμήσαντος, καὶ οὐχ ὁμοούσιον τῷ Θεῷ καὶ Πατρί.

Ἡ δὲ δευτέρα ἐν Κωνσταντινουπόλει, ἐπὶ βασιλέως Θεοδοσίου τοῦ Μεγάλου, κατὰ Μακεδονίου τοῦ Πνευματομάχου, τοῦ τὸ Πνεῦμα τὸ ἅγιον βλασφημήσαντος, καὶ μὴ Θεὸν αὐτὸ εἶναι λέγοντος· προσέτι δὲ, κατὰ Ἀπολλιναρίου τοῦ Λαοδικέως, καὶ

Σαβελλίου τοῦ Λίβυος, τῶν φρονούντων τε καὶ λεγόντων ἄψυχον εἶναι καὶ ἄνουν τὴν τοῦ Κυρίου ἡμῶν καὶ Θεοῦ Ἰησοῦ Χριστοῦ σάρκα.

Ἡ δὲ τρίτη ἐν Ἐφέσῳ, ἐπὶ Θεοδοσίου τοῦ Μικροῦ, κατὰ Νεστορίου τοῦ ἀνθρωπολάτρου, τοῦ τὸν Χριστὸν δυσσεβῶς διαιροῦντος καὶ κατατέμνοντος, καὶ ψιλὸν ἄνθρωπον αὐτὸν εἶναι λέγοντος, καὶ οὐ Θεὸν σεσαρκωμένον· καὶ δύο υἱοὺς, καὶ ὑποστάσεις δύο ἐπὶ τοῦ ἑνὸς Χριστοῦ τοῦ Θεοῦ δογματίζοντος, ὅθεν μηδὲ Θεοτόκον, ἀλλὰ Χριστοτόκον ὀνομάζοντος τὴν ὑπεραγίαν παρθένον Μαρίαν, τὴν τεκοῦσαν αὐτὸν τὸν Θεὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Ἡ δὲ τετάρτη, ἐν Χαλκηδόνι, ἐπὶ Μαρκιανοῦ τοῦ εὐσεβεστάτου βασιλέως, τοῦ γαμβροῦ ἐπ' ἀδελφῇ Θεοδοσίου τοῦ Μικροῦ, κατὰ Διοσκόρου, καὶ Εὐτυχοῦς, τῶν τὴν ἐνανθρώπησιν τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν φαντασίᾳ γενέσθαι μυθολογησάντων, καὶ ἐν μιᾷ φύσει αὐτὸν ὑπάρχειν λεγόντων, καὶ προσνεμόντων τῇ Θεότητι τὰ παθήματα.

Ἡ δὲ πέμπτη, ἐπὶ Ἰουστινιανοῦ τοῦ Μεγάλου, ἐν Κωνσταντινουπόλει, κατὰ τοῦ παράφρονος Ὠριγένους, Εὐαγρίου τε, καὶ Διδύμου, τῶν τὰς Ἑλληνικὰς ἀναπλασαμένων μυθοποιΐας, καὶ αὐτὰ τὰ σώματα, ἃ νῦν περικείμεθα, ἀνοήτως εἰπόντων μὴ ἀνίστασθαι· καὶ παράδεισον αἰσθητὸν μὴ γενέσθαι ἐκ τοῦ Θεοῦ, μήτε εἶναι· καὶ ἐν σαρκὶ μὴ πλασθῆναι τὸν Ἀδάμ· καὶ τέλος εἶναι τῆς κολάσεως, καὶ δαιμόνων εἰς τὸ ἀρχαῖον ἀποκατάστασιν, καὶ ἑτέρας μυρίας βλασφημίας λοιδορησάντων.

Ἡ δὲ ἕκτη, ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου, ἐν Κωνσταντινουπόλει, κατὰ Θεοδώρου τοῦ τῆς Φαρὰν ἐπισκόπου, Ὀνωρίου Ῥώμης, Κύρου Ἀλεξανδρείας, Σεργίου τε, καὶ Πύῤῥου, Παύλου καὶ Πέτρου, τῶν γενομένων Κωνσταντινουπόλεως ἐπισκόπων, καὶ ἑτέρων τῶν τὴν αἵρεσιν αὐτῶν ἀνακαινισάντων. Οὗτοι γὰρ οἱ θεομάχοι καὶ ἀσεβέστατοι, ἓν θέλημα, μίαν ἐνέργειαν ἔχειν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ μετὰ σάρκωσιν δογματίσαντες, ὑπὸ τῆς συνόδου ταύτης ἀνεθεματίσθησαν. Κανόνες δὲ, οὔτε παρὰ τῆς πεμπτης συνόδου, τῆς ἐπὶ Ἰουστινιανοῦ τοῦ Με-

γάλου γενομένης, οὔτε παρ᾽ αὐτῆς τῆς ἕκτης, τῆς ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου συναθροισθείσης, ἐξετέθησαν. Λέγεται δὲ καὶ ἡ ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου σύνοδος ἕκτη, καὶ ἡ παροῦσα, ἡ ἐπὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ Ῥινοτμήτου γενομένη, ἕκτη· διότι ὡς μία ἔδοξαν σύνοδος καὶ ἀμφότεραι, διὰ τὸ μετὰ εἰκοσιεπτὰ χρόνους ταύτην γενέσθαι, καὶ τοὺς αὐτοὺς ἴσως εἶναι, ἢ τοὺς πλείονας τῶν ἐπισκόπων, τοὺς ἐνταῦθα κἀκεῖ συναθροισθέντας, καὶ περὶ τῶν αὐτῶν ζητημάτων τε καὶ δογμάτων τὴν συνέλευσιν ποιησαμένους.

Κανὼν Β΄.

Ἔδοξε δὲ (1) καὶ τοῦτο τῇ ἁγίᾳ ταύτῃ συνόδῳ κάλλιστά τε καὶ σπουδαιότατα, ὥστε μένειν καὶ ἀπὸ τοῦ νῦν βεβαίους καὶ ἀσφαλεῖς, πρὸς ψυχῶν θεραπείαν καὶ ἰατρείαν παθῶν, τοὺς ὑπὸ τῶν πρὸ ἡμῶν ἁγίων καὶ μακαρίων Πατέρων δεχθέντας καὶ κυρωθέντας, ἀλλὰ μὴν καὶ παραδοθέντας ἡμῖν ὀνόματι τῶν ἁγίων καὶ ἐνδόξων Ἀποστόλων ὀγδοήκοντα πέντε κανόνας. Ἐπειδὴ δ᾽ ἐν τούτοις τοῖς κανόσιν ἐντέταλται δέχεσθαι ἡμᾶς τὰς τῶν αὐτῶν ἁγίων Ἀποστόλων διὰ Κλήμεντος Διατάξεις, αἷς τισι πάλαι ὑπὸ τῶν ἑτεροδόξων ἐπὶ λύμῃ τῆς ἐκκλησίας νόθα τινὰ καὶ ξένα τῆς εὐσεβείας παρενετέθησαν, τὸ εὐπρεπὲς κάλλος τῶν θείων δογμάτων ἡμῖν ἀμαυρώσαντα· τὴν τῶν τοιούτων Διατάξεων προσφόρως ἀποβολὴν πεποιήμεθα πρὸς τὴν τοῦ χριστιανικωτάτου ποιμνίου οἰκοδομὴν καὶ ἀσφάλειαν, οὐδαμῶς ἐγκρίνοντες τὰ τῆς αἱρετικῆς ψευδολογίας κυήματα, καὶ τῇ γνησίᾳ τῶν Ἀποστόλων καὶ ὁλοκλήρῳ διδαχῇ παρενείροντες. Ἐπισφραγίζομεν δὲ καὶ τοὺς λοιποὺς πάντας ἱεροὺς κανόνας, τοὺς ὑπὸ τῶν ἁγίων καὶ μακαρίων Πατέρων ἡμῶν ἐκτεθέντας, τουτέστι τῶν τε ἐν Νικαίᾳ συναθροισθέντων τριακοσίων δεκαοκτὼ ἁγίων (2)

---

(1) ὁ, δὲ, οὐ κεῖται ἐν Χ. Τρ. καὶ Βρ. — (2) Π. Ἑ. Κ. — ἁγίων θεοφόρων Χ. Τρ. — θεοφόρων ἁγίων Βρ. — θεοφόρων Πατέρων, Βευερ.

Πατέρων, καὶ τῶν ἐν Ἀγκύρᾳ· ἔτι μὴν καὶ τῶν ἐν Νεοκαισαρείᾳ (1), ὡσαύτως καὶ τῶν ἐν Γάγγραις· πρὸς τούτοις δὲ καὶ τῶν ἐν Ἀντιοχείᾳ τῆς Συρίας· ἀλλὰ μὴν καὶ τῶν ἐν Λαοδικείᾳ τῆς Φρυγίας· προσέτι καὶ τῶν ἑκατὸν πεντήκοντα, τῶν ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι συνελθόντων πόλει, καὶ τῶν διακοσίων, τῶν ἐν τῇ Ἐφεσίων μητροπόλει τὸ πρότερον συναγηγερμένων· καὶ τῶν ἐν Χαλκηδόνι, τῶν ἑξακοσίων τριάκοντα ἁγίων καὶ μακαρίων Πατέρων· ὡσαύτως καὶ τῶν ἐν Σαρδικῇ· ἔτι μὴν καὶ τῶν ἐν Καρθαγένῃ· προσέτι γε μὴν καὶ τῶν αὖθις ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει συνελθόντων ἐπὶ Νεκταρίου τοῦ τῆς βασιλίδος ταύτης πόλεως προέδρου, καὶ Θεοφίλου (2), τοῦ γενομένου Ἀλεξανδρείας ἀρχιεπισκόπου· ἀλλὰ μὴν καὶ Διονυσίου ἀρχιεπισκόπου γενομένου Ἀλεξανδρείας μεγαλοπόλεως, καὶ Πέτρου γενομένου Ἀλεξανδρείας, καὶ μάρτυρος, καὶ Γρηγορίου ἐπισκόπου γενομένου Νεοκαισαρείας, τοῦ θαυματουργοῦ, Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας, Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, Γρηγορίου ἐπισκόπου Νύσσης, Γρηγορίου τοῦ Θεολόγου, Ἀμφιλοχίου τοῦ Ἰκονίου, Τιμοθέου ἀρχιεπισκόπου γενομένου Ἀλεξανδρείας τὸ πρότερον (3), Θεοφίλου ἀρχιεπισκόπου τῆς αὐτῆς Ἀλεξανδρέων μεγαλοπόλεως, Κυρίλλου ἀρχιεπισκόπου τῆς Ἀλεξανδρείας, καὶ Γενναδίου Πατριάρχου γενομένου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως· ἔτι μὴν καὶ τὸν ὑπὸ Κυπριανοῦ, τοῦ γενομένου ἀρχιεπισκόπου τῆς Ἄφρων χώρας καὶ μάρτυρος, καὶ τῆς κατ' αὐτὸν συνόδου ἐκτεθέντα κανόνα, ὃς ἐν τοῖς τῶν προειρημένων προέδρων τόποις, καὶ μόνον, κατὰ τὸ παραδοθὲν αὐτοῖς ἔθος, ἐκράτησε· καὶ μηδενὶ ἐξεῖναι τοὺς προδηλωθέντας παραχαράτ-

(1) Π. Χ. Τρ. Σ. Ῥ. Βρ. — παραλείπει ὁ Βευερ. τὸ, ἔτι μὴν καὶ τῶν ἐν Νεοκαισαρείᾳ. — (2) Τιμοθέου Σ. Ῥ. — (3) ἀρχιεπισκόπου Ἀλεξανδρομεγαλοπόλεως Π.

τειν κανόνας, ἢ ἀθετεῖν, ἢ ἑτέρους παρὰ τοὺς προκειμένους παραδέχεσθαι κανόνας, ψευδεπιγράφως ὑπό τινων συντεθέντας, τῶν τὴν ἀλήθειαν καπηλεύειν ἐπιχειρησάντων. Εἰ δέ τις ἁλῷ κανόνα τινὰ τῶν εἰρημένων καινοτομῶν, ἢ ἀνατρέπειν ἐπιχειρῶν, ὑπεύθυνος ἔσται κατὰ τὸν τοιοῦτον κανόνα, ὡς αὐτὸς διαγορεύει, τὴν ἐπιτιμίαν δεχόμενος, καὶ δι' αὐτοῦ ἐν ᾧ περ πταίει θεραπευόμενος.

ΖΩΝΑΡ. Ἐντεῦθεν ἄρχεται τῶν κανόνων, καὶ πρὸ τῶν ἄλλων, τὰ παρὰ τῶν ἱερῶν καὶ πανσέπτων Ἀποστόλων ὁρισθέντα* (1) φυλάττεσθαι διατάττεται· ὁμοίως καὶ τὰ παρὰ τῶν προγεγονυιῶν συνόδων δογματισθέντα μὴ παρεξιέναι, μηδὲ κατά τι παραθραύειν ποσῶς διορίζεται. Εἶτα δὲ ἀπαριθμεῖ τὰς συνόδους, καὶ καθ' ὧν ἑκάστη συνήχθη, καὶ τίνα τὰ παρ' ἐκείνων ἀσεβῶς εἰσαγόμενα, καὶ τίνα τὰ παρ' ἑκάστης συνόδου δογματισθέντα, καὶ κυρωθέντα, καὶ πάντων τῶν ἁγίων Πατέρων τὴν πίστιν καὶ τὰ δόγματα, ἀσάλευτα καὶ βέβαια διαμένειν παρεγγυᾷ, καὶ τὰ ἐκείνων συγγράμματα στέργειν, ἀποβάλλεσθαι δὲ καὶ ἀναθεματίζειν τοὺς τῆς ἀληθείας ἐχθρούς. Τοῖς δὲ μὴ οὕτω φρονοῦσί τε καὶ ποιοῦσι, δοξάζουσί τε καὶ κηρύττουσιν ἐπιτιμᾷ, καὶ ποιεῖται ὑπὸ ἀνάθεμα· οὔτε γὰρ προστιθέναι τι, φησὶ, δεδυνήμεθα τοῖς παρὰ τῶν ἁγίων Πατέρων διεγνωσμένοις, οὔτε τι παντελῶς ὑφαιρεῖν, ἀλλ' ἐκείνοις ἐν πᾶσιν ἑπόμεθα· *ἄλλους δὲ κανόνας παρὰ τοὺς ἀπηριθμημένους δέχεσθαι, ὁ κανὼν οὗτος οὐκ ἐφίησι* (2).

ΒΑΛΣ. Τοῦ παρόντος κανόνος μέμνησο διηνεκῶς· ἐπιστομίσεις γὰρ ἐξ αὐτοῦ τοὺς λέγοντας μὴ ἐκτεθῆναι παρὰ τῶν ἁγίων Ἀποστόλων κανόνας πέ. μηδὲ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς β'. (3) συνόδου, τῆς διορισαμένης ἔχειν τὴν τῶν Κωνσταντινουπολιτῶν ἐκκλησίαν τὰ πρεσβεῖα τῆς παλαιᾶς Ῥώμης, οἱονδηποτοῦν κανόνα. Σημείωσαι δὲ καὶ τὴν γενομένην διὰ

---

(1) Χ. Τρ. — οὐ κεῖται ἡ λέξις παρὰ Κ. καὶ Βευερ. — (2) Τὰ ἐν ἀστερίσκοις ἀναγινώσκονται ἐν Χ. Τρ. ἀλλ' οὐ παρὰ Κ. καὶ Βευερ. — (3) Χ. Τρ.

τούτου ἐπικύρωσιν τῶν τοπικῶν ἁγίων συνόδων, καὶ τῶν ὁροθετηθέντων θεσπισμάτων παρά τινων ἁγίων Πατέρων· πολλοὶ γὰρ ἀξιοῦσι μὴ κρατεῖν ταῦτα, ὡς μὴ γενόμενα παρὰ οἰκουμενικῶν συνόδων, μηδὲ παρὰ βασιλέων κρατυνθέντα.

Ἑτέρα ἑρμηνεία (1).

Ἐν τῷ πέ. κανόνι τῶν ἁγίων Ἀποστόλων, καὶ ἐν τῷ παρόντι κανόνι διελήφθησαν, ποῖα βιβλία τῆς Παλαιᾶς Διαθήκης, καὶ τῆς Νέας, ὀφείλουσιν ἀναγινώσκεσθαι. Ἐπειδὴ δὲ εἶδον μέγαν ἄνθρωπον προκομίζοντα νομοκάνονον, ἔχον κατεστρωμένους τοὺς διὰ Κλήμεντος κανόνας τῶν ἁγίων Ἀποστόλων, καὶ νεαρὰς διαφόρους τοῦ βασιλέως Ἰουστινιανοῦ μὴ δεχθείσας εἰς τὴν ἀνακάθαρσιν τῶν νόμων· παρεγγυῶμαι πᾶσι τοῖς μέλλουσιν ἀναγινώσκειν νομοκάνονα, μὴ προσέχειν τοῖς παλαιοτέροις βιβλίοις τῶν νομοκανόνων, ἀλλ' ἀναγινώσκειν τὸ παρὰ τοῦ πατριάρχου Φωτίου πονηθὲν, καὶ εἰς ιδ'. τίτ. διαιρούμενον· τὸ δὲ νομοκάνονον τὸ συμποσῶσαν εἰς ν'. τίτλους τοὺς νόμους καὶ τοὺς κανόνας, καὶ τὰ λοιπὰ, τὰ ἔχοντα νεαρὰς τοῦ Ἰουστινιανοῦ ἀπρακτησάσας, μὴ δεχθείσας ἐν τοῖς βασιλικοῖς, καὶ ἄλλους τινὰς νόμους ἐκ τῶν κωδίκων, καὶ τῶν διγέστων, καὶ δοκοῦντα καταπλουτίζεσθαι ὑπὸ πολυλογίας, (εἶδον γὰρ μυρία τοιαῦτα βιβλία παρὰ πολλοῖς ἀξιολόγοις ἀνδράσι), μηδὲ λόγου ἀξιοῦν, ὡς κινδυνώδη καὶ ἀποτρόπαια, ἀλλ' ἐπιτρέπειν τὴν τούτων ἀπώλειαν.

ΑΡΙΣΤ. Τὰ παρὰ τῶν ἑτεροδόξων κλοπιμαίως ἐμβεβλημένα ταῖς διὰ Κλήμεντος τῶν Ἀποστόλων Διατάξεσιν, ἀποκήρυκτα.

Ἐν τοῖς ἀποστολικοῖς κανόσι, πρὸς τοῖς ἄλλοις τοῖς τῆς Καινῆς, καὶ Παλαιᾶς Διαθήκης, βιβλίοις, καὶ τὰς Διατάξεις τῶν Ἀποστόλων, τὰς διὰ Κλήμεντος ἐν ὀκτὼ συντεθείσας βιβλίοις, σεβασμίας καὶ ἁγίας ἔχειν ὡρίσθημεν. Ὁ δὲ παρὼν κανὼν, διὰ τὸ νόθα τινὰ καὶ ξένα τῆς εὐσεβείας ὑπὸ τῶν ἑτεροδόξων παρατεθῆναι ἐν αὐταῖς ἐπὶ λύμῃ τῆς ἐκκλησίας, ἀποβάλλεσθαι

(1) Ἡ δευτέρα αὕτη ἑρμηνεία κεῖται ἐν Χ. Τρ. οὐχ εὕρηται δὲ οὔτε παρὰ Βευερ. οὔτε παρὰ Ἑ.

αὐτὰς ἐγκελεύεται, πρὸς οἰκοδομὴν καὶ ἀσφάλειαν τοῦ χριστιανικωτάτου ποιμνίου.

Κανὼν Γ'.

Ἐπειδὴ δὲ ὁ εὐσεβὴς καὶ φιλόχριστος ἡμῶν βασιλεὺς τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ προσεφώνησε συνόδῳ, ὥςε τοὺς ἐν (1) κλήρῳ καταλεγομένους, καὶ ἄλλοις τὰ θεῖα διαπορθμεύοντας, καθαροὺς ἀποφῆναι καὶ λειτουργοὺς ἀμώμους, καὶ τῆς νοερᾶς τοῦ μεγάλου Θεοῦ, καὶ θύματος, καὶ ἀρχιερέως, θυσίας ἀξίους, ἀνακαθᾶραί τε τὰ ἐξ ἀθέσμων γάμων τούτοις ἐπιτριβέντα μύση· πρὸς τοῦτο δὲ τῶν μὲν τῆς Ῥωμαίων ἁγιωτάτης ἐκκλησίας τὸν τῆς ἀκριβείας τηρηθῆναι κανόνα προτιθεμένων, τῶν δὲ ὑπὸ τὸν τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως θρόνον, τὸν τῆς φιλανθρωπίας καὶ συμπαθείας, εἰς ἓν ἀμφότερα μίξαντες πατρικῶς ὁμοῦ καὶ θεοφιλῶς, ὡς μήτε τὸ πρᾶον ἔκλυτον, μήτε στύφον τὸ αὐστηρὸν καταλείψοιμεν (2), καὶ μάλιστα τοῦ ἐξ ἀγνοίας πτώματος εἰς οὐκ ὀλίγων ἀνδρῶν πλῆθος διήκοντος· συνορῶμεν ὥστε τοὺς μὲν δυσὶ γάμοις περιπαρέντας, καὶ μέχρι τῆς πεντεκαιδεκάτης τοῦ διελθόντος (3) Ἰανουαρίου μηνὸς, τῆς παρελθούσης τετάρτης Ἰνδικτιῶνος, ἔτους ἑξακισχιλιοστοῦ ἑκατοστοῦ ἐννάτου (4), δουλωθέντας τῇ ἁμαρτίᾳ, καὶ μὴ ἐκνῆψαι ταύτης προελομένους, καθαιρέσει κανονικῇ ὑποβαλεῖν. Τοὺς δὲ τῷ τοιούτῳ μὲν τῆς διγαμίας πάθει (5) περιπεσόντας, πρὸ δὲ τῆς ἡμῶν ἐπιγνώσεως τὸ συμφέρον ἐπεγνωκότας, καὶ τὸ κακὸν ἐξ ἑαυτῶν περικόψαντας, καὶ πόῤῥω τὴν ξένην ταύτην καὶ νόθον συμπλοκὴν ἐκδιώξαντας, ἢ καὶ ὧν αἱ κατὰ δεύτερον γάμον γυναῖκες ἤδη

(1) Π. Χ. Τρ. Βρ. Ἑ. Κ. Σ. Ῥ. — ἐν τῷ κλήρῳ Βευερ. — (2) καταλείψοιεν Χ. Τρ. — (3) Π. Χ. Τρ. Βρ. Κ. Ἑ. Σ. Ῥ. παρελθόντος Βευερ. — (4) Χ. Τρ. Ἑ. Κ. Βρ. Βευερ. — ἑξακισχιλιοστοῦ ἑκατοστοῦ ἐννενηκοστοῦ ἐννάτου Π. Σ. Ῥ. — (5) Π. Βρ. Ἑ. Κ. — μύσει παραπεσόντας Βευερ. — πάθει παραπεσόντας Χ. Τρ. Σ. Ῥ.

τετελευτήκασιν, ἢ καὶ αὐτοὶ πρὸς ἐπιστροφὴν εἶδον, μεταμαθόντες τὴν σωφροσύνην, καὶ τῶν πρώην αὐτοῖς παρανομηθέντων ταχέως ἐπιλαθόμενοι, εἴτε πρεσβύτεροι, εἴτε διάκονοι ὄντες τυγχάνοιεν· τούτους ἔδοξε πεπαῦσθαι μὲν πάσης ἱερατικῆς λειτουργίας, ἤτοι ἐνεργείας, ἤδη ἐπὶ ῥητόν τινα χρόνον ἐπιτιμηθέντας· τῆς δὲ τιμῆς τῆς κατὰ τὴν καθέδραν καὶ στάσιν μετέχειν, ἀρκουμένους τῇ προεδρίᾳ καὶ προσκλαίοντας τῷ Κυρίῳ συγχωρηθῆναι αὐτοῖς τὸ ἐκ τῆς ἀγνοίας ἀνόμημα· εὐλογεῖν γὰρ ἕτερον τὸν τὰ οἰκεῖα τημελεῖν ὀφείλοντα τραύματα, ἀνακόλουθον. Τοὺς δὲ γαμετῇ μὲν μιᾷ συναφθέντας, εἰ χήρα (1) ἡ προσληφθεῖσα ἐτύγχανεν (2), ὡσαύτως δὲ καὶ τοὺς μετὰ τὴν χειροτονίαν γάμῳ ἑνὶ παρανόμῳ (3) προσομιλήσαντας, τουτέστι πρεσβυτέρους, καὶ διακόνους, καὶ ὑποδιακόνους, ἤδη ἐπὶ βραχύν τινα χρόνον εἰρχθέντας τῆς ἱερᾶς λειτουργίας, καὶ ἐπιτιμηθέντας, αὖθις αὐτοὺς ἐν τοῖς οἰκείοις ἀποκαταστῆναι βαθμοῖς, μηδαμῶς ἐν ἑτέρῳ μείζονι (4) προκόπτοντας βαθμῷ, προδήλως διαλυθέντος αὐτοῖς τοῦ ἀθέσμου συνοικεσίου. Ταῦτα δὲ, ἐπὶ τοῖς καταληφθεῖσι μέχρι τῆς πεντεκαιδεκάτης, ὡς εἴρηται, τοῦ Ἰανουαρίου μηνὸς, τῆς τετάρτης Ἰνδικτιῶνος, ἐν τοῖς προδηλωθεῖσι (5) πταίσμασι καὶ μόνον ἱερατικοῖς (6) ἐτυπώσαμεν, ὁρίζοντες ἀπὸ τοῦ παρόντος, καὶ ἀνανεούμενοι τὸν κανόνα τὸν διαγορεύοντα, τὸν δυσὶ γάμοις συμπλακέντα μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν κτησάμενον, μὴ δύνασθαι εἶναι ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ· ὡσαύτως καὶ τὸν χήραν λαβόντα, ἢ ἐκβεβλημένην, ἢ ἑταίραν, ἢ οἰκέτιν,

(1) Χ. Τρ. Κ. Βρ.—εἰ χήρα δὲ, Βευερ. — ἄνευ τοῦ, εἰ, Π. Ἑ. — (2) ἢ ἐκβεβλημένη Σ. ʽΡ. — (3) Π. Χ. Τρ. Βρ. ʽΕ. Κ. — τὸ, παρανόμῳ, οὐ κεῖται παρὰ Βευερ. — (4) Π. Χ. Τρ. Βρ. Ἑ. Κ. — τὸ, μείζονι, οὐ κεῖται παρὰ Βευερ. — (5) Π. Χ. Τρ. Βρ. — ῥηθεῖσι Βευερ. — (6) Π. ʽΕ. — μόνον ἱερατικῶς Χ. Τρ. Σ. ʽΡ. — μόνον ἐῤῥῶσθαι Βρ. Κ. Μάνσ.

ἢ τῶν ἐπὶ τῆς σκηνῆς, μὴ δύνασθαι εἶναι ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ΖΩΝΑΡ. Τὰ μὲν τοῦ τρίτου κανόνος τούτου, ὡς καιρικὰ, καὶ ἐπὶ τοῖς τότε δι' οἰκονομίαν ὁρισθέντα, οὐ μέντοι γε καὶ ἐπὶ τοῖς ἑξῆς κρατεῖν ὀφείλοντα, εἰάθησαν· ἃ δὲ κρατεῖν καὶ ἐπὶ τῶν ἐφεξῆς κεκανόνισται, τῶν ἁγίων Ἀποστόλων εἰσὶ κανόνες ἑπτακαιδέκατος, καὶ ὀκτωκαιδέκατος, οὓς παραβαινομένους ἡ σύνοδος αὕτη ἀνενεώσατο· οἱ τοιοῦτοι δὲ καὶ ἄμφω κανόνες ἐξηγήθησαν, καὶ ὁ ζητῶν τὴν τούτων ἐξήγησιν εὑρήσει αὐτὴν ἐν τοῖς τῶν ἁγίων Ἀποστόλων κανόσιν.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν περὶ προλαβόντων τινῶν θεσμοθετεῖ, καὶ διὰ τοῦτο οὐκ ἐγράφη τι εἰς ἑρμηνείαν αὐτοῦ. Ἃ δὲ κρατεῖν καὶ ἐφεξῆς κεκανόνισται περὶ τὸ τέλος, τῶν ἁγίων Ἀποστόλων εἰσὶ κανόνες ιζ'. καὶ ιη'. οὓς παραβαινομένους, ὡς ἔοικεν, οἱ Πατέρες ἀνενεώσαντο. Ζήτει οὖν τὰς τούτων ἑρμηνείας ἐκεῖσε· ἐξαιρέτως δὲ τὰ γραφέντα εἰς τὸν ιθ'. κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου.

ΑΡΙΣΤ. Ἱερεῖς δίγαμοι, καὶ ἀμεταμέλητοι, καθῄρηνται· οἱ δὲ τὸ κακὸν ἀπελάσαντες, τῆς λειτουργίας (1) ἐπὶ ῥητὸν παύσονται χρόνον· οὐκ εὐλογεῖ γὰρ ὁ τραυματίας. Καὶ οἱ παρανόμως γαμήσαντες, καὶ οἱ μετὰ τὴν χειροτονίαν συζυγέντες μετὰ τὸν ῥητὸν χρόνον τοὺς βαθμοὺς γνωριζέτωσαν, ἀπρόκοποι μένοντες, δηλαδὴ τῆς συζυγίας ἀφέμενοι· εἰ δὲ μετὰ τὸν ὅρον κωλυόμενοι, καθῃρημένοι μενέτωσαν.

Οἱ τῆς συνόδου ταύτης Πατέρες, καὶ τὸ γινόμενον διορθούμενοι κακὸν, καὶ τὸ μέλλον ἐξασφαλιζόμενοι, τὸν παρόντα κανόνα ἐξέθεντο, καὶ διορίζονται, ὡς ὅσοι μὲν τῶν ἱερέων καὶ διακόνων δευτέραν ἔλαβον γαμετὴν πρὸ τῆς αὐτῶν συνελεύσεως, καὶ ἔμειναν μέχρι τῆς παρουσίας αὐτῶν ἀμεταμέλητοι, τοὺς ἀθέσμους γάμους μὴ διασπάσαντες, καθαιρέσει κανονικῇ ὑποβληθήσονται, καὶ εἰς τοὺς λαϊκοὺς μεταπέσωσιν. Ὅσοι δὲ πρὸ τῆς

---

(1) Β. — οὐ κεῖται τὸ, τῆς λειτουργίας, παρὰ Βευερ.

συνελεύσεως αὐτῶν μεταμεληθέντες, τὸ συμφέρον ἐπέγνωσαν, καὶ τὴν ξένην καὶ νόθον ταύτην συμπλοκὴν ἀπεδίωξαν, τῆς μὲν ἱερωσύνης παυθήσονται, ἐπιτιμηθέντες καὶ ἐπὶ ῥητὸν ἤδη χρόνον· μόνης δὲ τῆς τιμῆς μεθέξουσι τῆς κατὰ τὴν καθέδραν, καὶ στάσιν, καὶ ἀρκεσθήσονται τῇ προεδρίᾳ, τῷ Κυρίῳ προσκλαίοντες συγχωρηθῆναι αὐτοῖς τὸ ἐκ τῆς ἀγνοίας ἀνόμημα· ἀνακόλουθον γὰρ τὸν τραυματίαν γενόμενον, ἕτερον εὐλογεῖν. Ἀλλὰ καὶ οἱ πρὸ τῆς χειροτονίας πρεσβύτεροι, καὶ διάκονοι, καὶ ὑποδιάκονοι, καὶ μιᾷ μὲν γαμετῇ συναφθέντες, χήρᾳ δὲ τυγχανούσῃ· ὡσαύτως δὲ καὶ οἱ μετὰ τὴν χειροτονίαν ἑνὶ γάμῳ προσομιλήσαντες, τῆς μὲν ἱερωσύνης τέλεον οὐ παυθήσονται, ἀλλ' ἐπὶ ῥητόν τινα ἐπιτιμηθήσονται χρόνον, καὶ τῆς ἱερᾶς κωλυθήσονται λειτουργίας, καὶ εἰς τοὺς οἰκείους αὖθις ἀποκαταστῶσι βαθμούς, προδήλως διαλυόμενοι τὸ ἄθεσμον συνοικέσιον, καὶ μηδαμῶς ἐν ἑτέρῳ μείζονι βαθμῷ προκόπτοντες, ἀλλ' ἧς εὑρέθησαν μένοντες τάξεως. Καὶ ταῦτα μὲν προσέταξαν γενέσθαι, διὰ δὲ τὴν φιλανθρωπίαν τε καὶ συμπάθειαν, πρὸ τῆς αὐτῶν, ὡς εἴρηται, συνελεύσεως· ἔκτοτε δὲ, μετὰ τὸν ὅρον τοῦτον, καὶ τὸν κανόνα, οὐδέν τι τοιοῦτον γίνεσθαι συγχωροῦσιν. Ἀλλὰ καὶ τὸν δυσὶ γάμοις συμπλακέντα, μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν κτησάμενον, ἢ χήραν λαβόντα, ἢ παρ' ἑτέρου ἐκβεβλημένην, ἢ πόρνην, ἢ οἰκέτιν, ἢ τῶν σκηνῆς· μὴ δύνασθαι εἶναι ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ὑποδιάκονον· κατὰ τοὺς ἀποστολικοὺς κανόνας, τὸν ἑπτακαιδέκατον, καὶ ὀκτωκαιδέκατον, διορίζονται.

Κανὼν Δʹ.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὑποδιάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης, ἢ θυρωρὸς, γυναικὶ ἀφιερωμένῃ τῷ Θεῷ μιχθείη, καθαιρείσθω, ὡς τὴν νύμφην τοῦ Χριστοῦ (1) διαφθείρας· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΖΩΝΑΡ. Ὥσπερ σκεῦος οἱονδηποτοῦν, ἢ ὀθόνην, ἀνατεθέντα Θεῷ, κἀντεῦθεν ἁγιασθέντα, σφετερίζεσθαί τε καὶ χρᾶσθαι αὐτοῖς

(1) Χ. Τρ. Βρ. Βενερ. Σ. Ῥ. — Θεοῦ Π. Ἐ. Κ.

κωλύεται, ἢ ὁ τοῦτο ποιῶν ἀφορίζεται, κατὰ τὸν ἑβδομηκοστὸν τρίτον κανόνα τῶν ἱερῶν Ἀποστόλων· οὕτω καὶ πολλῷ πλέον τὴν ἀφιερωθεῖσαν Θεῷ φθείρων τις, κἂν παρθένος ᾖ, κἂν ἀνδρὸς ἐν πείρᾳ πρότερον γενομένη, οὐκ ἀτιμώρητος ἔσται· ἀλλ' εἰ μὲν ἱερωμένος εἴη ὁ τοῦτο ποιήσας, ἢ ὅλως ἐν κλήρῳ κατειλεγμένος, καθαιρεθήσεται, ὡς ἱερόσυλος, ἢ καὶ βαρύτερόν τι τολμήσας· τὴν γὰρ τῷ Θεῷ ἀφιερωθεῖσαν καὶ νυμφευθεῖσαν (1) ἐσύλησεν· εἰ δὲ λαϊκὸς ὁ τολμητίας ἐστὶν, ἀφορισμῷ ὑποβληθήσεται. Κἂν δὲ μὴ ἀφιερωμένῃ γυναικὶ μιχθῇ τις τῶν ἱερωμένων, ἀλλὰ λαϊκῇ, καθαιρεθήσεται.

ΒΑΛΣ. Πρὸ πάντων σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι τὸ παλαιὸν οὐκ ἀπ' εὐνούχων μόνον τὸ τῶν ψαλτῶν τάγμα συνίστατο, καθὼς γίνεται σήμερον, ἀλλὰ καὶ ἀπὸ μὴ τοιούτων. Τὸ τάγμα δὲ τῶν ἀναγνωστῶν, οὐ διὰ τὸ ψάλλειν αὐτοὺς, ἐτυπώθη, ἀλλὰ διὰ τὸ ἀναγινώσκειν ἐπ' ἄμβωνος τὰς θείας γραφὰς μετὰ τὴν ἀπόλυσιν τοῦ ὄρθρου· ἐξ οὗ καὶ ἀναγνῶσται καλοῦνται. Φησὶ γὰρ καθαιρεῖσθαι τοὺς ψάλτας, ὥσπερ καὶ τοὺς λοιποὺς κληρικοὺς, μιγνυμένους ταῖς τῷ Θεῷ ἀφιερωθείσαις· καὶ οὐ μόνον τούτους κολάζει, ἀλλὰ καὶ τοὺς λαϊκοὺς τοιοῦτόν τι ποιοῦντας ἀφορίζει. Οὐκ ἔστι δὲ καινὸν, ἐὰν καθαιρῆται κληρικὸς ἐκ τούτου τοῦ ἁμαρτήματος· ἀπὸ γὰρ τοῦ κε'. ἀποστολικοῦ κανόνος, καὶ ὁ οἱανδήποτε πορνεύσας γυναῖκα κληρικὸς, καθαιρεῖται· πολλῷ οὖν πλέον ὁ τὴν νύμφην τοῦ Χριστοῦ, καὶ τὸ σκεῦος τὸ ἀνατεθειμένον τῷ Θεῷ μολύνων, καθαιρεθήσεται· ἀνάγνωθι καὶ τοῦ ἁγίου Βασιλείου κανόνα ιή. κ'. καὶ ξ'. Μανθάνων μέν τοι πῶς τιμωροῦνται οἱ τοιαύταις γυναξὶ μιγνύμενοι, μὴ ὑποδιαστείλῃς(2) παρθενίαν, ἢ χηρείαν, ἀλλ' ἐπὶ πάσης γυναικὸς ἀφιερωθείσης τῷ Θεῷ λέγε τὸν κανόνα ἐκφωνηθῆναι. Ἔσο δὲ εἰδὼς, ὅτι ὁ τοιαύτῃ γυναικὶ μιγνύμενος λαϊκὸς, ἀπὸ μὲν τοῦ παρόντος κανόνος ἀφορίζεται· ἀπὸ δὲ τοῦ ιε'. κεφ. τοῦ ά. τίτλου τοῦ δ'. βιβλίου τῶν βασιλικῶν, ἤγουν τῆς ρκγ'. νεαρᾶς, κεφαλικῶς τιμωρεῖται· ἀνάγνωθι καὶ τὸ λ'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος.

---

(1) Χ. Τρ. Κ. — οὐχ εὕρηται τὸ, καὶ νυμφευθεῖσαν παρὰ Βευερ. — (2) Χ. Τρ. — μὴ ἀποδιαστείλῃς Βευερ.

ΑΡΙΣΤ. Κληρικὸς νύμφῃ Θεοῦ συναπτόμενος, καθαιρείσθω· λαϊκὸς δὲ, ἀφοριζέσθω.

Ὁ μὲν κανὼν οὗτος τὸν γαμικῶς συναφθέντα τῇ παρθένῳ, τῇ καθιερωθείσῃ καὶ νυμφευθείσῃ Θεῷ, εἰ μὲν κληρικός ἐστι, καθαιρεῖ αὐτόν· εἰ δὲ λαϊκὸς, ἀφορίζει. Ὁ δὲ ὀκτωκαιδέκατος τοῦ μεγάλου Βασιλείου κανὼν, ὡς μοιχὸν τὸν τοιοῦτον λογίζεται, καὶ εἰς κοινωνίαν αὐτὸν ἄλλως οὐ παραδέχεται, εἰ μὴ πρότερον τῆς ἁμαρτίας παυθῇ.

Κανὼν Εʹ.

Μηδεὶς τῶν ἐν ἱερατικῷ καταλόγῳ (1), τῶν ἐν τῷ κανόνι ἐμφερομένων ἀνυπόπτων προσώπων ἐκτὸς διάγων, γυναῖκα (2) κεκτήσθω, ἢ θεραπαινίδα, τὸ ἀνεπίληπτον ἑαυτῷ ἐντεῦθεν τηρῶν. Εἰ δὲ παραβαίνει τις τὰ παρ' ἡμῶν ὁρισθέντα, καθαιρείσθω. Τὸ αὐτὸ δὲ τοῦτο καὶ οἱ εὐνοῦχοι παραφυλαττέσθωσαν, τὸ ἄμεμπτον ἑαυτοῖς προνοούμενοι· παραβαίνοντες δὲ, εἰ μὲν κληρικοὶ εἶεν, καθαιρείσθωσαν, εἰ δὲ λαϊκοὶ, ἀφοριζέσθωσαν.

ΖΩΝΑΡ. Τὰ αὐτὰ καὶ ὁ τρίτος κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου ὡρίσατο, καὶ ζητητέον τὰ ἐν ἐκείνῳ εἰρημένα.

ΒΑΛΣ. Ἐν τῷ τρίτῳ κανόνι τῆς ἐν Νικαίᾳ πρώτης συνόδου πλατύτερον ἐγράψαμεν περὶ ὧν φησι καὶ ὁ παρὼν κανών· καὶ ζήτει τὰ ἐν ἐκείνῳ παραγραφέντα. Καὶ σημείωσαι ἐκ πάντων, ὅτι καὶ οἱ εὐνοῦχοι ἀφορίζονται μετὰ γυναικῶν ἀλλοτρίων συνοικοῦντες.

ΑΡΙΣΤ. Καὶ εὐνοῦχος ἱερεὺς, θεραπαινίδα, ἢ ἑτέραν, πλὴν τῶν ἀνυπόπτων μὴ κεκτήσθω προσώπων.

Τὸ ἐπεισάκτους ἔχειν τοὺς ἱερωμένους γυναῖκας, κἂν εὐνοῦχοί εἰσι, κἂν ἄγαν γηραιοὶ, καὶ ὁ παρὼν κανὼν, καὶ ἡ τοῦ μεγάλου Βασιλείου πρὸς Γρηγόριον πρεσβύτερον ἐπιστολὴ κωλύει· εἰ μὴ

(1) Χ. Τρ. Βευερ. Βρ. — τῶν ἐν ἱερατικῷ καταλεγομένων τάγματι Κ. ʽΕ. Σ. Ῥ. — (2) γύναια, ἢ θεραπαινίδας κεκτήσθω Σ. Ῥ.

που τῶν ἀνυπόπτων προσώπων εἰσὶν αἱ γυναῖκες, οἷον μητέρες, ἀδελφαὶ, καὶ πρὸς πατρὸς, ἢ πρὸς μητρὸς θεῖαι, καὶ ἄλλαι τινὲς τοιαῦται. Τοὺς δὲ παραβαίνοντας τὰ ὁρισθέντα, καθαιρεῖσθαι προστάττουσιν. Ἐπὶ δὲ τῶν εὐνούχων τὸ πλέον ὁ παρὼν ἐπάγει κανὼν, ὅτι κἂν λαϊκοί εἰσι, καὶ συνοικῶσι γυναξὶ, μὴ οὔσαις ἀπὸ τῶν ἀνυπόπτων συγγενικῶν προσώπων, ἀφορίζονται.

Κανὼν ϛ'.

Ἐπειδὴ παρὰ τοῖς ἀποστολικοῖς κανόσιν εἴρηται, τῶν εἰς κλῆρον προαγομένων (1) ἀγάμων, μόνους ἀναγνώστας, καὶ ψάλτας γαμεῖν· καὶ ἡμεῖς τοῦτο παραφυλάττοντες, ὁρίζομεν, ἀπὸ τοῦ νῦν μηδαμῶς ὑποδιάκονον, ἢ διάκονον, ἢ πρεσβύτερον, μετὰ τὴν ἐπ' αὐτῷ (2) χειροτονίαν, ἔχειν ἄδειαν, γαμικὸν (3) ἑαυτῷ συνιςᾶν συνοικέσιον. Εἰ δὲ τοῦτο τολμήσοι ποιῆσαι, καθαιρείσθω Εἰ δὲ βούλοιτό τις τῶν εἰς κλῆρον προερχομένων, γάμου νόμῳ συνάπτεσθαι γυναικὶ, πρὸ τῆς τοῦ ὑποδιακόνου, ἢ διακόνου, ἢ πρεσβυτέρου χειροτονίας τοῦτο πραττέτω.

—

ΖΩΝΑΡ. Ὁ κϛ'. ἀποστολικὸς κανὼν περὶ τούτου θεσμοθετεῖ, ᾧ ἑπόμενοι καὶ οἱ τῆς συνόδου ταύτης τὰ αὐτὰ διατάττονται, τῶν κληρικῶν μετὰ τὴν εἰς κλῆρον καταταγὴν μόνους ἀναγνώστας, καὶ ψάλτας, νομίμους γάμους συναλλάσσειν ὁρίζοντες, οὐ μέν τοι πρεσβυτέρους ἢ διακόνους, οὐδὲ μὴν ὑποδιακόνους. Τούτους γὰρ, πρὸ τῆς χειροτονίας λαμβάνειν γυναῖκας ἐφίησιν ὁ κανὼν, μετὰ δὲ τὴν χειροτονίαν σωφρονεῖν ἐπιτάσσει, ἢ πρὸς γάμον ἐκκλίναντας, καθαιρεῖσθαι.

ΒΑΛΣ. Ὁ κϛ'. ἀποστολικὸς κανὼν διορίζεται, μόνους ἀναγνώστας, καὶ ψάλτας, νομίμους συναλλάττειν (4) γάμους· περὶ δὲ τῶν ἄλλων κληρικῶν οὐδέν τι φησί. Καὶ διὰ τοῦτο πλατύ-

(1) Π. Βρ. Σ. Ῥ. — προσαγομένων Ἐ. Κ. Βευερ. Χ. Τρ. — (2) προσερχομένην χειροτονίαν Βρ. Ἐ. Κ. — (3) Π. Χ. Τρ. Βρ. — οὐχ εὕρηται τὸ, γαμικὸν παρὰ Βευερ. — (4) Χ. Τρ. Ἐ. — συνάπτειν Βευερ.

νοντες ἀκολούθως τούτῳ τὴν διδασκαλίαν οἱ ἅγιοι Πατέρες, διορίζονται ἐνταῦθα, ἀναγνώστας μὲν καὶ ψάλτας γαμεῖν, ἕτερον δέ τινα παρὰ τούτους, ἤγουν ὑποδιάκονον, ἢ διάκονον, ἢ πρεσβύτερον, μετὰ τὴν χειροτονίαν μὴ λαμβάνειν νόμιμον γυναῖκα, ἢ μὴν ἐκ παραβασίας τοῦ κανόνος καθαιρεῖσθαι. Ὅπως δὲ διάγουσιν οὗτοι, παραιτούμενοι τὴν χειροτονίαν, καὶ γυναῖκας λαμβάνοντες, μαθήσῃ ἀπὸ τῆς οϛʹ. νεαρᾶς τοῦ βασιλέως κυρίου Λέοντος τοῦ σοφοῦ, λεγούσης ἐν μέρει ταῦτα ῥητῶς· Οὐκ ἀποδεχόμενοι οὖν τῆς προαιρέσεως τὸν παλαιὸν νομοθέτην, ὃς βούλεται πρεσβύτερον, ἢ διάκονον, ἢ ὑποδιάκονον μετὰ τὴν ἐπ' αὐτῷ χειροθεσίαν συναφθέντα γυναικί, παντελῶς τοῦ τοιούτου ὑπεξίστασθαι σχήματος, καὶ πρὸς τὸν λαϊκὸν βίον ἐπαναστρέφεσθαι, ἀκυροῦμεν τὸ δόγμα· θεσπίζομεν δὲ μόνῃ τῇ ὑποχωρήσει τῆς τάξεως, ἐφ' ἣ πρὸ τοῦ γάμου ἐγνωρίζοντο, ἀρκεῖσθαι τὴν δίκην αὐτοῖς· τοῦ δὲ κληρικοῦ σχήματος, καὶ τῆς ἄλλης ἐν ταῖς ἐκκλησίαις ὑπηρεσίας, ἧς ἐφάπτεσθαι οὐκ ἀθέμιτον, μὴ παντάπασι τὴν ἀλλοτρίωσιν καταδικάζεσθαι. Ἔστι δὲ ὁ παρὰ τῆς τοιαύτης νεαρᾶς ἀναιρεθεὶς νόμος κεφ. κηʹ. τοῦ αʹ. τίτλου τοῦ γʹ. βιβλίου τῶν βασιλικῶν, κεφ. ὂν κζʹ. τῆς ρκγʹ. Ἰουστινιανείου νεαρᾶς.

ΑΡΙΣΤ. Ὁ χειροτονηθείς, εἰ ζεύγνυται, καθαιρεῖται· εἰ γὰρ βούλοιτο, προζευχθῆναι ὀφείλει.

Ὁ μὲν δέκατος κανὼν τῆς ἐν Ἀγκύρᾳ συνόδου προστάττει, τὸν μέλλοντα γενέσθαι πρεσβύτερον, ἢ διάκονον, καὶ προμαρτυράμενον, ἐν τῷ γίνεσθαι, μὴ δύνασθαι μένειν ἄγαμον, ἀλλὰ λαβεῖν ἐθέλειν γυναῖκα, καὶ μετὰ τὴν χειροτονίαν εἰς γάμον ἔρχεσθαι, καὶ ἐν τῇ ἰδίᾳ μένειν ὑπηρεσίᾳ. Ὁ δὲ παρὼν κανὼν τὸν τοιοῦτον ἀνατρέπει κανόνα, καὶ παντελῶς ἀπείργει μετὰ τὴν χειροτονίαν τὸν πρεσβύτερον, τὸν διάκονον, καὶ τὸν ὑποδιάκονον, γαμικὸν ἑαυτῷ συνιστᾶν συνοικέσιον, τῷ εἰκοστῷ ἕκτῳ Ἀποστολικῷ κανόνι ἑπόμενος· καὶ διορίζεται, τὸν μετὰ τὴν χειροτονίαν τοῦτο τολμήσαντα ποιῆσαι, καθαιρεῖσθαι· διδοὺς ἄδειαν ἑκάστῳ πρὸ τῆς χειροτονίας γαμικῷ νόμῳ συνάπτεσθαι γυναικί.

Κανὼν Ζ'.

Ἐπειδὴ μεμαθήκαμεν ἔν τισι τῶν ἐκκλησιῶν διακόνους τυγχάνειν, ὀφφίκια ἐκκλησιαστικὰ ἔχοντας, ἐντεῦθέν τέ τινας αὐτῶν αὐθαδείᾳ καὶ αὐτονομίᾳ κεχρημένους πρὸ τῶν πρεσβυτέρων καθέζεσθαι, ὁρίζομεν, ὥστε τὸν διάκονον, κἂν ἐν ἀξιώματι, τουτέστιν ἐν ὀφφικίῳ τῷ οἱῳδήποτε ἐκκλησιαστικῷ τυγχάνῃ, τὸν τοιοῦτον μὴ πρὸ τοῦ πρεσβυτέρου καθέζεσθαι· ἐκτὸς, εἰ μὴ τὸ πρόσωπον ἐπέχων τοῦ οἰκείου πατριάρχου, ἢ μητροπολίτου, ἐν ἑτέρᾳ πόλει παραγένηται ἐπί τινι κεφαλαίῳ· τότε γὰρ, ὡς τὸν ἐκείνου τόπον ἀναπληρῶν, τιμηθήσεται. Εἰ δέ τις τοιοῦτο τολμήσοι, τυραννικῷ χρώμενος θράσει, διαπράξασθαι, ὁ τοιοῦτος, ἐκ τοῦ οἰκείου καταβιβασθεὶς βαθμοῦ, ἔσχατος πάντων γινέσθω τοῦ, ἐν ᾧ περ καταλέγεται, τάγματος ἐν τῇ κατ' αὐτὸν ἐκκλησίᾳ, τοῦ Κυρίου ἡμῶν παραινοῦντος, μὴ χαίρειν ταῖς πρωτοκλισίαις, κατὰ τὴν ἐν τῷ ἁγίῳ εὐαγγελιστῇ Λουκᾷ (1), ὡς ἐξ αὐτοῦ τοῦ Κυρίου ἡμῶν καὶ Θεοῦ κειμένην διδασκαλίαν. Ἔλεγε γὰρ πρὸς τοὺς κεκλημένους παραβολὴν (2) τοιάνδε· Ὅταν (3) κληθῇς ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν, μή ποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ' αὐτοῦ, καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας, ἐρεῖ σοι· Δὸς τούτῳ τόπον· καὶ τότε ἄρξῃ μετ' αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν. Ἀλλ ὅταν κληθῇς, ἀνάπεσε εἰς τὸν ἔσχατον τόπον· ἵνα, ὅταν ἔλθῃ ὁ κεκληκὼς, εἴπῃ σοι· Φίλε, προσανάβηθι ἀνώτερον· τότε ἔσται σοι δόξα ἐνώπιον τῶν συνανακειμένων σοι· ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται (4). Τὸ αὐτὸ δὲ φυλαχθήσεται καὶ ἐπὶ

---

(1) Λουκ. Κ', 46. — (2) ἐπάγων (ἀπέχων Σ. Ῥ.) πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο· Λέγων πρὸς αὐτοὺς Βρ. Σ. Ῥ. — (3) Ἐὰν κληθῇς Βρ. — (4) Λουκ. ΙΔ', 8—11.

τῶν λοιπῶν ἱερῶν (1) ταγμάτων· ἐπειδὴ τῶν κατὰ κόσμον ἀξιωμάτων κρείττονα τὰ πνευματικὰ ἐπιστάμεθα.

ΖΩΝΑΡ. Ὁ ὀκτωκαιδέκατος κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, μὴ ἐν μέσῳ πρεσβυτέρων καθῆσθαι τοὺς διακόνους κελεύει, τοὺς δὲ μὴ πειθαρχοῦντας παύεσθαι τῆς διακονίας. Ὁ δὲ παρὼν κανὼν, τοῖς αὐθαδῶς πρὸ τῶν πρεσβυτέρων καθῆσθαι ἀναιδευομένοις, οὐκ ἔκπτωσιν τῆς διακονίας εἰς κόλασιν τῆς αὐθαδείας ἐπάγει, ἀλλ' ὑποβιβασμὸν ἐκ τοῦ οἰκείου βαθμοῦ. Εἰ γὰρ, τυχὸν, τῶν ἄλλων διακόνων προβαθμιώτερος ἦν ὁ ἀναιδευσάμενος, καὶ πρὸ τῶν πρεσβυτέρων καθίσας, κατενεχθήσεται εἰς τὸν ἔσχατον τόπον, καὶ ἔσται πάντων ὑποβάθμιος. Εἰ δὲ ὑπὸ τοῦ οἰκείου πατριάρχου, ἢ μητροπολίτου, ἔν τινι πόλει σταλῇ, ὡς τὸν τόπον ἐκείνου ἀναπληρώσων, τότε ὡς αὐτὸς ὁ στείλας αὐτὸν λογισθήσεται, καὶ τιμηθήσεται. Πῶς οὖν ὁ μὲν τῶν κανόνων τὸν ἐν μέσῳ πρεσβυτέρων καθίσαντα βαρύτερον κολάζει, παύων αὐτὸν τῆς διακονίας, οὗτος δὲ κουφοτέραν ἐπάγει τὴν τιμωρίαν τῷ προκαθήσαντι πρεσβυτέρου, καταβιβάζων αὐτὸν εἰς τὸν ἔσχατον τόπον τοῦ οἰκείου βαθμοῦ; Φασὶν οὖν, ὅτι ὁ μὲν τῆς πρώτης συνόδου κανὼν, περὶ τῶν ἐν βήματι ἐν ἱερουργίας καιρῷ καθεζομένων ἐν μέσῳ πρεσβυτέρων φησὶν, ὅτε διακονεῖν μᾶλλον καὶ ὑπηρετεῖν τοῖς ἱερεῦσιν ὀφείλουσι, καὶ παρεστάναι αὐτοῖς· ὁ δὲ τῆς συνόδου ταύτης, περὶ τῶν ἐκτὸς τοῦ βήματος ἐν τυχούσῃ καθέδρᾳ προκαθισάντων πρεσβυτέρων· πανταχοῦ μὲν γὰρ τοῖς ἱερεῦσιν οἱ διάκονοι χρεωστοῦσι τιμὴν, μάλιστα δὲ ἐν ἱερουργίᾳ. Ὀφφίκια δὲ ἐκκλησιαστικὰ, τὰ ἀρχοντίκια λέγει. Τὸ αὐτὸ δὲ κρατεῖν βούλεται ὁ κανὼν, καὶ ἐπὶ τῶν ἄλλων ἱερῶν ταγμάτων, ὥστε μή τινα ἀξιώματι κοσμικῷ θαῤῥοῦντα, ἢ ὀφφικίῳ, καταναιδεύεσθαι τῶν ἄλλων, καὶ θρασύνεσθαι κατὰ τῶν προβαθμιωτέρων αὐτοῦ, ὑποδιάκονον τυχὸν κατὰ διακόνου, ἢ ἀναγνώστην κατὰ ὑποδιακόνου· κρείττω γὰρ, φησὶ, τὰ πνευματικὰ ἀξιώματα τῶν κο-

---

(1) ἱερατικῶν Σ. Ρ.

σμικῶν, μονονουχὶ τοῦτο λέγων· εἰ ἐν τοῖς κοσμικοῖς ἀξιώμασιν οὐκ ἔξεςι τῷ ἥττονος ἀξίας ὄντι προκαθῆσθαι, ἢ προτετιμῆσθαι τοῦ μείζονι τετιμημένου ἀξιώματι, πολλῷ πλέον οὐκ ἔξεστι τοῦτο ποιεῖν τοῖς ἐκκλησιαστικαῖς ἀξίαις τετιμημένοις, ἃς καὶ πνευματικὰς ἐκάλεσεν, ὡς οὐ κατ' ἀνθρωπίνην χάριν παρέχεσθαι ὀφειλούσας, ἀλλὰ κατὰ θείαν χάριν ἐπικλήσει τοῦ θείου Πνεύματος.

ΒΑΛΣ. Ὁ ιή. κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου καθαιρεῖσθαί φησι τοὺς ἐν μέσῳ πρεσβυτέρων καθεζομένους διακόνους. Ὁ δὲ παρὼν κανὼν τοὺς οὕτω ποιοῦντας, ὑποβιβάζεσθαι ἐκ τοῦ οἰκείου βαθμοῦ παρακελεύεται. Εἰ γὰρ, τυχὸν, τῶν ἄλλων διακόνων προβαθμιώτερος ἦν ὁ ἀναιδευσάμενος, καὶ πρὸ τῶν πρεσβυτέρων καθίσας, κατενεχθήσεται εἰς τὸν ἔσχατον τόπον, καὶ ἔσται πάντων ὑποβάθμιος, μὴ ὠφελούμενος ἐκ τοῦ αὐτῷ προσόντος ἴσως ἐκκλησιαστικοῦ ὀφφικίου, ἤτοι ἀξιώματος. Εἰ δὲ ὑπὸ τοῦ οἰκείου πατριάρχου, ἢ μητροπολίτου, ἔν τινι πόλει σταλῇ, ὡς τὸν τόπον ἐκείνου ἀναπληρώσων, τότε, ὡς αὐτὸς ὁ στείλας αὐτὸν, λογισθήσεται, καὶ τιμηθήσεται. Πῶς οὖν ὁ μὲν ιή. κανὼν τῆς ἐν Νικαίᾳ συνόδου καθαιρεῖσθαί φησι τὸν ἐν μέσῳ πρεσβυτέρων καθίσαντα διάκονον, οὗτος δὲ κουφότερον κολάζει αὐτὸν, ἤγουν διὰ ὑποβιβασμοῦ; Λύσις. Ἐκεῖνος μὲν ὁ κανὼν περὶ τῶν εἰς τὸ βῆμα ἐν ἱερουργίας καιρῷ ἀναιδευσαμένων, καὶ πρὸ τῶν ἱερέων καθισάντων φησὶν, ὅτι καὶ περὶ τῶν τοιούτων διόλου διαλέγεται, δηλονότι περὶ διακόνων μεταδιδόντων ἱερεῦσι, καὶ ἄλλα τινὰ (1) ἀνάξια διαπραττομένων· ὁ δὲ παρὼν κανὼν φησὶ* (2) περὶ τῶν ἐκτὸς τοῦ βήματος ἐν τῇ τυχούσῃ καθέδρᾳ καθισάντων διακόνων πρὸ τῶν πρεσβυτέρων, καὶ διὰ τοῦτο μετριωτέραν ἐπάγει τὴν κόλασιν· ὀφφίκια μέντοι ἐκκλησιαστικὰ λέγονται τὰ ἀρχοντίκια. Τὸ αὐτὸ δὲ κρατεῖν βούλεται ὁ κανὼν καὶ ἐπὶ τῶν ἄλλων ἱερῶν ταγμάτων, ὥστε μή τινα ἀξιώματι θαῤῥοῦντα, ἢ ὀφφικίῳ, κατεπαίρεσθαι τῶν ἄλλων, καὶ θρασύνεσθαι κατὰ τῶν προβαθμιωτέρων(3) αὐτοῦ, ὑποδιάκονον τυχὸν κατὰ διακόνου, ἢ ἀναγνώστην κατὰ ὑποδια-

(1) Χ. Τρ.—τοιαῦτα Βευερ.—(2) Χ. Τρ.—(3) Χ. Τρ. Κ.—ὑποβαθμιωτέρων Βευερ.

κόνου· κρείττω γάρ, φησιν, εἰσὶ τὰ πνευματικὰ ἀξιώματα τῶν κοσμικῶν. [Σημείωσαι δὲ, ὅτι καὶ ἀπὸ τοῦ παρόντος κανόνος παρίσταται τὰ ἐκκλησιαστικὰ ἀρχοντίκια, ἤτοι ἀξιώματα, βαθμοὺς εἶναι ἐκκλησιαστικοὺς, ὡς τὰ διακονικὰ καὶ τὰ λοιπά] (1). Θαυμάζω δὲ, πῶς, τοῦ κανόνος διοριζομένου, τὸν ἀποσταλέντα ἐπέχειν τὸν τόπον τοῦ ἀποστείλαντος, ὅσον κατὰ τὴν τιμὴν, ὁ ἐπίσκοπος τῶν Γορτυναίων Βασίλειος, παρουσιάζων ἐν τῇ συνόδῳ ταύτῃ, δικαίῳ πάσης τῆς ἐκκλησίας Ῥώμης, εὑρίσκεται ὑπογράψας μετὰ τοὺς τέσσαρας πατριάρχας, καὶ τινας μητροπολίτας· ἀλλ', ὡς ἔοικε, καὶ αὐτὸς λεγάτος ἦν τοῦ πάπα· καὶ διὰ τοῦτο μετὰ τοὺς πατριάρχας ὑπέγραψεν, ὥσπερ καὶ οἱ λοιποὶ λεγάτοι, ἤτοι ὁ Θεσσαλονίκης, ὁ Ἡρακλείας (2), καὶ ἕτεροι· ὁ δὲ χαρτοφύλαξ τῆς Κωνσταντινουπόλεως, ὅπως προκάθηται τῶν ἀρχιερέων διάκονος ὢν, εἴρηται ἐν τῷ ιή. κανόνι τῆς πρώτης συνόδου. Σημείωσαι δὲ τὸν κανόνα λέγοντα κρείττονα εἶναι τὰ πνευματικὰ ἀξιώματα τῶν κατὰ κόσμον ἀξιωμάτων· πλὴν μὴ ἑλκύσῃς τοῦτο, ὥς τινες εἶπον, χάριν τοῦ προτιμᾶσθαι τὰ ἐκκλησιαστικὰ ἀξιώματα τῶν βασιλικῶν, *τούτων γὰρ ὑποβιβασθήσονται* (3)· ἑρμήνευσον δὲ τοῦτο εἰς τοὺς καταυθαδιαζομένους, τυχὸν, ὑποδιακόνους κατὰ διακόνων, ἢ διακόνους κατὰ πρεσβυτέρων· καὶ εἰπὲ, ὅτι εἰ ἐν τοῖς κοσμικοῖς ἀξιώμασιν οὐκ ἔξεστι τῷ ἥττονος ἀξίας ὄντι προκαθῆσθαι, ἢ προτιμᾶσθαι τοῦ μείζονι τετιμημένου ἀξιώματι, πολλῷ πλέον οὐκ ἔξεστι τοῦτο ποιεῖν τοῖς ἐκκλησιαστικαῖς ἀξίαις τετιμημένοις, ἃς καὶ πνευματικὰς ἐκάλεσε, καὶ χρεωστοῦσι πᾶσαν εὐταξίαν ἐκ τοῦ ἐπαγγέλματος αὐτῶν. Σημείωσαι οὖν τὸν κανόνα, ὀνομάζοντα περὶ τὸ τέλος τοὺς ἐκκλησιαστικοὺς βαθμοὺς ἀξιώματα· πολλάκις γὰρ εἰς τὸ δικαστήριον εἶπόν τινες, μήτε τοὺς ἐκκλησιαστικοὺς ἄρχοντας, μήτε τοὺς μητροπολίτας ἐν ἀξιωματικοῦ μοίρᾳ συντάττεσθαι, καὶ διὰ τοῦτο μηδὲ δυνατὸν εἶναι τὸν στίχον τοῦ ἐκκλησιαστικοῦ κουβουκλεισίου (4), ἤτοι τοῦ ἐπισκόπου, ἀλλὰ ταπεινόν· ἐμοὶ δὲ τοῦτο οὐ δοκεῖ· καὶ

(1) Ἡ Σημ. οὐ κεῖται ἐν Χ. Τρ. — (2) Βευερ. — ὁ Ἡρακλείας Θρᾴκης Χ. Τρ. Ἐ. — (3) Χ. Τρ. — τὰ ἐντὸς * οὐχ εὕρηται παρὰ Ἐ. Βευερ. — (4) κουβουκλείου Χ. Τρ.

ἀνάγνωθι τὸ ά. κεφ. τοῦ ή. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὸ ἐκεῖσε καταστρωθὲν ἔγγραφον θέσπισμα τοῦ ἰσαποστόλου ἁγίου μεγάλου Κωνσταντίνου, καὶ τὸ σχόλιον τοῦ λς'. κεφαλαίου τοῦ ά. τίτλου τοῦ παρόντος συντάγματος.

ΑΡΙΣΤ. Καὶ ὀφφίκιον ἔχων διάκονος, εἰ μὴ τοποτηρητὴς εἴη πατριάρχου, ἢ ἐπισκόπου, πρὸ τῶν πρεσβυτέρων καθεζόμενος, ἁπάντων ἐσχατώτερος ἔσοιτο.

Τοὺς κοσμικοὺς τύφους καὶ τὰς πρωτοκλισίας, οἱ θεῖοι Πατέρες ἐκ τῆς ἐκκλησίας περιαιροῦντες, προστάττουσι, μηδένα τῶν διακόνων, κἂν οἱονδήποτε ἐκκλησιαστικὸν ὀφφίκιον ἔχῃ, τῶν πρεσβυτέρων καθέζεσθαι ἄνωθεν, εἰ μή που ὡς τοποτηρητὴς τὸ πρόσωπον ἐπέχει τοῦ οἰκείου πατριάρχου, ἢ μητροπολίτου, ἐν ἑτέρᾳ πόλει σταλεὶς, χάριν κανονικῶν, ἢ ἐκκλησιαστικῶν ζητημάτων· τότε γὰρ, ὡς τὸν ἐκείνου τόπον ἀναπληρῶν, τιμηθήσεται· εἰ δὲ ἄλλως τολμήσοι τις τῶν διακόνων, τυραννικῷ θράσει χρώμενος, τῶν πρεσβυτέρων ἄνωθεν καθεσθῆναι, τοῦ ἰδίου βαθμοῦ καταβιβασθήσεται, καὶ πάντων ἔσχατος τῶν διακόνων γενήσεται.

Κανὼν Η'.

Ἐν πᾶσι τὰ ὑπὸ τῶν ἁγίων Πατέρων ἡμῶν θεσπισθέντα καὶ ἡμεῖς κρατεῖν βουλόμενοι, ἀνανεοῦμεν καὶ τὸν κανόνα τὸν διαγορεύοντα, καθ' ἕκαστον ἔτος συνόδους τῶν ἐν ἑκάστῃ ἐπαρχίᾳ (1) γίνεσθαι ἐπισκόπων, ἔνθα ἂν ὁ τῆς μητροπόλεως δοκιμάσῃ ἐπίσκοπος. Ἐπειδὴ δὲ διά τε τὰς τῶν (2) βαρβάρων ἐπιδρομὰς, διά τε τὰς (3) προσπιπτούσας ἑτέρας αἰτίας, ἀδυνάτως οἱ τῶν ἐκκλησιῶν πρόεδροι ἔχουσι δὶς τοῦ ἐνιαυτοῦ τὰς συνόδους ποιεῖσθαι, ἔδοξεν, ὥστε τρόπῳ παντὶ ἅπαξ τοῦ ἐνιαυτοῦ τὴν τῶν προγεγραμμένων ἐπισκόπων, διὰ τὰ ὡς εἰκὸς ἀναφυόμενα ἐκκλησιαστικὰ κεφάλαια, ἐν ἑκάστῃ ἐπαρχίᾳ (4) γίνεσθαι

(1) Π. Χ. Τρ. Βρ. — τῶν ἑκάστης ἐπαρχίας, Βευερ. — (2) Π. Χ. Τρ. Βρ. Ἑ. Κ. — διά τινας τῶν Βευερ. — (3) τὸ, τὰς, οὐχ εὕρηται παρὰ Βρ. καὶ Βευερ. — (4) ἑκάστῃ, Π. Ἑ. Κ.

σύνοδον, ἀπὸ τῆς ἁγίας τοῦ Πάσχα ἑορτῆς, καὶ μέχρι συμπληρώσεως τοῦ Ὀκτωβρίου μηνὸς ἑκάστου ἔτους, κατὰ τὸν τόπον ὃν ὁ τῆς μητροπόλεως, καθὰ προείρηται, δοκιμάσει ἐπίσκοπος· τοὺς δὲ μὴ συνιόντας ἐπισκόπους, ἐνδημοῦντας ταῖς ἑαυτῶν πόλεσι, καὶ ταῦτα ἐν ὑγείᾳ διάγοντας, καὶ πάσης ἀπαραιτήτου καὶ ἀναγκαίας ἀσχολίας ὄντας ἐλευθέρους, ἀδελφικῶς ἐπιπλήττεσθαι.

—

ΖΩΝΑΡ. Καὶ οἱ θεῖοι Ἀπόστολοι καὶ αἱ προλαβοῦσαι σύνοδοι, περὶ τῶν ἐτησίων τούτων συνόδων κανόνας ἐξέθεντο· καὶ ἡ σύνοδος δὲ αὕτη, ἅπαξ τοῦ ἐνιαυτοῦ γίνεσθαι συνόδους ἐν ταῖς ἐπαρχίαις διετάξατο, ἀνανεοῦσα τοὺς κειμένους περὶ αὐτοῦ κανόνας, ὥστε ἐκ παντὸς τρόπου, ἀντὶ τοῦ, ἀπαραιτήτως καὶ ἀπροφασίστως, ἅπαξ τοῦ ἐνιαυτοῦ ἐν ἑκάστῃ ἐπαρχίᾳ γίνεσθαι σύνοδον, διὰ τὰς ἀναφυομένας ἐκκλησιαστικὰς αἰτίας· γίνεσθαι δὲ ταύτην ἀπὸ τοῦ Πάσχα μέχρις ὅλου τοῦ Ὀκτωβρίου μηνός· ἐγράφη δὲ περὶ τούτου πλατύτερον ἐν τοῖς προλαβοῦσι κανόσιν.

ΒΑΛΣ. Περὶ τοῦ πῶς, καὶ πότε ὀφείλουσιν οἱ ἐπίσκοποι παρὰ τοῖς πρώτοις αὐτῶν συνέρχεσθαι, ὥστε γίνεσθαι συνόδους, καὶ λύεσθαι τὰ ἐκκλησιαστικὰ ζητήματα, εἴρηται ἐν διαφόροις προλαβοῦσι κανόσιν. Ἀνάγνωθι καὶ κεφ. ή. τοῦ ή. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ. Ὁ δὲ παρὼν κανὼν οὐδέν τι πλέον τῶν ἄλλων φησίν, ἀλλ' ἢ τὸ γίνεσθαι ἅπαξ τοῦ ἐνιαυτοῦ τὰς συνόδους· ἀνάγνωθι καὶ τῆς δʹ. συνόδου κανόνα ιθʹ. καὶ τῆς ά. συνόδου κανόνα έ. καὶ τῶν ἁγίων Ἀποστόλων κανόνα λζʹ. Εἴποι (1) δέ τις, ὡς, τῶν ἐπισκόπων ἀναγκαζομένων παρὰ τοῖς μητροπολίταις ἐτησίως συνέρχεσθαι, οἱ μητροπολῖται οὐκ ἀναγκασθήσονται παρὰ τῷ πατριάρχῃ συνελθεῖν· ἢ γὰρ οὗτοι παρὰ τῷ πατριάρχῃ συνέρχονται, καὶ συμβαίνει, τὰς τῶν ἐπαρχιωτῶν ἐπισκόπων συνόδους ἀπρακτεῖν (2), ἢ οὐ συνέρχονται, καὶ αἱ πατριαρχικαὶ σύνοδοι οὐ γενήσονται· καὶ ταῦτα

(1) Τὸ μέρος τοῦτο τῆς ἑρμηνείας οὐ κεῖται παρὰ Ἑ. ἀλλ' ἐν Χ. Τρ. καὶ παρὰ Βευερ. — (2) Χ. Τρ. — ἀπράκτους Βευερ.

μὲν ἴσως ἐρεῖ τις. Σὺ δὲ ἀνάγνωθι ἐπιστατικώτερον τὸ κ'. κεφ. τοῦ ά. τίτλου τοῦ γ'. βιβλίου, λέγον ἐν μέρει οὕτω· Κελεύομεν πᾶσι τρόποις, μίαν σύνοδον γίνεσθαι καθ' ἕκαστον ἔτος ἐν ἑκάστῃ ἐπαρχίᾳ, ἢ τῷ Ἰουνίῳ, ἢ τῷ Σεπτεμβρίῳ μηνὶ, καὶ συνιέναι παρὰ μὲν τοῖς μακαριωτάτοις πατριάρχαις ἐκείνους τοὺς παρ' αὐτῶν μὲν χειροτονουμένους, μὴ ἔχοντας δὲ δίκαιον ἄλλους ἐπισκόπους χειροτονεῖν· παρὰ δὲ τοῖς ὁσιωτάτοις μητροπολίταις ἑκάστης ἐπαρχίας τοὺς ὑπ' αὐτῶν χειροτονουμένους. Σημείωσαι οὖν ἀπὸ ταύτης τῆς νεαρᾶς τὴν αἰτίαν, δι ἣν λέγονται ἐπαρχιῶται τοῦ πατριάρχου Κωνσταντινουπόλεως, ὁ Δέρκου, ὁ Μεσσήνης, ὁ Παρίου, ὁ Ἄπρου, καὶ ἄλλοι τινὲς ἀρχιεπίσκοποι καὶ μητροπολῖται, μὴ ἔχοντες ἐπισκόπους· οὗτοι γὰρ ἀναγκάζονται καὶ μόνοι παρὰ τῷ πατριάρχῃ ἅπαξ τοῦ ἐνιαυτοῦ συνέρχεσθαι, τὰς δὲ λοιπὰς αἰτίας τὰς παρά τινων λεγομένας μὴ παραδέχου. Ἀνάγνωθι καὶ τὸ τέλος τοῦ ῥηθέντος κ'. κεφαλαίου, διοριζομένου ἐσχάτας τιμωρίας ὑφίστασθαι τοὺς ἄρχοντας, τοὺς μὴ καταναγκάζοντας τοὺς ἐπισκόπους τὰς τοιαύτας συνόδους ποιεῖν.

ΑΡΙΣΤ. Ἐπεὶ μὴ δὶς δυνατὸν, ἅπαξ ἑκάστου ἔτους γινέσθω σύνοδος, μέσον τοῦ Πάσχα καὶ τοῦ Ὀκτωβρίου μηνός.

Διὰ τὰς προσπιπτούσας δυσχερείας τοῖς ἐπισκόποις, καὶ τὰς τῶν βαρβάρων ἐπιδρομὰς, τὸ δὶς τοῦ ἔτους γίνεσθαι σύνοδον ὑπὸ τοῦ παρόντος συνεστάλη κανόνος· καὶ ὡρίσθη ἅπαξ ἐφ' ἑκάστῳ ἐνιαυτῷ γίνεσθαι σύνοδον, μεταξὺ τοῦ Πάσχα καὶ τοῦ Ὀκτωβρίου μηνός.

Κανὼν Θ'.

Μηδενὶ ἐξεῖναι κληρικῷ, καπηλικὸν ἐργαστήριον ἔχειν. Εἰ γὰρ τῷ τοιούτῳ εἰσιέναι ἐν καπηλείῳ οὐκ ἐπιτέτραπται, πόσῳ μᾶλλον ἄλλοις ἐν τούτῳ διακονεῖσθαι, καὶ ἃ μὴ θέμις αὐτῷ ἐγχειρεῖν; εἰ δέ τι τοιοῦτον διαπράξοιτο(1), ἢ παυσάσθω, ἢ καθαιρείσθω.

ΖΩΝΑΡ. Τὸ ἔχειν καπηλικὸν ἐργαστήριον κληρικὸν, νοητέον

(1) διαπράξαιτο Σ. Ρ.

τὸ δι ἑαυτοῦ ἐνεργεῖν αὐτὸν ἐν αὐτῷ καὶ ὑπηρετεῖν· οὐ γὰρ εὔσχημον, ἀλλὰ καὶ λίαν ἐστὶν ἀπρεπὲς, τὸ καπηλείου προΐστασθαι κληρικὸν, καὶ τοὺς εἰς αὐτὸ εἰσιόντας ὑποδέχεσθαι, καὶ βρώματα παρατιθέναι αὐτοῖς, καὶ οἶνον ἐγχέειν· ᾧ γὰρ ἀπηγόρευται τὸ ὅλως εἰς καπηλεῖον εἰσέρχεσθαι, κατὰ τὸν νδ'. κανόνα τῶν ἁγίων Ἀποστόλων, πῶς οὗτος ἐν αὐτῷ διηνεκῶς ἔσται ἀναστρεφόμενος; τὸν δὲ τοῦτο ποιοῦντα, ἢ παύεσθαι βούλεται ὁ κανὼν, ἢ καθαιρεῖσθαι· εἰ δέ τις κληρικὸς, τοιοῦτο ἐργαστήριον ἔχων, ἑτέρῳ αὐτὸ ἐκμισθώσει, περὶ τὴν οἰκείαν κατάστασιν οὐ βλαβήσεται.

ΒΑΛΣ. Ὁ μὲν νδ'. κανὼν τῶν ἁγίων Ἀποστόλων, ἀφορίζεσθαι λέγει τοὺς ἐσθίοντας ἐν καπηλείῳ κληρικούς· ὁ δὲ παρὼν κανὼν διορίζεται, μὴ ἔχειν κληρικὸν καπηλικὸν ἐργαστήριον, ἤγουν μὴ ἐνεργεῖν ἐμπορίαν καπηλικήν· εἰ γὰρ κατὰ δεσποτείαν ἔχει καπηλικὸν ἐργαστήριον, καὶ πρὸς ἑτέρους τοῦτο ἐκδίδωσι, καινὸν οὐκ ἔστι· τοῦτο γὰρ καὶ παρὰ μοναστηρίων, καὶ ἐκκλησιῶν διαφόρων γίνεται· ὥστε τὸ ἔχειν ἐνταῦθα ἀντὶ τοῦ ἐνεργεῖν ἐκλάμβανε. Ἐπεὶ δὲ ἕτερόν ἐστι τὸ εἰσέρχεσθαι ἐν καπηλείῳ ἀλλοτρίῳ, καὶ ἐσθίειν, καὶ ἕτερον τὸ ἐμπορεύεσθαι καπηλικὴν τέχνην, ἐν μὲν τῷ ἀποστολικῷ κανόνι ἀφορίζεσθαί φησι τὸν ἐσθίοντα ἐν καπηλείῳ κληρικὸν, καὶ μετὰ παραγγελίαν μὴ διορθούμενον, πάντως διὰ τὸ μετριώτερον τοῦ ἁμαρτήματος· τὸν δὲ ἐνεργοῦντα κληρικὸν καπηλικὸν ἐργαστήριον, μὴ διορθούμενον μετὰ παραγγελίαν, καθαιρεῖσθαί φησιν ὁ παρὼν κανὼν, πάντως διὰ τὸ βαρύτερον τοῦ ἁμαρτήματος. Ἀνάγνωθι τὰ παραγραφέντα ἐν τῷ ῥηθέντι νδ'. ἀποστολικῷ κανόνι, καὶ συνόδου Λαοδικείας κανόνα κδ'. συνόδου Καρθαγένης κανόνα μ'. καὶ βιβλίου δ'. τῶν βασιλικῶν, τίτλον ά. κεφ. τελευταῖον, ὅπερ κατεστρώθη ἔξωθεν τοῦ λέ. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος.

ΑΡΙΣΤ. Εἰ εἰσιέναι ἐν καπηλείῳ κεκώλυται κληρικὸς, καὶ ἔχειν κωλυθήσεται μᾶλλον· ἢ τοίνυν παυθήσεται, ἢ καθαιρεθήσεται.

Οὐκ ἔξεστι κληρικῷ καπηλικὸν ἐργαστήριον ἔχειν, καὶ ἐνεργεῖν ἐν αὐτῷ· εἰ γὰρ κεκώλυται ἐν ἀλλοτρίῳ καπηλείῳ εἰσέρ-

χεσθαι, εἰ μὴ δι᾽ ἀνάγκην τοῦτο ποιήσει, πολλῷ πλέον ἔχειν αὐτὸν καπηλεῖον οὐ χρὴ, καὶ ἄλλοις ἐν τούτῳ διακονεῖν· ὁ δὲ τολμῶν τοῦτο πράττειν, καὶ μὴ ὑπακούων παυθῆναι, καθαιρεθήσεται.

Κανὼν Ι΄.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τόκους, ἢ τὰς λεγομένας ἑκατοστὰς λαμβάνων, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

ΖΩΝΑΡ. Ὁ δὲ τῆς ά. συνόδου ἑπτακαιδέκατος κανὼν, οὐ τοὺς ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους μόνον κωλύει λαμβάνειν τόκους, ἀλλὰ καὶ τοὺς ἐν τῷ κανόνι ἐξεταζομένους· ἔνθα καὶ τί ἐστιν ἑκατοστὴ ἡρμήνευται, καὶ πλατύτερον τὰ περὶ τοῦ κανόνος ἐξήγηται· καὶ ζητητέον ἐκεῖνα· τὰ αὐτὰ δὲ καὶ ὁ τέταρτος κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου κελεύει.

ΒΑΛΣ. Ἐν τῷ ιζ΄. κανόνι τῆς ά. συνόδου, ἱκανῶς ἐγράψαμεν περὶ πάντων τῶν ἱερωμένων, τῶν λαμβανόντων τόκους, ἢ καὶ ἕτερόν τι αἰσχρὸν κέρδος ἑαυτοῖς ἐπινοουμένων· καὶ ἀνάγνωθι τὰ ἐν ἐκείνῳ γραφέντα, καὶ εὑρήσεις τὴν λύσιν τῆς δοκούσης ἐναντιοφανείας ἐκείνου τε τοῦ κανόνος, καὶ τοῦ παρόντος. Ὁ μὲν γὰρ παρὼν κανὼν, καὶ ὁ ἀποστολικὸς μδ΄. ἢ παύσασθαι, ἢ καθαιρεῖσθαί φασι τὸν τοιοῦτόν τι ποιοῦντα· ὁ δὲ ιζ΄. κανὼν τῆς ά. συνόδου καθαιρεῖσθαι τοῦτόν φησιν· ἀνάγνωθι καὶ τὸ κζ΄. κεφάλαιον τοῦ θ΄. τίτλου τοῦ παρόντος συντάγματος.

ΑΡΙΣΤ. Ἐπίσκοπος, πρεσβύτερος, καὶ διάκονος τόκους λαμβάνων, εἰ μὴ παύοιτο, καθαιρείσθω. Σαφής.

Κανὼν ΙΑ΄.

Μηδεὶς τῶν ἐν ἱερατικῷ καταλεγομένων(1) τάγματι, ἢ λαϊκὸς, τὰ παρὰ τῶν Ἰουδαίων ἄζυμα ἐσθιέτω, ἢ τούτοις (2) προσοικειούσθω, ἢ ἐν νόσοις προσκαλείσθω (3), καὶ

---

(1) Π. Βευερ. Ἑ. Κ. — τὸ, καταλεγομένων, οὐ κεῖται ἐν Χ. Τρ. Βρ. — (2) Π. Βευερ. Ἑ. Κ. — ἢ τοιούτους, Βρ. Χ. Τρ. — (3) Π. Βευερ. Ἑ. Κ, — τὸ, ἢ ἐν νόσοις προσκαλείσθω, οὐχ εὕρηται παρὰ Βρ.

ἰατρείας παρ' αὐτῶν λαμβανέτω, ἢ ἐν βαλανείοις (1) τούτοις παντελῶς συλλουέσθω· εἰ δέ τις τοῦτο πρᾶξαι ἐπιχειροίη, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΖΩΝΑΡ. Καὶ ὁ ἑβδομηκοστὸς κανὼν τῶν ἁγίων Ἀποστόλων ὁρίζει, μήτε συνεορτάζειν τοῖς Ἰουδαίοις, μήτε τινὰ παρ' αὐτῶν δέχεσθαι ξένια τῶν παρ' αὐτοῖς ἑορτῶν· οὗτος δὲ ὁ κανὼν, οὐδὲ οἰκειοῦσθαι αὐτοῖς, ἀντὶ τοῦ φιλιοῦσθαι, συγχωρεῖ, οὔτε παρ' αὐτῶν ἰατρεύεσθαι νοσοῦντας, οὔτε συλλούεσθαι ὅλως αὐτοῖς· καὶ ὁ λϐ'. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου ἀπαγορεύει αἱρετικῶν εὐλογίας λαμβάνειν· καὶ ὁ λζ'. τῆς αὐτῆς συνόδου κανὼν, καὶ ὁ λή. μὴ δεῖν, φησὶ, παρὰ Ἰουδαίων ἢ αἱρετικῶν τὰ πεμπόμενα ἑορταστικὰ λαμβάνειν, μηδὲ συνεορτάζειν αὐτοῖς, ἢ ἄζυμα λαμβάνειν, καὶ κοινωνεῖν ταῖς ἀσεβείαις αὐτῶν· ἐπάγει δὲ ὁ κανὼν οὗτος τοῖς παραβαίνουσι τὰ ὡρισμένα κόλασιν, τοῖς μὲν ἐν κλήρῳ καθαίρεσιν, τοῖς δὲ λαϊκοῖς ἀφορισμόν.

ΒΑΛΣ. Μηδεμίαν κοινωνίαν ἔχειν ἡμᾶς μετὰ τῶν Ἰουδαίων οἱ θεῖοι Πατέρες θέλοντες, διορίζονται μὴ συνεορτάζειν τούτοις ἡμᾶς, μηδὲ λαμβάνειν καὶ ἐσθίειν τὰ παρ' αὐτῶν τηνικαῦτα γινόμενα ἄζυμα, μηδὲ ἰατρεύεσθαι παρὰ τούτων, ἢ συλλούεσθαι· τοὺς δὲ ποιοῦντας παρὰ ταῦτα, κληρικοὺς μὲν ὄντας, παρακελεύονται καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἀφορίζεσθαι· ζήτει τῆς ἐν Λαοδικείᾳ συνόδου κανόνα λά. λϐ'. λζ'. καὶ λή. καὶ τῶν ἁγίων Ἀποστόλων κανόνα ό. καὶ τὴν ἑρμηνείαν αὐτοῦ. Καὶ μή τις λεγέτω, ὡς ἐκεῖνα τὰ ἄζυμα ἐκωλύθησαν ἐσθίεσθαι, τὰ παρὰ τῶν αἱρετικῶν διδόμενα, οὐ μὴν τὸ γίνεσθαι θυσίαν διὰ ἀζύμων, ἢ ἁπλῶς τὸ ἐσθίειν ἄζυμα, ὅτι καὶ ἡμεῖς ἀδιαφόρως (2) ἐσθίομεν ἄζυμα, τὰ λεγόμενα λειπανάβατα· ἀκούσει γὰρ, ὡς οὐ τὸ ἐσθίειν ἄζυμα κεκώλυται, ἀλλὰ τὸ διὰ ἀζύμων κατὰ τοὺς Ἰουδαίους ἑορτάζειν· ποία δὲ μείζων ἑορτὴ τῆς ἀναιμάκτου θυσίας ἐστὶν, ἣν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἡμῖν παρέδωκε κατὰ τὸν

---

(1) βαλανείῳ Βρ. — (2) Χ. Τρ. — διαφόρως Βευερ.

καιρὸν τοῦ θανάτου αὐτοῦ, καὶ τῆς πασχαλίου ἑορτῆς; Ὅτι δὲ οὐδὲ εἰς νοῦν ἦλθε τοῖς ἁγίοις Πατράσι τὸ ἑορτάζειν ἡμᾶς διὰ ἀζύμων, καθὼς τοῦτο καὶ παρὰ τῶν Ἰουδαίων γίνεται, τῶν ὁρισθέντων, μετὰ ἀμνοῦ, καὶ ἀζύμων, καὶ πικρίδων, τὴν τοῦ Πάσχα ποιεῖν ἑορτὴν, δῆλόν ἐστιν ἀπὸ τοῦ καταργῆσαι αὐτοὺς πᾶσαν ἰουδαϊκὴν ἑορτήν. [Σημείωσαι] *τὸν παρόντα κανόνα* (1) διὰ τοὺς Λατίνους, τοὺς ἑορτάζοντας μετὰ ἀζύμων, καὶ διὰ τοὺς ἰατρευομένους παρὰ Ἰουδαίων, καὶ παρὰ αἱρετικῶν (2)· πάντες γὰρ οὗτοι ἀφωρισμένοι εἰσίν (3). Σημείωσαι τὸν παρόντα κανόνα διδάσκοντα περὶ τῶν ἀζύμων· καὶ ὅτι οἱ παρὰ Ἰουδαίων ἢ ἄλλων αἱρετικῶν ἰατρευόμενοι, κολάζονται (4).

ΑΡΙΣΤ. Ἄζυμα Ἰουδαίων ἀπόπτυστα· ὁ δὲ καὶ ἰατροὺς αὐτοὺς προσκαλούμενος, ἢ συλλουόμενος, ἔκπτωτος.

Οὐδεμία χριστιανοῖς κοινωνία πρὸς Ἰουδαίους· διὰ τοῦτο γοῦν, ὅστις εὑρεθῇ τὰ τούτων ἄζυμα ἐσθίων, ἢ εἰς ἰατρείαν αὐτοὺς προσκαλούμενος, ἢ συλλουόμενος τούτοις, ἢ ἄλλως πως αὐτοῖς οἰκειούμενος, εἰ μὲν κληρικός ἐστι, καθαιρεθήσεται· εἰ δὲ λαϊκὸς, ἀφορισθήσεται.

Κανὼν ΙΒ'.

Καὶ τοῦτο δὲ εἰς γνῶσιν ἡμετέραν ἦλθεν, ὡς ἔν τε τῇ Ἀφρικῇ καὶ Λιβύῃ, καὶ ἑτέροις τόποις, οἱ τῶν ἐκεῖσε θεοφιλέστατοι πρόεδροι, συνοικεῖν ταῖς ἰδίαις γαμεταῖς, καὶ μετὰ τὴν ἐπ' αὐτοῖς (5) προελθοῦσαν χειροτονίαν, οὐ παραιτοῦνται, πρόσκομμα τοῖς λαοῖς (6) τιθέντες, καὶ σκάνδαλον. Πολλῆς οὖν ἡμῖν σπουδῆς οὔσης, τοῦ πάντα πρὸς ὠφέλειαν τῶν ὑπὸ χεῖρα ποιμνίων διαπράττεσθαι, ἔδοξεν, ὥστε μηδαμῶς τὸ τοιοῦτον ἀπὸ τοῦ νῦν γίνεσθαι. Τοῦτο

(1) Τὰ ἐν ἀστερίσκοις εὕρηνται ἐν Χ. Τρ. οὐ κεῖνται δὲ παρὰ Βευερ. Ἅπασα δὲ ἡ περικοπὴ, ἡ ἀπὸ τοῦ, διὰ τοὺς Λατίνους ἕως τοῦ, Σημείωσαι, οὐχ εὕρηται παρὰ Ἑ. ἀλλ' ἐν Χ. Τρ. καὶ παρὰ Βευερ. — (2) Χ. Τρ. — ἢ λοιπῶν αἱρετικῶν Βευερ. — (3) Μετὰ τὸ, αἱρετικῶν, τὸ Χ. Τρ. φέρει, ἀκοινώνητοι γὰρ, ἤτοι ἀφωρισμένοι οὗτοι πάντες εἰσί. — (4) Τὰ ἀπὸ τοῦ, Σημείωσαι, οὐ κεῖται ἐν Χ. Τρ. — (5) Π. Χ. Τρ. — ἐπ' αὐτοὺς Βρ. Βευερ. — (6) Χ. Τρ. Βρ. — τοῖς ἄλλοις Π. Ἑ. Κ. — τοῖς ἐντεῦθεν ἄλλοις Βευερ.

δέ φαμεν οὐκ ἐπ' ἀθετήσει, ἢ ἀνατροπῇ τῶν ἀποστολικῶς νενομοθετημένων, ἀλλὰ τῆς σωτηρίας καὶ τῆς ἐπὶ τὸ κρεῖττον προκοπῆς τῶν λαῶν (1) προμηθούμενοι (2), καὶ τοῦ μὴ δοῦναι μῶμόν τινα (3) κατὰ τῆς ἱερατικῆς καταστάσεως. Φησὶ γὰρ ὁ θεῖος Ἀπόστολος (4)· Πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε· ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ· καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι· μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ· εἰ δέ τις φωραθείη τὸ τοιοῦτον πράττων, καθαιρείσθω (5).

ΖΩΝΑΡ. Ὁ πέμπτος ἀποστολικὸς κανών φησιν· Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλλέτω προφάσει εὐλαβείας· ἐὰν δὲ ἐκβάλῃ, ἀφοριζέσθω· ἐπιμένων δὲ, καθαιρείσθω. Ὁ δὲ παρὼν κανὼν κωλύει τοὺς ἀρχιερεῖς μετὰ τὴν χειροτονίαν συνοικεῖν ταῖς πρὸ τῆς ἱερωσύνης γυναιξὶν αὐτῶν, καὶ φασὶν οἱ τοῦτον ἐκθέμενοι τὸν κανόνα, ὅτι οὐκ ἀνατρέποντες τὰ νενομοθετημένα τοῖς Ἀποστόλοις, καὶ ἀντινομοθετοῦντες, κωλύομεν τοῖς ἐπισκόποις τὴν μετὰ τῶν προτέρων αὐτῶν συμβίων συνοίκησιν, ἀλλὰ θέλοντες τὴν σωτηρίαν τῶν λαῶν, καὶ τὴν ἐπὶ τὸ κρεῖττον αὐτῶν προκοπὴν, καὶ ὥστε μὴ τινα μῶμον ἐκ τούτου προστρίβεσθαι τῇ ἱερωσύνῃ· μονονουχὶ τοῦτο λέγοντες, ὅτι οἱ μὲν θεῖοι Ἀπόστολοι, ἀρχὴν ἐχούσης τῆς πίστεως, καὶ τοῦ θείου κηρύγματος οὔπω πλατυνθέντος, συγκαταβατικώτερον διετίθεντο πρὸς τοὺς τῇ πίστει προσερχομένους, καὶ οὐ πάντη ἀπῄτουν τὸ τέλειον, ἀλλ' ἐνεδίδουν τῇ ἀσθενείᾳ αὐτῶν, καὶ τοῖς ἔθεσι τοῖς ἐθνικοῖς, καὶ Ἰουδαϊκοῖς. Οἵ τε γὰρ τῶν Ἰουδαίων ἀρχιερεῖς γυναιξὶ συνοικεῖν συγκεχωρημένον εἶχον ἐκ τοῦ νόμου, καὶ τοῖς Ἑλλήνων ἀρχιερεῦσιν ὁ γάμος ἀκώλυτος ἦν. Ἄρτι δὲ τοῦ κηρύγματος πλατυνθέντος, καὶ εἰς κρείττονα κατά-

(1) Π. Ἐ. Κ. — καὶ προκοπῆς τῆς ἐπὶ τὸ κρεῖττον τῶν λαῶν Χ. Τρ. Βευερ. Βρ. — (2) Π. Χ. Τρ. Βρ. Ἐ. Κ. — προθυμούμενοι Βευερ. — (3) Π. Χ. Τρ. Βευερ. — μώμῳ τινὶ Βευερ. — (4) 1, Κορ. ΙΘ', 31. — (5) 4, Κορ. ΙΘ', 1.

στασιν καὶ τάξιν τῶν πιστῶν ἐληλυθότων, καὶ τῆς εὐαγγελικῆς πολιτείας ἐπιδιδούσης, χρῆναί φασι καὶ τοὺς ἀρχιερεῖς τὸν οἰκεῖον βίον πρὸς ἀκριβῆ σωφροσύνην ἀπευθύνειν, ὡς μὴ μόνον ἀλλοτρίων ἀπέχεσθαι γυναικῶν, ἀλλὰ καὶ τῶν πρότερον αὐτοῖς συνευναζομένων· καὶ μὴ μόνον εὐνῆς αὐταῖς μὴ κοινωνεῖν, μηδὲ μίξεως, ἀλλὰ μηδὲ συνοικεῖν αὐταῖς, καὶ ἐν τῇ αὐτῇ κατοικίᾳ συζῆν. Οἱ μὲν γὰρ ἴσως καὶ οὕτω σωφρόνως ζήσονται, ἄλλοις δὲ πρόσκομμα καὶ σκάνδαλον ἔσονται. Καὶ παράγουσιν οἱ ἱεροὶ Πατέρες ἐκεῖνοι καὶ τὸν μέγαν Παῦλον λέγοντα· Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ, καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι. Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. Εἶτα τοῖς μὴ τὸν κανόνα τοῦτον φυλάττουσιν, ἐπάγουσιν ἐπιτίμιον τὴν καθαίρεσιν.

ΒΑΛΣ. Πρὸς κρείττονα βιοτὴν προάγοντες τοὺς τῆς ἐκκλησίας τροφίμους οἱ θεῖοι Πατέρες, παρακελεύονται, πάντη ἀποδιΐστασθαι τοὺς ἀρχιερεῖς, μετὰ τὴν χειροτονίαν, τῶν ἰδίων γαμετῶν. Ἵνα δὲ μὴ δόξωσιν ὑπεναντίως ποιεῖν τῷ έ. ἀποστολικῷ κανόνι, τῷ παραχωροῦντι τοῖς ἐπισκόποις συνεῖναι ταῖς οἰκείαις γυναιξὶ μετὰ τὴν χειροτονίαν, ἐπάγουσιν· ὡς, οὐκ ἐναντιούμενοι τοῖς θείοις Ἀποστόλοις, ταῦτα διορίζονται· ἀλλ' ὡς θέλοντες τὴν ἐκκλησιαστικὴν κατάστασιν εἰς πλείονα εὐταξίαν προκόψαι· μονονουχὶ τοῦτο λέγοντες, ὅτι οἱ μὲν θεῖοι Ἀπόστολοι ἀρχὴν ἐχούσης τῆς πίστεως, συγκαταβατικώτερον διετίθεντο πρὸς τοὺς τῇ πίστει προσερχομένους· ἄρτι δὲ τοῦ εὐαγγελικοῦ κηρύγματος πλατυνθέντος, χρὴ, φασὶ, καὶ τοὺς ἀρχιερεῖς τὸν οἰκεῖον βίον ἀπευθύνειν πρὸς ἀκριβῆ σωφροσύνην. Εἰ δὲ συνοικεῖν ταῖς οἰκείαις γαμεταῖς οἱ ἐπίσκοποι οὐ παραχωροῦνται, πολλῷ πλέον κεχρῆσθαι αὐταῖς, ὡς γαμεταῖς, οὐκ ἐκχωρηθήσονται· ἀλλ' οὐδὲ μετὰ ἀλλοτρίων γυναικῶν συνοικεῖν παραχωρηθήσονται, διὰ περιαίρεσιν παντὸς σκανδάλου. Ἀνάγνωθι καὶ βιβλίον γ'. τῶν βασιλικῶν τίτλον ά. κεφ. νδ'. νέ. νς'. ἅτινα τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς ὄντα κεφ. διορίζονται, καθαιρεῖσθαι τοὺς ἐπισκόπους, οἱαδήτινι συνοικοῦντας γυναικί.

ΑΡΙΣΤ. Εἰ καὶ λέλεκται, μὴ ἐκβάλλειν γυναῖκας, ἀλλὰ τῆς ἐπὶ τὸ κρεῖττον προκοπῆς προμηθούμενοι, τῷ χειροτονουμένῳ προέδρῳ μηκέτι συνοικεῖν γυναικὶ παραγγέλλομεν.

Ὁ μὲν ἀποστολικὸς πέμπτος κανὼν, οὔτε ἐπίσκοπον, οὔτε πρεσβύτερον, ἢ διάκονον, τὴν ἑαυτοῦ γυναῖκα, προφάσει εὐλαλαβείας, ἐκβάλλειν βούλεται· ἀλλὰ καὶ τὸν τοῦτο ποιοῦντα ἐπιτιμᾷ, καὶ ἀδιόρθωτον μένοντα καθαιρεῖ. Οὗτος δὲ ὁ κανὼν οὐ συγχωρεῖ τοῖς ἐπισκόποις, μετὰ τὴν ἐπ' αὐτοῖς προελθοῦσαν τῆς ἐπισκοπῆς χειροτονίαν, ταῖς ἰδίοις συνοικεῖν γαμεταῖς, οὐκ ἐπ' ἀθετήσει καὶ ἀνατροπῇ τῶν ἀποστολικῶς νενομοθετημένων τοῦτο ποιῶν, ἀλλὰ τῆς σωτηρίας καὶ τῆς ἐπὶ τὸ κρεῖττον προκοπῆς τοῦ λαοῦ προμηθούμενος, καὶ τοῦ μὴ δοῦναι μῶμόν τινα κατὰ τῆς ἱερατικῆς καταστάσεως· πάντα γὰρ, φησὶν ὁ θεῖος Ἀπόστολος, εἰς δόξαν Θεοῦ ποιεῖτε· ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ, καθὼς ἐγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι. Μιμηταί μου γίνεσθε, καθὼς ἐγὼ Χριστοῦ· τὸν δὲ τοῦτο ταράσσοντα ἐπίσκοπον, καὶ μετὰ τὴν χειροτονίαν τῆς ἐπισκοπῆς τῇ ἰδίᾳ γαμετῇ συνοικοῦντα, καθαιρεῖσθαι προστάττει.

Κανὼν ΙΓ'.

Ἐπειδὴ τῇ Ῥωμαίων ἐκκλησίᾳ ἐν τάξει κανόνος παραδεδόσθαι διέγνωμεν, τοὺς μέλλοντας διακόνου, ἢ πρεσβυτέρου χειροτονίας ἀξιοῦσθαι, καθομολογεῖν, ὡς οὐκέτι ταῖς αὐτῶν συνάπτονται γαμεταῖς (1)· ἡμεῖς τῷ ἀρχαίῳ ἐξακολουθοῦντες κανόνι τῆς ἀποστολικῆς ἀκριβείας καὶ τάξεως, τὰ τῶν ἱερῶν ἀνδρῶν κατὰ νόμους συνοικέσια, καὶ ἀπὸ τοῦ νῦν ἐῤῥῶσθαι βουλόμεθα, μηδαμῶς αὐτῶν τὴν πρὸς γαμετὰς συνάφειαν διαλύοντες, ἢ ἀποστεροῦντες αὐτοὺς τῆς πρὸς ἀλλήλους κατὰ καιρὸν τὸν προσήκοντα ὁμιλίας. Ὥστε, εἴ τις ἄξιος εὑρεθείη πρὸς χειροτονίαν ὑποδιακόνου, ἢ διακόνου, ἢ πρεσβυτέρου, οὗτος μηδαμῶς κω-

(1) γυναιξὶ Σ. Ρ.

λυέσθω ἐπὶ τοιοῦτον βαθμὸν ἐμβιβάζεσθαι, γαμετῇ συνοικῶν νομίμῳ· μήτε μὴν ἐν τῷ τῆς χειροτονίας καιρῷ ἀπαιτείσθω (1) ὁμολογεῖν, ὡς ἀποστήσεται τῆς νομίμου πρὸς τὴν οἰκείαν γαμετὴν ὁμιλίας, ἵνα μὴ ἐντεῦθεν τὸν ἐκ Θεοῦ νομοθετηθέντα, καὶ εὐλογηθέντα (2) τῇ αὐτοῦ παρουσίᾳ γάμον καθυβρίζειν ἐκβιασθῶμεν· τῆς τοῦ Εὐαγγελίου φωνῆς βοώσης· Ἃ ὁ Θεὸς ἔζευξεν (3), ἄνθρωπος μὴ χωριζέτω (4)· καὶ τοῦ Ἀποστόλου διδάσκοντος, Τίμιον τὸν γάμον, καὶ τὴν κοίτην ἀμίαντον (5)· καί, Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν (6). Ἴσμεν δέ, ὥσπερ καὶ οἱ ἐν Καρθαγένῃ συνελθόντες, τῆς ἐν βίῳ σεμνότητος τῶν λειτουργῶν τιθέμενοι πρόνοιαν, ἔφασαν, ὥστε τοὺς ὑποδιακόνους, τοὺς τὰ ἱερὰ μυστήρια ψηλαφῶντας, καὶ τοὺς διακόνους, καὶ πρεσβυτέρους, κατὰ τοὺς ἰδίους ὅρους καὶ ἐκ τῶν συμβίων ἐγκρατεύεσθαι· ἵνα καὶ τὸ διὰ τῶν Ἀποστόλων παραδοθέν, καὶ ἐξ αὐτῆς τῆς ἀρχαιότητος κρατηθὲν (7), καὶ ἡμεῖς ὁμοίως φυλάξωμεν, καιρὸν ἐπὶ παντὸς ἐπιστάμενοι πράγματος, καὶ μάλιστα νηστείας καὶ προσευχῆς. Χρὴ γὰρ τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας, ἐν τῷ καιρῷ τῆς τῶν ἁγίων μεταχειρήσεως, ἐγκρατεῖς εἶναι ἐν πᾶσιν, ὅπως δυνηθῶσιν, ὃ παρὰ τοῦ Θεοῦ ἁπλῶς αἰτοῦσιν ἐπιτυχεῖν. Εἴ τις οὖν τολμήσοι παρὰ τοὺς ἀποστολικοὺς κανόνας κινούμενος, τινὰ τῶν ἱερωμένων, πρεσβυτέρων, φαμέν, ἢ διακόνων, ἢ ὑποδιακόνων, ἀποστερεῖν τῆς πρὸς τὴν νόμιμον γυναῖκα συναφείας τε καὶ κοινωνίας, καθαιρείσθω· ὡσαύτως καὶ εἴ τις πρεσβύτερος, ἢ διάκονος, τὴν ἑαυτοῦ γυναῖκα προφάσει εὐλαβείας ἐκβάλλει, ἀφοριζέσθω· ἐπιμένων δέ, καθαιρείσθω.

---

(1) ὁ τοιοῦτος Σ. Ῥ. — (2) καὶ εὐλογηθέντα, οὐ κεῖται ἐν Χ. Τρ. — (3) Ἐ. Κ. Βευερ. Βρ. Χ. Τρ.—συνέζευξεν Π. — (4) Ματθ. ΙΘʹ, 5. — (5) Ἑβρ. ΙΓʹ, 4. — (6) 1. Κορ. Ζʹ, 27. — (7) τό, καὶ ἐξ αὐτῆς τῆς ἀρχαιότητος κρατηθέν, οὐ κεῖται παρὰ Σ. Ῥ.

ΖΩΝΑΡ. Ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ, φασὶν οἱ θεῖοι Πατέρες ἔθος κρατῆσαι, καὶ ὡς κανόνα ἐκείνοις κρίνεσθαι, τοὺς χειροτονουμένους ἱερεῖς, καὶ διακόνους, συντίθεσθαι καὶ ὁμολογεῖν ἀπέχεσθαι τελείως μετὰ τὴν χειροτονίαν, τῶν πρότερον αὐτοῖς συζευχθεισῶν γυναικῶν· τοῦτο δὲ ἡμεῖς οὐκ ἀπαιτοῦμέν φασιν, ἀλλὰ τῷ κανόνι τῷ ἀποστολικῷ ἀκολουθοῦντες, τὰ νόμιμα συνοικέσια τῶν εἰς ἱερωσύνην ἐρχομένων κρατεῖν βουλόμεθα, καὶ ἐῤῥωμένα εἶναι, καὶ ἀδιάλυτα, καὶ οὐκ ἀποστεροῦμεν αὐτοὺς τῆς πρὸς ἀλλήλους συναφείας, καὶ κατὰ τὸν προσήκοντα καιρὸν ὁμιλίας. Ὃς τοίνυν ἄξιος φανείη χειροτονίας πρεσβυτέρου, ἢ διακόνου, ἢ ὑποδιακόνου, ἔχων γυναῖκα οὐ κωλυθήσεται τῆς τοιαύτης χειροτονίας· οὔτε ἀπαιτηθήσεται ὁμολογῆσαι, ὡς ἀποστήσεται τῆς πρὸς τὴν οἰκείαν γαμετὴν ὁμιλίας· ὡς ἂν μὴ ἐντεῦθεν διαβάλλοιτο ὁ γάμος, ὃν ὁ Κύριος παρουσιάσας, καὶ ἐν αὐτῷ θαυματουργήσας, εὐλόγησε. Καὶ ἑτέραις δὲ γραφικαῖς ῥήσεσι κέχρηνται περὶ τοῦ γάμου· εἶτα ὃ εἶπον ἀνωτέρω περὶ τοῦ κατὰ τὸν προσήκοντα καιρὸν ὁμιλεῖν ταῖς γαμεταῖς τοὺς ἱερωμένους, σαφηνίζουσι· καὶ μέμνηνται τῆς ἐν Καρθαγένῃ συνόδου, διαταξαμένης τοὺς τὰ ἱερὰ ψηλαφῶντας, ἤτοι μεταχειριζομένους, κατὰ τοὺς ἰδίους ὅρους, ἤγουν κατὰ τὰς ἐφημερίας αὐτῶν, καὶ τοὺς καιρούς, καθ' οὓς ἱερουργοῦσιν, ἐκ τῶν συμβίων ἐγκρατεύεσθαι. Καὶ ὁ γ΄. δὲ κανὼν τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας Διονυσίου τὰ αὐτὰ διατάττεται· *εἶτα ἐπάγουσιν· ἵνα δυνηθῶσιν, ὃ παρὰ τοῦ Θεοῦ ἁπλῶς, ἀντὶ τοῦ, ἀδιστάκτως καὶ οὐ διακρινόμενοι αἰτοῦσιν, ἐπιτυχεῖν* (1)· καὶ ἐπὶ τούτοις ἀπειλοῦσιν οἱ τὸν κανόνα θέμενοι Πατέρες τοῖς ἀποστερεῖν ἐπιχειροῦσι πρεσβυτέρους, ἢ διακόνους, ἢ ὑποδιακόνους, τῆς πρὸς τὴν νόμιμον γυναῖκα συναφείας εἰς τὸ παντελὲς, καθαίρεσιν. Ἀλλ' οὐδὲ τοῖς εἰρημένοις ἱερωμένοις συγχωρεῖ τὰς οἰκείας γυναῖκας ἐκβάλλειν προφάσει εὐλαβείας· ἀφορίζει γὰρ τοὺς τοιούτους μέχρις ἂν προσλάβωνται αὖθις τὰς οἰκείας συμβίους· ἐπιμένοντας δὲ, καθαιρεῖ.

ΒΑΛΣ. Κωλύσαντες οἱ θεῖοι Πατέρες τοὺς ἐπισκόπους μετὰ τὴν χειροτονίαν ταῖς οἰκείαις συνοικεῖν γυναιξὶν, ὑποδιαστέλλουσι

(1) Τὰ ἐντὸς ἀστερίσκων οὐ κεῖνται παρὰ Βευερ. οὐδὲ Κ. ἀλλ' ἐν Χ. Γρ.

τὰ περὶ τῶν διακόνων, καὶ τῶν ἱερέων· καὶ διορθούμενοι ὥσπερ τὸ γινόμενον χάριν τούτων εἰς τὴν τῶν Ῥωμαίων ἐκκλησίαν, δηλονότι τὸ ἀναγκάζεσθαι καὶ τούτους μετὰ τὴν χειροτονίαν ἀπέχειν ἐκ τῶν πρότερον συζευχθεισῶν αὐτοῖς γυναικῶν· ἀναστέλλοντες δὲ καὶ τοὺς ἴσως μέλλοντας εἰπεῖν, κωλύεσθαι καὶ τούτους συνεῖναι ταῖς οἰκείαις γυναιξὶν, ὥσπερ δὴ κεκώλυνται καὶ οἱ ἀρχιερεῖς, διορίζονται, τοὺς ἀξίους χειροτονίας μὴ ἀποζευγνύεσθαι ἐκ τῶν προτέρων νομίμων γυναικῶν αὐτῶν. Προστιθέασι δὲ, μὴ ἔχειν τούτους τὴν μετὰ τῶν ὁμοζύγων αὐτῶν συνάφειαν ἀδιάφορον· ἀλλὰ ἀποδιίστασθαι τούτων, κατὰ τὸν καιρὸν τῆς ἐφημερίας αὐτῶν, ἤγουν καθ' οὓς ἱερουργοῦσι καιρούς· ὥσπερ τοῦτο διωρίσατο καὶ ἡ ἐν Καρθαγένῃ σύνοδος ἐν τῷ γ'. καὶ δ'. καὶ κή. κανόνι, καὶ ὁ γ'. κανὼν τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας Διονυσίου. Τοὺς δὲ τολμῶντας ἀποστερεῖν μετὰ τὴν χειροτονίαν τοὺς διακόνους καὶ τοὺς ἱερεῖς τῆς μετὰ τῶν προτέρων νομίμων γυναικῶν αὐτῶν συναφείας, καθαιρεῖσθαί φασι· προσέτι γε μὴν, καὶ αὐτοὺς τοὺς χειροτονουμένους, προφάσει εὐλαβείας, τὰς γυναῖκας αὐτῶν ἐκβάλλοντας, ἀφορίζεσθαι διορίζονται· ἐπιμένοντας δὲ τῷ κακῷ, ἤγουν μὴ προσλαμβανομένους ταύτας, καὶ καθαιρεῖσθαι. Ὑπέξελέ μοι τοὺς ἐν ταῖς βαρβαρικαῖς ἐκκλησίαις ἱερεῖς· καὶ ἀνάγνωθι τὸν λ'. κανόνα τῆς παρούσης συνόδου περὶ τούτων θεσμοθετοῦντα. Μὴ ἐναντιωθῇς δὲ τῷ γ'. κανόνι τῆς ἐν Καρθαγένῃ συνόδου, λέγοντι κωλύεσθαι τῆς μετὰ τῶν ὁμοζύγων αὐτῶν συναφείας, κατὰ τὸν καιρὸν τῆς ἐφημερίας αὐτῶν, ἐπισκόπους, πρεσβυτέρους, καὶ διακόνους· ὁ γὰρ δ'. κανὼν τῆς αὐτῆς συνόδου, καὶ ὁ κή, καὶ ὁ παρὼν, καὶ τοὺς ὑποδιακόνους προστίθησι. [Σημείωσαι, ὅτι καὶ ἀπὸ τοῦ παρόντος κανόνος ἀναγκάζονται οἱ ἱερεῖς, οἱ διάκονοι, καὶ οἱ ὑποδιάκονοι, ὡς τὰ ἱερὰ μεταχειριζόμενοι, ἐγκρατεύεσθαι (1), *τουτέστι μὴ συνάπτεσθαι* ταῖς ἰδίαις γυναιξὶ (2) κατὰ τὸν καιρὸν τῆς ἐφημερίας αὐτῶν. Οἱ γοῦν διόλου καὶ σχεδὸν καθ' ἑκάστην λειτουργοῦντες, καὶ ψηλαφῶντες τὰ ἅγια, τί ἀπολογήσονται; Ἀνάγνωσον καὶ ζήτει γ'. δ'. καὶ κή. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου καὶ τὰ ἐν αὐτοῖς (3).

(1) Χ. Τρ. — ἀπέχεσθαι Βευερ. — (2) Χ. Τρ. — (3) Ἡ σημείωσις αὕτη κεῖται ἐν Χ. Τρ. ἐν περισελίδῳ, οὐχ εὕρηται δὲ παρὰ Ε. ἀλλὰ παρὰ Βευερ. μόνον.

ΑΡΙΣΤ. Κἂν οἱ Ῥωμαῖοι τὸν εἰς διάκονον, ἢ πρεσβύτερον προαγόμενον, ἀφεῖναι τὴν γυναῖκα βεβούληνται· ἡμεῖς ἐῤῥῶσθαι τὰ διακόνων, καὶ πρεσβυτέρων, βουλόμεθα συνοικέσια. Ὁ δὲ βιαζόμενος λῦσαι, καθῃρημένος (1).

Εἰ καὶ ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ, ὡς ἐν τάξει κανόνος, κρατεῖ τὸ, τὸν μέλλοντα γενέσθαι, πρεσβύτερον, ἢ διάκονον, πρὸ τῆς χειροτονίας ὁμολογεῖν τὸ μηκέτι συνάπτεσθαι τῇ αὐτοῦ γαμετῇ, ἀλλὰ τὴν πρὸς αὐτὴν συνάφειαν διαλύειν· ἀλλ' οὖν ὡς ἐναντιούμενον καὶ τῇ εὐαγγελικῇ καὶ τῇ ἀποστολικῇ ἀκριβείᾳ, ἄδεκτόν ἐστι καὶ τῷ παρόντι κανόνι· καὶ διορίζεται μηδαμῶς τοὺς πρεσβυτέρους καὶ διακόνους τὰ κατὰ νόμους συστάντα συνοικέσια διαλύειν· ἀλλὰ τὴν πρὸς τὰς γαμετὰς αὐτῶν συνάφειαν διατηρεῖν, ἀπέχεσθαι δὲ τῆς πρὸς αὐτὰς ὁμιλίας κατὰ τὸν καιρὸν τὸν προσήκοντα, τουτέστιν ἐν τῷ καιρῷ τῆς νηστείας, καὶ τῆς τῶν ἁγίων μεταχειρήσεως· ὅπως δυνηθῶσιν, ὃ παρὰ τοῦ Θεοῦ αἰτοῦσιν ἁπλῶς, ἐπιτυχεῖν· τὸν δὲ ἐπιχειρήσαντα προφάσει εὐλαβείας τὴν ἑαυτοῦ ἐκβαλεῖν γυναῖκα, ἀφορίζεσθαι· εἶτα καὶ ἀδιόρθωτον μένοντα, καθαιρεῖσθαι, κατὰ τὸν ἀποστολικὸν πέμπτον κανόνα.

Κανὼν ΙΔʹ.

Ὁ τῶν ἁγίων καὶ (2) θεοφόρων ἡμῶν Πατέρων κρατείτω κανὼν καὶ ἐν τούτῳ (3), ὥστε πρεσβύτερον πρὸ τῶν τριάκοντα ἐτῶν μὴ χειροτονεῖσθαι, κἂν πάνυ ᾖ ὁ ἄνθρωπος ἄξιος, ἀλλ' ἀποτηρεῖσθαι (4). Ὁ γὰρ Κύριος Ἰησοῦς Χριστὸς ἐν τῷ τριακοστῷ ἔτει ἐβαπτίσθη, καὶ ἤρξατο διδάσκειν· ὁμοίως μήτε διάκονος πρὸ τῶν εἰκοσιπέντε χρόνων, ἢ (5) διακόνισσα πρὸ τῶν τεσσαράκοντα ἐτῶν (6) χειροτονείσθω.

—

Κανὼν ΙΕʹ.

Ὑποδιάκονος μὴ ἧττον (7) τῶν εἴκοσι ἐτῶν (8) χειρο-

(1) Οὐ κεῖται παρὰ Βευερ. ἡ τελευταία φράσις, ἀλλὰ παρὰ Β. ἐπιτομὴ Ἀρισ. καὶ Συμ.—(2) Ὁ, καὶ, οὐχ εὕρηται ἐν Χ. Τρ. Βρ. — (3) ἐν τούτοις Βευερ.—(4) Π. Χ. Τρ. Βρ. Σ. Ῥ. — ἀποστερεῖσθαι Βευερ. Ε. — (5) μήτε διακόνισσα Χ. Τρ. Βρ.—μήτε διάκονον, ... ἢ διακόνισσαν ... χειροτονεῖσθαι. Βευερ. —(6) χρόνων Χ. Τρ. —(7) ἥττων Χ. Τρ. Βρ. — (8) χρόνων Χ. Τρ. Βρ. Βευερ.—τῶν εἰκοσιπέντε ἐνιαυτῶν Σ. Ῥ.

τονείσθω· εἰ δέ τις τῶν ἐν οἱᾳοῦν ἱερατικῇ καταστάσει παρὰ τοὺς ὁρισθέντας χειροτονηθείη χρόνους, καθαιρείσθω.

ΖΩΝΑΡ. Οἱ κανόνες οὗτοι τοὺς χρόνους τάσσουσι τῶν χειροτονουμένων· καὶ τὸν μὲν πρεσβύτερον, τριακονταετῆ χειροτονεῖσθαι ὁρίζουσι, τὸν δὲ διάκονον, κέ. γεγονότα ἐτῶν, τὴν δὲ διακόνισσαν, τεσσαρακοστὸν ἀνύσασαν ἐνιαυτόν· πρὸ δὲ τῶν χρόνων τούτων μὴ χειροτονεῖσθαι αὐτούς, κἂν πάνυ δόξωσιν ἄξιοι τῆς χειροτονίας, ἀλλ' ἀποτηρεῖσθαι, φυλάττεσθαι δηλαδή, ἀναμένοντας καὶ τὴν ἀπὸ τοῦ χρόνου τελείωσιν· ὑποδιάκονον δέ, εἰκοσαετῆ χειροτονεῖσθαι. Εἰ δέ τις πρὸ τῶν ὁρισθέντων χρόνων χειροτονηθείη, τῆς τῶν κανόνων παραβάσεως ἐπιτίμιον* (1) ὑφέξει τὴν καθαίρεσιν. Καὶ ὁ ιέ. δὲ τῆς τετάρτης συνόδου κανὼν ὁμοίως περὶ τοῦ χρόνου τῶν διακονισσῶν διατάττεται.

ΒΑΛΣ. Σημείωσαι, ὅτι ἀπὸ τῶν παρόντων δύο κανόνων καθαιρέσει καθυποβάλλονται οἱ παρὰ τοὺς ὁρισθέντας τοῖς κανόσι χρόνους χειροτονούμενοι. Οἱ παρόντες δύο κανόνες ὁ ιδ'. καὶ ιέ. τοὺς χρόνους ὑποτυποῦσι τῶν ἐν τῷ βήματι ἐξυπηρετούντων, ἤγουν ἱερέων, διακόνων, ὑποδιακόνων, καὶ διακονισσῶν· καὶ διορίζονται, τὸν πρεσβύτερον, τριακονταετῆ γεγονότα, χειροτονεῖσθαι· τὸν διάκονον, κέ. χρόνων· τὸν ὑποδιάκονον, εἰκοσαετῆ, καὶ τὴν διακόνισσαν, τεσσαρακονταετῆ· τοὺς δὲ μὴ ὑπερβάντας τοὺς τοσούτους χρόνους, καὶ χειροτονουμένους, καθαιρεῖσθαι· καὶ ταῦτα μὲν περὶ τῆς τῶν τεσσάρων τούτων βαθμῶν χειροτονίας. Τὸ δὲ κή. κεφ. τοῦ ά. τίτ. τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, περὶ κληρώσεως ἀναγνώστου διδάσκον, διορίζεται, μὴ εἶναι τοῦτον ἧττονα τῶν δεκαοκτὼ ἐνιαυτῶν· καὶ ἀνάγνωθι τὸ κέ. κεφ. τοῦ ά. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ· ἀνάγνωθι καὶ τὴν ις'. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, διοριζομένην, ἀκολούθως τῷ παρόντι κανόνι, γίνεσθαι ὑποδιάκονον τὸν πληρώσαντα τὰ εἴκοσιν ἔτη.

---

(1) Χ. Τρ. — οὐχ εὕρηται παρὰ Κ. καὶ Βευερ.

ΑΡΙΣΤ. Κανὼν ιδ'. Πρεσβύτερος, τριακονταετίας ἐνδέων, καὶ διάκονος, εἰκοσιπενταετίας, καὶ διακόνισσα, τεσσαρακονταετίας,

ΑΡΙΣΤ. Καὶ εἰκοσαετίας, ὑποδιάκονοι, εὐκαθαίρετοι.

Κἂν ἄγαν τινὲς εὑρίσκωνται ἄξιοι, ἀλλ' οὐδεὶς ἐντὸς τῶν ὁρισθέντων ἐφ' ἑκάστῳ τάγματι χρόνων τοῦ βαθμοῦ τύχῃ· ἀλλ' ὅστις ἢ πρεσβύτερος πρὸ τριάκοντα ἐτῶν, ἢ διάκονος πρὸ εἰκοσιπέντε, ἢ ὑποδιάκονος πρὸ τῶν εἴκοσι, καθαιρεθήσεται· ὥσπερ καὶ διακόνισσα, εἰ πρὸ τεσσαράκοντα ἐτῶν γένηται.

Κανὼν Ιϛ'.

Ἐπειδὴ ἡ τῶν Πράξεων βίβλος ἑπτὰ διακόνους ὑπὸ τῶν Ἀποστόλων καταστῆναι παραδίδωσιν (1), οἱ δὲ τῆς κατὰ Νεοκαισάρειαν συνόδου (2) οὕτως ἐν τοῖς ἐκτεθεῖσι παρ' αὐτῶν κανόσι σαφῶς διεξῆλθον, ὅτι διάκονοι ἑπτὰ ὀφείλουσιν εἶναι, κατὰ τὸν κανόνα, κἂν πάνυ μεγάλη ἡ πόλις ἦ· πεισθείσῃ δὲ καὶ ἐκ τῆς βίβλου τῶν Πράξεων· ἡμεῖς τῷ ἀποστολικῷ ῥητῷ τὸν νοῦν ἐφαρμόσαντες τῶν Πατέρων, εὕρομεν, ὡς ὁ λόγος αὐτοῖς οὐ περὶ τῶν τοῖς μυστηρίοις διακονουμένων ἀνδρῶν ἦν, ἀλλὰ περὶ τῆς ἐν ταῖς χρείαις τῶν τραπεζῶν ὑπουργίας, τῆς τῶν Πράξεων βίβλου οὕτως ἐχούσης (3)· Ἐν ταῖς ἡμέραις ἐκείναις, πληθυνόντων τῶν μαθητῶν, ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. Προσκαλεσάμενοι οὖν οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον· οὐκ ἀρεστὸν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις. Ἐπισκέψασθε οὖν, ἀδελφοί, ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτά, πλήρεις Πνεύματος ἁγίου καὶ σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης· ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσ-

(1) Πράξ. ϛ', 3—6. — (2) Π. Χ. Τρ. Βρ. Ἐ. Κ. — ἡ δὲ κατὰ Νεοκαισάρειαν σύνοδος Βεβερ. — (3) Πράξ. ϛ', 1—6.

καρτερήσομεν· καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους· καὶ ἐξελέξαντο Στέφανον, ἄνδρα πλήρη πίστεως καὶ Πνεύματος ἁγίου, καὶ Φίλιππον, καὶ Πρόχωρον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον, προσήλυτον Ἀντιοχέα (1), οὓς ἔστησαν ἐνώπιον τῶν Ἀποστόλων. Ταῦτα διερμηνεύων ὁ τῆς ἐκκλησίας διδάσκαλος Ἰωάννης ὁ Χρυσόστομος, οὕτω διέξεισι (2)· Θαυμάσαι ἄξιον, πῶς οὐκ ἐσχίσθη τὸ πλῆθος ἐπὶ τῇ αἱρέσει τῶν ἀνδρῶν, πῶς οὐκ ἀπεδοκιμάσθησαν ὑπ' αὐτῶν οἱ Ἀπόστολοι· ὁποῖον δὲ ἄρα ἀξίωμα οὗτοι εἶχον, καὶ ποίαν ἐδέξαντο χειροτονίαν, ἀναγκαῖον μαθεῖν. Ἆρα τὴν τῶν διακόνων; καὶ μὴν τοῦτο ἐν ταῖς ἐκκλησίαις οὐκ ἔστιν· ἀλλὰ τῶν πρεσβυτέρων ἐστὶν ἡ οἰκονομία; καί τοι οὐδέπω οὐδεὶς ἐπίσκοπος ἦν, ἀλλ' οἱ Ἀπόστολοι μόνον· ὅθεν οὔτε διακόνων, οὔτε πρεσβυτέρων οἶμαι τὸ ὄνομα εἶναι δῆλον καὶ φανερόν. Ἐπὶ τούτοις οὖν κηρύσσομεν καὶ ἡμεῖς, ὥστε τοὺς προειρημένους ἑπτὰ διακόνους, μὴ ἐπὶ τῶν τοῖς μυστηρίοις διακονουμένων λαμβάνεσθαι, κατὰ τὴν προερμηνευθεῖσαν διδασκαλίαν· ἀλλὰ τοὺς τὴν οἰκονομίαν τῆς κοινῆς χρείας τῶν τότε συνηθροισμένων ἐγχειρισθέντας, τούτους ὑπάρχειν· οἳ τύπος ἡμῖν κἀν τούτῳ γεγόνασι τῆς περὶ τοὺς δεομένους φιλανθρωπίας τε καὶ σπουδῆς.

—

ΖΩΝΑΡ. Ὁ τῆς ἐν Νεοκαισαρείᾳ συστάσης συνόδου πεντεκαιδέκατος κανὼν οὕτω φησί· Διάκονοι ἑπτὰ ὀφείλουσιν εἶναι κατὰ τὸν κανόνα, κἂν πάνυ μεγάλη εἴη ἡ πόλις· πεισθείσῃ δὲ καὶ ἀπὸ τῆς βίβλου τῶν Πράξεων. Τοῦτον οὖν τὸν κανόνα οἱ τῆς συνόδου ταύτης Πατέρες διαγράφουσι μὴ εὐστόχως ἐκλαβέσθαι τὸ τῶν διακόνων ὄνομα, τὸ ἐν ταῖς Πράξεσι, λέγοντες· Μηδὲ γὰρ περὶ τῶν ἐν τῇ θείᾳ ἱερουργίᾳ διακονεῖν μελλόντων ἀνδρῶν, τὴν φροντίδα τότε εἶναι, ἀλλὰ περὶ τῆς ἐν ταῖς τρα-

(1) Π. Σ. Ῥ. Βρ. — ἐν Ἀντιοχείᾳ Βευερ. — (2) Ὁμιλ. ΙΕ', εἰς τὰς Πράξ.

πέζαις ὑπηρεσίας, καὶ τῆς περὶ τὰς τροφὰς τοῦ πλήθους τῶν πιστευόντων οἰκονομίας. Καὶ τὸν μέγαν Ἰωάννην, τὸν τὴν γλῶτταν χρυσοῦν, παράγουσιν ἑρμηνεύοντα τὰ ἐν ταῖς Πράξεσι περὶ τούτων ῥητά, καὶ λέγοντα· Μήτε διακόνων, μήτε πρεσβυτέρων δηλωτικὸν εἶναι τὸ ὄνομα, καί φασι καὶ οἱ Πατέρες ἐκεῖνοι τοὺς ἐν ταῖς Πράξεσιν ἑπτὰ διακόνους μὴ ἐπὶ τῶν ἐν τοῖς μυστηρίοις διακονουμένων λαμβάνεσθαι, ἀλλὰ τῶν οἰκονομούντων, ὅπως τρέφοιντο οἱ περὶ τοὺς Ἀποστόλους ἀθροιζόμενοι καὶ πιστεύοντες, οὓς καὶ τύπον ἡμῖν γεγονέναι φασὶ τῆς περὶ τοὺς δεομένους σπουδῆς τε καὶ μεταδόσεως. Καὶ ὁ μὲν κανὼν ἐν τούτοις τελευτᾷ, μή τι προστιθεὶς πλέον, αἰδοῖ τῶν ἐν Νεοκαισαρείᾳ, οἶμαι, συστησαμένων τὴν σύνοδον. Συνάγεται δὲ, ὅτι ἐπεὶ ἐκεῖνοι τῇ πράξει τῶν Ἀποστόλων, οἷον ὑποβάθρᾳ, ἐχρήσαντο, τῇ περὶ τῶν ἑπτὰ διακόνων, εἰς τὸ ὁρίσαι μὴ πλείους τῶν ἑπτὰ διακόνων ἐν πόλει εἶναι, κἂν πάνυ ἡ πόλις μεγάλη εἴη· οἱ δὲ παρὰ τῶν Ἀποστόλων ἐκλεγέντες εἰς διακονίαν, οὐχ ἱερουργίας ἦσαν διάκονοι, ἀλλὰ ὑπηρέται, καὶ οἰκονόμοι τροφῶν· οὐ κατὰ τὸ προσῆκον τὸν ἀριθμὸν τῶν διακόνων εἰς τὸν ἕβδομον ἐστενοχώρησαν ἀριθμὸν καὶ ἐπὶ τῶν μεγάλων πόλεων· ὅθεν οὐδὲ πρὸ τοῦ κανόνος τούτου ὁ τῆς ἐν Νεοκαισαρείᾳ κανὼν ἐφυλάττετο. Ὁ μὲν γὰρ Ἰουστινιανὸς, ἑξήκοντα πρεσβυτέρους, διακόνους δ' ἑκατὸν, καὶ διακονίσσας τεσσαράκοντα ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἔταξεν (1), ὡς ἐν βιβλίῳ τῶν βασιλικῶν τρίτῳ κεῖται, τίτλῳ δευτέρῳ· ὁ δὲ Ἡράκλειος ἐπηύξησε τὸν ἀριθμὸν καὶ τῶν πρεσβυτέρων, καὶ τῶν διακόνων, καὶ τῶν λοιπῶν κληρικῶν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ· καὶ ἄμφω δὲ οὗτοι οἱ βασιλεῖς πρὸ τῆς ἕκτης ταύτης ἦσαν συνόδου. Καὶ αἱ λοιπαὶ δὲ τῆς Κωνσταντινουπόλεως ἐκκλησίαι πολλοὺς εἶχον κληρικοὺς, καὶ πλείονας τῶν παρὰ τῶν δομησαμένων αὐτὰς ἐν αὐταῖς ταχθέντων, ὡς ἔστιν εὑρεῖν ἐν τῷ πρώτῳ τίτλῳ τοῦ τρίτου βιβλίου τῶν βασιλικῶν.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἐφερμηνευτικός ἐστι, μᾶλλον δὲ καὶ διορθωτικὸς τοῦ ιέ. κανόνος τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, λέ-

1) Χ. Τρ. — εἴκασιν Κ. Βευερ.

γοντος· Διάκονοι ἑπτὰ ὀφείλουσιν εἶναι κατὰ τὸν κανόνα, κἂν πάνυ μεγάλη εἴη ἡ πόλις· πεισθείσῃ δὲ ἐκ τῆς βίβλου τῶν Πράξεων· φησὶ γάρ, ὡς ἡ βίβλος τῶν Πράξεων οὐ περὶ διακόνων διαλαμβάνει τῶν ἐν τῷ ἁγίῳ βήματι διακονούντων, ἀλλὰ περὶ τῶν διακονητῶν, τῶν οἰκονομούντων τὰς διατροφὰς τῶν κηρυττόντων τὸ τοῦ Χριστοῦ εὐαγγέλιον· ὅτι οὐδὲ ἐπίσκοποι ἦσαν τότε, οὐδὲ διάκονοι, οὐδὲ πρεσβύτεροι· διὸ καὶ χρησάμενοι πρὸς σύστασιν τοῦ λόγου αὐτῶν τοῖς προσφόροις ῥήμασιν ἐκ τῆς βίβλου τῶν Πράξεων, ναὶ μέν τοι καὶ ἑρμηνείᾳ (1) τοῦ μεγάλου Χρυσοστόμου, διωρίσαντο, τῷ ῥηθέντι κανόνι μὴ ἀκολουθεῖν· ἔοικε δὲ ὅτι καὶ πρὸ τούτου οὕτως ἐννοοῦντο τὰ ἐν τῷ κανόνι τῆς ἐν Νεοκαισαρείᾳ συνόδου περιεχόμενα. *Προγενεστέρας (2) γὰρ ταύτης οὔσης καὶ αὐτῆς τῆς πρώτης συνόδου, ὁ βασιλεὺς Ἰουστινιανὸς εὑρίσκεται ἐν τῷ γ'. βιβλίῳ τῶν βασιλικῶν διοριζόμενος εἶναι ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ διακόνους ἑκατόν, ὅθεν οὐκ ἂν παρεκελεύσατο, εἰ ἄλλως πως ἐννοοῦντο τὰ τοῦ κανόνος τῆς ἐν Νεοκαισαρείᾳ συνόδου*.

ΑΡΙΣΤ. Γινωσκέτω ὁ λέγων ἑπτὰ διακόνους εἶναι, κατὰ τὸ εἰρημένον ταῖς Πράξεσιν, ὅτι οὐ περὶ τῶν διακονουμένων τοῖς μυστηρίοις ὁ λόγος, ἀλλὰ περὶ τῶν τραπέζαις ὑπηρετούντων.

Ὁ τεσσαρεςκαιδέκατος κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, ἀπὸ τῆς βίβλου τῶν Πράξεων δῆθεν ὁρμηθείς, ἑπτὰ διακόνους ἐφ' ἑκάστῃ πόλει, κἂν πάνυ μεγάλη ἐστί, καθίστασθαι ὥρισε, τοῖς μυστηρίοις ὑπηρετήσοντας. Ὁ δὲ παρὼν κανὼν μὴ καλῶς φάσκει νοῆσαι τὴν τοιαύτην σύνοδον τὸ ἐν τῇ βίβλῳ τῶν Πράξεων περὶ τῶν ἑπτὰ διακόνων κείμενον ῥητόν· οὐ γὰρ περὶ τῶν διακονουμένων, φησί, τοῖς θείοις μυστηρίοις ἀνδρῶν ἦν ἡ φροντὶς τὸ τότε τοῖς Ἀποστόλοις, ἀλλὰ περὶ τῶν ὑπουργούντων ἐν ταῖς τραπέζαις, καὶ τὴν οἰκονομίαν ἐμπεπιςευμένων τῆς κοινῆς χρείας τῶν τότε συνηθροισμένων. Διὰ τοῦτο γοῦν αἱ ἐκκλησίαι οὐκ ἀπαιτηθήσονται, κατὰ τὸν κανόνα ἐκεῖνον, ἀνὰ ἑπτὰ διακόνους ἔχειν εἰς τὴν τῶν θείων μυστηρίων διακονίαν· ἀλλ' ἑκάστη, πρὸς

(1) ἑρμηνείαν Βευερ. Ἐ. — (2) Ἅπαν τὸ μέρος τοῦτο τῆς ἑρμηνείας οὐχ εὕρηται παρὰ Βευερ. καὶ Ἐ. ἀλλ' ἐν Χ. Τρ.

τὰς εἰσόδους αὐτῆς ἕξει καὶ τὸ ποσὸν τῶν πρεσβυτέρων, καὶ διακόνων, καὶ τῶν λοιπῶν κληρικῶν.

Κανὼν ΙΖʹ.

Ἐπειδήπερ διαφόρων ἐκκλησιῶν κληρικοί, τὰς ἰδίας, ἐν αἷς ἐχειροτονήθησαν, ἐκκλησίας καταλιπόντες, πρὸς ἑτέρους συνέδραμον ἐπισκόπους, καὶ γνώμης δίχα τοῦ οἰκείου ἐπισκόπου, ἐν ταῖς ἀλλοτρίαις (1) κατετάγησαν ἐκκλησίαις, ἐκ τούτου τε συνέβη ἀνυποτάκτους αὐτοὺς καταστῆναι· ὁρίζομεν, ὥστε, ἀπὸ τοῦ (2) Ἰανουαρίου μηνὸς τῆς παρελθούσης τετάρτης ἐπινεμήσεως, μηδένα τῶν ἁπάντων κληρικῶν, κἂν ἐν οἱῳδήποτε τυγχάνῃ βαθμῷ, ἄδειαν ἔχειν, ἐκτὸς τῆς τοῦ οἰκείου ἐπισκόπου ἐγγράφου ἀπολυτικῆς (3), ἐν ἑτέρᾳ κατατάττεσθαι ἐκκλησίᾳ· ἐπεὶ ὁ μὴ τοῦτο ἀπὸ τοῦ νῦν παραφυλαττόμενος, ἀλλὰ καταισχύνων τό γε ἐπ᾽ αὐτὸν (4) τὸν τὴν χειροτονίαν αὐτῷ ἐπιτεθεικότα, καθαιρείσθω καὶ αὐτός, καὶ ὁ παραλόγως αὐτὸν προσδεξάμενος.

—

ΖΩΝΑΡ. Περὶ τούτου πολλοὶ κανόνες διαγορεύουσι· καὶ οὗτος δὲ οὐ συγχωρεῖ κληρικῷ, ἄνευ γραφῆς τοῦ οἰκείου ἐπισκόπου, μετατίθεσθαι εἰς ἑτέραν ἐκκλησίαν, ὡς καταισχύνοντι, ὅσον τὸ εἰς αὐτόν, τὸν χειροτονήσαντα αὐτόν· εἰς γὰρ καταφρόνησιν ἐκείνου καὶ ἀτιμίαν ἐστὶ τὸ ἀλλαχοῦ ἀπελθεῖν, ἐκείνου μὴ ἐπιτρέψαντος· διὸ καὶ καθαιρέσει ὑπάγει τόν τε προσελθόντα ἑτέρῳ ἐπισκόπῳ, καὶ αὐτὸν τὸν δεξάμενον.

ΒΑΛΣ. Πολλάκις εἴπομεν, ὅτι χρεία ἐστὶ παντὶ κληρικῷ ἐξωχειροτονήτῳ, διττὰς (5) γραφὰς ἐπιφέρεσθαι τοῦ χειροτονήσαντος αὐτόν, συστατικὴν δηλαδή, καὶ ἀπολυτικήν, ὡς ἂν τῇ μὲν χρήσηται εἰς ἐπισύστασιν τοῦ λεγομένου προσεῖναι αὐτῷ βαθμοῦ· τῇ δέ, εἰς τὸ ἀπαρεμποδίστως ἐφ᾽ ἑτέρας ἐκκλη-

(1) Π. Ε. Κ. Βευερ. Σ. Ρ. — ἐν ἀλλοτρίαις Χ. Τρ. Βρ. — (2) παρόντος Βευερ. — (3) Π. Χ. Τρ. Βρ. Κ. Ε. — ἀπολυτικῆς γραφῆς Βευερ. — (4) ἐπ᾽ αὐτῷ Ε. Κ. Βρ. Σ. Ρ. — (5) Χ. Τρ. Ε. — διπλᾶς Βευερ.

σίας κλήρῳ συγκαταλεχθῆναι. Σημείωσαι οὖν τὸν παρόντα κανόνα ἀναγκαιότατον εἶναι, καὶ διοριζόμενον καθαιρεῖσθαι τὸν παρὰ τὴν τούτου δύναμιν δεχθέντα κληρικὸν, καὶ τὸν δεξάμενον αὐτὸν ἐπίσκοπον, χωρὶς ἀπολυτικῆς τοῦ χειροτονήσαντος αὐτόν. Πολλάκις γὰρ τούτου λαληθέντος συνοδικῶς, τινὲς εἶπον, μίαν καὶ μόνην γραφὴν τῷ ἐξωχειροτονήτῳ ἀρκεῖν, συστατικὴν δηλαδή. Ὑπέξελέ μοι τὸν Κωνσταντινουπόλεως, καὶ τὸν Καρχηδόνος· οὗτοι γὰρ μόνοι δύνανται, ὡς πολλάκις εἴρηται, ἀλλοτρίους κληρικοὺς δέχεσθαι παρὰ γνώμην τοῦ χειροτονήσαντος αὐτούς.

ΑΡΙΣΤ. Ὁ προσδεχόμενος ξένον κληρικὸν, καὶ χειροτονῶν, σὺν τῷ κακῶς χειροτονηθέντι, καθῄρηται.

Οὐδεὶς τῶν κληρικῶν, ἄνευ γνώμης τοῦ ἰδίου ἐπισκόπου, ἐν ἑτέρᾳ ἐκκλησίᾳ κατατάττεσθαι συγκεχώρηται. Εἰ δέ τις ἐπίσκοπος τὸν ἀλλότριον προσδέξηται κληρικὸν ἄνευ ἐγγράφου ἀπολυτικοῦ τοῦ ἐπισκόπου αὐτοῦ, καὶ τῇ ἰδίᾳ ἐκκλησίᾳ ἐγκατατάξει, κἂν ἐπὶ τῆς αὐτῆς ἀξίας αὐτὸν φυλάξῃ, κἂν καὶ εἰς μείζονα χειροτονήσῃ βαθμὸν, καθαιρεθήσονται καὶ ἀμφότεροι.

Κανὼν ΙΗ'.

Τοὺς προφάσει βαρβαρικῆς ἐπιδρομῆς, ἢ ἄλλως πως ἐκ περιστάσεως μετανάστας γενομένους (1) κληρικοὺς, ἡνίκα ἂν ὁ τρόπος αὐτοῖς ἀποπαύσηται, ἢ αἱ τῶν βαρβάρων ἐπιδρομαὶ, δι' ἃς τὴν ἀναχώρησιν ἐποιήσαντο, αὖθις ἐν ταῖς οἰκείαις ἐκκλησίαις προστάσσομεν ἐπανέρχεσθαι, καὶ μὴ ἐπὶ πολὺ ταύτας ἀπροφασίστως καταλιμπάνειν. Εἰ δέ τις μὴ κατὰ τὸν παρόντα διαγένηται κανόνα, ἀφοριζέσθω, μέχρις ἂν πρὸς τὴν οἰκείαν ἐκκλησίαν ἐπαναδράμῃ. Τὸ αὐτὸ δὲ τοῦτο, καὶ ἐπὶ τῷ κατέχοντι αὐτὸν ἐπισκόπῳ γινέσθω.

ΖΩΝΑΡ. Τινὲς κληρικοὶ, διὰ βαρβάρων ἐφόδους, ἢ φορολόγων

---

(1) Π. Χ. Τρ. Βρ. Σ. Ῥ. — γεγονότας Βευερ.

ἀπανθρωπίας, ἢ λιμὸν ἴσως τῇ χώρᾳ αὐτῶν ἐπισυμβάντα, ἢ καὶ δι' ἑτέρας αἰτίας μεταναστεύοντες, εἰς χώρας ἄλλας ἀπίασι· τοὺς οὖν τοιούτους βούλεται ὁ κανὼν, τῆς αἰτίας διαλυθείσης, δι' ἣν μετανάσται τῶν ἰδίων γεγόνασι πόλεων καὶ ἐκκλησιῶν, εἰς αὐτὰς ὑποστρέφειν, καὶ μὴ ἐπιμένειν τῇ χώρᾳ, ᾗ προσεληλύθασι, τῆς προφάσεως παρελθούσης. Τοὺς δὲ μὴ ἐπανιόντας κληρικοὺς, ὡς ἀπροφασίστως τὰς ἐκκλησίας καταλιμπάνοντας, ἐν αἷς κατετάχθησαν, καὶ ἑτέραις σχολάζοντας, ἀφορίζεσθαι κελεύει, ἕως ἂν ἐπανέλθωσι πρὸς τὴν ἐκκλησίαν, ἐξ ἧς ὑπεχώρησαν· καὶ τὸν ἐπίσκοπον δὲ τὸν δεξάμενον, καὶ κατέχοντα αὐτοὺς, ἀφορισμῷ ὑποτίθησι, μέχρις ἂν κατέχῃ αὐτούς.

ΒΑΛΣ. Μεγάλων εἰσὶν ἐγκωμίων ἄξιοι οἱ ἅγιοι Πατέρες, τῆς γὰρ ἐκκλησιαστικῆς εὐταξίας, καὶ τῆς τιμῆς ἑκάστου τῶν ἐπισκόπων φροντίζοντες, ὥρισαν τοὺς διά τινας εὐλόγους αἰτίας μεταναστεύσαντας (1) κληρικοὺς, χωρὶς ἀπολυτικῆς γραφῆς τῶν χειροτονησάντων αὐτοὺς, παλινδρομεῖν εἰς τὸν οἰκεῖον κλῆρον, παρελθούσης τῆς περιστάσεως, δι' ἣν ἀνεχώρησαν, καὶ μὴ ἔχειν ἐπ' ἀδείας εἰς ἑτέρας ἐκκλησίας κατατάττεσθαι· τὸν δὲ μὴ πειθόμενον ὑποστρέψαι, ἀλλὰ καὶ αὐτὸν τὸν κατέχοντα τοῦτον ἐπίσκοπον, ἀφορίζεσθαι· εἴποι δέ τις, ὡς εἰ μὲν ἐπίσκοπος τοιοῦτόν τι ποιήσει, παρὰ τοῦ μητροπολίτου ἀφορισθήσεται. Ὡσαύτως καὶ ἐὰν μητροπολίτης καταφρονήσῃ τοῦ κανόνος, παρὰ τοῦ πατριάρχου κολασθήσεται. Εἰ δὲ αὐτοκέφαλος ἀρχιεπίσκοπος, ἢ πατριάρχης, χωρὶς τοῦ Κωνσταντινουπόλεως, (οὗτος γὰρ ἔλαβεν ἐξουσίαν, οἵαν εἴπομεν) ὑπὸ τοῦ κανόνος ἁλίσκηται, παρὰ τίνος ἀφορισθήσεται; οἴομαι οὖν παρὰ τοῦ μείζονος ἀρχιερέως.

ΑΡΙΣΤ. Ὁ διὰ βαρβαρικὴν ἐπιδρομὴν μετανάστης, παυσαμένης τῆς ἐπιδρομῆς, παλινοστείτω πρὸς τὴν ἐκκλησίαν, ᾗ κεκλήρωται· εἰ δὲ μὴ, μετὰ τοῦ προσειληφότος ἀφορίζεται.

Ὁ μὲν μὴ διά τινα περίστασιν ἀναχωρήσας κληρικὸς τῆς ἐκκλησίας, ᾗ ἐκληρώθη, καὶ πρὸς ἑτέραν ἀπελθὼν ἐκκλησίαν, καὶ παρὰ τοῦ ἐκεῖσε ἐπισκόπου προσδεχθεὶς, καὶ τοῖς κληρικοῖς αὐ-

(1) μεταναστάντας Ε. Βευερ.

τοῦ συγκαταλεγείς, καθαιρεῖται σὺν τῷ προσδεξαμένῳ αὐτόν· καθὼς ὁ προγραφεὶς ἑπτακαιδέκατος ὁρίζει κανών. Ὁ δὲ δι' ἐπιδρομὴν βαρβάρων, ἢ περίστασιν ἄλλην, μετανάστης τῆς ἰδίας ἐκκλησίας γενόμενος κληρικὸς, ἐὰν, τοῦ αἰτίου δι' ὃ ὑπεχώρησεν ἐπιλείψαντος, οὐ θελήσῃ πάλιν ἐπανελθεῖν εἰς τὴν ἐκκλησίαν αὐτοῦ, ἐν ᾗ ἐκληρώθη, ἀφορίζεται σὺν τῷ κατέχοντι αὐτὸν ἐπισκόπῳ, μέχρις ἂν πρὸς αὐτὴν ἐπαναδράμῃ. Ἡ δὲ αἰτία, δι' ἣν μὲν οὗτος ἀφορίζεται, ἐκεῖνος δὲ καθαιρεῖται, εὔλογος· οὐδὲ γὰρ, ὡς ἐκεῖνος, καὶ οὗτος, ἐξ ἀρχῆς ὑπεχώρησεν ἄνευ εὐλόγου αἰτίας. Καὶ ὅσον τὸ ἐπ' αὐτῷ, τὸν τὴν χειροτονίαν αὐτῷ ἐπιτεθεικότα οὐ περιύβρισε καὶ κατῄσχυνεν· ἀλλὰ δι' ἀνάγκην τοῦτο πεποίηκεν.

Κανὼν ΙΘ΄.

Ὅτι δεῖ τοὺς τῶν ἐκκλησιῶν προεστῶτας, ἐν πάσῃ μὲν ἡμέρᾳ (1), ἐξαιρέτως δὲ ἐν ταῖς Κυριακαῖς, πάντα τὸν κλῆρον καὶ τὸν λαὸν ἐκδιδάσκειν τοὺς τῆς εὐσεβείας λόγους, ἐκ τῆς θείας γραφῆς ἀναλεγομένους τὰ τῆς ἀληθείας νοήματά τε, καὶ κρίματα, καὶ μὴ παρεκβαίνοντας τοὺς ἤδη τεθέντας ὅρους, ἢ (2) τὴν ἐκ τῶν θεοφόρων Πατέρων παράδοσιν. Ἀλλὰ καὶ εἰ γραφικὸς ἀνακινηθείη λόγος, μὴ ἄλλως τοῦτον ἑρμηνευέτωσαν, ἢ ὡς ἂν οἱ τῆς ἐκκλησίας φωστῆρες, καὶ διδάσκαλοι, διὰ τῶν οἰκείων συγγραμμάτων παρέθεντο· καὶ μᾶλλον ἐν τούτοις εὐδοκιμείτωσαν, ἢ λόγους οἰκείους συντάττοντες· ἵνα μὴ, ἔςιν ὅτε, πρὸς τοῦτο ἀπόρως ἔχοντες, ἀποπίπτοιεν τοῦ προσήκοντος. Διὰ γὰρ τῆς τῶν προειρημένων Πατέρων διδασκαλίας, οἱ λαοὶ ἐν γνώσει γινόμενοι τῶν τε σπουδαίων καὶ αἱρετῶν, καὶ τῶν ἀσυμφόρων καὶ ἀποβλήτων, τὸν βίον μεταρρυθμίζουσι πρὸς τὸ βέλτιον, καὶ τῷ τῆς ἀγνοίας οὐχ ἁλίσκονται πάθει, ἀλλὰ προσέχοντες (3) τῇ διδασκαλίᾳ, ἑαυτοὺς πρὸς τὸ μὴ κακῶς παθεῖν παραθήγουσι, καὶ

---

(1) ἐν πάσαις μὲν ἡμέραις Βρ. — (2) Π. Χ. Τρ. Ἑ. Κ. Βρ. Σ. Ῥ. — καὶ Βενερ. — (3) Π. Χ. Τρ. Κ. Σ. Ῥ. — προσήκοντες Ἑ. Βο. Βενερ.

φόβῳ τῶν ἐπηρτημένων τιμωριῶν τὴν σωτηρίαν ἑαυτοῖς ἐξεργάζονται.

—

ΖΩΝΑΡ. Καὶ ὁ πεντηκοστὸς ὄγδοος τῶν ἁγίων Ἀποστόλων κανὼν, τὸν ἀμελοῦντα ἐπίσκοπον τοῦ οἰκείου κλήρου, ἢ τοῦ λαοῦ, καὶ μὴ ἐκπαιδεύοντα αὐτοὺς τὴν εὐσέβειαν, ἀφορίζει· ἐπιμένοντα δὲ τῇ ῥᾳθυμίᾳ, καὶ καθαιρεῖ. Καὶ ὁ μέγας Παῦλος, Τιμοθέῳ μὲν ἐπιστέλλων, καὶ οἷον δεῖ τὸν ἐπίσκοπον εἶναι διατάττόμενος, καὶ διδακτικὸν αὐτὸν τυγχάνειν παρακελεύεται. Τῷ δέ γε Τίτῳ γράφων, ἀντέχεσθαι δεῖν, φησὶ, τὸν ἐπίσκοπον, τοῦ κατὰ διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾗ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν· τούτοις καὶ οἱ τῆς συνόδου ταύτης ἑπόμενοι, τὸν παρόντα κανόνα ἐξέθεντο, ἀεὶ μὲν δεῖν λέγοντες τοὺς ἐπισκόπους διδάσκειν τὸν λαὸν τοὺς τῆς εὐσεβείας λόγους, μάλιστα δὲ ἐν ταῖς Κυριακαῖς. Ἐν γὰρ αὐταῖς σχολάζοντες ἐκ τῶν ἐργοχείρων αὐτῶν οἱ ἄνθρωποι, συνέρχονται εἰς τὰς ἐκκλησίας καὶ ἀκροῶνται τῶν θείων γραφῶν· εἰ οὖν ἐν ταύταις μᾶλλον διδάσκουσι, πλείων ἔσται καὶ ἡ ὠφέλεια τοῦ λαοῦ. Διδάσκειν δὲ αὐτοὺς βούλονται μὴ οἴκοθεν, ἀλλ' ἐκ τῆς θείας γραφῆς, καὶ ταύτην ἑρμηνεύειν κατὰ τὴν τῶν θείων Πατέρων ἐξήγησιν, ἀλλὰ μὴ ἐξ οἰκείων νοημάτων καὶ λογισμῶν· εἰ γὰρ τοῖς οἰκείοις, φασὶ, χρῶνται λογισμοῖς, ἴσως καὶ ἀπορήσουσί ποτε, καὶ ἐκπεσοῦνται τοῦ προσήκοντος. Ἐκ δὲ τῆς τῶν θείων Πατέρων διδασκαλίας γνώσονται οἱ λαοὶ, τίνα μὲν δεῖ αἱρεῖσθαι, τίνα δὲ ἀποτρέπεσθαι, καὶ τὴν οἰκείαν ζωὴν ἀπευθυνοῦσι πρὸς ἀρετὴν, ἐκφεύγοντες τὸ ἐξ ἀγνοίας τῶν θείων ἐντολῶν ὀλισθαίνειν εἰς ἁμαρτήματα, καὶ φόβῳ τῶν μελλουσῶν κολάσεων ἐκ τῆς κακίας ἀναστελλόμενοι.

ΒΑΛΣ. Διδάσκαλοι τῶν ἐκκλησιῶν οἱ ἐπίσκοποι καθίστανται· καὶ διὰ τοῦτό φησιν ὁ κανὼν ἔχειν τούτους πᾶσαν ἀνάγκην, καὶ ἀεὶ μὲν διδάσκειν τὸν ὑπ' αὐτοὺς λαὸν, πολλῷ δὲ μᾶλλον ἐν ταῖς Κυριωνύμοις, ἐν αἷς εἰώθασιν ἅπαντες τῇ ἐκκλησίᾳ προσεδρεύειν, τῶν ἐργοχείρων αὐτῶν ἀπαλλαττόμενοι. Διδάσκειν δὲ

τούτους διορίζεται, οὐ παρεκβατικώτερά τινα καὶ οἴκοθεν, ἀλλ' αὐτὰ ἐκεῖνα τὰ παρὰ τῶν ἁγίων Πατέρων παραδοθέντα· καὶ οἱ μὲν Πατέρες ταῦτα. Τινὲς δὲ ἀμελοῦσι τοῦ τοιούτου αὐτῶν ἐπαγγέλματος, διὰ τὸ μὴ ἐπισείεσθαι αὐτοῖς, ὡς ἔοικε, ποινήν. Ἐμοὶ δὲ δοκεῖ, ὡς ἀπὸ τοῦ νή. κανόνος τῶν ἁγίων Ἀποστόλων, μεγάλως οὗτοι κολάζονται. Φησὶ γάρ· Ἐπίσκοπος, ἢ πρεσβύτερος ἀμελῶν τοῦ κλήρου καὶ τοῦ λαοῦ, καὶ μὴ παιδεύων αὐτοὺς τὴν εὐσέβειαν, ἀφοριζέσθω· ἐπιμένων δὲ τῇ ῥᾳθυμίᾳ, καθαιρείσθω. Σημείωσαι οὖν ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι τὸ διδάσκειν τὸν λαὸν μόνοις ἐνεδόθη τοῖς ἐπισκόποις, καὶ οἱ διδάσκαλοι τῆς Μεγάλης Ἐκκλησίας δικαίῳ τοῦ πατριάρχου διδάσκουσι. Παρίσταται δὲ τοῦτο καὶ ἀπὸ τῆς νεαρᾶς τοῦ ἀοιδίμου βασιλέως (1) κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, τῆς ὑποτυπούσης, ὅπως, καὶ τίνες ὀφείλουσι ψηφίζεσθαι εἰς τὰς ἐκκλησίας, καὶ τυπωσάσης τοῖς διδασκάλοις πᾶσι, τοῖς τε ἐντὸς οὖσι, δηλαδὴ, τῆς ἐκκλησίας, καὶ τοῖς ἐκτὸς, ἀνὰ νομισμάτων (2) λίτρας τρεῖς, καὶ ἀνὰ σίτου μοδίους πεντήκοντα· καὶ διοριζομένης ἐν μέρει ταῦτα ῥητῶς· Ἔστω καὶ αὕτη τοῖς διδασκάλοις, δι' ἃς τὴν ἀναχώρησιν ἐποιήσαντο αὖθις ἐν ταῖς οἰκείαις ἐκκλησίαις (3), ἀπονενεμημένη τιμὴ, τὸ εὐθὺς μετὰ τοὺς ἄρχοντας ἵστασθαι, τῷ ἁγιωτάτῳ πατριάρχῃ παρισταμένους, ὡς ἐκπροσωποῦντας αὐτῷ. Ἀκούομεν γὰρ τὸν πληροῦντα τὸν τοῦ ἀρχιερέως τόπον μεγίστην ἔχειν ἀεὶ τιμήν· καὶ οὐδεὶς πρὸς τοῦτο δυνήσεται ἀντειπεῖν. Καὶ πάλιν· οἱ δὲ ἀξιόλογοι κατά τε λόγον καὶ πρᾶξιν, εἰσαγέσθωσαν εἰς τὴν τῆς διδασκαλίας διακονίαν, καὶ διὰ τῶν διδασκαλικίων προβαινέτωσαν εἰς τὰ ἀρχοντίκια· διὰ γὰρ τοῦτο καὶ τελευτήσαντος τοῦ κατὰ καιροὺς πατριάρχου, οὐδὲ αὐτοὶ δύνανται διδάσκειν (4).

---

(1) Μετὰ τὰς λέξεις τοῦ ἀοιδίμου βασιλέως, ἀναγινώσκεται παρὰ Βευερ. καὶ τίνες ὀφείλουσι κτλ· ἀλλ' ἡ φράσις προδήλως διεστράφη, ὅθεν ἠκολουθήσαμεν τῇ γραφῇ τοῦ Χ. Τρ. καὶ Ε. — (2) ἀνὰ τχ. Χ. Τρ. — (3) Οὐχ εὕρηται ἐν Χ. Τρ. ἡ φράσις, δι' ἃς τὴν ἀναχώρησιν . . . ἐκκλησίαις. — (4) Ἐνταῦθα ἀναγινώσκεται ἐν Χ. Τρ. ἡ ἑξῆς σημείωσις ἐν περισελ. [Σημείωσαι τὸν παρόντα κανόνα, καὶ θρήνησον πῶς οὐ φυλάττεται· νομίζω γὰρ, ὅτι οἱ πλείους τῶν ἀρχιερέων οὐ γινώσκουσι τί ἐστι τὸ διδάσκειν; Ἔσο δὲ εἰδὼς, ὅτι ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης

ΑΡΙΣΤ. Ὁ προεστὼς ἐκκλησίας, κατ᾽ ἐξαίρετον ταῖς Κυριακαῖς διδασκέτω τὰ δόγματα, καὶ διερμηνευέτω, μὴ οἴκοθεν, ἀλλ᾽ ὡς οἱ θεῖοι Πατέρες διέλαβον.

Οἱ ἐπίσκοποι, ἐν πάσαις μὲν ἡμέραις ὀφείλουσι τὸν κλῆρον καὶ τὸν λαὸν ἐκδιδάσκειν τῆς εὐσεβείας τὰ δόγματα· ἐξαιρέτως δὲ ἐν ταῖς Κυριακαῖς· καὶ εἰ γραφικόν τις αὐτοὺς ἐρωτήσει λόγον, μὴ οἴκοθεν τοῦτον ἑρμηνευέτωσαν· τοῦτο γάρ ἐστιν αὐτοῖς εὐδοκίμησις, τὸ εἰδέναι τὰς παραδόσεις τῶν θεοφόρων Πατέρων, καὶ κατ᾽ αὐτὰς λύειν τὰ ἐρωτώμενα· καὶ μὴ οἰκείους λόγους συντάττειν· ἵνα μὴ ἀπόρως ἴσως ἔχοντες πρὸς τὸ ἀφ᾽ ἑαυτῶν λῦσαι ταῦτα, τῆς ἀληθοῦς ἑρμηνείας πόῤῥω ἐκπέσοιεν. Τὸν δὲ ἀμελοῦντα τοῦ κλήρου καὶ τοῦ λαοῦ, καὶ μὴ διδάσκοντα αὐτοὺς τὴν εὐσέβειαν, πρῶτα μὲν ἀφορίζει ὁ πεντηκοστὸς ὄγδοος τῶν ἁγίων Ἀποστόλων κανὼν, εἶτα δὲ τῇ ῥαθυμίᾳ ἐπιμένοντα, καὶ καθαιρεῖ.

Κανὼν Κ΄.

Μὴ ἐξέστω ἐπισκόπῳ εἰς ἑτέραν τὴν μὴ αὐτῷ προσήκουσαν πόλιν δημοσίᾳ διδάσκειν· εἰ δέ τις φωραθείη τοῦτο ποιῶν, τῆς ἐπισκοπῆς παυέσθω· τὰ δὲ τοῦ πρεσβυτέρου (1) ἐνεργείτω.

—

ΖΩΝΑΡ. Τοῖς ἐπισκόποις τὰς τῶν σκανδάλων περιαιροῦντες ἀφορμὰς οἱ θεῖοι Πατέρες, ὥρισαν, μὴ διδάσκειν ἐπίσκοπον δημοσίᾳ ἐν πόλει μὴ ἀνηκούσῃ αὐτῷ, τοῦτο γὰρ εἰς ἀτιμίαν ἐςὶ τοῦ τῆς πόλεως ἐκείνης ἀρχιερέως· δημοσίᾳ δὲ διδάσκειν κεκώλυται, ὡς ἐξ ἀντιδιαστολῆς νοεῖσθαι, ὡς, εἴ τις αὐτῷ κατ᾽ ἰδίαν προσέλθοι ἐρωτῶν αὐτὸν, ἐκείνῳ πρὸς τὸ ἐρώτημα ἀποκρινόμενος, καὶ διδάσκων καθ᾽ ἑαυτὸν, οὐχ ἁμαρτάνει. Καὶ ὁ ἑνδέκατος δὲ κανὼν τῆς ἐν Σαρδικῇ συνόδου θεσμοθετεῖ τὰ περὶ τούτου πλατύτερον. Ἀπορήσει δέ τις, πῶς ὁ μὲν εἰκοστὸς ἔννατος κανὼν τῆς τετάρτης συνόδου λέγει, ὅτι τὸ ἐξ ἐπισκό-

κὺρ Ἰωάννης· τέως ἐπὶ τῶν ἡμετέρων ἡμερῶν ἐδίδασκε καθ᾽ ἑκάστην Κυριακὴν οἰκειοφώνως, καὶ εὑρίσκονται αἱ διδασκαλίαι αὐτοῦ].

(1) Π. Χ. Τρ. Βρ. Σ. Ρ. — τοῦ πρεσβυτερίου Βευερ. Κ. Ε.

που εἰς πρεσβυτέρου ἀξίαν καταγαγεῖν, ἱεροσυλία ἐστίν· ὁ δὲ παρὼν κανών φησιν· Εἴτις φωραθείη τοῦτο ποιῶν, παυέσθω τῆς ἐπισκοπῆς, τὰ δὲ τοῦ πρεσβυτέρου ἐνεργείτω; Εἴποι οὖν ἄν τις, ὅτι ἐκεῖ περὶ καθαιρέσεώς φησιν εὐλόγου, ἢ παραλόγου· εἰ γὰρ διὰ αἰτίαμά τι ἐξεβλήθη τῆς ἐπισκοπῆς, καὶ διὰ τὸ ἁμάρτημα, ἐκεῖνος οὐδὲ πρεσβύτερος ἔσται, ἢ ἀναιτίως ἐξεβλήθη τῆς ἐπισκοπῆς, καὶ οὐδ᾽ οὕτως εἰς πρεσβυτέρου βαθμὸν καταταχθήσεται, ἀλλ᾽ ἔσται αὖθις ἐπίσκοπος. Ἐνταῦθα δὲ ἁμάρτημα μὲν ὁ ἐπίσκοπος κωλύον αὐτὸν τῆς ἱερωσύνης οὐχ ἥμαρτε, φιλοδοξίᾳ δὲ ἦν καὶ δόξης ἔρως, ὃ ἥμαρτεν, ἵνα γοῦν ἀντίρροπον τὴν τιμωρίαν ἔξῃ τῷ πταίσματι αὐτοῦ, καὶ ταπεινωθῇ, παύεται μὲν τῆς ἐπισκοπῆς, κατάγεται δὲ εἰς πρεσβυτέρου τόπον.

ΒΑΛΣ. Ὁ Κανὼν σαφής ἐστι· διορίζεται γὰρ μὴ διδάσκειν δημοσίᾳ ἐπίσκοπον εἰς πόλιν μὴ ἀνήκουσαν αὐτῷ· ἀτιμία γάρ, φησι, τοῦτό ἐστι τοῦ κατὰ χώραν ἀρχιερέως, καὶ ἀμαθείας κατάκρισις· τοῦτο δὲ νόει, ὅταν γίνηται παρὰ γνώμην τοῦ ἐγχωρίου ἐπισκόπου. Εἰ γὰρ κατὰ γνώμην αὐτοῦ τοιοῦτόν τι ποιήσει τις, οὐ προκριματισθήσεται· ὅτι καὶ ἱερουργεῖ τις εἰς ἀλλοτρίαν ἐνορίαν ἀπροκριματίστως, θελήσει τοῦ ἔχοντος αὐτήν. Καὶ ὁ μέγας δὲ ἐν θεολογίᾳ Γρηγόριος, τῶν Σασίμων ἐπίσκοπος ὤν, πολλοὺς λόγους ἀνέγνω εἰς Ναζιανζὸν (1), τοῦ πατρὸς αὐτοῦ ἐν ταύτῃ ἀρχιερατεύοντος, καὶ παρίσταται τοῦτο ἀπὸ τοῦ λόγου τοῦ οὕτως ἔχοντος· Τί λύετε τάξιν ἐπαινουμένην; καὶ ὁ σοφώτατος ἐκεῖνος μητροπολίτης Ἐφέσου κὺρ (2) Ἰωάννης, ὁ κατὰ ποταμοὺς προχέων τὰ τῆς φιλοσοφίας νάματα, καὶ κολπωτὸς λεγόμενος, εἰς τὴν λαχοῦσαν αὐτῷ ἀπερχόμενος, μετὰ ἀξιώσεως τῶν κατὰ χώρας ἀρχιερέων δημοσίᾳ ἐδίδασκεν. Ἀνάγνωθι καὶ τὸν ιδ'. κανόνα τῶν ἁγίων Ἀποστόλων. Καλῶς δὲ πρόκειται τῷ κανόνι τὸ, δημοσίᾳ· ἰδιαιτάτως γὰρ ἀπολογεῖσθαι πρὸς τοὺς ἐρωτῶντας περί τινος ἐκκλησιαστικοῦ προβλήματος ἔξεστι παντὶ καὶ πανταχοῦ, καθὼς καὶ ὁ ιά. κανὼν τῆς

---

(1) Χ. Γρ. — Ναζιανζῷ Βευερ. Ε. — (2) Χ. Γρ. — κῦρος Ε. Βευερ.

ἐν Σαρδικῇ συνόδου τὰ περὶ τούτου διατρανοῖ. Εἰ δέ τις ἀπορήσει, πῶς ὁ μὲν κθ'. κανὼν τῆς δ'. συνόδου λέγει, ὅτι τὸ ἐξ ἐπισκόπου εἰς πρεσβυτέρου ἀξίαν καταγαγεῖν, ἱεροσυλία ἐστίν· ὁ δὲ παρὼν κανών φησιν, Εἴ τις φωραθείη τοῦτο ποιῶν, παυέσθω τῆς ἐπισκοπῆς, τὰ δὲ τοῦ πρεσβυτέρου(1) ἐνεργείτω· ἀκούσει, ὅτι ἐκεῖ περὶ καθαιρέσεώς φησιν εὐλόγου, ἢ παραλόγου (2)· ἢ γὰρ δι' αἰτίαμά τι εὔλογον ἐξεβλήθη τῆς ἐπισκοπῆς, καὶ οὐδὲ πρεσβύτερος ἔσται· ἢ ἀναιτίως, καὶ οὐδὲ οὕτως εἰς πρεσβυτέρου βαθμὸν καταταχθήσεται, ἀλλ' ἔσται αὖθις ἐπίσκοπος. Ἐνταῦθα δὲ, ἁμάρτημα μὲν ὁ ἐπίσκοπος κωλύον αὐτὸν τῆς ἱερωσύνης οὐχ ἥμαρτε· φιλοδοξία δὲ ἦν καὶ δόξης ἔρως, ὃ ἥμαρτεν· ἵνα γοῦν ἀντίῤῥοπον τὴν τιμωρίαν ἕξῃ τῷ πταίσματι αὐτοῦ, καὶ ταπεινωθῇ, παύεται μὲν τῆς ἐπισκοπικῆς τιμῆς, κατατάττεται δὲ εἰς πρεσβυτέρου τιμὴν (3)· τὸ γὰρ καθαιρεῖσθαι τοῦτον, καὶ γίνεσθαι ἱερέα, οὐ δέδοκται τοῖς πατράσιν. Ἀνάγνωθι καὶ τὸν ιή. κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου· τὴν δὲ ἐνέργειαν ἐκλαβοῦ καὶ εἰς τὴν διδασκαλικὴν ἐνέργειαν, καὶ εἰς τὴν ἱεροπραξίαν (4)· οἱ γὰρ ἱερεῖς τὸ παλαιὸν καὶ τὸ διδάσκειν ἐπάναγκες εἶχον (5).

ΑΡΙΣΤ. Ἐπίσκοπος ἐν ἑτέρᾳ πόλει δημοσίᾳ μὴ διδασκέτω· εἰ δὲ φωραθῇ, παυέσθω τῆς ἐπισκοπῆς, τὰ τῶν πρεσβυτέρων ἐνεργῶν.

Ὁ τοῦτο ποιῶν ἐπίσκοπος, ἐπεὶ δι' ἀλαζονείαν, καὶ τύφον, καὶ καταφρόνησιν τοῦ ἐκεῖσε ἐπισκόπου δημοσίᾳ διδάσκει, ὡς σπουδάζων καταισχύνειν, καὶ κατευτελίζειν, καὶ τὴν ἀλλοτρίαν καθέδραν ἑαυτῷ προμνηστεύεσθαι, εὐλόγως παυθήσεται τῆς ἐπισκοπῆς· ὁ γὰρ τῶν ἀλλοτρίων ἐφιέμενος, καὶ τῶν ἰδίων στερίσκεται· εἰς δὲ τὸν τόπον τῶν πρεσβυτέρων κατενεχθήσεται, καὶ κατ' αὐτὸν ἐνεργήσει. Καὶ σημείωσαι, πότε καὶ ἐπίσκοπος εἰς

---

(1) πρεσβυτερείου Χ. Τρ. — (2) εὐλόγως ἢ παραλόγως Ε. — (3) τάττεται Χ. Τρ. — εἰς πρεσβυτέρου τόπον Ε. — (4) Τὰ ἀπὸ τοῦ, τὸ γὰρ καθαιρεῖσθαι τοῦτον . . . εἶχον, οὐ κεῖται παρὰ Ε. εἰμὴ λατινιστί. — (5) Χ. Τρ. παρὰ δὲ Βευερ. ἡ φράσις αὕτη ἔχει οὕτω· Εἰς τὴν διδασκαλικὴν ἐνέργειαν καὶ μὴ εἰς τὴν ἱεροπραξίαν· οἱ γὰρ ἱερεῖς τὸ παλαιὸν ἐξ ἀνάγκης εἶχον τὸ διδάσκειν.

πρεσβυτέρου τόπον κατάγεται· ὁ γὰρ εἰκοστὸς ἔννατος κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου ἱεροσυλίαν ἄντικρυς καλεῖ τὸ τὸν ἐπίσκοπον εἰς πρεσβυτέρου κατάγειν βαθμόν· καὶ ἔχε τὸν παρόντα κανόνα ὑπεξῃρημένον ἐκ τοῦ καθολικοῦ ἐκείνου κανόνος.

Κανὼν ΚΑ'.

Οἱ ἐπ' ἐγκλήμασι κανονικοῖς (1) ὑπεύθυνοι γινόμενοι, καὶ διὰ τοῦτο παντελεῖ τε καὶ διηνεκεῖ καθαιρέσει ὑποβαλλόμενοι, καὶ (2) ἐν τῷ τῶν λαϊκῶν ἀπωθούμενοι τόπῳ· εἰ μὲν ἑκουσίως πρὸς ἐπιστροφὴν ὁρῶντες ἀθετοῦσι τὴν ἁμαρτίαν, δι' ἣν τῆς χάριτος ἐκπεπτώκασι, καὶ ταύτης τέλεον ἀλλοτρίους ἑαυτοὺς καθιστῶσι, τῷ τοῦ κλήρου κειρέσθωσαν σχήματι· εἰ δὲ μὴ τοῦτο αὐθαιρέτως αἱρήσονται, καθάπερ οἱ λαϊκοί, τὴν κόμην ἐπιτρεφέτωσαν, ὡς τὴν ἐν κόσμῳ ἀναστροφὴν τῆς οὐρανίου ζωῆς προτιμήσαντες.

ΖΩΝΑΡ. Διάφορά εἰσιν ἐγκλήματα, δι' ἃ καθαιροῦνται οἱ ἱερωμένοι, καὶ ἐξωθοῦνται τοῦ κλήρου, καὶ συναριθμοῦνται τοῖς λαϊκοῖς· κείσθω δὲ νῦν ἡμῖν εἰς παράδειγμα ἡ πορνεία. Εἰ γοῦν ἁλῷ τις πορνεύσας πρεσβύτερος, ἢ διάκονος, καθαιρεῖται καὶ συντάσσεται λαϊκοῖς. Εἰ μὲν οὖν μετὰ τὴν καθαίρεσιν ἑκουσίως πρὸς μετάνοιαν ἀπονεύσῃ, καὶ ἀπόσχηται τῆς ἁμαρτίας, δι' ἣν τῆς ἱερωσύνης ἐξέπεσε, καὶ τέλεον τοῦ πτώματος ἀπαλλοτριώσῃ ἑαυτόν, ἐφίησιν αὐτῷ ὁ κανὼν κατὰ κληρικοὺς κείρεσθαι, ὥστε τῷ σχήματι τέως κεκοσμῆσθαι τῶν κληρικῶν, καὶ μὴ πάντῃ αἰσχύνεσθαι εἰς λαϊκοῦ καταχθέντα καὶ σχῆμα καὶ τόπον· εἰ δὲ ἐπιμένει τῇ ἁμαρτίᾳ, καὶ οὐχ αἱρεῖται τὴν ἐπιστροφὴν ἑκουσίως, τρέφειν αὐτὸν τὴν κόμην διακελεύεται κατὰ λαϊκούς, καὶ μὴ τὰς τῆς κορυφῆς ξυρᾶσθαι τρίχας· ἵν' αἰσχύνοιτο ὡς εἰς λαϊκοὺς ἀπωσθεὶς ὁ πρὶν ἱερεύς, ἢ διάκονος· καὶ οὕτω ποτὲ συνήσῃ, καὶ τῆς ἁμαρτίας ἀπόσχηται.

---

(1) Π. Βευερ. 'Ε. Κ. — κανονικῶς Βρ. Χ. Τρ. — (2) ὁ, καί, οὐχ εὕρηται παρὰ Βρ.

ΒΑΛΣ. Σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι οἱ ἀπό τινος ἐγκλήματος καθαιρούμενοι, ὡς λαϊκοὶ λογίζονται, καὶ οὐ δύνανται μετὰ τὴν καθαίρεσιν ἐνεργεῖν οἱονδήτι ἀνῆκον κληρικῷ, μόνους δὲ τοὺς ἀποστάντας τοῦ ἁμαρτήματος, δι' ὃ καθηρέθησαν, τυχὸν τῆς πορνείας, ἢ ἑτέρου τινὸς, διορίζεται ὁ κανὼν, κείρεσθαι τὴν κεφαλὴν κατὰ κληρικοὺς, ἤγουν ἔχειν τὴν λεγομένην* (1) παπαλήθραν, καὶ ἐνδύεσθαι σχῆμα κληρικοῦ· φιλανθρωπότερον γὰρ ἐπὶ τούτοις διατίθεται διὰ τὴν μετάνοιαν. Τοὺς δέ γε ἀμεταθέτως ἐξεχομένους τῆς ἁμαρτίας, τρέφειν τὴν κόμην διακελεύεται κατὰ λαϊκούς· ἵνα ἔχοιεν πλείονα αἰσχύνην, μὴ παραχωρούμενοι ἐν μετοχῇ κληρικοῦ ὅλως εἶναι, ἀλλὰ καὶ αὐτοῦ τοῦ ἐνδύματος στερισκόμενοι· καὶ ὁ μὲν κανὼν ταῦτα. Ἡ δὲ οθ'. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος, τοῦ φιλοσόφου, καθαιρεῖσθαι διοριζομένη τοὺς μετὰ τὴν χειροτονίαν γαμοῦντας, εὐδοκεῖ μήτε τοῦ σχήματος τῶν κληρικῶν αὐτοὺς ἀπαλλοτριοῦσθαι, μήτε τῆς ἐν τῇ ἐκκλησίᾳ κοινοτέρας ὑπηρεσίας· καὶ ἡ ζ'. νεαρὰ τοῦ αὐτοῦ βασιλέως, τοὺς ἀπὸ κληρικῶν πρὸς λαϊκοὺς μετασχηματισθέντας, καὶ ἄκοντας πρὸς αὐτὸ πάλιν ἀποκαθίστασθαι διορίζεται· φαίνεται οὖν ἐναντιότης ἐν τούτοις. Ἐμοὶ δὲ δοκεῖ τὸν μὲν κανόνα νομοθετεῖν περὶ τῶν καταδικαζομένων δι' ἔγκλημά τι προσαγγελθὲν, καὶ ἀμεταθέτως ἐξεχομένων τοῦ κακοῦ· οἷον διὰ μοιχείαν, διὰ διαρπαγὴν, διὰ ἱεροσυλίαν· τὴν δὲ νεαρὰν, περὶ τῶν μετὰ τὴν χειροτονίαν διγαμησάντων, ὅπερ, κἂν καθαίρεσιν ἐπάγῃ, ἀλλ' οὖν διὰ τὸν γάμον συγγινώσκεται. Καὶ διὰ τοῦτο παρεχωρήθησαν οἱ τοιοῦτοι ἀπὸ τῆς νεαρᾶς ἐνεργεῖν τὰ ἔξω τοῦ βήματος· οἱ δὲ λοιποὶ οἱ μετασχηματισθέντες, ὡς οἴομαι, κατὰ τὴν νεαρὰν, ἀναγκασθήσονται μὴ κατορχεῖσθαι τοῦ ἁγίου σχήματος.

ΑΡΙΣΤ. Ὁ διηνεκῶς καθῃρημένος, καὶ εἰς τοὺς λαϊκοὺς ἀπωσθεὶς, μεταμελόμενος, καθαιρείσθω, καὶ κειρέσθω μόνον· εἰ δὲ μὴ, τὴν κόμην ἐπιτρεφέτω.

Ὁ μὲν τῆς ἀξίας μετακινηθεὶς πρεσβύτερος, ἢ διάκονος, τῆς

---

(1) Οὐ κεῖται ἡ λέξις παρὰ 'Ε. καὶ Βευερ.

δὲ τιμῆς μετέχων καὶ τῆς καθέδρας, κατὰ τοὺς λοιποὺς τοὺς ἐν κλήρῳ τὴν κεφαλὴν ὀφείλει ἀποκείρεσθαι. Ὁ δ' ἐπ' ἐγκλήμασι γεγονὼς ὑπεύθυνος, καὶ καθαιρεθεὶς, καὶ εἰς τὸν τόπον τῶν λαϊκῶν ταχθεὶς, εἰ μὲν ἑκουσίως ἀθετεῖ τὴν ἁμαρτίαν, δι ἧς τῆς χάριτος ἐστερήθη, καὶ τῆς τιμῆς, καὶ πρὸς ἐπιστροφὴν ὁρᾷ, κατὰ τοὺς κληρικοὺς τῆς κεφαλῆς τὰς τρίχας κειρέσθω· εἰ δὲ οἰκείᾳ γνώμῃ τοῦ πταίσματος οὐκ ἀφίσταται, ἀλλὰ πράττειν τοῦτο ἀρνεῖται, κατὰ τοὺς λαϊκοὺς τὴν κόμην ἐπιτρεφέτω· ὡς προτιμησάμενος τὴν ἐν κόσμῳ ἀναστροφὴν τῆς οὐρανίου ζωῆς.

Κανὼν ΚΒ'.

Τοὺς ἐπὶ χρήμασι χειροτονουμένους, εἴτε ἐπισκόπους, ἢ οἱουσδήποτε κληρικοὺς, καὶ οὐ κατὰ δοκιμασίαν, καὶ τοῦ βίου αἵρεσιν, καθαιρεῖσθαι προστάσσομεν· ἀλλὰ καὶ τοὺς χειροτονήσαντας.

—

ΖΩΝΑΡ. Μυρίοι κανόνες περὶ τούτων διαγορεύουσιν, ἀλλ' ἔτι τὸ κακὸν, ὡς γάγγραινα τὰς ἐκκλησίας ἐνέμετο· διὸ καὶ οἱ τῆς ἕκτης ταύτης συνόδου τὸν κανόνα τοῦτον ἐξέθεντο· καί φασιν, ὡς, εἴ τις ἐπίσκοπος, ἢ οἱοσδήποτε κληρικὸς, ἐπὶ χρήμασι τὴν χειροτονίαν ὠνήσαιτο, καὶ οὐ προκριθείη δοκιμασθεὶς, καὶ εὑρεθεὶς βίον αἱρετισάμενος σεμνόν τε καὶ ἄμεμπτον, ὁ τοιοῦτος καθαιρείσθω· καὶ οὐχ ὁ μὲν χειροτονηθεὶς ἐπὶ χρήμασι καθαιρεθήσεται, ὁ δὲ χειροτονήσας αὐτὸν οὕτως ἀτιμώρητος ἔσται, ἀλλὰ κἀκεῖνος τῇ καθαιρέσει ὑποβληθήσεται· ἐξήγηται δὲ τὰ περὶ τούτου πλατύτερον ἐν ἑτέροις κανόσιν.

ΒΑΛΣ. Περὶ χειροτονουμένων διὰ χρημάτων, ἢ διὰ προστασίας ἀρχόντων, εἰς διαφόρους κανόνας ἐγράψαμεν τὰ εἰκότα· καὶ ὁ παρὼν κανὼν καθαιρεῖσθαί φησι τὸν οὕτω χειροτονηθέντα, καὶ τὸν χειροτονήσαντα.

ΑΡΙΣΤ. Ὁ χειροτονηθεὶς ἐπὶ χρήμασι, συγκαθαιρείσθω τῷ χειροτονήσαντι. Σαφής.

Κανὼν ΚΓ'.

Περὶ τοῦ μηδένα τῶν εἴτε ἐπισκόπων, εἴτε πρεσβυτέ-

ρων, ἢ διακόνων (1), τῆς ἀχράντου μεταδιδόντα κοινωνίας, παρὰ τοῦ μετέχοντος εἰσπράττειν, τῆς τοιαύτης μεταλήψεως χάριν, ὀβολοὺς, ἢ εἶδος τὸ οἱονοῦν. Οὐδὲ γὰρ πεπραμένη (2) ἡ χάρις, οὐδὲ χρήμασι τὸν ἁγιασμὸν τοῦ Πνεύματος μεταδιδόαμεν, ἀλλὰ τοῖς ἀξίοις τοῦ δώρου ἀπανουργεύτως (3) μεταδοτέον. Εἰ δὲ φανείη τις τῶν ἐν κλήρῳ καταλεγομένων ἀπαιτῶν, ᾧ (4) μεταδίδωσι τῆς ἀχράντου κοινωνίας, τὸ οἱονοῦν εἶδος, καθαιρείσθω, ὡς τῆς Σίμωνος ζηλωτὴς πλάνης καὶ κακουργίας.

—

ΖΩΝΑΡ. Τοὺς μεταδιδόντας τῷ λαῷ τῶν θείων καὶ φρικτῶν μυστηρίων, κωλύει ὁ κανὼν ἀπαιτεῖν ἀπὸ τῶν μεταλαμβανόντων ὀβολοὺς, ἢ οἱονδήποτε εἶδος· ἡ γὰρ χάρις, φησὶν, οὐ πιπράσκεται, οὐδὲ χρήμασιν ὁ ἁγιασμὸς μεταδίδοται, ἀλλὰ δῶρον τοῖς ἀξίοις διανέμεται. Ὁ δέ τι ἀπαιτῶν τοὺς μεταλαμβάνοντας, κἂν ἐλάχιστον εἴη, καθαιρεθήσεται, ὡς τῆς Σίμωνος ζηλωτὴς πλάνης καὶ κακουργίας· ἐκεῖνος γὰρ ἐζήτει δοθῆναι αὐτῷ ἐπὶ χρήμασιν ὤνιον τὴν χάριν τοῦ Πνεύματος.

ΒΑΛΣ. Καταλύσας πρὸ χρόνων ἱκανῶν εἰς χωρίον τι, Καλοτυχάδα ἐπιλεγόμενον, καὶ ἐν τῷ θέματι Χεῤῥονήσου διακείμενον, κατὰ τὴν ἁγίαν Κυριώνυμον τοῦ Πάσχα τῆς τοῦ Χριστοῦ Ἀναστάσεως, εἶδον χωριτικὰ γύναια καὶ ἀνδράρια, μετὰ τὴν ἑωθινὴν θείαν ὑμνῳδίαν, τῷ ναῷ τῆς καθολικῆς ἐκκλησίας συῤῥέοντα, μετὰ ὀρνιθείων ᾠῶν ἐν ζύμῃ ἄρτου συνηνωμένων, καὶ μετὰ κρεῶν τεταριχευμένων, καὶ μετὰ ἄλλων τινῶν εἰδῶν βρωσίμων, ἢ καὶ πρὸς ἄλλο τι ἐπιτηδείων· καὶ ἠρώτησα, τίνος χάριν τοῦτο γίνεται; καὶ ἤκουσα, ὡς ἕκαστος δεξιοῦται τὸν ἱερέα τὸν μεταδιδόντα τῷ λαῷ τῶν θείων ἁγιασμάτων, ἐφ' οἷς δύναται· ἄλλως γὰρ οὐκ ἔξεστιν ἐντυχεῖν τινα τῷ ἱερεῖ, καὶ τῶν ἁγιασμάτων

(1) Π. Ἑ. Κ. Βευερ. Σ. Ῥ. — μηδένα εἴτε ἐπίσκοπον, εἴτε πρεσβύτερον, ἢ διάκονον Χ. Τρ. Βρ. — (2) Π. Ἑ. Κ. Χ. Τρ. Βρ. Σ. Ῥ. — ἐστὶν ἡ χάρις Βευερ. — (3) Π. Χ. Τρ. Κ. Σ. Ῥ. — ἀπανουργήτως Ἑ. Βευερ. Βρ. — (4) τὸν ᾧ μεταδίδωσι Σ. Ῥ.

μεταλαβεῖν. Καὶ τότε μὲν ἐμεμψάμην τὸ γινόμενον. Ἀρτίως δὲ ἐντυχὼν τῷ παρόντι κανόνι, ηὐχαρίστησα αὐτῷ, ὡς κωλύοντι ἀπαιτεῖσθαι τοὺς μεταλαμβάνοντας τῶν ἁγιασμάτων, ὀβολοὺς, ἢ οἱονδήποτε εἶδος· ὅτι, φησὶν, οὐ πιπράσκεται, οὐδὲ χρήμασιν ὁ ἁγιασμὸς μεταδίδοται· ἀλλὰ δῶρον τοῖς ἀξίοις τὰ ἅγια δῶρα διανέμεται· διὰ γὰρ τοῦτο, ὡς ἔοικε, καὶ ἁγία δωρεὰ κατὰ κοινολαΐτας λέγονται τὰ ἅγια. Τὸν δὲ παρὰ ταῦτα ποιοῦντα, καθαιρεῖσθαι ὁ κανὼν διορίζεται, ὡς τῆς κακίας καὶ τῆς πλάνης τοῦ Σίμωνος ζηλωτήν.

ΑΡΙΣΤ. Ὁ τῆς ἀχράντου μεταδιδοὺς κοινωνίας, καὶ ὀβολὸν ἀπαιτῶν, ἢ ἕτερον εἶδος, καθαιρείσθω. Σαφής.

Κανὼν ΚΔ΄.

Μὴ ἐξέστω τινὶ τῶν ἐν ἱερατικῷ καταλεγομένων τάγματι, ἢ μοναχῶν (1), ἐν ἱπποδρομίαις ἀνιέναι, ἢ θυμελικῶν παιγνίων ἀνέχεσθαι· ἀλλ᾽ εἰ καί τις κληρικὸς κληθείη ἐν γάμῳ, ἡνίκα ἂν τὰ πρὸς ἀπάτην εἰσέλθοιεν παίγνια, ἐξαναστήτω, καὶ παραυτίκα ἀναχωρείτω (2), οὕτω τῆς τῶν Πατέρων ἡμῖν προστασσούσης διδασκαλίας. Εἰ δέ τις ἐπὶ τούτῳ ἁλῷ, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

ΖΩΝΑΡ. Ἐν ἱπποδρομίαις, καὶ ἐν παιγνίοις θυμελικοῖς παρουσιάζειν ἱερωμένους, ἢ μοναχοὺς (3), ἀπαγορεύει ὁ κανὼν οὗτος. Ἀλλὰ κἂν κληρικός τις, φησὶν, εἰς γάμον κληθείη, ὅτε τὰ παίγνια εἰσέλθοιεν, ἀναχωρείτω ἐκεῖθεν· οὕτω γὰρ οἱ Πατέρες ἡμῶν ἐδίδαξαν. Πατέρας δ᾽ ἐνταῦθα φασὶν οἱ τῆς συνόδου ταύτης τοὺς ἐν Λαοδικείᾳ συνελθόντας ἐπισκόπους, καὶ τὴν ἐκεῖ συγκροτήσαντας σύνοδον. Φησὶ γὰρ ὁ νδ΄. τῆς τοιαύτης συνόδου κανὼν, ὅτι οὐ δεῖ ἱερατικοὺς, ἢ κληρικούς τινας θεωρίας θεωρεῖν ἐν γάμοις, ἢ δείπνοις, ἀλλὰ πρὸ τοῦ εἰσέρχεσθαι θυμελικοὺς, ἐγείρεσθαι αὐτοὺς, καὶ ἀναχωρεῖν ἐκεῖθεν. Οἱ μὲν οὖν τῆς ἐν Λαοδι-

---

(1) Π. Χ. Τρ. Βρ. Σ. Ῥ. — ἢ μοναχῷ Ἐ. Κ. Βευερ. — (2) καὶ αὐτίκα ὑποχωρείτω Χ. Τρ. — (3) Χ. Τρ. — ἢ ἀσκητὰς ἅπαντας Βευερ. Κ.

κείᾳ συνόδου οὐκ ἐπήγαγον τοῖς μὴ τηροῦσι τὸν κανόνα τι ἐπιτίμιον· οἱ δὲ τῆς ἕκτης ταύτης συνόδου παύσασθαι τοὺς τοιοῦτόν τι ποιοῦντας παραινοῦσι· μὴ παυομένους δὲ, ἀλλ' ἔτι ἐχομένους τῆς ἀσχήμονος πράξεως, καὶ καθαιρεῖσθαι προστάττουσιν.

ΒΑΛΣ. Ἀκολούθως τῷ νδ'. κανόνι τῆς ἐν Λαοδικείᾳ συνόδου, ἀπαγορεύει καὶ ὁ παρὼν κανὼν, εἰς ἱπποδρομίαν ἀνιέναι ἱερατικοὺς, ἢ μοναχοὺς, ἢ θυμελικῶν παιγνίων ἀκούειν· προσθέμενος, τοὺς μετακαλουμένους εἰς γάμον κληρικοὺς (περὶ γὰρ μοναχῶν εἰπεῖν ἄτοπον ἐλογίσθη τοῖς Πατράσι, διὰ τὸ πάντη ἀπρεπὲς), ἀναχωρεῖν ἅμα τῷ εἰσελθεῖν τὰ παίγνια. Πλὴν ὁ μὲν κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου οὐ (1) κολάζει τοὺς ἀθετητὰς τούτου· οὗτος δὲ παραινεῖ παύσασθαι τοὺς τοιοῦτόν τι ποιοῦντας· μὴ παυομένους δὲ, καθαιρεῖσθαι διορίζεται. Ταῦτα τῶν διττῶν τούτων κανόνων λεγόντων, καὶ κωλυθέντων πρὸ μικροῦ παρὰ τοῦ μέρους τῆς ἐκκλησίας τῶν μοναχῶν, καὶ τῶν ἱερωμένων πάντων, ἀπελθεῖν εἰς τὰς γινομένας ἱπποδρομίας, εἶπόν τινες, ὅτι τὸ μὲν μὴ ἀπελθεῖν μοναχὸν, ἢ κληρικὸν εἰς ἱπποδρόμιον, μηδὲ ἰδεῖν θεωρίαν τὴν ὄψιν ἐκθηλύνουσαν, μηδὲ ῥημάτων ἀκροάσασθαι καταγοητευόντων τὴν ἀκοὴν, ἐπαινετόν ἐστι, καὶ πολλῆς εὐχαριστίας ἄξιον· ὥσπερ καὶ τὸ παρθενεύειν, καὶ τὰ λοιπὰ τὰ τὸν ἄνθρωπον ἁγιάζοντα· εἰ δέ τις μὴ δυνάμενος παρθενεύειν γαμήσει, οὐ κολασθήσεται· καὶ ὁ μὴ δυνάμενος παντὸς ἐνηδόνου ἀπέχεσθαι, ἐὰν ἀνέλθῃ εἰς ἱπποδρόμιον, συγγνωσθήσεται· καὶ μᾶλλον, ἐὰν ἐφάπαξ καὶ οὐ κατὰ παράχρησιν εἰς τοῦτο ἐκδώσῃ ἑαυτόν. Ὁ γὰρ κανὼν οὗτος, φασὶ, τὰς ποτὲ γινομένας ἱπποδρομίας ἀπαγορεύει, οὐ μὴν τὰς σήμερον τελουμένας κατ' ἐπιτροπὴν καὶ παρουσίαν βασιλικήν. Τότε μὲν γὰρ, τῶν δήμων κατεξουσιαζόντων ἐν ταῖς ἱπποδρομίαις, κα ποιούντων ταύτας ὅτε καὶ ὅπως ἠβούλοντο, ἐκ δαπανημάτωνὶ οἰκείων, ὡς καὶ ἐχόντων οἴκους, καὶ ἵππους, καὶ ἱππῶνας, τοὺς καὶ μέχρι καὶ νῦν περισωζομένους, καὶ προσόδους χάριν τῶν ἱπποδρομιῶν, καὶ τοῦ βασιλέως προσκαλουμένου, καὶ εἰς τοῦτο

(1) τὸ, οὐ, οὐ κεῖται παρὰ Ε.

μὴ ἐξουσιάζοντος, πολλὰ στασιώδη καὶ ἄτοπα συνέπιπτον γίνεσθαι κατὰ τὸν τῆς ἱπποδρομίας καιρόν· τῶν μὲν, προστιθεμένων τῷ δήμῳ τῶν Βενετῶν, τῶν δὲ, τῷ μέρει τῶν Πρασίνων. Ἐν καιροῖς δέ τισι καὶ πόλεμοι συνεκροτήθησαν ἐμφύλιοι μέσον τῶν ἀντιθέτων μερῶν, καὶ κατὰ τῆς βασιλείου περιωπῆς ἀναιδῆ ῥήματα οἱ δημόται ἀπηρεύξαντο, καθὼς ἀπὸ διαφόρων χρονικῶν τοῦτο παρίσταται· οἷόν τι γέγονεν ἐπὶ τοῦ βασιλέως Ἰουστινιανοῦ, ἐπὶ τοῦ Ἀναστασίου, ἐπὶ τοῦ Φωκᾶ τοῦ τυράννου, καὶ ἐπὶ ἑτέρων βασιλέων. Ἀλλὰ καὶ συνθηκίζειν τὰ μέρη μὴ κωλυόμενα, διὰ κόττου καὶ τύχης τὴν νίκην ἀνεκαλοῦντο· ὅπερ τοῖς θείοις κανόσι παντελῶς ἀπηγόρευται. Ἐπέτρεπον δὲ καὶ τὰς θηριομαχίας, καὶ ἄλλα τινὰ αἰσχρὰ καὶ ἀπρεπῆ· διὰ γὰρ τοῦτο, φασὶ, καὶ ὁ νά. κανὼν τῆς παρούσης συνόδου ἀπαγορεύει τοὺς μίμους, καὶ τὰ θέατρα, καὶ τὰ τῶν κυνηγίων θεώρια, καὶ τὰς ἐπὶ σκηνῆς ὀρχήσεις· καὶ διορίζεται, τοὺς καταφρονητὰς αὐτοῦ, κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἀφορίζεσθαι. Καὶ τὸ τέλος τοῦ ιέ. κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου λέγει οὕτω ῥητῶς· Καὶ ὥστε τὰ τέκνα τῶν ἱερέων θεώρια καὶ (1) κοσμικὰ μὴ ἐκτελεῖν, μηδὲ θεωρεῖν. Τοῦτο δὲ καὶ πᾶσι Χριστιανοῖς ἀεὶ κεκήρυκται, ὥστε ὅπου βλασφημίαι εἰσὶ μὴ προσιέναι. Σήμερον δὲ τῶν ἱπποδρομιῶν τελουμένων κατὰ παρουσίαν βασιλικὴν, δίχα τοιούτου ἀποτροπαίου τινὸς, κακόν τι γίνεσθαι οὐχ ὑποπτεύεται· διὸ εἶπον, ὡς ἐπαινετὸν μέν ἐστι τὸ μηδὲ ὅλως ἡδονῆς ἐξ ἱπποδρομίας, ἢ ἄλλου τινὸς θυμήρους γεύσασθαί τινα· ἀκόλαστον δὲ, καὶ τὸ εἰς τοιαύτας ἱπποδρομίας κληρικοὺς ἀπέρχεσθαι. Εἰ γὰρ πᾶσα ἱπποδρομία ἥ τε ἔκπαλαι τελουμένη, καὶ ἡ σήμερον γινομένη, ἀπαγορεύεται κατὰ τοὺς πολλοὺς, ὥσπερ δὴ καὶ πάντα τὰ θεώρια, καὶ τὰ κυνήγια, ἀναγκασθήσεταί τις εἰπεῖν, μηδὲ ὅλως γίνεσθαί τι τοιοῦτον ποτὲ τῶν καιρῶν παρὰ βασιλέως, ἢ ἑτέρου τινός· ἀπρακτῆσαι δὲ καὶ τὰ μετὰ κυναρίων λαγοκυνήγια, ἵνα μὴ καὶ οἱ λαϊκοὶ εἰς ἱπποδρομίας, καὶ θεωρίας, καὶ κυνήγια ἀσχολούμενοι, ἀφορισμῷ ὑποπέσωσιν, ὅπερ ἄτοπον. Διὰ γοῦν τοῦτο ὀφείλουσι τὰ τῆς ἱπποδρομίας καὶ τὰ

(1) Χ. Γρ. ὃ καὶ οὐ κεῖται παρὰ Βενετ. καὶ Ἑ.

τῶν θεωριῶν, καὶ τὰ τῶν κυνηγίων εἰς δύο διαιρεῖσθαι, ὡς εἴρηται· εἰς τὰ πάντη ἀποτρόπαια, εἰς ἃ μὴ μόνον κληρικοί, ἀλλ' οὐδὲ λαϊκοὶ παραχωροῦνται ἀπέρχεσθαι, τῷ φόβῳ τοῦ ἀφορισμοῦ· καὶ εἰς τὰ ἐπιτετραμμένα, τὰ καὶ σήμερον ἐνεργοῦντα, εἰς ἃ οὐ μόνον λαϊκοί, ἀλλὰ καὶ κληρικοὶ ἀπροκριματίστως ἀπελεύσονται. Ὅτι δέ, φασίν, οὐ πάντα τὰ θεώρια καὶ τὰ ἱπποδρόμια οἱ κανόνες ἀπηγόρευσαν, ἀλλὰ τὰ κινδυνώδη καὶ αἰσχρά, δηλοῦται ἀπὸ τοῦ ξά. κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου, λέγοντος ταῦτα ῥητῶς· Κἀκεῖνο δὲ αἰτῆσαι, ἵνα τὰ θεώρια τῶν θεατρικῶν παιγνίων ἐν ταῖς Κυριακαῖς (1), καὶ ἐν ταῖς λοιπαῖς φαιδραῖς τῆς τῶν Χριστιανῶν πίστεως ἡμέραις, κωλύωνται, μάλιστα δέ, ὅτι ἐν τῇ ὀγδοάδι τοῦ ἁγίου Πάσχα, οἱ ὄχλοι μᾶλλον εἰς τὰς ἱπποδρομίας, ἤπερ εἰς τὴν ἐκκλησίαν συνέρχονται, ὀφείλειν μετενεχθῆναι τὰς ὡρισμένας αὐτῶν ἡμέρας, ὅτε ἀπαντήσει· καὶ μὴ ὀφείλειν τινὰ τῶν Χριστιανῶν εἰς τὰ θεώρια ταῦτα ἀναγκάζεσθαι· πάντως γὰρ εἰ παρὰ τῶν κανόνων πᾶσα ἱπποδρομία ἐκωλύετο, οὐκ ἂν οἱ Πατέρες ᾐτήσαντο μὴ γίνεσθαι τὰς ἱπποδρομίας καὶ τὰ θεώρια ἐν ταῖς Κυριωνύμοις, καὶ ἐν ταῖς λοιπαῖς ἑορτασίμοις ἡμέραις, ἤγουν ταῖς Πασχαλίοις, ἀλλ' ἐδυσώπησαν ἂν παντελῶς ταῦτα σχολάσαι. Καὶ τῆς ἐκκλησίας δὲ ὁ μέγας διδάσκαλος, ὁ χρυσοῦς τὴν γλῶτταν Ἰωάννης, μόνας ἀποτρέπει τὰς κατὰ τὰς Κυριωνύμους γινομένας ἱπποδρομίας. Προσετίθουν δὲ τοῖς λεγομένοις ὑπ' αὐτοῦ, δι' οὐδὲν ἕτερον ἀναγνώστας εἶναι δημότας σήμερον, ἀλλ' ἢ διὰ τὸ φαίνεσθαι κατὰ προτροπὴν ἐκκλησιαστικὴν τὰς ἱπποδρομίας γίνεσθαι· καὶ τὴν προτέραν ἀταξίαν τῶν λαϊκῶν δημοτῶν, καὶ πάντα τὰ ἀπρεπῆ καὶ ἄσεμνα σχολάσαι. Ἵνα τί γάρ, εἶπον, ἀναγνώσταις δημόταις μόνοις παρεχωρήθη ἐν ταῖς ἱπποδρομίαις παραβάλλειν, καὶ τοῦ δήμου κατάρχεσθαι· τοῖς δὲ λοιποῖς ἀναγνώσταις, καὶ ἱερωμένοις, ἁπλῶς τὰς θύρας τῆς ἱπποδρομίας ἀπέκλεισαν; Ἐχρῶντο δὲ πρὸς ἐπισύστασιν τοῦ λόγου αὐτῶν καὶ τῷ έ. κεφαλαίῳ τοῦ ή. τίτλου τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν, οὕτω λέγοντι· Ἡ διάταξις κωλύει τὰ παίγνια, καὶ πέντε ὑπεξαιρουμένων, ὁρίζει καί τινα ἐπι-

(1) Χ. Τρ. Ἐ. — τό, ἐν ταῖς Κυριακαῖς, οὐ κεῖται παρὰ Βευερ.

τίμια κατὰ τῶν κυβευόντων, ἐπιτρέπουσα καὶ τῷ ἐπάρχῳ τῆς πόλεως, καὶ τοῖς ἄρχουσι τῶν ἐπαρχιῶν, καὶ τοῖς ἐπισκόποις, ζητεῖν καὶ κωλύειν, καὶ πάντα τὰ ἐν αὐτοῖς γινόμενα συναλλάγματα ἀποτρέπειν· δίδωσι δὲ ἀγωγὰς ἐκ τῶν ἐπιτετραμμένων παιγνίων, καὶ ἀπαίτησιν τῶν ἐντεῦθεν χρεωστηθέντων, δέκα λιτρῶν ἐπιτίμιον ὁρίζουσα κατὰ τῶν συγχωρούντων παραβῆναι τὴν διάταξιν. Καὶ ἔλεγον, πένταθλον, ἤγουν πέντε παίγνια εἶναι ἀκώλυτα, πάλην, πυγμὴν, δρόμον, δίαλμα, καὶ δίσκον. Τὸ δὲ ξύλινον ἱππικὸν εἶπον κωλύεσθαι ὑπὸ τοῦ νόμου, διὰ τὸ ἔχειν καὶ τοῦτο αἰτίαν κύβου, ἤγουν κόττου, καθὼς ἐν τῷ κθ΄. κεφ. τοῦ ιγ΄. τίτλου τοῦ παρόντος συντάγματος δηλοῦται. Καὶ ταῦτα μὲν εἶπόν τινες περὶ τῶν ἱπποδρομιῶν· περὶ δὲ τῶν μίμων, καὶ τῶν θυμελικῶν παιγνίων οὐδεμίαν ἐποίησαν διαίρεσιν, ἀλλ' εἰς τὸν διορισμὸν τοῦ κανόνος αὐτὰ ἀνήρτησαν. Οἱ πλείους δὲ, καὶ μᾶλλον οἱ εὐλαβέστεροι, οἷς συντίθεμαι καὶ αὐτὸς, οὐκ ἠρέσθησαν ἐπὶ τούτοις, εἰπόντες, ὀφείλειν τοὺς κανόνας πρὸς τὸ ψυχωφελέστερον ἑρμηνεύεσθαι, οὐ μὴν πρὸς τὸ ἐκκεχυμένον καὶ ἀδιάφορον.

ΑΡΙΣΤ. Κληρικὸς, ἢ μοναχὸς, ἐν ἱπποδρομίαις ἀνιὼν, ἢ καὶ, μελλόντων εἰσιέναι θυμελικῶν ἐν γάμῳ, μὴ προεξιὼν, καθαιρείσθω.

Οὐκ εὐθὺς καθαιρεῖται ὁ κληρικός· ἡνίκα δ' ἂν εἰς γάμον κληθεὶς οὐκ ἐξαναστῇ καὶ ὑποχωρήσῃ, τῶν πρὸς ἀπάτην εἰσερχομένων παιγνίων· ἀλλ' ὁπόταν τοῦτο ποιῶν, οὐ πείθεται παύεσθαι· μὴ παυόμενος δὲ, καθαιρεῖται· ὡσαύτως καὶ ὁ ἐν ἱπποδρομίαις ἀπερχόμενος.

Κανὼν ΚΕ΄.

Πρὸς τοῖς ἄλλοις (1) ἀνανεοῦμεν καὶ τὸν κανόνα τὸν διαγορεύοντα τὰς καθ' ἑκάστην ἐκκλησίαν ἀγροικικὰς παροικίας, ἢ ἐγχωρίους, μένειν ἀπαρασαλεύτους παρὰ τοῖς κατέχουσιν αὐτὰς ἐπισκόποις, καὶ μάλιστα, εἰ τριακονταετῆ χρόνον αὐτὰς ἀβιάστως διακατέχοντες ᾠκονόμησαν. Εἰ δὲ ἐντὸς τῶν τριάκοντα ἐτῶν γεγένηταί τις, ἢ

(1) Χ. Τρ. Κ. Βρ. Βευερ. — ἄλλοις ἅπασιν Π. Β.

γένηται περὶ αὐτῶν (1) ἀμφισβήτησις, ἐξεῖναι τοῖς λέγουσιν ἠδικεῖσθαι, περὶ τούτου κινεῖν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας.

—

ΖΩΝΑΡ. Οὗτος ὁ ἀνανεούμενος κανὼν, τῆς τετάρτης συνόδου ἐστὶν ἑπτακαιδέκατος, ὃς ἐξηγήθη ἐκεῖσε, καὶ ζητητέον τὰ ἐκεῖ γεγραμμένα.

ΒΑΛΣ. Οὗτος ὁ ἀνανεούμενος κανὼν, τῆς δ'. συνόδου ἐστὶ κανὼν ιζ'. καὶ ἀνάγνωθι τὴν ἑρμηνείαν αὐτοῦ.

ΑΡΙΣΤ. Ἀγροικικαὶ καὶ ἐγχώριοι παροικίαι, ἐπὶ τριακονταετίαν ἐρχόμεναι, κατεχέσθωσαν· ἔνδον δὲ τὸ ἀμφισβητήσιμον ἕξουσι.

Ἀγροικικὰς παροικίας λέγει (ὡς καὶ ἐν τῷ ἑπτακαιδεκάτῳ κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου ἐγράψαμεν) τοὺς ἰδιωτάτους τῶν ἐκκλησιῶν ἀγροὺς, καὶ μὴ ἀνακεκοινωμένους ὅλως ὄντας ἔν τισι κώμαις, ἢ καὶ χωρίοις· οὓς καὶ μονοίκια νῦν λέγουσιν· ἐγχωρίους δὲ, τοὺς ἐν μέσοις χωρίοις, ἢ κώμαις, κειμένους ἀγρούς. Εἴ τις οὖν τῶν ἐπισκόπων ἐπὶ τριακονταετίαν κατέσχε τοιαύτην τινὰ ἐγχώριον, ἢ καὶ ἀγροικικὴν παροικίαν, ἑτέρῳ διαφέρουσαν ἐπισκόπῳ, καὶ οὐδεμίαν ὑπέστη ὄχλησιν περὶ αὐτῆς ἐντὸς τῆς τριακονταετηρίδος, ἀπαρασαλεύτως ταύτην καθέξει. Εἰ δὲ ἀμφιβολία γέγονε περὶ αὐτῆς μέσον ἀμφοτέρων τῶν ἐπισκόπων, μήπω τῆς τριακονταετίας παραδραμούσης, ἔξεστι τῷ οἰομένῳ ἀδικεῖσθαι, παρὰ τῇ συνόδῳ τῆς ἰδίας ἐπαρχίας περὶ ταύτης κινεῖν.

Κανὼν ΚϚ'.

Πρεσβύτερον, τὸν κατὰ ἄγνοιαν ἀθέσμῳ γάμῳ περιπαρέντα, καθέδρας μὲν μετέχειν, κατὰ τὰ ὑπὸ τοῦ ἱεροῦ κανόνος ἡμῖν νομοθετηθέντα, τῶν δὲ λοιπῶν ἐνεργειῶν ἀπέχεσθαι· ἀρκετὸν γὰρ τῷ τοιούτῳ ἡ συγγνώμη. Εὐλογεῖν δὲ ἕτερον τὸν τὰ οἰκεῖα τημελεῖν ὀφείλοντα τραύ-

(1) Σ. 'Ρ. — περὶ αὐτὸ Βευερ.

ματα, ἀνακόλουθον· εὐλογία γὰρ, ἁγιασμοῦ μετάδοσίς ἐστιν· ὁ δὲ τοῦτον (1) μὴ ἔχων, διὰ τὸ ἐκ τῆς (2) ἀγνοίας παράπτωμα, πῶς ἑτέρῳ μεταδώσει; Μήτε (3) τοίνυν δημοσίᾳ, μήτε ἰδίᾳ εὐλογείτω· μήτε τὸ σῶμα τοῦ Κυρίου διανεμέτω ἑτέροις, μήτε τι ἄλλο λειτουργείτω (4)· ἀλλ' ἀρκούμενος τῇ προεδρίᾳ, προσκλαιέτω (5) τῷ Κυρίῳ, συγχωρηθῆναι αὐτῷ τὸ ἐκ τῆς ἀγνοίας ἀνόμημα. Πρόδηλον γὰρ, ὡς ὁ τοιοῦτος ἄθεσμος γάμος διαλυθήσεται, καὶ οὐδαμῶς ὁ ἀνὴρ μετουσίαν ἕξει πρὸς τὴν, δι' ἧς (6) τῆς ἱερᾶς ἐνεργείας ἐστέρηται.

ΖΩΝΑΡ. Καὶ ὁ ἔννατος κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου περὶ ἡμαρτηκότος ἐν σώματι, καὶ χειροτονηθέντος, φησὶν, ὅτι, μὴ προσφερέτω, μένων ἐν τοῖς λοιποῖς διὰ τὴν ἄλλην σπουδήν. Καὶ ὁ εἰκοστὸς ἕβδομος τοῦ μεγάλου Βασιλείου κανὼν, περὶ τοῦ ἀθέσμῳ γάμῳ περιπαρέντος ἐν ἀγνοίᾳ, φησὶ, καθέδρας μὲν τὸν τοιοῦτον μετέχειν, τῶν δὲ λοιπῶν ἐνεργειῶν ἀπέχεσθαι· οὗ δὴ κανόνος ὁ παρὼν μέμνηται κανὼν, καὶ τὰ αὐτὰ διατάττεται, τὸν κατὰ ἄγνοιαν εἰς ἄθεσμον γάμον ἐμπεπτωκότα, συγγενεῖ τυχὸν οἰκείᾳ μιγέντα, ὡς ἀγνοήσαντα τὴν συγγένειαν, καθέδρας μόνης μετέχειν κελεύων, ἕτερον δέ τι ἱερατικὸν δίκαιον μὴ ποιεῖν· ἀρκεῖν γὰρ αὐτῷ, ὅτι συγγνωμονεῖται διὰ τὴν ἄγνοιαν· πῶς δὲ εὐλογήσει, φησὶν, ὁ τοιοῦτος ἕτερον, ὃς μᾶλλον τῶν οἰκείων ἁμαρτημάτων φροντίζειν χρεωστεῖ; Ἡ γὰρ εὐλογία χάριτος πνευματικῆς, καὶ ἁγιασμοῦ ἐστι μετάδοσις· ᾧ δὲ οὐ μέτεστι χάριτος, οὐδ' ἁγιασμοῦ, διὰ τὸ παράπτωμα, πῶς οὗτος ἑτέρῳ δυνηθείη μεταδοῦναι αὐτοῦ; Οὔτε οὖν δημοσίᾳ, οὔτε ἰδίᾳ εὐλογήσει, οὔτε τὸ σῶμα τοῦ Κυρίου διανεμεῖ· ἀλλ' ἀρκεσθήσεται τῇ καθέδρᾳ,

---

(1) Π. — τοιοῦτον Χ. Τρ. — τοιοῦτο Βρ. — τοῦτο Βευερ. Ἐ. Κ. — (2) Π. Βευερ. Κ. Ἐ. — διὰ τὸ τῆς Χ. Τρ. Βρ. — (3) Π. Βρ. Ἐ. Κ. Χ. Τρ. — μὴ Βευερ. — (4) Π. Χ. Τρ. Ἐ. Κ. Βευερ. — αἱ λέξεις, ἑτέροις, μήτε τι ἄλλο λειτουργείτω, οὐ κεῖνται παρὰ Β. — (5) προσκλαιέτω ἑτέροις καὶ Π. — τὸ, ἑτέροις καὶ, οὐχ εὕρηται οὔτε ἐν Χ. Τρ. οὔτε παρὰ 'Ε. Κ. Βρ. Βευερ. — (6) Π. Χ. Τρ. Ἐ. Κ. — δι' ἣν Βρ. Βευερ.

μετανοῶν, ἵν' αὐτῷ συγχωρηθῇ τὸ ἁμάρτημα. Ὁ δὲ ἄθεσμος γάμος λυθήσεται, καὶ οὐκ ἔτι πρὸς τὴν γυναῖκα ἐκείνην εἰσελεύσεται ὁ ἀνὴρ ἐκεῖνος· καὶ οὕτως ἕξει τὴν τῆς καθέδρας τιμήν. Εἰ γὰρ μὴ διασπασθείη τὸ ἄθεσμον συνοικέσιον, οὔτε τὴν καθέδραν ἕξει, ἀλλὰ καὶ τῆς ἐκκλησίας ἐξωθήσονται ἄμφω οἱ ἀλλήλοις ἀθέσμως μιγνύμενοι, καὶ ὁ ἄθεσμος γάμος δι' ἀρχοντικῆς ἐξουσίας λυθήσεται.

ΒΑΛΣ. Οἱ κανόνες τῆς ἐν Νεοκαισαρείᾳ συνόδου πρὸ τῆς παρούσης συνόδου ἐγράφησαν· διὰ γὰρ τοῦτο καὶ ὁ παρὼν κανὼν μέμνηται τῆς συνθήκης ἐκείνων, λέγων, ἀκολούθως τῷ θ'. κανόνι τῆς συνόδου ἐκείνης, μὴ ἔχειν ἐπ' ἀδείας τὸν ἐν ἀγνοίᾳ μετὰ προσγενοῦς αὐτοῦ νομίμως συναφθέντα, καὶ μετὰ τοῦτο ἱερωθέντα, προσφέρειν, ἢ ἄλλο τι ἱερατικὸν ἐνεργεῖν· μόνης δὲ καθέδρας ἀξιοῦσθαι, διὰ τὸ μὴ ἐν εἰδήσει, ἀλλ' ἐν ἀγνοίᾳ ἁμαρτῆσαι· καὶ τῆς καθέδρας δὲ τότε ἀξιωθήσεται, ὅτε τοῦ ἀθέσμου συνοικεσίου ἀποστῇ, καὶ δείξῃ ἔργα μετανοίας, παρακαλοῦντα γενέσθαι συμπαθέστερόν τι ἐπ' αὐτῷ. Εἰ γὰρ ἔχεται τοῦ ἀθέσμου γάμου, διὰ τὴν ἄγνοιαν οὐκ ὠφεληθήσεται, ἀλλ' ὑπὸ ἀρχοντικῆς ἐξουσίας καὶ ὁ ἄθεσμος γάμος λυθήσεται, καὶ οὐδὲ τιμῆς, ἢ καθέδρας ἀξιωθήσεται (1). Ταῦτα δὲ ἀναφαίνεται ἀπὸ τοῦ λέγειν τὸν κανόνα· Ἀλλ' ἀρκούμενος τῇ προεδρίᾳ, προσκλαιέτω τῷ Κυρίῳ· καὶ ἀπὸ τοῦ εἰπεῖν· Ὁ δὲ γάμος διαλυθήσεται. Καὶ ὁ θ'. δὲ κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου διὰ τὴν ἄλλην σπουδὴν τοῦ καθαιρεθέντος, μένειν αὐτὸν ἐν τοῖς λοιποῖς παρακελεύεται. Ζήτει καὶ τὸν κζ'. κανόνα τοῦ ἁγίου Βασιλείου, καὶ τὸν κά. τῆς παρούσης συνόδου. Τοῦ γάμου δὲ ἐξ (2) ἀποτελέσματος ἀθέσμου ἀναφανέντος διὰ τὴν συγγένειαν, ὁ μετὰ εἴδησιν ἐπιμένων τῇ ἁμαρτίᾳ, οὐ μόνον καθέδρας οὐκ ἀξιωθήσεται, ἀλλὰ καὶ ὡς αἱμομίκτης τιμωρηθήσεται κατὰ λαϊκούς. Φησὶ γὰρ βιβλίον ξ'. τίτ. λζ'. κεφ. μά. θέμα ς'. Ὁ ἀθέμιτος γάμος οὐ βεβαιοῦται· καὶ διὰ τοῦτο ἐὰν πρὸ κατηγορίας λυθῇ, συγχωρεῖται ἡ ποινή· καὶ θέμα ζ'. Ἐπὶ τοῦ ἐν ἀγνοίᾳ γενομένου ἀθεμίτου γάμου, δίδωσι συγγνώμην φύσις,

(1) Χ. Τρ. Ἐ. — οὐ κεῖνται παρὰ Βευερ. τὰ ἀπὸ τοῦ, καὶ οὐδὲ τιμῆς. — (2) Χ. Τρ. — ἡ ἐξ, οὐχ εὕρηται Ἐ. Βευερ.

καὶ ἡλικία, καὶ ἡ ἐπανόρθωσις τοῦ ἁμαρτήματος· καὶ μάλιστα εἰ μήπω τις αὐτὸν κατηγόρησεν.

ΑΡΙΣΤ. Πρεσβύτερος, ἀθέσμῳ περιπεσὼν γάμῳ, καὶ καθαιρεθεὶς, καθέδρας μετεχέτω καὶ μόνον, πάντως διαλυθεὶς τοῦ μιάσματος.

Εἴ τις πρεσβύτερος πρὸ τῆς χειροτονίας γυναῖκα ἔλαβεν, ἢ χήραν, ἢ πόρνην, ἢ τῶν ἐπὶ σκηνῆς, ἢ ἑτέραν τινὰ τῶν ἀπηγορευμένων, ἐν ἀγνοίᾳ· τῆς μὲν ἱερωσύνης παυθήσεται, τῆς δὲ καθέδρας τῶν πρεσβυτέρων μεθέξει· διαλυθήσεται δὲ καὶ ὁ τοιοῦτος ἄθεσμος γάμος, δι' ὃν τῆς ἱερᾶς ἐνεργείας στερεῖται.

Κανὼν ΚΖ'.

Μηδεὶς τῶν ἐν κλήρῳ καταλεγομένων ἀνοίκειον ἐσθῆτα ἀμφιεννύσθω, μήτε ἐν πόλει διάγων, μήτε ἐν ὁδῷ βαδίζων, ἀλλὰ στολαῖς κεχρήσθω ταῖς ἤδη τοῖς ἐν κλήρῳ καταλεγομένοις ἀπονεμηθείσαις· εἰ δέ τις διαπράξοιτο τὸ (1) τοιοῦτον, ἐπὶ ἑβδομάδα μίαν ἀφοριζέσθω.

ΖΩΝΑΡ. Τοὺς τῷ Θεῷ καθιερωμένους πανταχόθεν δεῖ κεκτῆσθαι (2) τὸ εὔσχημον καὶ ἐξ αὐτῆς τῆς ἔξω φαινομένης αὐτῶν καταστάσεως· Ἄνθρωπος μὲν γὰρ εἰς πρόσωπον, φησὶν ἡ γραφή· Θεὸς δὲ εἰς καρδίαν· καὶ τὰ μὲν τῆς καρδίας κινήματα γνωστὰ τῷ Θεῷ· οἱ ἄνθρωποι δὲ ἐκ τῶν ἐκτὸς τεκμαίρονται τὰ ἔνδον καὶ ἀφανῆ. Εἰ γοῦν ὁρῶεν (3) τοὺς τῷ Θεῷ κεκληρωμένους μὴ τῷ τύπῳ καὶ τῇ συνηθείᾳ τῇ περὶ τὴν στολὴν ἐμμένοντας, ἀλλ' ἀνοικείως τῇ ἑαυτῶν καταστάσει ἐσταλμένους, καὶ, ἢ λαμπράς τινας ποικίλας τε καὶ πολυτελεῖς ἀμφιεννυμένους στολὰς, ἢ στρατιωτικά τινα περικειμένους ἐνδύματα, ὡς δῆθεν εὐσταλεῖς ἐσομένους ὁδὸν ἀνύοντας, καταγνώσονται τῶν πιστῶν, καὶ ἐκ τῆς ἔξωθεν ἀτάκτου περιφορᾶς, τοιαῦτα κρινοῦσι τῶν τῷ Θεῷ κεκληρωμένων καὶ τὰ ἐντός. Ὁ δὲ μέγας Παῦλος, Ἀπρόσκοποι, φησὶ, γίνεσθε καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ. Ὁ γοῦν

---

(1) τι τοιοῦτον Σ. Ρ. — (2) κοσμεῖσθαι Χ. Τρ. — (3) Χ. Τρ. — ὁρῶμεν Βευερ. Κ.

παρὼν κανὼν πᾶσιν ἐντέλλεται τοῖς ἐν κλήρῳ ταῖς συνήθεσι κεχρῆσθαι στολαῖς, καὶ ἐν πόλει, καὶ ἐν ὁδῷ· ἢ μὴ τοῦτο ποιοῦντας, ἀλλὰ παρεξιόντας τὴν συνήθειαν (1), ἀφορίζεσθαι ἐπὶ ἑβδομάδα μίαν· καὶ ὁ ιϛ'. τῆς ζ'. συνόδου κανὼν μὴ δεῖν φησιν ἱερατικὸν ἄνδρα πολυτελέσιν ἱματίοις κεχρῆσθαι.

ΒΑΛΣ. Τινὲς τῶν κληρικῶν, ὡς ἔοικεν, ἔξω τῆς ἐνεγκαμένης αὐτοὺς διατρίβοντες, μετὰ ἀνοικείων στολῶν ἐβάδιζον· ἢ καὶ ἐν πόλει διάγοντες, ὁμοίοις ἐχρῶντο περιβλήμασιν. Τοῦτο οὖν ἐπανορθούμενοι οἱ Πατέρες, διωρίσαντο, μηκέτι τοιοῦτόν τι γίνεσθαι· ἢ μὴν τοὺς παρὰ ταῦτα ποιοῦντας ἀφορίζεσθαι ἐπὶ ἑβδομάδα μίαν. Καὶ ὁ ιϛ'. δὲ κανὼν τῆς ζ'. συνόδου, μὴ δεῖν φησιν ἱερατικὸν ἄνδρα πολυτελέσιν ἱματίοις χρᾶσθαι· ἀνοίκειος δὲ τῷ κληρικῷ στολή ἐστιν, οὐχὶ τὰ τῶν στρατιωτικῶν ἐνδύματα· ταῦτα γὰρ εἴ ποτέ τις κληρικὸς ἐνδυθῇ, μεγάλως κολασθήσεται· ἀλλὰ τὰ πολυτελῆ χρυσοῦφαντα ἐπιβλήματα, τὰ δημοτικῶς λεγόμενα μαργέλια γράμματα, καὶ ἀντίπανα, καὶ τὰ ἐκ κογχύλης πορφυρίζοντα ἱμάτια· ἀρετῆς γὰρ, καὶ εὐσχημοσύνης ὑπόδειγμα οἱ κληρικοὶ ὀφείλουσιν εἶναι, οὐ μὴν βλακείας καὶ ἀσχήμονος διαγωγῆς.

ΑΡΙΣΤ. Κληρικὸς, μήτε ἐν ὁδῷ, μήτε ἐν οἴκῳ, ἀνοίκειον ἐσθῆτα ἀμφιεννύσθω· εἰ δὲ μὴ, ἐπὶ ἑβδομάδα μίαν ἀφοριζέσθω. Σαφής.

Κανὼν ΚΗ'.

Ἐπειδὴ ἐν διαφόροις ἐκκλησίαις μεμαθήκαμεν, σταφυλῆς ἐν τῷ θυσιαστηρίῳ προσφερομένης κατά τι κρατῆσαν ἔθος, τοὺς λειτουργοὺς ταύτην τῇ ἀναιμάκτῳ τῆς προσφορᾶς θυσίᾳ συνάπτοντας, οὕτως ἅμα τῷ λαῷ διανέμειν ἀμφότερα, συνείδομεν, ὥστε μηκέτι τοῦτό τινα τῶν ἱερωμένων ποιεῖν, ἀλλ' εἰς ζωοποίησιν, καὶ ἁμαρτιῶν ἄφεσιν, τῷ λαῷ τῆς προσφορᾶς μόνης μεταδιδόναι· ὡς ἀπαρχὴν δὲ τὴν τῆς σταφυλῆς λογιζομένους προσένεξιν, ἰδικῶς

(1) τὰ συνήθη Χ. Τρ.

τοὺς ἱερεῖς εὐλογοῦντας, τοῖς αἰτοῦσι ταύτης μεταδιδόναι, πρὸς τὴν τοῦ δοτῆρος τῶν καρπῶν εὐχαριστίαν, δι' ὧν τὰ σώματα ἡμῶν, κατὰ τὸν θεῖον ὅρον, αὔξει τε καὶ ἐκτρέφεται (1). Εἴ τις οὖν κληρικὸς παρὰ τὰ διατεταγμένα ποιήσοι, καθαιρείσθω.

—

ΖΩΝΑΡ. Πολλὰ παρά τισιν ἔθη ἀλλότρια τῆς ἐκκλησιαστικῆς κεκράτηκε καταστάσεως· ὧν καὶ τὸ, σταφυλῆς ὡς ἀπαρχῆς κομιζομένης ἐν τῷ ναῷ, συνάπτεσθαι ταύτην τῇ θείᾳ καὶ ἀναιμάκτῳ θυσίᾳ, καὶ μεταδίδοσθαι τῷ λαῷ. Τοῦτο τοίνυν οὗτος ὁ κανὼν ἀποτρέπεται, καὶ μηκέτι γίνεσθαι κελεύεται παρά τινος τῶν ἱερωμένων· ἀλλ' ἰδίᾳ μὲν τῷ λαῷ μόνης μεταδιδόναι τῆς προσφορᾶς εἰς ἄφεσιν ἁμαρτιῶν, τοῖς μὴ (2) ἀναξίως ταύτης μετέχουσι· τὴν δὲ σταφυλὴν, ὡς ἀπαρχὴν προσαγομένην, εὐλογεῖσθαι παρὰ τῶν ἱερέων, καὶ διανέμεσθαι τῷ λαῷ, ἵν' εὐχαριστοῖεν τῷ τῶν καρπῶν δοτῆρι, καὶ χορηγῷ τῶν ἀναγκαίων ἡμῖν πρὸς σύστασιν τῆς σαρκός· εἰ δέ τις, φησὶ, παρὰ τὰ διατεταγμένα ποιήσει, καθαιρείσθω.

ΒΑΛΣ. Περὶ τῶν ἐν τῷ παρόντι κανόνι δηλουμένων ἀρκούντως ἐγράψαμεν ἐν τῷ τετάρτῳ ἀποστολικῷ κανόνι. Ἀνάγνωθι οὖν τὰ ἐν ἐκείνῳ γεγραμμένα.

ΑΡΙΣΤ. Σταφυλαὶ πρός τινων τῇ ἀναιμάκτῳ θυσίᾳ συνάπτονται· τοῦτο δὲ μηκέτι τολμᾶσθαι διώρισται.

Τὸ μὲν σταφυλὰς ἐν καιρῷ τῷ δέοντι τῷ θυσιαστηρίῳ προσφέρειν, καὶ εὐλογεῖσθαι ταύτας παρὰ τῶν ἱερέων, καὶ τοῖς αἰτοῦσι μεταδιδόναι, ὁ τῶν ἁγίων Ἀποστόλων τρίτος κανὼν συγχωρεῖ· τὸ δὲ τῇ ἀναιμάκτῳ θυσίᾳ ταύτας συνάπτειν, καὶ ἅμα διανέμειν ἀμφότερα τῷ λαῷ, ὁ παρὼν ἀπαγορεύει κανὼν, καὶ προστάττει μηκέτι τοῦτο τολμηθῆναι παρά τινος τῶν ἱερέων· εἰ δὲ μὴ, καθαιρεῖσθαι τὸν τοῦτο ποιήσαντα.

---

(1) Π. Χ. Τρ. Βευερ. Σ. Ρ.— τρέφεται Βρ. — (2) ὁ, μὴ, οὐ κεῖται παρὰ Βευερ.

Κανὼν ΚΘ'.

Ὁ τῶν ἐν Καρθαγένῃ διαγορεύει κανὼν, ὥστε, ἅγια θυσιαστηρίου (1), εἰ μὴ ὑπὸ νηστικῶν ἀνθρώπων, μὴ ἐπιτελεῖσθαι, ἐξῃρημένης μιᾶς ἐτησίας ἡμέρας, ἐν ᾗ τὸ Κυριακὸν δεῖπνον ἐπιτελεῖται, ἴσως τηνικαῦτα, διά τινας κατὰ τοὺς τόπους προφάσεις τῇ ἐκκλησίᾳ λυσιτελεῖς, τῶν θείων ἐκείνων Πατέρων τοιαύτῃ (2) χρησαμένων οἰκονομίᾳ. Μηδενὸς οὖν ἡμᾶς ἐνάγοντος καταλιπεῖν τὴν ἀκρίβειαν, ὁρίζομεν, ἀποστολικαῖς καὶ πατρικαῖς ἑπόμενοι παραδόσεσι, μὴ δεῖν ἐν Τεσσαρακοστῇ τῇ ὑστέρᾳ ἑβδομάδι τὴν πέμπτην λύειν, καὶ ὅλην τὴν Τεσσαρακοστὴν ἀτιμάζειν.

—

ΖΩΝΑΡ. Οἱ μὲν ἐν Καρθαγένῃ Πατέρες νήστεις τὸν ἄλλον ὅλον χρόνον τοὺς τὰ ἅγια τοῦ θυσιαστηρίου ἐπιτελοῦντας, ἤγουν ἱερουργοῦντας, διετάξαντο εἶναι, ἄνευ τῆς μεγάλης πέμπτης· ἐν ταύτῃ γὰρ τὸ Κυριακὸν δεῖπνον ἐπιτελεῖται. Οἱ δὲ τῆς ἕκτης ταύτης συνόδου, καὶ τότε νήστεις εἶναι δεῖν διὰ τοῦ κανόνος τούτου ὡρίσαντο, τοὺς τὰ ἅγια χειρίζοντας καὶ τελοῦντας, εἰπόντες, ὡς, ἴσως οἱ θεῖοι Πατέρες ἐκεῖνοι ᾠκονόμησαν τότε τοῦτο, διά τινας αἰτίας τῇ ἐκκλησίᾳ κατὰ τοὺς τόπους ἐκείνους λυσιτελεῖς· νῦν δὲ, μηδενὸς ἀναγκαίου κατεπείγοντος, παριδεῖν τὴν ἀκρίβειαν, καὶ τὰς ἀποστολικὰς καὶ πατρικὰς παραδόσεις οὐ χρή· καὶ ἐν τῇ Τεσσαρακοστῇ λύειν τὴν πέμπτην κατὰ τὴν ὑστέραν ἑβδομάδα, κἀντεῦθεν ἀτιμάζειν καὶ ἀχρειοῦν ὅλην τὴν Τεσσαρακοστήν· ἀποστολικὰς δὲ καὶ πατρικὰς παραδόσεις τὸν ἑξηκοστὸν ἔννατον κανόνα τῶν ἁγίων Ἀποστόλων ὠνόμασαν οἱ θεῖοι Πατέρες οὗτοι, καὶ τὸν πεντηκοστὸν τῆς ἐν Λαοδικείᾳ συνόδου· ὁ μὲν γὰρ τοὺς μὴ νηστεύοντας τὴν ἁγίαν Τεσσαρακοστὴν τοῦ Πάσχα, εἰ μὴ δι' ἀσθένειαν σωματικὴν ἐμποδίζοιν-

---

(1) Π. Ἐ. Κ. Σ. Ῥ. — ἅγια θυσιαστήρια Χ. Τρ. — τὰ τοῦ ἁγίου θυσιαστηρίου Βρ. — (2) Π. — τῇ τοιαύτῃ Βρ. — τῇ αὐτῇ Βευερ. Ἐ. Κ. Χ. Τρ. Σ. Ῥ.

το, ἱερωμένους ὄντας, καθαιρεῖ, λαϊκοὺς δὲ, ἀφορίζει· ὁ δὲ τῶν ἐν Λαοδικείᾳ οὐ δεῖ, φησὶ, τῇ Τεσσαρακοστῇ ἐν τῇ ὑστέρᾳ ἑβδομάδι τὴν πέμπτην λύειν, καὶ ὅλην τὴν Τεσσαρακοστὴν ἀτιμάζειν, ἀλλὰ δεῖ πᾶσαν ξηροφαγοῦντας νηστεύειν. *Λέγεται (1) δὲ τοὺς ἐν Καρθαγένῃ Πατέρας, τὸ μὴ ὑπὸ νηστικῶν ἐπιτελεῖσθαι τὰ ἅγια ἐν τῇ μεγάλῃ πέμπτῃ ὁρίσαι, ὅτι ὁ Κύριος τότε πρότερον μὲν τὸ νομικὸν Πάσχα ἐπιτελέσαι μετὰ τῶν μαθητῶν νομίζεται, εἶτα τὸ οἰκεῖον παραδοῦναι τὸ μυστικὸν, καὶ μὴ νήστεις εἶναι τοὺς Ἀποστόλους ὅτε ἐκεῖνο ἔφαγον, ὡς πρὸ ἐκείνου φαγόντας τὸ νομικόν· κατὰ γοῦν τὸν τύπον τοῦτον ὁρίσαι καὶ τοὺς ἐν Καρθαγένῃ οὕτω τελεῖν τὰ ἅγια ἐν τῇ μεγάλῃ πέμπτῃ*.

ΒΑΛΣ. Οἱ ἐν Καρθαγένῃ συνελθόντες (2) ἅγιοι Πατέρες, εἰδότες ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, μετὰ τὸ ποιῆσαι τὸ νομικὸν Πάσχα σὺν τοῖς μαθηταῖς αὐτοῦ καὶ φαγεῖν, ἐτέλεσε καὶ τὸ μυστικὸν Πάσχα, καὶ τὴν ἀναίμακτον θυσίαν παρέδωκε, παρεκελεύσαντο, κατὰ μὲν τὸν ἄλλον χρόνον, νήστεις εἶναι τοὺς τὰ ἅγια μεταχειριζομένους διακόνους καὶ ἱερεῖς· κατὰ δὲ τὴν μεγάλην πέμπτην, μετὰ τὸ φαγεῖν, ἱερουργεῖν. Τοῦτο οὖν μὴ γίνεσθαι διωρίσαντο οἱ τῆς ϛ'. συνόδου Πατέρες, εἰπόντες, ὅτι τότε μὲν ἴσως διά τινα εὔλογον αἰτίαν καὶ λυσιτελῆ ταῖς ἐκκλησίαις, τοῦτο οὕτω γίνεσθαι οἰκονομικῶς διωρίσθη· ἀρτίως δὲ μηδενὸς ἀναγκαίου κατεπείγοντος, οὐ χρὴ τὰς ἀποστολικὰς καὶ πατρικὰς παραδόσεις παραβαίνεσθαι· εἰσὶ δὲ αὗται, ὁ ξθ'. κανὼν τῶν ἁγίων Ἀποστόλων, ὁ ν'. τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ ἕτεροι.

ΑΡΙΣΤ. Τινὲς τῶν Πατέρων τῇ ἡμέρᾳ τοῦ θείου δείπνου μετὰ τὸ δειπνῆσαι προσῆγον. Ἔδοξε τοίνυν τῇ συνόδῳ τοῦτο μὴ γίνεσθαι· μηδ' ἐν τῇ Τεσσαρακοστῇ, τῇ ὑστέρᾳ ἑβδομάδι, τὴν πέμπτην λύειν, καὶ ὅλην τὴν Τεσσαρακοστὴν ἀτιμάζειν.

Ἡ μὲν ἐν Καρθαγένῃ σύνοδος ὥρισεν ἐν τῷ τεσσαρακοστῷ

---

(1) Ἅπαν τὸ ἐντὸς * μέρος τῆς ἑρμηνείας οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. ἀλλ' ἐν Χ. Τρ. μόνον. — (2) Χ. Τρ. — συναχθέντες Ε. Βευερ.

πρώτῳ κανόνι, ἀπὸ νηστικῶν ἀνθρώπων τελεῖσθαι τὰ ἅγια, ἄνευ μιᾶς ἐτησίου ἡμέρας, ἐν ᾗ τὸ Κυριακὸν δεῖπνον ἐπιτελεῖται. Ὁ δὲ κανὼν οὗτος φυλάττων τὸ ἀκριβὲς, οὐδὲ ταύτην τὴν ἡμέραν ὑπεξαιρεῖ· ἀλλὰ προστάττει καὶ ἐν ταύτῃ τῇ ἡμέρᾳ, ἤγουν τῇ μεγάλῃ πέμπτῃ, καὶ τοὺς ἱερεῖς νηστικοὺς ὄντας τὴν ἀναίμακτον θυσίαν ἐπιτελεῖν· ἵνα μὴ διὰ τὴν παράβασιν τῆς μιᾶς ἡμέρας ὅλην τὴν Τεσσαρακοστὴν ἀτιμάζωμεν.

Κανὼν Λʹ.

Πάντα πρὸς οἰκοδομὴν τῆς ἐκκλησίας βουλόμενοι διαπράττεσθαι, καὶ τοὺς ἐν ταῖς βαρβαρικαῖς ἐκκλησίαις ἱερέας οἰκονομεῖν διεγνώκαμεν· ὥστε, εἰ τὸν ἀποστολικὸν κανόνα, τὸν (1) περὶ τοῦ προφάσει εὐλαβείας τὴν οἰκείαν γαμετὴν μὴ ἐκβάλλειν, ὑπεραναβαίνειν οἴονται δεῖν, καὶ πέραν τῶν ὁρισθέντων ποιεῖν, ἐκ τούτου τε (2) μετὰ τῶν οἰκείων συμφωνοῦντες συμβίων, τῆς πρὸς ἀλλήλους ὁμιλίας ἀπέχονται· ὁρίζομεν, τούτους μηκέτι ταύταις συνοικεῖν καθ' οἱονδήποτε τρόπον, ὡς ἂν ἡμῖν ἐντεῦθεν ἐντελῆ τῆς ὑποσχέσεως παρέξοιεν τὴν ἀπόδειξιν. Πρὸς τοῦτο δὲ αὐτοῖς, οὐ δι' ἄλλο τι, ἢ διὰ τὴν τῆς γνώμης μικροψυχίαν, καὶ τὸ τῶν ἠθῶν ἀπεξενωμένον, καὶ ἀπαγὲς, ἐνδεδώκαμεν.

—

ΖΩΝΑΡ. Τοῦ πέμπτου κανόνος τῶν ἱερῶν Ἀποστόλων ἀπαγορεύοντος τοῖς πρεσβυτέροις καὶ διακόνοις ἀποπέμπεσθαι τὰς οἰκείας γαμετὰς, ὡς τάχα θέλοντας σωφρονεῖν, οἱ ἐν βαρβαρικαῖς ἐκκλησίαις ἱερεῖς, οἰόμενοι δεῖν ὑπερβαίνειν τὴν ἀποστολικὴν ἐντολὴν, καὶ πλέον τι τῶν παρ' ἐκείνων ὁρισθέντων ποιεῖν, ἐκ συμφώνου τάχα τῶν συνοικουσῶν αὐτοῖς γυναικῶν ἀπείχοντο τῆς πρὸς αὐτὰς ὁμιλίας. Τοῦτο οὖν οἱ τῆς συνόδου ταύτης κατ' οἰκονομίαν δεξάμενοι, διὰ τὸ τῶν ἱερέων ἐκείνων βάρβαρον ἦθος καὶ ἄγριον· τοῦτο γάρ ἐστι τὸ ἀπεξενωμένον· καὶ διὰ τὸ μὴ

(1) τὸ, τὸν, οὐ κεῖται παρὰ Βρ. — (2) Σ. Ρ. Βευερ. — καὶ ἐκ τούτων Βρ. — ἐκ τούτου Π. — ἐκ τούτων τε Χ. Τρ.

βεβηκὸς αὐτῶν πρὸς τὴν πίστιν, μηδὲ πάνυ ἑδραῖον, ὃ δηλοῦται διὰ τοῦ ἀπαγοῦς, ὥρισαν, τοὺς ἐκ συμφώνου ἀπέχεσθαι κρίναντας τῆς πρὸς ἀλλήλους ὁμιλίας, μηδὲ συνοικεῖν, ἵνα τε ἀπόδειξις εἴη τοῦτο τοῦ πληροῦν ὃ ἐπηγγείλαντο, καὶ ἵνα καὶ πρὸς σωφροσύνην μᾶλλον ἐπιῤῥωννύωνται, πόῤῥω τῶν πρώην αὐτῶν διάγοντες γαμετῶν· τὸ γὰρ ταύταις συνοικεῖν, καὶ ὁρᾷν αὐτὰς συνεχῶς, εἰς παροξυσμὸν μίξεως γίνοιτο ἂν αὐτοῖς.

ΒΑΛΣ. Ἔμαθον οἱ ἅγιοι Πατέρες, ὅτι οἱ τῶν βαρβαρικῶν χωρῶν ἱερεῖς προφάσει εὐλαβείας ἀπείχοντο κατὰ κοινὴν ἀρέσκειαν τῶν οἰκείων γαμετῶν. Εἶπον οὖν, ὡς, κἂν ὁ ἀποστολικὸς ε΄. κανὼν ἀπαγορεύει τοῖς πρεσβυτέροις καὶ διακόνοις ἀποπέμπεσθαι τὰς νομίμους αὐτῶν γυναῖκας, καί ἐστι τὸ παρὰ τῶν ῥηθέντων ἱερέων γινόμενον ὑπεναντίον τῷ ἀποστολικῷ κανόνι· ἀλλ' ἐπεὶ τὰ κατ' εὐλάβειαν παρά τινων γινόμενα, οὐ καταλύειν, ἀλλὰ μᾶλλον συνιστᾷν καὶ οἰκοδομεῖν δέον ἐστὶν, ἐκχωρηθήσεται κατὰ λόγον οἰκονομίας αὐτοῖς τοῦτο ποιεῖν, διὰ τὸ βαρβαρικὸν ἦθος τούτων, καὶ μικρόψυχον, καὶ ἀπεξενωμένον ἐκ τῆς καταστάσεως τῶν ἐκκλησιαστικῶν ἐθῶν, ἀλλὰ μὴν καὶ διὰ τὸ ἀπαγὲς αὐτῶν τὸ πρὸς τὴν πίστιν, καὶ ἀστήρικτον· εἶτα προσέθεντο, μὴ μόνον διαζεύγνυσθαι αὐτοὺς ἐκ τῶν οἰκείων γαμετῶν, ἀλλὰ μηδὲ συνοικεῖν αὐταῖς καθ' οἱονδήτινα τρόπον· οὕτω γὰρ, φασὶ, πληροφορήσουσι μὴ καθ' ὑπόκρισιν, ἀλλ' ἀληθῶς καὶ διὰ καθαρὰν εὐλάβειαν ὑποσχέσθαι τῷ Θεῷ σωφρονεῖν. Σημείωσαι οὖν τοῦτο, ὡς ἰδικῶς ἐκφωνηθὲν, καὶ ὀφεῖλον ἐξακούεσθαι εἰς μόνους τοὺς ὄντας ἱερεῖς ἐν χώραις βαρβαρικαῖς, οὐ μὴν καὶ εἰς τοὺς λοιπούς. Ἐγὼ δὲ ἐρωτήσας διαφόρους ἐπισκόπους περὶ τούτου, ἀπὸ Ῥωσσίας ἐλθόντας, ἀλλὰ μὴν καὶ τὸν μητροπολίτην Ἀλανίας, ἔμαθον, μὴ ἐνεργεῖν τὰ τοῦ παρόντος κανόνος εἰς τὰς τοιαύτας χώρας, καὶ ταῦτα οὔσας βαρβαρικάς· ἀλλὰ κατὰ τοὺς ἡμετέρους ἱερεῖς κἀκείνους ἔχειν τὰς οἰκείας γυναῖκας καὶ μετὰ τὴν χειροτονίαν. Ἐρωτήσει δέ τις, ὡς τοῦ κανόνος λέγοντος, κατὰ συμφωνίαν κοινὴν καὶ ἀρέσκειαν γίνεσθαι τὴν διάζευξιν, ἐὰν οὐ θέλῃ τοῦτο γενέσθαι ἡ γυνὴ, ἀπρακτήσουσι τὰ τοῦ κανόνος; Λύσις. Οἴομαι μὴ δίκαιον εἶναι καταναγκάζεσθαι τὴν γυ-

ναῖκα τοῦ οἰκείου συζύγου ἀποδιΐστασθαι, διά τε τὸν ἄνωθεν ῥηθέντα ἀποστολικὸν κανόνα, καὶ διὰ τὴν Ἰουστινιάνειον νεαρὰν, τὴν μὴ παραχωροῦσαν κατὰ συναίνεσιν λύεσθαι τὰ συνοικέσια.

ΑΡΙΣΤ. Καὶ οἱ ἐν βαρβαρικῇ ἐκκλησίᾳ ἱερεῖς, εἰ τῆς τῶν συμβίων ἐκ συμφώνου ὁμιλίας ἀπέχονται, ἀλλ' οὖν μηκέτι ταύταις καθ' οἱονδηποτοῦν ὁμιλείτωσαν τρόπον.

Τὸν προφάσει εὐλαβείας τὴν ἑαυτοῦ γυναῖκα ἐκβαλόντα πρεσβύτερον, ἢ διάκονον, ὁ ἀποστολικὸς πέμπτος κανὼν ὥρισεν ἀφορίζεσθαι, ἢ καὶ καθαιρεῖσθαι, εἰ ἐπαναλαβεῖν ταύτην αὖθις οὐ πείθεται. Τινὲς δὲ ἱερεῖς ἐν ταῖς βαρβαρικαῖς ἐκκλησίαις ὄντες, καὶ πλέον τι τοῦ ἀποστολικοῦ κανόνος πράττειν οἰόμενοι, τὰς μὲν οἰκείας γαμετὰς οὐκ ἐδίωκον, συνεφώνουν δὲ μετ' αὐτῶν τῆς πρὸς ἀλλήλους κοινωνίας ἀπέχεσθαι. Τὴν τοιαύτην συμφωνίαν τῶν βαρβάρων τούτων ἱερέων ὁ κανὼν οὗτος μὴ ἀποδοκιμάζων, ὁρίζει, μηκέτι τούτους ταύταις συνοικεῖν καθ' οἱονδήτινα τρόπον, ὡς ἂν ἀπηρτισμένην καὶ τελείαν τῆς ὑποσχέσεως αὐτῶν παρέξωσι τὴν ἀπόδειξιν· ἐνδίδωσι δὲ πρὸς τοῦτο ἡ σύνοδος αὕτη, διὰ τὸ ἀπεξενωμένον τοῦ ἤθους αὐτῶν καὶ ἀπαγὲς, καὶ τὴν τῆς γνώμης μικροψυχίαν.

Κανὼν ΛΑ'.

Τοὺς ἐν τοῖς εὐκτηρίοις οἴκοις, ἔνδον οἰκίας τυγχάνουσι, λειτουργοῦντας, ἢ βαπτίζοντας κληρικοὺς, ὑπὸ γνώμην τοῦτο πράττειν τοῦ κατὰ τόπον (1) ἐπισκόπου, ὁρίζομεν· ὥστε, εἴ τις κληρικὸς μὴ τοῦτο οὕτω παραφυλάξῃ (2), καθαιρείσθω.

—

ΖΩΝΑΡ. Τὸ παρασυνάγειν, καὶ θυσιαστήρια ἱστᾷν τοὺς ἱερωμένους, γνώμης χωρὶς τοῦ ἐπισκόπου, ὑφ' ὃν τελοῦσιν, ὑπὸ καθαίρεσιν αὐτοὺς ἄγει, κατὰ τὸν πέμπτον κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου. Ὁ γοῦν ἐν εὐκτηρίῳ λειτουργῶν, ἢ βαπτίζων, ἐντὸς οἰκίας

(1) τὸν τόπον Βευερ. — (2) Π. Σ. Ῥ. — παραφυλάττει Βευερ. Βρ. Χ. Τρ.

ὄντι, παρὰ γνώμην τοῦ ἐπισκόπου τῆς πόλεως ἐκείνης, παρασυνάγει· ἐνδίκως τοίνυν καὶ καθαιρεῖται.

ΒΑΛΣ. Παρασυναγωγὴν ὁ κανὼν ἡγεῖται τὸ ἱερουργῆσαί τινα, ἢ βαπτίσαι ἐν εὐκτηρίῳ οἴκῳ, παρὰ γνώμην τοῦ κατὰ χώραν ἀρχιερέως· καὶ ἐνταῦθα μὲν τοὺς τοιοῦτόν τι ποιοῦντας ἱερεῖς καθαιρεῖσθαι οἱ Πατέρες διορίζονται· ἐν δὲ τῷ νθ'. κανόνι, καὶ τοὺς ἔχοντας τὰ εὐκτήρια λαϊκοὺς ἀφορίζουσι. Σὺ δὲ ἀνάγνωθι τὴν δ'. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ, οὕτως ἔχουσαν μετὰ τὸ προοίμιον· Ὁρίζομεν οὖν, οὐ μόνον τοὺς ἑκάστης καθολικῆς ἱερεῖς, ἀλλὰ καὶ τοὺς ἱερεῖς(1) ἑκάστης οἰκίας ἄδειαν ἔχειν ἐν πάσαις ταῖς οἰκείαις ἱερᾶσθαί τε καὶ μυσταγωγεῖν, οὓς ἂν προσκαλεῖν αἱροῖτο ὁ ἑκάστης οἰκίας δεσπόζων· καὶ τὴν ιέ. οὕτως ἔχουσαν ἐν μέρει· Ὁρίζομεν οὖν, καθὼς περὶ θυσιῶν, οὕτω καὶ περὶ τοῦ σωτηρίου βαπτίσματος, τὸ ἐξεῖναι αὐτὸ ἐν παντὶ εὐσεβῶν εὐκτηρίῳ τοῖς βουλομένοις τελεῖν. Πλὴν καὶ τούτων οὕτως ἐχόντων, ἐὰν κωλυθῇ τις παρὰ τοῦ ἐγχωρίου ἀρχιερέως ἱερουργῆσαι, ἢ βαπτίσαι ἐν εὐκτηρίῳ, ὁ δὲ ποιήσει τοιοῦτόν τι, καθαιρεθήσεται, μὴ ὠφελούμενος ἐκ τῶν νεαρῶν· ὁ δὲ μὴ ῥητῶς κωλυθεὶς δοκεῖ σιωπηρῶς κατὰ γνώμην ἐπισκοπικὴν τοῦτο ποιεῖν· διὰ τοῦτο γάρ, ὡς ἔοικεν, ἐπενοήθησαν καὶ τὰ ἀντιμίνσια, καὶ γίνονται παρὰ τῶν κατὰ χώραν ἀρχιερέων καθ' ὃν καιρὸν ποιοῦσιν ἐνθρονισμὸν ἐκκλησίας, ἐφ' ᾧ τίθεσθαι αὐτὰ εἰς τὰς ἁγίας τραπέζας τῶν εὐκτηρίων· καὶ ἀρκεῖν οὐ μόνον ἀντὶ τῶν καταρτιζόντων τὸ ἅγιον θυσιαστήριον, καὶ λογιζομένων μίνσων τῆς ἁγίας τραπέζης, ἤγουν τοῦ ἐνθρονισμοῦ τῶν ἀνοίξεων (2) καὶ τῶν ἐγκαινίων, ἀλλὰ καὶ εἰς τὸ ἀναφαίνεσθαι τὸ κατ' ἐπιτροπὴν ἐπισκοπικὴν γίνεσθαι ἐν τῷ εὐκτηρίῳ τὴν ἱερουργίαν.

ΑΡΙΣΤ. Εἰ μὴ μετὰ γνώμης ἐπισκόπου, ἔνδον οἴκου εἰς εὐκτήριον μὴ προσαγάγῃς.

Ὁ μὲν πεντηκοστὸς ὄγδοος κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου κωλύει ἐν εὐκτηρίῳ, ἔνδον οἰκίας ὄντι, παρ' ἐπισκόπου, ἢ πρεσβυτέρου τὴν θείαν λειτουργίαν ἐπιτελεῖσθαι. Ὁ δὲ παρὼν κανὼν

(1) καὶ τοὺς οἰκείους τῶν ἱερέων Ν. Λέοντ. — (2) Βευερ. Ε. — ἀνοιξίων Χ. Τρ.

τοῦτο ἀνατρέπει, καὶ προστάττει, κατὰ γνώμην τοῦ κατὰ τόπον ἐπισκόπου, τοὺς ἱερεῖς λειτουργεῖν ἐν τοῖς εὐκτηρίοις, τοῖς ἔνδον οἰκίας οὖσι· τὸν δὲ παρὰ γνώμην αὐτοῦ τοῦτο ποιοῦντα καθαιρεῖ.

Κανὼν ΛΒ'.

Ἐπειδὴ εἰς γνῶσιν ἡμετέραν ἦλθεν, ὡς ἐν τῇ τῶν Ἀρμενίων χώρᾳ οἶνον μόνον ἐν τῇ ἱερᾷ τραπέζῃ προσάγουσιν, ὕδωρ αὐτῷ μὴ μιγνύντες, οἱ τὴν ἀναίμακτον θυσίαν ἐπιτελοῦντες, προτιθέμενοι τὸν τῆς ἐκκλησίας διδάσκαλον Ἰωάννην τὸν Χρυσόστομον, φάσκοντα, διὰ τῆς εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον ἑρμηνείας, ταῦτα (1)· Τίνος ἕνεκεν οὐχ ὕδωρ ἔπιεν ἀναστὰς, ἀλλ' οἶνον; ἄλλην αἵρεσιν πονηρὰν πρόῤῥιζον ἀνασπῶν· ἐπειδὴ γάρ εἰσί τινες ἐν τοῖς μυστηρίοις ὕδατι κεχρημένοι, δεικνὺς ὅτι καὶ ἡνίκα τὰ μυστήρια παρέδωκεν, καὶ ἡνίκα ἀναστὰς, χωρὶς μυστηρίων καὶ (2) ψιλὴν τράπεζαν παρετίθετο (3), οἴνῳ ἐχρῆτο ἐκ τοῦ γεννήματος, φησὶ, τῆς ἀμπέλου· ἄμπελος δὲ οἶνον, οὐχ ὕδωρ γεννᾷ· ἐκ τούτου τε τὸν διδάσκαλον οἴονται ἀνατρέπειν τὴν τοῦ ὕδατος ἐν τῇ ἱερᾷ θυσίᾳ προσαγωγήν. Ὡς ἂν μὴ καὶ (4) ἀπὸ τοῦ νῦν κατέχοιντο τῇ ἀγνοίᾳ, τὴν τοῦ Πατρὸς διάνοιαν ὀρθοδόξως ἀποκαλύπτομεν. Τῆς γὰρ πονηρᾶς τῶν Ὑδροπαραστατῶν αἱρέσεως παλαιᾶς ὑπαρχούσης, οἳ ἀντὶ οἴνου μόνῳ τῷ ὕδατι ἐν τῇ οἰκείᾳ θυσίᾳ κέχρηνται, ἀνασκευάζων οὗτος ὁ Θεοφόρος ἀνὴρ τὴν παράνομον τῆς τοιαύτης αἱρέσεως διδαχὴν (5), καὶ δεικνὺς ὡς ἐξ ἐναντίας τῆς ἀποστολικῆς ἵενται παραδόσεως, τὸν εἰρημένον κατεσκεύασε λόγον. Ἐπεὶ καὶ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ, ἔνθα τὴν ποιμαντικὴν ἐνεχειρίσθη ἡγεμονίαν, ὕδωρ οἴνῳ μιγνῦναι παρέδωκεν (6), ἡνίκα τὴν

---

(1) Ματθ. Κς', Ὁμιλ. 82. — (2) Σ. 'Ρ. Βρ. Βενεᵹ. — ὁ καὶ, οὐχ εὕρηται παρὰ Π. — (3) παρέθετο Χ. Τρ. — (4) Π. Βενερ. Κ. Ἑ. — ὁ καὶ, οὐ κεῖται ἐν Χ. Τρ. Βρ. — (5) Π. 'Ε. Κ. Βρ. Σ. Ῥ. — διαδοχὴν Βενερ. Χ. Τρ. — (6) τὸ, οἴνῳ, οὐχ εὕρηται παρὰ Π. ἀλλ' ἐν ἁπάσαις ταῖς λοιπαῖς ἐκδόσεσι καὶ τῷ Χ. Τρ. — μίγνυσθαι Βρ.

ἀναίμακτον θυσίαν ἐπιτελεῖσθαι δεήσειε, τὴν ἐκ τῆς τιμίας πλευρᾶς τοῦ λυτρωτοῦ ἡμῶν καὶ Σωτῆρος Χριστοῦ τοῦ Θεοῦ ἐξ αἵματος καὶ ὕδατος κρᾶσιν παραδεικνὺς, ἥτις εἰς ζωοποίησιν παντὸς τοῦ κόσμου ἐξεχύθη, καὶ ἁμαρτιῶν ἀπολύτρωσιν (1)· καὶ κατὰ πᾶσαν δὲ ἐκκλησίαν(2), ἔνθα οἱ πνευματικοὶ φωστῆρες ἐξέλαμψαν, ἡ θεόσδοτος αὕτη τάξις κρατεῖ. Καὶ γὰρ καὶ Ἰάκωβος ὁ κατὰ σάρκα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀδελφὸς, ὃς τῆς Ἱεροσολυμιτῶν ἐκκλησίας πρῶτος τὸν θρόνον ἐνεπιστεύθη (3), καὶ Βασίλειος ὁ τῆς Καισαρέων ἀρχιεπίσκοπος (4), οὗ τὸ κλέος κατὰ πᾶσαν τὴν οἰκουμένην διέδραμεν, ἐγγράφως τὴν μυστικὴν ἡμῖν ἱερουργίαν παραδεδωκότες, οὕτω τελειοῦν ἐν τῇ θείᾳ λειτουργίᾳ(5) ἐξ ὕδατός τε καὶ οἴνου τὸ ἱερὸν ποτήριον ἐκδεδώκασι. Καὶ οἱ ἐν Καρθαγένῃ συναχθέντες ὅσιοι Πατέρες, οὕτω ῥητῶς ἐπεμνήσθησαν, ἵνα ἐν τοῖς ἁγίοις μηδὲν πλέον τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου (6) προσενεχθείη, ὡς καὶ αὐτὸς ὁ Κύριος παραδέδωκε, τουτέστιν ἄρτου καὶ οἴνου ὕδατι μεμιγμένου (7). Εἴ τις οὖν ἐπίσκοπος, ἢ πρεσβύτερος, μὴ κατὰ τὴν παραδοθεῖσαν ὑπὸ τῶν Ἀποστόλων τάξιν ποιεῖ, καὶ ὕδωρ οἴνῳ μιγνὺς, οὕτω τὴν ἄχραντον προσάγει θυσίαν, καθαιρείσθω, ὡς ἀτελῶς τὸ μυστήριον ἐξαγγέλλων, καὶ καινίζων τὰ παραδεδομένα.

—

ΖΩΝΑΡ. Τὰ θεῖα μυστήρια, ὁ ἄρτος, λέγω, καὶ τὸ ποτήριον, τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Κυρίου παριστῶσιν ἡμῖν· τὸν γὰρ ἄρτον διδοὺς τοῖς οἰκείοις ὁ Κύριος μαθηταῖς· Λάβετε, φάγετε, ἔφη, τοῦτό ἐστι τὸ σῶμά μου· καὶ τὸ ποτήριον παρέχων αὐτοῖς (8)· Πίετε ἐξ αὐτοῦ πάντες, ἔφη, τοῦτό ἐστι τὸ αἷμά μου,

(1) τοῦ κόσμου καὶ ἁμαρτιῶν ἐξεχύθη ἀπολύτρωσιν Βευερ. — ἐξεχέθη Ἑ. Κ. Βρ. Σ. Ῥ. — (2) Χ. Τρ. Βρ. — πάσας δὲ ἐκκλησίας Π. — κατὰ πάσης δὲ ἐκκλησίας Βευερ. — (3) ἐπιστεύθη Βρ. — (4) Π. Ἐ. Κ. — ὁ τῆς Καισαρέων ἐκκλησίας ἀρχιεπίσκοπος Χ. Τρ. — ἄνευ τοῦ, ἐκκλησίας, Βρ. Σ. Ῥ. — (5) ἱερουργίᾳ Σ. Ῥ. — (6) τοῦ Κυρίου ξένον Σ. Ῥ. — (7) μιγνυμένου Βρ. — (8) Χ. Τρ — αὐτοῦ Βευερ.

τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον. Ἐπεὶ οὖν ἐν τῷ θείῳ πάθει αὐτοῦ, κενῶν τὸ οἰκεῖον αἷμα ὁ Κύριος, νυγείσης λόγχῃ τῆς πλευρᾶς αὐτοῦ, οὐχ αἷμα μόνον, ἀλλὰ καὶ ὕδωρ ἐξήγαγεν, ἀναγκαίως πάντως τῇ ἐκκλησίᾳ νενόμισται ἐν τοῖς ἱεροῖς μυστηρίοις ὕδωρ τῷ οἴνῳ παρακιρνᾷν. Ἀλλ' οἱ Ἀρμένιοι οἴνῳ μόνῳ ἐκέχρηντο ἐν τῇ μυστικῇ τραπέζῃ, χρώμενοι τῇ εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἐξηγήσει τοῦ Χρυσοστόμου καὶ θείου πατρός. Τοῦτο οὖν ἀναιροῦντες οἱ τῆς συνόδου ταύτης Πατέρες, τὰ ῥήματα τοῦ Χρυσοστόμου καὶ τὴν αὐτῶν διάνοιαν σαφηνίζουσι· καί φασιν, ὅτι τὴν τῶν Ὑδροπαραστατῶν αἵρεσιν ἀνατρέπων (1), οἳ μόνῳ ὕδατι τὴν θυσίαν ἱερουργεῖν οἰόμενοι κέχρηνται, καὶ δεικνύων αὐτοὺς ἐναντίως τοῖς Πατράσι, καὶ τοῖς ἱεροῖς Ἀποστόλοις πορευομένους καὶ ποιοῦντας, τὸν οἰκεῖον κατασκεύασε λόγον, ἀλλ' οὐκ ἐπιτρέπων οἶνον μόνον ἐν τοῖς μυστηρίοις παραλαμβάνειν. Καὶ αὐτὸς γὰρ οὗτος ἐν τῇ κατ' αὐτὸν ἐκκλησίᾳ ὕδωρ καὶ οἶνον ἐν τοῖς μυστηρίοις λαμβάνεσθαι παραδέδωκε, καὶ οἱ λοιποὶ Πατέρες καὶ φωστῆρες τῆς ἐκκλησίας ὁμοίως(2) παραδεδώκασιν, ἄρτῳ καὶ οἴνῳ ὕδατι μεμιγμένῳ τὴν ἀναίμακτον θυσίαν ἐπιτελεῖν· καὶ ἐπὶ τούτοις ἐπάγουσιν οἱ τῆς ἕκτης ταύτης συνόδου τοῖς παραβαίνουσι τὸν παρόντα κανόνα, ἃ διὰ τὴν παράβασιν πείσονται, καί φασιν· Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος μὴ κατὰ τὴν παραδοθεῖσαν ὑπὸ τῶν ἁγίων Ἀποστόλων τάξιν ποιεῖ, καὶ ὕδωρ οἴνῳ μὴ μιγνὺς, οὕτω τὴν ἄχραντον προσάγει θυσίαν, καθαιρείσθω, ὡς ἀτελῶς τὸ μυστήριον ἐξαγγέλλων· ἀτελῶς δὲ τὸ μυστήριον ἐξαγγέλλει, διὰ τὸ οἴνῳ μόνῳ ἐπὶ τῇ θυσίᾳ κεχρῆσθαι, τοῦ Κυρίου, ὡς ἔφημεν, αἷμα καὶ ὕδωρ ἐκ τῆς οἰκείας πλευρᾶς ἐν τῷ πάθει προχέαντος· διδάσκει γὰρ πραγματικῶς αἷμα μόνον ἐκ τῆς τοῦ Κυρίου κενωθῆναι σαρκὸς, καὶ ἐναντιοῦται τοῖς ἱεροῖς εὐαγγελισταῖς, καὶ καινίζει τὰ παραδεδομένα, μὴ κατὰ τὴν ἀρχαίαν θύων παράδοσιν.

ΒΑΛΣ. Οἱ Ἀρμένιοι, μετὰ τῶν προσουσῶν αὐτοῖς ἄλλων αἱρέσεων, οἴνῳ μόνῳ κέχρηνται ἐν τοῖς ἁγίοις μυστηρίοις· καὶ

(1) ἀποτρέπων Χ. Τρ. Κ. — τὸ, ὁμοίως, οὐ κεῖται παρὰ Βευερ.

λέγουσι, τοῦτο ποιεῖν ἀκολούθως τοῖς γραφεῖσι παρὰ τοῦ μεγάλου τῆς ἐκκλησίας διδασκάλου, καὶ χρυσοῦ τὴν γλῶτταν Ἰωάννου, ἐν τῇ εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἐξηγήσει αὐτοῦ, τοῖς διαλαμβάνουσι μὴ δι᾽ ὕδατος τὸ ἅγιον ποτήριον προσάγεσθαι, ἀλλὰ δι᾽ οἴνου· καὶ ταῦτα τοῦ ἁγίου μὴ διδάσκοντος διὰ οἴνου μόνου τὴν προσαγωγὴν γίνεσθαι. Τὴν γοῦν οὕτω γινομένην θυσίαν παρὰ τῶν Ἀρμενίων ἀνατρέποντες οἱ θεῖοι Πατέρες, διωρίσαντο διὰ οἴνου καὶ ὕδατος τὸ ἱερὸν ποτήριον προσάγεσθαι, ἑρμηνεύσαντες τὰ Χρυσοστομικὰ ῥήματα, μὴ ἐκλαμβάνεσθαι πρὸς τὰ παρὰ τῶν Ἀρμενίων λεγόμενα, ἀλλ᾽ εἰς ἀναίρεσιν γραφῆναι τῆς αἱρέσεως τῶν Ὑδροπαραστατῶν, τῶν δι᾽ ὕδατος μόνου τὴν προσαγωγὴν τοῦ ἁγίου ποτηρίου ποιουμένων. Συγκροτήσαντες δὲ τὰ περὶ τούτων διορισθέντα, ἔκ τε ἄλλων πολλῶν, ἀλλὰ μὴν καὶ ἐκ τῆς παραδοθείσης θυσίας, παρά τε τοῦ ῥηθέντος ἁγίου Πατρὸς ἡμῶν, καὶ παρὰ τοῦ μεγάλου Βασιλείου, καθαιρέσει ὑπέβαλον (1) τοὺς ἐπισκόπους καὶ τοὺς πρεσβυτέρους, τοὺς μὴ ποιοῦντας τὴν θυσίαν τοῦ ἁγίου ποτηρίου δι᾽ ἑνώσεως ὕδατος καὶ οἴνου. Ταῦτα δὲ παρεκελεύσαντο θεοκινήτως· ἐν γὰρ τῷ θείῳ πάθει τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, οὐχ αἷμα μόνον, ἀλλὰ καὶ ὕδωρ ἐξήγαγεν ἡ διὰ λόγχης νυγεῖσα θεία τούτου πλευρά, ἵνα τὴν τῶν δύο τούτου φύσεων παραστήσῃ ἀσύγχυτον ἕνωσιν. Σημείωσαι οὖν ὅτι δύο αἱρέσεις ἀνατρέπονται διὰ τοῦ παρόντος κανόνος· μία μὲν, τῶν Ὑδροπαραστατῶν, τῶν χρωμένων ὕδατι μόνῳ ἐν τῇ τοῦ ἁγίου ποτηρίου θυσίᾳ· ἑτέρα δὲ ἡ τῶν Ἀρμενίων, τῶν διὰ οἴνου μόνου ποιούντων αὐτήν. Ἐπεὶ δὲ οὐ μόνον οἱ Ἀρμένιοι, ἀλλὰ καὶ οἱ Λατῖνοι αἰτιῶνται τὴν εἰς τὸ ἅγιον ποτήριον τοῦ ζέοντος εἰσβολὴν, λέγοντες μὴ παραδοθῆναι ταύτην ἀπὸ εὐαγγελικῆς, ἢ κανονικῆς παραγγελίας, κἀντεῦθεν γίνεσθαι κακῶς, καὶ ὑπεναντίως δῆθεν τῇ θείᾳ ταύτῃ παραδόσει, τῇ διοριζομένῃ δι᾽ ὕδατος καὶ οἴνου τὴν τοῦ ἁγίου ποτηρίου γίνεσθαι προσαγωγὴν, ἀκουσάτωσαν, ὅτι τὸ ζέον προστιθέμενον, τὴν δι᾽ ὕδατος καὶ οἴνου ἕνωσιν τοῦ ἁγίου ποτηρίου οὐ μεταβάλλει, οὐδέ ἐστιν (2) ἕτερόν τι παρὰ τὸ

(1) ὑπεβάλλουσι Χ. Τρ. — (2) Χ. Τρ. — ὅτι δ᾽ οὐκ ἔστιν Βενετ. Ἐ.

ὕδωρ· βάλλεται δὲ εἰς πληροφορίαν τοῦ εἶναι ζωοποιὰ τὰ ἀπὸ τῆς ἁγίας πλευρᾶς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ῥεύσαντα, τὸ αἷμα δηλονότι καὶ τὸ ὕδωρ, καὶ μὴ νεκρά· ὅτι τὸ τοῦ θαύματος μέγεθος καὶ ἐκ τούτου παρίσταται (1)· ἀπὸ γὰρ νεκροῦ σώματος μὴ πεφυκότος καταῤῥέειν ζέοντος αἵματος, ἐκ τοῦ Κυριακοῦ σώματος, καὶ μετὰ θάνατον, αἷμα καὶ ὕδωρ ζέοντα ἐξέῤῥευσαν, ὡς ἐκ ζωοποιοῦ σώματος ζωοποιά. Εἰ δέ τις εἴπῃ, καὶ διὰ τί πρὸ τοῦ ἁγιασθῆναι τὸ ἅγιον ποτήριον οὐ βάλλεται τὸ ζέον εἰς τὴν ἕνωσιν, ἀλλὰ μετὰ τὸν ἁγιασμόν; ἀκούσει, ὅτι ἐὰν ἐβάλλετο τὸ ζέον κατὰ τὸν καιρὸν τῆς ἑνώσεως, ἔμελλε καταψύχεσθαι μέχρι τῆς τῶν ἁγίων μεταλήψεως, καὶ ἀπετελεύτα τὸ πρᾶγμα εἰς τὸν πρότερον λόγον. Διὰ γοῦν τὴν αἰτίαν ταύτην βάλλεται τὸ ζέον ἐν τῷ ἁγίῳ ποτηρίῳ μετὰ τὴν ὕψωσιν, καὶ μεταλαμβάνουσιν αὐτοῦ οἱ πιστοὶ ὡς ζωοποιοῦ. Οἱ μέντοι Ἴβηρες ἱερεῖς ζέον ἐν τῷ ἁγίῳ ποτηρίῳ οὐ βάλλουσιν, ὀρθοδοξότατοι καὶ ταῦτα ὄντες. Καὶ ἐρωτηθέντες ποτὲ συνοδικῶς, πῶς τοῦτο ποιοῦσιν, εἶπον, μηδέποτε ὕδατι θερμῷ χρήσασθαί τινα Ἴβηρα εἰς πόσιν οἴνου, ἀπὸ ἐγχωρίου συνηθείας μακρᾶς· καὶ διὰ τοῦτο μηδὲ αὐτοὺς χρᾶσθαι ζέοντι εἰς τὰ ἅγια. Ἀναδιδαχθέντες δὲ τοῦ μυστηρίου τὴν δύναμιν, ἐπετράπησαν ἐν τῷ ἁγίῳ ποτηρίῳ βάλλειν ἀπαραιτήτως ζέον κατὰ τὸν καιρὸν τῆς ἁγίας μεταλήψεως. Σημείωσαι (2) ἀπὸ τοῦ παρόντος κανόνος,

---

(1) Χ. Τρ. — πιστεύεται Ἐ. Βευερ.

(2) Ἡ Σημείωσις αὕτη ἔχει οὕτως ἐν Χ. Τρ.

Σημείωσαι, ὅτι ἀπὸ μὲν τοῦ παρόντος λϐ'. κανόνος φαίνεται τὴν θείαν ἱεροτελεστίαν παραδοθῆναι καὶ ἀπὸ τοῦ ἁγίου Ἰακώβου τοῦ Ἀδελφοθέου, πρώτως ἐπισκοπεύσαντος τῆς ἐκκλησίας τῶν Ἱεροσολυμιτῶν· ἥτις τέως παρ' ἡμῖν οὐδὲ εὑρίσκεται, οὐδὲ γινώσκεται ὡς ἀπρακτήσασα. Ὅπως δὲ οἱ κατὰ Παλαιστίνην ἱερατεύοντες λειτουργοῦσι μετὰ τῆς παραδοθείσης μυσταγωγίας, ὡς λέγουσι, παρὰ τοῦ αὐτοῦ Ἀδελφοθέου, καὶ οἱ κατὰ Ἀλεξάνδρειαν ἐπίσκοποι, καὶ ἱερεῖς, τὰς ἱεροτελεστίας ποιοῦσι μετὰ εὐχῶν, ὥς φασι, παραδοθεισῶν ὑπὸ τοῦ ἁγίου Μάρκου, καὶ οὐκ ἀκολουθοῦσι τοῖς πραττομένοις ὑπὸ τῶν κατὰ πᾶσαν τὴν Οἰκουμένην ἱερουργούντων, ἤγουν οὐκ ἐπιστρέφονται τῶν παραδοθεισῶν μυσταγωγιῶν παρά τε τοῦ ἁγίου Βασιλείου καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, ἀγνοῶ· τοῦτο δὲ καὶ συνοδικῶς, μᾶλλον δὲ καὶ ἐπὶ βασιλικοῦ βήματος ἐλαλήθη παρ' ἐμοῦ, ὅτε ὁ πατριάρχης Ἀλεξανδρείας ἐνδημήσας εἰς τὴν τῶν πόλεων βασιλεύουσαν, καὶ μέλλων συλλειτουργῆσαι μεθ' ἡμῶν, ἤθελεν ἱερουργῆσαι μετὰ τῆς παραδοθείσης, ὡς εἶπεν, ἱεροτελε-

ὅτι πρῶτος ὁ ἅγιος Ἰάκωβος ὁ Ἀδελφόθεος, ὡς πρῶτος ἀρχιερατεύσας τῆς Ἱεροσολυμιτῶν ἐκκλησίας, παρέδωκε τὴν θείαν ἱεροτελεστίαν, ἥτις παρ' ἡμῖν ἀγνοεῖται, παρὰ δὲ τοῖς Ἱεροσολυμίταις, καὶ τοῖς Παλαιστιναίοις ἐνεργεῖται ἐν ταῖς μεγάλαις ἑορταῖς. Οἱ δὲ Ἀλεξανδρεῖς λέγουσιν εἶναι καὶ τοῦ ἁγίου Μάρκου· ᾗ καὶ χρῶνται ὡς τὰ πολλά. Ἐγὼ δὲ συνοδικῶς, μᾶλλον δὲ καὶ ἐνώπιον τοῦ βασιλέως τοῦ ἁγίου ἐλάλησα τοῦτο, ὅτε ὁ πατριάρχης Ἀλεξανδρείας ἐνεδήμει εἰς τὴν βασιλεύουσαν· μέλλων γὰρ λειτουργῆσαι μεθ' ἡμῶν καὶ τοῦ οἰκουμενικοῦ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, ὥρμησε κρατεῖν τὸ τῆς τοῦ Ἰακώβου λειτουργίας κοντάκιον, ἀλλ' ἐκωλύθη παρ' αὐτοῦ, καὶ ὑπέσχετο λειτουργεῖν, καθὼς καὶ ἡμεῖς.

ΑΡΙΣΤ. Τὴν Ὑδροπαραστατῶν ἀναιρῶν αἵρεσιν ὁ Χρυσόστομος, ἡνίκα, φησὶ, καὶ πέπονθεν ὁ Κύριος, καὶ ἐγήγερται, οἴνῳ ἐχρήσατο. Τοῦτο λαβόντες οἱ Ἀρμένιοι οἶνον προσάγουσι μόνον, οὐκ εἰδότες, καὶ αὐτὸν τὸν Χρυσόστομον, καὶ Βασίλειον, καὶ Ἰάκωβον, οἴνῳ μεμιγμένῳ ὕδατι κεχρημένους, καὶ ἡμῖν οὕτω παραδεδωκότας προσάγειν. Εἴ τις οὖν ἢ οἴνῳ μόνῳ, ἢ ὕδατι μόνῳ, ἀλλ' οὐχὶ μεμιγμένῳ χρῷτο, καθαιρείσθω.

Ἀπὸ τῆς εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἑρμηνείας τοῦ Χρυσοστόμου οἱ Ἀρμένιοι πλανηθέντες, ἐν ᾗ τὴν τῶν Ὑδροπαραστατῶν αἵρεσιν ἔσπευσεν ἀναιρέσαι, τῶν ὕδατι μόνῳ ἐν τῇ ἀναιμάκτῳ κεχρημένων θυσίᾳ, οἶνον μόνον προσάγουσι· μὴ νοήσαντες οἱ δυσσεβεῖς, ὡς εἰς τοῦτο ὁρᾷ ἡ πᾶσα κατασκευὴ τοῦ ἁγίου, εἰς τὸ ἀναιρέσαι τὴν αἵρεσιν τῶν Ὑδροπαραστατῶν, καὶ πεῖσαι αὐτοὺς, καὶ οἴνῳ χρᾶσθαι ἐν τοῖς μυστηρίοις· ἀλλὰ νομίσαντες ὅτι ἀνατρέπων τὸ ὕδωρ ἐμβάλλεσθαι ἐν αὐτοῖς, πρὸς τὸν ἔλεγχον ἀντεκατέστη αὐτῶν, οἶνον μόνον προσφέρουσιν, ἀγνοοῦντες, ὡς καὶ αὐτὸς ὁ Χρυσόστομος, καὶ ὁ μέγας Βασίλειος, καὶ ὁ ἀδελφόθεος Ἰάκωβος, οἶνον μιγνύντες ὕδατι τὴν θυσίαν προσέφερον, καὶ ἡμῖν οὕτω προσάγειν παραδεδώκασιν. Εἴ τις οὖν ἐπίσκοπος, ἢ πρεσβύτερος, μὴ κατὰ τὴν παράδοσιν ταύτην τῶν

στίας παρὰ τοῦ ἁγίου Μάρκου, κἂν οὐκ ἔτυχε διορθώσεως, ἀρκεσθέντων πάντων τῇ καθαιρέσει (οὕτω) καὶ μόνῃ τοῦ πατριάρχου εἰπόντος μηκέτι τοῦτο ποιῆσαι.

Ἀποστόλων καὶ τῶν Θεοφόρων Πατέρων τὴν ἄχραντον προσάγει θυσίαν, καθαιρείσθω, ὡς ἁπλῶς τὸ μυστήριον ἐξαγγέλλων καὶ ἀθετῶν τὰ παραδεδομένα.

Κανὼν ΛΓʹ.

Ἐπειδή περ ἔγνωμεν ἐν τῇ Ἀρμενίων χώρᾳ, μόνους ἐν κλήρῳ, τοὺς ἐκ γένους ἱερατικοῦ κατατάττεσθαι (1), Ἰουδαϊκοῖς ἔθεσιν ἑπομένων τῶν τοῦτο πράτειν ἐπιχειρούντων, τινὰς δὲ αὐτῶν καὶ μὴ ἀποκειρομένους, ἱεροψάλτας, καὶ ἀναγνώστας τοῦ θείου ναοῦ (2) καθίστασθαι· συνείδομεν, ὥστε ἀπὸ τοῦ νῦν, μὴ ἐξεῖναι τοῖς εἰς κλῆρον βουλομένοις προάγειν (3) τινὰς, εἰς τὸ γένος ἀποβλέπειν τοῦ προχειριζομένου· ἀλλὰ δοκιμάζοντες, εἰ ἄξιοι εἶεν, κατὰ τοὺς τεθέντας ἐν τοῖς ἱεροῖς κανόσιν ὅρους, ἐν κλήρῳ καταλεγῆναι, τούτους ἐκκλησιαστικοὺς προχειρίζεσθαι, εἴτε καὶ ἐκ προγόνων γεγόνασιν ἱερέων, εἴτε καὶ μή. Ἀλλὰ μηδέ τινα τῶν ἁπάντων συγχωρεῖν ἐπ᾽ ἄμβωνος, κατὰ τὴν τῶν ἐν τῷ κλήρῳ καταλεγομένων τάξιν, τοὺς θείους τῷ λαῷ λόγους ἀποφωνεῖν· εἰ μή τι ἂν ἱερατικῇ κουρᾷ χρήσηται ὁ τοιοῦτος, καὶ τὴν εὐλογίαν ὑπὸ τοῦ οἰκείου ποιμένος κανονικῶς ὑποδέξηται. Εἰ δέ τις φωραθείη παρὰ τὰ προγεγραμμένα ποιῶν, ἀφοριζέσθω.

—

ΖΩΝΑΡ. Τοῖς Ἰουδαίοις ἡ Λευϊτικὴ φυλὴ εἰς ἱερωσύνην ἀφώριστο, ἐξ ἧς μόνης οἱ ἱερᾶσθαι μέλλοντες ἐλαμβάνοντο. Τοῦτο οὖν καὶ παρὰ τοῖς Ἀρμενίοις γινόμενον ὁ παρὼν κωλύει κανὼν, θεσπίζων, μὴ πρὸς γένος ἀφορᾷν τοὺς μέλλοντας εἰς κλῆρον τάττειν τινὰς, ἀλλὰ δοκιμάζειν τὸν βίον αὐτῶν, καὶ τοὺς ἀξίους, κατὰ τὰ ὁρισθέντα παρὰ τῶν θείων κανόνων, εὑρεθέντας, ἐξ οἵου ἂν εἶεν γένους, ἐκείνους ἐκκλησιαστικῶς προχειρίζεσθαι,

(1) Χ. Τρ. Βρ. Κ. — καταλέγεσθαι Π. — κατάγεσθαι Βευερ. Ἑ. — (2) Π. Χ. Τρ. Βευερ. — τοῦ θείου νόμου Βρ. Ἑ. Κ. — (3) προσάγειν Βευερ. Χ. Τρ.

κἂν προγόνους μὴ εἶχον ἱερατικούς· ἀλλὰ μηδὲ ἐπ' ἄμβωνος συγχωρείσθω, φησὶν, ἀνιέναι τις, καὶ τὰς θείας γραφὰς ὑποφωνεῖν τῷ λαῷ, ὃς οὐ κατὰ τὴν ἱερατικὴν συνήθειαν τὴν κόμην κέκαρται, ὑπὸ τοῦ οἰκείου ποιμένος εὐλογηθεὶς κανονικῶς, ἤγουν τὴν συνήθη σφραγίδα δεξάμενος. Τοὺς δὲ ἄλλως ποιοῦντας παρὰ τὰ ὁρισθέντα ὁ κανὼν ἀφορίζει.

ΒΑΛΣ. Δύο ταῦτα ὁ παρὼν κανὼν διορθοῦται, τὸ κατὰ τὴν χώραν τῶν Ἀρμενίων κακῶς γινόμενον, χάριν τοῦ μὴ ἄλλως γίνεσθαι κληρικοὺς, ἀλλὰ μόνους τοὺς ἐκ γένους ἱερατικοῦ καταγομένους· καὶ τὸ ἐπὶ ἄμβωνος ἀναγινώσκεσθαι τὰ θεῖα λόγια, παρὰ τῶν μὴ ἐχόντων ἐπισκοπικὰς ἐπικουρίδας, τὸ μὲν, ὡς Ἰουδαϊκὸν, (νενομοθέτηται γὰρ παρ' Ἰουδαίοις ἀπὸ τῆς Λευϊτικῆς φυλῆς καὶ μόνης τοὺς ἱερεῖς γίνεσθαι), τὸ δὲ, ὡς ἀλογίστως τελούμενον. Φασὶν οὖν οἱ Πατέρες, ἐκείνους ἐν τῷ κλήρῳ κατατάττεσθαι, μὴ τοὺς ἐκ γένους κληρικῶν ὄντας, ἀλλὰ τοὺς ἀξίους, καὶ κατ' ἐπιλογὴν ἐπισκοπικὴν προτιμωμένους, κἂν μὴ ἐκ γένους τοιούτου ὦσιν· ὡσαύτως τὰς ἐπ' ἄμβωνος ἀναγνώσεις μόνους ποιεῖν τοὺς εἰς τοῦτο ἀποκληρωθέντας, ἤγουν τοὺς ἔχοντας ἐπισκοπικὰς ἐπικουρίδας. Ταῦτα τοῦ θείου κανόνος παρακελευομένου, καὶ ἀφορίζοντος τοὺς παρὰ ταῦτα ποιοῦντας, ἐλαλήθη πολλάκις περὶ διαφόρων ἀρχιερέων, ἐχόντων ἀπὸ χρυσοβούλλων κληρικοὺς, ἤγουν τοῦ Ἀθηνῶν, τοῦ Μεσημβρίας, καὶ ἑτέρων, ὡς οἱ ἀπόγονοι τῶν ἀρχαίων κληρικῶν καταναγκάζουσιν αὐτοὺς μὴ τοὺς ἀξίους τῷ κλήρῳ κατατάττειν (1), ἀλλὰ τούτους πολλάκις ὄντας καὶ λαϊκοὺς, καὶ τὴν δουλείαν τῆς ἐκκλησίας δι' ἑτέρων παρ' ἐκείνων διδομένων γίνεσθαι. Καὶ ἐν τῇ βασιλευούσῃ δὲ ταύτῃ τῶν πόλεων, ἐν τῷ ναῷ τῶν ἁγίων μεγάλων τεσσαράκοντα μαρτύρων, καὶ ἐν τῷ ναῷ τῆς ὑπεραγίας Θεοτόκου τοῦ Κυροῦ (2), καὶ ἐν ἑτέροις θείοις ναοῖς, ἔχουσι λαϊκοὶ ἀλλὰ μὴν καὶ μοναστήρια διάφορα, κληρικά τε ὀφφίκια. Πλὴν οἱ μὲν ἀρχιερεῖς ἤκουσαν, ὡς ὁ παρὼν κανὼν ἐπιστομίζει τοὺς ὀχλοῦντας αὐτοὺς, τὸ δὲ γινόμενον εἰς τὰς ῥηθείσας καθολικὰς ἐκκλησίας,

(1) κατατάττεσθαι Χ. Τρ. — (2) Χ. Τρ. Ε. — Κυρίου Βευερ.

ὅπως παραχωρεῖται (1), ἀγνοῶ. Σημείωσαι δὲ, ὅτι ἅμα τῷ δέξασθαί τινα σφραγῖδα ἐπικουρίδος ἀπὸ χειρὸς ἀρχιερατικῆς, κληρικὸν τοῦτον ἔχει ὁ κανών· ἤκουσα γάρ τινων λεγόντων, μὴ εἶναι ἀναγνώστην, μηδὲ λέγεσθαι κληρικὸν, τὸν εἰς κλῆρον ναοῦ μὴ καταταχθέντα (2) ἀλλὰ μόνην ἔχοντα ἐπικουρίδα· διὸ καὶ ἔχειν ἐπ᾽ ἀδείας ἀκινδύνως αὐτὸν μετασχηματίζεσθαι εἰς λαϊκὸν (3), ὅπερ ἐμοὶ τέως οὐ δοκεῖ. Ἀλλὰ καὶ τοὺς μὴ ἔχοντας μοναχοὺς ἐπικουρίδα ἀρχιερατικὴν, ἀλλὰ μοναχικὴν ἀπόκαρσιν, λέγουσί τινες δύνασθαι ἐπ᾽ ἄμβωνος ἀναγινώσκειν ἀπόστολον καὶ τὰ λοιπὰ κατὰ κληρικοὺς, ὡς ἀρκούσης δῆθεν τῆς ἀποκάρσεως ἀντὶ τῆς ἐπικουρίδος. Ἐμοὶ δὲ δοκεῖ, τὸν μὲν παρὰ ἡγουμένου ἱερέως καταστάντα ἀναγνώστην μοναχὸν, κατὰ τὸν ιδʹ. κανόνα τῆς ζʹ. συνόδου καλῶς ἀναγινώσκειν ἐπ᾽ ἄμβωνος· τὸν δὲ μόνον ἀπόκαρσιν ἔχοντα, μὴ δύνασθαι τοῦτο ποιεῖν· καὶ ἀνάγνωθι τὰ γραφέντα εἰς τὸν ῥηθέντα κανόνα τῆς ζʹ. συνόδου.

ΑΡΙΣΤ. Ὁ χειροτονίας ἐπάξιος, καὶ ἱερατικοῦ τελῶν γένους καὶ ἑτέρου, χειροτονείσθω. Μὴ κεκαρμένος καὶ εὐλογίας τυχὼν, ἐπ᾽ ἄμβωνος ἱεροὺς λόγους οὐκ ἀναγνώσεται.

Τοῖς Ἰουδαϊκοῖς ἑπόμενοι ἔθεσιν οἱ ἐν τῇ χώρᾳ τῶν Ἀρμενίων, μόνους τοὺς ἐκ γένους ἱερατικοῦ ὄντας εἰς κλῆρον προσδέχονται· ἀλλὰ καὶ τοὺς μὴ εὐλογίας τυχόντας ἐπισκόπους, καὶ ἱερατικῇ κουρᾷ χρησαμένους, ἱεροψάλτας καθίστων, καὶ τῷ λαῷ ἐπ᾽ ἄμβωνος τὰς ἱερὰς βίβλους ἀναγινώσκειν ἐπέταττον. Διὰ τοῦτο γοῦν ταῦτα καὶ ἀμφότερα ὁ παρὼν οὗτος ἀπαγορεύων κανὼν, προστάττει, μήτε εἰς τὸ γένος ἀφορᾷν τοῦ βουλομένου εἰς κλῆρον προαχθῆναι, ἀλλὰ τοῦτο μόνον ἀνερευνᾷν, εἰ ἄξιός ἐστι· μήτε τινὶ συγχωρεῖν, ὥστε ἀναγινώσκειν, ἢ ψάλλειν ἐπ᾽ ἄμβωνος, εἰ μὴ παρὰ τοῦ ἰδίου ἐπισκόπου εὐλογίας τύχῃ κανονικῆς, καὶ ἱερατικῇ κουρᾷ χρήσηται· τὸν δὲ παρὰ τὰ ἐνταῦθα διατεταγμένα ποιοῦντα ἀφορίζεσθαι.

(1) Χ. Τρ. — παραχωροῦνται Βενετ. — (2) Χ. Τρ. — καταθέντα Ἐ. Βενετ. — (3) Χ. Τρ. — εἰς λαϊκοὺς Βενετ. — εἰς κληρικοὺς Ἐ.

Κανὼν ΛΔ'.

Καὶ τοῦτο δὲ τοῦ ἱερατικοῦ (1) κανόνος σαφῶς διαγορεύοντος, ὡς τὸ τῆς συνωμοσίας, ἢ φρατρίας ἔγκλημα καὶ παρὰ τῶν ἔξω νόμων πάντῃ (2) κεκώλυται, πολλῷ δὲ μᾶλλον ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ τοῦτο γίνεσθαι ἀπαγορεύειν προσήκει· καὶ ἡμεῖς παραφυλάττειν (3) σπουδάζομεν, ὡς εἴ τινες κληρικοί, ἢ μοναχοὶ εὑρεθεῖεν ἢ συνομνύμενοι, ἢ φρατριάζοντες, ἢ κατασκευὰς τυρεύοντες ἐπισκόπων, ἢ συγκληρικῶν, ἐκπιπτέτωσαν πάντῃ τοῦ οἰκείου βαθμοῦ.

—

ΖΩΝΑΡ. Ὁ περὶ τῆς συνωμοσίας κανὼν οὗτος τῆς τετάρτης ἐστὶ συνόδου ὀκτωκαιδέκατος, ὃς ἐκεῖσε ἡρμήνευται.

ΒΑΛΣ. Περὶ συνωμοσίας καὶ φατρίας ἐγράψαμεν ἐν τῷ ιή. κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ ἀνάγνωθι τοῦτον, καὶ τὰ ἐν αὐτῷ. Ἐζητήθη δέ ποτε, εἰ ὀφείλουσι κολάζεσθαι καὶ οἱ συνωμοσίας ποιήσαντες χάριν ἀγαθοῦ τινος, τυχόν, ἐὰν ὁμογνωμονήσωσι, καὶ ὀμόσωσι χωρὶς προστάξεως βασιλικῆς, ἢ ἀρχοντικῆς, ὑπὲρ καταπολεμουμένης ὑπὸ ἐχθρῶν πόλεως ἀποθανεῖν, ἢ ἀναιρέσαι τινα λυμεῶνα τῆς κατ' αὐτοὺς πόλεως, ἢ ἄλλο τι ἀγαθὸν ποιῆσαι. Καί τινες μὲν εἶπον, ὡς, ἐπεὶ σπανίως γίνεται τὸ ὑπὲρ ἀγαθοῦ πράγματος συνομόσασθαί τινας, καὶ οὐδὲ ῥητῶς ὑπὸ τῶν νόμων, ἢ τῶν κανόνων τοῦτο ἐπιτέτραπται, κεκώλυται πάντῃ τὸ συνομνύειν, ἵνα μὴ τῇ προφάσει τοῦ ἀγαθοῦ οἱ πολλοὶ καὶ ἐλαφρότεροι εἰς πολλὰ κακὰ περιπίπτωσι, νομίζοντες ἀγαθόν τι ποιεῖν· περιαιρεθῇ δὲ ἐντεῦθεν καὶ ἡ βασιλικὴ καὶ ἀρχοντικὴ ἐξουσία, ἡ τὰ κακὰ διεκδικοῦσα, καὶ εἰς τὰ καλὰ τὸν δῆμον διεγείρουσα. Ἐχρήσαντο δὲ καὶ τῷ τρίτῳ κεφ. τοῦ λϛ'. τίτ. τοῦ ξ'. βιβλ. λέγοντι περὶ τὰ μέσα, κολάζεσθαι τὸν πολεμοῦντα παρὰ κέλευσιν βασιλέως· καὶ τῇ ἐν αὐτῷ παραγραφῇ λεγούσῃ, Κἂν νικήσῃ οὗτος, τιμωρεῖται. Ἕτεροι δὲ τῷ παρόντι κανόνι χρώμενοι, καὶ τοῖς κα-

---

(1) Π. Ἑ. Κ. Βευερ. — τοῦ ἱεροῦ Βρ. — τὸ, ἱερατικοῦ, οὐ κεῖται ἐν Χ. Τρ. — (2) τὸ, πάντῃ, οὐ κεῖται ἐν Χ. Τρ. Βρ. Βευερ. — πάντως; Ἑ. Κ. — (3) Π. Ἑ. Κ. — φυλάττειν Χ. Τρ. Βευερ. Βρ.

ταστρωθεῖσι παρ' ἡμῶν νόμοις εἰς τὸ λζ'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, διδάσκουσι δι' ὅλου περὶ συνωμοσίας κατά τινων τυρευθείσης, ἀντέθεντο μόνας τὰς ἐπὶ κακῷ γινομένας συνωμοσίας κωλύεσθαι καὶ κολάζεσθαι, οὐ μὴν καὶ τὰς χάριν ἀγαθοῦ τινος. Ἐμοὶ δὲ δοκεῖ πᾶσαν συνωμοσίαν ὑπὸ τοῦ νόμου κολάζεσθαι· δι' ἅ τε ἄνωθεν εἴρηται, καὶ διὰ τὸ ἐν ἀδήλῳ εἶναι τὸ ἀποτέλεσμα ταύτης, καὶ μᾶλλον, ὅτι καὶ τὸ συνάγεσθαι ὄχλον ὁπωσδήποτε χωρὶς ἐξουσίας βασιλικῆς, μεγάλως ὑπὸ τοῦ νόμου τιμωρεῖται, κἂν ἐπὶ δοκοῦντι ἀγαθῷ γίνηται ἡ συνωμοσία(1).

Ἑτέρα ἑρμηνεία.

Νομίζω καλῶς ἑρμηνευθῆναι τὸν κανόνα, καὶ μὴ ὀφείλειν ἐκλαμβάνεσθαι αὐτὸν, καθώς τινες λέγουσι, πρὸς τοὺς ποιησαμένους συνωμοσίαν ἐπὶ ἀγαθῷ· καὶ ὅπως γὰρ γίνηται, κολάζεται, καθὼς ἄνωθεν ἐγράψαμεν(2). Εὑρίσκων δὲ σημείωμα τοῦ βασιλέως κυροῦ Ἀλεξίου, τοῦ υἱοῦ τοῦ βασιλέως κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, κατεστρωμένον ἐν τοῖς προσφόροις σεκρέτοις, γεγονὸς κατὰ μῆνα Ἰούλιον (3) τῆς ιε'. Ἰνδικτιῶνος, καὶ διαλαμβάνον μὴ ὑποκεῖσθαι [εἰς] καθοσίωσιν τοὺς τότε συνωμοσαμένους μεγάλους καὶ ὑψηλοὺς ἄρχοντας, διὰ τὸ μὴ λογίζεσθαι συνωμοσίαν τὸ γεγονὸς, ἀλλὰ θεμιτὸν ὅρκον διὰ τὸ ὑπὲρ τῆς βασιλείας αὐτοῦ τὸν ὅρκον γενέσθαι· μὴ εἴπῃς τὴν ἐπὶ κακῷ γενομένην συνωμοσίαν εὐθύνεσθαι, τὴν δ' ἐπ' ἀγαθῷ εὐλογεῖσθαι· ἀλλὰ λέγε, πᾶσαν συνωμοσίαν εὐθύνεσθαι διὰ τὰς προῤῥηθείσας αἰτίας· τὰ δὲ ἐν τῷ ῥηθέντι βασιλικῷ σημειώματι περιεχόμενα ἰδικὰ εἶναι, καὶ συμπαθείας βασιλικῆς μετέχειν (4), οὐ μὴν καὶ ἑρμηνείαν νόμων καὶ κανόνων εἶναι.

ΑΡΙΣΤ. Εἴ τινες κληρικοὶ, ἢ μοναχοὶ συνωμοσίας, ἢ φατρίας ποιήσαιεν, ἢ σκευὰς κατ' ἐπισκόπου, ἢ συγκληρικοῦ, τοῦ βαθμοῦ ἐκπιπτέτωσαν.

Κανὼν ΛΕ'.

Μὴ ἐξέστω τινὶ τῶν ἁπάντων (5) μητροπολιτῶν, τελευ-

---

(1) τὰ ἀπὸ τοῦ, κἂν ἐπὶ δοκοῦντι, οὐ κεῖνται ἐν Χ. Τρ. καὶ Ε. — (2) τὰ ἐντὸς * οὐ κεῖται παρὰ Βευερ. ἀλλ' ἐν Χ. Τρ. παρὰ δὲ Ε. οὐ κεῖται ἅπασα ἡ β'. αὕτη ἑρμηνεία. — (3) τελεστὴν φέρων τὸν Ἰούλιον Χ. Τρ. — (4) Χ. Τρ. — καὶ ἄξια συμπαθείας βασιλικῆς Βευερ. — (5) Χ. Τρ. Π. — τῶν πάντων Βευερ. Βρ.

τῶντος ἐπισκόπου τελοῦντος ὑπὸ τὸν κατ' αὐτὸν θρόνον, τὰ αὐτοῦ πράγματα, ἢ τῆς κατ' αὐτὸν ἐκκλησίας, ἀφαιρεῖσθαι, ἢ σφετερίζεσθαι· ἀλλ' ὑπὸ παραφυλακὴν ἔστωσαν τοῦ κλήρου τῆς ἐκκλησίας, ἧς ὁ τελευτήσας ἐτύγχανε πρόεδρος, μέχρι τῆς ἑτέρου ἐπισκόπου προαγωγῆς (1)· ἐκτὸς εἰμὴ κληρικοὶ ἐν τῇ αὐτῇ ἐκκλησίᾳ οὐχ ὑπελείφθησαν· τηνικαῦτα γὰρ ὁ μητροπολίτης ταῦτα παραφυλάξει ἀμείωτα, τῷ χειροτονηθησομένῳ (2) ἐπισκόπῳ πάντα ἀποδιδούς.

ΖΩΝΑΡ. Καὶ ὁ εἰκοστὸς δεύτερος κανὼν τῆς τετάρτης συνόδου περὶ τούτου τοῦ κεφαλαίου διαλαμβάνει· ἔνθα καὶ τοῦ παρόντος κανόνος ἐμνήσθημεν· ἀρκεῖ οὖν τὰ εἰρημένα ἐκεῖ.

ΒΑΛΣ. Ἐν τῷ κβ'. κανόνι τῆς δ'. συνόδου γέγραπται, καθαιρεῖσθαι τοὺς ἁρπάζοντας κληρικοὺς τὰ διαφέροντα τῷ ἀποθανόντι ἐπισκόπῳ πράγματα· ὁ δὲ παρὼν κανὼν κωλύει τὸν μητροπολίτην σφετερίζεσθαι ταῦτα. Ἀκούων δὲ, ὡς ὑπὸ φυλακὴν ὀφείλουσιν εἶναι αὐτὰ ἢ παρὰ τῷ κλήρῳ, ἢ παρὰ τῷ μητροπολίτῃ, ὅταν οὐκ ὦσι κληρικοὶ, ἐφ' ᾧ δοθῆναι τῷ χειροτονηθησομένῳ ἐπισκόπῳ, μὴ εἴπῃς ἐξ ἀνάγκης ὀφείλειν τοῦτο γίνεσθαι. Εἰ γὰρ ὁ τελευτήσας ἐπίσκοπος ἐποίησεν ἀπογραφὴν, κατὰ τὸν μ'. ἀποςολικὸν κανόνα, ἅμα τῷ χειροτονηθῆναι, τοῖς ἐξ ἀδιαθέτου κληρονόμοις τούτου δοθήσεται τὰ ἐκείνου πράγματα· καὶ ἀνάγνωθι τὰ ἐν τῷ ῥηθέντι κβ'. κανόνι χάριν τούτου γραφέντα. Ἐπὶ τούτοις, ἔχε ἐπὶ μνήμης καὶ τὸ κατὰ τὸν Σεπτέμβριον μῆνα τῆς ιδ'. Ἰνδικτιῶνος ἀπολυθὲν πρόσταγμα τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, χάριν τοῦ μὴ ἁρπάζεσθαι τὰ τοῖς τελευτῶσιν ἐπισκόποις ἀνήκοντα παρὰ τῶν πρακτόρων, τάδε κατὰ ῥῆμα διαλαμβάνον· Πρᾶγμα καὶ εἰς Θεοῦ τολμώμενον περιφρόνησιν, καὶ εἰς ἀθέτησιν θεσμῶν φυσικῶν, παρὰ τῶν, ὅ φασι, μήτε Θεοῦ ὄπιν, μήτ' ἀνθρώπων νέμεσιν ὑφορωμένων, ὡς ἔοικεν, οὐκ ἀνεκτὸν ὅλως ἐλογίσθη

---

(1) Π. Ἑ. Κ. — παραγωγῆς Βευερ. Βρ. Χ. Τρ. — (2) Π. Χ. Τρ. Βρ. — τῷ χειροτονηθέντι Βρ. Βευερ.

τῇ βασιλείᾳ μου, εἰς ἀκοὰς αὐτῇ πεπτωκός. Ἔνθεν τοι καὶ ὡς πάντη τοῦ τῶν χριστωνύμων ἀνάξιον ἐπαγγέλματος, διορθοῦται τοῦτο ἡ βασιλεία μου. Ἀνηνέχθη γὰρ αὐτῇ, ὡς ἐν ταῖς ἀπὸ τοῦ ζῆν ἐκδημίαις τῶν ὁπουδήποτε ἀρχιερατευόντων ἐν ταῖς τοῦ Θεοῦ ἁγιωτάταις ἐκκλησίαις, πῇ μὲν καὶ πρὸ τῆς αὐτῶν ἐκφορᾶς, πῇ δὲ καὶ μετὰ τὴν ἐκφορὰν, οἱ κατὰ χώραν ἐνεργοῦντες, προφάσει τῆς αὐτῶν τελευτῆς, τῶν τε κελλίων αὐτῶν ἀπανθρώπως κατεπεμβαίνουσι, καὶ τῶν ὑπὸ τὰς λαχούσας αὐτοὺς ἐκκλησίας ἀκινήτων· καὶ ἀφαιροῦνται μὲν ἅπαντα τὰ ἐν τούτοις παρευρεθέντα τῶν ὑπαρχόντων αὐτοῖς· καθολικὴν δὲ ποιοῦνται τῶν τοιούτων ἀκινήτων ἀπαίτησιν, καὶ παντοίως ἑτέρως ταῦτα συντρίβουσιν. Ἡ δὲ βασιλεία μου μηδὲ μέχρι καὶ εἰς ἄκουσμα μόνον ἀνεκτὴν ἡγησαμένη τὴν τοιαύτην τόλμαν αὐτῶν, ἵνα μὴ καὶ τῆς ἐπὶ τοῖς θανάτοις τῶν ἀρχιερέων ἐπιούσης ταῖς κατ' αὐτοὺς ἐκκλησίαις ζημίας καὶ συμφορᾶς, οὗτοι βαρυσυμφορώτεροι γίνοιντο, καὶ τῆς ἐπ' αὐτοῖς ἀνίας ἀνιαρώτεροι, διορίζεται διὰ τῆς παρούσης προστάξεως, μηκέτι παρὰ τῶν κατὰ χώρας τὰς δουκικὰς ἀρχὰς διεπόντων, ἢ ἀναγραφὰς, ἢ ἕτερ' ἄττα δικαίῳ τοῦ δημοσίου ἐνεργούντων, τοιοῦτόν τι κατὰ τῶν ἁγιωτάτων ἐκκλησιῶν, ἢ τῶν ὑπ' αὐτὰς ἀκινήτων, ἢ τῶν κελλίων τῶν ἀρχιερέων, ἐν ταῖς αὐτῶν τελευταῖς τοῦ λοιποῦ νεωτερισθῆναι. Ἀλλ' εἰ μὲν ἐνδιαθήκως οἱ ἀρχιερεῖς τελευτῶεν, κατὰ τὰς αὐτῶν βουλάς τε καὶ διατάξεις ἅπαντα γίνεσθαι, ὅσον ἐπὶ τοῖς παρευρισκομένοις ἐν τοῖς κελλίοις αὐτῶν· εἰ δ' ἴσως καὶ ἀδιάθετοι ἀπαλλάττοιντο, πάντα καὶ οὕτω συντελεῖσθαι κατὰ τὸ τοῖς ἱεροῖς κανόσι καὶ τοῖς νόμοις δοκοῦν. Τοῖς ἀκινήτοις μέντοι τῶν χηρευουσῶν ἐκκλησιῶν, οὐδὲ πόδα ὅλως ἐπιβαλεῖ τις τῶν κατὰ χώραν δουκῶν, ἢ τινων ἑτέρων, ὡς εἴρηται, οὐδὲ τὸ οἱονοῦν ἐκεῖθεν ὁπωσοῦν ἀναλάβηται· ἀλλὰ πάντα παρὰ τῶν μερῶν τῶν τοιούτων ἐκκλησιῶν ἐν αὐτοῖς οἰκονομηθήσεται, καθὼς ἄρα καὶ περὶ τούτου νομίμως καὶ κανονικῶς διηγόρευται, μέχρις ἂν δηλαδὴ οἱ μετὰ τοὺς τεθνηκότας ἀρχιερεῖς εἰς ἐκκλησίας ἐπικηρυττόμενοι, κατὰ χώραν γεγονότες, αὐτοὶ τῆς τούτων οἰκονομίας ἀνθέξωνται (1)· εἰδέναι ὀφείλοντος τοῦ εἰς

(1) Χ. Τρ. — ἀναδέξωνται Βευερ.

ἀθέτησίν τινος τῶν ἐν τῇ παρούσῃ προστάξει τῆς βασιλείας μου διωρισμένων χωρήσοντος· ὡς εἰ καὶ Θεὸς ἐπὶ τῷ τοιούτῳ αὐτοῦ τολμήματι πρός γε τὸ παρὸν παρασιωπήσεται, πάντως εἰς τὸ μέλλον αὐτῷ τὴν ἀξίαν δίκην ταμιευόμενος, ἀλλ' ἡ βασιλεία μου, καὶ εἰς τὸ παρὸν, πικρότερον αὐτὸν μετελεύσεται, σωματικαῖς αὐτὸν ποιναῖς καθυποβαλοῦσα, μελῶν τε οἰκείων ἀκρωτηριασμοῖς, καὶ τῶν ὑπαρχόντων δημεύσει, καὶ ὑπερορίᾳ (1) μακρᾷ· οὐ μόνον γὰρ τὸ ἁπλοῦν ἀπεντεῦθεν ἀποδώσει ὁ τοιοῦτος τῇ ἐκκλησίᾳ τὸ ἐξ αὐτῆς τοιουτοτρόπως παρ' αὐτοῦ ἀφαιρεθησόμενον, ἀλλὰ καὶ πρὸς τοῦ δημοσίου εἰς τὸ διπλοῦν ἀσυμπαθῶς ἀπαιτηθήσεται τὴν τοιαύτην ποσότητα· εἰδήσεως ἀκριβεστάτης διδομένης περὶ τούτου παρὰ τοῦ τηνικαῦτα ἀρχιερέως τῷ κατὰ τὴν ἡμέραν μυστικῷ· ὃς καὶ ὀφείλει καὶ ἄμφω οἰκονομεῖν· πρόφασιν δὲ πάντως οὐχ ἕξει περὶ τῆς ἁμαρτίας αὐτοῦ· ἦλθε γὰρ ἡ βασιλεία μου εὐαγγελικῶς καὶ ἐλάλησεν αὐτοῖς διὰ τῆς παρούσης προστάξεως, ἥτις καταστρωθήσεται, καὶ τῷ ἱερῷ χαρτοφυλακείῳ ἐναποτεθήσεται, ἀρήγουσα (2) ταῖς ἁγιωτάταις ἐκκλησίαις, κἂν ἰσότυπα καὶ μόνα ταύτης, πεπιστωμένα παρὰ τῶν μερῶν αὐτῶν, ἐμφανίζηται· ἕξουσι γὰρ πρωτοτύπων ἰσχὺν ταῦτα, καὶ τοῖς πορισαμένοις προσέσονται εἰς ἀσφάλειαν αἰωνίζουσαν.

ΑΡΙΣΤ. Τελευτῶντος ἐπισκόπου, ὁ κλῆρος φυλάξει τὰ πράγματα· εἰ δὲ μὴ ὑπολέλειπται κληρικὸς, ὁ μητροπολίτης ταῦτα διαφυλάξει, ἕως τῆς ἑτέρου χειροτονίας.

Οὔτε τοῖς κληρικοῖς μετὰ τὴν τελευτὴν τοῦ ἐπισκόπου αὐτῶν, οὔτε τῷ μητροπολίτῃ ἔξεστιν ἀφαιρεῖσθαί τι τῶν τῆς χηρευούσης ἐκκλησίας πραγμάτων· ἀλλὰ πάντα ὀφείλουσι παραφυλάττεσθαι παρ' αὐτῶν δὴ τῶν κληρικῶν, μέχρις ἂν ἕτερος ἐπίσκοπος χειροτονηθῇ. Εἰ δ' ἴσως κληρικὸς ἐν τῇ τοιαύτῃ οὐχ ὑπελείφθη ἐκκλησίᾳ, ὁ μητροπολίτης ταῦτα παραφυλάξει ἀμείωτα, ἀποδοῦναι μέλλων πάντα τῷ χειροτονηθησομένῳ ἐπισκόπῳ.

---

(1) Χ. Τρ. — ἐξορίᾳ Βευερ. — (2) Ε. — ἀρέσκουσα Χ. Τρ. — ἀρκέσουσα Βευερ.

Κανὼν ΛϚ'.

Ἀνανεούμενοι τὰ παρὰ τῶν ἑκατὸν πεντήκοντα ἁγίων Πατέρων, τῶν ἐν τῇ θεοφυλάκτῳ ταύτῃ καὶ βασιλίδι πόλει συνελθόντων, καὶ τῶν ἑξακοσίων τριάκοντα, τῶν ἐν Χαλκηδόνι συναθροισθέντων (1) νομοθετηθέντα, ὁρίζομεν, ὥστε (2) τὸν Κωνσταντινουπόλεως θρόνον τῶν ἴσων ἀπολαύειν πρεσβείων τοῦ τῆς πρεσβυτέρας Ῥώμης θρόνου, καὶ ἐν (3) τοῖς ἐκκλησιαστικοῖς, ὡς ἐκεῖνον, μεγαλύνεσθαι πράγμασι, δεύτερον μετ' ἐκεῖνον ὑπάρχοντα, μεθ' ὃν ὁ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἀριθμείσθω θρόνος, εἶτα ὁ Ἀντιοχείας (4), καὶ μετὰ τοῦτον, ὁ τῆς Ἱεροσολυμιτῶν πόλεως.

—

ΖΩΝΑΡ. Τὰ ἐν τῇ ἐξηγήσει τῶν εἰρημένων κανόνων, ὧν μέμνηται ὁ παρὼν κανὼν, εἰρημένα ἡμῖν περὶ τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως ζητητέον, καὶ οἶμαι, ὡς οὐ πλειόνων δεήσει τῷ τοῦτον ἀναγινώσκοντι.

ΒΑΛΣ. Περὶ τοῦ δευτέρου καὶ τρίτου κανόνος φησὶ τῆς δευτέρας συνόδου· καὶ τοῦ κή. κανόνος τῆς δ'. συνόδου· καὶ ἀνάγνωθι τὰ ἐν τούτοις παρ' ἡμῶν γραφέντα.

ΑΡΙΣΤ. Ὁ Κωνσταντινουπόλεως μετὰ τὸν Ῥώμης ἔστω, τῶν ἴσων ἀπολαύων πρεσβείων· μεθ' ὃν ὁ τῆς Ἀλεξανδρείας· ἑξῆς ὁ Ἀντιοχείας· εἶτα ὁ Ἱεροσολύμων.

Τὸ τὸν Κωνσταντινουπόλεως τῶν ἴσων ἀπολαύειν πρεσβείων μετὰ τὸν Ῥώμης, οὕτως ἐν τῷ τρίτῳ κανόνι τῆς ἐν Κωνσταντινουπόλει συνόδου ἡρμηνεύσαμεν, καὶ ἐν τῷ εἰκοστῷ ὀγδόῳ τῆς ἐν Χαλκηδόνι συνόδου· ὥστε μὴ κατὰ τὴν τιμὴν δεύτερον τοῦ Ῥώμης τάττεσθαι, ἀλλὰ κατὰ τοὺς χρόνους· οὕτω γοῦν καὶ ἐνταῦθα δεῖ νοεῖν τὴν, μετὰ, πρόθεσιν τοῦ χρόνου εἶναι δηλωτικὴν, ἀλλ' οὐ τῆς τιμῆς. Μετὰ γὰρ χρόνους πολλοὺς τῶν ἴσων

---

(1) Π. Σ. Ῥ. — συνελθόντων Χ. Τρ. Ἐ. Κ. Βρ. Βευερ. — (2) Π. Βρ. Χ. Τρ. Κ. Ἐ. — τὸ, ὥστε, οὐ κεῖται παρὰ Βευερ. — (3) ἡ, ἐν, οὐ κεῖται ἐν Χ. Τρ. — (4) Π. Βευερ. Χ. Τρ. — ὁ Ἀντιοχέων Βρ. Σ. Ῥ.

πρεσβείων τῇ Ῥωμαίων ἐκκλησίᾳ καὶ ὁ θρόνος οὗτος τῆς Κωνσταντινουπόλεως ἔτυχε, διὰ τὸ βασιλείᾳ τε καὶ συγκλήτῳ τιμηθῆναι τὴν πόλιν ταύτην, καὶ τῶν ἴσων ἀπολαύειν πρεσβείων τῇ πρεσβυτέρᾳ Ῥώμῃ.

Κανὼν ΛΖ'.

Ἐπειδὴ κατὰ διαφόρους καιροὺς βαρβαρικαὶ γεγόνασιν ἔφοδοι, καὶ πλεῖσται πόλεις ἐντεῦθεν ὑποχείριοι τοῖς ἀνόμοις κατέστησαν, ὡς ἐντεῦθεν μὴ δυνηθῆναι τὸν τῆς τοιαύτης πόλεως πρόεδρον, μετὰ τὴν ἐπ' αὐτῷ χειροτονίαν, τὸν οἰκεῖον θρόνον καταλαβεῖν, καὶ ἐν αὐτῷ ἱερατικῇ καταστάσει ἐνιδρυθῆναι, καὶ οὕτω κατὰ τὸ κρατῆσαν ἔθος τὰς χειροτονίας, καὶ πάντα, ἃ τῷ ἐπισκόπῳ ἀνήκει, πράττειν τε καὶ μεταχειρίζεσθαι· ἡμεῖς τὸ τίμιον, καὶ σεβάσμιον τῇ ἱερωσύνῃ φυλάττοντες, καὶ μηδαμῶς πρὸς λύμην τῶν ἐκκλησιαστικῶν δικαίων τὴν ἐθνικὴν ἐπήρειαν ἐνεργεῖσθαι βουλόμενοι, τοῖς οὕτω χειροτονηθεῖσι, καὶ διὰ τὴν προκειμένην αἰτίαν ἐν τοῖς ἑαυτῶν μὴ ἐγκαταστᾶσι (1) θρόνοις, τὸ ἀπροκριμάτιστον(2) τηρεῖσθαι συνεωράκαμεν, ὥστε καὶ χειροτονίας κληρικῶν διαφόρων κανονικῶς ποιεῖν, καὶ τῇ τῆς προεδρίας αὐθεντίᾳ κατὰ τὸν ἴδιον ὅρον κεχρῆσθαι, καὶ βεβαίαν, καὶ νενομισμένην εἶναι πᾶσαν ὑπ' αὐτῶν προϊοῦσαν διοίκησιν. Οὐ γὰρ ὑπὸ (3) τοῦ τῆς ἀνάγκης καιροῦ τῆς (4) ἀκριβείας περιγραφείσης, ὁ τῆς οἰκονομίας ὅρος περιορισθήσεται.

ΖΩΝΑΡ. Τοὺς κληθέντας εἰς λαοῦ προστασίαν, καὶ μὴ πειθομένους ἀπελθεῖν, ἀφορίζει ὁ ἑπτακαιδέκατος τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανών. Τοὺς δὲ χειροτονηθέντας, μὴ ἀπελθόντας δέ, οὐ παρ' αἰτίαν οἰκείαν, ἀλλ' ἢ διὰ τὴν τοῦ λαοῦ παραίτησιν, ἢ

---

(1) Π. Σ. Ῥ. Βευερ. — μὴ καταστᾶσι Βρ. — (2) Π. Βευερ. — τὸ ἀπρόκριτον Χ. Τρ. Βρ. Σ. Ῥ. Κ. 'Ε. — (3) ἀπὸ τοῦ Χ. Τρ. — (4) Χ. Τρ. Σ. Ῥ. Βρ. Βευερ. 'Ε. Κ. — καὶ τῆς ἀκριβείας Π.

δι᾽ ἑτέραν αἰτίαν οὐκ ἐξ αὐτῶν γενομένην, ὁ ὀκτωκαιδέκατος τῆς αὐτῆς συνόδου κανὼν μετέχειν τῆς τιμῆς, καὶ τῆς λειτουργίας κελεύει. Τοῦτο δὴ πλατύτερον καὶ ὁ παρὼν θεσπίζει κανὼν, λέγων, ὡς, ἐάν τις εἰς ἐπισκοπὴν προαχθεὶς, μὴ δυνηθῆ ἀπελθεῖν εἰς τὴν λαχοῦσαν αὐτὸν πόλιν, ὑπὸ βαρβάρων ἴσως κατεχομένην, ὁ τοιοῦτος ἅπαν ἕξει προνόμιον ἀρχιερατικὸν ἀνῆκον αὐτῷ. Καὶ χειροτονήσει γὰρ κληρικοὺς, πλὴν μέν τοι κανονικῶς, ὡς οἱ κανόνες δηλαδὴ διατάττονται, καὶ τὴν τιμὴν ἕξει τοῦ ἐπισκόπου, καὶ καθέδρας ἀξιωθήσεται· αὕτη γὰρ ἡ τῆς προεδρίας αὐθεντία κατὰ τὸν ἴδιον ὅρον, ἤγουν καθὼς ὥρισται καὶ τετύπωται τιμᾶσθαι τὴν πόλιν ἐκείνην, πρώτην εἶναι τυχὸν, ἢ δευτέραν, ἢ ἐφεξῆς. Οὐ γὰρ ὑποβιβασθήσεται διὰ τὸ μὴ ἐνιδρυθῆναι αὐτῆ τῆ ἱερᾷ καθέδρᾳ· ἀλλὰ καὶ ὅσα ἂν διοικήσῃ, καὶ διαπράξηται ἀρχιερατικῷ δικαίῳ, βέβαια ἔσονται πάντα, καὶ νόμιμα λογισθήσονται. Οὐ γὰρ ἐκ τοῦ μὴ δυνηθῆναι αὐτὸν ἀπελθεῖν εἰς τὴν ἐκκλησίαν αὐτοῦ διὰ τὴν ἀνάγκην τοῦ καιροῦ, καὶ τὴν περίστασιν τὴν ἐκ τῶν βαρβάρων, περιγραφήσεται ἡ ἀκρίβεια, καὶ ὁ τῆς οἰκονομίας ὅρος περιορισθήσεται, ἀντὶ τοῦ, συστολὴν ἕξει τινὰ, καὶ ἐλαττωθήσεται ἡ τῶν κανόνων ἀκρίβεια, διδοῦσα τοῖς ἐπισκόποις ἐξουσίαν τῆς διοικήσεως τῶν ἐν ταῖς ἐπισκοπαῖς αὐτῶν πάντων.

ΒΑΛΣ. Σημείωσαι τὸν παρόντα κανόνα διὰ τοὺς λέγοντας, τόν τε Ἀντιοχείας, καὶ τὸν Ἱεροσολύμων πατριάρχας, καὶ τοὺς λοιποὺς, τοὺς μὴ φθάσαντας εἰς τὰς ἰδίας ἐκκλησίας ἀπελθεῖν, καὶ ἐνθρονισθῆναι, μὴ δύνασθαι διαγινώσκειν χάριν ἐκκλησιαστικῶν ὑποθέσεων λαλουμένων συνοδικῶς, ἢ χειροτονεῖν, ἢ ἄλλο τι ἀρχιερατικὸν ἐνεργεῖν· ἀντιστομήσει γὰρ τοὺς τοιούτους. Προεβάλετο γὰρ τὸν τοιοῦτον κανόνα ὁ ὑπέρτιμος ἐκεῖνος κυρὸς Ἀλέξιος ὁ Ἀριστηνὸς κατὰ τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου Ἱεροσολύμων κυροῦ Νικηφόρου (1).

---

(1) Ἡ Σημ. αὕτη εὕρηται ἐν Χ. Τρ. ἐν περισελίδῳ οὕτω·

Σημείωσαι τὸν παρόντα κανόνα διὰ τὸν ὑπέρτιμον ἐκεῖνον τὸν Ἀριστηνὸν, εἰπόντα ποτὲ πρὸς τὸν ἁγιώτατον ἐκεῖνον πατριάρχην Ἱεροσολύμων κὺρ Νικηφόρον, ἐπὶ βήματος βασιλικοῦ, μὴ δύνασθαι διαγινώσκειν χάριν ἐκκλησιαστικῶν ὑποθέσεων

Ὁ λς'. ἀποστολικὸς κανὼν, ὁ ιζ'. καὶ ὁ ιή. τῆς ἐν Ἀντιοχείᾳ συνόδου, τοὺς μὲν ἐπισκόπους, τοὺς μετὰ τὸ χειροτονηθῆναι μὴ ἐπιδημήσαντας εἰς τὰς λαχούσας αὐτοὺς, ἀφορισμῷ καθυποβάλλουσι· τοὺς δὲ μὴ παρ' αἰτίαν οἰκείαν, ἀλλὰ διά τινα πρόφασιν εὔλογον μὴ ἀπελθόντας, ἀνευθύνους εἶναί φασι, καὶ διορίζονται ἔχειν τούτους τὴν οἰκείαν τιμὴν τοιαύτην, ὥσπερ ἂν εἰ κατὰ χώραν ἐνεδήμησαν, καὶ ἐνεθρονίσθησαν. Ὁ δὲ παρὼν κανὼν θεσπίζει, τοὺς ἐπισκόπους, τοὺς μὴ δυνηθέντας διὰ βαρβαρικὴν ἔφοδον ἀπελθεῖν εἰς τοὺς λαχόντας αὐτοῖς θρόνους, παρομοίως τιμᾶσθαι, καὶ ἐνεργεῖν ἀπροκριματίστως πάντα τὰ ἀρχιερατικὰ, καὶ ἁπλῶς λογίζεσθαι, ὥσπερ εἰ κατὰ χώραν ἀπῆλθον, καὶ ἐνεθρονίσθησαν. Ὥςε καὶ ὁ μητροπολίτης Ἰκονίου, καὶ ἕτεροι ἀνατολικοὶ μητροπολῖται μὴ ἔχοντες ἐκκλησίας, ὡς κρατουμένας ὑπὸ βαρβάρων, καλῶς ἐπισκόπους χειροτονοῦσι, καὶ πάντα τὰ ἀρχιερατικὰ ἐνεργοῦσι, κἂν οὐκ ἔφθασαν ὅλως εἰς τὰς λαχούσας αὐτοὺς ἐκκλησίας ἀπελθεῖν καὶ ἐνθρονισθῆναι· εἶδον γὰρ τοῦτο πολλάκις λαληθὲν καὶ εἰς ἀμφιβολίαν ἐλθόν. Ἀνάγνωθι καὶ τὴν κατὰ τὸν Νοέμβριον μῆνα τῆς ϐ'. Ἰνδικτιῶνος ἀπολυθεῖσαν πρόσταξιν τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, καὶ διοριζομένην, τοὺς ψηφισθέντας εἰς ἀνατολικὰς ἐκκλησίας ἔχειν καὶ αὖθις τὰ προσόντα αὐτοῖς ἡγουμενεῖα, καὶ ἀδελφάτα, καὶ ὀφφίκια, ἥτις ἔχει κατὰ ῥῆμα οὕτως (1)· Ἀνέμαθεν ἡ βασιλεία μου, ἁγιώτατε δέσποτά μου, καὶ οἰκουμενικὲ πατριάρχα, ὅτι τῶν ἐν ταῖς τοῦ Θεοῦ ἐκκλησίαις ψήφων προβαινουσῶν, τινὲς τῶν εἰς τὰς ψήφους ἐπιλεγέντων ἡγουμενεύοντες ἐν μοναςηρίοις, καὶ οἰκονομοῦντες, ἢ καὶ ἑτέρας τινὰς ὑπηρεσίας διενεργοῦντες, καὶ ἁπλῶς τυγχάνοντες μοναχοὶ, ἕτεροι δὲ ἔν τε τῇ τοῦ Θεοῦ μεγάλῃ ἐκκλησίᾳ, καὶ ἐν ἑτέραις, ἀπό τε ὀφφικίων, καὶ ἑτέρων τινῶν λειτουργιῶν τὰ ζωαρκῆ κεκτημένοι, δυσχερῶς ἔχουσι τὸν τῆς ἱερωσύνης ζυγὸν ὑπελθεῖν, καὶ ταῖς ἐκκλησίαις ἐπιστατῆσαι, αἷς ἐπεκηρύχθησαν, δεδιότες μή ποτε τῶν τοιούτων ἐκκλησιῶν, ἐν τοῖς τῆς

λαλουμένων συνοδικῶς, διὰ τὸ μὴ ἐνθρονισθῆναι εἰς τὸν λαχόντα αὐτῷ πατριαρχικὸν θρόνον, ἐλέχθη γὰρ τοῦτο ἀκανονίστως παρὰ τῶν ἀμαθεστέρων.

(1) Οὐ κεῖται ἐν Χ. Τρ. καὶ παρὰ Ἑ. τὸ, ἥτις ἔχει κατὰ ῥῆμα οὕτως.

Ἀνατολῆς μέρεσι διακειμένων, ἐπιλείψειε τούτοις τὰ ἀναγκαῖα· ἅτε τῶν μὲν, ἐν αἷς ἐπεψηφίσθησαν, ἐκκλησιῶν πάντη τυγχανουσῶν ἀπόρων, καὶ ἀπροσβάτων αὐτοῖς παντελῶς, στερουμένων δὲ καὶ αὐτῶν διὰ τὸ τὴν ἐπιστασίαν τούτων ὑπεισελθεῖν τῶν προσουσῶν αὐτοῖς ἡγουμενειῶν, καὶ οἰκονομιῶν, καὶ ἑτέρων λειτουργιῶν, καὶ τῶν ἁπλοϊκῶς λεγομένων ἀδελφάτων, ἢ καὶ ὀφφικίων, καὶ ἑτέρων τινῶν ὑπηρεσιῶν· Διορίζεται τοίνυν ἡ βασιλεία μου, οἰκονομικῷ τινι λόγῳ διευθετοῦσα τὰ κατ᾽ αὐτοὺς, μή τινα τούτων μετὰ ταῦτα (1) δυσχεραίνειν τῷ ζυγῷ τῆς ἀρχιερωσύνης ὑποδραμεῖν· πάντες γὰρ οὗτοι καταπολαύσουσι καὶ πάλιν τῶν προσουσῶν αὐτοῖς ἡγουμενειῶν τε καὶ οἰκονομιῶν, τῶν ἑτέρων τε ὑπηρεσιῶν, καὶ λειτουργιῶν, καὶ ὀφφικίων, καὶ τῶν προσόντων αὐτοῖς ἀδελφάτων· καὶ τὸν τῆς διδασκαλίας ὑπεισερχόμενοι λόγον, καὶ τὴν τελειοποιὸν τάξιν ἀναδεξάμενοι, καὶ τῶν ἀπ᾽ ἐκείνων προσόδων κατεξουσιάσουσι μέχρις ἂν ἄνεσιν λάβοιεν, καὶ ἀπὸ τῆς νῦν δυσκληρίας κατασταῖεν πρὸς εὐκληρίαν, τὴν τῶν ἐπιψηφισθεισῶν αὐτοῖς ἐκκλησιῶν, ὡς εἴρηται, ἀβάτων οὐσῶν τούτοις, ὡς ὑπὸ τῶν ἐχθίστων κατεχομένων ἐχθρῶν· πλὴν τὰ ἐνταῦθα διωρισμένα παρὰ τῆς βασιλείας μου οὐκ ἐπὶ τῶν ἀρχοντικίων κρατήσει, καὶ τῶν βαθμῶν τῶν ἱερέων τε, καὶ τῶν διακόνων, καὶ τῶν λοιπῶν τοῦ κλήρου τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας. Κατάστρωσον οὖν τὸ παρὸν πιττάκιον ἐν τοῖς κώδιξι τοῦ χαρτοφυλακίου τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας.

ΑΡΙΣΤ. Ἐπίσκοπος, ὁ διὰ βαρβάρων ἔφοδον μὴ ἐπιστὰς τῷ θρόνῳ, καὶ καθέδραν τὴν οἰκείαν ἐχέτω, καὶ χειροτονείτω, καὶ πάντα τὰ τῆς ἱερωσύνης ἐνεργείτω βεβαιότατα.

Εἴ τις ἐπίσκοπος χειροτονηθῇ, καὶ, διὰ τὰς τῶν βαρβάρων ἐπιδρομὰς, οὐ δυνηθῇ ἀπελθεῖν εἰς ἣν ἐχειροτονήθη πόλιν, ὥστε ἐν αὐτῇ ἐγκατασταθῆναι, καὶ ἐγκαθιδρυθῆναι ἱερατικῇ καταστάσει· μὴ κωλυέσθω ἐνεργεῖν ἃ τοῖς ἐπισκόποις ἀνήκει, ἀλλὰ πάντα πραττέτω καὶ μεταχειριζέσθω, καὶ τὴν ἐν τῇ καθέδρᾳ τιμὴν ἐχέτω, καὶ χειροτονίας κληρικῶν διαφόρων κανονικῶς

(1) διὰ ταῦτα Χ. Τρ.

ποιείτω, καὶ πᾶν ὑπ' αὐτοῦ πραχθὲν κατὰ κανονικὴν ἀκρίβειαν ἔστω βέβαιον· ἡ γὰρ ἀνάγκη τοῦ καιροῦ εἰς περιγραφὴν αὐτοῦ οὐ γενήσεται, ὥστε τὴν ἐπισκοπικὴν αὐτοῦ ἐλαττοῦσθαι ἀξίαν.

Κανὼν ΛΗ'.

Τὸν ἐκ τῶν Πατέρων ἡμῶν (1) τεθέντα κανόνα καὶ ἡμεῖς παραφυλάττομεν, τὸν οὕτω διαγορεύοντα· Εἴ τις ἐκ βασιλικῆς ἐξουσίας ἐκαινίσθη πόλις, ἢ αὖθις καινισθείη, τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις καὶ ἡ τῶν ἐκκλησιαστικῶν πραγμάτων τάξις ἀκολουθείτω.

—

ΖΩΝΑΡ. Καινίζουσι πόλεις οἱ βασιλεῖς, ἀντὶ τοῦ, νέας ἀνεγείρουσι, καὶ διδόασι ταύταις προνόμιον πολιτικὸν, ἢ καὶ τιμῶσιν αὐτὰς εἰς ἐπισκοπὰς, ἢ καὶ μητροπόλεις τυχὸν, διὰ προσταγμάτων ἐγγράφων, ἃ καὶ δημοσίους τύπους ὠνόμασαν, ἀλλαχοῦ δὲ πραγματικοὺς αὐτοὺς καλεῖ, καὶ βασίλεια γράμματα. Τούτοις οὖν τοῖς πραγματικοῖς, ἢ δημοσίοις τύποις, παρακελεύεται ὁ κανὼν, καὶ τὴν τῶν ἐκκλησιαστικῶν τάξιν ἀκολουθεῖν· ὡς, εἴτε ἐπισκοπῆς ἔσχε κλῆσιν ἡ καινὴ πόλις, εἴτε εἰς μητροπόλεως ἀνήχθη τιμὴν, οὕτω καὶ παρὰ τῇ τάξει τῶν ἐκκλησιαστικῶν δικαίων καταλογίζεσθαι.

ΒΑΛΣ. Ἐν μὲν τῷ ιϐ'. κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου, ἐγράψαμεν ὅσα δὴ καὶ ἐγράψαμεν. Ἐπεὶ δὲ ὁ παρὼν κανὼν διορίζεται τὰς διὰ βασιλικῆς ἐξουσίας ἀνεγερθείσας πόλεις, ἢ καὶ ἀνεγερθησομένας, τιμᾶσθαι καὶ παρὰ τῶν ἐκκλησιῶν, καθὼς ἡ βασιλικὴ ὑποτυπώσει πρόσταξις, τουτέστιν ἔχειν αὐτὰς ἢ ἐπισκοπῆς ἀξίωμα, ἢ μητροπόλεως· (δέον γάρ ἐστιν ἀκολουθεῖν τὴν ἐκκλησιαστικὴν τάξιν τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις, ἤτοι τοῖς βασιλικοῖς προστάγμασι)· φαμὲν, ὡς ἐνεδόθη μὲν ἀπὸ τοῦ παρόντος κανόνος τῷ βασιλεῖ ἐπισκοπὰς ποιεῖν ἐκ νέου, ἑτέρας δὲ ἀνάγειν (2) εἰς δίκαια μητροπόλεως, καὶ ὑποτυποῦν

---

(1) Π. Κ. Ἑ. — τὸ, ἡμῶν, οὐ κεῖται ἐν Χ Τρ. οὐδὲ παρὰ Βρ. καὶ Βευερ.
(2) ποιεῖν ἐκ νέου, καὶ ἀνάγειν Χ. Τρ.

τὰ περὶ τῆς ψήφου αὐτῶν, καὶ τῆς ἄλλης οἰκονομίας, κατὰ τὸ δόξαν αὐτῷ. Τέως δὲ ὀφείλεις εἰδέναι, ὅτι κατὰ τὸν Μάϊον μῆνα τῇ ί. Ἰνδικτιῶνος τοῦ ,ϛφξε'. ἔτους, γέγονε σημείωμα παρὰ τοῦ ἀοιδίμου βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, διαλαμβάνον, ὡς, τῆς μητροπόλεως τοῦ Βασιλαίου, καὶ τῆς μητροπόλεως Μαδύτων χηρευουσῶν, καὶ μελλουσῶν ψηφισθῆναι, διανέστησαν οἱ μητροπολῖται, ὁ Ἡρακλείας καὶ ὁ Ἀγκύρας, καὶ εἶπον, μὴ ὀφείλειν τὰς τοιαύτας ἐκκλησίας, κἂν ἐτιμήθησαν τῷ τῆς μητροπόλεως ἀξιώματι, παρὰ τοῦ μέρους τῆς μεγάλης ἐκκλησίας ψηφισθῆναι, ἀλλὰ παρ' αὐτῶν· διὰ τὸ τὴν μὲν ἐκκλησίαν τῶν Μαδύτων ἐπισκοπὴν εἶναι τοῦ Ἡρακλείας, τὴν δὲ ἐκκλησίαν τοῦ Βασιλαίου ἐπισκοπὴν εἶναι τοῦ Ἀγκύρας. Χρησαμένων δὲ τῶν τοιούτων μητροπολιτῶν καὶ τῷ ιβ'. κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου, τῷ διοριζομένῳ σώζεσθαι τῇ κατ ἀλήθειαν μητροπόλει τὰ προσόντα αὐτῇ δίκαια, ἐπὶ τῇ τιμηθείσῃ ἐκκλησίᾳ, διάγνωσις γέγονε βασιλικὴ κατὰ παρουσίαν καὶ τῆς τότε συνδιαγνωμονούσης συνόδου, ἐφειμένον εἶναι τῷ βασιλεῖ προεδρίας θρόνον ταῖς ἐκκλησίαις χαρίζεσθαι, καὶ τὰς ἐπισκοπὰς, ἢ καὶ τὰς ἀρχιεπισκοπὰς εἰς μητροπόλεις ἀνάγειν, καὶ τὰ περὶ τῶν ψήφων αὐτῶν, καὶ τῆς ἄλλης διευθετήσεως ὑποτυποῦν, κατὰ τὸ αὐτῷ θελητὸν, μὴ ἐμποδιζομένῳ πρὸς τοῦτο ἐκ τοῦ κανόνος, τοῦ διοριζομένου φυλάττεσθαι τῇ μητροπόλει τὰ κατὰ τῆς τιμηθείσης ἐπισκοπῆς προσόντα αὐτῇ ἀρχῆθεν δίκαια. Καὶ ἀνάγνωθι τὸ τοιοῦτον σημείωμα, ἑρμηνεῦον, πῶς ὀφείλει νοεῖσθαι τὸ σώζεσθαι τὰ δίκαια τῆς παλαιᾶς μητροπόλεως, καὶ τὸ μὴ κατατέμνεσθαι τὴν μίαν ἐπαρχίαν εἰς δύο. Ἡμεῖς γὰρ διὰ τὸ πολύστιχον εἶναι, οὐ κατεστρώσαμεν αὐτὸ ἐνταῦθα ἐξ ὁλοκλήρου· τὸ αὐτὸ δὲ σημείωμα, μετὰ τὴν διάγνωσιν (1) τὴν περιέχουσαν, ὀφείλειν ψηφίζεσθαι τὰς τιμηθείσας ἐκκλησίας κατὰ πρόσταξιν βασιλικὴν παρὰ τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως, καὶ μηδὲν μετέχειν ἐπ' αὐταῖς τοὺς πρώην μητροπολίτας, διαλαμβάνει καὶ ταῦτα ῥητῶς· Ἐπεὶ δὲ οἱ ἀρχιερεῖς καὶ αὖθις τὸν τῆς ἐν Χαλκηδόνι συνόδου κανόνα προσφέροντες, τοὺς ἐκ προσελεύσεως

(1) Χ. Τρ. — μετὰ τὴν διήγησιν Ἐ. Βευερ.

τοῦ ὑψηλοτέρου ἀξιουμένους θρόνου, παρὰ κανόνας ἔλεγον τῆς τελεωτέρας τυγχάνειν τιμῆς, καὶ ἤθελον ταῖς ἀλογίστοις ὁρμαῖς ἐπιτεθῆναι κώλυμα, καὶ ἦσαν κανονικὴν προσφέροντες ἀξίωσιν, ἡ βασιλεία μου καὶ τῇ βασιλικῇ ἐξουσίᾳ τὸ παρὰ τῶν θείων κανόνων δεδομένον ταύτῃ προνόμιον παροράσθαι μὴ θέλουσα, καὶ τὰς ἐπὶ προκλήσει τιμῆς προσελεύσεις τῶν ἀρχιερέων, ὡς μὴ κανονικάς, μηδ' ἔννομον (1) τὸ τῆς ἐφέσεως ἀποτέλεσμα μὴ λαμβάνειν ἐθέλουσα, εὐδοκεῖ, μὴ ἄλλως ἐπισκοπὴν εἰς προβαθμιώτερον θρόνον ἀνάγεσθαι, ἀρχιεπισκοπῆς δηλονότι, ἢ μητροπόλεως, εἰ μὴ ὁ κατὰ καιροὺς βασιλεὺς οἴκοθεν ὁρμηθείς, χάριτος ἀνθρωπίνης μὴ μεσολαβούσης οὐκ εὐπρεποῦς (2), βουληθείη ταύτῃ τὸ ἐπαναβεβηκὸς ἀξίωμα παρασχεῖν· ἢ τιμῇ τῆς πόλεως, ἢ πίστει τῇ πρὸς τὴν εὐαγῆ ἐκκλησίαν, ἢ τοῦ προεστῶτος αὐτῆς τὴν ἀρετὴν σεβασθείς, κἀντεῦθεν αὐθόρμητος γεγονὼς πρὸς τὸ χαρίσασθαι τὴν τιμήν· καὶ τῷγε δι' ἀνθρωπίνην προσπάθειαν καὶ τρόπον οὐκ ἐπαινούμενον τὸ ὑπερβεβηκὸς χαριζομένῳ τῆς τάξεως, τὸ ἀπὸ τῶν θείων κανόνων δέος ἐπανατείνεται· οἷς ἵνα μὴ περιπέσῃ πολλάκις ὁ βασιλεύς, ἐφίησι καὶ τοῦτο τῷ κατὰ καιροὺς ἁγιωτάτῳ πατριάρχῃ· μὴ ἄλλως καταστρωννύειν τὸ παρ' οἱουδήτινος προκομιζόμενον πιττάκιον χάριν προεδρίας τῆς οἱασοῦν ἐκκλησίας, μηδὲ τὸν προεστῶτα αὐτοῖς τοῖς ἀρχιεπισκόποις, ἢ τοῖς μητροπολίταις συγκαταλέγεσθαι, εἰ μὴ ὁ πατριάρχης περὶ τούτου ἀνενεγκὼν τῇ βασιλικῇ ἐξουσίᾳ, καὶ τὰ περὶ τῶν θείων κανόνων ἀναδιδάξας, μάθοι, ὡς κατὰ τὸ ἐφειμένον οἴκοθεν ὁ βασιλεὺς ἐξ εὐλόγου προφάσεως τῇ ἐκκλησίᾳ τὴν τιμὴν ἐχαρίσατο· τότε γὰρ καὶ προσδέξεται τοῦτο, καὶ τῇ τῶν ὑπ' αὐτὸν ἀρχιερέων ὁμηγύρει συγκαταλέξει τὸν εἰληχότα ἐκ βασιλέως τὴν κρείττω τιμήν. Σημείωσαι οὖν τὰ τοῦ παρόντος βασιλικοῦ σημειώματος ῥήματα (3), χάριν τῶν τιμηθεισῶν (4) ἐκκλησιῶν ἀπὸ ἐπισκοπῶν καὶ ἀρχιεπισκοπῶν εἰς μητροπόλεις.

ΑΡΙΣΤ. Εἴ τις ἐκαινίσθη πόλις ἐκ βασιλέως, ἢ καινισθείη,

(1) μηδ' ἐννόμους Χ. Τρ. — (2) οὐκ εὐπρεπῶς Χ. Τρ. — (3) Χ. Τρ. — ῥητὰ Βευερ. — (4) Χ. Τρ. — τῶν τιμωμένων Βευερ. Ε.

τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις καὶ ἡ τῶν ἐκκλησιαστικῶν πραγμάτων τάξις ἀξακολουθείτω.

Ἡ παρὰ βασιλέως καινισθεῖσα, ἢ καὶ καινισθησομένη πόλις, ὑπὸ τὴν ἐνορίαν ἐκείνου ἔσται τοῦ ἐπισκόπου, ὑφ᾽ ἣν ἐναπεγράφη καὶ ὑπετέθη τελεῖν· κἂν τῇ παροικίᾳ ἑτέρου ἐπισκόπου μᾶλλον ἐγγίζῃ, οὐκ ἐκδικήσει αὐτὴν οὕτως ὁ γειτνιάζων, ἀλλὰ τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις ἐπακολουθήσει καὶ ἡ τοιαύτη πόλις, καθὼς καὶ ἐν τῷ ἑπτακαιδεκάτῳ κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου ὥρισται.

Κανὼν ΛΘʹ.

Τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Ἰωάννου, τοῦ τῆς Κυπρίων (1) νήσου προέδρου, ἅμα τῷ οἰκείῳ λαῷ, ἐπὶ τὴν Ἑλλησπόντιον ἐπαρχίαν, διά τε τὰς βαρβαρικὰς ἐφόδους, διά τε τὸ τῆς ἐθνικῆς ἐλευθερωθῆναι δουλείας, καὶ καθαρῶς τοῖς σκήπτροις τοῦ χριστιανικωτάτου κράτους ὑποταγῆναι, τῆς εἰρημένης μεταναστάντος (2) νήσου, προνοίᾳ τοῦ φιλανθρώπου Θεοῦ, καὶ μόχθῳ τοῦ φιλοχρίστου καὶ εὐσεβοῦς ἡμῶν βασιλέως, συνορῶμεν, ὥστε ἀκαινοτόμητα διαφυλαχθῆναι (3) τὰ παρὰ τῶν ἐν Ἐφέσῳ τὸ πρότερον συνελθόντων θεοφόρων Πατέρων τῷ θρόνῳ τοῦ προγεγραμμένου ἀνδρὸς παρασχεθέντα προνόμια, ὥστε τὴν νέαν Ἰουστινιανούπολιν τὸ δίκαιον ἔχειν τῆς Κωνσταντινουπόλεως, καὶ τὸν ἐπ᾽ αὐτῇ καθιστάμενον θεοφιλέστατον ἐπίσκοπον, πάντων προεδρεύειν τῶν τῆς Ἑλλησποντίων ἐπαρχίας, καὶ ὑπὸ τῶν οἰκείων ἐπισκόπων χειροτονεῖσθαι, κατὰ τὴν ἀρχαίαν συνήθειαν. Τὰ γὰρ ἐν ἑκάστῃ ἐκκλησίᾳ ἔθη, καὶ οἱ θεοφόροι ἡμῶν Πατέρες παραφυλάττεσθαι διεγνώκασι, τοῦ τῆς Κυζικηνῶν πόλεως ἐπισκόπου ὑποκειμένου τῷ προέδρῳ τῆς εἰρημένης Ἰουστινιανου-

---

(1) Π. Βρ. Ε. Κ. — Κύπρου Βευερ. Χ. Τρ. — (2) Π. Χ. Τρ. Ἐ. Κ. Βευερ. Σ. Ρ. — μεταστάντος Βρ. — (3) Π. Χ. Τρ. Κ. Ε. Σ. Ρ. — φυλαχθῆναι Βρ. — διατηρηθῆναι Βευερ.

πόλεως, μιμήσει τῶν λοιπῶν ἁπάντων ἐπισκόπων, τῶν ὑπὸ τὸν λεχθέντα θεοφιλέστατον πρόεδρον Ἰωάννην, ὑφ' οὗ, χρείας καλούσης, καὶ ὁ τῆς αὐτῆς Κυζικηκῶν πόλεως ἐπίσκοπος χειροτονηθήσεται.

ΖΩΝΑΡ. Ἐν τῇ γ'. συνόδῳ ἐψήφισται παρὰ τῶν τῆς συνόδου ἐκείνης θείων Πατέρων, τοὺς Κυπρίους ἐπισκόπους δι' ἑαυτῶν τὰς χειροτονίας τῶν ἐπισκόπων ποιεῖν. Ἐπειρᾶτο γὰρ ὁ Ἀντιοχείας τότε, ὑφ' ἑαυτὸν καὶ τὴν Κύπρον ἔχειν, καὶ παρ' ἐκείνου χειροτονεῖσθαι τοὺς ἐν αὐτῇ (1) ἐπισκόπους. Τοῦτο οὖν τὸ προνόμιον καὶ ὁ κανὼν οὗτος ἀκαινοτόμητον προσεῖναι ψηφίζεται ταῖς ἐκκλησίαις ταῖς ἐν τῇ Κύπρῳ, καὶ προστίθησι τῇ νέᾳ πόλει, ἥτις Ἰουστινιανούπολις ἐπεκλήθη, τὸ ἔχειν τὸ τῆς Κωνσταντινουπόλεως δίκαιον. Καὶ ὥσπερ τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως ὑποτέθειται (2) ἥ τε Ἀσιανὴ, καὶ ἡ Ποντικὴ, καὶ ἡ Θρᾳκικὴ ἐπαρχία, οὕτω καὶ τούτῳ δέδοται προεδρεύειν τῆς Ἑλλησποντίων ἐπαρχίας, ὑποκεῖσθαι δὲ αὐτῷ καὶ τὸν Κυζίκου ἐπίσκοπον, καὶ παρ' αὐτοῦ χειροτονεῖσθαι· καὶ αὕτη γὰρ ἡ πόλις, τὴν Κύζικόν φημι, Ἑλλησπόντιός ἐστιν. Εἰ μὲν οὖν καὶ εἰς ἔργον ἦλθεν ἡ περὶ τῆς Κυζίκου ψῆφος ποτὲ, οὐκ οἶδα· τέως δὲ οὐ κρατεῖ τὰ τῆς ψήφου, ὅσον πρὸς τὴν Κύζικον· ἀλλ' οὐδ' ἐπὶ ταῖς ἄλλαις Ἑλλησποντίων χώραις καὶ πόλεσι πρόσεστί τι τῷ Κύπρου δίκαιον.

ΒΑΛΣ. Ἀπὸ μὲν τοῦ ή. κανόνος τῆς γ'. συνόδου παρίσταται, ὅτι, ἐκ προσελεύσεως ἐπισκόπου τινὸς Κυπρίων, Ῥηγίνου ἐπιλεγομένου, ὡρίσθη αὐτοκέφαλον εἶναι τὴν ἐκκλησίαν τῆς Κύπρου· καὶ ἐκωλύθη ὁ Ἀντιοχείας χειροτονίας ἐν αὐτῇ ποιεῖν. Ὁ δὲ παρὼν κανὼν ἐξενεχθεὶς ἀπὸ αἰτήσεως ἑτέρου ἀρχιεπισκόπου Κύπρου, Ἰωάννου, ἐπικυροῖ μὲν καὶ τὰ ἐν Ἐφέσῳ πεπραγμένα, ὀνομάζων καὶ τὴν ἐκκλησίαν τῶν Κυπρίων νέαν Ἰουστινιανούπολιν· διορίζεται δὲ ἔχειν αὐτὴν καὶ τὰ δίκαια τῆς Κωνςαντινουπόλεως (3). Ὡσαύτως καὶ τὰς ἐκκλησίας τῶν ἐπαρχιῶν τοῦ

---

(1) Χ. Τρ. — ἐν αὐτῷ Βευερ. — (2) ὑπετέθη Χ. Τρ. — (3) τῆς Κωνσταντιέων πόλεως Χ. Τρ.

Ἑλλησπόντου, καὶ τὴν ἐκκλησίαν τῆς Κυζίκου· καὶ γίνεσθαι τὰς τῶν ἐπισκόπων αὐτῶν χειροτονίας παρὰ τοῦ ἀρχιεπισκόπου (1) Κύπρου. Σήμερον δὲ οὐδεμία ἀπὸ τῶν ἐκκλησιῶν τούτων τῇ ἀρχιεπισκοπῇ Κύπρου ὑπόκειται, ἀλλ' οὐδὲ τὰ δίκαια τῆς Κωνσταντινουπόλεως ἔχει· καὶ ζητητέον ὅπως τοῦτο γίνεται. Ἑλλήσποντος μέντοι ἐστὶ τὰ ἀπὸ τῆς Ἀβύδου καὶ μέχρι τῆς Θρᾴκης παρεκτεινόμενα ἀνατολικὰ ὅρια.

ΑΡΙΣΤ. Ἡ νέα Ἰουστινιανούπολις τὸ δίκαιον ἐχέτω Κωνσταντινουπόλεως, καὶ ὁ ταύτης πρόεδρος, πάντων Ἑλλησποντίων, πρὸς οὓς μετῴκησε, προεδρευέτω, καὶ ὑπὸ τῶν οἰκείων ἐπισκόπων χειροτονείσθω· ὡς οἱ ἐν Ἐφέσῳ ἐθέσπισαν.

Οὗτος ὁ τῆς τῶν Κυπρίων νήσου πρόεδρος Ἰωάννης, (αὕτη γάρ ἐστι καὶ νέα Ἰουστινιανούπολις), διὰ τὰς τῶν βαρβάρων ἐφόδους, καὶ τὸ τῆς ἐθνικῆς ἐλευθερωθῆναι δουλείας, καὶ καθαρῶς τοῖς σκήπτροις τοῦ χριστιανικωτάτου κράτους ὑποταγῆναι, μετανάστης τῆς Κύπρου γενόμενος, καὶ εἰς τὴν τῶν Ἑλλησποντίων μετοικῆσαι ἐπαρχίαν, ἐπετράπη το δίκαιον ἔχειν Κωνσταντινουπόλεως ἐπὶ ταῖς Ἑλλησποντίαις ἐπισκοπαῖς, καὶ πάντων τῶν ἐν τῇ τοιαύτῃ ἐπαρχίᾳ ἐπισκόπων προεδρεύειν αὐτὸς, καὶ ἰδιαιτάτην ἀρχὴν ἔχειν, καὶ ὑπὸ τῶν ἰδίων ἐπισκόπων χειροτονεῖσθαι· καθὼς καὶ ἡ ἐν Ἐφέσῳ σύνοδος ὥρισεν. Ἐπεὶ δὲ ἡ Κύπρος τῆς ἐθνικῆς ἠλευθερώθη χειρὸς, ἐπανῆλθον πάλιν αἱ καθ' Ἑλλήσποντον μητροπόλεις πρὸς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον.

Κανὼν Μʹ.

Ἐπειδὴ τῷ Θεῷ κολλᾶσθαι, διὰ τῆς ἐκ τῶν τοῦ βίου θορύβων ἀναχωρήσεως, λίαν ἐστὶ σωτήριον, χρὴ μὴ ἀνεξετάστως ἡμᾶς παρὰ (2) τὸν καιρὸν τοὺς τὸν μονήρη βίον αἱρουμένους (3) προσίεσθαι, ἀλλὰ τὸν παραδοθέντα ἡμῖν παρὰ τῶν Πατέρων καὶ ἐν αὐτοῖς φυλάττειν ὅρον(4)·

(1) Χ. Τρ. Ἑ. — ἐπισκόπου Βευερ. — (2) ἢ παρὰ τὸν καιρὸν Σ. Ṗ. — (3) Π. Βευερ. Ἐ, Κ. — προαιρουμένους Χ. Τρ. — ἐπανῃρημένους Βρ. — (4) παρὰ τῶν Πατέρων ὅρον Χ. Τρ. Βρ.

ὥστε τὴν ὁμολογίαν τοῦ κατὰ Θεὸν βίου τότε προσίεσθαι δεῖ (1), ὡς ἤδη βεβαίαν, καὶ ἀπὸ γνώσεως(2), καὶ κρίσεως γινομένην, μετὰ τὴν τοῦ λόγου συμπλήρωσιν. Ἔστω τοίνυν ὁ μέλλων τὸν μοναχικὸν ὑπέρχεσθαι ζυγὸν, οὐχ ἧττων ἢ δεκαετὴς, ἐν τῷ προέδρῳ κειμένης καὶ τῆς ἐπὶ τούτῳ δοκιμασίας, εἰ τὸν χρόνον αὐτῷ αὐξηθῆναι λυσιτελέστερον ἡγεῖται, πρὸς τὴν ἐν τῷ μονήρει βίῳ εἰσαγωγὴν, καὶ κατάστασιν. Εἰ γὰρ καὶ ὁ μέγας Βασίλειος, ἐν τοῖς ἱεροῖς αὐτοῦ κανόσι, τὴν ἑκουσίως ἑαυτὴν προσάγουσαν (3) τῷ Θεῷ, καὶ τὴν παρθενίαν ἀσπαζομένην, τὸν ἑπτακαιδέκατον διανύουσαν χρόνον, τῷ τῶν παρθένων τάγματι ἀριθμεῖσθαι νομοθετεῖ· ἀλλ' οὖν τῷ περὶ τῶν χηρῶν τε, καὶ διακονισσῶν παραδείγματι παρακολουθήσαντες (4), εἰς τὸν εἰρημένον χρόνον ἀναλόγως τοὺς τὸν μονήρη βίον ἑλομένους περιεστήσαμεν. Ἐν γὰρ τῷ θείῳ Ἀποστόλῳ (5) γέγραπται, ἑξήκοντα ἐτῶν τὴν ἐν τῇ ἐκκλησίᾳ καταλέγεσθαι χήραν· οἱ δὲ ἱεροὶ κανόνες, τεσσαράκοντα ἐτῶν τὴν διακόνισσαν χειροτονεῖσθαι παραδεδώκασι, τὴν ἐκκλησίαν χάριτι θείᾳ κραταιοτέραν γινομένην, καὶ ἐπὶ τὰ πρόσω βαίνουσαν ἑωρακότες, καὶ τὸ τῶν πιστῶν πρὸς τὴν τῶν θείων ἐντολῶν τήρησιν πάγιόν τε καὶ ἀσφαλές· ὅπερ καὶ ἡμεῖς ἄριστα κατανοήσαντες, ἀρτίως διωρισάμεθα, τὴν εὐλογίαν τῆς χάριτος, τῷ μέλλοντι τῶν κατὰ Θεὸν ἀγώνων ἐνάρχεσθαι, ὥσπερ τινὰ σφραγίδα ταχέως ἐνσημαινόμενοι, ἐντεῦθεν αὐτὸν πρὸς τὸ μὴ ἐπὶ πολὺ ὀκνεῖν (6) καὶ ἀναδύεσθαι προβιβάζοντες (7), μᾶλλον μὲν οὖν καὶ πρὸς τὴν τοῦ ἀγαθοῦ παρορμῶντες ἐκλογὴν καὶ κατάστασιν.

—

(1) δεῖ, οὐ κεῖται παρὰ Βευερ. Κ. — (2) Ἐ. Κ. Βρ. Βευερ. Χ. Τρ. — γνώμης Π. — γνώμης οἰκείας Σ. Ῥ. — (3) Π. Βευερ. Κ. Σ. Ῥ. — προσαγαγοῦσαν Χ. Τρ. Βρ. — (4) κατακολουθήσαντες Σ. Ῥ. — (5) Ἀ. Τιμοθ. 5, 9. — (6) πρὸς τὸ ἐπὶ μήκιστον μὴ ὀκνεῖν Σ. Ῥ. — (7) Βρ. Χ. Τρ. Βευερ. Κ. Ἐ. — προσβιβάζοντες Π. Σ. Ῥ.

ΖΩΝΑΡ. Ὁ μὲν μέγας Βασίλειος, ἐν τῷ ὀκτωκαιδεκάτῳ αὐτοῦ κανόνι, μετὰ τὰ ἑκκαίδεκα, ἢ ἑπτακαίδεκα ἔτη τὰς τῶν παρθένων ὁμολογίας ἐγκρίνεσθαι διατάττεται· τὰς δὲ πρὸ τῆς ἡλικίας ταύτης συγκαταθέσεις, παιδικὰς ἡγεῖται φωνάς. Ὁ δὲ τῆς συνόδου ταύτης κανὼν, δεκαέτην φησὶν εἶναι δεῖν τὸν τὸν μοναδικὸν ζυγὸν ὑπερχόμενον· καὶ μέμνηται μὲν τοῦ κανόνος τοῦ μεγάλου Βασιλείου· λέγει δὲ οἰκονομεῖν τοῦτο, ὡς τῆς ἐκκλησίας κραταιοτέρας γινομένης, καὶ τῆς πίστεως ἐπὶ πλέον στηριζομένης, καὶ τῶν πιστῶν πρὸς τήρησιν τῶν θείων ἐντολῶν μᾶλλον ἑδραιουμένων. Κέχρηται δὲ εἰς παράδειγμα καὶ τῷ περὶ τῶν διακονισσῶν κανόνι τῆς τετάρτης συνόδου, λέγων· ὅτι, τοῦ θείου Παύλου ἑξήκοντα ἐτῶν τὰς χήρας καταλέγεσθαι διαταξαμένου, οἱ Πατέρες τὴν παρθένον τεσσαράκοντα ἐτῶν οὖσαν, χειροτονεῖσθαι διακόνισσαν(1) ὥρισαν, διὰ τὴν αὐτὴν πάντως αἰτίαν, ὡς τῆς πίστεως βεβαιοτέρας γενομένης, καὶ τῶν ἀνθρώπων προθυμοτέρων πρὸς τὴν τῶν ἐντολῶν φυλακήν· πλὴν καὶ τὸ περὶ τοῦ χρόνου τῷ τῆς χώρας ἐπισκόπῳ ἀνατίθησιν· ἵνα ἐκεῖνος σκοπῇ ἐφ᾽ ἑκάστῳ τῶν τὸν μονήρη βίον αἱρουμένων, εἰ δέον αὐξηθῆναι αὐτῷ τὸν χρόνον, ἢ καὶ δεκαέτην δεχθῆναι.

ΒΑΛΣ. Ὁ μὲν μέγας Βασίλειος, ἐν τῷ ιή. κανόνι αὐτοῦ, τὰς μετὰ τὰ δεκαὲξ ἔτη ὁμολογούσας παρθενίαν προσδέχεται, ὡς δυναμένας τὸ καλὸν ἀπὸ τοῦ φαύλου διακρίνειν καὶ ἐπιλέγεσθαι. Ὁ δὲ παρὼν κανὼν τὸν δεκαετῆ μονάσαι αἱρετισάμενον οὐκ ἀποπέμπεται· πλὴν οὐκ ἄλλως τοῦτον εἰς τὸν μοναδικὸν βίον παραδέχεσθαι διορίζεται, εἰ μὴ κατὰ δοκιμασίαν τοῦ ἐπισκόπου· προστίθησι δὲ, ταῦτα νομοθετεῖν, διὰ τὸ τὴν ἐκκλησίαν χάριτι Θεοῦ ἐπὶ τὰ πρόσω προβαίνειν, καὶ παγιωτέραν γίνεσθαι τὴν τῶν θείων ἐντολῶν συντήρησιν. Ἐχρήσατο δὲ εἰς ἐπιστηριγμὸν τούτων, καὶ τοῖς περὶ διακονισσῶν ἐν τῇ τετάρτῃ συνόδῳ εἰρημένοις, εἰπὼν, ὅτι, τοῦ θείου Παύλου διαταξαμένου, τὰς ἑξήκοντα ἐτῶν οὔσας χήρας τῷ τῶν διακονισσῶν ἐγκαταλέγεσθαι (2) τάγματι, οἱ Πατέρες τὴν παρθένον τὴν τεσσαρακονταετῆ χειροτονεῖ-

(1) Χ. Τρ.—διάκονον Βευερ.—(2) Χ. Τρ.—καταλέγεσθαι Βευερ.—διαλέγεσθαι Ἐ.

σθαι διακόνισσαν ὥρισαν· ὡς ἐντεῦθεν συνάγεσθαι, μηδέν τοι τοὺς Πατέρας διορίσασθαι ἄτοπον, ὑποβιβάσαντας τὸν χρόνον τῆς ἀποκάρσεως τῶν ἀτελῶν, καὶ ἀπὸ ιη. εἰς ι. αὐτὸν περιστήσαντας. Εὐχαριστίας δὲ ἄξιοι μεγάλης εἰσὶν, ὅτι οὐκ ἐξεχώρησαν πάντα δεκαετῆ ἀπολυπραγμονήτως ἀποκείρεσθαι, ἀλλὰ παρὰ (1) τῇ διακρίσει τοῦ ἐπισκόπου τὰ περὶ τούτου ἀνέθεντο· ἴσως γὰρ ἡ δοκιμασία αὐτὴ, τόνδε μὲν ὑπεραναβάντα τὸν δεκαετῆ χρόνον, εἰς ἀπόκαρσιν παραδέξεται, τόνδε δὲ ἀποπέμψεται· καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. Σὺ δὲ ἀνάγνωθι τὴν ἕκτην νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Φιλοσόφου, διαλαμβάνουσαν, τὸν μὲν ἀνύσαντα χρόνον ις΄. ἢ ιζ΄, ἀπαρεμποδίστως ἀποκείρεσθαι, κατὰ τὸν μέγαν Βασίλειον, καὶ διατίθεσθαι· τὸν δὲ βουλόμενον μονάσαι μετὰ τὸν ι. ἐνιαυτὸν τῆς ἡλικίας αὐτοῦ, ἔχειν μὲν ἐπ᾽ ἀδείας τοῦτο ποιεῖν, κατὰ τὸν παρόντα κανόνα· διαθήκην δὲ χάριν τῶν προσόντων αὐτῷ μὴ ποιεῖν, ἀλλὰ περιμένειν μέχρις ἂν τοῦ πεντεκαιδεκάτου χρόνου ἅψηται· ἐν τῷ μέσῳ δὲ εἰ τελευτήσει, οἱ μὲν οἰκέται αὐτοῦ ἐλευθερωθήσονται, ἡ δὲ λοιπὴ τούτου περιουσία διαιρεθήσεται διχῇ· καὶ τὸ μὲν δίμοιρον, τὸ μοναστήριον λήψεται, τὸ δὲ τρίτον τοῖς συγγενέσι τούτου δοθήσεται· μὴ ὄντων δὲ συγγενῶν τῷ τελευτήσαντι, καὶ τὸ τρίτον εἰς τὸ μοναστήριον προχωρήσει.

[Σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος καὶ τῶν ἐν αὐτῷ, ὅτι χωρὶς εἰδήσεως τοῦ κατὰ χώραν ἐπισκόπου οὐκ ὀφείλουσι γίνεσθαι αἱ ἀποκάρσεις τῶν μοναχῶν, πολλῷ δὲ πλέον τῶν ἀτελῶν καὶ ἀμφιβόλων· πρόεδρος γὰρ ὁ ἐπίσκοπός ἐστιν, οὐχ ὁ καθηγούμενος, ὥς τινες λέγουσιν. Ἔτι σημείωσαι, ὅτι μοναχὸς οὐ γίνεταί τις, εἰ μὴ πληρώσει τὸν δεκαετῆ χρόνον· ζήτει καὶ τὸν ιη. κανόνα τοῦ ἁγίου Βασιλείου (2)].

ΑΡΙΣΤ. Ὁ μονάζων μονάσει δεκαετής· εἰ γὰρ καὶ ὁ θεῖος Βασίλειος τὴν ἀποκειρομένην τὸν ἑπτακαιδέκατον ἀνύειν χρόνον ἀπέφηνεν· ἀλλ᾽ ἐπεὶ, τοῦ Ἀποστόλου ἑξηκονταέτιν οὖσαν τὴν ἐν

---

(1) Χ. Τρ. — ἐπὶ Βευερ. — (2) Ἅπασα ἡ σημείωσις αὕτη οὐ κεῖται παρὰ Βευερ. ἢ Ἑ. ἀλλ' εὕρηται ἐν περισελίδι τοῦ Χ. Τρ.

ἐκκλησίᾳ χήραν ἐγγυῶντος, οἱ Πατέρες τὴν διακόνισσαν ἔφασαν τεσσαρακονταέτιν γίνεσθαι, κραταιοτέρας τῆς ἐκκλησίας γενομένης· καὶ ἡμεῖς ὀξύτερον τὴν σφραγῖδα τῷ μονάζοντι σημαινόμεθα.

Ὁ μὲν ὀκτωκαιδέκατος κανὼν τοῦ μεγάλου Βασιλείου ὑπὲρ τὰ δεκαέξ, ἢ καὶ δεκαεπτὰ ἔτη, λέγει, ὀφείλειν εἶναι τὴν προσάγουσαν ἑαυτὴν τῷ Κυρίῳ, καὶ ἀποτασσομένην τῷ γάμῳ· ἵνα αἱ ὑποσχέσεις αὐτῆς βέβαιαι ὦσι, καὶ ἀθετοῦσα ταύτας ἀπαραιτήτως κολάζηται· τὰς γὰρ παιδικὰς φωνὰς οὐ προσήκει, φησί, κυρίας ἐπὶ τῶν τοιούτων ἡγεῖσθαι. Ὁ δὲ παρὼν κανὼν τὸν μὴ ἥττονα τῶν δέκα ἐτῶν, μονάσαι θέλοντα παραδέχεται, ἀνατιθεὶς τὴν ἐπὶ τῷ χρόνῳ δοκιμασίαν εἰς τὴν κρίσιν τοῦ ἡγουμένου, εἴπερ ἡγεῖται λυσιτελέστερον αὐξηνθῆναι αὐτὸν πρὸς τὴν ἐν τῷ μονήρει βίῳ διαγωγὴν καὶ κατάστασιν· ἐλαττοῖ δὲ τὸν χρόνον τὸν ὁρισθέντα παρὰ τοῦ μεγάλου Βασιλείου, διὰ τὸ τὴν ἐκκλησίαν χάριτι θείᾳ κραταιοτέραν ὁρᾷν, καὶ ἐπὶ τὰ πρόσω προβαίνουσαν καὶ προκόπτουσαν, καὶ τοὺς πιστοὺς πρὸς τὴν τῶν θείων ἐντολῶν τήρησιν ἀσφαλεστέρους καὶ παγιωτέρους δείκνυσθαι· καὶ γὰρ διὰ τὸν αὐτὸν λόγον, ὅτι πρὸς τὸ κρεῖττον ἡ ἐκκλησία προέκοψεν, ἠλάττωσαν οἱ ἱεροὶ κανόνες καὶ τὸν χρόνον τῆς διακονίσσης, καὶ τεσσαράκοντα ἐτῶν χειροτονεῖσθαι ταύτην παραδεδώκασιν· εἰ καὶ ὁ Ἀπόστολος ἑξήκοντα ἐτῶν τὴν ἐν τῇ ἐκκλησίᾳ μέλλουσαν καταλεγῆναι χήραν προστάττει.

Κανὼν ΜΑ'.

Τοὺς ἐν πόλεσιν, ἢ χωρίοις, ἐν ἐγκλείστραις βουλομένους (1) ἀναχωρεῖν, καὶ ἑαυτοῖς κατὰ μόνας προσέχειν, πρότερον ἐν μοναστηρίῳ εἰσιέναι δεῖ, καὶ τὴν ἀναχωρητικὴν παιδοτριβεῖσθαι διαγωγήν· καὶ ἐπὶ τριετῆ χρόνον τῷ τῆς μονῆς ἐξάρχοντι ἐν φόβῳ Θεοῦ ὑποτάττεσθαι· καὶ τὴν κατὰ πάντα, ὡς προσῆκεν (2), ὑπακοὴν ἐκπληροῦν,

---

(1) Χ. Τρ. Βρ. Βευερ. Κ. Ἑ. — τοῖς ... βουλομένοις Π. — (2) Π. Χ. Τρ. Κ. Σ. Ρ. — ὡς προσῆκον Ἑ. — ὡς προσήκει Βρ. Βευερ.

καὶ οὕτως ὁμολογοῦντας περὶ τῆς ἐν τῷ τοιούτῳ βίῳ προαιρέσεως, καὶ ὡς ἐξ ὅλης καρδίας ἑκουσίως τοῦτον ἀσπάζονται, ὑπὸ τοῦ κατὰ τόπον(1) δοκιμάζεσθαι προέδρου. Εἶθ' οὕτως, ἐφ' ἕτερον ἐνιαυτὸν, ἔξωθεν προσκαρτερεῖν τῆς ἐγκλείστρας, ὡς ἂν ὁ σκοπὸς αὐτῶν πλειόνως φανερωθείη. Τηνικαῦτα γὰρ πληροφορίαν παρέξουσιν, ὡς, οὐ κενὴν θηρώμενοι δόξαν, ἀλλὰ δι' αὐτὸ τὸ ὄντως καλὸν τὴν ἡσυχίαν ταύτην μεταδιώκουσι(2). Μετὰ δὲ τὴν τοσούτου χρόνου συμπλήρωσιν, εἰ τῇ αὐτῇ προαιρέσει ἐμμένοιεν, ἐγκεκλεῖσθαι (3) αὐτοὺς, καὶ μηκέτι τούτοις ἐξεῖναι, ὅτε (4) βούλονται, τῆς τοιαύτης καταμονῆς ἀφίστασθαι· ἐκτὸς, εἰ μὴ διὰ κοινὴν λυσιτέλειαν, καὶ ὠφέλειαν (5), ἢ ἑτέραν ἀνάγκην πρὸς θάνατον αὐτοὺς βιαζομένην, πρὸς τοῦτο ἕλκοιντο, καὶ οὕτω μετ' εὐλογίας τοῦ κατὰ τόπον ἐπισκόπου. Τῶν δὲ εἰρημένων προφάσεων δίχα ἐγχειροῦντας ἐκ τῶν καταγωγίων αὐτῶν ἐξιέναι, πρωτοτύπως μὲν ἄκοντας αὐτοὺς καθειργνύειν(6) ἐν τῇ εἰρημένῃ ἐγκλείστρᾳ, ἔπειτα δὲ νηστείαις καὶ ἑτέραις σκληραγωγίαις αὐτοὺς θεραπεύειν, εἰδότας, κατὰ τὸ γεγραμμένον (7), ὡς, Οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

—

ΖΩΝΑΡ. Σφαλερὸν ἡγήσαντο οἱ θεῖοι Πατέρες, τὸ ἐκ κοσμικῆς διαγωγῆς τινας (8) εἰς ἀναχωρητικὸν καθίστασθαι βίον, καὶ ἑαυτοὺς ἐγκλείειν βραχέσιν οἰκίσκοις, καὶ αὐτοὺς ἑαυτοῖς εἶναι καθηγητάς. Διὸ τοὺς βουλομένους τοιοῦτόν τι, πρότερον εἰς ἀσκητήριον εἰσιέναι κελεύουσι, καὶ ἐπὶ τριετίαν ἐν ὑποτα-

(1) Χ. Τρ. Βρ. — ὑπὸ τοῦ κατὰ τὸν τόπον δοκιμάσαι Π. Βευερ. Σ. Ῥ. — (2) Π. Χ. Τρ. Βρ. Κ. 'Ε. Σ. Ῥ. — διώκουσι Βευερ. — (3) Π. Κ. 'Ε. Σ. Ῥ. — ἐγκλεισθῆναι Βρ. Βευερ. Χ. Τρ. — (4) Π. Βευερ. 'Ε. Κ. — ὅτε καὶ Χ. Τρ. Βρ. — (5) Π. 'Ε. Κ. Χ. Τρ. Βρ. — τὸ, καὶ ὠφέλειαν, οὐ κεῖται παρὰ Βευερ. — (6) Χ. Τρ. Βρ.—καθείργειν Σ. Ῥ. — (7) Λουκ. Θ', 62. — (8) τό, τινας, οὐ κεῖται ἐν Χ. Τρ.

γῇ γίνεσθαι, οὕτω τε παιδοτριβεῖσθαι τὴν ἀναχωρητικὴν διαγωγὴν, καὶ δουλεύσαντας ἐν ὑπακοῇ ὁμολογεῖν, ὅτι ὁλοψύχως αἱροῦνται τὴν ἀναχώρησιν· καὶ παρὰ τοῦ κατὰ χώραν ἀρχιερέως αὐτοὺς δοκιμάζεσθαι, καὶ πάλιν ἐπὶ ἐνιαυτὸν ἕτερον προσμένειν τῆς ἐγκλείστρας ἐκτὸς, ἵνα μᾶλλον τὸ ἀμετάθετον φανείη τῆς γνώμης αὐτῶν· οὕτω δὲ πληροφορήσαντες, ὡς οὐ δόξης ἔρωτι ἀνθρωπίνης, ἀλλὰ δι' ἀρετῆς ἐργασίαν τὴν ἡσυχίαν ζητοῦσιν, ἐγκλεισθήσονται, οὐκέτι ἐξελευσόμενοι τοῦ οἰκίσκου, εἰ μήπου βιασθεῖεν ὑπ' ἀνάγκης τινὸς, ὁρώσης ἢ πρὸς κοινὴν ὠφέλειαν ἴσως τῆς χώρας, ἐν ᾗ διάγουσιν, ἢ διὰ κίνδυνον ἴσως θάνατον ἀπειλοῦντα· καὶ οὕτω δὲ μετὰ γνώμης καὶ εὐλογίας τοῦ ἐπισκόπου ἐξελεύσονται. Εἰ δὲ ἄλλως, καὶ μὴ διὰ τὰς εἰρημένας αἰτίας ἐξέλθωσι, πρῶτον μὲν, καὶ ἄκοντας αὐτοὺς ἐγκλείεσθαι, ἔνθα καὶ πρότερον, οἱ Πατέρες ὥρισαν· εἶτα καὶ ἐπιτιμίοις αὐτοὺς ὑποβάλλεσθαι, ἵνα νηστείαις καὶ σκληραγωγίαις ἑαυτοὺς θεραπεύσωσιν, ἤγουν τὸ τῆς ἑαυτῶν γνώμης εὐμετάβολον.

ΒΑΛΣ. Μέγα τι καὶ τολμηρόν ἐστι, καταμόνας ἡσυχάσαι τινὰ, καὶ ἐν βραχυτάτῳ οἰκίσκῳ ἐγκλεῖσαι ἑαυτὸν, ὡς τεθνεῶτα, παρ' ὅλον τὸν τῆς οἰκείας ζωῆς χρόνον· καὶ διὰ τοῦτο νενομοθέτηται παρὰ τῶν Πατέρων, μὴ ἀπολυπραγμονήτως ἐγκλείεσθαί τινα ὁπουδήποτε· ἀλλὰ τὸν βουλόμενον τοῦτο ποιῆσαι, πρότερον ἐπὶ τριετίαν παρὰ καθηγουμένῳ ὑποτάττεσθαι, καὶ διδόναι πληροφορίαν ἐκ τῶν προτέρων τῆς εἰς τὸ μέλλον διαγωγῆς αὐτοῦ, μετὰ δοκιμασίας τοῦ κατὰ χώραν ἐπισκόπου· εἶτα προσκαρτερεῖν ἔξωθεν τῆς ἐγκλείστρας καὶ ἐφ' ἕτερον ἐνιαυτόν· καὶ εἰ μηδὲ οὕτως ἀναφανῇ ὁ τὸ ἐγκλεισθῆναι (1) ζητῶν, διὰ φαῦλον τρόπον τοῦτο ποιῶν, ἀλλὰ δι' αὐτὸ τὸ καλὸν, καὶ δι' ἔφεσιν ψυχικῆς σωτηρίας, ἐγκλείεσθαι τοῦτον διὰ τοῦ ἐπισκόπου, ἐφ' ᾧ μηκέτι ἐξελθεῖν τῆς ἐγκλείστρας, ἐκτὸς εἰ μὴ διὰ κοινὴν λυσιτέλειαν, ἢ διὰ κίνδυνον θανάτου. Καὶ ταύτην δὲ τὴν ἐξέλευσιν μὴ ἄλλως γίνεσθαι, εἰ μὴ μετὰ προ-

(1) Χ. Τρ. Β. — τὸ ἐγκλεῖσθαι Βευερ.

τροπῆς ἐπισκοπικῆς· εἰ δὲ ἄλλως, καὶ μὴ διὰ τὰς εἰρημένας αἰτίας ἐξέλθῃ, πρῶτον μὲν, καὶ ἄκοντα ἐγκλείεσθαι ἔνθα καὶ πρότερον ἦν· εἶτα καὶ δι᾽ἐπιτιμίων τὸ γεγονὸς παρὰ τούτου ὀλίσθημα θεραπεύειν. Ἀνένδεκτος γὰρ, φασὶν, ἐςὶ τῷ Θεῷ, ὁ ἐπαγγελλόμενός τι ἀγαθὸν καὶ σωτηριῶδες ποιῆσαι, καὶ τῶν οἰκείων ὑποσχέσεων ὄπισθεν ἐκ μεταμελείας γεγονώς. Σημείωσαι οὖν τὴν ἐπὶ τετραετίαν δοκιμασίαν τοῦ μέλλοντος ἐγκλεισθῆναι· εἰς γὰρ τὰς ἔξω χώρας, ἅμ᾽ ἔπος, ἅμ᾽ ἔργον(1), ἐγκλείεται ὁ βουλόμενος δίχα ἐπισκοπικῆς ἐπιτροπῆς, καὶ τῶν συνήθων ψαλτῳδημάτων. Ὡσαύτως σημείωσαι, ὅτι χωρὶς ἐπισκοπικῆς ἐπιτροπῆς οὐκ ἔξεστιν ἐγκλείστῳ ἐξιέναι ἀπὸ τοῦ ἐγκλείστρου (2), κἂν εὐλογωτάτη ἐστὶν αἰτία, παρακαλοῦσα τὴν τούτου ἐξέλευσιν· τοὺς δὲ μὴ οὕτως ἐξερχομένους, καὶ ἄκοντας ἐγκλείεσθαι πάλιν παρὰ τοῦ ἐπισκόπου (3)· καὶ ὁ μὲν κανὼν ταῦτα διορίζεται. Τὸ δὲ ά. κεφ. τῆς ρλγ'. νεαρᾶς, τῆς κειμένης ἐν βιβλίῳ δ'. τῶν βασιλικῶν κεφ. ιδ'. φησὶ ταῦτα· Θεσπίζομεν, μηδένα παντελῶς ἰδίαν ἔχειν οἴκησιν, μηδὲ τὸ καλούμενον κελλίον, εἰ μή τις βούλοιτο μόνος ὢν, καὶ ἑνὶ τυχὸν ἢ δύο χρώμενος ὑπουργοῖς, κατὰ τὸν ἐν θεωρίᾳ τε καὶ ἡσυχίᾳ διαζῆν βίον· ἀλλ᾽ ὅλως, ὄντων πλειόνων ἀνδρῶν, μίαν εἶναι καὶ τὴν αὐτὴν συνέλευσιν καὶ εὐχομένων, καὶ τὰ τῆς φύσεως ἔργα πραττόντων, ὁπόσα ἄμεμπτά τε καὶ ἀδιάβλητα καθέστηκε· καὶ κοινῇ μὲν, ὡς εἴρηται, σιτεῖσθαι, κοινῇ δὲ καθεύδειν, εἰ μέντοι τοσοῦτον εἴη τὸ πλῆθος, ὅσον εἰς (4) ἕνα οἶκον χωρεῖσθαι, ἐπεί τοι γε(5) τυχὸν δύο ἢ τρεῖς οἴκους εἶναι τοὺς δεχομένους αὐτούς. Μηδένα δὲ παντελῶς ἴδιον ἔχειν μηδὲν, ἀλλ᾽ ἐν κοινῷ ζῆν νύκτωρ τε καὶ μεθ᾽ἡμέραν, ἵνα αἱ νύκτες αὐτοῖς τὴν αὐτὴν ταῖς ἡμέραις ἔχοιεν παρατήρησιν· οὐ γὰρ καθεύδουσιν ἅπαντες ἀεὶ, ἀλλὰ πρόδηλον, ὡς οἱ μὲν ἐν τῷ καθεύδειν εἰσὶν, οἱ δὲ ἐγρηγόρησαν, καὶ πάντως ἔσονταί τινες οἱ (6) τοὺς καθεύδοντας ἐποπτεύοντες. Εἰ δέ τινα οἰκήματά ἐστιν ἐν οἱῳδήποτε μοναστηρίῳ τῶν ὑπὸ τὸν οἰκουμενικὸν πατριάρχην ταύτης

---

(1) τὸ, ἅμ᾽ ἔπος ἅμ᾽ ἔργον, οὐ κεῖται ἐν Χ. Τρ. — (2) Χ. Τρ. — ἀπὸ τοῦ ἐγκλειστηρίου Βευερ. Ἑ. — (3) τὸ, πάλιν παρὰ τοῦ ἐπισκόπου, οὐ κεῖται ἐν Χ. Τρ. — (4) Χ. Τρ Βευερ. Βασιλ. — εἰς μὴ ἕνα Ἑ. — (5) ἕνα τυχὸν Χ. Τρ. — (6) τὸ, οἱ, οὐ κεῖται παρὰ Βευερ. Ἑ.

τῆς μεγαλοπόλεως, ἢ τῶν ὑπὸ τὴν σὴν ὄντων ἁγιωσύνην, εἴτε ἐπὶ τῆς αὐτῆς περιοικίδος, εἴτε παρ' ἡμῶν αὐτῶν ᾠκοδομημένα, ἢ παρ' ἑτέρων, ταῦτα πάντα καθαιρήσεις τρόποις ἅπασιν, ἀνοίξεις τε αὐτοῖς τὴν ἀλλήλων θέαν, καὶ ὄψονται πάντες τὰ παρ' ἀλλήλων πραττόμενα. Τί γὰρ δὴ καὶ εὐλαβηθήσονται τοῦτο πράττειν, ἅπαξ ἑαυτοὺς ἀναθέντες τῷ Θεῷ, καὶ ἀπειπόντες πρὸς πᾶσαν δημώδη δίαιταν; Καὶ τοῦτο μὲν ταύτῃ κρατεῖν νῦν τε καὶ εἰς τὸν ἑξῆς ἅπαντα βουλόμεθα χρόνον, οὐδενὸς, ὡς εἴρηται, ἔχοντος οἴκησιν ἰδίαν, ἀλλὰ συναθροιζομένων ἁπάντων, καὶ θεωμένων τὰ παρ' ἀλλήλων πραττόμενα· πρόδηλον γὰρ, ὅτι τοιαῦτα σπεύσουσιν αὐτοὶ καθιστάναι (1), οἷα παντελῶς ἀνεπίληπτα μένει. Εἰ δέ τις ὀφθείη τοσοῦτον ἀναιδὴς, ὥστε τολμᾷν ἐπιχειρεῖν παραβαίνειν τι τῶν νενομοθετημένων, ὁ τῆς μονῆς ἡγούμενος ταῦτα ἐξεταζέτω· βουλόμεθα γὰρ τὴν νῦν σφοδροτέραν γενέσθαι παρατήρησιν. Λέγουσιν οὖν τινες, ἐναντιοῦσθαι τῷ κανόνι τὴν νεαράν· ἐμοὶ δὲ δοκεῖ, τὸν μὲν κανόνα διὰ τὴν ἐγκλείστραν ἐκφωνηθῆναι, τὴν δὲ νεαράν, διὰ τοὺς ἔχοντας κελλία εἰς κοινόβια μοναστηρίων· καὶ ἔστι μεγάλη διαφορὰ ἀμφοτέρων τῶν νομοθεσιῶν· καὶ κατὰ τοῦτο οὐδὲ ἐναντιοῦνται τὰ ὁροθετηθέντα. Σήμερον δὲ, εἰς μὲν τὰ γυναικεῖα μοναστήρια ἐνεργοῦσι τὰ τῆς νεαρᾶς· εἰς δὲ τὰ ἀνδρῷα οὐδαμοῦ.

ΑΡΙΣΤ. Ὁ ἐγκλεισθησόμενος, τριετίαν προδιάγων ἐν τῷ μοναστηρίῳ, καὶ πρὸ τῆς ἐγκλείστρας ἕτερον ἐνιαυτὸν μετιὼν, οὕτως εἰσίτω· καὶ μὴ ἐξίτω, εἰ μὴ βιάζοι θάνατος, ἢ πρὸς τὸ κοινὸν λυσιτέλεια.

Τὸν εἰς ἐγκλείστραν βουλόμενον εἰσιέναι, καὶ ἑαυτῷ μόνῳ προσέχειν, δεῖ πρότερον ἐν μοναστηρίῳ εἰσελθεῖν, καὶ ἐπὶ τριετῆ χρόνον ὑποταγῆναι τῷ τῆς μονῆς προεστῶτι ἐν φόβῳ Θεοῦ, καὶ οὕτως ὑπὸ τοῦ κατὰ χώραν ἐπισκόπου τὴν προαίρεσιν αὐτοῦ δοκιμασθῆναι, εἰ ἑκουσίως καὶ ἐξ ὅλης τῆς καρδίας τὸν τοιοῦτον βίον ἀσπάζεται. Καὶ εἰ ἐπιμένει ὁμολογῶν τοιουτοτρόπως ἐπιποθεῖν αὐτὸν, καὶ ἐφ' ἕτερον ἐνιαυτὸν προσκαρτερεῖν ἔξω-

(1) Χ. Τρ. — σπεύδουσιν αὐτὰ καθιστᾶναι Βευηρ. Ε.

θεν τῆς ἐγκλείστρας, ὡς ἂν περισσοτέραν παρέξῃ πληροφορίαν, ὡς οὐ διὰ ματαίαν δόξαν τὴν ἡσυχίαν μεταδιώκει, ἀλλὰ δι' αὐτὸ τὸ καλόν· μετὰ δὲ τὴν τοῦ τοσούτου χρόνου παραδρομὴν, εἰ ἐπὶ τῆς αὐτῆς εὑρίσκεται γνώμης ἱστάμενος, ἐγκεκλεῖσθαι αὐτὸν, καὶ μηκέτι ἐκεῖθεν ἐξέρχεσθαι, εἰ μήπου κοινὴ ὠφέλεια πρόκειται, ἢ ἑτέρα ἀνάγκη, θάνατον ἐπαπειλοῦσα αὐτῷ· τηνικαῦτα γὰρ μετ' εὐλογίας τοῦ κατὰ χώραν ἐπισκόπου ἐξελεύσεται. Ἄνευ δὲ τῶν εἰρημένων προφάσεων εἰ ἐξέλθῃ, πρῶτα μὲν, ἄκων ἐγκλεισθήσεται, ἔπειτα δὲ, νηστείαις καὶ ἑτέραις σκληραγωγίαις ὑποπέσει, καὶ δι' αὐτῶν τῆς μικροψυχίας αὐτοῦ θεραπείαν εὑρήσει, γινώσκων, κατὰ τὸ γεγραμμένον, ὡς, Οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

Κανὼν ΜΒ΄.

Τοὺς λεγομένους ἐρημίτας, οἵτινες μελανειμονοῦντες, καὶ τὰς κεφαλὰς κομῶντες περιάγουσι τὰς πόλεις, μεταξὺ ἀνδρῶν λαϊκῶν, καὶ γυναικῶν ἀναστρεφόμενοι, καὶ τὸ οἰκεῖον ἐπάγγελμα καθυβρίζοντες, ὁρίζομεν, εἰ μὲν αἱροῦνται, τὰς κόμας ἀποκειράμενοι, τὸ τῶν λοιπῶν μοναχῶν ἀναδέξασθαι σχῆμα, τούτους ἐν μοναστηρίῳ ἐγκαθίστασθαι, καὶ τοῖς ἀδελφοῖς ἐγκαταλέγεσθαι. Εἰ δὲ μὴ τοῦτο προέλοιντο, παντάπασιν αὐτοὺς τῶν πόλεων ἀπελαύνεσθαι, καὶ τὰς ἐρήμους οἰκεῖν, ἐξ ὧν καὶ τὰς ἐπωνυμίας (1) ἑαυτοῖς ἀνεπλάσαντο.

—

ΖΩΝΑΡ. Παλαιὰ ἡ κακία, ἀεὶ ταύτην ταῖς τῶν ἀνθρώπων καρδίαις τοῦ ἀρχεκάκου ἐνσπείραντος. Ἦσαν γὰρ καὶ πάλαι τινὲς, οἳ μέλανα περιβλήματα ἐνεδύοντο, καὶ τὰς κόμας οὐκ ἔκειρον, ἀλλ' εἴων, εἰς βοστρύχους αὐτὰς καθισταμένας τοῖς στέρνοις αὐτῶν, καὶ τοῖς ὤμοις περικεῖσθαι· καὶ οὕτω τὰς πόλεις περιέτρεχον, καὶ λαϊκοῖς ἀνδράσι συνῆσαν, καὶ γυναιξὶ, τὸ

(1) Σ. Τρ. Βρ. Βιιερ. — τὴν ἐπωνυμίαν Π. Κ. 'Ε.

μοναχικὸν ἐπάγγελμα καθυβρίζοντες. Τούτοις ἡ σύνοδος αὕτη προστάσσει τὰς κόμας κείρεσθαι, καὶ ἐν μοναστηρίοις εἰσάγεσθαι, ὥστε μοναχοῖς συνοικεῖν τε καὶ συνασκεῖν· εἰ δ' οὐ βούλονται τοῦτο, παντελῶς τῶν πόλεων ἀπελαύνεσθαι, ἵνα ἐν ἐρήμοις διάγωσιν, ἐξ ὧν τὴν ἐπωνυμίαν, τὸ ἐρημῖται καλεῖσθαι, ἑαυτοῖς ἀνεπλάσαντο· οὐ γὰρ ἐξ αὐτοῦ τοῦ πράγματος ἐσχήκασι τὴν ἐπωνυμίαν, ἀλλὰ ψευδῶς ταύτην ἑαυτοῖς ἐπωνόμασαν, καὶ πλάσμα αὐτοῖς τὸ σχῆμά τε καὶ τὸ ὄνομα.

ΒΑΛΣ. Πολλοὶ λαοπλάνοι τὰς πόλεις περιέρχονται μελανειμονοῦντες καὶ ἀκειροκόμαι, νηστείαν καὶ ἀλουσίαν ὑποκρινόμενοι, καὶ ἀπατῶντες τοὺς ἁπλουστέρους, καὶ τὸ μοναχικὸν ἐπάγγελμα καθυβρίζοντες. Καὶ οἱ μὲν ἐξ αὐτῶν μετὰ λαϊκῶν ἀνδρῶν, καὶ γυναικῶν συνδιάγοντες, καὶ τὰς τριόδους δαιμονιώδεσι διδάγμασι καταβομβοῦντες, εὔχονται δῆθεν ὑπὲρ τοῦ λαοῦ, καὶ μετάνοιαν κηρύσσουσιν. Οἱ δὲ λέγουσι, καθ' ὁρισμὸν Θεοῦ ἐκ τῆς ἐρήμου (1) εἰς τὰς πόλεις ἐλθεῖν, ἐφ' ᾧ προμηνύσαι τινὰ μέλλοντα· καὶ ἀναιδῶς ἀγαθά τινα τοῖς ἁπλουστέροις ἐπαγγέλλονται, χάριν κέρδους καὶ ἐμπορίας. Τούτων οὖν ἡ σύνοδος αὕτη διορίζεται, τὰς κόμας κείρεσθαι, καὶ ἐν μοναστηρίοις εἰσάγεσθαι, ὥστε τὸν μονήρη βίον διάγειν ἐν αὐτοῖς. Εἰ δὲ οὐ βούλονται τοῦτο, ἐκδιώκειν αὐτοὺς ἐκ τῶν πόλεων, ὡς ἂν ἐν ἐρήμοις διάγωσι, καθ' ἣν ἑαυτοῖς ἀνεπλάσαντο διαγωγὴν, οὐκ ἐξ ἀληθείας, ἀλλ' ἀπὸ πλάνης, καὶ τρόπου σκαιοῦ· οὐδὲ γὰρ ᾤκησαν τὴν ἔρημον διὰ σωτηρίαν ψυχῆς, εἰ ταύτην πραγματικῶς ἐξ ἀνάγκης ἔχουσι, μὴ παραχωρούμενοι ἐν πόλεσι παραβάλλειν.

ΑΡΙΣΤ. Μελανείμων, καὶ ἀκερσεκόμης ἐρημίτης, εἰ μὴ κειρόμενος ἐγκαταλέγοιτο μοναστηρίῳ, τῆς πόλεως ἀπελαυνέσθω.

Οἱ τὰς πόλεις περιτρέχοντες, ὡς δῆθεν ἐρημῖται, καὶ τὰς κεφαλὰς κομῶντες, καὶ μελανειμονοῦτες, ἢ εἰς μοναστήριον εἰσερχέσθωσαν, τὰς τρίχας κειρόμενοι, καὶ τὸ σχῆμα τῶν λοιπῶν μοναχῶν ἀναδεχόμενοι· ἢ, εἰ μὴ τοῦτο αἱροῦνται, τῶν πόλεων

(1) Χ. Τρ. — ἐξ ἐρήμου Βιεν. Ἐ.

ἀπελαυνέσθωσαν, ἵνα μὴ τὸ οἰκεῖον ἐπάγγελμα καθυβρίζωσι· καὶ τὰς ἐρημίας οἰκείτωσαν, ἐξ ὧν καὶ τὴν ἐπωνυμίαν ἐκτήσαντο.

Κανὼν ΜΓ'.

Ἐξὸν ὑπάρχει Χριστιανῷ, τὸν ἀσκητικὸν ἑλέσθαι βίον, καί, τὴν πολυτάραχον ζάλην τῶν βιωτικῶν πραγμάτων ἀποθέμενον (1), ἐν μοναστηρίῳ εἰσιέναι, καὶ κατὰ τὸ μοναχικὸν σχῆμα ἀποκαρῆναι, κἂν ἐν οἰῳδήποτε πταίσματι ἁλῷ. Ὁ γὰρ Σωτὴρ ἡμῶν Θεὸς ἔφη· Τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω (2). Ὡς οὖν τῆς μοναχικῆς πολιτείας τὴν ἐν μετανοίᾳ στηλογραφούσης ζωὴν ἡμῖν, τῷ γνησίως ταύτῃ προστιθεμένῳ, συνευδοκοῦμεν· καὶ οὐδεὶς αὐτὸν παρεμποδίσει τρόπος πρὸς τὴν τοῦ οἰκείου σκοποῦ ἀποπλήρωσιν.

—

ΖΩΝΑΡ. Πταισμάτων μέγεθος, ἢ πληθὺν, ἀπόγνωσιν μετανοίας τοῖς εἰς τὴν θείαν ἀφορῶσι φιλανθρωπίαν, οὐ δεῖ ἐμποιεῖν. Τοῦτο καὶ ὁ κανὼν οὗτός φησιν· Ἔξεσι, λέγων, παντί, κἂν μεγάλα ἡμάρτηκε, τὸν ἀσκητικὸν ἑλέσθαι βίον, καὶ ἐν μοναστηρίῳ ἀποκαρῆναι, καὶ τὴν μοναχικὴν μετελθεῖν πολιτείαν, ἥτις ἡμῖν τὴν ἐν μετανοίᾳ ζωὴν στηλογραφεῖ. Ὡς γὰρ ἡ στήλη δείκνυσιν ἡμῖν καὶ τὸ σχῆμα τοῦ στηλογραφουμένου, οὕτω καὶ τὸ μοναχικὸν ἐπάγγελμα τὴν μετάνοιαν ἡμῖν ὑπογράφει, καὶ σχηματίζει, καὶ ταύτης μεμνῆσθαι παρασκευάζει διηνεκῶς.

ΒΑΛΣ. Ὡς ἔοικεν, ἐκωλύοντό τινες τὴν ἀπόκαρσιν προαιρούμενοι, ἢ διὰ τὸ τοῦ βίου αὐτῶν αἰσχρόν τε καὶ ἀδιάφορον, ἢ διά τι πταῖσμα. Φησὶν οὖν ὁ κανὼν, ὅτι οὐδὲν ἁμάρτημα κωλύει τὸν Χριστιανὸν, τὸν ἀσκητικὸν ἑλέσθαι βίον, καὶ διὰ μετανοίας τὸν Θεὸν ἐξιλεώσασθαι· ὅτι οὐδέ ἐστιν ἁμαρτία τὴν τοῦ Θεοῦ νικῶσα φιλανθρωπίαν. Καὶ ὁ Σωτὴρ δὲ ἔφη· Τὸν ἐρχόμενον πρός με, οὐ μὴ ἐκβάλω ἔξω. Καὶ ἕτεροι δὲ κανόνες,

(1) Π. Βευερ. Κ. 'Ε. Σ Ρ. — ἀποθεμένῳ Χ. Τρ. Βρ. — (2) Ἰωάνν. ς', 37.

Ναυατιανὴν εἶναι αἵρεσιν (1), λέγουσι, τὸ μὴ δέχεσθαι τὴν μετάνοιαν τῶν προσερχομένων, ἀλλ' ἐὰν τοὺς πταίσαντάς τι, κἂν ὑπέρμεγα τοῦτό ἐστι, τῷ τῆς ἀπογνώσεως καλύπτεσθαι βυθῷ. Κατασκευάζοντες δὲ οἱ Πατέρες τὴν οἰκείαν νομοθεσίαν, λέγουσιν, ὅτι ὥσπερ ἡ στήλη τὸν στηλογραφούμενον ζωγραφεῖ, οὕτω καὶ τὸ μοναχικὸν ἐπάγγελμα τὴν μετάνοιαν ὑπογράφει τῷ μοναχῷ. Ταῦτα δὲ νόησον, ὅταν τὴν ἀπόκαρσιν οὐκ ἐμποδίζῃ ἡ ἀτελὴς ἡλικία, ἢ ἄλλο τι εὔλογον. Τηνικαῦτα γὰρ ἡ ἐπισκοπικὴ δοκιμασία ἐπιτρέψει τὸ ποιητέον, κατὰ τὸν μ'. κανόνα τῆς παρούσης συνόδου. Εἰ δὲ θέλεις μαθεῖν, ὡς πολλαὶ αἰτίαι εἰσὶ κωλύουσαι τὴν ἀπεντεῦθεν ἀπόκαρσιν, ἀνάγνωθι κεφ. γ'. τοῦ ά. τίτ. τοῦ δ'. βιβλίου τῶν βασιλικῶν, συνοψισθὲν παρὰ τοῦ πατριάρχου περὶ τὰ μέσα τοῦ γ'. κεφ. τοῦ ιά. τίτλου τοῦ παρόντος συντάγματος, καὶ καταστρωθὲν εἰς τὸ σχόλιον τοῦ λϐ'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος.

ΑΡΙΣΤ. Ἄδειαν ἅπας, ὁ τὴν ζάλην τοῦ βίου φεύγων, καὶ εἰς μοναστήριον εἰσιέναι βουλόμενος, ἀπενέγκοιτο.

Τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν εἰπόντος, Τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω, ἔξεστι παντὶ Χριστιανῷ τὴν πολυτάραχον ζάλην τοῦ βίου φεύγειν, καὶ εἰς μοναστήριον ἀπέρχεσθαι, καὶ ἀποκείρεσθαι, κἂν πᾶσαν διεπράξατο ἁμαρτίαν· γνησίως γὰρ τοὺς μετανοοῦντας δέχεται ὁ Θεός, καὶ οὐδεὶς αὐτοὺς τρόπος παρεμποδίσει πρὸς τὴν τοῦ οἰκείου σκοποῦ ἀποπλήρωσιν.

Κανὼν ΜΔ'.

Μοναχὸς ἐπὶ (2) πορνείᾳ ἁλοὺς, ἢ πρὸς γάμου κοινωνίαν, καὶ συμβίωσιν γυναῖκα ἀγόμενος (3), τοῖς τῶν πορνευόντων ἐπιτιμίοις κατὰ τοὺς κανόνας ὑποβληθήσεται.

—

ΖΩΝΑΡ. Ὁ μὲν ἑκκαιδέκατος τῆς τετάρτης συνόδου κανὼν, ἀκοινωνήτους εἶναι ψηφίζεται τοὺς ὁμολογήσαντας παρθενεύειν, καὶ μὴ φυλάξαντας τὴν ὁμολογίαν· καὶ τῷ ἐπισκόπῳ τὴν διά-

(1) Χ. Τρ. Ἑ. — Ναυατιανῶν εἶναι λέγουσι Βευερ. — (2) ὁ ἐπὶ Βευερ. — (3) Π. Βευερ. Σ. Ρ. — ἀγαγόμενος Χ. Τρ. Βρ.

κρισιν ἀνατίθησι τοῦ φιλανθρωπεύσασθαι, καὶ συστεῖλαι αὐτοῖς, ἢ καὶ ἐπιτεῖναι ἴσως τὸ ἐπιτίμιον. Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ συνόδου κανὼν ἐννεακαιδέκατος, τὸν τῶν διγάμων ὅρον ἐκπληροῦν ὁρίζει, τοὺς παρθενίαν ἐπαγγειλαμένους, καὶ μὴ φυλάξαντας τὴν ὁμολογίαν. Ὁ δὲ μέγας Βασίλειος ἐν κανόνι ἑξηκοστῷ φησιν· Ἡ παρθενίαν ὁμολογήσασα, καὶ ἐκπεσοῦσα τῆς ὁμολογίας, τὸν χρόνον τοῦ ἐπιτιμίου τῆς μοιχείας ἐκπληρώσει· ὁμοίως καὶ ἐπὶ μοναχῶν. Ὁ δὲ παρὼν κανὼν, τῷ τῶν πορνευόντων ἐπιτιμίῳ ὑποβάλλει τὸν ἐπὶ πορνείᾳ ἁλόντα μοναχὸν, ἢ γάμον ἑλόμενον· οἶμαι τοίνυν τὸν κανόνα τοῦτον δεῖν μᾶλλον κρατεῖν, ὡς τῶν ἄλλων μεταγενέστερον.

ΒΑΛΣ. Τὸ μὲν ἐπιτιμίοις τῶν πορνευόντων καθυποβάλλεσθαι τὸν πορνεύσαντα μοναχὸν, προσκυνητόν ἐστιν, ὡς συμπαθέστατον. Ἴσως γάρ τις εἴπῃ, μὴ ὀφείλειν ἐπίσης κολάζεσθαι τοὺς λαϊκοὺς καὶ τοὺς μοναχοὺς πορνεύσαντας· τὸ δὲ μόνον ἐπιτιμᾶσθαι κατὰ πόρνους τὸν πρὸς γάμου κοινωνίαν ἐλθόντα μοναχὸν, οὐκ ἔστιν, ὡς οἶμαι, ἀδιάστικτον. Εἶδον γὰρ, ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Λουκᾶ, μοναχόν τινα Λεόντιον Μουζάκην καλούμενον, μετ᾽ ἐσθῆτος στρατιωτικῆς παραστάντα συνοδικῶς, καὶ μὴ πειθόμενον ἀποζευχθῆναι τῆς κακῶς συμβιωτευσάσης κατὰ γάμου κοινωνίαν γυναικός· καὶ διὰ τοῦτο μετ᾽ αὐστηρίας τὸ μοναχικὸν ἐνδυθέντα, καὶ εἱρκτῇ παραδοθέντα, καὶ ἄλλως μεγάλως κολασθέντα. Δοκεῖ μοι οὖν, ὡς ὁ παρὼν κανὼν, ἐκεῖνον τὸν μοναχὸν, τῷ γάμῳ προσομιλήσαντα, λέγει τοῖς τῶν πορνευόντων ἐπιτιμίοις καθυποβάλλεσθαι, τὸν ἑκουσίως ἀποστάντα τοῦ ἀθέσμου γάμου, καὶ πρὸς τὴν προτέραν μοναδικὴν ἐπανελθόντα κατάστασιν, καὶ ἐξομολογησάμενον. Ὁ γὰρ ἑκουσίως τοῦ ἀθεμίτου γάμου μὴ ἀφιστάμενος, μεγάλως τιμωρεῖται διὰ τὴν προφανῆ ἀναίδειαν· καθώς φησι τὸ β'. θέμα τοῦ ιά. κεφ. τοῦ ά. τίτ. τοῦ δ'. βιβλίου, μέρος ὂν τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς· καὶ ἀνάγνωθι τοῦτο, καταστρωθὲν εἰς τὸ ά. σχόλιον τοῦ λβ'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος. Ζήτει καὶ τὸν ις'. κανόνα τῆς δ'. συνόδου, καὶ ἀνάγνωσον κανόνα ιθ'. τῆς ἐν Ἀγκύρᾳ συνόδου, καὶ κανόνα ξ'. τοῦ μεγάλου

Βασιλείου, λέγοντας, βαρυτέρως κολάζεσθαι τοὺς μοναχοὺς τοὺς παρθενίαν ἐπαγγειλαμένους (1), καὶ μὴ φυλάξαντας· καὶ εἶπε μὴ ἐναντιοῦσθαι ἀλλήλοις τοὺς κανόνας, διὰ τὸ, τὸν μὲν, ἤγουν τὸν παρόντα κανόνα, περὶ τῶν ἐξομολογουμένων μοναχῶν νομοθετεῖν· τοὺς δὲ, περὶ τῶν κατακρινομένων (2), καὶ διὰ τοῦτο κολαζομένων πικρότερον.

ΑΡΙΣΤ. Μοναχὸς ζευγνύμενος, ἢ πορνεύων, δεχέσθω τὸ τοῦ πορνεύοντος ἐπιτίμιον.

Ἐπίσης ὁ μοναχὸς ἐπιτιμηθήσεται, κἄν τε πορνεύσῃ, κἄν τε πρὸς γάμου κοινωνίαν γυναικὶ συζευχθῇ· τὸ δὲ ἐπιτίμιον τῶν πορνευόντων ἐν ἑπτά ἐστιν ἔτεσι, κατὰ τὸν πεντηκοστὸν ἔνατον κανόνα τοῦ μεγάλου Βασιλείου· δύο γὰρ ἔτη προσκλαίει, δύο ἀκροᾶται, δύο ὑποπίπτει, ἐν ἑνὶ συνίσταται τοῖς πιστοῖς, καὶ τῷ ὀγδόῳ δέχεται εἰς κοινωνίαν.

Κανὼν ΜΕʹ.

Ἐπειδὴ μεμαθήκαμεν, ἔν τισι γυναικείοις μοναστηρίοις τὰς μελλούσας τοῦ ἱεροῦ ἐκείνου καταξιοῦσθαι σχήματος, πρότερον σηρικαῖς, καὶ παντοίαις στολαῖς, ἔτι μὴν (3) καὶ κοσμίοις, χρυσῷ καὶ λίθῳ πεποικιλμένοις, ὑπὸ τῶν προσαγόντων αὐτὰς περιστέλλεσθαι, καὶ οὕτω τῷ θυσιαστηρίῳ προσιούσας, ἐκδιδύσκεσθαι τὴν τοσαύτην τῆς ὕλης ἀμφίασιν, παραχρῆμά τε γίνεσθαι ἐπ' αὐταῖς τὴν τοῦ σχήματος εὐλογίαν, καὶ τὸ μέλαν αὐτὰς ἔνδυμα ἀμφιέννυσθαι· ὁρίζομεν, ὥστε μηκέτι ἀπὸ τοῦ νῦν τοῦτο γίνεσθαι· οὐδὲ γὰρ εὐαγὲς ὑπάρχει, τὴν ἤδη διὰ τῆς οἰκείας προαιρέσεως ἀποθεμένην πᾶσαν τὴν τοῦ βίου τερπνότητα, καὶ ἀσπασαμένην τὴν κατὰ Θεὸν πολιτείαν, καὶ βεβαιώσασαν ταύτην λογισμοῖς ἀκλινέσι, καὶ οὕτω τῷ μοναστη-

---

(1) Χ. Τρ. — ἐπανειλημμένους Βευερ. — (2) καταδικαζομένων Χ. Τρ.

(3) Σ. Ῥ. Βευερ. — μὴ Βρ. ἀλλ' ὁ Μάνσης ἀναγνωρίζει ὅτι ὁ μὴ κακῶς ἐτέθη ἐνταῦθα.

ρίῳ προσελθοῦσαν, αὖθις εἰς ἀνάμνησιν διὰ τοῦ τοιούτου φθαρτοῦ τε καὶ ῥέοντος κόσμου ἐλθεῖν, ὧν ἤδη ἐποιήσατο λήθην· ἐκ τούτου τε ἀμφίβολον καταστῆναι, καὶ τὴν ψυχὴν ἐκταραχθῆναι, δίκην κυμάτων ἐπικλυζόντων, καὶ τῇδε κἀκεῖσε περιστρεφόντων, ὡς μήτε δάκρυον ἔστιν ὅτε λοιπὸν ἀφιεῖσαν, καὶ (1) τὴν ἐν τῇ καρδίᾳ διὰ τοῦ σώματος κατάνυξιν ἐπιδείξασθαι. Ἀλλ' εἰ καὶ βραχύ τι, ὡς εἰκὸς, ἐκπηδήσειε δάκρυον, μὴ μᾶλλον τῆς διὰ τὸν ἀσκητικὸν ἀγῶνα διαθέσεως χάριν, ἢ διὰ τὸ τὸν κόσμον, καὶ τὰ ἐν τῷ κόσμῳ καταλιπεῖν, παρὰ τοῖς ὁρῶσι τοῦτο προελθὸν (2) λογισθῆναι.

ΖΩΝΑΡ. Κωλύει ὁ κανὼν, τὰς κείρεσθαι μελλούσας κοσμεῖσθαι πρότερον στολαῖς λαμπροτέραις, χρυσοῖς τε καὶ λίθοις, καὶ οὕτω τῷ θυσιαστηρίῳ προσάγεσθαι· κἀκεῖ τὴν μὲν φλυαρίαν ἐκείνην ἐκδύεσθαι, ἐνδύεσθαι δὲ τὰ μοναχικὰ ἄμφια, καὶ τὴν ἐπ' αὐταῖς εὐλογίαν γίνεσθαι· καὶ ὁρίζει, μηκέτι τοῦτο γίνεσθαι· ἥτις γὰρ ἑκουσίως, φησὶν, ἀπέθετο τὰ βιωτικὰ, καὶ ἠσπάσατο τὴν κατὰ Θεὸν πολιτείαν, καὶ τῷ μοναστηρίῳ προσῆλθεν, αὕτη εἰς ἀνάμνησιν αὖθις ἔρχεται τῆς κοσμικῆς ὕλης τε καὶ τερπνότητος, διὰ τοῦ κοσμεῖσθαι τοῖς φθαρτοῖς καὶ ῥέουσι κόσμοις, καὶ ἐκταράσσεται τὴν ψυχὴν, τῆς μνήμης τῶν ἡδέων τοῦ κόσμου ἐπεγειρομένης, καὶ δίκην κυμάτων καταβαπτιζούσης αὐτήν· καὶ τοσοῦτον, ὡς μηδὲ κατάνυξιν αὐτῇ τότε προσγίνεσθαι, ἣν τεκμηριοῦσι τὰ δάκρυα· εἰ δὲ καὶ δακρύσει, φησὶ, κἀκεῖνο τοῖς ὁρῶσιν ἀμφίβολον κρίνεται, τῶν πλειόνων διὰ τὴν τοῦ κόσμου στέρησιν, καὶ τῶν ἡδέων αὐτοῦ, λογιζομένων δακρύειν αὐτήν.

ΒΑΛΣ. Ὅπερ οἱ θεῖοι Πατέρες ἔμαθον τότε εἰς τὰ γυναικεῖα γίνεσθαι μοναστήρια, καὶ θεαρέστως ἐκώλυσαν, τοῦτο (3) νῦν γίνεται παρὰ τοῖς κελλιωτικοῖς, καὶ μάλιστα μοναστρίαις (4). Τὴν

---

(1) Βρ. Κ. — ὁ, καὶ, οὐ κεῖται ἐν Π. καὶ Χ, Τρ. — (2) Π. Χ. Τρ. Σ. Ρ. — παρελθὸν Βευερ. Ἑ. Κ. — παρὰ δὲ Βρ. οὐ κεῖται τὰ μετὰ τὸ, καταλιπεῖν, ἐνταῦθα ἀναγινωσκόμενα. — (3) Χ. Τρ. — καὶ νῦν Βευερ. Ἑ. — (4) Χ. Τρ. — μοναστηρίοις Βευερ. — μοναστριῶν Ἑ.

γὰρ μέλλουσαν ἀποκείρεσθαι στολίζουσι νυμφικῶς μετ' ἐνδυμάτων πολυτελῶν, καὶ κοσμίων χρυσῷ καὶ λίθοις πεποικιλμένων, κατ' αὐτὴν σχεδὸν τὴν ὥραν τῆς ἀποκάρσεως, καὶ ἐν τῷ ναῷ ταύτην οὕτω κεκοσμημένην εἰσάγουσι. Τοῦ δὲ καιροῦ ἐπιστάντος τῆς ἀποκάρσεως, τὴν μὲν ματαίαν ἐκείνην ἐνδυμασίαν, καὶ τὴν πολυτελῆ στολὴν ἐκ τῆς νυμφευομένης ἀπεκδιδύσκουσιν, ἔνδυμα δὲ μέλαν ταύτῃ περιτιθέασι. Τοῦτο οὖν γίνεσθαι, ἡ ἁγία ἐκώλυσε σύνοδος, ὡς προτρεπτικὸν κοσμικῆς ἐπιθυμίας, καὶ παρὰ τῶν βλεπόντων καταγινωσκόμενον. Ὡς ἔοικε δὲ, οὐ δἰ ἄλλο τι παροράται τὸ τοιοῦτον σωτηριῶδες θέσπισμα, ἀλλ' ἢ διὰ τὸ μὴ ἐπάγεσθαι κόλασιν τοῖς τούτου καταφρονηταῖς. Ἐμοὶ δὲ δοκεῖ, ὅτι πάντες οἱ τοὺς κανόνας παραβαίνοντες, κατὰ τὸ δοκοῦν τῷ ἐγχωρίῳ ἐπισκόπῳ, τιμωρηθήσονται· κἂν οὐκ ἐξεφωνήθη παρὰ τῶν κανόνων ἔν τισι τὸ εἶδος τῶν ἐπιτιμίων.

ΑΡΙΣΤ. Οὐκ ἀμφιάσουσιν οἱ γονεῖς σηρικοῖς τὴν προελομένην μονάσαι, καὶ οὕτω τὸ σχῆμα περιθήσουσιν· ἀνάμνησις γὰρ τοῦτο τοῦ ῥέοντος κόσμου.

Μανθάνοντες οἱ Πατέρες, ὥς τινες τῶν γυναικῶν τοῦ μοναδικοῦ καταξιοῦσθαι μέλλουσαι σχήματος, πρότερον σηρικὰ ἱμάτια ἐνδιδύσκονται, καὶ παντοίαν ἄλλην στολὴν, χρυσῷ καὶ λίθοις πεποικιλμένην, ὑπὸ τῶν προσαγόντων αὐτὰς, καὶ οὕτω κεκοσμημέναι· πολυτελῶς, τῷ θυσιαστηρίῳ προσάγονται· εἶτα τὴν τοσαύτης ὕλης ἀμφίασιν ἀποδυόμεναι, παραχρῆμα τὴν τοῦ σχήματος εὐλογίαν δέχονται, καὶ τὸ μέλαν ἔνδυμα ἀμφιέννυνται· προστάττουσι μὴ τοῦτο ἀπὸ τοῦ νῦν γίνεσθαι. Οὐδὲ γὰρ εὐαγὲς, οὐδὲ ὅσιον, τὸ τὴν ἤδη διὰ τῆς οἰκείας προαιρέσεως ἀποῤῥίψασαν πᾶσαν τὴν τοῦ βίου τερπνότητα, καὶ τὴν κατὰ Θεὸν πολιτείαν ἀσπασαμένην, καὶ λογισμοῖς ταύτην ἀπεριτρέπτως βεβαιώσασαν, καὶ οὕτω τῷ μοναστηρίῳ προσελθοῦσαν, αὖθις εἰς ἀνάμνησιν διὰ τοῦ τοιούτου φθαρτοῦ καὶ ῥέοντος κόσμου ἐλθεῖν, ὧν ἤδη ἐποιήσατο λήθην, καὶ τὴν ψυχὴν, δίκην κυμάτων ἐπικλυζόντων, ἐκταραχθῆναι, καὶ τῇ δε κἀκεῖσε περιστρέφειν αὐτὴν, ὡς μηδὲ δάκρυον ἐπαφεῖναι, καὶ τὴν ἐν τῇ καρδίᾳ κατάνυξιν ἐπιδείξασθαι.

Κανὼν Μϛ΄.

Αἱ τὸν ἀσκητικὸν αἱρούμεναι βίον, καὶ ἐν μοναστηρίῳ (1) κατατατττόμεναι, καθόλου μὴ προϊέτωσαν. Εἰ δέ τις ἀπαραίτητος αὐτὰς ἀνάγκη πρὸς τοῦτο ἕλκοι, μετ' εὐλογίας, καὶ ἐπιτροπῆς (2) τῆς προεστώσης τοῦτο πραττέτωσαν· καὶ τότε μὴ μόναι καθ' ἑαυτάς, ἀλλὰ μετά τινων πρεσβυτίδων, καὶ πρωτευουσῶν ἐν τῷ μοναστηρίῳ, μετ' ἐντολῆς τῆς καθηγουμένης· παντελῶς δὲ αὐταῖς ἐξωκοιτεῖν οὐκ ἔξεστιν. Ἀλλὰ καὶ ἄνδρες οἱ τὸν μονήρη μετερχόμενοι βίον, χρείας ἐπειγούσης, καὶ αὐτοὶ μετ' εὐλογίας τοῦ τὴν ἡγουμενείαν ἐμπεπιστευμένου προϊέτωσαν· ὥςτε οἱ παραβαίνοντες τὸν νῦν ὁρισθέντα παρ' ἡμῶν ὅρον, εἴτε ἄνδρες εἶεν, εἴτε γυναῖκες, προσφόροις ἐπιτιμίοις ὑποβληθήτωσαν.

ΖΩΝΑΡ. Τὰς μοναζούσας ἀπροΐτους βούλονται οἱ Πατέρες διάγειν ἐν τῇ μονῇ· εἰ δέ ποτέ τις γένηται ἀπαραίτητος ἀνάγκη ἐξελθεῖν τοῦ μοναστηρίου μονάζουσαν, καὶ τότε μετ' ἐπιτροπῆς τῆς προεστώσης ἐξέρχεσθαι διατάττονται, καὶ μηδὲ μόνας, ἀλλὰ συνεῖναι αὐταῖς καί τινας τῶν γηραιοτέρων, καὶ πρωτευουσῶν τῷ τε χρόνῳ, καὶ τῇ ἀρετῇ, καὶ μηδὲ ἔξω τῆς μονῆς τὴν νύκτα διάγειν· τοῦτο γὰρ τὸ ἐξωκοιτεῖν. Καὶ οἱ μοναχοὶ (3) δὲ, φησὶν ὁ κανὼν, ὅτε χρεία τις κατεπείγει, μετ' εὐλογίας τοῦ ἡγουμένου ἐξιέτωσαν. Οἱ δὲ μὴ οὕτω ποιοῦντες, κἂν ἄνδρες, κἂν γυναῖκες ὦσι, προσφόρως ἐπιτιμάσθωσαν, ἀντὶ τοῦ, κατὰ τὴν ἑκάστου διάθεσιν ὁ προεστὼς αὐτοῖς ἐπαγέτω τὸ ἐπιτίμιον, ἢ μαλακώτερον, ἢ σφοδρότερον. Τοῖς μὲν γὰρ ταπεινουμένοις, καὶ μεταμελουμένοις ἐπὶ τῷ σφάλματι, ἀνήσει τὸ ἐπιτίμιον, καὶ ποιήσει κουφότερον· τοῖς δὲ σκληρυνομένοις, καὶ ἀναιδευομένοις, ἐντονωτέραν θήσει καὶ βαρυτέραν τὴν ἐπιτίμησιν, καὶ οὕτω προσφόρως ἑκάστῳ ἐπιτιμήσει.

---

(1) Π. Βρ. Κ. Ἐ. — μοναστηρίοις Χ. Τρ. Βευερ. — (2) Π. Ἐ. Κ. Βευερ. Βρ. Σ. Ῥ, — προτροπῆς Χ. Τρ. — (3) Χ. Τρ. — ἀσκηταὶ Βευερ. Κ.

ΒΑΛΣ. Καὶ ἄλλοι διάφοροι κανόνες διορίζονται, μὴ περιπολεῖν τοὺς μοναχοὺς ἔνθα βούλονται· ἀκολούθως οὖν τούτοις, καὶ ὁ παρὼν κανὼν διορίζεται περὶ τῶν μοναζουσῶν, μὴ ἔχειν ἐπ' ἀδείας τοῦ μοναστηρίου ἐξέρχεσθαι. Ἀπαραιτήτου δὲ χρείας κατεπειγούσης τὴν ἐξέλευσιν, μηδ' οὕτω ταῦτα* (1) ποιεῖν χωρὶς εὐλογίας καὶ προτροπῆς τῆς καθηγουμένης, ναὶ (2) μέν τοι καὶ συναπελεύσεώς τινων πρεσβυτίδων εὐλαβῶν μοναζουσῶν. Ὅλως δὲ ἐξωκοιτῆσαι αὐτὰς, ἤγουν ἔξω τῆς μονῆς διανυκτερεῦσαι, οὐ παραχωρεῖ· καὶ ταῦτα μὲν περὶ τῶν μοναζουσῶν. Τοὺς δὲ μοναχοὺς, παρακελεύεται διὰ ἀπαραίτητον καὶ μόνην χρείαν τῆς μονῆς ἐξέρχεσθαι, μετ' εὐλογίας καὶ προτροπῆς τοῦ καθηγουμένου· τοὺς δὲ παραβαίνοντας ταῦτα μοναχοὺς, καὶ τὰς μοναζούσας, προσφόροις ἐπιτιμίοις παρὰ τοῦ προεστῶτος καθυποβάλλεσθαι. Ἀνάγνωθι καὶ τὸ β'. θέμα τοῦ ιά. κεφ. τοῦ ά. τίτλ. τοῦ δ'. βιβλίου τῶν βασιλικῶν, μέρος ὂν τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς, καὶ συνοψισθὲν περὶ τὸ τέλος τοῦ δ'. κεφ. τοῦ ιά. τίτλου τοῦ παρόντος συντάγματος. Σημείωσαι οὖν, ὅτι γυναιξὶ μὲν οὐκ ἐνεδόθη ὅλως ἔξω τοῦ μοναστηρίου καταμεῖναι, ἤγουν νυκτερινὴν διαβιβάσαι καταμονήν· ἄνδρες δὲ οὕτω διανυκτερεῦσαι οὐκ ἐκωλύθησαν· καὶ ὅτι αἱ μὲν γυναῖκες μεθ' ἑτέρων εὐλαβῶν μοναζουσῶν ἐξέρχεσθαι τῆς μονῆς παραχωροῦνται, ἀνάγκης ἔστιν ὅτε κατεπειγούσης, πάντως διὰ τὸ ὀλισθηρὸν τοῦ γυναικείου φρονήματος· οἱ δὲ μοναχοὶ καθ' ἑαυτοὺς καὶ μόνους ἀπίασι, μετ' εὐλογίας ἡγουμενικῆς, εἰς τὰς κατεπειγούσας δουλείας καὶ μόνον· ταῦτα δὲ πάντα, ὡς ἐμοὶ δοκεῖ, περὶ ὑπόπτων διὰ τὴν νεότητα ὀφείλομεν εἰπεῖν, οὐ μὴν καὶ περὶ ἀνυπόπτων διὰ γῆρας καὶ ἀρετήν.

ΑΡΙΣΤ. Οὐκ ἔξεισι μονάσασα τῆς μονῆς, εἰ μὴ μετ' εὐλογίας τῆς προεστώσης· καὶ οὐδὲ μόνη, ἀλλὰ μεθ' ἑτέρας πρεσβύτιδος· ἐξώκοιτος δὲ τὸ παράπαν οὐ γίνεται. Κατὰ ταὐτὸ καὶ μονάζων, εἰ μὴ μετ' ἐπιτροπῆς ἡγουμένου, τῆς μονῆς μὴ ἐξιέτω.

Τὸ μὲν μεῖναί ποτε καθ' οἱονδήτινα τρόπον ἔξω τοῦ μονα-

(1) Χ. Τρ. — (2) Χ. Τρ. 'Ε. — καὶ μέντοι Βευερ.

στηρίου μονάζουσαν, παντελῶς ὁ κανὼν ἀπηγόρευσε· τὸ δὲ, ἀνάγκης ἀπαραιτήτου παρεμπιπτούσης, ταύτην ἐξέρχεσθαι τῆς μονῆς μετὰ γνώμης καὶ εὐλογίας τῆς προεστώσης, καὶ αὖθις ὑποστρέφειν, καὶ μένειν ἐν αὐτῇ, οὐκ ἐκώλυσεν, ἀλλ' ἐπιτρέπει γίνεσθαι. Πλὴν καὶ ἐν τούτῳ προστίθησι, τὸ μὴ μόνην ἐξέρχεσθαι, ἀλλὰ μετά τινων πρεσβυτίδων, καὶ πρωτευουσῶν ἐν τῷ μοναστηρίῳ· ὡσαύτως δὲ, οὐδὲ μοναχὸν, ἄνευ εὐλογίας τοῦ προεστῶτος αὐτοῦ, βούλεται τοῦ μοναστηρίου ἐξελθεῖν. Τοὺς δὲ παραβαίνοντας τὰ ὁρισθέντα, προσφόροις ὑποβάλλει ἐπιτιμίοις.

Κανὼν ΜΖ'.

Μήτε ἐν ἀδρῴῳ(1) μοναςηρίῳ γυνὴ, μήτε ἐν γυναικείῳ ἀνὴρ καθευδέτω· παντὸς γὰρ προσκόμματος, καὶ σκανδάλου ἔξω δεῖ εἶναι τοὺς πιστοὺς, καὶ πρὸς τὸ εὔσχημον, καὶ εὐπρόσεδρον (2) τῷ Κυρίῳ τὸν ἑαυτῶν εὐθετίζειν βίον. Εἰ δέ τις τοῦτο πράξει, εἴτε κληρικὸς εἴη, εἴτε λαϊκὸς, ἀφοριζέσθω.

ΖΩΝΑΡ. Παντὸς σκανδάλου ἀπηλλάχθαι ὁ κανὼν οὐχὶ τοὺς μοναχοὺς μόνους (3) ἀπαιτεῖ, ἀλλὰ τοὺς πιστοὺς ἅπαντας· καὶ μήτε ἑαυτοῖς δι' ἑτέρων περιποιεῖν σκάνδαλον, μήθ' ἑτέροις δι' ἑαυτῶν· τοὺς δὲ μοναχοὺς πολλῷ πλέον. Τὸ δὲ ἐν γυναικείῳ μοναστηρίῳ καθεύδειν ἄνδρας, ἢ τοὐναντίον, καὶ αὐτοῖς ἐκείνοις σκανδάλων αἴτιον ἔσται, καὶ ἄλλοις· ἔμφυτον γὰρ τῇ σαρκὶ τὸ πῦρ τὸ ἐκ τῶν παθῶν· καὶ μόλις ἡμῖν, ὕλης ἀναπτούσης αὐτὸ πόῤῥω ἑαυτοὺς καθιστῶσι, μαλθακώτερον γένοιτ' ἄν. Εἰ δὲ ἡμεῖς αὐτῷ παρατιθέαμεν ὑπεκκαύματα, λάβρον ἔσεται, καὶ καταπρήσει ὡς χόρτον ῥαδίως ἡμᾶς. Τί δ' ἂν ἔσται ἀνδράσι πρὸς τὸ τῆς ἐπιθυμίας πῦρ δραστικώτερον ὑπέκκαυμα γυναικὸς, ἢ γυναιξὶν αὖθις, ἀνδρὸς πρὸς ἔξαψιν τῆς τοιαύτης*(4) φλογός; Καὶ οὕτω μὲν ἀλλήλοις οἱ μονασταὶ λαβὰς σκανδάλου παρέξουσιν· ἑτέρους δὲ σκανδαλίσουσιν, ὁρῶντας γυναῖκας ἐν ἀνδρῶν καταγωγίοις διανυ-

---

(1) Π. Χ. Τρ. Βρ. — ἀνδρείῳ Ἑ. Κ. Βευερ. — (2) Π. Βρ. Σ. Ρ. Βίνν. — εὐπρόσδεκτον Χ. Τρ. Βευερ. — (3) Χ. Τρ. — ἀσκητὰς Βευερ. Κ. — (4) Χ. Τρ.

κτερευούσας, ἢ ἄνδρας ἐν ἀσκητηρίῳ γυναικῶν ὁμοίως ποιοῦντας. Καχύποπτοι (1) γὰρ οἱ πλείους, καὶ ἀφορμὰς ζητοῦντες σκανδάλων, ἢ καὶ διαβολῶν· διὸ καὶ τοῖς πατράσιν ἀπηγόρευται τοῦτο ὡς οὐκ εὔσχημον· τοὺς δὲ παρὰ ταῦτα ποιοῦντας ἀφορισμῷ κολάζουσιν.

ΒΑΛΣ. Παντὸς σκανδάλου ἀπηλλάχθαι ὁ κανὼν οὐχὶ τοὺς μοναχοὺς μόνους ἀπαιτεῖ, ἀλλὰ καὶ τοὺς πιστοὺς ἅπαντας, καὶ μήτε ἑαυτοῖς δι' ἑτέρων περιποιεῖν σκάνδαλα, μηθ' ἑτέροις δι' ἑαυτῶν· τοὺς δὲ μοναχοὺς πολλῷ πλέον. Τὸ δὲ ἐν γυναικείῳ μοναστηρίῳ καθεύδειν ἄνδρας, ἢ τοὐναντίον, καὶ αὐτοῖς ἐκείνοις σκανδάλων αἴτιον ἔσται, καὶ ἄλλοις· ἔμφυτον γὰρ τῇ σαρκὶ τὸ πῦρ τὸ ἐκ τῶν παθῶν, καὶ μόλις ἡμῖν, ὕλης ἀναπτούσης αὐτὸ πόῤῥω καθεστῶσιν ἑαυτοῖς, μαλθακώτερον γένοιτ' ἄν. Εἰ δὲ ἡμεῖς αὐτῷ παρατιθέαμεν ὑπεκκαύματα, λάβρον ἔσται, καὶ καταπρήσει ὡς χόρτον ἡμᾶς ῥᾳδίως. Τί δ' ἂν ἔσται ἀνδράσι πρὸς τὸ τῆς ἐπιθυμίας πῦρ δραστικώτερον ὑπέκκαυμα γυναικὸς, ἢ γυναιξὶν αὖθις, ἀνδρὸς, πρὸς ἔξαψιν τῆς φλογός; Καὶ, οὕτω μὲν ἀλλήλοις οἱ μονασταὶ λαβὰς σκανδάλου παρέξουσιν, ἑτέρους δὲ σκανδαλίσουσιν, ὁρῶντας γυναῖκας ἐν ἀνδρῶν καταγωγίοις διανυκτερευούσας, ἢ ἄνδρας ἐν ἀσκητηρίοις γυναικῶν· καχύποπτοι γὰρ οἱ πλείους, καὶ ἀφορμὰς ζητοῦντες σκανδάλων καὶ διαβολῶν· διὸ καὶ τοῖς πατράσιν ἀπηγόρευται τοῦτο· τοὺς δὲ παρὰ ταῦτα ποιοῦντας ἀφορισμῷ κολάζουσι· καὶ ὁ μὲν κανὼν ταῦτα. Τὸ δὲ β'. κεφ. τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς, ἤτοι τὸ ιέ. κεφ. τοῦ ά. τίτλου τοῦ δ'. βιβλίου τῶν βασιλικῶν φησιν· Οὐκ εἰσελεύσεται δὲ, οὔτε γυνὴ παντελῶς εἰς ἀνδρικὸν μοναστήριον, οὐδὲ ἀνὴρ εἰς γυναικεῖον, ἢ προφάσει τελευτήσαντος, κἀκεῖσε κειμένου μνήμης, ἢ κατὰ ἄλλην αἰτίαν· καὶ μάλιστα εἴ τις ἀδελφὸν τυχὸν, ἢ ἀδελφὴν, ἤ τινα τῶν ἐκ τοῦ γένους ἔχειν ἐν τῷ μοναστηρίῳ φήσει· συγγένεια γὰρ μοναχοῖς οὐκ ἔστι, τοῖς γε τὸν ἐν οὐρανῷ ζηλώσασι βίον. Τί γὰρ δὴ καὶ βουλόμενοι τὰς τοιαύτας εἰσόδους ποιήσοιντο, εἰ μὴ

(1) Χ. Τρ. 'Ε. — ταχύποπτοι Βευερ.

βούλοιντό τι πράττειν τῶν ἀπηγορευμένων; Ἐξὸν οὖν καὶ τὰ ἀνδράσι πρέποντα ἐν τοῖς ἀνδρικοῖς μοναστηρίοις ἄνδρας ποιεῖν, καὶ τὰ γυναιξὶν ὁμοίως ἀπονενεμημένα, ἐν τοῖς γυναικείοις μοναστηρίοις πράττειν γυναῖκας, οὐδενὸς ἐπιμιγνυμένου θατέρῳ· οὐδὲ εἴ τις τυχὸν εἶναι λέγοιτο ἀδελφὸς, ἢ ἀδελφὴ, ἢ ἄλλος συγγενής· οὐδὲ γὰρ κατὰ ταύτην τὴν πρόφασιν εἰσιτητὸν εἶναί τισι συγχωροῦμεν. Εἰ γὰρ αὐτὰς τὰς ἀρχὰς ἐκκόψομεν, καὶ τὴν δι' αὐτῆς τῆς ὁράσεως εἰσκρινομένην ταῖς ψυχαῖς ἀπάτην, καὶ τὸν ἐντεῦθεν ὄλισθον κωλύσομεν, ἔσται πολλῷ ῥάων τε καὶ εὐκολωτέρα τοῖς ἱεροῖς ἀγωνισταῖς ἡ τοῦ κρείττονος βίου κατόρθωσις. Πάντες τοίνυν τῷδε τῷ νόμῳ πειθέσθωσαν, καὶ μήτε ἄνδρες ἀποτιθέσθωσαν ἐν γυναικείων μοναστηρίων τάφοις, μήτε γυναῖκες ἀνδρικοῖς μοναστηρίοις κατορυττέσθωσαν. Οὐδὲ γὰρ ἀνδράσι γυναικωνίτιδες πρέπουσιν, οὔτε αὖθις ἀνδρῶνες τοῖς τῶν γυναικῶν καταλόγοις. Οὐδὲ ἐντεῦθεν διὰ τοὺς τελευτήσαντας τοῖς περιοῦσι τὰς ἀσχήμονας ταύτας ἐπιμίξεις γίνεσθαι βουλόμεθα· ἵνα μὴ πάροδος ἐντεῦθεν γένηται τῇ φύσει πρὸς ἑαυτὴν, ἃ μὴ (1) θέμις τρυφᾶν τε καὶ παίζειν, καὶ τὰ θεῖα καταισχύνειν πράγματα, καὶ εὐσεβείας δῆθεν προκαλύμματι, καὶ τῷ τῆς ὁσίας σχήματι ταῦτα πράττειν, ἅπερ οὐδὲ λέγειν, οὐδὲ ἐννοεῖν τοῖς μονήρη βίον ἀσκοῦσι καλόν. Ἐκείνου δὲ οὕτω φανεροῦ ὄντος, ἀνάγκη καθέστηκε τοὺς ταῖς ταφαῖς ὑπηρετουμένους, καὶ μάλιστα τοὺς τὴν κλίνην φέροντας, τούς τε ὀρύττοντας εἰσφοιτᾶν εἰς τὰ μοναστήρια. Καὶ ἐν μὲν τοῖς ἀνδρικοῖς μοναστηρίοις τὸ πρᾶγμα εὔκολόν ἐστιν· ἐν δὲ τοῖς γυναικείοις, οὐχ οὕτως, διὰ τὴν εἰρημένην ἀπαγόρευσιν. Θεσπίζομεν τοίνυν, εἴ ποτε μέλλει τοιοῦτον γίνεσθαι, καὶ θάπτεσθαί τις γυνὴ ἐν γυναικείῳ μοναστηρίῳ, (ἄνδρα γὰρ οὐκ ἐφίεμεν)· τὰς μὲν εὐλαβεστάτας γυναῖκας ἐν τῷ οἰκείῳ μένειν μοναστηρίῳ· μόνην δὲ τὴν θυρωρὸν ἢ τὰς θυρωροὺς, καὶ τὴν ἡγουμένην ἴσως αὐτὴν, εἰ βουληθείη, παρεῖναι τοῖς γινομένοις· καὶ θᾶττον ἐκείνους πράξαντας τὰ περὶ τὴν ὁσίαν νενομισμένα, καὶ τὸν τάφον ὀρύξαντας, καὶ τὸ σῶμα καλύψαντας, εὐθὺς ἀποχωρεῖν, μὴ τεθεαμένους τινὰς τῶν

---

(1) Βευερ. Ε. — καὶ μήτε θέμις Χ. Τρ.

εὐλαβεστάτων γυναικῶν, μήτε παρά τινων αὐτῶν θεαθέντας· ἀλλὰ μηδὲ ἄλλην ἐπινοείτωσαν πρόφασιν ἢ ἄνδρες τῶν εἰς γυναικεῖα μοναστήρια παρόδων, ἢ γυναῖκες, τῶν ἀνδράσιν ἀφωρισμένων, τῇ προφάσει τῶν περὶ τὴν ὁσίαν πραττομένων· ἃς δὴ μνήμας ποιοῦσιν, εἰς τρίτην, καὶ ἐννάτην συνιόντες ἡμέρας, ἢ ἡνίκα τεσσαράκοντα ἐξήκοιεν, ἢ καὶ ἐνιαυτός· ἐξὸν, εἰ μὲν γυναικεῖον εἴη τὸ μοναστήριον, γυναῖκας ἅπαντα πράττειν· εἰ δὲ ἀνδρῷον, ἄνδρας· καὶ μὴ προφάσει τῶν τοιούτων παρατηρήσεων, ἀδοξίαν τινὰ τοῖς εὐαγέσι μοναστηρίοις προστρίβεσθαι.

ΑΡΙΣΤ. Οὔτε γυναῖκα χρεὼν ἐν ἀνδρῷν καθευδῆσαι μοναστηρίῳ, οὔτε γυναικῶν, ἄνδρα. Σαφής.

Κανὼν ΜΗ'.

Ἡ τοῦ πρὸς ἐπισκοπῆς προεδρίαν ἀναγομένου γυνὴ, κατὰ κοινὴν συμφωνίαν τοῦ οἰκείου ἀνδρὸς προδιαζευχθεῖσα, μετὰ τὴν ἐπ' αὐτῷ τῆς ἐπισκοπῆς χειροτονίαν, ἐν μοναστηρίῳ εἰσίτω, πόῤῥω τῆς τοῦ ἐπισκόπου καταγωγῆς ᾠκοδομημένῳ, καὶ τῆς ἐκ τοῦ ἐπισκόπου (1) προνοίας ἀπολαυέτω· εἰ δὲ καὶ ἀξία φανείη, καὶ πρὸς τὸ τῆς διακονίας ἀναβιβαζέσθω (2) ἀξίωμα.

—

ΖΩΝΑΡ. Οὐκ ἀκούσης τῆς γυναικὸς διαζεύγνυσθαι αὐτῆς τὸν ἄνδρα βούλεται ὁ κανὼν, καλούμενον εἰς ἐπισκοπὴν, ἀλλ' ἐκ συμφώνου· καὶ διαζευχθεῖσαν, μὴ συνοικεῖν αὐτῷ, μητ' ἐγγὺς τῆς ἐκείνου κατοικίας οἰκεῖν, ἀλλ' ἐν μοναστηρίῳ πόῤῥω κειμένῳ τῆς τοῦ ἐπισκόπου καταγωγῆς· τὸ γὰρ ἀλλήλους ὁρᾷν συνεχῶς, ἀναμιμνήσκειν μέλλει πάντως αὐτοὺς τῆς προτέρας διαγωγῆς τε καὶ συμβιώσεως, καὶ ὑπεκκαίειν σφίσι τὸν ἔρωτα. Πόῤῥω δὲ οὖσαν, προνοίας ἀπολαύειν κελεύει παρὰ τοῦ ἐπισκόπου· τοῦτο δὲ νοητέον, ὅτε μὴ οἴκοθεν ἐκείνη δύναται εἰς τὰ ἀναγκαῖα ἐπαρκεῖν ἑαυτῇ. Εἰ γὰρ αὐτὸς ὁ ἐπίσκοπος οὐ συγκεχώρη-

(1) Π. Βρ. Βευερ. — τούτου Χ. Τρ. — (2) Χ. Τρ. Βρ. Βευερ. Βίνν. — καὶ πρὸς τὸ τῆς διακονίσσης Π.

ται περαιτέρω τῶν ἀναγκαίων εἰς ἑαυτὸν δαπανᾷν ἐκ τῶν τῆς ἐπισκοπῆς εἰσόδων· καὶ τοῦτο, ὅτε μὴ οἴκοθεν εὐπορεῖ τῶν ἀναγκαίων, πῶς οὐ μᾶλλον τῇ πρώην συνοικησάσῃ αὐτῷ κωλυθήσεται χορηγεῖν τι ἐκ τῶν τῆς ἐκκλησίας, δυναμένῃ πορίζεσθαι τὰ πρὸς διοίκησιν ἄλλοθεν; Ὡς γοῦν ἐνδεεῖ κἀκείνῃ, ὅτε μὴ ἔχει, παρέξει ἐκ τῶν τῆς ἐπισκοπῆς· εἰ δὲ καὶ ὁ βίος αὐτῆς σεμνὸς εἴη, καὶ τοῦ βαθμοῦ τῆς διακονίας ἄξιος, καὶ πρὸς ταύτην προβιβασθήσεται.

ΒΑΛΣ. Οἱ μὲν ἅγιοι Ἀπόστολοι, ἐν πέμπτῳ κανόνι διοριζόμενοι, Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλέτω προφάσει εὐλαβείας, ἐνέδωκαν τοῖς ἐπισκόποις καὶ μετὰ τὴν χειροτονίαν ἔχειν τὰς οἰκείας γυναῖκας. Οἱ δὲ τῆς παρούσης συνόδου ἅγιοι Πατέρες, ἐν μὲν τῷ ιβ΄. κανόνι διωρίσαντο, ὅσα δὴ καὶ ὥρισαν. Ἀρτίως δὲ παρακελεύονται τὸν ψηφισθέντα εἰς ἐπισκοπὴν ἀποδιΐστασθαι τῆς προσούσης αὐτῷ γυναικὸς, κατὰ κοινὴν ἀρέσκειαν, καὶ μετὰ τὴν χειροτονίαν ἐν μοναστηρίῳ εἰσέρχεσθαι τὴν γυναῖκα, πόῤῥω ὄντι τῆς ἐπισκοπῆς· τὸ γὰρ ἀλλήλους ὁρᾷν συνεχῶς, ἀναμιμνήσκειν μέλλει πάντως αὐτοὺς τῆς προτέρας διαγωγῆς τε καὶ συμβιώσεως, καὶ ὑπεκκαίειν τὸν ἔρωτα. Οὕτω δὲ τούτου γινομένου, ἀξιοῦσθαι τὴν γυναῖκα παρὰ τοῦ ἐπισκόπου προνοίας σωματικῆς, ἐνδεῆ οὖσαν. Εἰ γὰρ εὐπορεῖ, οὐδέν τι δοθήσεται αὐτῇ παρὰ τοῦ ἐπισκόπου, ὅτι οὐδὲ αὐτὸς εὐπορῶν δύναταί τι εἰς ἑαυτὸν δαπανᾷν ἐκ τῶν εἰσόδων τῆς ἐπισκοπῆς· εἰ δὲ καὶ ὁ βίος τῆς γυναικὸς σεμνός ἐστι, καὶ τοῦ βαθμοῦ τῆς διακονίας ἄξιος, καὶ πρὸς ταύτην προσαναβιβασθήσεται. Ταῦτα τοῦ κανόνος διοριζομένου, ἐρωτήσει τις, ὡς τῆς ρκζ΄. Ἰουστινιανείου νεαρᾶς, τῆς πολλάκις ἐν τῷ παρόντι βιβλίῳ καταστρωθείσης, ἀπαγορευούσης τὸ κατὰ συναίνεσιν τῶν ὁμοζύγων λύεσθαι τὰ συνοικέσια, πῶς ὁ παρ ὼν κανὼν διορίζεται ἀποδιΐστασθαι κατὰ συναίνεσιν τοῦ ὑποψηφίου ἀνδρὸς τὴν γυναῖκα; Λύσις. Κατὰ συναίνεσιν μὲν οὐ λύεται συνοικέσιον· ἐξ εὐλόγου δὲ αἰτίας λύεται. Καὶ ὥσπερ τοῦ ἑνὸς τῶν ὁμοζύγων ἀποκειραμένου, λέγομεν ἀγαθῇ χάριτι τὴν διάζευξιν γίνεσθαι, οὕτω καὶ τοῦ ἀνδρὸς ψηφισθέντος, λυθήσεται μετὰ τὴν χειροτο-

νίαν τὸ συνοικέσιον· καὶ οὐ δοκεῖ κατὰ συναίνεσιν λύεσθαι τοῖς νόμοις ἀπαράδεκτον· πρὸ δὲ τῆς χειροτονίας οὐ λύεται, ὅτι εἰκός ἐστιν αὐτὴν μὴ προβῆναι διά τινα ἀναφυησόμενα εὔλογα αἴτια. Τί δὲ, τῆς γυναικὸς μὴ ἀρεσκομένης ἰδιοστατῆσαι ἐκ τοῦ ψηφισθέντος ὁμοζύγου αὐτῆς, ἐμποδισθήσεται ἡ χειροτονία; Λύσις. Δοκεῖ μοι τὴν ψῆφον ἀκυροῦσθαι, ἐὰν ἡ γυνὴ τοῦ ἀνδρὸς ἀνακαλῆται τὴν συζυγίαν· διὰ τοῦτο γὰρ εἴρηκεν ὁ κανὼν, κατὰ συναίνεσιν καὶ αὐτῆς τὴν διάστασιν γίνεσθαι, ὡς μὴ δυναμένην γενέσθαι, εἰ αὕτη ἀπαναίνεται τὴν διάζευξιν. Εἰ δέ τις ἐρεῖ, καὶ μὴν ἡ ἀπόκαρσις, καὶ μὴ θέλοντος θατέρου τῶν ὁμοζύγων, γίνεται ἀσφαλῶς· εἰπὲ πρὸς αὐτὸν, ὅτι, ἐπὶ μὲν τῆς ἀποκάρσεως, ὁ περιλειφθεὶς δύναται πρὸς συζυγίαν ἑτέραν ἐλθεῖν, καὶ οὐκ ἀδικεῖται τοσοῦτον· ἐπὶ δὲ τῆς χειροτονίας, οὐ δύναται πρὸς ἕτερον γάμον ἐλθεῖν ἡ τοῦ χειροτονηθέντος γυνὴ ἀποκειρομένη, καὶ ὡς μεγάλως ἐντεῦθεν ἀδικουμένη, εἰσακουσθήσεται, μὴ θέλουσα τὴν διάζευξιν. Τὸ περὶ τοῦ μὴ ἀναγκάζεσθαι τὴν γυναῖκα τοῦ χειροτονηθέντος ἀποκείρεσθαι καὶ μονάζειν, ἐλαλήθη ἐνώπιον τοῦ βασιλέως τοῦ ἁγίου κυροῦ Ἰσαακίου τοῦ Ἀγγέλου, κατὰ τὸν Σεπτέμβριον μῆνα τῆς ε. Ἰνδικτιῶνος, παρόντων πατριαρχῶν τριῶν, τοῦ Κωνσταντινουπόλεως, τοῦ Ἀντιοχείας, καὶ τοῦ Ἱεροσολύμων, καὶ μητροπολιτῶν ὡσεὶ μ'. καὶ διεγνώσθη, ὀφείλειν ἀποκείρεσθαι κατὰ τὸ ἀπαραίτητον τὴν γυναῖκα τοῦ χειροτονηθέντος. Ζήτει γοῦν τὸ τοιοῦτον σημείωμα καταστρωθὲν ἐν τῷ χαρτοφυλακείῳ (1). Ἔτι ἐρωτήσει τις, διὰ τί, τοῦ κανόνος λέγοντος, μηδένα τὸν μονήρη βίον ἄκοντα ὑποδύεσθαι, ἡ τοῦ χειροτονηθέντος γυνὴ, μηδὲν ἀδικήσασα, ἐγκλείεται εἰς τὸ μοναστήριον; Λύσις. Τινὲς λέγουσιν, ὡς, ἐπεὶ ὁ κανὼν οὐ διορίζεται αὐτὴν ῥητῶς ἀποκείρεσθαι, ἀποκλεισθήσεται μὲν εἰς τὸ μοναστήριον, ἀποκαρῆναι δὲ οὐκ ἀναγκασθήσεται, κατὰ τὰς μοιχευθείσας γυναῖκας, ἢ καὶ ἄλλως ἐσχάτως παραπεσούσας· καὶ μάλιστα, ὅτι καὶ πρὸς τὸ τῆς διακονίας ἀξίωμα θέλει ταύτην προάγεσθαι, τὸ ταῖς λαϊκαῖς γυναιξὶ ποτὲ χαριζόμενον. Ἐμοὶ δὲ δοκεῖ, ἐξ ἀνάγ-

(1) Ἅπασα ἡ περικοπὴ ἀπὸ τοῦ, Τὸ περὶ μὴ ἀναγκάζεσθαι, ἕως τοῦ, χαρτοφυλακείῳ, οὐ κεῖται ἐν Χ. Τρ. καὶ Ε.

κης ὀφείλειν αὐτὴν ἀποκείρεσθαι· ἐξῆν γὰρ αὐτῇ πρὸ τῆς χειροτονίας, ὡς εἴρηται, μὴ διαζυγῆναι τοῦ οἰκείου ἀνδρὸς, κἀντεῦθεν καὶ τὴν χειροτονίαν ἀπρακτῆσαι, καὶ τὴν ἀπόκαρσιν. Ἐπεὶ δὲ διὰ τὴν χειροτονίαν τὴν διάζευξιν ᾑρετίσατο, ἀναγκασθήσεται διὰ τῆς ἀποκάρσεως τελειῶσαι τὸ διαζύγιον, καὶ μὴ παίζειν ἐν οὐ παικτοῖς. Τὸ γὰρ μετὰ λαϊκοῦ σχήματος εἶναι αὐτὴν εἰς τὸ μοναστήριον, κολάσεως ἔργον ἐστὶν, οὐκ εὐεργεσίας· ὅπερ εἰς ἀτιμίαν τῆς χειροτονίας ἀφορᾷ οὐ μικράν. Διὸ οὐδὲ λογίζεται ἀναγκαστικὴ ἡ ἀπόκαρσις, ἀλλ' αἱρετή. Τὸ δὲ λαϊκὰς μόνας γυναῖκας ἀξιοῦσθαι διακονικοῦ ἀξιώματος, οὐκ ἔστιν ἀληθές· καὶ μονάζουσαι γὰρ ἠξιοῦντο αὐτοῦ. Ἄλλως τε εἰ δοθῇ μετὰ λαϊκοῦ σχήματος εἶναι εἰς τὸ μοναστήριον τὴν τοῦ χειροτονηθέντος γυναῖκα, ζητήσει εὐλόγως καὶ ἐκτὸς διατρίβειν αὐτοῦ, ἴσως δὲ καὶ συζευχθῆναι ἑτέρῳ ἀνδρὶ, ἢ καὶ μετὰ τοῦ ἐπισκοπεύσαντος συνδιάγειν· ὅπερ ἄτοπον, καὶ τοῖς θείοις κανόσιν ἀβούλητον. Σημείωσαι οὖν ταῦτα πάντα διὰ τοὺς ἀξιοῦντας δευτερογαμεῖν τὰς τῶν ἱερέων γυναῖκας· νομίζω γὰρ, ὡς ἀπὸ τοῦ παρόντος κανόνος οὐ παραχωρηθήσονται δευτερογαμῆσαι. Ἐπεὶ δὲ ἐν πολλοῖς τῶν νομοκανόνων εὑρίσκεται νεαρὰ Ἰουστινιάνειος, διοριζομένη, μὴ ἀνάγεσθαι εἰς ἀξίωμα ἐπισκοπικὸν τὸν ἔχοντα γυναῖκα, ἢ τέκνα, ἢ μὴν τὸν παρὰ ταῦτα χειροτονηθησόμενον καθαιρεῖσθαι· (κεῖται δὲ ἡ τοιαύτη νεαρὰ καὶ εἰς βιβλίον γ'. τῶν βασιλικῶν, τίτλ. ά. κεφ. ζ'. ὅπερ κατεστρώθη παρ' ἡμῶν εἰς κεφ. κγ'. τοῦ ά. τίτ. τοῦ παρόντος συντάγματος, καὶ ἐλαλήθησαν τὰ περὶ τούτου πολλάκις), λέγομεν, ὡς τὰ τῆς τοιαύτης νεαρᾶς ἠπράκτησαν, κἂν ἐτέθησαν (1) εἰς τὰ βασιλικὰ, καὶ ἐνεργοῦσι τὰ τοῦ παρόντος κανόνος. Καὶ ἡ δευτέρα νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, ἣν καὶ ἀνάγνωθι, διοριζομένην περὶ τὸ τέλος ταῦτα ῥητῶς· Ἡ οὖν ἐκ Θεοῦ βασιλεία ἡμῶν τοῦτο ἁρμοδιώτερον κατανοοῦσα τοῖς θείοις ἕπεσθαι ἐντάλμασι, σύμφωνον ἐκείνοις ἐκφέρει νόμον· καὶ ὥσπερ αὐτοῖς δοκεῖ, τὸ πρὸς ἀρχιερωσύνην ἀνά-

(1) Χ. Τρ. — διὰ τὸ μὴ τεθῆναι Βευερ. Ἐ. Ἐν δὲ τῇ Λατινικῇ μεταφράσει καλῶς· etiamsi in Imperialibus sita est. Τῷ ὄντι ἡ Νεαρὰ κεῖται ἐν Βιβλ. Γ'. Τίτ. Ά. Κεφ. Ή. Βασιλ.

γεσθαι τὸν ἄξιον τῆς τιμῆς, κἂν ὦσι γοναὶ νόμῳ τετιμημέναι, οὕτως ὁρίζουσα, τὸν ἀντιφθέγγεσθαι θρασυνθέντα νόμον δίκην τῆς θρασύτητος τὴν εἰς τὸν ἔπειτα χρόνον διηνεκῆ ἀφωνίαν εἰσπράττεσθαι.

ΑΡΙΣΤ. Ἡ διαζευχθεῖσα τοῦ ἐπισκόπου μέλλοντος δέξασθαι(1), μετὰ τὴν χειροτονίαν, εἰσίτω πρὸς μοναστήριον, τῆς ἐπισκοπῆς πορρωτάτω, καὶ ἀπολαυέτω τῆς προνοίας τοῦ ἐπισκόπου.

Διὰ τὸ μὴ σκάνδαλον καὶ πρόσκομμα τοῖς λαοῖς εἶναι, δεῖ τὴν κατὰ κοινὴν συμφωνίαν τοῦ ἀνδρὸς αὐτῆς διαζευχθεῖσαν, τοῦ πρὸς ἐπισκοπῆς προεδρίαν ἀναγομένου, εἰς μοναστήριον εἰσέρχεσθαι, μετὰ τὴν χειροτονίαν αὐτοῦ, πόῤῥω κείμενον τῆς τοῦ ἐπισκόπου καταμονῆς· τὴν δὲ πρόνοιαν αὐτῆς πᾶσαν γίνεσθαι παρὰ τοῦ ἐπισκόπου.

Κανὼν ΜΘ'.

Ἀνανεούμενοι καὶ τοῦτον τὸν ἱερὸν κανόνα, ὁρίζομεν, ὥστε τὰ ἅπαξ καθιερωθέντα μοναστήρια κατὰ γνώμην (2) ἐπισκόπου, μένειν εἰς τὸ διηνεκὲς μοναστήρια, καὶ τὰ ἀνήκοντα αὐτοῖς πράγματα φυλάττεσθαι τῷ μοναστηρίῳ, καὶ μηκέτι δύνασθαι γίνεσθαι αὐτὰ κοσμικὰ καταγώγια, μήτε δὲ (3) ὑπό τινος τῶν ἁπάντων κοσμικοῖς ἀνδράσι ταῦτα ἐκδίδοσθαι, ἀλλ' εἰ καὶ μέχρι νῦν γέγονε τοῦτο, μηδαμῶς κρατεῖσθαι ὁρίζομεν. Τοὺς δὲ ἀπὸ τοῦ παρόντος τοῦτο πράττειν ἐπιχειροῦντας, ὑποκεῖσθαι τοῖς ἐκ τῶν κανόνων ἐπιτιμίοις.

ΖΩΝΑΡ. Οὗτος ὁ κανὼν προηρμήνευται, κδ'. ὢν τῆς δ'. συνόδου.

ΒΑΛΣ. Ὁ κδ'. κανὼν τῆς δ'. συνόδου παρορώμενος, ὡς ἔοικεν, ἀνανεοῦται ἀρτίως· καὶ ἀνάγνωθι τὴν ἐκείνου ἑρμηνείαν, καὶ τὴν ἑρμηνείαν τοῦ ιγ'. κανόνος τῆς ζ'. συνόδου, ἀναγκαίαν οὖσαν.

ΑΡΙΣΤ. Ὅσα κατὰ γνώμην ἐπισκόπου πέπηγε μοναστήρια, οὐκέτι κοσμικὰ καταγώγια γίνεται· οὐδὲ κοσμικοῖς ἀνδράσιν ἐκδίδοται.

---

(1) τοῦ ἐπισκοπὴν Β. — (2) Π. Βευερ. Ἐ. Κ. — τοῦ ἐπισκόπου Χ. Τρ. Βρ. — (3) Π. Βρ. Ἐ. Κ. — μηδὲ Βευερ. Χ. Τρ.

Τὰ αὐτὰ τῷ εἰκοστῷ τετάρτῳ κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ ὁ κανὼν οὗτος λέγει· ὁ δὲ τέταρτος κανὼν τῆς αὐτῆς ἐν Χαλκηδόνι συνόδου κωλύει τὸ κτίζεσθαι μοναστήριον, ἄνευ βουλῆς τοῦ κατὰ τόπον ἐπισκόπου.

Κανὼν Ν'.

Μηδένα τῶν ἁπάντων εἴτε λαϊκῶν, εἴτε κληρικῶν, κυβεύειν ἀπὸ τοῦ νῦν· εἰ δέ τις τοιοῦτο (1) φωραθείη πράττων, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΖΩΝΑΡ. Καὶ ὁ μβ'. καὶ ὁ μγ'. τῶν ἁγίων Ἀποστόλων κανὼν τοῦτο κωλύουσιν.

ΒΑΛΣ. Ἐν τῷ μβ'. καὶ ἐν τῷ μγ'. κανόνι τῶν ἁγίων Ἀποστόλων γέγραπται, τοὺς κυβεύοντας παύεσθαι, ἢ μὴν καθαιρεῖσθαι, ἢ ἀφορίζεσθαι. Ὁ δὲ παρὼν κανὼν διορίζεται, ἀπεντεῦθεν καθαιρεῖσθαι τοὺς ἱερωμένους κυβεύοντας, καὶ τοὺς λαϊκοὺς, ἀφορίζεσθαι. Ἀνάγνωθι καὶ κεφ. κζ'. καὶ λθ'. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν τούτοις γραφέντα. Ζητεῖται δὲ, ὡς τοῦ παρόντος κανόνος μὴ διοριζομένου ἀκολούθως τοῖς ἀποστολικοῖς κανόσι, μετὰ παραγγελίαν (2) κολάζεσθαι τοὺς κυβεύοντας, τίνι προσέχειν ὀφείλομεν; Καὶ τέως, ἐμοὶ δοκεῖ, τοῖς ἀποστολικοῖς κανόσιν, ὡς καὶ φιλανθρωποτέροις, καὶ ὅτι ἡ παροῦσα σύνοδος ἐν κανόνι αὐτῆς ἐννάτῳ περὶ κληρικοῦ προϊσταμένου καπηλικοῦ ἐργαστηρίου διαταττομένη, οὐκ ἀπεντεῦθεν τοῦτον κολάζει, ἀλλά φησιν, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

ΑΡΙΣΤ. Οὐδὲ τὸν λαϊκὸν κυβεύειν δέον. Σαφής.

Κανὼν ΝΑ'.

Καθόλου ἀπαγορεύει ἡ ἁγία αὕτη (3) καὶ οἰκουμενικὴ σύνοδος, τοὺς λεγομένους μίμους, καὶ τὰ τούτων θεα-

---

(1) Π. Βευερ. Ἐ. Κ. — τοῦτο Χ. Τρ. Βρ. — (2) Χ. Τρ. — παραγγελίας Βευερ.
(3) τὸ, αὕτη, οὐ κεῖται ἐν Π,

τρα, εἶτά γε (1) μὴν καὶ τὰ τῶν κυνηγίων θεώρια, καὶ τὰς ἐπὶ σκηνῆς (2) ὀρχήσεις ἐπιτελεῖσθαι. Εἰ δέ τις τοῦ παρόντος κανόνος καταφρονήσει, καὶ πρός τι ἑαυτὸν τῶν ἀπηγορευμένων τούτων ἐκδῷ, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω, εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

—

ΖΩΝΑΡ. Τοὺς πιστοὺς ἡ ἀκρίβεια τῆς εὐαγγελικῆς πολιτείας, μὴ ἀνειμένως καὶ διακεχυμένως βιοῦν βούλεται, ἀλλ' ὡς πρέπει ἁγίοις. Διὰ τοῦτο οὖν ὁ κανὼν οὗτος, ὅσα διάχυσιν τῇ ψυχῇ ἐμποιοῦσι παρὰ τὸ ἀναγκαῖον, ἐκλύουσί τε καὶ χαυνοῦσι τὸν τόνον αὐτῆς, καὶ πρὸς γέλωτας βρασματώδεις παρακινοῦσι καὶ καγχασμοὺς, ἀπηγόρευσεν, οἷά εἰσι τὰ τῶν μίμων, οἱ ποτὲ μὲν Ἀραβίτας μιμούμενοι, ποτὲ δὲ Ἀρμενίους, ποτὲ δὲ δούλους, ἐνίοτε δὲ ἕτερ' ἅττα τοῖς ἐπὶ κόῤῥης ῥαπίσμασι καὶ ψοφήμασι, γέλωτας ἀπρεπεῖς κινοῦσι, καὶ οἷον ἐκβακχεύουσι τοὺς ἀφελεστέρους, ἢ ἀπροσεκτοτέρους. Τὰ δὲ τῶν κυνηγίων θεώρια, οὐ τὸ θηρεύειν διὰ τῶν κυνῶν, ἢ ἄλλως ἐστί· τοῦτο γὰρ οὐ θεώριον, ἀλλ' ἔργον ἐστίν. Ἐν ταῖς πόλεσι δὲ ταῖς μεγίσταις θηρία ἐτρέφοντο, λέοντες καὶ ἄρκτοι, καὶ κατά τινας καιροὺς ἐξήγοντο εἰς τὰ θέατρα· καὶ ποτὲ μὲν ταύροις ἐμάχοντο, ποτὲ δὲ καὶ ἀνθρώποις, αἰχμαλώτοις τυχὸν, ἢ κατακρίτοις, καὶ ἦσαν ταῦτα τοῖς θεωμένοις πρὸς ἡδονήν· ταῦτα δὲ ἀπαγορεύει γίνεσθαι ὁ κανὼν, ὡς ὠμότητα κατηγοροῦντα τῶν θεωμένων, καὶ τὰς ἑτέρων συμφορὰς, χαρμονὰς οἰκείας λογιζομένων· καὶ τὰς ἐπὶ σκηνῆς δὲ ὀρχήσεις κωλύει. Σκηνὴ δέ ἐστιν ἡ προσποίησις καὶ ὑπόκρισις· ὅθεν καὶ σκηνικοὶ λέγονται οἱ ὑποκρινόμενοι, καὶ ἀπεικάζοντες ἑαυτοὺς ποτὲ μὲν δούλοις, ποτὲ δὲ δεσπόταις, ποτὲ δὲ στρατηγοῖς καὶ ἄρχουσιν. Ὥσπερ οὖν ταῦτα ἐκώλυσεν ὁ κανὼν διὰ τῶν μίμων, οὕτω καὶ τὰς ἐπὶ σκηνῆς ὀρχήσεις, εἴτε δι' ἀνδρῶν γίνοιντο ἀπρεπῶς λυγιζομένων καὶ ἀσχημονούντων ἐν τῷ ὀρχεῖσθαι, εἴτε διὰ γυναικῶν, εἰς ἀκολασίαν τοὺς ὁρῶντας ἐκκαλουμένων. Τοῖς δὲ μὴ φυλάσ-

(1) ἔτι γε Χ. Τρ. Σ. Ρ. — (2) ἐπὶ σκηνῶν Βρ.

σουσι τὸν κανόνα, ἀλλ' ἐκδιδοῦσιν ἑαυτοὺς τοῖς δι' αὐτοῦ ἀπαγορευθεῖσι, κληρικοῖς μὲν οὖσι, καθαίρεσιν ἐπάγει· λαϊκοῖς δὲ, ἀφορισμόν.

ΒΑΛΣ. Ἐν τῷ κδ'. κανόνι τῆς παρούσης συνόδου, ἐγράψαμεν διάφορά τινα χάριν τῶν ἱπποδρομιῶν, τῶν κυνηγίων, καὶ τῶν λοιπῶν θεωρίων, ἀλλὰ μὴν καὶ περὶ τῶν μίμων, καὶ τῶν ἐπὶ σκηνῆς ὀρχήσεων· καὶ ἀνάγνωθι ταῦτα. Ἐρωτήσει δέ τις, διὰ τί ἐκεῖνος μὲν ὁ κανὼν διορίζεται, τοὺς ἱερωμένους, καὶ τοὺς μοναχοὺς, τοὺς ἀσχολουμένους ἐν ἱπποδρομίαις, ἢ θυμελικοῖς παιγνίοις, παύεσθαι, ἢ καθαιρεῖσθαι· ὁ δὲ παρὼν φησιν, ἀδιαστίκτως τοὺς εἰς τὰ τοιαῦτα ἐκδόντας ἑαυτοὺς, κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἀφορίζεσθαι; Λύσις. Ἕτερόν ἐςι φορητότερον τὸ ἀνιέναι τινὰ εἰς ἱπποδρομίας ἔστιν ὅτε, ἢ ἐπὶ θυμελικοῖς παιγνίοις ἁλῶναι· καὶ ἕτερον ἀσύγγνωστον τὸ ἐκδοῦναι ἑαυτὸν εἰς τὰ τοιαῦτα, καὶ τοῦτο ἔργον ἔχειν διηνεκές· Ὅθεν οἱ μὲν ἐφάπαξ καὶ μετὰ προσοχῆς ἁμαρτάνοντες, ἐπιφωνοῦνται παύσασθαι· εἰ μὴ θέλουσι καθαιρεθῆναι. Οἱ δὲ καταχρώμενοι τῷ κακῷ, κληρικοὶ μὲν ὄντες, ἀπεντεῦθεν καθαιροῦνται, λαϊκοὶ δὲ, ἀφορίζονται. Ἔσο δὲ εἰδὼς, ὡς εἰ καὶ ἐν ἐκείνῳ τῷ κανόνι ἐγράψαμεν τὰ παρά τινων λεγόμενα, χάριν τοῦ μὴ κωλύεσθαι τὰς σήμερον τελουμένας ἱπποδρομίας, ἀλλά γε τὰς ἐπὶ σκηνῆς ὀρχήσεις, καὶ τὰ ἐπὶ θυμέλης τῶν μίμων θεώρια, ἀδιαστίκτως κολάζεσθαι πάντες λέγουσι, καὶ ἐξ ἀμφοτέρων τῶν κανόνων. Κυνηγίων δὲ θεώρια λέγει ὁ κανὼν τὰς θηριομαχίας· αὗται γὰρ κωλύονται, οὐ μὴν τὰ λαγοκυνήγια. Ἔοικε δὲ διὰ τὰ τῶν τοιούτων κανόνων ἐπιτίμια, ἐπινοηθῆναι τὰ βασιλικὰ παίγνια· τὸν Κοντοπαίκτην δηλαδὴ, τὸν Μάρωνα, τὸν Ἀχιλλέα, τὴν Ὀκτώηχον, καὶ τὰ λοιπά· ὡς μὴ διάχυσιν καὶ γέλωτα ἄσεμνον ἐμποιοῦντα τοῖς βλέπουσιν.

ΑΡΙΣΤ. Οὐδὲ μῖμον εἶναι, οὐδὲ θεάτρων καὶ κυνηγίων ἀνέχεσθαι· ἀφορίζεται γάρ· ὁ δὲ κληρικὸς καθαιρεῖται.

Καὶ οἱ λαϊκοὶ, Χριςιανοὶ ὄντες, σεμνῶς ἀπαιτοῦνται διαβιώσκειν· καὶ διὰ τοῦτο ὁ κανὼν, τοὺς κυβεύοντας ἐξ αὐτῶν, ἢ ὀρχήσεις ἐπὶ σκηνῆς ἐπιτελοῦντας, ἢ μίμους γινομένους, καὶ πρὸς

θέαν ἀνθρώπους ἐπισυνάγοντας, ἢ πρὸς κυνηγέσια ἐνασχολουμένους, ἀφορίζει· κληρικοὺς δὲ, εἴ τι τῶν ἀπηγορευμένων ποιήσουσι, καθαιρεῖ.

Κανὼν ΝΒʹ.

Ἐν πάσαις ταῖς τῆς ἁγίας Τεσσαρακοστῆς τῶν νηστειῶν ἡμέραις, παρεκτὸς σαββάτου, καὶ Κυριακῆς, καὶ τῆς ἁγίας τοῦ Εὐαγγελισμοῦ ἡμέρας, γινέσθω ἡ τῶν προηγιασμένων ἱερὰ λειτουργία.

—

ΖΩΝΑΡ. Αἱ τῶν νηστειῶν ἡμέραι, πένθους εἶναι ἐτάχθησαν καὶ κατανύξεως, εἰς ἐξίλασμα τῶν ἑκάστου σφαλμάτων. Τὸ δὲ τῷ Θεῷ προσάγειν θυσίας, πανηγυρίζειν ἐστί· τὸ δὲ πανηγυρίζειν, χαρμονῆς ἐστι. Καὶ πῶς ἐνταυτῷ τις πενθεῖν δύναται καὶ διακεχύσθαι; διὰ τοῦτο ἐν μὲν ταῖς ἄλλαις τῆς Τεσσαρακοστῆς ἡμέραις, ἡ τῶν προηγιασμένων γίνεται λειτουργία, οὐ τότε γινομένης τῆς ἀναιμάκτου θυσίας, ἀλλὰ τῆς ἤδη προσαχθείσης καὶ τελεσθείσης, αὖθις προσαγομένης. Κατὰ δὲ τὰ σάββατα, καὶ τὰς Κυριακὰς, ἐπεὶ ἐν ταύταις νηστεύειν ἀπηγόρευται, ἐνδέδοται καὶ θυσίαν προσφέρειν, καὶ τελείαν λειτουργεῖν λειτουργίαν. Ὁμοίως καὶ κατὰ τὴν ἡμέραν τοῦ Εὐαγγελισμοῦ· τιμῶμεν γὰρ αὐτὴν, ὡς ἀρχὴν καὶ κεφάλαιον τῆς σωτηρίας ἡμῶν, καὶ πανηγυρίζομεν ἐν αὐτῇ. Διὸ οὐδὲ μνήμας ἁγίων ἐπιτελεῖν συγκεχώρηται ἐν ταῖς τῶν νηστειῶν ἡμέραις, εἰ μὴ ἐν σαββάτῳ, καὶ Κυριακῇ, κατὰ τὸν ναʹ. κανόνα τῆς ἐν Λαοδικείᾳ συνόδου· καὶ αἱ μνῆμαι γὰρ τῶν ἁγίων χαρμόσυνοι. Ἐν δὲ ταῖς τῶν νηστειῶν ἡμέραις, πενθεῖν, ἀλλ᾽ οὐ χαίρειν χρεών.

ΒΑΛΣ. Αἱ τῶν νηστειῶν ἡμέραι, πένθους εἶναι ἐτάχθησαν, καὶ κατανύξεως, εἰς ἐξίλασμα τῶν ἑκάστου σφαλμάτων· τὸ δὲ προσάγειν τῷ Θεῷ θυσίαν, πανηγυρίζειν ἐστί· τὸ δὲ πανηγυρίζειν οὐδέν τι ἄλλο ἐστὶν ἢ χαρμονή. Πῶς οὖν ἐνταυτῷ δύναταί τις πενθεῖν καὶ διακεχύσθαι; διὰ τοῦτο ὥρισαν οἱ Πατέρες, μὴ γίνεσθαι θυσίαν δι᾽ ὅλης τῆς ἁγίας (1) Τεσσαρακοστῆς,

(1) Χ. Τρ. — τὸ, ἁγίας, οὐ κεῖται παρὰ Βευερ.

ἄνευ σαββάτου, καὶ Κυριακῆς (1), καὶ τῆς ἡμέρας τοῦ Εὐαγγελισμοῦ· ἐν ταύταις γὰρ πανηγυρίζειν, ἀλλ᾽ οὐ πενθεῖν, ἢ νηστεύειν, ἢ γόνυ κάμπτειν προστετάγμεθα. Τὴν δὲ λειτουργίαν τῶν προηγιασμένων, ἀναίμακτον θυσίαν οὐ λέγομεν, ἀλλὰ προσαγωγὴν τῆς ἤδη προσαχθείσης καὶ τελεσθείσης θυσίας, καὶ τελείας ἱεροτελεστίας. Νομίζω δὲ, ὅτι, καὶ τὰ ἀκριβῆ τῶν μοναστηρίων, διὰ τὸν παρόντα κανόνα, πρὸ τῆς Τυροφάγου ψάλλουσι καὶ ἀναγινώσκουσι τοὺς κανόνας καὶ τὰ μαρτύρια τῶν κατὰ τὴν ὅλην Τεσσαρακοστὴν προβαινουσῶν ἑορτῶν καὶ μνημῶν ἁγίων. Σημείωσαι οὖν καὶ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι κυρίως μία ἐστὶ τεσσαρακονθήμερος· εἰ γὰρ ἐπεγινώσκετο καὶ ἑτέρα, ὡρίσθη ἂν καὶ ἐν ἐκείνῃ μὴ γίνεσθαι τὴν ἱεροτελεστίαν διὰ τελείας θυσίας, ἀλλὰ διὰ προηγιασμένης (2), καθὼς ὡρίσθη τοῦτο γίνεσθαι καὶ ἐν τῇ Τεσσαρακοστῇ τοῦ μεγάλου Πάσχα.

ΑΡΙΣΤ. Δι᾽ ὅλης τῆς Τεσσαρακοστῆς, δίχα Κυριακῆς καὶ σαββάτου, καὶ τῆς ἡμέρας τοῦ Εὐαγγελισμοῦ, τὰ προαγιασθέντα προσάγεται

Ἡ αἰτία, δι᾽ ἣν ἐν ὅλῃ τῇ Τεσσαρακοστῇ, ἄνευ σαββάτου καὶ Κυριακῆς, καὶ τῆς ἡμέρας τοῦ Εὐαγγελισμοῦ, ἄρτος οὐ προσφέρεται, ἀλλὰ προηγιασμένα τελοῦνται, ἐγράφη, κατὰ τὸ ἡμῖν ἐγχωροῦν, ἐν τῷ τεσσαρακοστῷ ἐννάτῳ κανόνι τῆς ἐν Λαοδικείᾳ συνόδου.

Κανὼν ΝΓ'.

Ἐπειδὴ μείζων (3) ἡ κατὰ τὸ πνεῦμα οἰκειότης τῆς τῶν σωμάτων συναφείας, ἔγνωμεν δὲ ἔν τισι τόποις (4) τινὰς ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος παῖδας ἀναδεχομένους, καὶ μετὰ τοῦτο, ταῖς ἐκείνων μητράσι χηρευούσαις γαμικὸν συναλλάσσοντας συνοικέσιον, ὁρίζομεν, ἀπὸ τοῦ παρόντος μηδὲν τοιοῦτον πραχθῆναι. Εἰ

(1) τὸ, καὶ Κυριακῆς, οὐ κεῖται παρὰ Βευερ. — (2) Χ. Τρ. — διὰ προηγιασμένων Βευερ. — (3) Π. Βρ. Ἑ. — μείζων ἐστὶ Χ. Τρ. Βευερ. — (4) Χ. Τρ. Βρ. Βευερ. Ἑ, Κ. — τύποις Π.

δέ τινες μετὰ τὸν παρόντα κανόνα φωραθεῖεν τοῦτο ποιοῦντες, πρωτοτύπως μὲν οἱ τοιοῦτοι ἀφιστάσθωσαν τοῦ παρανόμου τούτου συνοικεσίου (1), ἔπειτα δὲ καὶ τοῖς τῶν πορνευόντων ἐπιτιμίοις ὑποβληθήτωσαν.

—

ΖΩΝΑΡ. Τοὺς τὰς οἰκείας συντέκνους χηρευούσας εἰς συμβίωσιν γαμικὴν λαμβάνοντας, ἀφίστασθαι τοῦ τοιούτου συνοικεσίου κελεύει ὁ κανών, τοῦ παρανόμου γάμου διασπωμένου· ἐκείνους δὲ, τοῖς τῶν πορνευόντων ἐπιτιμίοις ὑποβάλλεσθαι.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἐπιτιμίοις πορνευόντων ὑποβάλλει τοὺς τὰς συντέκνους αὐτῶν χηρευούσας εἰς γάμου κοινωνίαν λαμβάνοντας, διοριζόμενος διασπᾶσθαι καὶ τὸν παράνομον τοιοῦτον* γάμον. Οἴομαι οὖν, ὅτι ἐκεῖνος ἐπιτιμίοις πορνευόντων ὑποβληθήσεται, ὁ ἑτοίμως ἀφιστάμενος τοῦ κακοῦ, καὶ ἐξομολογούμενος· ὁ γὰρ ἐπιμένων τῇ ἁμαρτίᾳ, καὶ ὑπὲρ τοὺς αἱμομίκτας σχεδὸν κολασθήσεται· καὶ ἀνάγνωθι τὸ τελευταῖον θέμα τοῦ ί. κεφ. τοῦ έ. τίτλ. τοῦ κή. βιβλίου τῶν βασιλικῶν, καταστρωθὲν εἰς σχόλιον β'. τοῦ έ. κεφ. τοῦ ιγ'. βιβλίου τοῦ παρόντος συντάγματος. Τούτων οὕτως ἐχόντων, ἠρώτησάν τινες, μέχρι πόσου βαθμοῦ ἐπὶ τῆς κατὰ πνεῦμα τοιαύτης συγγενείας ὁ γάμος κωλύεται; Καί τινες μὲν εἶπον, ὡς ἐπεὶ καὶ ἀπὸ τοῦ κανόνος, καὶ ἀπὸ τοῦ νόμου, μείζων ἡ πνευματικὴ συγγένειά ἐστι τῆς κατὰ σάρκα συγγενείας, ὀφείλομεν ἀκολουθεῖν τοῖς νομοθετηθεῖσι χάριν τῶν σαρκικῶν κεκωλυμένων γάμων. Τοῖς πλείοσι δὲ τοῦτο οὐκ ἔδοξεν, ἀλλ' εἰς μόνα τὰ πρόσωπα τὰ τῷ νόμῳ περιεχόμενα, τὴν τοιαύτην συγγένειαν ἐξέτειναν (2), καὶ τὴν κώλυσιν ἐπέτειναν. Ἡ μέντοι κδ'. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, κωλύουσα τοὺς υἱοθετουμένους πρὸς γαμικὴν ὁμιλίαν συνάπτεσθαι τοῖς τοῦ υἱοθετησαμένου παισὶν, ἐπάγει περὶ τὸ τέλος ταῦτα· Ἀλλὰ πάλαι μὲν μὴ κατὰ λόγον υἱοθετουμένων προσήκοντα, εἰ καὶ ὁ γάμος ἔχει πως τὸ ἄδοξον,

(1) Π. Βρ. Κ. Σ. Ῥ. — συνοικεσίου τοιούτου τοῦ παρανόμου Βευερ. — (2) Κ. Τρ. Ἐ. — περιεχόμενα τὴν τοιαύτην συγγένειαν, καὶ ἐξέτειναν Βευερ.

ὅμως οὐχὶ καὶ παρανομίας ἀνέχεται (1)· νῦν δὲ κατὰ θεσμὸν γινομένης καὶ πρέποντα καὶ δίκαιον τῆς υἱοθετήσεως, καὶ διὰ τελετῆς ἱερᾶς, τῶν μὲν, εἰς γονέων τάξιν καθισταμένων, τῶν δὲ, εἰς τὴν τῶν παίδων, οὐκέτι περιλείπεται λόγος εἰς γάμον συνάπτεσθαι τοῖς κατὰ φύσιν τοῦ υἱοποιησαμένου παισὶ, τοὺς εἰσποιητοὺς (2) παῖδας. Τοιγαροῦν καὶ θεσπίζομεν, μηδαμῶς ἐξεῖναι τοὺς οὕτως ὑποβεβηκότας τὸ τῶν ἀδελφῶν ὄνομα, πρὸς τὸ τῆς συζυγίας, ἀντὶ τοῦ τῆς ἀδελφότητος μεθαρμόζεσθαι. Σημείωσαι οὖν ἀπὸ τῆς παρούσης* νεαρᾶς, ὅτι ὥσπερ κωλύονταί τινα πρόσωπα, διὰ τοῦ ἁγίου βαπτίσματος λαβόντα πρὸς ἄλληλα συγγένειαν, γαμικῶς συνάπτεσθαι, οὕτω κωλύονται καὶ τὰ διὰ τῆς υἱοθεσίας λαβόντα συγγένειαν ἀδελφότητος. Ἔτι σημείωσαι, ὅτι καὶ διὰ ἱερᾶς εὐχῆς γίνεται υἱοθεσία. Ἔχε οὖν τοῦτο ἐπὶ μνήμης· οὐ γὰρ εὕρηταί που ἀλλαχοῦ κείμενον, καὶ διὰ τοῦτο ἀγνοεῖται τοῖς πολλοῖς. Τοῦ δὲ νόμου λέγοντος, ἡ θέσις μιμεῖται τὴν φύσιν, καὶ διὰ τοῦτο κωλύοντος τοὺς εὐνούχους λαμβάνειν εἰς θέσιν υἱὸν, καὶ ἔχειν αὐτὸν ὑπεξούσιον, ἡ κϛ΄. νεαρὰ τοῦ αὐτοῦ βασιλέως τοῦ φιλοσόφου ἐξεχώρησε τοῦτο γίνεσθαι, καὶ ἀνάγνωθι ταύτην. Ὡσαύτως καὶ ἡ κζ΄. νεαρὰ τοῦ αὐτοῦ βασιλέως παρακελεύεται, μὴ μόνας τὰς παιδοποιησάσας γυναῖκας υἱοθετεῖσθαι, ἀλλὰ καὶ τὰς παρθένους· ὥστε καὶ τοὺς παρὰ τούτων υἱοθετηθέντας ἔχειν, ὡς ὑπεξουσίους, δίκαια κληρονομίας ἐπ' αὐτῶν· καὶ μηδὲ δεῖσθαι προστάξεως βασιλικῆς, ἢ πράξεως δικαστικῆς, χάριν τοῦ υἱοποιήσασθαί τινα ὑπεξούσιον, ἢ αὐτεξούσιον· καὶ ἀνάγνωθι τὴν τοιαύτην νεαράν. Πολλάκις γὰρ ἤκουσα ἀπὸ πολλῶν, καὶ ταῦτα τριβακῶν περὶ τὰ νομικὰ καὶ τὰ ἐκκλησιαστικὰ, μὴ ἔχειν χώραν τὰ τῆς υἱοθεσίας· ἀρτίως δὲ, μηδὲ ἀπὸ μόνης εὐχῆς καὶ τῆς ἀπὸ τῆς ἐκκλησίας ἀναδοχῆς γίνεσθαι νόμιμον υἱοθεσίαν· ὅπερ αἱ ῥηθεῖσαι βασιλικαὶ νεαραὶ οὐκ ἀνέχονται λέγεσθαι. Σὺ δὲ γίνωσκε, ὅτι τῷ σεκρέτῳ τοῦ ἱεροῦ χαρτοφύλακος κατέστρωται σημείωμα οὕτως ἐπὶ λέξεως ἔχον· Μηνὶ Μαΐῳ, ιζ'. ἡμέρᾳ β'. Ἰνδικτιῶνος ιέ. προκαθημένου Νικολάου τοῦ ἁγιω-

(1) Βευερ. Ἑ. — ἐνέχεται Χ. Τρ. — (2) Χ. Τρ. Ἑ. — υἱοποιητοὺς Βευερ.

τάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, συνεδριαζόντων συγκλητικῶν καὶ πολιτικῶν δικαστικῶν τοῦ δεῖνος καὶ τοῦ δεῖνος, καὶ θεοφιλεστάτων μητροπολιτῶν, ὁ πανεντιμότατος ὑπέρτιμος Γρηγόριος ὁ Ξηρὸς διάγραμμα προεκόμισε τὴν σήμερον συνοδικῶς, οὕτως ἔχον· Ἡ Μαρία, ἔχουσα υἱὸν γνήσιον τὸν Κωνσταντῖνον, γέγονεν ἀνάδοχος ἀπὸ τοῦ θείου καὶ ἁγίου βαπτίσματος τῆς Εἰρήνης· ἐγέννησεν ὁ Κωνσταντῖνος Θεόδωρον, καὶ ἡ Εἰρήνη Θεοδώραν, καὶ αὖθις ἐγέννησεν ἡ Θεοδώρα Ἄνναν. Θέλων οὖν ὁ Θεόδωρος νομίμῳ γάμῳ συζευχθῆναι τῇ Ἄννῃ, ἠρώτησε μαθεῖν, εἰ ἐφεῖται τοῦτο ποιῆσαι. Ἀνεγνώσθη τοίνυν ἐπὶ συνόδῳ ὁ νγ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἁγίας καὶ οἰκουμενικῆς συνόδου, καὶ τὸ ς'. θέμα τοῦ ι'. κεφ. τοῦ έ. τίτ. τοῦ κη'. βιβλίου, ἔχον ἐν μέρει οὕτως· Ὁ μέντοι ἀπὸ τοῦ ἁγίου βαπτίσματός τινα δεξάμενος οὐ δύναται αὐτὴν ὕστερον πρὸς γάμον ἀγαγέσθαι, ὡς δῆθεν θυγατέρα αὐτοῦ γενομένην· οὐδὲ τὴν ταύτης μητέρα, ἢ θυγατέρα· ἀλλ' οὐδὲ ὁ υἱὸς αὐτοῦ· ἐπειδὴ οὐδὲν ἄλλο δύναται οὕτως εἰσαγαγεῖν πατρικὴν διάθεσιν καὶ δικαίαν γάμου κώλυσιν, ὡς ὁ τοιοῦτος δεσμὸς, δι' οὗ, Θεοῦ μεσάζοντος, αἱ ψυχαὶ αὐτῶν συνάπτονται. Καὶ διεγνώσθη, κεκωλυμένον εἶναι τὸ διαληφθὲν συνάλλαγμα, ὡς οὐκ ἀναγόμενον εἰς πέμπτον βαθμόν· διὰ τὸ προτιμᾶσθαι κατὰ τὴν τοῦ τοιούτου νόμου περίληψιν, τὴν πνευματικὴν συγγένειαν τῆς φυσικῆς, ἤτοι τῆς σαρκικῆς. Τοῦτο δὲ ὡρίσθη κρατεῖν καὶ ἐπὶ τῆς υἱοθεσίας, διὰ τὸ καὶ τὴν ἐκ ταύτης συγγένειαν ἀπὸ Θεοῦ καὶ διὰ θείων εὐχῶν τελετῆς συνίστασθαι, κατὰ τὴν τοῦ ἀοιδίμου βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ νεαράν (1).

ΑΡΙΣΤ. Τοὺς ἀναδεχομένους παῖδας ἀπὸ βαπτίσματος, οὐκ ἐάσεις συναφθῆναι ταῖς τῶν παίδων μητράσιν· εἰ δέ τις καὶ συναφθείη, μετὰ τοῦ ἀποσυναφθῆναι καὶ τὸ ἐπιτίμιον γνοίη.

Ἡ κατὰ πνεῦμα οἰκειότης, μείζων τῆς σωματικῆς συγγενείας ἐστί· διὰ τοῦτο γοῦν τῷ τῶν πορνευόντων ἐπιτιμίῳ ἔνοχον καθιστᾷ ὁ κανὼν οὗτος τὸν πρὸς γάμου κοινωνίαν τῇ μητρὶ τοῦ

(1) Ἅπασα ἡ τελευταία περικοπὴ ἀπὸ τοῦ, Σὺ δὲ γίνωσκε, οὐκ ἀναγινώσκεται ἐν Χ. Τρ. οὐδὲ παρὰ Ἑ, ἀλλὰ μόνον παρὰ Βευερ.

παιδὸς συναφθέντα, τοῦ παρ' αὐτοῦ ἀναδεχθέντος ἀπὸ τοῦ ἁγίου βαπτίσματος, πρότερον διαλύων καὶ τὸ παράνομον συνοικέσιον.

Κανὼν ΝΔ'.

Τῆς θείας ἡμᾶς οὕτω σαφῶς ἐκδιδασκούσης Γραφῆς (1), Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου, ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ· ὁ θεοφόρος Βασίλειός τινας τῶν ἀπηγορευμένων γάμων ἐν τοῖς οἰκείοις κανόσιν ἀπηριθμήσατο, σιωπῇ τὰ πλεῖστα παραδραμὼν, καὶ κατ' ἀμφότερα κατασκευάσας ἡμῖν τὸ ὠφέλιμον. Τὸ γὰρ τῶν αἰσχρῶν ὀνομασιῶν πλῆθος παραιτησάμενος, ὡς ἂν μὴ τὸν λόγον καταῤῥυπαίνοι τοῖς ῥήμασι, γενικοῖς ὀνόμασι τὰς ἀκαθαρσίας διέλαβε· δι' ὧν περιεκτικῶς ἡμῖν τοὺς παρανόμους γάμους ὑπέδειξεν. Ἐπειδὴ δὲ τῇ τοιαύτῃ σιωπῇ, καὶ τῷ ἀδιαγνώστῳ (2) τῆς τῶν ἀθέσμων γάμων ἀπαγορεύσεως, ἑαυτὴν ἡ φύσις συνέχεε, συνείδομεν γυμνότερον τὰ περὶ τούτου ἐκθέσθαι, ὁρίζοντες ἀπὸ τοῦ νῦν, τὸν τῇ οἰκείᾳ ἐξαδέλφῃ πρὸς γάμου κοινωνίαν συναπτόμενον, ἢ πατέρα καὶ υἱὸν μητρὶ καὶ θυγατρὶ, ἢ δυσὶ κόραις ἀδελφαῖς πατέρα καὶ υἱὸν, ἢ ἀδελφοῖς δυσὶ μητέρα καὶ θυγατέρα, ἢ ἀδελφοὺς δύο δυσὶν ἀδελφαῖς, ὑπὸ τὸν τῆς ἑπταετίας πίπτειν κανόνα, ἀφισταμένων αὐτῶν προδήλως τοῦ παρανόμου συνοικεσίου.

—

ΖΩΝΑΡ. Ὁ μέγας Βασίλειος ἐρωτηθεὶς, εἰ δύναιτό τις, μετὰ θάνατον τῆς ἰδίας συμβίου, τῇ ἀδελφῇ ἐκείνης συνάπτεσθαι, ἀπηγόρευσε τοῦτο· καὶ πρὸς τοὺς τὸ ἐναντίον φρονοῦντας γράψας, τὸν οἰκεῖον λόγον γενναιότατα κατεσκεύασε, καὶ ἀξίως τοῦ βάθους τῆς διανοίας αὐτοῦ. Εἶτα καὶ τινων ἀθέσμων ἐμνήσθη γάμων καὶ ἀπηγορευμένων, τοὺς ἄλλους τῷ τῆς ἀκαθαρσίας ὀνόματι συμπεριλαβὼν, καὶ παραδηλώσας. Ἡ δὲ περὶ τούτων δια-

(1) Λευϊτ. ΙΗ, 6. — (2) Π. Χ. Τρ. Βευερ. Σ. Ρ. — ἀγνώστῳ Βρ.

ταγὴ ἐν τοῖς κανόσιν ἠρίθμηται τοῦ θεολήπτου Πατρὸς, ὀγδοηκοστὸς ἕκτος οὖσα κανών. Τούτῳ οὖν τῷ κανόνι τινὲς κεχρημένοι, τοὺς μὴ ἀπηριθμημένους ἐν αὐτῷ γάμους ὡς παρανόμους, ἀκωλύτους ἐβιάζοντο φρονεῖν, καὶ τὴν φύσιν συνέχεον, συγγενέσι μιγνύμενοι· διὰ ταῦτα πρὸς τὸν κανόνα τοῦτον ἀπεῖδεν ἡ σύνοδος· καὶ ἀπολογεῖται μὲν, διὰ τί τὰ πλείω σιωπῇ ὁ ἅγιος παρέδραμεν· ἵνα, φησὶ, μὴ τὸν λόγον καταῤῥυπαίνῃ τοῖς ῥήμασιν, ἕκαστον τῶν ἀθέσμων γάμων ἀπαριθμῶν, περιεκτικῶς δὲ τῷ τῆς ἀκαθαρσίας ὀνόματι τοὺς παρανόμους γάμους ὑπέδειξεν. Εἶτα ἐπήγαγον οἱ τῆς συνόδου Πατέρες καὶ γάμους ἀθέσμους, οὓς καὶ ἀπηριθμήσαντο· καὶ διασπᾶσθαι μὲν τοὺς τοιούτους γάμους ἐκ παντὸς διωρίσαντο, τοὺς δὲ χρανθέντας αὐτοῖς, τῷ τῆς ἑπταετίας κανόνι ἐπιτιμᾶσθαι.

. ΒΑΛΣ. Τινὲς τῷ πϛ'. κανόνι τοῦ μεγάλου Βασιλείου χρώμενοι, ἀπαριθμοῦντι γάμους κεκωλυμένους διὰ συγγένειαν, ἔλεγον πάντας τοὺς παρὰ τούτους ἀκωλύτους εἶναι. Τοῦτο οὖν ἀνατρέποντες οἱ θεῖοι Πατέρες, πρῶτον μὲν εἶπον, πᾶσαν συγγενικὴν συνάφειαν κωλύεσθαι διὰ τοῦ Μωσαϊκοῦ νόμου, τοῦ διαλαμβάνοντος, Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου, ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ. Εἶτα ὑπεραπολογούμενοι ὥσπερ τοῦ ῥηθέντος μεγάλου Πατρὸς, ἐπήγαγον, ὡς, εἰ καὶ μὴ ῥητῶς ὁ θεοφόρος οὗτος Πατὴρ ἐν τοῖς οἰκείοις κανόσι πάντας τοὺς κεκωλυμένους συγγενικοὺς γάμους διέλαβεν, ἀλλ' ἐπεὶ τούτους ἀκαθάρτους ὠνόμασεν, ὡς ἀπηγορευμένους διὰ τὴν συγγένειαν, τῷ κοινῷ λόγῳ πάντας συμπεριέλαβε, καὶ διὰ ῥημάτων ὀλίγων οὐ μόνον τοὺς ἀπαριθμηθέντας ἐκώλυσεν, ἀλλὰ καὶ πάντας τοὺς ἀπὸ συγγενείας καταγομένους· καὶ οὐ χρὴ τοὺς δι' εὐλάβειαν μὴ ἐκφωνηθέντας, ἀκωλύτους κατονομάζεσθαι. Διὸ καὶ ὥρισαν γάμους ἀθέσμους εἶναι τόνδε, καὶ τόνδε, καὶ τόνδε· προσθέμενοι, τοὺς ἀφισαμένους αὐτῶν προδήλως, τουτέστι μετὰ ἐξομολογήσεως, καὶ χωρὶς κατακρίσεως, τῷ τῆς ἑπταετίας κανόνι ἐπιτιμᾶσθαι· ὡς εἶναι δῆλον, σφοδρότερον κολάζεσθαι τοὺς μὴ ἀφισταμένους ῥᾳδίως, ἀλλὰ κατακρινομένους. Τοῦτο γὰρ ἀναφαίνεται ἀπὸ τῶν ῥημάτων τοῦ κανόνος, τῶν λεγόντων, ἀφισταμένων αὐτῶν προδήλως τοῦ

παρανόμου συνοικεσίου. Ἐπεὶ δὲ περὶ κεκωλυμένων γάμων πλατύτερον ἐγράψαμεν εἰς τὸ ϐʹ. κεφ. τοῦ ιγʹ. τίτ. τοῦ παρόντος συντάγματος, ἀνάγνωθι τοῦτο, καὶ τὰ ἐν αὐτῷ χρησιμώτατα ὄντα.

ΑΡΙΣΤ. Οὐ συγχωρήσεις ἐξαδέλφῃ συζευχθῆναι ἐξάδελφον· οὐδὲ θυγατρὶ καὶ μητρὶ υἱὸν καὶ πατέρα· οὐδὲ δυσὶν ἀδελφοῖς μητέρα καὶ θυγατέρα· οὐδὲ δυσὶν ἀδελφαῖς ἀδελφούς· εἰ δέ τι τοιοῦτον καὶ γένοιτο, μετὰ τῆς διαλύσεως, ἑπταετίαν ὑποπιπτέτωσαν.

Καὶ οὗτοι οἱ γάμοι, ὡς ἀπηγορευμένοι, διαλυθήσονται· καὶ οἱ συναλλάξαντες αὐτούς, κατὰ τὸν παρόντα κανόνα, καὶ τὸν ἑβδομηκοστὸν ὄγδοον τοῦ μεγάλου Βασιλείου, ἐπὶ ἐνιαυτὸν προσκλαύσουσι, διετίαν ὑπακροάσονται, τριετίαν ὑποπεσοῦνται, καὶ τῷ ἑβδόμῳ συστήσονται μετὰ τῶν πιστῶν· καὶ οὕτως, ἐὰν μετὰ δακρύων μετανοήσωσι, τῶν θείων ἁγιασμάτων ἀξιωθήσονται.

Κανὼν ΝΕʹ.

Ἐπειδὴ μεμαθήκαμεν, τοὺς (1) ἐν τῇ Ῥωμαίων πόλει, ἐν ταῖς ἁγίαις τῆς Τεσσαρακοστῆς νηστείαις (2), τοῖς ταύτης σάββασι (3) νηστεύειν, παρὰ τὴν παραδοθεῖσαν ἐκκλησιαστικὴν ἀκολουθίαν· ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ὥστε κρατεῖν καὶ ἐπὶ τῇ Ῥωμαίων ἐκκλησίᾳ ἀπαρασαλεύτως τὸν κανόνα, τὸν λέγοντα· Εἴ τις κληρικὸς εὑρεθείη τὴν ἁγίαν Κυριακὴν νηστεύων, ἢ τὸ σάββατον, πλὴν τοῦ ἑνὸς καὶ μόνου, καθαιρείσθω· εἰ δὲ λαϊκός, ἀφοριζέσθω.

ΖΩΝΑΡ. Διορθώσασθαι τὸ σφάλμα τοῦτο τῶν Λατίνων ἡ σύνοδος ἐπεχείρησεν, ἀλλ' ἀδιόρθωτοι καὶ αὖθις οἱ ἀλαζόνες ἔμεινάν τε καὶ μένουσι, μήτε τοῖς παλαιοτέροις κανόσι πειθόμενοι, τοῖς ἄνευ τοῦ ἑνὸς σαββάτου, τοῦ μεγάλου δηλαδή, μὴ νηστεύειν ἐν σαββάτῳ κελεύουσι, μήτε τούτου ἐπιστρεφό-

---

(1) Π. Βευερ. Σ. Ῥ. — τό, τούς, οὐ κεῖται παρὰ Βρ. καὶ Χ. Τρ. — (2) Χ. Τρ. Βρ. Βευερ. Κ. Ἑ. — ἐν τῇ ἁγίᾳ ... νηστείᾳ Π. — ἐν ταῖς ἁγίαις ... ἡμέραις Σ. Ῥ. — (3) σαββάτοις Βευερ.

μενοι· καὶ μήτε τὴν καθαίρεσιν οἱ ἱερωμένοι εὐλαβούμενοι, μήθ' οἱ λαϊκοὶ τὸν ἀφορισμόν.

ΒΑΛΣ. Καὶ δι ἄλλα μὲν πολλὰ, τέως δὲ καὶ διὰ τὸν παρόντα κανόνα, λέγουσιν οἱ τῆς παλαιᾶς Ῥώμης, μὴ εἶναι τὴν ἁγίαν ταύτην σύνοδον οἰκουμενικὴν, καθὼς καὶ ἐν τῷ προοιμίῳ αὐτῆς ἐγράψαμεν. Ὡς γὰρ σίδηρος διῆλθε τὴν καρδίαν αὐτῶν, καὶ στηλιτεύει τούτους, ὡς ὑπεναντίως ποιοῦντας τῷ ἀποστολικῷ κανόνι, τῷ λέγοντι· Εἴ τις κληρικὸς εὑρεθείη τῇ ἁγίᾳ Κυριακῇ καὶ τῷ σαββάτῳ νηστεύων, πλὴν τοῦ ἑνὸς καὶ μόνου, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. Οὐ χρὴ οὖν τούτους συγγνώμης ἀξιωθῆναι, τῆς αὐτῆς ἐξερχομένους ἰδιορρυθμίας καὶ πάλιν, καὶ νηστεύοντας μὴ μόνον κατὰ τὰ σάββατα τῆς ἁγίας Τεσσαρακοστῆς, ἀλλὰ καὶ κατὰ τὰ λοιπά. Ἐγὼ δὲ εἶδόν τινας Λατίνους αἰτιωμένους διὰ τοῦτο, καὶ ματαίαν προβαλλομένους πρόφασιν, τὴν εἰς τὸν ἅγιον τάφον τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπέλευσιν, καὶ τὴν χάριν τούτου κρατήσασαν νηστείαν ἐκ συνηθείας μακρᾶς· ἄλλους δὲ εἶδον μὴ ἀπελθόντας εἰς τὰ Ἱεροσόλυμα, καὶ νηςεύοντας ὁμοίως· καὶ ἄλλους ἀτιμάζοντας τὴν τοιαύτην νηστείαν, καὶ ἀδιαφόρως κατὰ τὰ σάββατα καταλύοντας, ἀπελθόντας καὶ ταῦτα εἰς τὸν τοῦ Κυρίου τάφον. Οὐκ ἔχω γοῦν εἰπεῖν ὅπως ταῦτα οὕτω παρὰ τῶν τοιούτων (1) γίνονται· ἔοικε δὲ, ὡς τοῖς ἔθεσι μᾶλλον, ἢ τοῖς κανόσιν ἀκολουθοῦσι.

ΑΡΙΣΤ. Οἱ Ῥωμαῖοι τοῖς τῆς Τεσσαρακοστῆς νηστεύουσι σάββασιν· ὑπομιμνήσκει τοίνυν ἡ σύνοδος, καὶ ἐπὶ τούτων τὸν ἀποστολικὸν κανόνα κρατεῖν.

Μαθοῦσα ἡ ἁγία αὕτη σύνοδος, τοὺς ἐν τῇ Ῥωμαίων πόλει τὸν ἑξηκοστὸν τέταρτον κανόνα τῶν ἁγίων Ἀποστόλων παραβαίνοντας, τὸν προστάττοντα, ἄνευ τοῦ μεγάλου σαββάτου, ἕτερον σάββατον, ἢ Κυριακὴν μὴ νηστεύειν· ὥρισε, καὶ ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ ἀπαρασάλευτον τὸν τοιοῦτον ἀποστολικὸν κανόνα φυλάττεσθαι.

---

(1) Βευερ. — τὸ, παρὰ τῶν τοιούτων, οὐ κεῖται ἐν Χ. Τρ.

Κανὼν Νϛʹ.

Ὡσαύτως μεμαθήκαμεν ἔν τε τῇ Ἀρμενίων χώρᾳ, καὶ ἐν ἑτέροις τόποις, ἐν τοῖς σάββασι, καὶ ἐν ταῖς Κυριακαῖς τῆς ἁγίας Τεσσαρακοστῆς (1), ὠὰ καὶ τυρὸν ἐσθίειν τινάς. Ἔδοξε τοίνυν καὶ τοῦτο, ὥστε τὴν κατὰ πᾶσαν τὴν οἰκουμένην τοῦ Θεοῦ ἐκκλησίαν, μιᾷ κατακολουθοῦσαν τάξει, τὴν νηστείαν ἐπιτελεῖν, καὶ ἀπέχεσθαι, ὥσπερ θυτοῦ παντοίου (2), οὕτω δὴ ὠοῦ, καὶ τυροῦ, ἃ καρπός εἰσι, καὶ γεννήματα, ὧν ἀπεχόμεθα· Εἰ δὲ μὴ τοῦτο παραφυλάττοιεν, εἰ μὲν κληρικοὶ εἶεν, καθαιρείσθωσαν· εἰ δὲ λαϊκοί, ἀφοριζέσθωσαν.

—

ΖΩΝΑΡ. Οἱ ἐν ταῖς χώραις ἐκείναις Χριστιανοὶ, εὑρόντες, ὡς ἔοικε, τὸν κανόνα τὸν λέγοντα, Μὴ δεῖν ἐν τοῖς σαββάτοις καὶ ταῖς Κυριακαῖς τῆς Τεσσαρακοστῆς νηστεύειν, ὠὰ καὶ τυρὸν ἐν αὐταῖς ἤσθιον. Τοῦτο οὖν διορθουμένη ἡ σύνοδος, ἀπαγορεύει τὸ ταῦτα ἐσθίειν, λέγουσα, ὅτι, ὥσπερ ἀπεχόμεθα παντοίου θυτοῦ, ζώων δηλαδὴ θυομένων, ἤτοι σφαζομένων, οὕτω καὶ τῶν ἐξ αὐτῶν γινομένων ἀπέχεσθαι δεῖ· καὶ τοὺς μὴ τὰ διατεταγμένα ταῦτα φυλάττοντας κληρικοὺς, καθαιρεῖσθαι κελεύει· τοὺς δὲ λαϊκοὺς, ἀφορίζεσθαι.

ΒΑΛΣ. Ἐν τῷ προλαβόντι κανόνι νενομοθέτηται, μὴ νηστεύειν ἐν τοῖς σαββάτοις καὶ ταῖς Κυριακαῖς τῆς ἁγίας Τεσσαρακοστῆς. Ἀρμένιοι γοῦν καί τινες ὀρθόδοξοι, ὡς ἔοικε, πλανηθέντες ἀπὸ τοῦ τοιούτου κανόνος, κατέλυον ἐν τοῖς ῥηθεῖσι σαββάτοις, καὶ ἤσθιον ὠὰ καὶ τυρὸν, ὡς δῆθεν μὴ μετέχοντα αἵματος, ἀλλ᾽ ἐοικότα καρποῖς ὀπωρινοῖς. Τοῦτο οὖν διορθουμένη ἡ σύνοδος, διορίζεται, μιᾷ τάξει κατακολουθεῖν τὰς ὅλας ἐκκλησίας τοῦ Θεοῦ, καὶ πάντας ἀπέχεσθαι θυτοῦ παντοίου, ὅτι καὶ τὰ ὠὰ, καὶ οἱ τυροὶ* (3), κἂν καρποὶ λογίζωνται, ἀλλ᾽ ἐπεὶ τὰ ἐξ ὧν ταῦτα γεγόνασιν οὐκ ἐσθίομεν,

---

(1) τῶν νηστειῶν ἡμέραις Σ. Ρ. — (2) παντὸς Βευερ. — (3) Χ. Τρ.

οὐδὲ εἰς αὐτὰ καταλύειν ὀφείλομεν. Τοὺς μέν τοι μὴ φυλάττοντας τὰ διατεταγμένα, κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι παρακελεύεται ὁ κανών· λαϊκοὺς δὲ, ἀφορίζεσθαι. Καὶ πάντως τῷ αὐτῷ ἐπιτιμίῳ ὑπόκεινται καὶ οἱ διὰ τυροῦ καὶ ὠοῦ καταλύοντες εἰς τὰς ὅλας τετράδας καὶ παρασκευὰς, ὅτι νενομοθέτηται κατὰ ταύτας νηστεύειν τοὺς πιστοὺς, ὥσπερ καὶ εἰς τὴν τεσσαρακονθήμερον νηστείαν.

ΑΡΙΣΤ. Οἱ Ἀρμένιοι ὠὰ καὶ τυρὸν τοῖς τῆς Τεσσαρακοστῆς ἐσθίουσι σάββασιν. Ὥρισται τοίνυν, πᾶσαν τὴν οἰκουμένην καὶ τούτων ἀπέχεσθαι· εἰ δὲ μὴ (1), ἀφορίζεσθαι.

Κανὼν ΝΖʹ.

Ὅτι οὐ χρὴ ἐν τοῖς θυσιαστηρίοις (2) μέλι, καὶ γάλα προσφέρεσθαι (3).

—

ΖΩΝΑΡ. Τοῦτο καὶ ὁ τρίτος κανὼν τῶν ἁγίων Ἀποστόλων κεκώλυκε, τῷ μέλιτι καὶ τῷ γάλακτι καὶ ἕτερα εἴδη συναπαριθμησάμενος.

ΒΑΛΣ. Περὶ τούτου πλατέως ἐγράψαμεν ἐν τῷ γʹ. κανόνι τῶν ἁγίων Ἀποστόλων, καὶ οὐ χρὴ περὶ τῶν αὐτῶν παλιλλογεῖν. Ζήτει καὶ τὸν κηʹ. κανόνα τῆς παρούσης συνόδου.

ΑΡΙΣΤ. Ἐν τῷ θυσιαστηρίῳ οὐ χρὴ μέλι καὶ γάλα προσφέρεσθαι. Σαφής.

Κανὼν ΝΗʹ.

Μηδεὶς τῶν ἐν λαϊκοῖς τεταγμένων ἑαυτῷ τῶν θείων μυστηρίων μεταδιδότω, παρόντος ἐπισκόπου, ἢ πρεσβυτέρου, ἢ διακόνου. Ὁ δέ τι τοιοῦτο τολμῶν, ὡς παρὰ τὰ διατεταγμένα ποιῶν, ἐπὶ ἑβδομάδα μίαν ἀφοριζέσθω, ἐντεῦθεν παιδαγωγούμενος, μὴ φρονεῖν παρ' ὃ δεῖ φρονεῖν.

—

ΖΩΝΑΡ. Τὸ μεταχειρίζεσθαι τὰ ἅγια, καὶ ἑτέροις αὐτῶν με-

(1) πάντως Β. — (2) Π. Χ. Τρ. Βρ. Σ. Ρ. — ἐντὸς θυσιαστηρίου Βευερ.
(3) Π. Χ. Τρ. Βρ. — προσφέρειν Βευερ.

ταδιδόναι, τοῖς ἱερωμένοις δέδοται. Ὁ δὲ ἄνευ ἀνάγκης, παρόντος δηλονότι ἱερωμένου, μεταχειρίζεσθαι ταῦτα τολμῶν, καὶ ἑαυτῷ τούτων μεταδιδόναι, ἱερωσύνης αὐτῷ δοκεῖ περιτιθέναι ἀξίωμα· τοῦτο δὲ οἴησιν ἐκείνῳ προσμαρτυρεῖ. Διὸ καὶ ἀφορισμῷ μιᾶς ἑβδομάδος κολάζεται· ἵνα μάθῃ, φησὶ, μὴ φρονεῖν, παρ' ὃ δεῖ φρονεῖν· ἵνα ταπεινωθῇ, καὶ ἐπιγνῷ ἑαυτὸν, καὶ μὴ τοῖς ὑπὲρ αὐτὸν ἐγχειρῇ.

ΒΑΛΣ. Ἄλλοι μὲν κανόνες διάφοροι ἐκώλυσαν παρὰ λαϊκῶν τὰ ἅγια μυστήρια μεταχειρίζεσθαι, καὶ ἢ ἑτέροις μεταδιδόναι αὐτῶν, ἢ ἑαυτοῖς· ὅτι ἐπισκόποις, καὶ ἱερεῦσι, καὶ διακόνοις τὸ τοιοῦτον ἐπεχαρίσθη ἀξίωμα. Ὁ δὲ παρὼν κανὼν τὰ αὐτὰ ἐκείνοις παρακελευόμενος, καὶ ἀφορισμῷ καθυποβάλλων ἐπὶ ἑβδομάδα μίαν τὸν παρὰ τὰ διατεταγμένα ποιοῦντα, προστίθησιν, ὡς τότε ταῦτα ὁ λαϊκὸς οὐ τολμήσει ποιῆσαι, ὅτε πάρεστιν ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, δυνάμενος μεταχειρίσασθαι (1) τὰ ἅγια. Λέγουσι γοῦν τινες ἐξ ἀντιδιαστολῆς, ὡς, ὅταν οὐ πάρεστί τις ἐξ αὐτῶν, διὰ προκειμένην ἀνάγκην, καλῶς μεταδώσει τις ἑαυτῷ τῶν θείων ἁγιασμάτων· ἐμοὶ δὲ οὐ δοκεῖ· τοιοῦτον γὰρ τολμηθῆναι ἀπὸ ἑρμηνείας καὶ ἀντιδιαστολῆς οὐκ ἐκχωρηθήσεται. Οἱ μέντοι Λατῖνοι ἄζυμα διηνεκῶς ἐγκόλπια φέροντες (2), καὶ λαϊκοὶ ὄντες, οὐ μόνον ἑαυτοῖς τούτων μεταδιδόασιν ὡς ἁγιασμάτων, ἀλλὰ καὶ ἑτέροις.

ΑΡΙΣΤ. Λαϊκὸς οὐ μεταδίδωσιν ἑαυτῷ· εἰ δὲ μὴ, ἑπταήμερον ἀφορίζεται.

Οὐ δεῖ λαϊκὸν ἑαυτῷ τῶν θείων μυστηρίων μεταδιδόναι, παρόντος ἐπισκόπου, ἢ πρεσβυτέρου, ἢ διακόνου· τὸν δὲ τοιοῦτον ποιοῦντα, ὥρισεν ἡ σύνοδος ἐπὶ ἑβδομάδα μίαν ἀφορίζεσθαι, ἵνα παιδαγωγηθῇ μὴ φρονεῖν, παρ' ὃ δεῖ φρονεῖν.

Κανὼν ΝΘ'.

Μηδαμῶς ἐν εὐκτηρίῳ οἴκῳ, ἔνδον οἰκίας τυγχάνοντι, βάπτισμα ἐπιτελείσθω· ἀλλ' οἱ μέλλοντες ἀξιοῦσθαι τοῦ

---

(1) Χ. Τρ. — μεταχειρισθῆναι Βευερ. Ἐ. — (2) ἐν κόλπῳ περιφέροντες Χ. Τρ.

ἀχράντου φωτίσματος (1), ταῖς καθολικαῖς προσερχέσθωσαν ἐκκλησίαις, κἀκεῖσε τῆς δωρεᾶς ταύτης ἀπολαυέτωσαν. Εἰ δέ τις ἄλλως τὰ παρ' ἡμῶν ὁρισθέντα μὴ φυλάττων, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΖΩΝΑΡ. Ὁ μὲν κανὼν οὗτος καθάπαξ ἔοικε κωλύειν τὸ γίνεσθαι βάπτισμα ἐν εὐκτηρίῳ ἐντὸς οἴκου ὄντι, καὶ τὸν τοῦτο τολμήσαντα ἱερωμένον καθαιρεῖ, λαϊκὸν δὲ, ἀφορίζει. Ὁ δὲ δωδέκατος κανὼν τῆς πρώτης καὶ δευτέρας συνόδου, τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης, ἀποκεκληρωμένους εἶναι βούλεται τοὺς ἐν εὐκτηρίῳ λειτουργοῦντας ἔνδον οἰκίας ὄντι, ἀντὶ τοῦ, ὡρισμένους, ἐκκεχωρημένους παρὰ τοῦ κατὰ τόπον ἐπισκόπου. Τοῦτο οὖν ἐξ ἀμφοῖν τῶν κανόνων τούτων καταλαμβάνεται, ὅτι οὔτε πάντη ἐκεκώλυτο τὸ ἱερουργεῖν ἐν εὐκτηρίῳ τοιούτῳ, καὶ βαπτίζειν, οὔτε παντὶ ἐπετέτραπτο· ἀλλ' ὡρισμένους καὶ ἐγνωσμένους ἤθελον οἱ Πατέρες εἶναι τοὺς μέλλοντας ἐν εὐκτηρίοις ἱερουργεῖν, καὶ παρ' ἐκείνους, ἑτέρῳ μὴ ἐξεῖναι τοῦτο ποιεῖν, μηδὲ τῷ ἑκάστου ἱερέως βουλήματι τοῦτο ἄνετον εἶναι· παρὰ τοῦ ἐπισκόπου δὲ τῆς χώρας λαμβάνειν τὴν ἐκχώρησιν. Τοὺς δὲ ἐξ οἰκείας ὁρμῆς τοῦτο ποιοῦντας, καθαιρεῖσθαι· καὶ τοὺς μετασχόντας τῆς κοινωνίας αὐτῶν ἀφορίζεσθαι. Καὶ ὁ τριακοστὸς πρῶτος κανὼν τῆς ἕκτης συνόδου ταύτης, κατὰ γνώμην τοῦ ἐπισκόπου ἱερουργεῖν καὶ βαπτίζειν ἐν εὐκτηρίῳ τοιούτῳ οἴκῳ προστάσσει.

ΒΑΛΣ. Τὰ εἰς τὴν ἑρμηνείαν τοῦ παρόντος κανόνος γεγραμμένα σημείωσαι, καὶ πρόσχες μᾶλλον ταῖς νεαραῖς τοῦ Φιλοσόφου, καὶ μὴ τῷ παρόντι κανόνι, χάριν τῶν γινομένων βαπτισμάτων εἰς τὰ εὐκτήρια (2).

Ἑτέρα ἑρμηνεία.

Τοὺς ἐν εὐκτηρίῳ οἴκῳ, καὶ μὴ ἐν καθολικαῖς ἐκκλησίαις, βαπτίζοντας ἱερεῖς, καθαιρεῖσθαί φησιν ὁ κανών· καὶ τοὺς συμ-

---

(1) βαπτίσματος Σ. Ῥ. — (2) Ἡ Σημείωσις αὕτη κεῖται ἐν τῷ περισελίδῳ τοῦ Χ. Τρ.

πράττοντας αὐτοῖς, κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἀφορίζεσθαι. Ὁ δὲ ιϐ'. κανὼν τῆς ά. καὶ ϐ'. συνόδου, τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης, παρομοίως κολάζεσθαί φησι τοὺς τοιοῦτόν τι ποιοῦντας παρὰ γνώμην τῶν ἐπισκόπων· ὥςε κατὰ γνώμην ἐπισκοπικὴν καὶ πρὸ τούτου τοιαῦτα ἐγίνοντο. Ζήτει καὶ τὸν λά. κανόνα τῆς παρούσης συνόδου, καὶ τὰς ἐκεῖσε καταστρωθείσας νεαρὰς τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, ἤγουν τὴν δ'. καὶ τὴν έ, καὶ μάθῃς, ὅτι διὰ τούτων ἐξεχωρήθη τὸ ἐν εὐκτηρίοις οἴκοις ἱερουργεῖν καὶ βαπτίζειν.

ΑΡΙΣΤ. Ἐν εὐκτηρίοις οἴκοις ἔνδον οἴκου οὐκ ἐπιτελέσουσι βάπτισμα· ὁ δὲ μὴ φυλάξας, κληρικὸς μὲν, καθαιρεῖται· λαϊκὸς δὲ, ἀφορίζεται.

Τὸ μὲν ἐν εὐκτηρίῳ οἴκῳ, ἔνδον οἰκίας τυγχάνοντι, λειτουργεῖν μετὰ γνώμης τοῦ κατὰ χώραν ἐπισκόπου, ὁ τριακοστὸς πρῶτος κανὼν τῆς παρούσης συνόδου προετρέψατο· κἂν ὁ πεντηκοστὸς ὄγδοος κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου τοῦτο ἐκώλυσε γίνεσθαι παρὰ ἐπισκόπων, ἢ πρεσβυτέρων. Τὸ δὲ βάπτισμα τελεῖσθαι ἐν εὐκτηρίοις τοιούτοις οἴκοις ὁ παρὼν ἀπαγορεύει κανὼν, καὶ προστάττει, τοὺς μέλλοντας ἀξιοῦσθαι τοῦ θείου φωτίσματος, ταῖς καθολικαῖς ἐκκλησίαις προσέρχεσθαι, καὶ ἐν αὐταῖς τῆς δωρεᾶς ταύτης ἀπολαύειν· εἰ δὲ μὴ, τὸν παραβαίνοντα τὰ ὁρισθέντα, εἰ μὲν κληρικὸς, καθαιρεῖσθαι· εἰ δὲ λαϊκὸς, ἀφορίζεσθαι.

Κανὼν Ξ'.

Τοῦ Ἀποστόλου βοῶντος (1), ὅτι ὁ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστι, πρόδηλον, ὡς καὶ ὁ τῷ ἐναντίῳ ἑαυτὸν οἰκειῶν, ἓν γίνεται τῇ πρὸς αὐτὸν συναφείᾳ. Τοὺς τοίνυν δαιμονᾷν ὑποκρινομένους, καὶ τρόπων φαυλότητι προσποιητῶς τὰ ἐκείνων σχηματιζομένους, ἔδοξε τρόπῳ ἐπιτιμᾶσθαι παντὶ, καὶ τοιαύταις αὐτοὺς σκληραγωγίαις, καὶ πόνοις ὑποβάλλειν, οἷς ἂν οἱ ἀληθῶς δαιμονῶντες

1) Ά. Κορ. ς', 17.

πρὸς ἀπαλλαγὴν τῆς τοῦ δαίμονος ἐνεργείας (1), ἀξίως ὑποβάλλοιντο.

—

ΖΩΝΑΡ. Τινὲς προσποιούμενοι δαιμονᾷν, εἰς πόρον κέρδους τῇ ὑποκρίσει ταύτῃ ἐκέχρηντο, ᾗ καὶ νῦν (2) κέχρηνται. Τοῦτο κωλύει ὁ κανὼν οὗτος, καὶ τοὺς σχηματιζομένους τοιαῦτα, ἐπιτιμᾶσθαι ὁρίζει· καὶ οὐχ ἁπλῶς ἐπιτιμᾶσθαι, ἀλλὰ βαρύτερον, καὶ σκληραγωγίαις αὐτοὺς, καὶ πόνοις ὑποβάλλεσθαι τοιούτοις, οἵοις ἂν οἱ ἀληθῶς δαιμονῶντες ὑποβληθεῖεν, ἵν' ἀπαλλαγεῖεν τοῦ δαίμονος. Λέγει γὰρ, ὅτι, διὰ τρόπων φαυλότητα τῷ δαίμονι προσοικειοῦντες ἑαυτοὺς, ἓν γίνονται τῇ πρὸς αὐτὸν συναφείᾳ· καὶ ἐπάγει μαρτυρίαν ἐκ τοῦ μεγάλου Παύλου λέγοντος· Ὁ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστιν.

ΒΑΛΣ. Τοὺς σχηματιζομένους δαιμονᾷν διὰ πορισμὸν κέρδους, καὶ κηρύσσοντας μετὰ φαύλου συνειδότος σατανικοῦ δαιμονιώδη τινὰ, κατὰ τὰς τῶν Ἑλλήνων προφήτιδας, ὁ κανὼν ἐπιτιμᾶσθαι ὁρίζει, ἤγουν τιμωρεῖσθαι, καὶ σκληραγωγίαις, καὶ πόνοις ὑποβάλλεσθαι τοιούτοις, οἷς ἂν οἱ ἀληθῶς δαιμονῶντες ὑποβληθεῖεν, ἵνα ἀπαλλαγεῖεν τοῦ δαίμονος. Φησὶ δὲ, καὶ τὴν προσποίησιν αὐτῶν τοὺς δαίμονας οἰκειοῦσθαι, *καθὼς τοῦτό φησι καὶ ὁ μέγας Παῦλος, λέγων· Ὁ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐςιν, ὡς εἶναι δοῦλον καὶ τὸν κολλώμενον τῷ Σατανᾷ, καὶ τὸν τὰ αὐτοῦ ἔργα ὑποκρινόμενον ἓν σῶμα γίνεσθαι μετ' αὐτοῦ· καὶ τὰ μὲν τοῦ κανόνος τοιαῦτα* (3). Ἐγὼ δὲ βλέπων πολλοὺς τοιούτους τὰς πόλεις περιερχομένους, καὶ μὴ κολαζομένους, ἀλλὰ καὶ ὡς ἡγιασμένους ἀγκαλιζομένους παρά τινων, ζητῶ μαθεῖν τὴν αἰτίαν, καὶ ἐξαιτῶ τὴν διόρθωσιν. Τὸν μέν τοι Σταυράκιον (4) ἐκεῖνον τὸν Ὀξεοβάφον, τὸν ὡς ἀληθῶς δίκαιον, ὑποκρινόμενον τὴν διὰ Θεὸν μωρίαν διὰ τοὺς ἀπατεῶνας, μετὰ τῶν ὑποκριτῶν ἐθέμην κατὰ ἄγνοιαν. Παρομοίως δ' ἐμοὶ καὶ ἕτεροι ἴσως

---

(1) Π. Χ. Τρ. Βευερ. — ἐργασίας, ἢ μᾶλλον ἐνεργείας Βρ. — (2) ἢ καί τινες Χ. Τρ. — (3) Ἅπασα αὕτη ἡ περικοπὴ ἀπὸ τοῦ, καθὼς τοῦτό φησι καὶ ὁ μέγας Παῦλος, οὐ κεῖται παρὰ Βευερ. ἢ Ἑ. ἀλλ' ἔστιν ἀνέκδοτος ἐν Χ. Τρ. Ἀναγινώσκεται δὲ ἐν τῇ λατινικῇ μεταφράσει, παρὰ Ἑ. — (4) Χ. Τρ. — Σαυράκιον Ἑ. Βευερ.

ἐκριματίσθησαν. Ἔδει οὖν τὰ τοιαῦτα κωλυθῆναι κατὰ τὸν παρόντα κανόνα, ἵνα μὴ καὶ οἱ ἀγαθοὶ διὰ τοὺς φαύλους ἐπιτιμῶνται. Πολλοὶ γάρ εἰσι τρόποι σωτηρίας ψυχῆς· καὶ δύναταί τις δι' αὐτῶν σωθῆναι, σκανδάλου δίχα παντός. Ταῦτα δὲ λέγω οὐκ οἴκοθεν, ἀλλ' ἐξ ἀφηγήσεως καλῶν ἀνθρώπων, πλασαμένων μὲν τὴν τοιαύτην θεάρεστον δῆθεν διαγωγὴν, καταγνόντων δὲ ταύτης ὡς ἐπωλέθρου, καὶ καταγούσης εἰς σατανικὴν μερίδα. Διά τοι τοῦτο καὶ διάφοροι ἁγιώτατοι πατριάρχαι, πολλοὺς προσκαθημένους μετὰ ἁλύσεων ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Νικήτα, καὶ ἑτέρους τὰς τριόδους περιερχομένους, καὶ προσποιουμένους δαιμονᾷν, κατέσχον μετ' αὐθεντίας, καὶ εἰς δημοσίας φρουρὰς κατέκλεισαν ἀκολούθως τῷ κανόνι.

ΑΡΙΣΤ. Εἴ τις ὑποκρίνεται δαιμονᾷν, τὰ τῶν δαιμονώντων ἐπιτίμια ὑποστήσεται.

Εἰ ὁ κολλώμενος τῷ Κυρίῳ, κατὰ τὸν Ἀπόστολον, ἓν πνεῦμά ἐστι, πρόδηλον, ὡς ὁ τῷ διαβόλῳ ἑαυτὸν οἰκειῶν, ἓν γίνεται τῇ πρὸς αὐτὸν συναφείᾳ. Διὰ τοῦτο, τὸν ὑποκρινόμενον δαιμονᾷν, καὶ τὰ ἐκείνων πράττειν σχηματιζόμενον, τοιαύταις αὐτὸν σκληραγωγίαις ὑποβάλλει καὶ πόνοις, ὁποίους ἂν καὶ τὸν ἀληθῶς δαιμονῶντα πρὸς ἀπαλλαγὴν τῆς τοῦ δαίμονος ἐνεργείας.

Κανὼν ΞΑ'.

Οἱ μάντεσιν ἑαυτοὺς ἐκδιδόντες (1), ἢ τοῖς λεγομένοις ἑκατοντάρχοις (2), ἤ τισι τοιούτοις, ὡς ἂν παρ' ἐκείνων μάθοιεν ὅ,τι (3) ἂν αὐτοῖς ἐκκαλύπτεσθαι βούλοιντο, κατὰ τὰ πρώην ὑπὸ τῶν Πατέρων περὶ αὐτῶν ὁρισθέντα, ὑπὸ τὸν κανόνα πιπτέτωσαν τῆς ἑξαετίας. Τῷ αὐτῷ δὲ τούτῳ ἐπιτιμίῳ (4) καθυποβάλλεσθαι δεῖ, καὶ τοὺς ἄρκτους ἐπισυρομένους (5), ἢ τοιαῦτα ζῶα, πρὸς παίγνιον καὶ βλάβην τῶν ἁπλουστέρων, καὶ τύχην, καὶ εἱμαρμένην, καὶ γενεαλογίαν,

---

(1) ἐπιδιδόντες Βρ. — (2) ἑκατοντάρχαις Σ. Ῥ. Π. Βευερ. — (3) εἴ τι Χ. Τρ. — εἴτε Βρ. — (4) Π. Βρ. Σ. Ῥ. — τὸ, ἐπιτιμίῳ, οὐ κεῖται παρὰ Βευερ. καὶ Χ. ρ. — (5) Π. Βρ. Χ. Τρ. — ἐπιφερομένους Βευερ.

καὶ τοιούτων τινῶν ῥημάτων ὄχλον, κατὰ τοὺς τῆς πλάνης λήρους φωνοῦντας, τούς τε λεγομένους νεφοδιώκτας, καὶ γητευτάς (1), καὶ φυλακτηρίους, καὶ μάντεις. Ἐπιμένοντας δὲ τούτοις, καὶ μὴ μετατιθεμένους, καὶ ἀποφεύγοντας τὰ ὀλέθρια ταῦτα καὶ ἑλληνικὰ ἐπιτηδεύματα, παντάπασιν ἀποῤῥίπτεσθαι τῆς ἐκκλησίας ὁρίζομεν, καθὼς καὶ οἱ ἱεροὶ κανόνες διαγορεύουσι. Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; ὥς φησιν ὁ Ἀπόστολος (2), ἢ τίς συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; τίς δὲ συμφώνησις Χριστῷ (3) πρὸς Βελίαρ;

ΖΩΝΑΡ. Τοὺς πιστοὺς οὐδενὶ κεχρῆσθαι δέον ἐστὶ τῶν, οἷς οἱ ἐθνικοὶ καὶ ἄπιστοι κέχρηνται, καὶ οἷς ἐκέχρηντο Ἕλληνες, μαντείαις, λέγω, καὶ γοητείαις, καὶ τοιούτοις ἄλλοις οἱοισδήτισι καλουμένοις ὀνόμασιν· οὐδὲ ζητεῖν διὰ τοιούτων μανθάνειν ἃ γνῶναι βούλονται. Φασὶ γὰρ οἱ θεοφόροι Πατέρες καὶ τῆς ἐκκλησίας διδάσκαλοι, καὶ μᾶλλον τῶν ἄλλων, ὁ θεῖος Χρυσόστομος, ὅτι, κἂν τὸ τῆς ἁγίας Τριάδος ὄνομα ἐπιλέγηται τοῖς τοιούτοις, κἂν ἁγίων γίνωνται ἐπικλήσεις, κἂν τὸ σημεῖον τοῦ θείου σταυροῦ ἐπάγηται, φεύγειν δεῖ τὰ τοιαῦτα, καὶ ἀποτρέπεσθαι. Διὸ καὶ οἱ τῆς συνόδου ταύτης Πατέρες, τοὺς τοιοῦτόν τι ποιοῦντας, ἐπὶ ἑξαετίαν ἀφορίζεσθαι διωρίσαντο· (ἀλλὰ τὸν ἀφορισμὸν ἐπὶ λαϊκῶν νοητέον· οἱ γὰρ ἱερωμένοι καθαιρεθήσονται· ἐν οἷς γὰρ πταίσμασιν οἱ λαϊκοὶ ἀφορίζονται, ἐν τούτοις οἱ ἱερωμένοι καθαιροῦνται)· ἐπιμένοντας δὲ τούτοις, καὶ τῆς ἐκκλησίας ἐκκόπτεσθαι, ἤγουν τῆς τῶν πιστῶν ὁμηγύρεως. Καὶ οὐ μόνον τὰ εἰρημένα κωλύει γίνεσθαι ὁ κανὼν, ἀλλὰ τῷ αὐτῷ ἐπιτιμίῳ ὑποβάλλει καὶ τοὺς τὰς ἄρκτους ἐπισυρομένους, ἢ τοιαῦτα ζῶα, πρὸς παίγνιον καὶ βλάβην τῶν ἁπλουστέρων. Καὶ γὰρ βάμματα ἐξαρτῶσιν αὐτῶν, καὶ τρίχας κείροντες ἐξ αὐτῶν διδόασι γυναιξὶν, ὡς φυλακτήρια, καὶ ὡς τάχα ἐν νόσοις,

---

(1) Π. Χ. Τρ. Βευερ. — γοητευτὰς Βρ. — (2) Β'. Κορ. ϛ', 14, 15.
(3) Χριστοῦ Βρ.

ἢ βασκάνοις ὀφθαλμοῖς, λυσιτελεῖν τι δυνάμενα. Αἱ δὲ ταῦτα ὡς ἀναγκαῖα λαμβάνουσαι, μισθὸν ἐκείνοις παρέχουσι, καὶ ἀξιοῦσι τὰ τέκνα αὐτῶν τοῖς νώτοις τοῦ θηρὸς ἐπιθέσθαι, ὡς δή τινων κακῶν ἀποτροπῆς ἐσομένης ἐκ τούτου τοῖς παισὶν αὐτῶν· καὶ τοὺς τύχην ὀνομάζοντας, καὶ εἱμαρμένην, καὶ γενεαλογίαν, (ταῦτα δὲ ἑλληνικῆς εἰσι φλυαρίας), ὁμοίως ἐπιτιμᾶσθαι διακελεύεται. Τίς γὰρ, φησὶ, κοινωνία φωτὶ πρὸς σκότος; καὶ τὰ τούτοις συνημμένα λοιπὰ τοῦ Ἀποστόλου ῥητά.

ΒΑΛΣ. Ἐν τῷ κέ. κεφ. τοῦ θ΄. τίτλου τοῦ παρόντος συντάγματος κατεστρώσαμεν διαφόρους νόμους περὶ μάγων, καὶ ἐπαοιδῶν, καὶ ἑτέρων τοιούτων· καὶ ἀνάγνωθι τούτους. Ὁ δὲ παρὼν κανὼν διορίζεται, μηδένα μάντεσιν, ἢ γόησι προσέρχεσθαι, ἢ τοῖς λεγομένοις ἑκατοντάρχοις, ἢ τοῖς ἐπισυρομένοις τὰς ἄρκτους, ἢ τοῖς νεφοδιώκταις, ἢ τοῖς γητευταῖς, ἢ τοῖς παρέχουσι τὰ φυλακτήρια. Εἰ δέ τις τοῦτο ποιήσει, ἐπὶ ἑξαετίαν ἀφορισθήσεται· καὶ, ἐπιμένων τῷ κακῷ, τῆς ἐκκλησίας ἐκκηρυχθήσεται, καὶ οὐκέτι μετὰ τῶν ὀρθοδόξων συναυλισθήσεται. Τίς γὰρ, φησὶ, κοινωνία φωτὶ πρὸς σκότος; καὶ τὰ ἑξῆς. Ταῦτα τοῦ κανόνος διοριζομένου, καὶ ἀποτρέποντος τὰς δαιμονιώδεις τοιαύτας ἐργασίας, ὡς ἐκ τῆς ἑλληνικῆς καὶ ἐθνικῆς ἀπιστίας καταγομένας, ζητητέον τὰ κατὰ μέρος τῷ κανόνι περιεχόμενα. Μάντεις λέγονται οἱ παλαμοσκόποι, οἱ λεκανομάντεις, οἱ διὰ θυσιῶν τὸν πατέρα αὐτῶν τὸν Σατανᾶν ἐρωτῶντες περί τινος*(1), καὶ πάντες ἁπλῶς οἱ διά τινων σημείων ἐξ ὑποθήκης δαιμονικῆς τὰ μέλλοντα βλέπειν προαιρούμενοι, καὶ τῷ δαίμονι ἑαυτοὺς παρατιθέμενοι. Ἑκατόνταρχοί εἰσιν οἱ παρ' ἡμῶν λεγόμενοι πριμμικήριοι· ἦσαν δὲ τὸ παλαιὸν ἄνθρωποι γηραλέοι, φρονιμώτεροι δῆθεν, καὶ κατὰ συμβουλὴν τῶν λοιπῶν ὑπερφέροντες, οἵτινες, διὰ τοιούτων μυσαρῶν ἐργασιῶν τοὺς ἁπλουστέρους πλανῶντες, ὡς ψευδόθεοι ἐσεβάζοντο. Ἄρκτους ἐπισύρειν λέγονται, οἱ καλούμενοι ἀρκτοτρόφοι· οἵτινες βάμματα ἐξαρτῶσι κατὰ τῆς κεφαλῆς καὶ τοῦ ὅλου σώματος τοῦ ζώου, καὶ τρίχας κείροντες ἐκ τούτου, διδόασι ταύτας σὺν τοῖς βάμμασιν,

(1) Χ. Τρ. — οὐ κεῖται παρὰ Βευερ.

ὡς φυλακτήρια, καὶ ὡς δυναμένας λυσιτελεῖν ἐν νόσοις, καὶ ἐν βασκάνοις ὀφθαλμοῖς. Ἄλλοι δὲ τοὺς ὄφεις ἐγκολπιζόμενοι, οἱ καὶ Ἀθίγγανοι λεγόμενοι, τὸν μὲν, φασὶ γεννηθῆναι εἰς ἡμέραν κακοποιὸν, τὸν δ' αὖ, εἰς ἀστέρα ἀγαθόν· καὶ εὐτυχίας, καὶ δυστυχίας γενησομένας ἀπαγγέλλουσι· καὶ ἄλλα τινὰ φλυαροῦσι, μηδὲ γραφῇ παραδοθῆναι ἄξια. Νεφοδιῶκται λέγονται, οἱ ἐκ τῶν νεφῶν προμηνύοντες δῆθεν τὰ τοῖς πολλοῖς ἄγνωστα· τινὲς γὰρ βλέποντες τὰ νέφη, καὶ μᾶλλον, ὅτε, δύνοντος τοῦ ἡλίου, γίνονται πυρωδέστερα, φλυαροῦσιν ἐκ τούτων μανθάνειν ἀλήθειαν. Ἐκ τοῦδε μὲν γὰρ τοῦ νέφους, ἐοικότος περιστερᾷ, περίστασιν λέγουσι τῷ ἐρωτῶντι ἐπελθεῖν· ἐξ ἑτέρου, ἐοικότος ἀνθρώπῳ σπάθην ἐπιφερομένῳ, πόλεμον προμηνύουσιν· ἐξ ἄλλου, ἐοικότος λέοντι, βασιλικῶν προσταγμάτων προλέγουσιν ἐνέργειαν, καὶ ἄλλα τινὰ ἀλλόκοτα ἀποφοιβάζουσι φλυαρήματα. Γητευτὰς δὲ πόσους ἂν ἴδοις, λέγοντας θειά τινα ψαλμῳδήματα, καὶ μεμνημένους καὶ ὀνομάτων μαρτυρικῶν, ἢ καὶ αὐτῆς τῆς ὑπεραγίας Θεοτόκου; ἃ πάντα οἱ θεοφόροι Πατέρες καὶ τῆς ἐκκλησίας διδάσκαλοι φεύγειν διορίζονται, καὶ μᾶλλον τῶν ἄλλων ὁ θεῖος Χρυσόστομος, λέγων εἰς τοὺς ἀνδριάντας ταῦτα ῥητῶς· Οὐ περίαπτα δὲ μόνον, ἀλλὰ καὶ ἐπῳδὰς αὐτῶν περιάγεις, γραΐδια μεθύοντα, καὶ παραπαίοντα εἰς τὴν οἰκίαν σαυτοῦ εἰσάγων, καὶ οὐκ αἰσχύνῃ, οὐδ' ἐρυθριᾷς μετὰ τοσαύτην φιλανθρωπίαν πρὸς ταῦτα ἐπτοημένος· καὶ τὸ χαλεπώτερον τῆς ἀπάτης, ὅταν καὶ παραινούμενος ταῦτα μὴ ποιεῖν, δοκῶν ἀπολογεῖσθαι, φής· Χριστιανή ἐςιν ἡ γυνὴ ἡ ταῦτα ἐπᾴδουσα, καὶ οὐδὲν ἕτερον φθέγγεται, ἢ τὸ τοῦ Θεοῦ ὄνομα. Διὰ τοῦτο μὲν οὖν αὐτὴν μάλιστα μισῶ καὶ ἀποστρέφομαι, ὅτι τοῦ Θεοῦ τῷ ὀνόματι κατακέχρηται, ὅτι, λέγουσα Χριστιανὴ εἶναι, τὰ τῶν Ἑλλήνων ἐπιδείκνυται· καὶ γὰρ οἱ δαίμονες τῷ τοῦ Θεοῦ ὀνόματι ἐφθέγγοντο, ἀλλ' ἦσαν δαίμονες· καὶ οὕτως ἔλεγον πρὸς τὸν Χριστόν· Οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ· καὶ ὅμως ἐπεστόμισεν αὐτοὺς, καὶ ἀπήλασε. Φυλακτήριοι δὲ λέγονται, οἱ κατὰ ἀπάτην δαιμονικὴν διδόντες τοῖς ὑπ' αὐτῶν ἀπατωμένοις δέματά τινα ἐκ σηρικῶν νημάτων ὑφασμένα, καὶ

πουγγία λεγόμενα, ἔχοντα ἔσωθεν ποτὲ μὲν γραφὰς, ποτὲ δὲ ψευδῆ τινα ἕτερα, τὰ παρατυχόντα· καὶ λέγοντες, ὀφείλειν ταῦτα διηνεκῶς ἐκ τῶν τραχήλων τῶν λαμβανόντων αὐτὰ ἐξαιωρῆσθαι, εἰς φυλακὴν παντὸς κακοῦ. Εἴ περ οὖν εἶχον καιρὸν ἀφηγήσασθαι, ὅσα εἶδον τοιαῦτα συνοδικῶς ἐκδικηθέντα, μεγάλην ἂν τὴν περὶ τούτων ἐποιησάμην ἀφήγησιν· εἰρήσεται δὲ ὀλίγα. Αὐτίκα πρῶτός τις τοῦ Ὁσίου περὶ τοιούτων τινῶν κατηγορηθεὶς, εὑρέθη ἐπ' αὐτοφώρῳ ἐγκόλπιον ἔχων ἔνδυμα νεογεννοῦς παιδίου, καὶ εἶπε τοῦτο δοθῆναι αὐτῷ παρά τινος γυναικὸς εἰς ἀποτροπὴν καὶ ἐπιστομισμὸν τῶν ἐπιχειρούντων κατ' αὐτοῦ λέγειν· διὸ καὶ καθοσιώσει ὑπέπεσεν. Ἕτερος ἱερεὺς αἰτιαθεὶς, ὡς ἐπιδοὺς τὸν ἅγιον ἄρτον τῆς μεγάλης πέμπτης διαφόροις γυναίοις καὶ ἀνδράσιν, ἐφ' ᾧ ἐλεγχθῆναι τὸν ἀποσυλήσαντα τόδε τι πρᾶγμα, ἐκ τοῦ μὴ ῥᾳδίως τοῦτον καταπιεῖν, καθαιρέσεως ποτήριον ἔπιε. Καὶ ἄλλος ἱερεὺς, μετὰ εὐαγγελίου ξύλῳ συνδεδεμένου, καὶ κυκλικῶς περιςρεφομένου, κατηγορηθεὶς ἐρωτήσεις ποιεῖν περί τινων ὑποθέσεων διὰ ψαλμῶν Δαβιτικῶν, καὶ διὰ τοῦτο πολλοὺς ἀναιτίως εἰς μεγάλας ὀχλήσεις ἀγαγὼν, ἀσύγγνωστος ἔμεινε. Μοναχοὶ δὲ πολλοὶ, καὶ ταῦτα καθηγηταὶ, συνοδικῶς ἐκολάσθησαν, ὅτι προσῆλθον γυναιξί τισι, μετὰ κριθαρίων ἀπαγγελλούσαις τὰ παρά τινων ἀγνοούμενα. Τοιαῦταί εἰσι καὶ αἱ λεγόμεναι κρίτριαι, αἱ ταῖς ἐκκλησίαις καὶ ταῖς ἁγίαις εἰκόσι προσεδρεύουσαι, καὶ κηρύσσουσαι ἐκ τούτων μανθάνειν τὰ μέλλοντα, καὶ προλέγουσαι, ὡσεί τινες ἔχουσαι Πύθωνος πνεῦμα, τὰ μέλλοντα (1). Γίνωσκε δὲ, ὅτι ὁ παρὼν κανὼν τοὺς προσερχομένους τούτοις, ὡς εἴρηται, κολάζει· ἄλλοι δὲ κανόνες καὶ οἱ καταστρωθέντες νόμοι ἐν τῷ κέ. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, οὐ μόνον τούτους, ἀλλὰ καὶ τοὺς πρωταιτίους καὶ αὐτουργοὺς μεγάλως κολάζουσιν. Ἀκούων δὲ ἐπὶ ἑξαετίαν κολάζεσθαι τοὺς προσελθόντας τοιούτοις τισὶ, λέγε τούτους λαϊκούς· οἱ γὰρ ἱερωμένοι καθαιρεθήσονται. Σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ὁ μὲν ἁμαρτάνων, καὶ ἐπιστρέφων

(1) Χ. Τρ. — τὰ ἀγνοούμενα Βευερ. Ἐ.

συγγινώσκεται, καὶ μετρίως κολάζεται· ὁ δὲ ἐπιμένων τῷ κακῷ, καὶ ἄκων πρὸς τὸ βέλτιον μεταῤῥυθμιζόμενος, μεγάλως κολάζεται· καὶ ἐνταῦθα γὰρ, ὁ μὲν προσελθὼν καὶ ἐξομολογούμενος τὸ ἁμάρτημα δι' ἀφορισμοῦ ἑξαετοῦς κολασθήσεται, ἢ καὶ συμπαθέστερον, κατὰ τὸ δόξαν τῷ ἐπισκόπῳ· ὁ δὲ ἐπιμένων τῷ κακῷ, ἐκκήρυκτος τῆς ἐκκλησίας γενήσεται. Ἐπεὶ δὲ ἤκουσά τινος λέγοντος, ὀφείλειν συγγινώσκεσθαι τοὺς χάριν θεραπείας σωματικῆς, ἢ ἑτέρου τινὸς σωτηριώδους, τοιαῦτα πράττοντας, λέγω, ὅτι τῆς τοῦ δαίμονος μεθοδίας καὶ τοῦτό ἐςιν· ὁπωσδήποτε γὰρ χρᾶσθαι τοιούτῳ τινὶ ὀλεθριώτατόν ἐστι· καὶ ἀνάγνωθι τοὺς καταστρωθέντας νόμους εἰς τὸ σχόλιον τοῦ κέ. κεφ. τοῦ θ'. τίτ. τοῦ παρόντος συντάγματος, καὶ τὴν ξέ. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Φιλοσόφου, διοριζομένην περὶ τὸ τέλος ταῦτα ῥητῶς· Εἴ τις δὲ ὅλως τοιαῦτα φωραθείη μαγγανευόμενος, εἴτε προφάσει τῆς σώματος θεραπείας, εἴτε ἀποτροπῆς τῆς τῶν καρπίμων βλάβης, τὴν ἐσχάτην εἰσπραττέσθω ποινὴν, τὴν τῶν ἀποστατῶν κόλασιν ὑφιστάμενος.

ΑΡΙΣΤ. Ὃς ἑαυτὸν ἑκατοντάρχοις, ἢ δαίμοσιν ἐπιδῷ, ὥστε τι τῶν ἀποῤῥήτων μανθάνειν, ἑξαετίαν ὑποπιπτέτω. Κατὰ ταὐτὸ καὶ ὁ ἄρκτον ἐπισυρόμενος, ὁ γητευταῖς καὶ νεφοδιώκταις κολλώμενος, καὶ εἱμαρμένῃ, καὶ τύχῃ πιστεύων, τῆς ἐκκλησίας ἀποσυνάγωγος.

Τοὺς ἐξακολουθοῦντας τοῖς ἔθεσι τῶν ἐθνῶν, καὶ μάντεσιν, ἢ ἐπαοιδοῖς ἑαυτοὺς ἐκδεδωκότας, ὡς ἂν μάθωσιν ἐξ αὐτῶν ἀπόῤῥητά τινα· ὡσαύτως καὶ τοὺς ἐπισυρομένους τὰς ἄρκτους, ἢ ἕτερά τινα ζῶα πρὸς παίγνιον καὶ πλάνην τῶν ἁπλουστέρων, καὶ τύχην, καὶ εἱμαρμένην, καὶ γενεαλογίας λέγοντας, καὶ τοὺς πιστεύοντας τοῖς γοητευταῖς, καὶ τοῖς λεγομένοις νεφοδιώκταις, ὥρισεν ἡ σύνοδος ἑξαετίαν ἐπιτιμᾶσθαι· ὥστε ἐν τέσσαρσιν ἔτεσι μετὰ τῶν ὑποπιπτόντων ἵστασθαι, ἐπὶ δὲ δυσὶν ἄλλοις ἔτεσι συνίστασθαι τοῖς πιστοῖς, καὶ οὕτως ἀξιοῦσθαι τῶν θείων ἁγιασμάτων. Εἰ δὲ ἀδιόρθωτοι μένουσι καὶ μετὰ τὸ ἐπιτίμιον, καὶ τῶν ἑλληνικῶν τούτων ἐπιτηδευμάτων οὐ μετατίθενται, τῆς ἐκκλησίας παντάπασιν ἀποῤῥίπτεσθαι.

Κανὼν ΞΒʹ.

Τὰς οὕτω λεγομένας Καλάνδας, καὶ τὰ λεγόμενα Βοτὰ (1), καὶ τὰ καλούμενα Βρουμάλια, καὶ τὴν ἐν τῇ πρώτῃ τοῦ Μαρτίου μηνὸς ἡμέρᾳ (2) ἐπιτελουμένην (3) πανήγυριν, καθάπαξ ἐκ τῆς τῶν πιστῶν πολιτείας περιαιρεθῆναι βουλόμεθα. Ἀλλὰ μὴν καὶ τὰς τῶν γυναίων δημοσίας ὀρχήσεις, ὡς ἀσέμνους (4), καὶ πολλὴν (5) λύμην καὶ βλάβην ἐμποιεῖν δυναμένας, ἔτι μὴν καὶ τὰς ὀνόματι τῶν παρ' Ἕλλησι ψευδῶς ὀνομασθέντων θεῶν ἢ ἐξ ἀνδρῶν, ἢ (6) γυναικῶν γινομένας ὀρχήσεις, καὶ τελετὰς, κατά τι ἔθος παλαιὸν, καὶ ἀλλότριον τοῦ τῶν Χριστιανῶν βίου, ἀποπεμπόμεθα, ὁρίζοντες, μηδένα ἄνδρα γυναικείαν στολὴν ἐνδιδύσκεσθαι, ἢ γυναῖκα τὴν (7) ἀνδράσιν ἁρμόδιον. Ἀλλὰ μήτε προσωπεῖα κωμικὰ, ἢ σατυρικὰ, ἢ τραγικὰ ὑποδύεσθαι· μήτε τὸ τοῦ βδελυκτοῦ Διονύσου ὄνομα, τὴν σταφυλὴν ἐκθλίβοντας (8) ἐν ταῖς (9) ληνοῖς, ἐπιβοᾷν· μηδὲ τὸν οἶνον ἐν τοῖς πίθοις ἐπιχέοντας γέλωτα ἐπικινεῖν (10), ἀγνοίας τρόπῳ, ἢ ματαιότητος (11), τὰ τῆς δαιμονιώδους (12) πλάνης ἐνεργοῦντας. Τοὺς οὖν ἀπὸ τοῦ νῦν τι τῶν προειρημένων ἐπιτελεῖν ἐγχειροῦντας, ἐν γνώσει τούτων καθισταμένους, τούτους, εἰ μὲν κληρικοὶ εἶεν, καθαιρεῖσθαι προστάσσομεν· εἰ δὲ λαϊκοὶ, ἀφορίζεσθαι.

—

ΖΩΝΑΡ. Καλάνδαι εἰσὶν αἱ πρῶται ἑκάστου μηνὸς ἡμέραι, ἐν αἷς εἴθιστο τοῖς Ἕλλησι ποιεῖν τινας τελετάς. Καὶ τὰ Βοτὰ δὲ, καὶ τὰ Βρουμάλια ἑλληνικαὶ ἦσαν ἑορταί. Βροῦμος γὰρ ἐπί-

---

(1) Χ. Τρ. Βευερ. — Βότα Βρ. Σ. Ῥ. — (2) τὸ, ἡμέρᾳ, οὐ κεῖται παρὰ Π. — (3) τελουμένην Βρ. — (4) Σ. Ῥ. — οὐ κεῖται παρ' ἄλλοις. — (5) πολλὴν, ἄνευ τοῦ, καὶ, Βρ. — (6) Π. Σ. Ῥ. — καὶ, Χ. Τρ. Βευερ. — (7) Π. Χ. Τρ. — τοῖς, Βρ. — (8) ἀποθλίβοντας Χ. Τρ. Βρ. Βευερ. — (9) Π. Βευερ. Χ. Τρ. — ἐν τοῖς, Βρ. — (10) τὸ, γέλωτα ἐπικινεῖν, οὐκ ἀναγινώσκεται παρὰ Μάνσῃ. — (11) ματαιότητι Βρ. — (12) τὰ τῆς μανιώδους Βρ.

θετον ἦν τῷ Διονύσῳ· καὶ τ' ἄλλα ὁμοίως, ἃ πάντα κωλύουσι γίνεσθαι οἱ Πατέρες παρὰ τῶν πιστῶν. Εἴργουσι δὲ καὶ τὰς τῶν γυναικῶν δημοσίας ὀρχήσεις, ὡς εἰς ἀκολασίας ἐρεθισμὸν τοῖς θεωμένοις αὐτὰς, καὶ ὅσα τοῖς Ἕλλησιν ἐπράττοντο ἐξ ἀνδρῶν, ἢ γυναίων, ὀνόματι τῶν ψευδωνύμων θεῶν αὐτῶν· καὶ μὴ κεχρῆσθαι κελεύουσι τοὺς ἄνδρας γυναικείαις στολαῖς, ἢ τὰς γυναῖκας ἀνδρῴαις, οἷα ἐποίουν οἱ τῷ Διονύσῳ βακχεύοντες· ἀλλὰ μηδὲ προσωπεῖα κωμικὰ ὑποδύεσθαι, ἢ τραγικὰ, ἢ σατυρικά. Κωμικὰ μὲν οὖν προσωπεῖά εἰσι τὰ εἰς σκώμματά τινων ἐπιτηδευόμενα· τραγικὰ δὲ, τὰ περιπαθῆ, καὶ θρήνους ἐμποιοῦντα· τὰ δὲ σατυρικὰ, τῶν ἐπὶ τῷ Διονύσῳ τελουμένων ἦσαν. Καὶ οἱ Σάτυροι γὰρ, ὡς αἱ Βάκχαι, τῆς περὶ τὸν Διόνυσον ἐμπλήκτου χορείας ἐλέγοντο εἶναι. Μήτε μὴν τὸ τοῦ Διονύσου ὄνομα ἐν ταῖς ληνοῖς ὀνομάζειν· μήτε, τοῖς πίθοις ἐγχεομένου τοῦ οἴνου, γελᾷν καὶ ἐπικαγχάζειν. Ὁ δὲ Διόνυσος, θεὸς ἐνομίζετο τοῖς Ἕλλησιν, ἔφορος τῆς μέθης, καὶ τοῦ οἴνου δοτήρ· ἃ καὶ νῦν γίνονται παρὰ τοῖς ἀγρόταις, μὴ εἰδόσιν ἃ ποιοῦσιν. Ὁ δὲ κανὼν οὗτος τοὺς μὲν ἱερωμένους καθαιρεῖσθαι προστάσσει, τοιοῦτόν τι ποιοῦντας ἐν γνώσει· τοὺς δὲ λαϊκοὺς, ἀφορίζεσθαι.

ΒΑΛΣ. Σημείωσαι τὸν παρόντα κανόνα, καὶ ζήτησον διόρθωσιν ἐπὶ τοῖς γινομένοις παρὰ τῶν κληρικῶν εἰς τὴν ἑορτὴν τῆς γεννήσεως τοῦ Χριστοῦ, καὶ τὴν ἑορτὴν τῶν Φώτων, ὑπεναντίως τούτῳ· καὶ μᾶλλον εἰς τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν. Καταλαμβάνεται γὰρ ἀπὸ τῆς χρονικῆς ἱστορίας (1) τοῦ Σκυλίτζη, ὅτι οὐδὲ ἀρχαιοπαράδοτόν ἐστι τὸ κακὸν, ἀλλ' ἐξ ἐπιτροπῆς τοῦ χρηματίσαντος πατριάρχου Κωνσταντινουπόλεως Θεοφυλάκτου, τοῦ υἱοῦ τοῦ βασιλέως κυροῦ Ῥωμανοῦ τοῦ Λεκαπηνοῦ· ἀπαριθμεῖται γὰρ ὁ τοιοῦτος ἱστορικὸς μετὰ τῶν λοιπῶν φαύλων καὶ διαφόρων (2) ἐργασιῶν τοῦ αὐτοῦ πατριάρχου καὶ τὸ τοιοῦτον κακόν. Καλάνδαι λέγονται αἱ πρῶται δέκα ἡμέραι τοῦ μηνός· νόνναι, αἱ δεύτεραι· καὶ εἰδοῖ, αἱ τρίται· ἐκλήθησαν δὲ οὕτως ἀπό τινων τριῶν Ῥωμαίων μεγιστάνων ἀνδρῶν, ἐν καιρῷ λιμοῦ τοὺς περὶ τὴν Ῥώμην ἀποθρεψάν-

(1) ἀπὸ τοῦ χρονικοῦ Χ. Τρ. — (2) Χ. Τρ. — ἀδιαφόρων Βευερ. Ε.

των (1). Εἴθιστο γοῦν παρὰ Ῥωμαίοις, εἰς μνήμην τούτων ἐτησίως πανηγυρίζειν ἑλληνικώτερον, καί τινα ἄσεμνα διαπράττεσθαι, ὅπερ καὶ μέχρι τοῦ νῦν παρά τινων ἀγροτῶν γίνεται κατὰ τὰς πρώτας ἡμέρας τοῦ Ἰανουαρίου μηνὸς, οὐ κατὰ Ῥωμαίους μεμνημένων τῶν Καλανδῶν καὶ τῶν λοιπῶν, ἀλλὰ διὰ τὸ τηνικαῦτα τὴν σελήνην ἀνακαινίζεσθαι, καὶ τὸν θεμέλιον ταύτης ψηφίζεσθαι ἀπὸ τῆς ἀρχῆς τοῦ αὐτοῦ μηνὸς, καὶ νομίζειν μετὰ εὐθυμίας τὸν ὅλον διελθεῖν αὐτοὺς ἐνιαυτὸν, ἐὰν ἐν τῇ καταρχῇ τούτου πανηγυρίσωσι. Τοιαύτη πανήγυρις ἀλλόκοτός ἐστι, καὶ τὰ λεγόμενα Ῥουσάλια, τὰ μετὰ τὸ ἅγιον Πάσχα ἀπὸ κακῆς συνηθείας ἐν ταῖς ἔξω χώραις γινόμενα. Τὰ Βοτὰ καὶ τὰ Βρουμάλια, ἑορταὶ ἦσαν Ἑλληνικαὶ, ἡ μὲν τελουμένη χάριν τοῦ ψευδωνύμου θεοῦ τοῦ Πανὸς, τοῦ ἐφορῶντος, ὡς ἐφλυάρουν οἱ Ἕλληνες, τὰ τῶν βοτῶν, ἤγουν τὰ τῶν προβάτων καὶ τῶν λοιπῶν ζώων. Ἡ δὲ χάριν τοῦ Διονύσου, τοῦ σωτῆρος, ὡς ἐκεῖνοι ἐβλασφήμουν, τοῦ οἴνου· Βροῦμος γὰρ ἦν ἐπίθετον τοῦ Διονύσου. Κατὰ δὲ τὸν Μάρτιον μῆνα ἐτελεῖτο πανήγυρις ἑλληνικὴ μεγάλη διὰ τὴν τῶν ὡρῶν καὶ τοῦ ἀέρος εὐκρασίαν· ὅτε καὶ ὀρχήσεις ἀπρεπεῖς ἐγίνοντο παρά τινων γυναίων καὶ ἀνδρῶν· ἃ πάντα (2), καὶ τὰ τούτοις ὅμοια, οἱ ἅγιοι Πατέρες ἀποτρεπόμενοι, ἐπήγαγον μηδένα ἄνδρα ὁτεδήποτε κεχρῆσθαι γυναικείᾳ στολῇ, ἢ τὸ ἀνάπαλιν· ἀλλὰ μηδὲ προσωπεῖα κωμικὰ ὑποδύεσθαι, ἢ τραγικὰ, ἢ σατυρικά· μήτε μὴν τὸ τοῦ Διονύσου ὄνομα ἐν ταῖς ληνοῖς ὀνομάζειν, μηδὲ τοῖς πίθοις ἐγχεομένου τοῦ οἴνου γελᾷν καὶ ἐπικαγχάζειν. Τοὺς δὲ τοιοῦτόν τι ἐπιχειρήσοντας ποιῆσαι μετὰ τὸ λαβεῖν εἴδησιν τοῦ κανονικοῦ διορισμοῦ (3), κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι· λαϊκοὺς δὲ, ἀφορίζεσθαι. Ζητητέον οὖν, τίνα εἰσὶ τὰ κωμικὰ προσωπεῖα, τίνα τὰ τραγικὰ, καὶ τίνα τὰ σατυρικά; Καὶ κωμικὰ μέν εἰσι, τὰ γελωτοποιὰ καὶ ἐφύβριστα, ὡς τὰ συγγραφέντα παρὰ τοῦ Ἀριστοφάνους· τραγικὰ, τὰ περιπαθῆ καὶ τὰ θρηνώδη, ὡς τὰ τοῦ Εὐριπίδου ἰαμβεῖα· καὶ σατυρικὰ, τὰ εἰς

---

(1) Χ. Τρ. — ἀποτρεψάντων Βευερ. Ἐ. — (2) Χ. Τρ. — ἅπαντα Βευερ. Ἐ. — (3) Τὸ Χ. Τρ. παραλείπει τὰς λέξεις, ποιῆσαι . . . διορισμοῦ.

ὕμνον τοῦ Διονύσου τελούμενα ὄργια παρὰ Σατύρων καὶ Βακχῶν. Ταῦτα τῶν Πατέρων διορισαμένων ἁγιοπρεπῶς, καὶ τοῦ ξδ'. κεφ. τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς, ἤτοι τοῦ ιγ'. κεφ. τοῦ ά. τίτ. τοῦ δ'. βιβλίου, παρακελευομένου ταῦτα ῥητῶς· Πᾶσι δὲ καθάπαξ τοῖς ἐν κοσμικοῖς ἀναστρεφομένοις, καὶ μάλιστα τοῖς τὰ σκηνικὰ μετερχομένοις, ἀνδράσι τε καὶ γυναιξὶ, καὶ μὴν καὶ ταῖς προϊσταμέναις, ἀπαγορεύομεν κεχρῆσθαι σχήματι μοναχοῦ, ἢ ἀσκητρίας, ἢ οἱῳδήποτε τρόπῳ τοῦτο μιμεῖσθαι· ἐπισταμένων πάντων τῶν τολμώντων ἢ χρήσασθαι τῷ τοιούτῳ σχήματι, ἢ μιμήσασθαι, ἢ ἐμπαῖξαι εἰς οἱανδήποτε ἐκκλησιαστικὴν κατάστασιν, ὅτι καὶ σωματικὰς τιμωρίας ὑποστήσονται, καὶ ἐξορίᾳ παραδοθήσονται· προνοούντων τοῦ τοιούτου οὐ μόνον τῶν κατὰ τόπον ὁσιωτάτων ἐπισκόπων, καὶ τῶν ὑπ' αὐτοὺς κληρικῶν, ἀλλὰ καὶ τῶν πολιτικῶν, καὶ στρατιωτικῶν ἀρχόντων, καὶ τῶν ὑπ' αὐτοὺς τάξεων, καὶ τῶν κατὰ τόπους ἐκδίκων. Οἱ δὲ σκηνικοὶ παντοῖα προσωπεῖα ὑποδύονται, καὶ ἀδεῶς τοὺς μοναχοὺς ἐμπαίζουσι, καὶ τοὺς κληρικούς. Ἀλλὰ καί τινες κληρικοὶ, κατά τινας ἑορτὰς, πρὸς διάφορα μετασχηματίζονται προσωπεῖα· καὶ ποτὲ μὲν, ξιφήρεις ἐν τῷ μεσονάῳ τῆς ἐκκλησίας μετὰ στρατιωτικῶν ἀμφίων εἰσέρχονται, ποτὲ δὲ, καὶ ὡς μοναχοὶ προοδεύουσιν, ἢ καὶ ὡς ζῶα τετράποδα. Ἐρωτήσας οὖν, ὅπως ταῦτα παρεχωρήθησαν γίνεσθαι, οὐδέν τι ἕτερον ἤκουσα, ἀλλ' ἢ ἐκ μακρᾶς συνηθείας ταῦτα τελεῖσθαι. Τοιαῦτά εἰσιν, ὡς ἐμοὶ δοκεῖ, καὶ τὰ παρά τινων δομεστικευόντων ἐν κλήρῳ γινόμενα, τὸν ἀέρα τοῖς δακτύλοις κατὰ ἡνιόχους τυπτόντων, καὶ φύκη τοῖς γνάθοις δῆθεν περιτιθεμένων, καὶ ὑποκρινομένων ἔργα τινὰ γυναικεῖα, καὶ ἕτερα ἀπρεπῆ, ἵνα πρὸς γέλωτα τοὺς βλέποντας μετακινήσωσι. Τὸ δὲ γελᾶν τοὺς ἀγρότας, ἐγχεομένου τοῦ οἴνου τοῖς πίθοις, ὡσεί τι παρεπόμενον ἐξ ἀνάγκης ἐστὶ τοῖς ληνοβατοῦσιν· εἰ μή τις εἴπῃ τὴν σατανικὴν ταύτην ἐργασίαν καταργεῖσθαι, διὰ τοῦ λέγειν τοὺς ἀγρότας συχνότερον ἐφ' ἑκάστῳ μέτρῳ σχεδὸν τὸ, Κύριε ἐλέησον. Τὰ μέν τοι ποτὲ γινόμενα ἀπρεπῆ παρὰ τῶν νοταρίων παιδοδιδασκάλων κατὰ τὴν ἑορτὴν τῶν ἁγίων Νοταρίων, μετὰ προσωπείων σκηνικῶν διερχομένων τὴν

ἀγοράν, πρὸ χρόνων τινῶν κατηργήθησαν, καθ᾽ ὁρισμὸν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Λουκᾶ.

ΑΡΙΣΤ. Περιαιρείσθω τῆς τῶν πιςῶν πολιτείας τὰ Βοτά, καὶ αἱ Καλάνδαι, καὶ τὰ Βρουμάλια, καὶ αἱ ὀρχήσεις αἱ εἰς θεούς, καὶ τὰ κωμικά, καὶ σατυρικά, καὶ τραγικὰ πρόσωπα, καὶ ἡ ἐπὶ ληνοῖς τοῦ Διονύσου ἐπίκλησις, καὶ ὁ ἐπὶ τοῖς πίθοις γέλως. Οἱ δὲ ἐπιμένοντες μετὰ τὸν κανόνα, ὑπεύθυνοι.

Πάντα τὰ τῆς εἰδωλικῆς [πλάνης] καὶ ματαιότητος ἐκ τῆς τῶν πιστῶν πολιτείας οἱ Πατέρες περιαιροῦντες, οὐκ ἀνέχονται τελεῖσθαι παρὰ τῶν Χριστιανῶν τὰ ἐν τῷ παρόντι κανόνι ῥητῶς ἀπηριθμημένα· ἀλλ᾽ εἰ μὲν κληρικοί εἰσιν οἱ τοιαῦτα ποιοῦντες, προστάττει καθαιρεῖσθαι· εἰ δὲ λαϊκοί, ἀφορίζεσθαι.

Κανὼν ΞΓ΄.

Τὰ ψευδῶς ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν συμπλασθέντα μαρτυρολόγια, ὡς ἂν τοὺς τοῦ Χριστοῦ (1) μάρτυρας ἀτιμάζοιεν, καὶ πρὸς ἀπιστίαν ἐνάγοιεν τοὺς ἀκούοντας, μὴ ἐπ᾽ ἐκκλησίαις (2) δημοσιεύεσθαι προστάσσομεν, ἀλλὰ ταῦτα πυρὶ παραδίδοσθαι. Τοὺς δὲ ταῦτα παραδεχομένους, ἢ ὡς ἀληθέσι τούτοις προσέχοντας, ἀναθεματίζομεν.

—

ΖΩΝΑΡ. Ὑπὸ ἀπίστων, ὡς ἔοικε, θελόντων διασύρειν τὰ τῶν Χριστιανῶν, συνεγράφησάν τινα, ὡς λεχθέντα καὶ πραχθέντα παρὰ τῶν ἁγίων μαρτύρων, ἀλλόκοτα, ἢ καὶ γελοῖα, ἵν᾽ οὕτω καταγελῷτο μὲν ἡ πίστις ἡμῶν, ὑβρίζοιντο δὲ καὶ οἱ μάρτυρες. Τὰ γοῦν τοιαῦτα οὐ μόνον ἀναγινώσκεσθαι κωλύει ὁ κανών, ἀλλὰ καὶ καίειν αὐτὰ ἀπαιτεῖ. Εἰ δέ τινες τούτοις χρῶνται πιστεύοντες ὡς ἀληθέσιν, ἀναθεματίζεσθαι κελεύει αὐτούς.

ΒΑΛΣ. Οὐκ ἔλαθε τοὺς ἁγίους Πατέρας, ὅτι πολλοὶ τῶν ἀπίστων καὶ μισοχρίστων, μὴ παραδεχόμενοι τοὺς τῶν ἁγίων

(1) τοῦ Θεοῦ Χ. Τρ. — (2) ἐπ᾽ ἐκκλησίας Βρ. Χ. Τρ.

μαρτύρων καὶ ὁμολογητῶν ἄθλους (1), ἢ καὶ καταμωκώμενοι τῶν ταῦτα δεξαμένων Χριστιανῶν, συνεπλάσαντό τινα ψευδῆ καὶ ἀλλόκοτα, καὶ ἄξια τῆς αὐτῶν κακίας, ὡς δῆθεν παρὰ τῶν μαρτύρων λαληθέντα, ἢ πραχθέντα· ἐφ' ᾧ τοὺς ἐντυγχάνοντας ἐνάγεσθαι εἰς ἀπιστίαν, ἢ γέλωτα, καὶ τοὺς ἁγίους περιϋβρίζεσθαι· διὸ καὶ ὥρισαν τὰ τοιαῦτα συγγράμματα μὴ δημοσιεύεσθαι ὅλως, ἀλλὰ καίεσθαι· τοὺς δὲ παραδεχομένους ταῦτα ἀναθεματίζεσθαι. Διὰ τὴν τοιαύτην οὖν, ὡς ἔοικεν, αἰτίαν καὶ ὁ πε'. κανὼν τῶν ἁγίων Ἀποστόλων διωρίσατο, ποῖα ὀφείλουσι βιβλία ἀναγινώσκεσθαι ἀπὸ τῆς Παλαιᾶς Διαθήκης, καὶ ποῖα ἀπὸ τῆς Νέας· καὶ τὰ λοιπὰ ὠβέλισεν ὡς νενοθευμένα. Χάρις τοίνυν τῷ μακαρίτῃ Μεταφραστῇ, τῷ τὰ μαρτυρικὰ ὑπὲρ τῆς ἀληθείας σκάμματα πολλοῖς πόνοις καὶ ἱδρῶσι κατακαλλύναντι, εἰς ὕμνον Θεοῦ, καὶ δόξαν αἰωνίζουσαν τῶν ἁγίων μαρτύρων. Ὁ ἁγιώτατος δὲ πατριάρχης ἐκεῖνος κυρὸς Νικόλαος ὁ Μουζάλων, εὑρὼν συγγραφέντα τὸν βίον τῆς ἁγίας Παρασκευῆς, τῆς ἐν τῷ χωρίῳ τῇ Καλλικρατείᾳ (2) τιμωμένης, παρά τινος χωρίτου ἰδιωτικῶς καὶ ἀναξίως τῇ ἀγγελικῇ (3) διαγωγῇ τῆς ἁγίας, ὥρισε πυρὶ παραδοθῆναι· καὶ ἐπέτρεψε (4) τῷ διακόνῳ ἐκείνῳ τῷ Βασιλικῷ συγγράψασθαι τὸν ταύτης θεάρεστον βίον.

ΑΡΙΣΤ. Τὰ ὑφ' Ἑλλήνων συμπλασθέντα μαρτυρολόγια μὴ ἐκκλησιάζοιτο.

Οὐ δεῖ ἐπ' ἐκκλησίαις ἀναγινώσκεσθαι, ἀλλὰ καὶ πυρὶ παραδίδοσθαι, τὰ πρὸς ὕβριν τῶν τοῦ Χριστοῦ μαρτύρων παρὰ τῶν Ἑλλήνων γραφέντα μαρτυρολόγια· εἰ δέ τις εὑρεθῇ ὡς ἀληθῆ ταῦτα παραδεχόμενος, ἀναθεματιζέσθω.

Κανὼν ΞΔ'.

Ὅτι οὐ χρὴ δημοσίᾳ λαϊκὸν, λόγον (5) κινεῖν ἢ διδάσκειν, ἀξίωμα ἑαυτῷ διδασκαλικὸν ἐντεῦθεν περιποιούμενον, ἀλλ' εἴκειν τῇ παραδοθείσῃ παρὰ τοῦ

(1) τὰ . . . ἆθλα Χ. Τρ. — (2) τῇ Καλλικράτῳ Χ. Τρ. — (3) τῇ εὐαγγελικῇ Χ. Τρ. — (4) Χ. Τρ. — ἐπέτρεπε Βευερ. — (5) μετὰ τὸ, λόγον, ἡ Σ. Ρ. προστίθησι δογματικὸν, ἀλλ' ὁ ὅρος οὗτος οὐ κεῖται παρὰ τοῖς λοιποῖς.

Κυρίου διατάξει (1), καὶ τὸ οὖς τοῖς τὴν χάριν τοῦ διδασκαλικοῦ λαβοῦσι λόγου διανοίγειν, καὶ τὰ θεῖα παρ᾽ αὐτῶν ἐκδιδάσκεσθαι. Ἐν γὰρ τῇ μιᾷ ἐκκλησίᾳ διάφορα μέλη πεποίηκεν ὁ Θεὸς, κατὰ τὴν τοῦ Ἀποστόλου φωνήν (2)· ἣν ὁ Θεολόγος ἑρμηνεύων Γρηγόριος (3), σαφῶς τὴν ἐν τούτοις τάξιν παρίστησι φάσκων (4)· Ταύτην αἰδοίμεθα (5) τὴν τάξιν, ἀδελφοί, ταύτην φυλάττοιμεν (6). Ὁ μὲν ἔστω τις ἀκοή· ὁ δὲ, γλῶσσα· ὁ δὲ, χείρ· ὁ δὲ, ἄλλο τι· ὁ μὲν (7), διδασκέτω· ὁ δὲ, μανθανέτω· καὶ μετὰ βραχέα· Καὶ ὁ μανθάνων ἐν εὐπειθείᾳ· καὶ ὁ χορηγῶν ἐν ἱλαρότητι· καὶ ὁ ὑπουργῶν ἐν προθυμίᾳ· μὴ πάντες ὦμεν γλῶσσα, τὸ ἑτοιμότατον (8)· μὴ πάντες Ἀπόστολοι· μὴ πάντες προφῆται· μὴ πάντες διερμηνεύωμεν· καὶ μετά τινα· Τί σεαυτὸν ποιεῖς ποιμένα, πρόβατον ὤν; τί γίνῃ κεφαλὴ, ποῦς τυγχάνων; τί στρατηγεῖν ἐπιχειρεῖς, τεταγμένος ἐν στρατιώταις; καὶ ἑτέρωθι· Ἡ σοφία διακελεύεται (9)· Μὴ ἴσθι ταχὺς ἐν λόγοις· μὴ συμπαρεκτείνου πένης ὢν πλουσίῳ, μηδὲ ζήτει τῶν σοφῶν εἶναι σοφώτερος. Εἰ δέ τις ἁλῷ τὸν παρόντα παρασαλεύων κανόνα (10), ἐπὶ ἡμέρας τεσσαράκοντα ἀφοριζέσθω.

—

ΖΩΝΑΡ. Ἕκαστος, ἐν ᾗ ἐκλήθη τάξει, ἐν ταύτῃ μενέτω, φησὶν ἡ θεία Γραφή. Τοῦτο καὶ ὁ κανὼν οὗτος νομοθετεῖ, καὶ λαϊκὸν δημοσίᾳ διαλέγεσθαι περὶ πίστεως, ἢ διδάσκειν ὡς διδάσκαλον, οὐ βούλεται, ἀλλ᾽ ὑπέχειν τὸ οὖς τοῖς ταχθεῖσιν εἰς τὸ διδάσκειν. Ἓν γάρ ἐστι σῶμα ἡ ἐκκλησία, ὑπὸ διαφόρων δὲ συμπληροῦται μελῶν, κατὰ τὸν θεῖον Ἀπόστολον. Εἶτα τοῦ Θεολόγου ἐπάγει ῥητὰ, ἑρμηνεύοντος τὰ ἀποστολικὰ ῥήματα, καὶ προ-

(1) Π. Σ. Ῥ.—τάξει Κ. Τρ. Βρ. Βευερ. Κ. — (2) Ά. Κορ. ΙΒ', 12. — (3) Ὁμιλ. ΚϚ'. — (4) Π. Σ. Ῥ. — λέγων Χ. Τρ. Βευερ. — (5) Π. αἰδώμεθα Βρ. Βευερ. — αἰδούμεθα Χ. Τρ. — (6) αἰδώμεθα . . . φυλάττωμεν Σ. Ῥ. — (7) Χ. Τρ. Βρ. — ὁ δὲ Π. Βευερ. — (8) Π. Βευερ. — τὸ ἑτοιμότερον Χ. Τρ. Βρ. — (9) Παροιμ. ΚΓ', 4. — (10) τὸν παρόντα κανόνα σαλεύων Βρ.

σεπάγει τὰ τῆς Σοφίας, λεγούσης· Μὴ ἴσθι ταχὺς ἐν λόγοις, καὶ τὰ λοιπά. Τοὺς δὲ παραβαίνοντας τὸν κανόνα, ἐπὶ ἡμέρας τεσσαράκοντα ἀφορίζει· ἰδίᾳ δέ τις ἐρωτώμενος, οὐ κωλυθήσεται ἀποκρίνεσθαι, καὶ διδάσκειν τὸν ἐρωτῶντα.

ΒΑΛΣ. Τὸ διδάσκειν τὸν τοῦ Κυρίου λαὸν, καὶ ἑρμηνεύειν τὰ θεῖα δόγματα, μόνοις ἐδόθη παρὰ τῆς χάριτος τοῦ παναγίου Πνεύματος τοῖς ἀρχιερεῦσι, καὶ τοῖς παρὰ τούτων ἐπιτρεπομένοις. Ὡς ἔοικεν οὖν, τινὲς λαϊκοὶ, ἴσως καὶ πεπαιδευμένοι σοφίαν, διελέγοντο δημοσίᾳ περί τινων ἐκκλησιαστικῶν ὑποθέσεων, καὶ διδασκαλικὸν ὑπεκρίνοντο ἀξίωμα. Τοῦτο οὖν ἀπαγορεύοντες οἱ ἅγιοι Πατέρες, διωρίσαντο, μηκέτι τοιοῦτόν τι γίνεσθαι, καὶ συγχέεσθαι τὴν ἐκκλησιαστικὴν εὐταξίαν. Ἀλλ' ἐπεὶ, φασὶν, ἐκ διαφόρων μελῶν ὁ Θεὸς τὴν ἐκκλησίαν ἐστερέωσέ τε καὶ ὕψωσε, καὶ οἱ λαϊκοὶ διδάσκεσθαι ἐτάχθησαν, οὐχὶ διδάσκειν, ὀφείλουσι μᾶλλον ὑπέχειν τὸ οὖς τοῖς διδάσκουσιν, ἢ τὴν γλῶτταν κινεῖν, καὶ σκανδαλίζειν πολλούς (1)· καὶ ἕκαστον μένειν ἐν ᾗ ἐκλήθη τάξει, κατὰ τὸ γράμμα τὸ ἱερόν. Ἐχρήσαντο δὲ, εἰς ἐπισύστασιν τοῦ λόγου αὐτῶν, καὶ γραφικοῖς διαφόροις ῥητοῖς, ἀποστολικοῖς δηλαδὴ, θεολογικοῖς, καὶ προφητικοῖς. Τοὺς μέν τοι παραβαίνοντας τὸν παρόντα κανόνα λαϊκοὺς*(2), ἐπὶ τεσσαράκοντα ἡμέραις ἀφορίζεσθαι διωρίσαντο. Ἐρωτήσει δέ τις, ὡς, τοῦ κανόνος κωλύοντος δηδημοσίᾳ διδάσκειν, ἢ διαλέγεσθαι τοὺς λαϊκοὺς περὶ ἐκκλησιαστικῶν ὑποθέσεων, κωλυθήσονται κληρικοὶ καὶ μοναχοὶ παρομοίως τοῖς λαϊκοῖς, ἢ οὔ; Λύσις. Ἐπεὶ τὸ διδάσκειν μόνον τῶν ἀρχιερέων ἐστὶ, καὶ τῶν τεταγμένων εἰς τοῦτο, εἴ τις ἐξ αὐτῶν τὴν κανονικὴν παραδράμῃ παραγγελίαν, ὑπεύθυνος ἔσται, ὡς ἐμοὶ δοκεῖ· διὰ γὰρ τοῦτο καὶ ἐν τῇ κατεξετάσει τοῦ εὐαγγελικοῦ ῥητοῦ, τοῦ λέγοντος, Ὁ Πατήρ μου μείζων μου ἐστὶ, πολλοὶ μοναχοὶ καὶ κληρικοὶ, ὅτι περὶ τούτου ἀντιθετικῶς ἢ ἐλάλησαν, ἢ ἔγραψαν, ἐκολάσθησαν· καλῶς δὲ προσετέθη τὸ, δημοσίᾳ· ἐπεί τοι γε κατ' ἰδίαν ἐρωτώμενός τις συνετὸς περὶ

---

(1) πολλάκις Βευερ, Ε. — (2) Χ. Τρ. — οὐ κεῖται παρὰ Βευερ.

τινος δογματικῆς ὑποθέσεως, ἢ περὶ ἄλλης ψυχωφελοῦς αἰτίας, οὐ κωλυθήσεται τὸ δοκοῦν αὐτῷ ἀποκρίνεσθαι. Καὶ τὸ δ'. γὰρ κεφ. τοῦ ά. τίτλου τοῦ ά. βιβλίου τῶν βασιλικῶν φησι· Μηδεὶς ἢ κληρικὸς, ἢ μοναχὸς στρατευόμενος, ἢ ἄλλος οἱοσδήποτε πληθὺν συνάγων δημοσίᾳ περὶ τῆς πίστεως διαλεγέσθω· ὑβρίζειν γὰρ δοκεῖ τὴν ἐν Χαλκηδόνι σύνοδον, τὴν δεόντως πάντα διατυπώσασαν, ἥτις καὶ τοῖς αἱρετικοῖς πᾶσι δίδωσι γινώσκειν τὰ ἡμέτερα· ὥστε οὖν, εἰ μὲν κληρικὸς εἴη ὁ ταῦτα ποιῶν, τοῦ συλλόγου τῶν κληρικῶν ἐκπεσεῖται· εἰ δὲ στρατευόμενος, τῆς στρατείας· οἱ δὲ λοιποὶ κατὰ τὴν ἰδίαν (1) τύχην τιμωρείσθωσαν.

ΑΡΙΣΤ. Λαϊκὸς μὴ διδάσκοι· μὴ γὰρ πάντες προφῆται, μὴ πάντες Ἀπόστολοι.

Ἕκαςος ὀφείλει τὴν ἑαυτοῦ τάξιν εἰδέναι, καὶ μὴ ποιμένα ἑαυτὸν ποιεῖν, πρόβατον ὢν, ἢ κεφαλὴν καθιστᾷν, ποῦς τυγχάνων· ἀλλ' ὑπείκειν τῇ παραδοθείσῃ παρὰ τοῦ Κυρίου τάξει, καὶ τὸ οὖς διανοίγειν τοῖς τὴν χάριν τοῦ διδασκαλικοῦ λόγου λαβοῦσι· οὐ γὰρ πάντες προφῆται, οὐδὲ πάντες Ἀπόστολοι. Διὰ τοῦτο οἱ λαϊκοὶ μήτε διδασκέτωσαν, μήτε λόγους δογματικοὺς κινείτωσαν, ἀξίωμα διδασκαλικὸν ἐντεῦθεν ἑαυτοῖς περιποιούμενοι.

Κανὼν ΞΕ'.

Τὰς ἐν ταῖς νουμηνίαις ὑπό τινων πρὸ τῶν οἰκείων ἐργαστηρίων, ἢ οἴκων ἀναπτομένας πυρκαϊὰς, ἃς καὶ ὑπεράλλεσθαί τινες κατά τι ἔθος ἀρχαῖον ἐπιχειροῦσιν (2), ἀπὸ τοῦ παρόντος καταργηθῆναι προστάσσομεν. Ὅστις οὖν τοιοῦτόν τι πράξοι, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. Γέγραπται γὰρ ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν· Καὶ ᾠκοδόμησε Μανασσῆς θυσιαστήριον πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ, ἐν ταῖς δύο αὐλαῖς οἴκου Κυρίου, καὶ διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ, καὶ ἐκληδο-

---

(1) κατὰ τὴν οἰκείαν Ε. — (2) Βρ. Σ. Ρ. — ἐπιληροῦσι Π. Χ. Τρ. Βευερ.

νίζετο, καὶ οἰωνίζετο, καὶ ἐποίησεν ἐγγαστριμύθους, καὶ γνώστας ἐπλήθυνε, καὶ ἐπλήθυνε τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον Κυρίου, τοῦ παροργίσαι αὐτὸν (1).

ΖΩΝΑΡ. Ἔθη ἑλληνικά τε καὶ ἐθνικὰ κατὰ παράδοσιν ἐποίουν τινές, καὶ ποιοῦσι, μηδὲ εἰδότες τί δηλοῦσι τὰ γινόμενα παρ' αὐτῶν· οἷόν ἐστι καὶ τὸ πυρκαϊὰς ἀνάπτεσθαι ἔμπροσθεν ἐργαστηρίων καὶ οἰκιῶν, καὶ αὐτῶν ὑπεράλλεσθαι. Καὶ τοῦτο δὲ ὁ κανὼν ἀπείργνυσι γίνεσθαι, καὶ τοὺς τοιοῦτόν τι πράσσοντας, κληρικοὺς μὲν ὄντας, καθαιρεῖ, λαϊκοὺς δὲ, ἀφορίζει. Εἶτα δεικνὺς, ὅτι ἀπηγορευμένα εἰσὶ ταῦτα καὶ τῷ παλαιοτέρῳ νόμῳ, ἐκ τῆς τετάρτης τῶν Βασιλειῶν ἐποιήσατο τὴν ἀπόδειξιν, λεγούσης· Καὶ ᾠκοδόμησε Μανασσῆς θυσιαστήριον, καὶ τὰ ἐφεξῆς. Εἰ οὖν παρὰ τοῖς τὸν ἀτελέστερον δεξαμένοις νόμον, ταῦτα πονηρὰ ἐδόκει, καὶ εἰς ὀργὴν Κυρίου, πόσῳ μᾶλλον ἐφ' ἡμῖν, τοῖς τὸν τελεώτερον καὶ πνευματικώτερον παραλαβοῦσι νόμον, ἄθεσμα ταῦτα καὶ ἀπηγορευμένα λογίζεσθαι χρή; τὸ δὲ, καὶ διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ, οἱ μὲν τῆς συνόδου ταύτης Πατέρες ἐοίκασι νοῆσαι, ἀντὶ τοῦ, ὑπερπηδᾷν ἐποίει τὸ ἀναπτόμενον πῦρ. Ὁ δὲ μέγας Κύριλλος, τὸ, διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ, ἀντὶ τοῦ, ὡλοκαύτωσεν, ἡρμήνευσε, θυσίας προσάγων τοῖς δαίμοσι· τοῦτο δὲ τὸν Ἡσαΐαν, φησὶν, ἐξηγούμενος. Καὶ ἐκληδονίζετο· Κληδὼν λέγεται τὸ διά τινων σημείων ζητεῖν γνῶναι, εἰ μέλλοι τις εὐπραγῆσαι, ἢ δυσπραγῆσαι, οἷα καὶ νῦν ποιοῦσί τινες, θέλοντες τὴν τύχην τὴν ἰδίαν καταμαθεῖν· καὶ οἰωνίζετο· οἰωνισμὸς δέ ἐστι τὸ ἐπιτηρεῖν τὰς τῶν ὀρνέων πτήσεις· οἰωνοὶ γὰρ τὰ ὄρνεα λέγονται· καὶ τὰς αὐτῶν κλαγγὰς, καὶ τοιαῦτά τινα, ἃ καὶ οἰωνοσκοπίαι παρὰ τοῖς Ἕλλησιν ὠνομάζοντο, καὶ ἐν τάξει τιμῆς μεγίστης ἡ οἰωνοσκοπικὴ παρὰ Ῥωμαίοις λελόγιστο· στρατιὰν δὲ τοῦ οὐρανοῦ, τοὺς ἀστέρας νοητέον.

ΒΑΛΣ. Νουμηνίαι ἐλέγοντο αἱ πρῶται ἡμέραι τῶν μηνῶν.

---

(1) Β'. Βασιλ. ΚΑ', 5, 6.

Εἴθιστο οὖν παρὰ Ἰουδαίοις καὶ Ἕλλησιν ἑορτάζειν τηνικαῦτα καὶ γονυκλιτεῖν, ὡς ἂν τὸ μηνιαῖον διάστημα εὐτυχῶς διέλθωσι· περὶ ὧν καὶ ὁ Θεὸς εἶπε διὰ τοῦ προφήτου· Τὰς νουμηνίας ἡμῶν καὶ τὰ σάββατα μισεῖ ἡ ψυχή μου. Ἀλλὰ καὶ ἔμπροσθεν τῶν ἐργαστηρίων αὐτῶν καὶ τῶν οἰκιῶν ἀνῆπτον πυρκαϊὰς, καὶ ἐπήδων ἐπάνω τούτων, νομίζοντες διὰ τοῦτο τὰ προσυμβάντα ἴσως αὐτοῖς δυσχερῆ κατακαίεσθαι, καὶ ἑτέροις ἀγαθοῖς ἐντυγχάνειν. Ἀκολούθως οὖν τούτοις ἐποίουν καὶ τινες ὀρθόδοξοι ἐν ταῖς ἡμέραις, ἐν αἷς καὶ ἡ παροῦσα γέγονε σύνοδος. Ἔνθεν τοι καὶ διωρίσαντο οἱ Πατέρες καταργηθῆναι ταῦτα· καὶ τὸν τοιοῦτόν τι ποιήσαντα, κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι· λαϊκὸν δὲ, ἀφορίζεσθαι. Θέλοντες δὲ παραστῆσαι, ὅτι μέγιστόν τι κακὸν ταῦτά εἰσι, καὶ ἀπαλλοτρίωσις τοῦ Θεοῦ, ἐχρήσαντο καὶ ῥήμασιν ἀπὸ τῆς δ'. τῶν Βασιλειῶν, περὶ τοῦ βασιλέως τοῦ Μανασσῆ, τοῦ τὸν Θεὸν παροργίσαντος, ὅτι ἔθυσεν ἐν ταῖς αὐλαῖς τοῦ οἴκου Κυρίου τῇ στρατιᾷ τοῦ οὐρανοῦ, ἤτοι τοῖς ἄστρασι, καὶ ὅτι διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ, καὶ ἐκληδονίζετο, καὶ οἰωνίζετο, καὶ ἐγγαστριμύθους, καὶ γνώστας ἐπλήθυνε. Καὶ περὶ μὲν τῶν πυρκαϊῶν, ὅπως ἐτελοῦντο, εἴπομεν ἄνωθεν. Κληδὼν δέ ἐστιν, ἡ διά τινων σημείων μαντεία. Οἰωνισμὸς, ἡ ἀπὸ κραυγῆς, ἢ πτήσεως οἰωνῶν, τουτέστιν ἀγρίων πτερωτῶν ζώων, περὶ ὧν αἱρεῖταί τις μάθησις· ἐξ οὗ καὶ οἰωνοσκόποι λέγονται. Ἐγγαστρίμυθοι δὲ καὶ γνῶσται λέγονται πάντες οἱ σατανικῶς ἐνθουσιῶντες, καὶ προλέγοντες δῆθεν τὰ ἄγνωστα· ὡς αἱ κρίτριαι, οἱ Ἀθίγγανοι, οἱ ψευδοπροφῆται, οἱ ἐρημίται, καὶ ἕτεροι. Ταῦτα τοῦ κανόνος διοριζομένου, ἡ μὲν τῆς νουμηνίας ἑορτὴ πρὸ ἀμνημονεύτων χρόνων ἐσχόλασε, καὶ ἀντὶ ταύτης, Θεοῦ χάριτι, ἱλαστήριοι εὐχαὶ πρὸς Θεὸν καὶ ἁγιασμοὶ ἐπ' ἐκκλησίας παρὰ τοῦ πιστοῦ λαοῦ γίνονται καθ' ἑκάστην ἀρχιμηνίαν, καὶ ὕδασιν εὐλογίας, οὐκ ἀντιλογίας, χριόμεθα. Ἡ δὲ τῶν πυρκαϊῶν δαιμονιώδης τελετὴ, καὶ αἱ κληδόνες ἐγίνοντο μέχρι τῆς ἐφημερίας τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Μιχαὴλ, τοῦ γεγονότος ὑπάτου τῶν φιλοσόφων, εἰς ταύτην τέως τὴν τῶν πόλεων βασιλεύουσαν, οὕτω.

Κατὰ τὴν ἑσπέραν τῆς κγ'. τοῦ Ἰουνίου μηνὸς ἠθροίζοντο ἐν ταῖς ῥυμίσι, καὶ ἔν τισιν οἴκοις ἄνδρες καὶ γυναῖκες, καὶ πρωτότοκον κοράσιον νυμφικῶς ἐστόλιζον· μετὰ γοῦν τὸ συμποσιάσαι, καὶ βακχικώτερον ὀρχήσασθαι, καὶ χορεῦσαι, καὶ ἀλαλάξαι, ἔβαλλον ἐν ἀγγείῳ συστόμῳ χαλκῷ θαλάττιον ὕδωρ, καὶ εἴδη τινὰ ἑκάστῳ τούτων ἀνήκοντα· καὶ ὥσπερ τῆς παιδὸς ἐκείνης λαβούσης ἰσχὺν ἐκ τοῦ Σατανᾶ προμηνύειν τὰ ἐρωτώμενα, αὐτοὶ μὲν περὶ τοῦδέ τινος ἀγαθοῦ ἢ καὶ ἀποτροπαίου ἀνεβόων ἐρωτηματικῶς· τὸ δὲ κοράσιον ἀπὸ τῶν ἐν τῷ ἀγγείῳ ἐμβληθέντων εἰδῶν τὸ παρατυχὸν ἐξαγαγὸν, ὑπεδείκνυεν· ὃ καὶ λαμβάνων ὁ ἀνόητος τούτου δεσπότης, ἐπληροφορεῖτο τάχα τὰ ἐπ' αὐτῷ συνενεχθῆναι μέλλοντα, εὐτυχῆ τε καὶ δυστυχῆ. Τῇ ἐπαύριον δὲ μετὰ τυμπάνων καὶ χορῶν σὺν τῷ κορασίῳ εἰς τοὺς αἰγιαλοὺς ἀπερχόμενοι, καὶ ὕδωρ θαλάττιον ἀφθόνως ἀναλαμβανόμενοι, τὰς κατοικίας αὐτῶν ἔῤῥαινον· καὶ οὐ μόνον ταῦτα ἐτελοῦντο παρὰ τῶν ἀσυνετωτέρων (1), ἀλλὰ καὶ δι ὅλης τῆς νυκτὸς ἀπὸ χόρτου πυρκαϊᾶς ἀνάπτοντες, ἐπήδων ὑπεράνω αὐτῶν, καὶ ἐκληδονίζοντο, ἤτοι ἐμαντεύοντο περὶ εὐτυχίας, καὶ δυστυχίας, καὶ ἄλλων τινῶν δαιμονιωδῶς. Τὰς δὲ ἔνθεν κἀκεῖθεν εἰσόδους αὐτῶν, καὶ τὸ δωμάτιον, ἐν ᾧ ἐτελεῖτο ἡ κληδὼν, σὺν τοῖς παρακειμένοις ὑπαίθροις, χρυσίζουσι πέπλοις, καὶ σηρικοῖς κατεκόσμουν ὑφάσμασι· ἀλλὰ μὴν καὶ φυλλάσι δένδρων κατεστεφάνουν, εἰς τιμὴν καὶ ὑποδοχὴν, ὡς ἔοικε, τοῦ οἰκειωσαμένου αὐτοὺς Σατανᾶ· ἃ δὴ πάντα ὁ ῥηθεὶς ἁγιώτατος πατριάρχης μετὰ πάσης ἐπιμελείας καταργηθῆναι ἐπέτρεψεν· ὃ καὶ γέγονε. Καὶ νῦν, εὐδοκοῦντος τοῦ Θεοῦ, τὰ τοιαῦτα θεοστυγῆ ἔργα παντελῶς ἠπράκτησαν· ὡς τῶν ἐν ταῖς γειτονίαις ὄντων προκριτωτέρων, καὶ τῶν ἱερέων ἐπιτιμηθέντων, παντοίως φροντίζειν, καὶ μὴ παραχωρεῖν τοιοῦτόν τι γίνεσθαι. Γένοιτο δὲ καὶ τὰς ἀπὸ τῶν κορωνῶν, καὶ τῶν κοράκων, καὶ τῶν λοιπῶν ἀγρίων ζώων οἰωνοσκοπίας καταργηθῆναι· ὡσαύτως καὶ τὰς φλυαρίας τῶν κριτριῶν, καὶ τῶν ἑτέρων λαοπλάνων. Τὸ μέντοι, διήγαγε τὰ

(1) Χ. Τρ. — εὐσυνετωτέρων Ἑ. Βευερ.

τέκνα αὐτοῦ ἐν πυρὶ, ὁ μέγας Κύριλλος, ἐξηγούμενος τὸν προφήτην Ἠσαΐαν, ἀντὶ τοῦ, ὡλοκαύτωσεν, ἡρμήνευσεν, ἤγουν θυσίαν προσήγαγε τοῖς δαίμοσιν.

Ἑτέρα ἑρμηνεία (1).

Κυρίως κληδὼν ἐστιν ἡ διὰ λόγου τῶν μελλόντων ἐρώτησις, ἐκ τοῦ κλῶ, τὸ καλῶ· οἰώνισμα, ἡ διὰ κραυγῆς πτηνῶν, ἢ πτήσεως, μάθησις, ἐξ οὗ καὶ οἰωνοσκόποι. Γνῶσται δὲ λέγονται, οἱ διὰ ἀνατομῆς τῶν ζώων μαντευόμενοι, ἐξ οὗ καὶ ἡπατοσκόποι. Κοινῶς μέντοι πάντες οὗτοι καὶ οἱ λοιποὶ ψευδοπροφῆται ἐγγαστρίμυθοι καλοῦνται, διὰ τὸ κυΐσκειν μυθώδεις φλυαρίας σατανικάς.

ΑΡΙΣΤ. Αἱ ἐν τοῖς ἐργαστηρίοις ἐν νουμηνίαις πυρκαϊαὶ, καὶ οἱ ταύτας ὑπεραλλόμενοι, καταργείσθωσαν.

Τινὲς ἔμπροσθεν τῶν ἐργαστηρίων, ἢ τῶν οἴκων πυρκαϊὰς ὑπανάπτοντες, ἐν αὐταῖς, κατά τι ἀρχαῖον ἔθος, ἐπήδων· καὶ καταργοῦντες αὐτὸ οἱ Πατέρες προστάσσουσιν· ὡς, εἰ μὲν κληρικὸς εὑρεθήσεται τοιοῦτόν τι πράττων, καθαιρεθήσεται· εἰ δὲ λαϊκὸς, ἀφορισθήσεται· καὶ γὰρ ὁ Μανασσῆς ἐν πυρὶ τὰ τέκνα αὐτοῦ διαγαγὼν, καὶ οἰωνιζόμενος, παρώργισε τὸν Θεόν.

Κανὼν ΞϚʹ.

Ἀπὸ τῆς ἁγίας ἀναστασίμου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἡμέρας, μέχρι τῆς καινῆς Κυριακῆς, τὴν ὅλην ἑβδομάδα ἐν ταῖς ἁγίαις ἐκκλησίαις σχολάζειν δεῖ ἀπαραλείπτως τοὺς πιστοὺς, ἐν ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, εὐφραινομένους ἐν Χριστῷ, καὶ ἑορτάζοντας, καὶ τῇ τῶν θείων Γραφῶν ἀναγνώσει προσέχοντας, καὶ τῶν ἁγίων μυστηρίων κατατρυφῶντας. Ἐσόμεθα γὰρ οὕτω Χριστῷ συνανιστάμενοί τε, καὶ συνανυψούμενοι. Μηδαμῶς οὖν ἐν ταῖς προκειμέναις ἡμέραις ἱπποδρόμια, ἢ ἑτέρα δημώδης θέα (2) ἐπιτελείσθω.

---

(1) Ἡ δευτέρα αὕτη ἑρμηνεία εἰς τὸν ξέ. κανόνα οὐ κεῖται παρὰ Βευερ. ἀλλ' ἐν Χ. Τρ. καὶ Ἑ. Προστίθησι δὲ αὐτὴν ὁ Βευερ. ἐν ταῖς σημειώσεσιν αὐτοῦ, Τόμ. Βʹ. σελ. 160, ὡς ἐκ τῆς τοῦ Ἐρβέτου ἐκδόσεως πληρέστερον τοῦ Βοδληϊανοῦ Κώδ. αὐτὴν περιεχούσης. — (2) Π. Κ. Βευερ. Ἑ. — ἢ ἕτερα δημώδη θεώρια Χ. Τρ.

ΖΩΝΑΡ. Ἑορτάζειν οἱ ἀπὸ Χριστοῦ κεκλημένοι ὀφείλομεν, οὐ τρυφὰς ἑαυτοῖς, καὶ λαμπρότητας, καὶ ἀνέσεις ἐπιτηδεύοντες, ἀλλὰ πνευματικῶς εὐφραινόμενοι. Πνευματικὴ δ' ἐστὶν εὐφροσύνη, τὸ ᾄδειν τῷ Κυρίῳ, καὶ δοξάζειν αὐτὸν, ἐφ' οἷς ἐποίησε θαυμασίοις, ῥυσάμενος ἡμᾶς ἐκ τῆς δουλείας τοῦ διαβόλου. Οὕτω τοίνυν καὶ τὴν τοῦ Πάσχα ἑορτὴν βούλεται ἑορτάζειν ἡμᾶς ὁ κανὼν, ὅλην τὴν ἑβδομάδα ἐν ἐκκλησίαις σχολάζοντας, ἐν ψαλμοῖς τε καὶ ὕμνοις ᾄδοντας τῷ Κυρίῳ, καὶ οὕτως ἐν Χριςῷ ἑορτάζοντας, καὶ τῇ μελέτῃ προσέχοντας τῶν θείων Γραφῶν, καὶ κατατρυφῶντας τῶν θείων μυςηρίων· καὶ οὕτω, φησὶν, ἐσόμεθα Χριστῷ συνανιστάμενοι, καὶ συνανυψούμενοι· ἀνιστάμενοι μὲν τοῦ πτώματος τῆς ἁμαρτίας, καὶ τῆς χαμαιζήλου καὶ γηΐνης ζωῆς· ἀνυψούμενοι δὲ πρὸς ὑψηλοτέραν καὶ πνευματικὴν τῳόντι διαγωγήν· ὅθεν οὔτε ἱπποδρομίας ἐν τῇ τοῦ Πάσχα ἑβδομάδι γίνεσθαι συγχωρεῖ, οὔτε θέας ἑτέρας δημώδεις, ἐν αἷς δηλονότι ὁ δῆμος ἀθροίζεται, θεώμενος τὰ γινόμενα.

ΒΑΛΣ. Ὡς μία Κυριώνυμος ἡμέρα λογίζεται κατὰ πάντα ἡ μετὰ τὴν ἁγίαν Ἀνάστασιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τρέχουσα ἑβδομάς· κατὰ δὲ τὸ μὴ γόνυ κάμπτειν, καὶ ἡ ὅλη Πεντηκοστή. Ἐπεὶ δὲ ἑορτῆς καὶ πανηγύρεως ἀφορμὴ ἐνομίζοντό τισιν αἱ ἱπποδρομίαι, πρὸς δὲ καὶ αἱ ἄλλαι δημοτικαὶ παιγνιώδεις θέαι, διωρίσαντο οἱ Πατέρες, μὴ οὕτως ἑορτάζειν ἡμᾶς κατὰ ταύτην τὴν πασχάλιον ἑβδομάδα, ἀλλὰ θεοφιλῶς καὶ, κατὰ τὸ δυνατὸν, ἁγιοπρεπῶς· δηλονότι σχολάζειν ἐν ταῖς ἐκκλησίαις, καὶ διὰ τῶν θείων ψαλτῳδημάτων κορέννυσθαι· καὶ ὡς ἤδη ἀξίους γενομένους ἑορτάσαι τὴν τοῦ Κυρίου Ἀνάστασιν, κατατρυφᾷν τῶν θείων μυστηρίων, καὶ συνανίστασθαι τῷ ἀναστάντι, καὶ ἡμᾶς εἰς οὐρανὸν ἀνυψώσαντι Χριστῷ τῷ Θεῷ ἡμῶν. Σημείωσαι οὖν, ὅτι πάντες οἱ πιστοὶ ὀφείλουσιν ἐν ἑτοιμότητι εἶναι τοῦ μεταλαμβάνειν τῶν ἁγίων μυστηρίων καθεκάστην, εἰ δυνατὸν, καθὼς καὶ ἐν ἑτέροις κανόσι τοῦτο προείρηται. Τοῦ δὲ κανόνος ταῦτα διοριζομένου, ἐρωτήσει τις, ὅπως*(1) οἱ χειρωνάκται μετὰ τὴν τρίτην τῆς

(1) Χ. Τρ. — οὐ κεῖται τὸ, ὅπως, παρὰ Βευερ. καὶ Ε.

ἑβδομάδος ταύτης τὰ οἰκεῖα ἐργάζονται ἐργόχειρα; Νομίζω οὖν, ὅτι κακῶς τοῦτο ποιοῦσι· κἂν γὰρ ἀπὸ τοῦ παρόντος κανόνος οὐ κολάζονται οἱ οὕτω τὴν ἑορτὴν καταλύοντες· ἀλλ᾽ ἀπὸ τοῦ ἑτέρου κανόνος, τοῦ ἀφορίζοντος τοὺς λαϊκοὺς, μὴ ὄντας γεωργοὺς, καὶ κατὰ τὰς Κυριωνύμους ἐργαζομένους, καὶ οὗτοι κολασθήσονται. Ζήτει καὶ τὴν νδ'. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ, διαλαμβάνουσαν, μηδὲ αὐτοὺς τοὺς γεωργοὺς κατὰ τὴν Κυριώνυμον ἐργάζεσθαι· ὥστε ἀπηγόρευται καὶ αὐτοῖς κατὰ τὴν ὅλην πασχάλιον ἑβδομάδα ἐργάζεσθαι, ὡς μιᾶς Κυριωνύμου λογιζομένης αὐτῆς.

ΑΡΙΣΤ. Τὴν μετὰ τὴν Ἀνάστασιν πᾶσαν ἑβδομάδα, πᾶς ἐκκλησιαζέσθω πιστός.

Ἐν ταῖς ἁγίαις ἐκκλησίαις δεῖ σχολάζειν τοὺς πιστοὺς, καὶ ἐν ψαλμοῖς καὶ ὕμνοις εὐφραίνεσθαι πᾶσαν τὴν ἑβδομάδα τὴν μετὰ τὴν ἁγίαν Ἀνάστασιν Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Κανὼν ΞΖ'.

Ἡ θεία ἡμῖν Γραφὴ ἐνετείλατο, ἀπέχεσθαι αἵματος, καὶ πνικτοῦ, καὶ πορνείας. Τοῖς οὖν διὰ τὴν λίχνον γαστέρα αἷμα οἱουδήποτε ζώου τέχνῃ τινὶ κατασκευάζουσιν ἐδώδιμον, καὶ οὕτω τοῦτο ἐσθίουσι, προσφόρως ἐπιτιμῶμεν. Εἴ τις οὖν ἀπὸ τοῦ νῦν αἷμα ζώου ἐσθίειν ἐπιχειρήσοι (1) οἱῳδήτινι τρόπῳ, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΖΩΝΑΡ. Τὸ αἵματος ἀπέχεσθαι, καὶ πνικτοῦ, καὶ πορνείας, ἐν ταῖς Πράξεσι γέγραπται. Τινῶν γὰρ λεγόντων, δεῖν τοὺς πισεύοντας περιτέμνεσθαι, συνελθόντες οἱ Ἀπόστολοι, καὶ ὁ ἀδελφόθεος Ἰάκωβος, ἐβουλεύσαντο περὶ τούτου, καὶ ἐπεστάλκασι τοῖς πιστοῖς, ἀπέχεσθαι τῶν εἰδωλοθύτων, καὶ αἵματος, καὶ πνικτοῦ, καὶ πορνείας, καὶ μηδὲν πλέον αὐτοῖς ἐπιτίθεσθαι βάρος. Καὶ ἐν τῇ Γενέσει δὲ διατέτακται· Τὸ κρέας ἐν αἵματι

(1) ἐπιχειρήσει Βρ.

ψυχῆς οὐ φάγεσθε. Τῇ θείᾳ τοίνυν Γραφῇ καὶ οἱ θεῖοι Πατέρες ἑπόμενοι, ἐπεὶ ἔμαθόν τινας μεθόδους τισὶ τὸ αἷμα τῶν σφαττομένων ζώων ποιοῦντας ἐδώδιμον, καὶ ἐσθίοντας αὐτὸ, διὰ τοῦ κανόνος τούτου κεκωλύκασι τὸ τοιοῦτόν τι ποιεῖν, ἐπιτιμήσαντες τοῖς τοιοῦτόν τι ποιοῦσιν, εἰ μὲν κληρικοὶ εἶεν, καθαίρεσιν· εἰ δὲ λαϊκοὶ, ἀφορισμόν.

ΒΑΛΣ. Γέγραπται ἐν ταῖς Πράξεσι τῶν Ἀποςόλων, μὴ ἐσθίειν ἡμᾶς οἱονδηποτοῦν αἷμα, ἢ ζῶον πνικτόν· ἀπέχεσθαι δὲ καὶ πορνείας· καὶ ὁ Μωσαϊκὸς δὲ νόμος παρακελεύεται· Αἷμα οὐ φάγεσθε. Ἐπεὶ οὖν τινες αἷμα μὲν οὐκ ἤσθιον, ἐποίουν δέ τινα ἐδώδιμα ἔκ τε ἄλλων καὶ ἐξ αἱμάτων, καὶ ἔλεγον φυλάττειν τὰ τῆς θείας Γραφῆς, ὅτι οὐκ ἤσθιον ἀμέσως αἷμα, ὥρισαν οἱ ἅγιοι Πατέρες, τὴν τοιαύτην περιγραφὴν τῆς θείας νομοθεσίας σχολάσαι· καὶ τὸν καθ' οἱονδήτινα λόγον, ἢ τέχνην, φαγόντα αἷμα ζώου τινὸς, κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι· λαϊκὸν δὲ, ἀφορίζεσθαι· καὶ ὁ μὲν κανὼν ταῦτα. Οἱ δὲ Λατῖνοι ἀδιαφόρως ἐσθίουσι τὰ πνικτά· ἀλλὰ καὶ οἱ Ἀνδριανουπολῖται, ὡς ἀκούω, τοῖς αἵμασι τῶν ζώων χρῶνται μετὰ ἐδωδίμων τινῶν. Ζήτει καὶ τὴν νη'. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, διοριζομένην, τοὺς μὲν πωλοῦντας, ἢ ἐσθίοντας εἶδος οἱονδηποτοῦν αἱματηρὸν, δημεύεσθαι καὶ αἰκίζεσθαι, καὶ διὰ τῆς ἐν χρῷ κουρᾶς τιμωρεῖσθαι, καὶ ἀειφυγίᾳ κατακρίνεσθαι· τοὺς δὲ μὴ τὰ τοιαῦτα διεκδικοῦντας ἄρχοντας, δέκα λιτρῶν χρυσίου προστίμῳ εὐθύνεσθαι.

ΑΡΙΣΤ. Κληρικὸς αἷμα ἐσθίων καθαιρεῖται, λαϊκὸς δὲ, ἀφορίζεται. Σαφής.

Κανὼν ΞΗ'.

Περὶ τοῦ μὴ ἐξεῖναί τινι τῶν ἁπάντων βιβλία (1) τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης, τῶν τε ἁγίων καὶ ἐγκρίτων (2) ἡμῶν κηρύκων καὶ διδασκάλων, διαφθείρειν, ἢ κατατέμνειν, ἢ τοῖς βιβλιοκαπήλοις, ἢ τοῖς λεγομένοις μυ-

(1) Π. Χ. Τρ. — βιβλίων Βευερ. Κ. Ε. — (2) Π. Χ. Τρ. Βευερ. ἐκκρίτων Βρ. Σ. Ρ.

ρεψοῖς, ἢ ἄλλῳ τινὶ τῶν ἁπάντων (1) πρὸς ἀφανισμὸν ἐκδιδόναι· εἰ μή τι ἄρα τέλεον, εἴτε ὑπὸ σητῶν, ἢ ὕδατος, ἢ ἑτέρῳ τρόπῳ ἀχρειωθῇ. Ὁ δέ τι τοιοῦτο ποιεῖν (2) ἀπὸ τοῦ νῦν ἁλισκόμενος, ἐπὶ ἐνιαυτὸν ἀφοριζέσθω. Ὁμοίως καὶ ὁ τὰς τοιαύτας βίβλους ὠνούμενος· εἰ μήτε αὐτὸς ταύτας κατέχει πρὸς οἰκείαν ὠφέλειαν, μήτε ἑτέρῳ πρὸς εὐεργεσίαν καὶ τὸ διαμεῖναι ἀποδοίη (3), ἀλλὰ ταῦτα διαφθείρειν ἐπιχειρήσοι, ἀφοριζέσθω.

ΖΩΝΑΡ. Τὰ βιβλία τῆς θεοπνεύστου Γραφῆς, τῆς τε Παλαιᾶς Διαθήκης, καὶ τῆς Καινῆς, καὶ τὰ τῶν ἁγίων Πατέρων καὶ διδασκάλων, τῶν ἐγκριθέντων, δηλαδὴ τῶν μετὰ δοκιμασίας δεχθέντων· (πολλοὶ γὰρ συνεγράψαντο περὶ πίστεως λόγους καὶ ἑρμηνείας Γραφῶν, ἀλλ' ἀπεβλήθησαν καὶ ἀπεδοκιμάσθησαν) τὰ γοῦν τῆς Παλαιᾶς καὶ Νέας Διαθήκης βιβλία, καὶ τὰ τῶν ἐγκριθέντων Πατέρων, φυλάττεσθαι ὁ κανὼν κελεύει, ἀλλὰ μὴ διαφθείρεσθαι, μηδὲ κατατέμνεσθαι, μηδὲ τοῖς βιβλιοκαπήλοις, ἢ τοῖς μυρεψοῖς ἐκδίδοσθαι πρὸς ἀφανισμόν· βιβλιοκαπήλους δὲ, οὐ τοὺς τὰ βιβλία πωλοῦντάς φησιν ὁ κανὼν, ἀλλὰ τοὺς ἀπαλείφοντας, ἢ καὶ ἄλλως χρωμένους ταῖς βίβλοις, εἰς ἀφανισμὸν τῶν ἐν αὐτοῖς γεγραμμένων. Τὰ δὲ ὑπὸ σκωλήκων ἴσως βρωθέντα, ὡς τέλεον διαφθαρῆναι, ἢ ὑπὸ ὕδατος, ἢ ἄλλως ἀχρειωθέντα, ὡς μὴ χρησιμεύειν εἰς ἀνάγνωσιν, εἰ ἀπαλείψει τις, οὐχ ὑποπεσεῖται τῷ ἐπιτιμίῳ, ὅπερ ἐστὶ, τὸ ἐπὶ ἐνιαυτὸν ἀφορίζεσθαι τὸν παραβαίνοντα τὸν κανόνα. Παραβάτης δ' ἐστὶ καὶ ὁ πωλῶν ταῦτα ἐπὶ διαφθορᾷ, καὶ ὁ* (4) οὕτως ὠνούμενος.

ΒΑΛΣ. Τινὲς δι' αἰσχροκέρδειαν βιβλία τῶν θείων Γραφῶν ἐμπορευόμενοι, ἀπήλειφον, ἢ καὶ κατέτεμνον, μὴ συλλογιζόμενοι τὴν ἐντεῦθεν τοῦ Θεοῦ κατάκρισιν. Διορθούμενοι οὖν τὰ περὶ

---

(1) Βευερ. Σ. Ῥ. — τὸ, τῶν ἁπάντων, οὐ κεῖται παρὰ Βρ. καὶ Χ. Τρ. — (2) Π. Βρ. Βευερ. Σ. Ῥ. — ποιῶν Τρ. Χρ. — (3) ἀποδῶται Σ. Ῥ. — (4) Χ. Τρ. — τὸ, ὁ, οὐ κεῖται παρὰ Βευερ. καὶ Ἑ.

τούτου οἱ Θεῖοι καὶ ἅγιοι Πατέρες, διωρίσαντο, μὴ ἔχειν ἐπ' ἀδείας τινὰ τῶν ἁπάντων διαφθείρειν, ἢ κατατέμνειν, ἢ πωλεῖν πρὸς μυρεψούς, ἢ βιβλιοκαπήλους, χάριν ἀπαλοιφῆς, ἢ κατατομῆς, οἱονδηποτοῦν βιβλίον ἐκ τῆς θείας Γραφῆς, ἔκ τε τῆς Παλαιᾶς δηλονότι Διαθήκης, καὶ τῆς Νέας, εἰ μήπου τὸ τοιοῦτον βιβλίον, ἢ ἀπὸ ὕδατος, ἢ ἀπὸ σκωλήκων, ἢ ἀπὸ ἑτέρου τρόπου, πυρὸς δηλονότι, πάμπαν ἀχρειωθῇ. Τὸν δὲ παρὰ ταῦτα ποιοῦντα, ἐπὶ ἐνιαυτὸν ἀφορίζεσθαι· *παρομοίως δὲ ἀφορίζεσθαι*(1) καὶ τὸν ἐξωνούμενον οὕτω ταῦτα, καὶ μὴ ἐπικτώμενον αὐτὰ ἢ διὰ οἰκείαν, ἢ διὰ ἀλλοτρίαν ὠφέλειαν. Ἀκούων δὲ τοῦ κανόνος λέγοντος, μὴ ἀπαλείφεσθαι, ἢ ὁπωσδήποτε διαφθείρεσθαι βιβλίον τῆς Παλαιᾶς, ἢ τῆς Καινῆς Διαθήκης, ἢ ἕτερον τῆς θείας Γραφῆς, περὶ ἐκείνων τῶν βιβλίων λέγε τὸν κανόνα διαλέγεσθαι, τῶν ἐκχωρηθέντων ἀναγινώσκεσθαι· τὰ γὰρ ἀπρακτήσαντα καὶ κατατέμνων τις, καὶ ἀπαλείφων, οὐ κολασθήσεται. Σημείωσαι δὲ ταῦτα διὰ τοὺς βιβλιοκαπήλους, τοὺς ἀπαλείφοντας τὰς μεμβράνας τῶν θείων Γραφῶν, καὶ μὴ παραδέξῃ τούτους λέγοντας, ὡς ἐρεῖται τόδε τι βιβλίον*(2) ἐκ τῆς θείας Γραφῆς ἀπαλείφειν, καὶ ἕτερον ἐν τοῖς ἀπαλειφεῖσι μεταγράφειν· ἑνὸς γὰρ ἀτόπου δοθέντος, καὶ ἕτερα πολλὰ ἄτοπα συνακολουθήσουσιν. Οἱ μέν τοι βιβλιοπῶλαι ἐπαινετέοι εἰσίν.

ΑΡΙΣΤ. Οὐ διαφθερεῖς θεῖον βιβλίον, οὐδὲ δώσεις διαφθαρῆναι, εἰ μὴ τέλεον κατηχρείωται.

Οὐκ ἐξέσται τινὶ τῶν ἁπάντων βιβλίων τῆς Παλαιᾶς ἢ τῆς Καινῆς Διαθήκης, καὶ τῶν ἐγκρίτων καὶ ἁγίων ἡμῶν διδασκάλων, διαφθείρειν, ἢ τοῖς βιβλιοκαπήλοις, ἢ τοῖς μυρεψοῖς διδόναι, πρὸς τὸ καταλῦσαι καὶ ἀφανίσαι αὐτό, εἰ μὴ τέλεον ἠχρειώθη ὑπὸ σητῶν, ἢ ὕδατος, ἢ ἑτέρου τρόπου. Ὁ δὲ παραβαίνων τὸ ὁρισθέν, ἐπὶ ἐνιαυτὸν ἀφορίζεται.

(1) Χ. Τρ. — τὰ ἐντὸς * οὐ κεῖται παρὰ Βευερ. καὶ Ε. — (2) Χ. Τρ. — τὸ, βιβλίον, οὐ κεῖται παρὰ Βευερ. καὶ Ε.

Κανὼν ΞΘ'.

Μὴ ἐξέστω τινὶ τῶν ἁπάντων ἐν λαϊκοῖς τελοῦντι, ἔνδον ἱεροῦ εἰσιέναι θυσιαστηρίου· μηδαμῶς ἐπὶ τοῦτο τῆς βασιλικῆς εἰργομένης ἐξουσίας καὶ αὐθεντίας, ἡνίκα ἂν (1) βουληθείη προσάξαι δῶρα τῷ πλάσαντι, κατά τινα ἀρχαιοτάτην παράδοσιν.

—

ΖΩΝΑΡ. Τὸ θυσιαστήριον τοῖς ἱερωμένοις ἀφώρισται· διὸ καὶ ὁ κανὼν τοῖς λαϊκοῖς ἀπαγορεύει τὴν πρὸς αὐτὸ εἴσοδον· τῷ δὲ βασιλεῖ μόνῳ παραχωρεῖ τῆς εἰς τὸ θυσιαστήριον εἰσόδου, ὅτε προσάγει δῶρα τῷ Θεῷ. Ὥσπερ δ' ὑπεραπολογούμενοι ἑαυτῶν οἱ τοῦτο δόντες τῷ βασιλεῖ τὸ προνόμιον, τῆς ἐξουσίας καὶ τῆς αὐθεντίας ἐμνήσθησαν, μονονουχὶ τοῦτο λέγοντες, ὅτι οὐδὲ τοῦτον, καθὸ λαϊκός ἐστιν, ἐχρῆν ἐντὸς εἰσιέναι τοῦ θυσιαστηρίου· ἀλλὰ διὰ τὴν ἐξουσίαν, καὶ τὴν αὐθεντίαν, ἐνεδόθη αὐτῷ, ἄρχῆθεν τοῦτο παραδόντων τῶν παλαιοτέρων Πατέρων.

ΒΑΛΣ. Ἀπαγορεύει ὁ παρὼν κανὼν εἰσιέναι τοὺς λαϊκοὺς ἔνδον τοῦ θείου θυσιαστηρίου, ὡς ὄντος τούτου ἀφωρισμένου μόνοις τοῖς ἱερωμένοις· τῷ βασιλεῖ δὲ, καὶ λαϊκῷ ὄντι, ἐνεδόθη, φησὶ τοῦτο, ἡνίκα προσάξαι δῶρα τῷ Θεῷ αἱρετίσηται, κατά τινα παλαιὰν παράδοσιν. Ὅπως οὖν εἰς τὸ θεῖον ἄδυτον τοῦ περιωνύμου ναοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἐν τῇ Χάλκῃ, ἀκωλύτως εἰσέρχεται ὁ βουλόμενος, ἀγνοῶ. Περὶ δέ γε τῶν Λατίνων, μανθάνω, ὅτι οὐ μόνον λαϊκοὶ ἄνδρες, ἀλλὰ καὶ γυναῖκες εἰς τὸ ἅγιον βῆμα εἰσέρχονται, καὶ κάθηνται ἱσταμένων πολλάκις καὶ τῶν ἱερουργούντων. Περὶ μέντοι τῶν βασιλέων, εἶπόν τινες, τοῖς ῥήμασιν ἐπικαθήμενοι τοῦ κανόνος, ὅτι τότε οὐ κωλυθήσονται ἔνδον τοῦ θυσιαστηρίου εἰσιέναι, ὅτε προσαγαγεῖν δῶρον τῷ Θεῷ μέλλουσιν, οὐ μὴν ὅτε χάριν προσκυνήσεως μόνης (2) βουληθῶσιν εἰσελθεῖν ἐν αὐτῷ. Ἐμοὶ δὲ τοῦτο οὐ δοκεῖ· οἱ γὰρ πατριάρχας προβαλλόμενοι ὀρθόδοξοι βασιλεῖς, δι' ἐπικλήσεως τῆς ἁγίας

(1) Π. Κ. Βρ. — ἡνίκα δ' ἂν Χ. Τρ. Βευερ. Ἐ. — (2) Χ. Τρ. — μόνον Βευερ. Ἐ.

Τριάδος, καὶ χριστοὶ ὄντες Κυρίου, ἀκωλύτως, ὅτε καὶ βούλονται, εἰς τὸ ἅγιον θυσιαστήριον εἰσέρχονται, καὶ θυμιῶσι, καὶ σφραγίζουσι μετὰ τρικηρίου, καθὼς καὶ οἱ ἀρχιερεῖς· *ἀλλὰ (1) καὶ κατηχητικῶς διδάσκουσι τὸν λαὸν, ὅπερ μόνοις ἐδόθη τοις ἐγχωρίοις ἀρχιερεῦσιν. Εὔρηται δὲ καὶ ἐν τῷ ιθ'. λόγῳ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας Φλαβίου Ἰωσήπου ὑπογραφὴ βασιλικὴ, οὕτως ἔχουσα· Τιβέριος Κλαύδιος, Καῖσαρ, Σεβαστὸς, Γερμανικὸς, Ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας ὕπατος χειροτονηθεὶς τὸ δεύτερον. Ὅτι δὲ καὶ χριστὸς Κυρίου ὁ κατὰ καιροὺς βασιλεύς ἐστι διὰ τὸ χρίσμα τῆς βασιλείας, ὁ δὲ Χριστὸς καὶ Θεὸς ἡμῶν μετὰ τῶν ἄλλων καὶ ἀρχιερεὺς ἀνακηρύττεται, εὐλόγως καὶ αὐτὸς ἀρχιερατικοῖς κατακοσμεῖται χαρίσμασι*.

[*Σημείωσαι τὸν παρόντα κανόνα, καὶ κώλυε δι' αὐτοῦ τοὺς λαϊκοὺς εἰσερχομένους ὁπωσδήποτε εἰς τὸ ἅγιον βῆμα. Ἐγὼ δὲ πολλὰ σπουδάσας κωλῦσαι τὴν εἰς τὸ ἅγιον βῆμα τοῦ ναοῦ τῆς ὑπεραγίας Δεσποίνης μου καὶ Θεοτόκου τῆς Ὁδηγητρίας(2) εἰσέλευσιν τῶν λαϊκῶν, οὐκ ἴσχυσα, λεγόντων ἀρχαῖον εἶναι τοῦτο ἔθος, καὶ μὴ ὀφείλειν κωλυθῆναι*].

ΑΡΙΣΤ. Εἰ μὴ βασιλεὺς, οὔ τις τῶν λαϊκῶν εἰς ἱλαστήριον εἴσεισιν.

Τοῖς κοσμικοῖς τὸ ἱλαστήριον ἄβατον· βασιλεὺς δὲ οὐ κεκώλυται εἰσέρχεσθαι ἐν αὐτῷ, ἡνίκα ἂν βουληθῇ, καὶ προσάγειν δῶρα τῷ Θεῷ.

Κανὼν Ο'.

Μὴ ἐξέστω ταῖς γυναιξὶν ἐν τῷ καιρῷ τῆς θείας λειτουργίας λαλεῖν· ἀλλὰ κατὰ τὴν φωνὴν Παύλου τοῦ Ἀποστόλου, σιγάτωσαν(3)· οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάττεσθαι, καθὼς καὶ ὁ νόμος λέγει(4)·

(1) Ἅπαν τὸ μέρος τοῦτο τῆς ἑρμηνείας ἀπὸ τοῦ, ἀλλὰ καὶ κατηχητικῶς ἕως τοῦ, κωλυθῆναι, κεῖται ἐν Χ. Τρ. οὐχὶ δὲ παρὰ Ἑ. Ὁ δὲ Βευερ. παραλιπὼν ταῦτα ἐν τῷ κειμένῳ, γράφει αὐτὰ μετὰ μικρῶν παραλλαγῶν ἐν ταῖς σημειώσεσιν αὐτοῦ Τόμ. Β'. σελ. 160· προστιθεὶς, ὅτι ἐν οὐδενὶ ἑτέρῳ Κώδικι, παρὰ τὸν Βοδληϊάνειον, εὕρηνται, καὶ διὰ τοῦτο παραλείπει αὐτά. Ἀλλ' ἰδοὺ, εὕρηνται καὶ ἐν τῷ Τραπεζουντείῳ Κώδικι. — (2) καὶ ἐν τῷ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἐν τῇ Χάλκῃ, Βευερ. Σημ. σελ. 160.

(3) Ἀ. Κορ. ΙΔ', 34, 35. — (4) Π. Χ. Τρ. Βρ. — φησὶν Βευερ.

εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν.

ΖΩΝΑΡ. Σιγᾶν ὁ μέγας Παῦλος ταῖς γυναιξὶν ἐπιτάττει, οὐ κατὰ τὸν καιρὸν μόνον τῆς λειτουργίας, ἀλλ᾿ ἐπὶ πάσης συνελεύσεως τῶν πιστῶν. Τοῦτο δὲ καὶ τοῖς θύραθεν ἁρμόδιον ἔδοξε· φησὶ γάρ τις τῶν ποιητῶν· Γύναι (1), γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. Τέως δὲ ὁ παρὼν κανὼν σιγὴν αὐταῖς ἐπιτάττει, ἐν τῷ τῆς λειτουργίας καιρῷ· εἰ δέ τι, φησὶ, μαθεῖν θέλουσι, τοὺς οἰκείους ἄνδρας οἴκοι ἐρωτάτωσαν· καὶ τοῦτο δὲ ἀποστολικόν ἐστι· νόμον δὲ ἐνταῦθα ὠνόμασεν ὁ κανὼν τὰ ἀποστολικὰ διατάγματα.

ΒΑΛΣ. Πρὸς Κορινθίους ἐπιστέλλων ὁ μέγας Παῦλος, παρεγγυᾶται ταῖς γυναιξὶ σιγᾶν, καὶ τοῖς οἰκείοις ἀνδράσιν ὑπείκειν, κατὰ τὸν Μωσαϊκὸν νόμον, τὸν λέγοντα· Πρὸς τὸν ἄνδρα σου, γύναι, ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. Ἀκολούθως οὖν τούτοις διορίζεται ὁ κανὼν, μὴ λαλεῖν τὰς γυναῖκας ἐν τῷ καιρῷ τῆς θείας λειτουργίας, ἀλλ᾿ ὑπὸ τῶν οἰκείων ἀνδρῶν οἴκοι μανθάνειν, περὶ ὧν θέλουσι. Τούτου δὲ ὁρισθέντος οὕτω, μὴ εἴπῃς, κατὰ μὲν τὸν καιρὸν τῆς λειτουργίας κωλύεσθαι αὐτὰς τοῦ λαλεῖν· κατὰ δὲ τὰς ἑτέρας ἐκκλησιαστικὰς συνάξεις, ἀπαρεμποδίστως λαλεῖν· καὶ τηνικαῦτα γὰρ σιγᾶν ὀφείλουσιν. Ὡς ἔοικε δὲ, τινὲς γυναῖκες, κατὰ τὸν τότε καιρὸν, ἀνάγνωσιν θείων Γραφῶν ὑποκρινόμεναι, ἐκκλησιάζειν ἐπεχείρουν τὰ πολλὰ, καὶ πρὸς ἐρωτήσεις καὶ ἀποκρίσεις ἑτοιμάζεσθαι, ὅπερ ἀνοίκειον εἶναι γυναιξὶν ἔδοξε τοῖς Πατράσι, κἀντεῦθεν καὶ ἐκωλύθη. Κατ᾿ ἰδίαν δὲ ἐρωτᾶν τὰς συνετωτέρας περὶ ψυχωφελῶν τινων, οὐκ ἔστι καινόν. Ἀνάγνωθι καὶ βιβλίον ή. τῶν βασιλικῶν, τίτλον ά. κεφ. ά. θέμα έ. κωλύον τὰς γυναῖκας συνηγορεῖν δημοσίᾳ, λέγον οὕτω ῥητῶς· Ὑπὲρ μόνων ἑαυτῶν συνηγοροῦσι γυνὴ καὶ τυφλός· ἡ γυνὴ γὰρ οὐ μετέρχεται ἀνδρῷον ὀφφίκιον. Καὶ βιβλίον κά. τίτ. ά. κεφ. ιά. λέγον· Γυνὴ ἐν διαθήκῃ οὐ μαρτυρεῖ· ἐν ἄλλοις δὲ

---

(1) Χ. Τρ. — τὸ, Γύναι, οὐ κεῖται παρὰ Βευερ.

μαρτυρίαν νέμει, ἐν οἷς ἄνδρες οὐ προσκαλοῦνται. Καὶ τὴν μή. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, κωλύουσαν γυναῖκας ἐπὶ συμφώνοις μαρτυρεῖν καὶ συναλλάγμασιν. Ἐπὶ δὲ τοκετοῖς, καὶ ἐφ' ὧν μόνη θήλεια (1) ὄψις ὁρᾷ, οὐ μὴν καὶ ὀφθαλμοὶ ἀῤῥένων, ἐπιτρέπουσιν αὐτὴν μαρτυρεῖν. Ζήτει καὶ τὴν ριή. Ἰουστινιάνειον νεαρὰν, ἤτοι κεφ. ι'. τοῦ δ'. τίτλου τοῦ λζ'. βιβλίου τῶν βασιλικῶν, κωλύουσαν τὰς γυναῖκας ἐπιτρόπους γίνεσθαι, καὶ λέγουσαν οὕτω ῥητῶς ἐν μέρει· Ταῖς γὰρ γυναιξὶ καὶ ἡμεῖς ἀπαγορεύομεν, τὰ τῆς ἐπιτροπῆς ὑπελθεῖν λειτουργήματα, εἰ μὴ (2) μήτηρ, ἢ μάμμη εἴη· ταύταις γὰρ μόναις, κατὰ τὴν τῆς κληρονομίας τάξιν, καὶ τὴν ἐπιτροπὴν ὑπελθεῖν ἐφίεμεν, ἐὰν ἐν ὑπομνήμασι, καὶ γάμοις ἑτέροις, καὶ τῇ βοηθείᾳ τοῦ Βελλιανείου δόγματος, ἀπαγορεύσωσι. Ταῦτα γὰρ φυλάττουσαι, πάντων τῶν ἐκ πλαγίου συγγενῶν εἰς τὴν ἐπιτροπὴν προτιμηθήσονται, τῶν ἐκ διαθήκης μόνον ἐπιτρόπων προλαμβανόντων αὐτάς· τὴν γὰρ τοῦ τελευτήσαντος βούλησίν τε καὶ ἐπιλογὴν προτιμᾶσθαι βουλόμεθα. Ἀνάγνωθι καὶ τίτλον ε. τοῦ αὐτοῦ βιβλίου κεφ. κ'. θέμα γ'. λέγον· Γυνὴ οὐ κουρατωρεύει.

ΑΡΙΣΤ. Γυναιξὶ λαλεῖν ἐπ' ἐκκλησίαις οὐκ ἐπιτέτραπται.

Εἰ γὰρ θελήσουσί τι μαθεῖν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν.

Κανὼν ΟΑ'.

Τοὺς διδασκομένους τοὺς πολιτικοὺς νόμους, μὴ δεῖν τοῖς Ἑλληνικοῖς ἔθεσι κεχρῆσθαι, μήτε μὴν ἐπὶ θεάτρων ἐνάγεσθαι, ἢ τὰς λεγομένας κυλίστρας ἐπιτελεῖν, ἢ παρὰ τὴν κοινὴν χρῆσιν στολὰς ἑαυτοῖς περιτιθέναι. Μήτε καθ' ὃν καιρὸν τῶν μαθημάτων ἐνάρχονται (3), ἢ πρὸς τὸ τέλος αὐτῶν καταντῶσιν·, ἤ, καθόλου φάναι, διὰ μέσου (4)

(1) Χ. Τρ. — θηλυκὰ ὄψις ! Βευερ. Ἐ. — (2) Χ. Τρ. — εἰ μήτηρ Βευερ. Ἐ.

(3) Π. Βρ. Χ. Τρ. — ἀπάρχονται Βευερ. Κ. Ἐ. — (4) Π. Χ. Τρ. Βρ. — διὰ μέσης Βευερ.

τῆς τοιαύτης παιδεύσεως· εἰ δέ τις ἀπὸ τοῦ νῦν τοῦτο πρᾶξαι τολμήσοι, ἀφοριζέσθω.

—

ΖΩΝΑΡ. Τὸ ἔθεσιν Ἑλληνικοῖς τοὺς πιστοὺς χρῆσθαι, ἐν πᾶσιν οἱ θεῖοι Πατέρες ἀπαγορεύουσιν. Ἐπεὶ δὲ καὶ οἱ τοὺς πολιτικοὺς μανθάνοντες νόμους, ἔθεσι τοιούτοις ἐκέχρηντο, καὶ στολὰς ἀλλοκότους τινὰς ἐνεδύοντο τῶν μαθημάτων ἀρχόμενοι, ἢ καὶ πρὸς τὸ τέλος τούτων γινόμενοι, κωλύουσι καὶ ταῦτα πάντα, ὁποῖά ποτ᾿ ἂν ἦσαν τὰ παρ᾿ ἐκείνων γινόμενα, καὶ ἀφορισμὸν τῶν τοιοῦτόν τι πραξόντων (1) καταψηφίζονται.

ΒΑΛΣ. Ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος γράφει εἰς τὸν ἐπιτάφιον τοῦ μεγάλου Βασιλείου λόγον τοῦτο· ὡς οἱ πλεῖστοι καὶ ἀφρονέστεροι τῶν ἐν Ἀθήναις νέων σοφιστομανοῦντες, καὶ κατὰ τοὺς ἱπποδρομομανοῦντας μαχόμενοι πρὸς τοὺς ἀντιθέτους, προκαταλαμβάνουσι τὰς πόλεις καὶ τὰς ὁδούς· καὶ τοὺς νεήλυδας σοφιστὰς δεξιοῦνται, μετὰ πομπείας καὶ ξεναγωγίας, καί τινων ἑτέρων παιδιῶν συνήθων τοῖς σοφιστεύουσιν. Ὡς ἔοικεν οὖν, εἴθιστό ποτε καὶ ἐν ταύτῃ τῇ βασιλευούσῃ τῶν πόλεων, ὅτε καὶ ἡ τῶν νόμων μάθησις ἤκμαζε, τοιούτοις Ἑλληνικοῖς ἔθεσι κεχρῆσθαί τινας, καὶ τοὺς μέλλοντας πρὸς τὴν τῶν νόμων μάθησιν ἀποδύεσθαι, ἢ τοὺς διὰ μέσου τῆς διδασκαλίας προοδεύοντας, ἢ τοὺς τελειωθέντας, μετὰ προπομπῆς καὶ πολυτελῶν ἀσυνήθων ἱματίων θεατρίζειν· καὶ διὰ τοῦτο τοὺς Πατέρας θεσμοθετῆσαι τὰ ἐν τῷ παρόντι κανόνι. Κυλίστραι δὲ ἐγίνοντο, ὡς ἐμοὶ δοκεῖ, μεταξὺ τῶν διδασκόντων· τοῦ μὲν γὰρ ἰδιουμένου τόν δε τὸν μαθητὴν, τοῦ δὲ, ἑτέρωθεν ἀντιπίπτοντος, αἱ κυλίστραι ἐπενοήθησαν· καὶ τὸ ἐκ τῆς τύχης ἀποτέλεσμα, ὡς γίνεται σήμερον ἐν ταῖς ἱπποδρομίαις, χάριν τῶν καγγέλων. Ταῦτα οὖν πάντα οἱ ἅγιοι Πατέρες ἀπαγορεύοντες, καὶ ἑλληνικὰ ἔργα κατονομάζοντες, διορίζονται μηδέν τι τοιοῦτον γίνεσθαι πάντως, διὰ τὸ πολλὰ σκάνδαλα ταραχώδη χάριν τούτων ἀναφύεσθαι μέσον τῶν πιστῶν, καὶ

(1) Κ. Τρ. Ε. — πραξάντων Βευέρ.

ἐθνικῆς εὐτυχίας, ἢ δυστυχίας εἶναι ἐπίχειρον τὸ γινόμενον· τοὺς δὲ παραβάτας τοῦ κανόνος, ἀφορισμῷ ὑποκεῖσθαι παρεκελεύσαντο (1).

ΑΡΙΣΤ. Ἀφορίζεται νομομαθὴς ἔθει ἑλληνικῷ χρώμενος, καὶ θεάτροις ὑπαγόμενος, καὶ κυλίων, ἢ παρὰ τὴν κοινὴν χρῆσιν στολιζόμενος.

Ἔθεσιν εἰ χρήσεταί τις ἑλληνικοῖς, τοὺς πολιτικοὺς νόμους ἐνδιδασκόμενος, ἐπὶ θέατρα ἴσως ἀναγόμενος, ἢ τὰς λεγομένας κυλίστρας ἐπιτελῶν, ἢ στολάς τινας παρὰ τὴν κοινὴν χρῆσιν ἐνδιδυσκόμενος, ἀφορισθήσεται.

Κανὼν ΟΒ'.

Μὴ ἐξέστω (2) ὀρθόδοξον ἄνδρα αἱρετικῇ συνάπτεσθαι γυναικί, μήτε μὴν αἱρετικῷ ἀνδρὶ γυναῖκα ὀρθόδοξον συζεύγνυσθαι (3)· ἀλλ' εἰ καὶ φανείη τι τοιοῦτον ὑπό τινος τῶν ἁπάντων γινόμενον, ἄκυρον ἡγεῖσθαι τὸν γάμον, καὶ τὸ ἄθεσμον διαλύεσθαι συνοικέσιον· οὐ γὰρ χρὴ τὰ ἄμικτα μιγνύναι, οὐδὲ τῷ προβάτῳ, λύκον (4) συμπλέκεσθαι, καὶ τῇ τοῦ Χριστοῦ μερίδι τὸν τῶν ἁμαρτωλῶν κλῆρον· εἰ δὲ παραβῇ τις τὰ παρ' ἡμῶν ὁρισθέντα, ἀφοριζέσθω. Εἰ δέ τινες, ἔτι ἐν τῇ ἀπιστίᾳ τυγχάνοντες, καὶ οὔπω(5) τῇ τῶν ὀρθοδόξων ἐγκαταλεγέντες ποίμνῃ, ἀλλήλοις γάμῳ νομίμῳ ἡρμόσθησαν, εἶτα ὁ μέν, τὸ καλὸν ἐκλεξάμενος, τῷ φωτὶ τῆς ἀληθείας προσέδραμεν· ὁ δέ, ὑπὸ τοῦ τῆς πλάνης κατεσχέθη δεσμοῦ· μὴ πρὸς τὰς θείας ἀκτίνας

---

(1) Ἐνταῦθα ἀναγινώσκονται ἐν περισελ. τοῦ Χ. Τρ. τὰ ἑξῆς· Σημείωσαι τὸν παρόντα κανόνα, καὶ τὰ τῆς ἑρμηνείας αὐτοῦ, νομίζω γὰρ ἐκ τούτου κωλύεσθαι τὰ παρὰ τῶν νοταρίων ἐν τῇ προόδῳ τῶν ἁγίων Νοταρίων γινόμενα, καὶ τὰ ἐν ταῖς ἐπιστασίαις [ταῖς γραμματικαῖς Βευερ.] δημοσιευόμενα ἄνευ τῆς εὐχῆς. — Ταῦτα παρατίθησι μετὰ μικρῶν παραλλαγῶν καὶ ὁ Βευερ. ἐν ταῖς Σημ. αὐτοῦ Τόμ. Β'. σελ. 160, ὡς μόνον ἐν τῷ Βοδληϊανείῳ Κώδ. ἀναγινωσκόμενα.

(2) Π. Βρ. Χ. Τρ. Ἐ. Κ. — Μὴ ἐξεῖναι Βευερ. — (3) Π. Ἐ. Κ. — ζεύγνυσθαι Βευερ. Βρ. Χ. Τρ. — (4) Π. Βευερ. — τὸν λύκον Χ. Τρ. Βρ. Ἐ. Κ. — (5) Π. Χ. Τρ. Βρ. Σ. Ῥ. — οὕτω Βευερ. Κ. Ἐ.

ἀτενίσαι ἑλόμενος, (εὐδοκεῖ δὲ τῷ πιστῷ ἡ ἄπιστος συνοικεῖν, ἢ τὸ ἔμπαλιν, ὁ ἄπιστος τῇ πιστῇ), μὴ χωριζέσθωσαν, κατὰ τὸν θεῖον Ἀπόστολον· ἡγίασται γὰρ ὁ ἄπιστος ἀνὴρ ἐν τῇ γυναικὶ, καὶ ἡγίασται ἡ ἄπιστος γυνὴ ἐν τῷ ἀνδρί (1).

—

ΖΩΝΑΡ. Οἱ τῆς συνόδου ταύτης ἱεροὶ καὶ θεῖοι Πατέρες, περὶ τῶν ἄρτι ζευγνυμένων εἰς γάμου κοινωνίαν νομοθετοῦσιν· ὧν τὸν μὲν, πιστὸν εἶναι ὑποτιθέασι, τὴν δὲ, ἄπιστον, ἢ τοὐναντίον· καὶ ἀπαγορεύουσι τὰς τοιαύτας συζυγίας, καὶ γενομένας δὲ, διασπᾶσθαι κελεύουσιν· οὐ γὰρ χρὴ, φασὶ, μιγνύναι τὰ ἄμικτα. Εἰ γὰρ ἡ τῆς ψυχῆς περὶ τὴν πίστιν διάθεσις ἐναντία τοῖς συνοικοῦσι, πῶς ἂν περὶ τὰ ἄλλα ὁμόψυχοι ἔσονται; ἢ πῶς ἐν τῷ μείζονι, τῇ πίστει λέγω, ἀσύμβατοι ὄντες, καὶ ἀκοινώνητοι, συμβαῖεν ἀλλήλοις καὶ συγκοινωνήσαιεν ἐν τοῖς λοιποῖς; Διὸ καὶ μετὰ τὴν λύσιν τοῦ ἀθέσμου τούτου γάμου, καὶ ἀφορίζεσθαι βούλονται τοὺς τὸν παρόντα κανόνα παραβαίνοντας. Ταῦτα μὲν οὖν περὶ τῶν ἄρτι πρώτως ζευγνυμένων ἀλλήλοις εἰς γάμου κοινωνίαν, οἱ Πατέρες φασί· τοῦ μὲν, ὀρθοδόξου τυγχάνοντος, τῆς δὲ, μὴ τοιαύτης. Εἰ δὲ, ὅτε εἰς γάμον συνῆλθον ἀλλήλοις, καὶ ἄμφω τῶν ὀρθοδόξων ἠλλοτριόντο, εἶτα τὸ μὲν τῶν προσώπων ἐπέγνω τὴν ἀλήθειαν, καὶ προσῆλθε τῇ πίστει, τὸ δὲ ἔτι τῷ σκότει τῆς πλάνης συνέχεται, τῇ τοῦ μεγάλου Παύλου διαταγῇ ἕπεσθαι καὶ οἱ Πατέρες οὗτοι ψηφίζονται. Εἰ γὰρ θέλει, φησὶ, τῷ πιστῷ ἡ ἄπιστος συνοικεῖν, ἢ τοὐναντίον, μὴ χωριζέσθωσαν· ἡγίασται γὰρ ὁ ἄπιστος ἀνὴρ ἐν τῇ γυναικὶ, καὶ τὸ ἔμπαλιν.

ΒΑΛΣ. Ὁ πολιτικὸς νόμος, τὸν γάμον ὁρίζεται κοινωνίαν καὶ συγκλήρωσιν θείου τε καὶ ἀνθρωπίνου δικαίου. Ἀκολούθως οὖν τούτοις (2) διορίζονται οἱ ἅγιοι Πατέρες, μὴ συνάπτεσθαι κατὰ νόμον γάμου ὀρθόδοξον ἄνδρα αἱρετικῇ γυναικὶ, ἢ τὸ ἀνάπαλιν. Ἀλλ' εἴ ποτε γένηταί τι τοιοῦτον, διασπᾶσθαι τὸ

(1) Α. Κορ. Ζ', 12. — (2) Χ. Τρ. — τούτῳ Ε. Βευερ.

συνοικέσιον, ὡς ἀνυπόστατον. Τίς γὰρ, φησὶ, κοινωνία ἔσται λύκῳ καὶ ἀρνίῳ, ἐναντιοφρονοῦσι κατὰ πάντα, καὶ ἐχθραίνουσι διὰ τὸ τῆς διαγωγῆς διάφορον; Καὶ οὐ μόνον διασπᾶσθαι τὸ συνοικέσιον, ἀλλὰ καὶ τὸν τοιοῦτόν τι τολμήσαντα ἀφορίζεσθαι. Εἰ μέντοι, φασὶ*, θάτερος (1) τῶν ὁμοζύγων προέληται τὴν ὀρθόδοξον πίστιν, οὐ παρὰ τοῦτο τὰ* (2) τοῦ συνοικεσίου διασπασθήσεται. Ὁ γὰρ μέγας Ἀπόστολος Παῦλος διωρίσατο, ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ αὐτοῦ, τοὺς τοιούτους μὴ χωρίζεσθαι, ὅτι ἡγίασται ὁ ἄπιστος ἀνὴρ διὰ τῆς πιστῆς γυναικὸς, καὶ ἀντιστρόφως, ἁγιάζεται ἡ ἄπιστος γυνὴ διὰ τοῦ πεπιστευκότος ἀνδρός. Ἔστι δὲ καὶ ἐλπὶς ὁμοφρονῆσαι τοὺς ὁμοζύγους ἐκ τοῦ προελέσθαι θάτερον ἐξ αὐτῶν τὴν ὀρθόδοξον πίστιν. Σημείωσαι οὖν τὸν παρόντα κανόνα, διὰ τοὺς Ἴβηρας, τοὺς ἀδιαφόρως τὰ οἰκεῖα θυγάτρια τοῖς Ἀγαρηνοῖς ἐκγαμίζοντας. Ὡσαύτως σημείωσαι καὶ τὸ ῥῆμα τοῦ κανόνος, τὸ λέγον· Εὐδοκεῖ δὲ τῷ πιστῷ ἡ ἄπιστος συνοικεῖν; ἢ τὸ ἔμπαλιν, ὁ ἄπιστος τῇ πιστῇ, μὴ χωριζέσθωσαν· εἰ γὰρ αἱρετίσεταί τις τούτων διαζυγῆναι, ἀπεντεῦθεν ὁ γάμος διασπασθήσεται. Ὅπερ γέγονε καὶ ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Θεοδότου· διεζύγη γὰρ Βασιλικὸς Βικινάτωρ (3) μετὰ τὸ βαπτισθῆναι ἀπὸ τῆς ἀπίστου γυναικὸς αὐτοῦ, μετὰ πατριαρχικοῦ ὁρισμοῦ, ὡς μὴ πειθομένης βαπτισθῆναι κατὰ τὴν τοῦ ἀνδρὸς παράκλησιν. Ἀνάγνωθι καὶ τὸ ί. κεφ. τοῦ ά. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ (4).

ΑΡΙΣΤ. Ἄκυρος ὁ μετὰ τῶν αἱρετικῶν γάμος· οἱ δὲ προλαβόντες, εἰ ἐθέλοιεν, μένοιεν.

Οὐκ ἐξέσται ὀρθοδόξῳ αἱρετικῇ συνάπτεσθαι γυναικὶ, ἢ τὸ ἀνάπαλιν· εἰ δέ τινες, ἄπιςοι ὄντες, νομίμῳ γάμῳ ἡρμόσθησαν· εἶτα ὁ μὲν προσῆλθε τῇ πίστει, ἡ δὲ ἔτι ὑπὸ τῆς πλάνης κατέχεται· καὶ εὐδοκεῖ ὁ πιςὸς συνοικεῖν τῇ ἀπίστῳ, ἢ τὸ ἀνάπαλιν· μὴ χωριζέσθωσαν, κατὰ τὸν θεῖον Ἀπόστολον Παῦλον.

---

(1) Χ. Τρ. — εἰ μέντοι ἕτερος Βευερ. Ἑ. — (2) Χ. Τρ. — (3) Βικινατόριος Χ. Τρ. — (4) Περὶ τῶν γραφομένων ἐν τῷ σχολίῳ τοῦ παρόντος κανόνος ἀνάγνωθι κτλ. (ὡς ἐν τῷ κειμένῳ) Χ. Τρ. ἐν περισελ.

Κανὼν ΟΓ'.

Τοῦ ζωοποιοῦ σταυροῦ δείξαντος ἡμῖν τὸ σωτήριον, πᾶσαν σπουδὴν ἡμᾶς τιθέναι χρὴ, τοῦ τιμὴν τὴν ἀξίαν ἀποδιδόναι τῷ δι' οὗ σεσώσμεθα τοῦ παλαιοῦ πτώματος (1). Ὅθεν καὶ νῷ, καὶ λόγῳ, καὶ αἰσθήσει, τὴν προσκύνησιν αὐτῷ ἀπονέμοντες, τοὺς ἐν τῷ ἐδάφει τοῦ σταυροῦ τύπους ὑπό τινων κατασκευαζομένους, ἐξαφανίζεσθαι παντοίως προστάσσομεν, ὡς ἂν μὴ τῇ τῶν βαδιζόντων καταπατήσει τὸ τῆς νίκης ἡμῖν (2) τρόπαιον ἐξυβρίζοιτο. Τοὺς οὖν ἀπὸ τοῦ νῦν τοῦ σταυροῦ τύπον ἐπὶ ἐδάφους (3) κατασκευάζοντας, ὁρίζομεν ἀφορίζεσθαι.

—

ΖΩΝΑΡ. Τοῦ Κυρίου ἡμῶν καὶ Θεοῦ καὶ Σωτῆρος Χριστοῦ ἐν τῷ σταυρῷ κρεμασθέντος, ἡμεῖς σεσώσμεθα, καὶ τῆς ἀρχαίας δουλείας τῆς ἁμαρτίας ἠλευθερώμεθα. Τούτῳ τοίνυν τῷ τῆς νίκης ἡμῖν αἰτίῳ τὴν τιμὴν ἀπονέμειν χρῆναί φασιν οἱ ἱεροὶ Πατέρες, καὶ νῷ, καὶ λόγῳ, καὶ αἰσθήσει· νῷ μὲν οὖν ἀποδιδόαμεν, ὅτε καθ' ἑαυτοὺς ἐνθυμούμενοι, καὶ λογιζόμενοι ὅσων ἀγαθῶν ἐτύχομεν δι' αὐτοῦ, ἐκπληττόμεθα τὴν εἰς ἡμᾶς εὐεργεσίαν τοῦ Θεοῦ· λόγῳ δὲ, ὅτε καὶ πρὸς ἑτέρους ταῦτα λέγοντες, χάριτας ὁμολογοῦμεν τῷ σώσαντι ἡμᾶς· αἰσθήσει δὲ, ὅτε αὐτὸν ὁρῶντες, τιμῶμεν καὶ κατασπαζόμεθα. Ἐπεὶ δέ τινες, ὡς τάχα πλείονα τιμὴν νέμοντες τῷ σταυρῷ, πανταχοῦ ἐτύπουν αὐτὸν, πρὸς δὲ τοῖς ἄλλοις, καὶ ἐν ἐδάφει· τοῦτο ὁ παρὼν ἀπαγορεύει κανὼν, κελεύων μὴ ἐν ἐδάφει τυποῦσθαι σταυρὸν, καὶ οὕτω τὸ τῆς νίκης ἡμέτερον τρόπαιον ἀτιμοῦσθαι καταπατούμενον· τοὺς δὲ τοῦτο τολμῶντας, ὑπάγει ἀφορισμῷ.

ΒΑΛΣ. Τινὲς ἐν ἐδάφεσιν ἐκκλησιῶν, ἢ καὶ ἄλλων τόπων σταυρικὰ σημεῖα ἀπὸ λίθου, ἢ ἀπὸ ἑτέρου τινὸς εἴδους ἐχά-

---

(1) Χ. Τρ. Βρ.—παραπτώματος Π. Βευερ. Σ. Ρ́.—(2) Π. Βρ. Βευερ. Σ. Ρ́. 'Ε. Κ. — ἡμῶν Χ. Τρ. — (3) Π. Βευερ. Χ. Τρ. Σ. Ρ́. — ἐπὶ τῷ ἐδάφει Βρ.

ραττον. Τοῦτο οὖν κωλύων ὁ κανὼν, φησὶν, ὅτι ἡ σωτηρία τῶν ἀνθρώπων διὰ τοῦ ζωοποιοῦ σταυροῦ γέγονε, καὶ χρὴ ἡμᾶς τὴν ἀνάλογον τιμὴν καὶ προσκύνησιν αὐτῷ ἀπονέμειν, νῷ, καὶ λόγῳ, καὶ αἰσθήσει· ἤτοι νῷ μὲν, δι' εὐχαριστίας σιωπηρᾶς· λόγῳ δὲ, διὰ τῆς πρὸς πάντας ὁμολογίας τοῦ γεγονότος ἀγαθοῦ πρὸς ἡμᾶς· καὶ αἰσθήσει, ὅταν καὶ πραγματικῶς τοῦτον ὁρῶντες, κατασπαζώμεθα· ὅθεν καὶ τοὺς ὁπουδήποτε εὑρισκομένους τύπους τοῦ σταυροῦ ἐν ἐδάφει, διωρίσατο ἀφανισθῆναι, ὡς ἂν μὴ καταπατῆται παρὰ τῶν βαδιζόντων τὸ κατὰ τοῦ διαβόλου τρόπαιον ἡμῶν. Τοὺς δὲ ἐπιχειρήσοντας (1) σταυροῦ τύπον ἐν ἐδάφει κατασκευάσαι, ἀφορισμῷ καθυποβάλλεσθαι. Φησὶ δὲ καὶ τὸ έ. κεφ. τοῦ ά. τίτλου τοῦ ά. βιβλίου· Μήτε μοναχὸς, μήτε ἕτερός τις, ἐν δημοσίῳ τόπῳ, ἢ ἐν ᾧ θέα ἐπιτελεῖται, σταυρὸν ἐπιβαλλέτω, ἢ λείψανα ἁγίων· καὶ κεφ. ϛ'. Μηδεὶς ἐν ἐδάφει, ἢ μυλίτῃ λίθῳ, ἢ ἐν μαρμάρῳ ἐδαφικῷ ἐγγλυφέτω, ἢ γραφέτω σταυρόν· ἀλλὰ περιαιρείσθω, τὴν βαρυτάτην τοῦ παραβαίνοντος ὑφισταμένου ποινήν. Καὶ κεφ. μή. τοῦ ά. τίτλ. τοῦ γ'. βιβ. τῶν βασιλικῶν λέγον ἐν μέρει· Ἀλλὰ καὶ τοὺς τιμίους σταυροὺς, μεθ' ὧν ἐν ταῖς λιταῖς ἐξέρχονται, μὴ ἀλλαχόσε, πλὴν εἰμὴ ἐν εὐαγέσι τόποις ἀποτίθεσθαι. Ταῦτα τοῦ κανόνος καὶ τῶν νόμων διοριζομένων, σταυρὸν μὲν ἐν ἐδάφει οὐ τολμᾷ τις κατασκευάσαι ἀπό τινος ὕλης· ἅγιαι δὲ εἰκόνες καὶ σταυροὶ ἐν δημοσίαις ὁδοῖς παρὰ τοῦ θέλοντος ἀναστηλοῦνται. Καὶ ἡμεῖς μὲν, διὰ τὴν πρὸς τὸν Θεὸν, καὶ τοὺς ἁγίους αὐτοῦ καθαρὰν πίστιν, τὰ ὁπουδήποτε ἀναστηλούμενα τοιαῦτα ἅγια προσκυνοῦμεν καὶ κατασπαζόμεθα· οἱ δὲ νόμοι, ὡς ἔοικε, διὰ τὰς τῶν ἀπίστων, καὶ τῶν ἀδιαφόρως ζώντων κακίας, τὰ ῥηθέντα γεγράφασιν. Οἴομαι δὲ, ὅτι ἐκεῖνοι καθυποβάλλονται ἀφορισμῷ, οἱ ἁπλούστερον, καὶ δι' εὐσέβειαν(2) δῆθεν κατασκευάζοντες ἐν τῷ ἐδάφει τίμιον σταυρόν· οἱ γὰρ κακῇ διαθέσει τοιοῦτόν τι ποιοῦντες, χάριν τοῦ τὸν σωτηριώδη τύπον τοῦ σταυροῦ, διὰ τοῦ καταπατεῖσθαι, περιϋβρίζεσθαι, ὡς ἀσεβεῖς κολασθήσονται.

(1) Χ. Τρ. 'Ε. — ἐπιχειροῦντας Βευερ. — (2) Χ. Τρ. 'Ε. — εὐλάβειαν Βευερ.

ΑΡΙΣΤ. Ὁ ἐν ἐδάφει σταυρὸς ἀφανίζεται.

Πᾶσαν σπουδὴν χρὴ τιθέναι ἡμᾶς, τὴν ἀξίαν ἀποδιδόναι τιμὴν τῷ ζωοποιῷ σταυρῷ, δι' οὗ τοῦ πάλαι σεσώσμεθα παραπτώματος. Καὶ ἐὰν ἐν τῷ ἐδάφει ὁ τοῦ σταυροῦ τύπος κατεσκευάσθη ὑπό τινος, ἀπαλειφέσθω, ἵνα μὴ τῇ τῶν βαδισμάτων καταπατήσει τὸ τῆς νίκης ἡμῶν ἐφυβρίζηται τρόπαιον.

Κανὼν ΟΔ'.

Ὅτι οὐ δεῖ ἐν τοῖς Κυριακοῖς, ἢ ἐν ταῖς ἐκκλησίαις, τὰς λεγομένας ἀγάπας ποιεῖν, καὶ ἔνδον ἐν τῷ οἴκῳ ἐσθίειν, καὶ ἀκούβιτα στρωννύειν. Οἱ δὲ τοῦτο ποιεῖν τολμῶντες, ἢ παυσάσθωσαν, ἢ ἀφοριζέσθωσαν.

—

ΖΩΝΑΡ. Ἀρχαῖον ἔθος ἦν τὸ μετὰ τὴν κοινωνίαν τῶν θείων μυστηρίων συσσίτια γίνεσθαι καὶ συμπόσια, τῶν πλουσίων χορηγούντων τὰ βρώματα, προσκαλουμένων δὲ καὶ τοὺς πενεστέρους. Οὗ καὶ ὁ μέγας Παῦλος ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ μέμνηται, μεμφόμενος αὐτοῖς, ὅτι ἰδίᾳ ἤσθιον, μὴ ἀναμένοντες καὶ τοὺς ἄλλους, καὶ ἐπάγων· Ἕκαστος τὸ ἴδιον δεῖπνον προσλαμβάνει ἐν τῷ φαγεῖν· καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει· μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; Τοῦτο οὖν τὸ τῶν συμποσίων ἔθος, ὃ καὶ ἀγάπην ἐκάλεσεν ὁ κανὼν, διὰ τὸ ἐξ ἀγάπης γίνεσθαι, ἢ ὡς ἀγάπης συστατικὸν, (τὸ γὰρ συνεσθίειν, εἰς ἀγάπην τὴν πρὸς ἀλλήλους ἄγει τοὺς συνεσθίοντας), ἐν ἐκκλησίαις ὕςερον γινόμενον ἔνδον τῶν θείων ναῶν, ἢ τῶν προτεμενισμάτων, ἐσθιόντων τῶν συνερχομένων εἰς τὸ φαγεῖν, αἰτιᾶται ὁ κανὼν οὗτος, καὶ κελεύει, μὴ ἐν ταῖς ἐκκλησίαις ταῦτα ποιεῖν, καὶ ἐντὸς τῶν θείων οἴκων ἐσθίειν, ἀλλ' ἔξω που* ἐν τοῖς προαυλίοις* (1), μηδὲ ἀκούβιτα στρωννύειν· ἡ δὲ λέξις τῶν ἀκουβίτων τῶν Λατίνων ἐστίν· ἀκούμβω γὰρ παρὰ Ῥωμαίοις τὸ ἀναπίπτω· σημαίνει δὲ στρωμνὰς ἠρμένας εἰς ὕψος, καὶ μαλακάς· αὗται δὲ

(1) Χ. Τρ. — οὐ κεῖνται τὰ ἐντὸς * παρὰ Βευερ. οὐδὲ παρὰ Ἑ.

τρυφῆς καὶ βλακείας εἰσί. Πολλαχοῦ δὲ τὸ τοῦ Κυριακοῦ ὄνομα εὕρηται ἐν τοῖς κανόσιν ἐπὶ ταῖς ἐκκλησίαις λαμβανόμενον, μόνος δ' ὁ κανὼν οὗτος διαστέλλει (1) τὴν ἐκκλησίαν καὶ τὸ Κυριακόν. Οἶμαι δὲ τὸ, ἢ, ἐνταῦθα μὴ διαζευκτικῶς κεῖσθαι, ἀλλ' ὡς ἑφερμηνευτικὸν, ἀντὶ τοῦ, ἤτοι. Εὑρίσκομεν γὰρ καὶ ἐν τῇ θείᾳ Γραφῇ τὸ, καὶ, μὴ ὡς σύνδεσμον συμπλεκτικὸν παραλαμβανόμενον, ἀλλ' ὡς αἰτιολογικὸν, καὶ ἀντὶ τοῦ, γὰρ, δεχόμενον· ὡς ὅταν λέγῃ· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη· αἰτίαν τοῦ δοξάζεσθαι τὸν Θεὸν τιθείσης τῆς Γραφῆς, ὅτι ἐπὶ γῆς εἰρήνη, τοῦ, καὶ, ἀντὶ τοῦ, γὰρ, τεθέντος. Καὶ ὁ Δαβὶδ δέ φησι· Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου· σὺ, λέγων, βοήθει· ἡ γὰρ ἀνθρωπίνη σωτηρία ματαία καὶ ἀνωφελής. Καὶ ἐν ταῖς νομικαῖς δὲ βίβλοις εὕρηται πολλάκις ὁ διαζευκτικὸς σύνδεσμος ἀντὶ τοῦ συμπλεκτικοῦ παραλαμβανόμενος. Φησὶ γὰρ βιβλίον μδ'. τίτλος γ'. Ἐάν τις γράψῃ, ὁ δεῖνα ἢ ὁ δεῖνα ἔστω μου κληρονόμος ἢ τόνδε, ἢ τόνδε ἐλευθερῶ, ἔδοξε τὸ, ἢ, ἀντὶ τοῦ, καὶ, δεχθῆναι συμπλεκτικῶς. Καὶ τίτλος ιέ. τοῦ αὐτοῦ βιβλ. φησίν(2)· Ἐὰν ληγατεύσω τῇ γυναικί μου κόσμια, ἢ ὅσα χάριν αὐτῆς ηὐτρέπισα, πάντα λαμβάνει· τοῦ, ἢ, συνδέσμου ἀντὶ τοῦ, καὶ, παραλαμβανομένου. Καὶ ὁ β'. δὲ τίτλος τοῦ β'. βιβλίου, ὃς περὶ ῥημάτων ἐπιγέγραπται σημασίας, ἐν κεφ. ν'. φησίν· Ὁ συμπλεκτικὸς, καὶ ὁ διαζευκτικὸς, ἐσθ' ὅτε ἀντὶ ἀλλήλων παραλαμβάνονται· οὕτως οὖν ἐοίκασι καὶ οἱ τῆς συνόδου ταύτης Πατέρες τῷ, ἢ, ἐνταῦθα ἀντὶ τοῦ, ἤτοι, χρήσασθαι.

ΒΑΛΣ. Ὁ μέγας Παῦλος, ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ αὐτοῦ, μέμφεται τοὺς ἐν ἐκκλησίαις συμποσιάζοντας, λέγων· Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν, ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; Ἐπεὶ οὖν πᾶς τόπος, τῷ Κυρίῳ ἀνατεθειμένος, Κυριακὸς λέγεται, κἂν μὴ ἐκκλησία ἐστὶν, ἀλλὰ πρόναος τυχὸν, ἢ ἕτερόν τι ἱερὸν, διορίζεται ὁ κανὼν, μὴ συμποσιάζειν τινὰς ἐν ἐκκλησίαις, ἢ ἐν τοιούτοις τόποις· (τοῦτο γὰρ ἀγάπην καλεῖ, ἢ ὡς συστατικὸν

(1) Χ. Τρ. — διαστέλλει τάχα Βευερ. Κ. — (2) κεφ. κή.

ἀγάπης, ἢ δι' ἀγάπην γινόμενον)· ἀλλὰ μηδὲ ἔνδον τοῦ οἴκου τοῦ Θεοῦ ἐσθίειν, καὶ ἀκούβιτα στρωννύειν· τοὺς δὲ τοιοῦτόν τι ποιοῦντας, καὶ μετὰ παραγγελίαν μὴ διορθουμένους, ἀφορισμῷ καθυποβάλλεσθαι. Καὶ ἀγάπη μὲν, καλεῖται ἡ ἀδελφοσύνη, καὶ τὰ διὰ ταύτης συμπόσια, ἅτινα ἐκωλύθησαν ὡς παραίτια σκανδάλων καὶ ὕβρεων, ἔστιν ὅτε καὶ συνωμοσιῶν, καὶ φατριῶν. Ἀκούβιτον δὲ λέγεται, ἅπαν ἐπίθετον στρωμνῆς κατασκεύασμα, εἰς ὕψος ἠρμένον καὶ μαλακόν· ἀκούμβω γὰρ παρὰ Λατίνοις, τὸ ἀναπίπτω. Τινὲς γοῦν, ὡς ἔοικεν, ὑποστελλόμενοι κλινίδια ἐν τῷ μεσονάῳ εἰσάγειν, ἢ καὶ διὰ θρύψιν πλείονα ἐποίουν, ἢ ἀλλοτρόπως εἰς ἀνάπαυσιν αὐτῶν στρωμνὰς τοιαύτας, ὅπερ καὶ ἐκωλύθη. Ἐπεχείρησαν δέ τινες εἰπεῖν, τὸ αὐτὸ εἶναι Κυριακὸν τόπον, καὶ ἐκκλησίαν, καὶ ἡρμήνευσαν τὸ, ἢ, συμπλεκτικὸν, καὶ οὐ διαζευκτικόν. Ἐμοὶ δὲ οὐκ ἔδοξε· μετὰ γὰρ τὸ εἰπεῖν, μὴ γίνεσθαι ἀγάπας ἐν Κυριακοῖς, ἢ ἐν ἐκκλησίαις, κωλύει τὸ ἐσθίειν καὶ ἀκούβιτα στρωννύειν εἰς μόνους τοὺς οἴκους, ἤγουν τὰς ἐκκλησίας· ὥστε διαφορά ἐστιν ἐκκλησιῶν καὶ προνάων, καὶ ἄλλων Κυριακῶν τόπων.

ΑΡΙΣΤ. Ἀγάπαι ἐν Κυριακαῖς οὐ τελοῦνται, οὐδὲ ἀκούβιτα στρώννυνται· ἀλλ' οἱ μὴ παυόμενοι ἀφορίζονται.

Οὐ δεῖ τὸν τοῦ Θεοῦ οἶκον κοινὸν ἡγεῖσθαι οἶκον, καὶ ἐν αὐτῷ τὰς λεγομένας ἀγάπας τελεῖσθαι· καὶ ἔνδον ἐσθίειν, ἢ στρωννύειν ἀκούβιτα· τὸν δὲ τοῦτο ποιεῖν τολμῶντα, εἰ μὴ παύοιτο, ἀφορίζεσθαι.

Κανὼν ΟΕ'.

Τοὺς ἐπὶ τῷ ψάλλειν ἐν ταῖς ἐκκλησίαις παραγινομένους, βουλόμεθα μήτε βοαῖς ἀτάκτοις κεχρῆσθαι, καὶ τὴν φύσιν πρὸς κραυγὴν ἐκβιάζεσθαι, μήτε τι ἐπιλέγειν τῶν μὴ τῇ ἐκκλησίᾳ ἁρμοδίων τε καὶ οἰκείων· ἀλλὰ μετὰ πολλῆς προσοχῆς καὶ κατανύξεως, τὰς (1) ψαλμῳδίας προσάγειν τῷ τῶν κρυπτῶν ἐφόρῳ Θεῷ· εὐλαβεῖς γὰρ ἔσεσθαι τοὺς υἱοὺς Ἰσραὴλ τὸ ἱερὸν ἐδίδαξε λόγιον.

---

(1) Βρ. Βευερ. Χ. Τρ. — τὰς τοιαύτας ψαλμῳδίας Π. Ἑ. Κ. Σ. Ῥ.

ΖΩΝΑΡ. Η ἐν ταῖς ἐκκλησίαις γινομένη ψαλμῳδία παράκλησίς ἐστι πρὸς Θεὸν, δεομένων ἡμῶν, ἵλεων ἔσεσθαι τὸ θεῖον ἡμῖν, ἐφ' οἷς αὐτῷ προσκεκρούκαμεν. Οἱ δὲ παρακαλοῦντές τε καὶ δεόμενοι, ταπεινὸν ἦθος καὶ κατανενυγμένον ἔχειν ὀφείλουσι· τὸ δὲ βοᾷν καὶ κραυγάζειν, οὐ κατεσταλμένου ἤθους, ἀλλὰ θρασέος ἐστὶ καὶ γεγαυρωμένου. Διὸ καὶ τοὺς ψάλλοντας ἐν ἐκκλησίαις, ὁ κανὼν ἀπαιτεῖ μετὰ προσοχῆς καὶ κατανύξεως ψάλλειν, ἀλλὰ μὴ ἀτάκτως βοᾷν, καὶ τὴν φωνὴν ἐκβιάζεσθαι πρὸς κραυγήν· κραυγὴ δὲ ἐστὶν ἐπιτεταμένη φωνὴ, καὶ βιαίως ἐκρηγνυμένη. Καὶ οὐ μόνον τοῦτο ἀπαγορεύει, ἀλλ' οὐδέ τι ἐπιλέγειν συγχωρεῖ ἀνοίκειον καὶ ἀνάρμοστον ἐκκλησίᾳ, οἷά εἰσι τὰ κεκλασμένα μέλη, καὶ μινυρίσματα, καὶ ἡ περιττὴ τῶν μελῳδιῶν ποικιλία, εἰς ᾠδὰς ἐκτρεπομένη θυμελικὰς, καὶ εἰς ᾄσματα πορνικὰ, τὰ νῦν ἐν ψαλμῳδίαις ἐπιτηδευόμενα μάλιστα. Ταῦτα διαταττόμενος ἐπάγει καὶ γραφικὴν μαρτυρίαν, λέγων· Εὐλαβεῖς γὰρ ἔσεσθαι τοὺς υἱοὺς Ἰσραὴλ, τὸ ἱερὸν ἐδίδαξε λόγιον· υἱοὶ δὲ Ἰσραὴλ ἐσμὲν ἡμεῖς, κατὰ τὸν ἅγιον Παῦλον, λέγοντα· Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραὴλ, οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ, πάντα τέκνα, ἀλλ' ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα· τουτέστιν, οὐ τὰ τέκνα τῆς σαρκὸς, ταῦτα τέκνα Θεοῦ, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα.

ΒΑΛΣ. Αἱ τοῦ Θεοῦ ἐκκλησίαι, οἶκοι προσευχῶν λέγονται· ὅθεν καὶ οἱ προσευχόμενοι, παρακαλεῖν τὸν Θεὸν ὀφείλουσι μετὰ δακρύων καὶ ταπεινώσεως, οὐ μὴν μετὰ ἀτάκτου καὶ ἀναιδοῦς σχήματος. Διωρίσαντο γοῦν οἱ Πατέρες, μὴ γίνεσθαι τὰ ἱερὰ ψαλμῳδήματα διὰ βοῶν ἀτάκτων καὶ ἐπιτεταμένων, καὶ τὴν φύσιν παραβιαζομένων· μήτε μὴν διά τινων καλλιφωνιῶν, ἀνοικείων τῇ ἐκκλησιαστικῇ καταστάσει καὶ ἀκολουθίᾳ· οἷά εἰσι τὰ θυμελικὰ μέλη, καὶ αἱ περιτταὶ ποικιλίαι τῶν φωνῶν· ἀλλὰ μετὰ πολλῆς κατανύξεως καὶ θεαρέστου τρόπου, προσάγειν τῷ Θεῷ τὰς εὐχὰς, τῷ εἰδότι τὰ κρυπτὰ τῶν καρδιῶν ἡμῶν. Ταῦτα δὲ παρεκελεύσαντο ἀκολούθως τῷ εὐαγγελικῷ ῥητῷ, τῷ διοριζομένῳ, μὴ κατὰ ἐθνικοὺς εὔχεσθαι ἡμᾶς μετὰ βαττολογίας καὶ κραυγῆς, ὡς οἰομένους εἰσακουσθῆναι διὰ τὴν πολυλογίαν ἡμῶν, ἀλλ' ἐν τῷ

κρυπτῷ προσάγειν τὸν ὕμνον τῷ Θεῷ· ποιεῖν δὲ καὶ τὰς αἰτήσεις ὁμοίως, ἵνα καὶ ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος, ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσῃ ἡμῖν ἐν τῷ φανερῷ. Ἐπεὶ δὲ, φασὶ, καὶ ὁ Μωσαϊκὸς νόμος εἶπεν ἐν τῷ Λευϊτικῷ, Εὐλαβεῖς ποιεῖτε τοὺς υἱοὺς Ἰσραὴλ, μᾶλλον ἡμεῖς, οἱ τοῦ νόμου τούτου δεξάμενοι τὸ πλήρωμα, ὀφείλομεν εὐλαβέστεροι εἶναι, καὶ κατὰ τὰ νενομισμένα πολιτεύεσθαι. Ἐπεὶ δὲ παρὰ διαφόροις ἁγιωτάτοις πατριάρχαις ἐλαλήθη, μὴ μόνον ἐν ταῖς ἑορταῖς γίνεσθαι τοιαῦτα παρὰ τῶν ψαλτῶν, ἀλλὰ καὶ ἐν παννυχίσι, καὶ μνημοσύνοις τεθνεώτων, γεγόνασι διάφορα σημειώματα συνοδικὰ, ἀφορισμῷ καθυποβάλλοντα τοὺς τοιαῦτα ποιοῦντας, καὶ μὴ διὰ ψαλμῳδημάτων καὶ ἀλληλουαρίων λιτῶν (1), ψαλλομένων κατὰ τὸ θεμέλιον τῆς ἐκκλησίας, ἐκπληροῦντας τὴν παννύχιον ψαλμῳδίαν. Ἀνάγνωθι καὶ τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ρη'. καὶ τὰ ἐν αὐτῷ γραφέντα· ὡσαύτως ἀνάγνωθι καὶ τὸν εἰς τὰ Σεραφεὶμ (2), καὶ τὸν πανηγυρικὸν λόγον τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, τὸν γραφέντα εἰς τὴν ἑρμηνείαν τοῦ προφητικοῦ ῥητοῦ, τοῦ λέγοντος· Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου· κωλύει γὰρ τὰς θυμελικὰς ψαλμῳδίας καὶ τὰς ὀρχήσεις τῶν χειρονομούντων, καὶ τὰς ἐκτεταμένας ἐκφωνήσεις(3).

ΑΡΙΣΤ. Ἄτακτος κραυγὴ τοῦ ψάλλοντος, ἄδεκτος· καὶ ὁ ἐπιλέγων τὰ ταῖς ἐκκλησίαις ἀνάρμοστα.

Μετὰ κατανύξεως καὶ προσοχῆς πολλῆς δεῖ τὰς ψαλμῳδίας προσάγειν τῷ τῶν κρυπτῶν ἐφόρῳ Θεῷ, καὶ μὴ ἀτάκτοις χρῆσθαι βοαῖς, καὶ τὴν φύσιν πρὸς κραυγὴν ἐκβιάζεσθαι· εὐλαβεῖς γὰρ ἔσεσθαι τοὺς υἱοὺς Ἰσραὴλ, τὸ ἱερὸν ἐδίδαξε λόγιον· ἀλλὰ μηδέ τι ψάλλειν ἀνοίκειον, καὶ τῇ ἐκκλησιαστικῇ καταστάσει μὴ ὂν ἁρμόδιον.

Κανὼν ΟϚ'.

Ὅτι (4) οὐ χρὴ ἔνδον τῶν ἱερῶν περιβόλων καπηλεῖον,

(1) Χ. Τρ. 'Ε. — καὶ ψαλλομένων Βευερ. — (2) Βευερ. — οὐ κεῖται ἐν Χ. Τρ. οὐδὲ παρὰ 'Ε. τὸ, καὶ τὸν εἰς τὰ Σεραφείμ. — (3) Χ. Τρ. Ἑ. — φωνὰς καὶ κινήσεις Βευερ. — (4) Π. Χ. Τρ. Βρ. Σ. Ῥ. — τὸ, ὅτι, οὐ κεῖται παρὰ Βευερ.

ἢ τὰ διὰ βρωμάτων (1) εἴδη προτιθέναι, ἢ ἑτέρας πράσεις ποιεῖσθαι, τὸ σεβάσμιον τῆς ἐκκλησίας φυλάσσοντας. Ὁ γὰρ Σωτὴρ ἡμῶν καὶ Θεὸς, διὰ τῆς ἐν σαρκὶ πολιτείας παιδαγωγῶν ἡμᾶς, μὴ ποιεῖν τὸν οἶκον τοῦ Πατρὸς αὐτοῦ ἐμπορίου οἶκον παρεκελεύσατο (2)· ὃς καὶ τῶν κολλυβιστῶν τὸ κέρμα ἐξέχεε, καὶ τοὺς τὸ ἱερὸν κοινοποιοῦντας ἀπήλασεν. Εἴ τις οὖν ἐπὶ τῷ προκειμένῳ ἁλῷ πλημμελήματι, ἀφοριζέσθω.

—

ΖΩΝΑΡ. Ὁ οἶκός μου, τοῖς Ἰουδαίοις ἔφη ὁ Κύριος, οἶκος προσευχῆς κληθήσεται· ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν. Ἵν' οὖν μὴ καὶ τοῖς πιστοῖς τοῦτο ῥηθῇ, ἀπηγόρευσαν οἱ Πατέρες ἔνδον τῶν ἱερῶν περιβόλων καπηλεῖα συνιστᾷν, ἢ ἐδώδιμα προτιθέναι εἰς πρᾶσιν, ἢ ἕτερά τινα. Οὐκ εἶπον δὲ, ἔνδον τῆς ἐκκλησίας, ἀλλὰ τῶν ἱερῶν περιβόλων· περίβολοι δ' εἰσὶν ἱεροὶ αἱ τῶν θείων ναῶν ἅπασαι περιοχαί· ὥστε οὐδ' ἐν προτεμενίσμασιν, οὐδ' ἐν προαυλίοις τοιοῦτόν τι γίνεσθαι παραχωρεῖ ὁ κανών· εἰ καὶ νῦν ἀνευλαβῶς ταῦτα γίνονται. Κατασκευάζουσι δὲ τὸν οἰκεῖον λόγον οἱ Πατέρες ἐκ τοῦ εὐαγγελίου, λέγοντες, τὸν Χριστὸν τοῦτο παραδοῦναι ἡμῖν, λέγοντα τοῖς Ἰουδαίοις· Μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου, καὶ ἀπελάσαντα ἐκ τοῦ ἱεροῦ τοὺς θεοκαπήλους, καὶ τῶν κολλυβιστῶν τὸ κέρμα ἐκχέαντα. Κολλυβισταὶ δ' εἰσὶν οἱ τὰ λεπτὰ νομίσματα πωλοῦντες, ἤτοι τοὺς νούμμους· κόλλυβος γὰρ παρ' Ἕλλησι τὸ λεπτὸν νόμισμα, ὃ παρὰ Ῥωμαίοις νοῦμμος καλεῖται· καὶ κέρμα δὲ τὸ νόμισμα λέγεται.

ΒΑΛΣ. Τὴν ἀνάλογον τιμὴν τῶν ἁγίων ἐκκλησιῶν καὶ τῶν περὶ αὐτὰς συντηροῦντες οἱ θεῖοι Πατέρες, καὶ μὴ ἀνεχόμενοι ὅλως κοινοῦσθαι παρά τινος τὰ ἱερὰ, διωρίσαντο μὴ προτίθεσθαι βρωματικὰ (3) εἴδη ἔνδον τῶν ἱερῶν περιβόλων, μηδὲ καπηλεῖον γίνεσθαι ἐν αὐτοῖς, μηδὲ ἁπλῶς πιπράσκεσθαί τι

(1) Σ. 'Ρ. Βρ. — δι' ἀρωμάτων Π. Βευερ. — (2) Ἰω. Β', 16. — (3) Χ. Τρ. = ἀρωματικὰ Βευερ. 'Ε.

ἔνδον τούτων· ἀλλ' εἶναι ἀνεπικοινώνητα παντελῶς τοῖς ἐμπορευομένοις· ὅτι, φασὶ, καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ Θεὸς, πραγματικῶς διδάσκων ἡμᾶς διὰ τῆς ἐν σαρκὶ πολιτείας αὐτοῦ, μεγάλως κολάζεσθαι τὸν κοινοῦντα τὸ ἱερὸν, καὶ οἶκον ἐμπορίου τὸν οἶκον τοῦ Θεοῦ ποιοῦντα, τοὺς κολλυβιστὰς, τουτέστι τοὺς τραπεζίτας, ἐκ τῶν ἱερῶν περιβόλων ἐξήλασε· (κόλλυβος δὲ, τὸ λεπτὸν νόμισμα·) καὶ τὰ κέρματα αὐτῶν, τουτέστι τὰ διὰ νομισμάτων προσχείρια (1) ἐξέχεε· τοὺς γοῦν τοιοῦτόν τι ποιῆσαι τολμήσοντας, ἀφορισμῷ καθυπέβαλον. Διαφόρων δὲ ἁγιωτάτων πατριαρχῶν προσταξάντων ἀπό τε τοῦ Αὐγουστεῶνος καὶ τῶν προσεχεστέρων μερῶν τῷ προνάῳ τῆς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας τοὺς τραπεζίτας διωχθῆναι, καὶ τοὺς ὀψοπώλας (2), καὶ ὀπωροπώλας(3), καὶ τοὺς λοιποὺς ἐμπόρους, εἶπόν τινες, ὡς περιβόλους ἐκκλησιαςικοὺς ὁ κανὼν ὀνομάζει τοὺς προνάους ἑκάστου ναοῦ, οὐ μὴν τὰς φιάλας, καὶ τὰ ἕτερα μέρη τῶν θείων ναῶν, τὰ συνηνωμένα αὐτοῖς. Τοῖς πλείοσι δὲ τοῦτο οὐκ ἤρεσεν· εἶπον γὰρ, ὡς, ἐπεὶ ὁ κανὼν ἐκκλησίας οὐκ ἐμνήσθη, (τὸ γὰρ ἐν μεσονάῳ, ἢ προνάῳ, καπηλεῖον γενέσθαι, ἢ ἀγορανόμων συνέδριον, οὐδὲ εἰς ἐνθύμησίν τινος Χριστιανοῦ ἔλθοι, ὡς ἀσεβέστατον), ἀλλ' ἱερῶν περιβόλων ναοῦ, ὀφείλομεν περὶ τούτων τὴν πᾶσαν εἰσάγειν ἀμφιβολίαν· πάντες δὲ ἐκείνους εἶναι ἱεροὺς περιβόλους εἶπον, τοὺς μὴ ἀπολυθέντας εἰς ἀλόγων ζώων καταπάτησιν, καὶ ἀλλοτρόπως κοινωθέντας. Ἀπὸ μέντοι τοῦ ιβ'. κεφ. τοῦ ά. τίτλου τοῦ έ. βιβλίου, τοῦ λέγοντος· Μέχρι τῶν ἐπὶ τῆς δημοσίας ἀγορᾶς τῆς ἐκκλησίας ὅρων τὸ ἀσφαλὲς ἐχέτωσαν οἱ προσφυγόντες τοῖς ἐνδοτέροις λουτροῖς, ἢ κήποις, ἢ οἰκήμασιν, ἢ στοαῖς, ἢ αὐλαῖς χρώμενοι· καὶ κωλυέσθωσαν ἐντὸς τοῦ ναοῦ ὑπνοῦν, ἢ ἐσθίειν· μὴ εἴπῃς καὶ τὰ λουτρὰ, καὶ τοὺς κήπους, καὶ τὰς στοὰς, τὰς συνηνωμένας ταῖς ἐκκλησίας, ἱεροὺς περιβόλους εἶναι, ὡς ἐντεῦθεν κωλύεσθαι καὶ τὸ προτίθεσθαι ὤνια ἐπ' αὐτοῖς. Ταῦτα γὰρ μέρη μὲν τῆς ἐκκλησίας

(1) Χ. Τρ. προχείρια Βευερ. — (2) ψωμοπώλας Χ. Τρ. Ἐ.—(3) Βευερ. — τὸ, καὶ ὀπωροπώλας, οὐ κεῖται ἐν Χ. Τρ.

λογίζονται· ἱεροὶ δὲ περίβολοι οὐ λεχθήσονται· καὶ ὡς κοινὰ μὲν, τῆς τιμῆς τῶν ἱερῶν περιβόλων οὐκ ἀξιωθήσονται· διὰ δὲ τὸ τῆς ἐκκλησίας προνόμιον, ὁ ἐξ αὐτῶν ἀφαρπάσας πρόσφυγα κολασθήσεται. Σημείωσαι δὲ, ὅτι ἐντὸς μόνου τοῦ ναοῦ ἐσθίειν καὶ πίνειν τοὺς πρόσφυγας κεκώλυται.

Σημείωσαι δὲ καὶ τὸν παρόντα κανόνα, διὰ τοὺς πραγματευομένους εἰς τὰ μυρεψεῖα, καὶ εἰς τὰ κουρισκαρεῖα (1) τῆς ἁγιωτάτης Μεγάλης Ἐκκλησίας, πολλῷ δὲ πλέον, εἰς τὰ ἐνδοτέρω ταύτης. Ὡσαύτως σημείωσαι τὸν αὐτὸν κανόνα, καὶ διὰ τοὺς ἀπερχομένους εἰς τὰς γινομένας ἑορτὰς καὶ πανηγύρεις ὁπουδήποτε, καὶ ποιουμένους ἀφορμὴν πραγματειῶν τὴν προσκύνησιν τοῦ τηνικαῦτα ἑορταζομένου ἁγίου· μεγάλης γὰρ κολάσεως εἰσιν οἱ τοιοῦτοι ἄξιοι. Καὶ ὁ μέγας δὲ Βασίλειος, ἐν τοῖς ἀσκητικοῖς αὐτοῦ, μεγάλως ταῦτα κωλύει. Καὶ ἀνάγνωθι τὸ χωρίον τὸ γράφον οὕτω, περὶ τῶν ἐν ταῖς συνόδοις πραγματειῶν, λέγον ἐν μέρει ταῦτα· Οὐ μὴν ἐπειδὴ ἕτεροι προλαβόντες παρέφθειραν τὴν κεκρατηκυῖαν ἐπὶ τῶν ἁγίων συνήθειαν, καὶ ἀντὶ τοῦ προσεύχεσθαι, τόν τε καιρὸν καὶ τὸν τόπον ποιοῦνται ἀγορὰν, καὶ πανήγυριν, καὶ ἐμπορίαν· καὶ ἕτερα οὐκ ὀλίγα (2).

ΑΡΣΤ. Ἐν ἱερῷ περιβόλῳ καπηλεῖον ἀσύστατον, καὶ πωλούμενα βρώματα μάταια· καὶ ἐν ἀμφοτέροις ὁ ποιῶν ἀφορίζεται.

Τὸν τοῦ Θεοῦ οἶκον μὴ ποιεῖν ἐμπορίου οἶκον παρεκελεύσατο ὁ Σωτὴρ ἡμῶν καὶ Θεός· διὰ τοῦτο οὐ χρὴ ἔνδον τῶν ἱερῶν περιβόλων καπηλεῖον συνιστᾷν, καὶ τὰ διὰ βρωμάτων εἴδη προτιθέναι, ἢ ἑτέρας πράσεις ποιεῖσθαι. Εἴ τις οὖν τοιοῦτόν τι φανῇ πλημμελῶν, ἀφορισθήσεται.

Κανὼν ΟΖ'.

Ὅτι οὐ δεῖ ἱερατικοὺς, ἢ κληρικοὺς, ἢ ἀσκητὰς, ἐν

(1) τὰ κουρεῖα, Λεξικὸν Δουκαγγίου. — (2) Τὰ ἀπὸ τοῦ, Σημείωσαι, μέχρι τέλους τῆς παρούσης ἑρμηνείας, οὐ κεῖται παρὰ Ἐ. ἀλλ' ἐν Χ. Τρ. καὶ μετὰ μικρῶν παραλλαγῶν, ἐν ταῖς Σημ. Βευερ. σελ. 161.

βαλανείῳ μετὰ γυναικῶν ἀπολούεσθαι· οὐδὲ πάντα Χριστιανὸν λαϊκόν (1)· αὕτη γὰρ πρώτη κατάγνωσις παρὰ τοῖς ἔθνεσιν. Εἰ δέ τις ἐπὶ τούτῳ φωραθείη, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

—

ΖΩΝΑΡ. Ὁ θεῖος Ἀπόστολος Παῦλος, Δεῖ, φησὶ, καλὰ προνοεῖσθαι ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων· καὶ πάλιν· Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ. Τὸ δὲ ἄνδρας συλλούεσθαι γυναιξὶ, σκάνδαλον μέγα τοῖς ὁρῶσι τοῦτο δύναται ἐμποιεῖν. Εἰ γὰρ καὶ ἡ ἐν οἰκίᾳ, ἢ ἐν ὁδῷ, ἐντυχία τῶν γυναικῶν ζάλην τῷ λογισμῷ τῶν ἐντυγχανόντων αὐταῖς ἀνδρῶν ὡς τὰ πολλὰ ἐμποιεῖ· τὸ ταύταις συλλούεσθαι, πῶς οὐκ ἂν τὸν νοῦν τῶν συλλουομένων αὐταῖς κατεβάπτισε, καὶ εἰς ἐπιθυμίαν ἠρέθισεν; Εἰ δὲ καὶ δοίη τις, καθ᾽ ὑπόθεσιν, μὴ βλάπτεσθαι ἴσως τινὰς, κἂν συλλούωνται γυναιξίν· ἀλλά γε τὸ τοὺς ὁρῶντας τοῦτο σκανδαλίζεσθαι, καὶ καταγινώσκειν τῶν τοῦτο ποιούντων πιστῶν, τίς ἄν ποτε δυνηθείη φυγεῖν; Διὰ ταῦτα τοίνυν ἀπαγορεύει τοῦτο ὁ κανὼν πᾶσι Χριστιανοῖς· τοῖς δὲ τοῦτο ποιοῦσιν, ἱερατικοῖς μὲν οὖσι, τοῖς περὶ τὸ βῆμα δηλαδὴ, καὶ κληρικοῖς, τοῖς ἄλλως ἐν κλήρῳ τεταγμένοις, καθαίρεσιν ὁρίζει τὸ ἐπιτίμιον· ἀσκηταῖς δὲ, καὶ λαϊκοῖς ἐπάγει ἀφορισμόν. Οὗτος δὲ ὁ κανὼν τῆς ἐν Λαοδικείᾳ συγκροτηθείσης συνόδου τριακοστός ἐστιν, ἄνευ τῶν ἐπιτιμίων ἐκεῖσε (2) ἐκφωνηθείς.

ΒΑΛΣ. Ὡς ἔοικε, πρὸ τῆς συνόδου ταύτης, ἐλούοντο ἱερωμένοι τινὲς, καὶ μοναχοὶ, καὶ λαϊκοὶ μετὰ γυναικῶν, μὴ ἐπιστρεφόμενοι τῆς ἀποστολικῆς θείας παραγγελίας, τῆς λεγούσης· Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ. Διορθούμενοι οὖν τοῦτο οἱ ἅγιοι Πατέρες, ὡς ἀπρεπέστατον, καὶ σκανδαλοποιὸν, καὶ διεγεῖρον εἰς δαιμονιώδεις ἐπιθυμίας, φέρον τε τοὺς χρωμένους τῇ ἀσέμνῳ ταύτῃ διαγωγῇ εἰς μεγάλην κατάγνωσιν, διωρίσαντο, τὸν οὕτως

---

(1) Π. Χ. Τρ. — ἢ λαϊκὸν, Βευερ. Ε. Βρ. Κ. Σ. Ρ. — (2) ἐκεῖνος Χ. Τρ.

ἀδιαφόρως καὶ ἀπρεπῶς εἰς τὸ ἑξῆς μετὰ γυναικὸς λουόμενον, κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι, λαϊκὸν δὲ, ἀφορίζεσθαι. Σημείωσαι δὲ, ὅτι ὁ κανὼν διαφορὰν ποιεῖται ἱερωμένων, κληρικῶν, ἀσκητῶν, καὶ λαϊκῶν. Ἱερωμένοι γάρ εἰσιν οἱ τοῦ βήματος, οἱ καὶ χειροτονούμενοι· ἐπίσκοποι δηλονότι, ἱερεῖς, διάκονοι, καὶ ὑποδιάκονοι· κληρικοὶ, πάντες οἱ ἐκτὸς τοῦ βήματος ἐν ναοῖς ἐξυπηρετούμενοι· ἤγουν ἀναγνῶσται, θεωροὶ, καὶ ἕτεροι τοιοῦτοι· ἀσκηταὶ δὲ, οἱ μοναχοὶ, ὅσοι οὐκ ἔφθασαν ἐπισκοπικὴν σφραγίδα δέξασθαι, ἀλλὰ μόνην ἐπικουρίδα μοναχικήν· οἱ γὰρ σφραγίδα δεξάμενοι ἐπισκοπικὴν μοναχοὶ, κληρικοὶ λέγονται· ἀσκητῶν δὲ καὶ μοναχῶν οὐδεμία διαφορά. Συναγαγὼν γοῦν εἰπὲ, ὡς, οἱ μὲν τοῦ βήματος δι ἐγγραφῆς ὀμνύειν ὀφείλουσιν· οἱ δὲ ἐκτὸς τοῦ βήματος κατὰ λαϊκοὺς ἐπομόσονται, κἂν μοναχοὶ ὦσι. Τινὲς μέντοι λαϊκοὶ μετὰ τῶν οἰκείων ὁμοζύγων ἐν βαλανείοις λουόμενοι, καὶ χάριν τούτου ἐλεγχόμενοι, λέγουσι μὴ κωλύεσθαι ὑπὸ τοῦ κανόνος τούτου· σὰρξ γὰρ μία εἰσὶ, καὶ οὐδέν τι ἄσεμνον δοκεῖ γίνεσθαι μέσον αὐτῶν, μὴ διεστηκότων ἀλλήλων τοῖς σώμασιν· ἐκείνους δὲ κολάζεσθαι, τοὺς σὺν τῇ πορνείᾳ καὶ ἀσχημόνως διάγοντας, καὶ τῆς φύσεως μὴ αἰσχυνομένους τὴν ἀπρέπειαν. Οὐκ ἤρεσαν δὲ ταῦτα τοῖς εὐλαβεστέροις, εἰποῦσι, κατάγνωσιν πρώτην εἶναι τοῦτο παρὰ τοῖς ἔθνεσιν, ὡς ὁ κανών φησι, κἀντεῦθεν καὶ κολάζεσθαι ὁπωσδήποτε γινόμενον· καὶ ὅτι, κἂν δοκῶσιν οἱ ὁμόζυγοι ἓν σῶμα εἶναι, ἀλλ' οὐκ ἐφεῖται αὐτοῖς κακῶς τοῖς οἰκείοις χρήσασθαι μέλεσιν· ἐπείτοι γε, εἰ τοῦτο ἦν, οὐδὲ οἱ ἐπιχειρήσαντες ἑαυτοὺς ἀνελεῖν ἂν ἐκολάζοντο.

ΑΡΙΣΤ. Χριστιανὸς γυναιξὶν οὐ συλλούεται· κληρικὸς μὲν γὰρ, καθαιρεῖται· λαϊκὸς δὲ, ἀφορίζεται. Σαφής.

Κανὼν ΟΗ'.

Ὅτι δεῖ τοὺς φωτιζομένους τὴν πίστιν ἐκμανθάνειν, καὶ τῇ πέμπτῃ τῆς ἑβδομάδος ἀπαγγέλλειν τῷ ἐπισκόπῳ, ἢ τοῖς πρεσβυτέροις.

—

ΖΩΝΑΡ. Οὗτος ὁ κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου ἐστὶ τεσσαρακοστὸς ἕκτος· αὐτοῖς γὰρ ῥήμασι τοῖς ἄλλοις κανόσι τῆς συνόδου ἐκείνης ἐγκατέστρωται. Κελεύει δὲ τοὺς φωτιζομένους, ἤγουν τοὺς πρὸς τὸ φώτισμα ἑτοιμαζομένους, καὶ κατηχουμένους, τὸ μυστήριον τῆς πίστεως ἐκμανθάνειν, καὶ τῇ πέμπτῃ ἡμέρᾳ ἑκάστης ἑβδομάδος ἀπαγγέλλειν, ἃ διὰ τῆς ἑβδομάδος ἔμαθον, τῷ ἐπισκόπῳ, ἢ τοῖς πρεσβυτέροις· τοῦτο δὲ γίνεσθαι, ἵνα μὴ ἀμύητος τοῦ καθ' ἡμᾶς μυστηρίου ὤν τις βαπτισθῇ, καὶ, ἀστήρικτος ὢν, ὑπὸ αἱρετικῶν ὑποσυρῇ, καὶ ὑποκλαπῇ.

ΒΑΛΣ. Οἱ νεοφώτιστοι, ὅπως ὀφείλουσι διδάσκεσθαι τὴν ὀρθόδοξον πίστιν, ἀπὸ διαφόρων κανόνων ἐμάθομεν. Ὁ δὲ παρὼν κανὼν προστίθησι, μὴ ἀρκεῖσθαι ἡμᾶς ταῖς καταθέσεσι τῶν φωτιζομένων, διαβεβαιουμένων ἀναδιδαχθῆναι τὰ τῆς ὀρθοδόξου πίστεως· ἀλλὰ μανθάνειν μὲν αὐτοὺς τὰ ἱερὰ λόγια δι' ὅλων τῶν πρώτων τεσσάρων ἡμερῶν τῆς ἑβδομάδος· κατὰ δὲ τὴν πέμπτην, ἀπαγγέλλειν αὐτὰ τῷ ἐπισκόπῳ, ἢ τοῖς ἐπιτραπησομένοις παρὰ τούτου, ἤγουν τοῖς κατηχηταῖς. Οὕτω γὰρ ποιοῦντες, δώσουσιν ἐντελῆ πληροφορίαν, ὡς ὁλοψύχως τῇ ὀρθοδόξῳ πίστει προσῆλθον, καὶ τὰ θεῖα ταύτης ἐμυήθησαν μυστήρια, καὶ ἱκανῶς ἐστηρίχθησαν. Τοῦτο δὲ οὐχ ἅπαξ ποιήσουσιν, ἀλλὰ σχεδὸν δι' ὅλης τῆς ζωῆς αὐτῶν. Ὁ μέντοι παρὼν κανὼν τεσσαρακοστὸς ἕκτος ἐστὶν ἀπαράλλακτος τῆς ἐν Λαοδικείᾳ συνόδου.

ΑΡΙΣΤ. Ὁ φωτισθεὶς τὴν πίστιν ἀπαγγελλέτω τῇ πέμπτῃ τῆς ἑβδομάδος.

Δεῖ τὸν προσερχόμενον τῷ θείῳ φωτίσματι, καθὼς καὶ ὁ τεσσαρακοστὸς ἕκτος κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου διαλαμβάνει, τὴν πίστιν ἐκμανθάνειν, καὶ, τῇ πέμπτῃ τῆς ἑβδομάδος, καθ' ἣν μέλλει φωτισθῆναι, τῷ ἐπισκόπῳ, ἢ τοῖς πρεσβυτέροις ταύτην ἀπαγγέλλειν.

Κανὼν ΟΘ'.

Ἀλόχευτον τὸν ἐκ τῆς Παρθένου θεῖον τόκον ὁμολο-

γοῦντες, ὡς καὶ ἀσπόρως συστάντα, καὶ παντὶ τῷ ποιμνίῳ κηρύσσοντες, τοὺς ἐξ ἀγνοίας πράττοντάς τι τῶν οὐ δεόντων, διορθώσει καθυποβάλλομεν. Ὅθεν, ἐπειδή τινες μετὰ τὴν ἡμέραν τῆς ἁγίας τοῦ Χριστοῦ (1) τοῦ Θεοῦ ἡμῶν γεννήσεως, δείκνυνται σεμίδαλιν ἕψοντες, καὶ ταύτης (2) ἀλλήλοις μεταδιδόντες, προφάσει τιμῆς δῆθεν λοχείων τῆς ἀχράντου Παρθενομήτορος, ὁρίζομεν, μηδὲν τοιοῦτον ὑπὸ τῶν πιστῶν τελεῖσθαι. Οὐ γὰρ τιμή γε τοῦτο τῇ Παρθένῳ, τῇ ὑπὲρ νοῦν καὶ λόγον τὸν ἀχώρητον τεκούσῃ Λόγον σαρκὶ, ἐκ τῶν κοινῶν τε καὶ καθ' ἡμᾶς τὰ (3) κατὰ τὸν ἄφραστον αὐτῆς τόκον ὁρίζειν καὶ ὑπογράφειν. Εἴ τις οὖν (4) ἀπὸ τοῦ νῦν πράττων τοιοῦτόν τι φωραθείη, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

—

ΖΩΝΑΡ. Τινὲς, δοκοῦντες εἰς τιμὴν τῆς ἁγίας Παρθένου καὶ Θεομήτορος ποιεῖν τι, τῇ ἑξῆς ἡμέρᾳ μετὰ τὴν ἑορτὴν τῆς ἁγίας γεννήσεως τοῦ Χριστοῦ, ἐποίουν τινὰ, οἷα ἐπὶ ταῖς λοχευομέναις γίνονται γυναιξί. Ταῦτα οὖν κωλύει γίνεσθαι ὁ παρὼν κανὼν, ἀλόχευτον εἶναι λέγων τὸν τόκον τῆς ἁγίας Παρθένου. Λοχεία δ' ἐστὶν, ἡ μετ' ὠδίνων τοῦ βρέφους ἀπότεξις, καὶ ἡ τῶν αἱμάτων ἀκόλουθος ῥύσις· ὧν μὴ πειραθῆναι τὴν Θεοτόκον πιστεύομεν. Ταῦτα γὰρ ταῖς φυσικῶς συλλαβούσαις (5) παρομαρτεῖ· τῇ δὲ, ὑπὲρ φύσιν ἡ σύλληψις· ἐκ γὰρ Πνεύματος ἁγίου ἐγένετο, καὶ ὁ τόκος τῶν φυσικῶν ἰδιωμάτων ὑπέρτερος. Τῇ γοῦν μὴ γνούσῃ λοχείαν, πῶς ἡμεῖς τὰ τῶν λοχευομένων διαπραξόμεθα; Ὕβρις γὰρ, καὶ οὐ τιμὴ τῆς ὑπεραγίας Παρθένου ἐστὶ, τὸ γίνεσθαί τι ἐπὶ τῷ ἀνεκφράστῳ τόκῳ αὐτῆς, οἷον ἐπὶ τῶν ἄλλων γίνεται γυναικῶν τικτουσῶν·

---

(1) Π. Χ. Τρ. Σ. Ῥ. — τὸ, Χριστοῦ, οὐ κεῖται παρὰ Βρ. — (2) Π. Σ. Ῥ. Βευερ. — ταύτην Χ. Τρ. Βρ. — (3) Π. Βρ. Χ. Τρ. Σ. Ῥ. — τὸ, τὰ, οὐ κεῖται παρὰ Βευερ. — (4) Π. Χ. Τρ. Βευερ. Σ. Ῥ. — εἰ δέ τις οὖν Βρ. — (5) συλλαμβανούσαις Χ. Τρ.

τοὺς δὲ τοιοῦτόν τι πράττοντας, κληρικοὺς μὲν ὄντας, καθαιρεῖ· λαϊκοὺς δὲ, ἀφορίζει.

ΒΑΛΣ. Μαθόντες οἱ ἅγιοι Πατέρες, ὅτι τινὲς διὰ τιμὴν τῆς ἀχράντου δεσποίνης ἡμῶν καὶ Θεοτόκου ἑορτάζουσι, μετὰ μίαν ἡμέραν τῆς γεννήσεως τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὰ ἐπιλόχια ταύτης μετὰ σεμιδάλεως ἑψητῆς, καὶ ἑτέρων τινῶν εἰδῶν, ὥρισαν μηκέτι τοῦτο γίνεσθαι παρὰ τῶν Χριστιανῶν· τὸν γὰρ τόκον, φασὶ, τῆς Θεομήτορος ὁμολογοῦμεν μὴ τοιοῦτον γενέσθαι, καθὼς παρὰ τῶν λοιπῶν γυναικῶν γίνεται, ἀλλὰ ἀλόχευτον· ὅτι καὶ ἡ σύλληψις ὑπὲρ φύσιν καὶ ἐκ Πνεύματος ἁγίου ἐγένετο. Τῇ γοῦν μὴ γνούσῃ λοχείαν, πῶς ἡμεῖς τὰ τῶν λοχευομένων διαπραξόμεθα; Ὅθεν οὐκ ἔστι τοῦτο τιμὴ τῆς ἁγίας Παρθένου, τῆς ὑπὲρ νοῦν καὶ λόγον τεκούσης τὸν Θεὸν Λόγον σαρκὶ, ἄνευ ὠδίνων μητρικῶν. Κἀντεῦθεν οὐ χρὴ τὰ ὑπὲρ φύσιν συνεξισοῦσθαι τοῖς κατὰ φύσιν, καὶ οἷον κοινοῦσθαι ταῦτα, καὶ ἐκ τῶν καθ' ἡμᾶς γεωδῶν ὑπογράφεσθαι. Τοίνυν καὶ διορίζονται, τὸν τοιοῦτόν τι ποιήσαντα, κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι· λαϊκὸν δὲ, ἀφορίζεσθαι. Διά τοι τοῦτο καὶ Χριστοῦ χάριτι τέως εἰς ταύτην τὴν τῶν πόλεων βασιλεύουσαν οὐδέν τι τολμᾶται τοιοῦτον παρά τινος· ἀλλὰ μετὰ τὴν ἄρρητον γέννησιν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, ἑορτάζει τὸ πλήρωμα τῶν πιστῶν τὰ ἐπιλόχια τῆς ὑπεραγίας Θεοτόκου, διὰ θείων ψαλμῳδημάτων καὶ ὑμνῳδίας ἐκκλησιαστικῆς.

ΑΡΙΣΤ. Ἀφορίζεται ὁ μετὰ τὴν ἑορτὴν τῆς Θεοτόκου σεμίδαλιν ἢ ἄλλο τι κατασκευάζων, διὰ τὰ λεγόμενα ἐπιλόχια.

Οὐκ ἔστι τοῦτο τιμὴ τῇ Παρθένῳ, τῇ ὑπὲρ νοῦν καὶ λόγον τὸν ἀχώρητον τεκούσῃ Λόγον σαρκὶ, ἐκ τῶν κοινῶν τε καὶ καθ' ἡμᾶς τὰ κατὰ τὸν ἄφραστον αὐτῆς τόκον ὁρίζειν καὶ ὑπογράφειν. Διὰ τοῦτο, εἴ τις μετὰ τὴν ἡμέραν τῆς ἁγίας Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν γεννήσεως, σεμίδαλιν εὑρίσκεται ἕψων, καὶ ταύτην παρέχων τισὶ, προφάσει τιμῆς δῆθεν λοχίων τῆς ἀχράντου Παρθενομήτορος· εἰ μὲν κληρικός ἐστι, καθαιρεθήσεται· εἰ δὲ λαϊκὸς, ἀφορισθήσεται· ἀλόχευτον γὰρ

ὁμολογοῦμεν τὸν ἐκ τῆς Παρθένου θεῖον τόκον, ὡς καὶ ἀσπόρως συστάντα.

Κανὼν Π'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ τῶν ἐν τῷ κλήρῳ καταλεγομένων, ἢ λαϊκὸς, μηδεμίαν (1) ἀνάγκην βαρυτέραν ἔχοι, ἢ πρᾶγμα δυσχερὲς, ὥστε ἐπὶ πλεῖστον ἀπολείπεσθαι τῆς αὐτοῦ ἐκκλησίας, ἀλλ' ἐν πόλει διάγων, τρεῖς Κυριακὰς ἡμέρας (2) ἐν τρισὶν ἑβδομάσι μὴ συνέρχοιτο, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀποκινείσθω τῆς κοινωνίας.

—

ΖΩΝΑΡ. Τοὺς ἐπὶ τρεῖς ἑβδομάδας ἀπολειφθέντας τῆς ἐκκλησίας αὐτῶν, ἄνευ βαρείας ἀνάγκης τινὸς, ἢ δυσχερείας ἑτέρας, ἀλλ' ἐν πόλει διάγοντας, μὴ συνερχομένους δὲ εἰς ἐκκλησίαν τοῖς πιστοῖς, ἐπισκόπους μὲν καὶ κληρικοὺς ὄντας, ὁ κανὼν καθαιρεῖσθαι προστάττει· λαϊκοὺς δὲ, ἀφορίζεσθαι· τοῦτο γάρ ἐστι τὸ ἀποκινεῖσθαι τῆς κοινωνίας.

ΒΑΛΣ. Ἄλλοι μὲν κανόνες διάφοροι ἀλλοτρόπως κολάζουσι τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς, ἐφ' ἱκανὸν ἀποδημοῦντας ἀπὸ τῶν ἐκκλησιῶν αὐτῶν. Ὁ δὲ παρὼν κανὼν, οὐ μόνον ἐπισκόπους καὶ κληρικοὺς, ἀλλὰ καὶ τοὺς λαϊκοὺς, τοὺς ἀπὸ τῶν χωρῶν αὐτῶν ἐν ἀλλοδαπῇ διάγοντας, καταναγκάζει μετὰ τῶν πιστῶν συγκοινωνεῖν, καὶ συνεύχεσθαι· καὶ διορίζεται, ὡς, εἴπερ τις ἐκ τούτων, μηδεμιᾶς προκειμένης ἀνάγκης, νόσου τυχὸν, ἢ δουλείας βαρυτάτης, μὴ παραχωρούσης αὐτῷ ἐκκλησιάζειν, ἐπὶ τρεῖς Κυριακὰς οὐ συνέλθῃ μετὰ τῶν πιστῶν, καὶ συνεύξηται, ἀλλ' ἀμελῶς διατεθῇ ἐπὶ τῇ τοιαύτῃ σωτηριώδει κοινωνίᾳ, κληρικὸς μὲν ὢν, καθαιρείσθω· λαϊκὸς δὲ, ἀποκινείσθω τῆς κοινωνίας, τουτέστιν ἀφοριζέσθω. Δυοῖν γὰρ θάτερον ἐκ τούτου ἀναφαίνεται, ἢ μηδεμίαν φροντίδα τίθεσθαι τὸν τοιοῦτον τῶν θείων παραγγελιῶν, καὶ τῆς εἰς Θεὸν εὐχῆς καὶ ὑμνῳδίας, ἢ

(1) ἢ μηδεμίαν Βρ. Σ. Ρ. — (2) Π. Σ. Ρ. Βρ. — τὸ, ἡμέρας, οὐ κεῖται παρὰ Βευερ.

τὸ μὴ εἶναι πιστόν. Ἵνα τί γὰρ ἐπὶ εἴκοσιν ἡμέραις μετὰ τῶν Χριστιανῶν ἐκκλησιάσαι οὐχ ἡρετίσατο, καὶ συγκοινωνῆσαι τῷ πιστῷ λαῷ τοῦ Θεοῦ;

ΑΡΙΣΤ. Εἰ μὴ δι' ἀνάγκην ἀπολιμπάνεταί τις τῆς ἐκκλησίας ἐπὶ τρισὶ Κυριακαῖς, ἀκοινώνητος.

Ὁ τῆς ἐκκλησίας ἐν τρισὶ Κυριακαῖς ἀπολειφθείς, ἄνευ βαρυτάτης ἀνάγκης, ἢ δυσχερείας τινός, εἰ μὲν κληρικός ἐστι, καθαιρεῖται· εἰ δὲ λαϊκός, ἀφορίζεται.

Κανὼν ΠΑʹ.

Ἐπειδή περ (1) ἔν τισι χώραις μεμαθήκαμεν, ἐν τῷ τρισαγίῳ ὕμνῳ, ἐν προσθήκης μέρει ἐκφωνεῖσθαι μετὰ τό, Ἅγιος ἀθάνατος, τό, Ὁ σταυρωθεὶς δι' ἡμᾶς, ἐλέησον ἡμᾶς· τοῦτό τε ὑπὸ τῶν πάλαι (2) ἁγίων Πατέρων, ὡς τῆς εὐσεβείας ἀλλότριον, ἐκ τοῦ τοιούτου ἀπηλάθη (3) ὕμνου, σὺν τῷ τὴν τοιαύτην φωνὴν καινουργήσαντι παρανόμῳ αἱρετικῷ· καὶ ἡμεῖς κυροῦντες τὰ παρὰ τῶν ἁγίων Πατέρων ἡμῶν πρὶν (4) εὐσεβῶς θεσμοθετηθέντα, ἀναθεματίζομεν τοὺς ἔτι μετὰ τὸν παρόντα ὅρον παραδεχομένους τὴν τοιαύτην φωνὴν ἐπ' ἐκκλησίαις, ἢ ἄλλως πως τῷ τρισαγίῳ ὕμνῳ συνάπτοντας. Καὶ εἰ μὲν ἱερατικός ἐστιν ὁ παραβάτης τῶν ὁρισθέντων, ἀπογυμνοῦσθαι τοῦτον τῆς ἱερατικῆς ἀξίας (5) προστάσσομεν· εἰ δὲ λαϊκός, ἢ μοναχός, ἀφορίζεσθαι.

—

ΖΩΝΑΡ. Οἱ τῇ θεότητι πάθος προσαρμόζοντες προσέθεντο τῷ τρισαγίῳ τὴν προσθήκην ταύτην, τό, Ὁ σταυρωθεὶς δι' ἡμᾶς· ὅπερ καὶ πρὸ τῆς συνόδου ταύτης, ὑφ' ἑτέρων ἁγίων Πατέρων, ὡς νόθον, καὶ τῆς ὀρθῆς δόξης ἀλλότριον, ἀπεβλήθη· καί τι δὲ

(1) Ἐπειδὴ Βρ. — (2) τῶν παλαιῶν Βρ. — (3) Βρ. Χ. Τρ. Κ. Σ. Ῥ. — ἀπήλασαν Π. Βευερ. Ἑ. — (4) Π. Χ. Τρ. Βρ. Σ. Ῥ. Ἑ. Κ. — τό, πρίν, οὐ κεῖται παρὰ Βευερ. — (5) Π. Χ. Τρ. Βρ. Σ. Ῥ. — τῆς ἱερωσύνης Βευερ.

παρά τινων, ὡς ἔοικε, λεγόμενον, οἱ τῆς συνόδου ταύτης τοῦ τρισαγίου αὐτὸ ἐξορίζουσιν, ἀναθέματι καταδικάζοντες τοὺς ἔτι αὐτὸ παραδεχομένους, καὶ τῷ τρισαγίῳ ὁπουδήποτε συνάπτοντας· καὶ καθαιροῦσι μὲν τοὺς ἱερατικοὺς, παραβαίνοντας τὰ ὁρισθέντα· τοὺς δὲ μοναχοὺς, ἢ λαϊκοὺς, ἀφορίζουσιν.

ΒΑΛΣ. Ὁ ματαιόφρων ἐκεῖνος καὶ βλάσφημος Πέτρος ὁ Κναφεὺς, προσθήκην ἐν τῷ τρισαγίῳ ὕμνῳ ἐποίησε, μετὰ τὸ ἐκφωνεῖσθαι τὸ, Ἅγιος ἀθάνατος, εἰπὼν, ὀφείλειν λέγεσθαι τὸ, Ὁ σταυρωθεὶς δι᾽ ἡμᾶς, ἐλέησον ἡμᾶς· ἣν δὴ προσθήκην ἡ ἐκκλησία οὐ παρεδέξατο, ὡς παρεισάγουσαν τέταρτον πρόσωπον, καὶ ἀνὰ μέρος τιθεῖσαν τὸν τοῦ Θεοῦ Υἱὸν, τὴν τοῦ Πατρὸς ἐνυπόστατον δύναμιν, καὶ ἀνὰ μέρος, τὸν ἐσταυρωμένον Χριστὸν, ὡς ἄλλον ὄντα παρὰ τὸν ἰσχυρὸν, ἢ ὡς παθητὴν τὴν Τριάδα δοξάζουσαν, καὶ συσταυροῦσαν τῷ Υἱῷ τὸν Πατέρα καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ ἐδογμάτισεν εὐσεβῶς τὸν τρισάγιον ὕμνον χάριν τῆς ἁγίας Τριάδος λέγεσθαι· ὅτι περ (1) διὰ μὲν τῆς τρισσῆς ἁγιότητος, τὰς τρεῖς τῆς ὑπερουσίου Θεότητος ὑποστάσεις, τὰ ἅγια Σεραφεὶμ ἡμῖν ὑπεμφαίνουσι· διὰ δὲ τῆς μιᾶς κυριότητος, τὴν μίαν τῆς θεαρχικῆς Τριάδος οὐσίαν τε καὶ βασιλείαν γνωρίζουσιν. Εὕρηται δὲ καὶ ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ, ὅτι, λιτανεύοντος τοῦ ἐν Κωνσταντινουπόλει λαοῦ διά τινα θεήλατον ἀπειλὴν, ἐπὶ Πρόκλου ἀρχιεπισκόπου γεγενημένην, ἀφαρπαγῆναι παιδίον ἐκ τοῦ λαοῦ, καὶ οὕτω μυηθῆναι ὑπὸ ἀγγελικῆς τινος διδασκαλίας τὸν τρισάγιον ὕμνον, Ἅγιος ὁ Θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς· καὶ αὖθις ἐπιστραφέντος τοῦ παιδίου, καὶ τὸ μυηθὲν ἀπαγγείλαντος, ᾆσαι τὸν ὕμνον ἅπαν τὸ πλῆθος, καὶ οὕτω κοπάσαι τὴν ἀπειλήν. Καὶ ἐν τῇ ἁγίᾳ δὲ καὶ οἰκουμενικῇ τετάρτῃ συνόδῳ, τῇ ἐν Χαλκηδόνι, οὕτως ὑμνηθῆναι ὁ τρισάγιος ὕμνος παραδέδοται. Ἀλλὰ τῆς τῶν πολλῶν καὶ βλασφήμων (2) κακίας, μηδὲ διὰ τούτων πρὸς τὸ ὀρθόδοξον δόγμα μεταῤῥυθμηθείσης, ὡς ἔοικεν, οἱ κατὰ ταύτην συνελθόντες τὴν σύνοδον ἅγιοι Πατέρες, ἐπικυρώσαντες τὰ παρὰ τῶν ἁγίων Πατέρων, τῶν ἐν Χαλκηδόνι συνελθόντων, περὶ τοῦ τρισαγίου ὕμνου θεσμοθετη-

(1) Χ. Τρ. — ὅπερ τι Ἐ. Βευερ. — (2) Χ. Τρ. — βλασφημάτων Ἐ. Βευερ.

θέντα, ἀναθέματι καθυπέβαλον τοὺς μετὰ τὸν παρόντα κανόνα τὴν προσθήκην τοῦ Κναφέως τῷ τρισαγίῳ συνάπτοντας. Καὶ εἰ μὲν ἱερατικός ἐστι, φασὶν, ὁ παραβαίνων, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἢ μοναχὸς, ἀφοριζέσθω. Τοῦ δὲ κανόνος ἀναθεματίζοντος τοὺς τὴν κακόδοξον ταύτην προσθήκην παραδεχομένους, καὶ ἀπὸ τοῦ ἀναθεματισμοῦ, μὴ μόνον ἀτίμων γινομένων τῶν ἀναθεματιζομένων, ἀλλὰ καὶ παντελῆ ἀπώλειαν ὑφισταμένων, καὶ πάσης τῆς ἐν κόσμῳ διαγωγῆς ἀπαλλοτριουμένων, θαυμάζω, πῶς ὁ κανὼν, συν τῷ ἀναθεματισμῷ, καθαιρέσεως (1) ἐμνήσθη καὶ ἀφορισμοῦ. Ἀλλ', ὡς ἔοικε, τὰ περὶ τούτου εἰς τὴν ἐπισκοπικὴν διάκρισιν ἀνήρτησαν, ἐφ' ᾧ, τὸν μὲν παραδεξάμενον τὴν βλάσφημον ταύτην προσθήκην καὶ ῥᾳδίως μετατιθέμενον, καθαιρεῖσθαι, ἢ ἀφορίζεσθαι· τὸν δὲ μὴ μετατιθέμενον (2), ἀλλ' ἔτι τῆς βλασφήμου φλυαρίας ἐξεχόμενον, ἀναθεματίζεσθαι· καὶ οὕτω μὴ μόνον τῆς ἱερωσύνης, ἢ τῆς ἐκκλησιαστικῆς κοινωνίας ἀπογυμνοῦσθαι, ἀλλὰ καὶ περιορίζεσθαι, ἐφ' ᾧ μὴ μεταδοῦναι τῆς αἱρέσεως καὶ ἄλλοις.

ΑΡΙΣΤ. Τῷ τρισαγίῳ ὕμνῳ ὁ συνάπτων τὸ, Ὁ σταυρωθεὶς, ἑτερόδοξος.

Λέγεται, ὡς ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ Μικροῦ, ἤρθη παιδίον ἐν τῇ τοῦ κάμπου λιτῇ, καὶ ἐπὶ πολλὰς ὥρας μετέωρον γέγονε, καὶ ἤκουσε θείας φωνῆς, μὴ προστιθέναι ἐν τῷ τρισαγίῳ τὸ, Ὁ σταυρωθεὶς δι' ἡμᾶς· ὡς ὁ παράφρων Παῦλος ὁ Σαμοσατεὺς ἐληρῴδει. Εἴ τις οὖν τὴν τοιαύτην φωνὴν τῷ τρισαγίῳ ὕμνῳ συνάψει, ὡς ἑτερόδοξος, ἀναθεματισθήσεται. Εὑρήσεις δὲ καὶ ἐν τῷ Δαμασκηνῷ νγ'. κεφάλαιον, διαλαμβάνον πλατύτερον περὶ τοῦ τρισαγίου, καὶ διὰ ποίαν αἰτίαν ἤρθη τὸ παιδίον.

Κανὼν ΠΒ'.

Ἔν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς, ἀμνὸς δακτύλῳ τοῦ Προδρόμου δεικνύμενος ἐγχαράττεται, ὃς εἰς τύ-

(1) τὸ, σὺν τῷ ἀναθεματισμῷ, οὐ κεῖται ἐν Χ. Τρ. — (2) Χ. Τρ. Βενερ. — τὰς λέξεις, καθαιρεῖσθαι, ἢ ἀφορίζεσθαι. Τὸν δὲ μὴ μετατιθέμενον, παραλείπει ἡ Ἐς

πον παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν διὰ νόμου (1) προϋποφαίνων ἀμνὸν Χριστὸν τὸν Θεὸν ἡμῶν. Τοὺς οὖν παλαιοὺς τύπους, καὶ τὰς σκιὰς, ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα, τῇ ἐκκλησίᾳ παραδεδομένους κατασπαζόμενοι, τὴν χάριν προτιμῶμεν, καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑποδεξάμενοι. Ὡς ἂν οὖν τὸ τέλειον κἂν ταῖς χρωματουργίαις, ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπογράφηται, τὸν τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ (2) κόσμου ἀμνοῦ, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα καὶ ἐν ταῖς εἰκόσιν ἀπὸ τοῦ νῦν, ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ, ἀναστηλοῦσθαι ὁρίζομεν· δἰ αὐτοῦ τὸ τῆς ταπεινώσεως ὕψος (3) τοῦ Θεοῦ Λόγου κατανοοῦντες, καὶ πρὸς μνήμην τῆς ἐν σαρκὶ (4) πολιτείας, τοῦ τε πάθους αὐτοῦ καὶ τοῦ σωτηρίου θανάτου, χειραγωγούμενοι, καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ ἀπολυτρώσεως.

—

ΖΩΝΑΡ. Ὁ τοῖς Ἑβραίοις παρὰ Μωϋσέως ἐνταλθεὶς σφαγιασθῆναι ἀμνὸς, οὗ τῷ αἵματι αἱ φλιαὶ τῶν οἴκων αὐτῶν χρισθεῖσαι, ἄβατοι τῷ τῶν πρωτοτόκων ἦσαν ὀλοθρευτῇ, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν προετύπου καὶ προεικόνιζεν. Ὅθεν καὶ ὁ Βαπτιστὴς, δεικνύων τοῖς λαοῖς τὸν Χριστὸν, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ἔφη, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Ἐγράφετο οὖν ἐν εἰκόσιν ἀμνὸς, καὶ ὁ Πρόδρομος τῷ δακτύλῳ δεικνύων αὐτόν. Τοῦτο δὲ μὴ γίνεσθαι ἡ σύνοδος αὕτη θεσμοθετεῖ· λέγουσα, ὅτι τοὺς μὲν τύπους, καὶ τὰς σκιὰς, τιμῶμεν ὡς σύμβολα τῆς ἀληθείας, καὶ προχαράγματα· προτιμῶμεν δὲ τὴν χάριν, καὶ τὴν ἀλήθειαν, *ἤγουν αὐτὰ τὰ πράγματα, τὰ διὰ συμβόλων δηλούμενα* (5)· καὶ ὁρίζομεν, μηκέτι ἐν εἴδει ἀμνοῦ γράφεσθαι τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου· ἀλλὰ κατὰ τὸν ἀνθρώπινον

(1) διὰ τοῦ νόμου Βρ. — (2) τὸ, τοῦ, οὐ κεῖται παρὰ Βευερ. — (3) Βρ. Σ. Ῥ. — τὸ, ὕψος, οὐ κεῖται παρὰ Π. Χ. Τρ. Κ. Ἐ. Βευερ. — (4) ἐν σάρκου Σ. Ῥ. — (5) τὰ ἐντὸς * οὐ κεῖται παρὰ Βευερ. καὶ Ἑ. ἀλλὰ μόνον ἐν Χ. Τρ.

χαρακτῆρα ἀναστηλοῦσθαι αὐτὸν ἐν εἰκόσιν, ἵν' οὕτω κατανοῶμεν τὴν συγκατάβασιν τοῦ Θεοῦ Λόγου, καὶ τὸ τῆς αὐτοῦ ταπεινώσεως ἄμετρον, καὶ μνημονεύωμεν τῆς ἐν σαρκὶ ἀναστροφῆς αὐτοῦ, καὶ τοῦ πάθους, καὶ τοῦ σωτηρίου θανάτου, καὶ ὅσων εὐεργεσιῶν ἐτύχομεν δι' αὐτοῦ.

ΒΑΛΣ. Ὅτε τὴν κατὰ τῶν πρωτοτόκων Αἰγυπτίων ἀπειλὴν διελάλησε, κατὰ κέλευσιν τοῦ Θεοῦ, ὁ Μωϋσῆς, ἐνετείλατο τοῖς Ἑβραίοις σφαγιάσαι ἀμνὸν, καὶ τῷ αἵματι τούτου χρισθῆναι τὰς Ἰουδαϊκὰς φλιὰς, ὡς ἂν ἄβατοι ὦσι τῷ τῶν πρωτοτόκων ὀλοθρευτῇ· προετύπου οὖν ὁ τοιοῦτος ἀμνὸς τὸν Κύριον. Ὅθεν καὶ ὁ μέγας ἐν Προφήταις καὶ ἰσάγγελος Πρόδρομος, ἰδὼν τὸν Κύριον Ἰησοῦν Χριστὸν καὶ Θεὸν ἡμῶν, εἶπεν· Ἴδε(1) ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρὸς, ὁ αἴρων τὴν ἁμαρτίαν (2) τοῦ κόσμου. Τινὲς οὖν ἐν ἁγίαις εἰκόσι τὸν ἅγιον Πρόδρομον ἀναστηλοῦντες, ἀμνὸν ἄντικρυς αὐτοῦ ἐνεχάραττον (3), ὑπὸ τοῦ Προδρόμου δακτυλοδεικτούμενον (4). Τοῦτο τοίνυν ἡ ἁγία σύνοδος ἀποτρέπουσα, ὥρισεν· ὡς, ἐπεὶ ὁ ἀμνὸς εἰς τύπον τῆς ἀληθείας παρελήφθη, αἱ σκιαὶ δὲ, καὶ οἱ τύποι, καὶ τὰ σύμβολα παρῆλθον, ὡς τῆς ἀληθείας παῤῥησιασθείσης· κατασπαζόμεθα μὲν καὶ τοὺς τύπους, καὶ τὰς σκιὰς, ὡς τῆς ἀληθείας σύμβολα, προτιμώμεθα δὲ τὴν ἀλήθειαν· διὸ καὶ ὥρισαν, τὰ μὲν τοῦ τύπου σχολάσαι· ἀντὶ δὲ ἀμνοῦ, ἐν ταῖς ἁγίαις εἰκόσιν ἀναστηλοῦσθαι αὐτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ Θεὸν ἡμῶν, κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα. Εἰ δὲ ταῦτα οὕτως ἔχουσι, νομίζω, ὅτι κακῶς ποιοῦσιν οἱ ἐπ' ἐκκλησίας περιστερὰς ἀπολύοντες, ἀντὶ Πνεύματος ἁγίου ἐπιδημίας, καὶ ἀντὶ τοῦ ἀστέρος ἐκείνου τοῦ ὑπερφυοῦς καὶ καινοφανοῦς, κηρία (6) ἀνάπτοντες· καὶ τὴν ἀπόῤῥητον καὶ σωτήριον ἐν σπηλαίῳ γέννησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ παιδὸς καὶ στρωμνῆς ὑποτυποῦντες, καὶ τὰ ὑπὲρ λόγον καὶ ἔννοιαν ἀνθρωπίνοις ἐπιτηδεύμασι διαγράφοντες.

---

(1) Χ. Τρ. — ἰδοὺ, Βευερ. Ἐ. — (2) τὰς ἁμαρτίας 'Ε. — (3) Χ. Τρ. — ἀνεχάραττον Βευερ. 'Ε. — (4) Χ. Τρ. — δακτυλοδεικνούμενον Βευερ. δακτυλοδεικνύμενον 'Ε. — (5) Χ. Τρ. — κηρὸν Βευερ. Ἐ.

ΑΡΙΣΤ. Οὐ χαράξεις ἀμνὸν εἰς τύπον Χριστοῦ· ἀλλ' ἐκεῖνον αὐτόν.

Ὁ ἀμνὸς εἰς τύπον παρελήφθη τοῦ ἀληθινοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· καὶ οὐ χρὴ τὸν τύπον προτιμᾶσθαι τῆς ἀληθείας, καὶ ἀμνὸν ἐν ταῖς σεπταῖς εἰκόσιν ἐγγράφειν, τῷ δακτύλῳ τοῦ Προδρόμου δεικνύμενον· ἀλλ' αὐτὸν τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν, καὶ ἐν ταῖς χρωματουργίαις κατὰ τὸ ἀνθρώπινον ἐγχαράττειν.

Κανὼν ΠΓ'.

Μηδεὶς τοῖς σώμασι τῶν τελευτησάντων (1) τῆς εὐχαριστίας μεταδιδότω. Γέγραπται γάρ· Λάβετε, φάγετε (2)· τὰ δὲ τῶν νεκρῶν σώματα, οὐδὲ λαβεῖν δύναται, οὐδὲ φαγεῖν.

ΖΩΝΑΡ. Ἔθος ἦν παλαιὸν, μεταδίδοσθαι τοῖς νεκροῖς σώμασι τῶν τελευτησάντων, τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου· τοῦτο γὰρ ὠνόμασται εὐχαριστία· ὅτι εὐχαριστεῖν ἡμᾶς χρὴ μεταλαμβάνοντας τούτων, ὡς ἀξιωθέντας τοιούτων δωρεῶν. Τοῦτο τοίνυν γίνεσθαι ὁ κανὼν ἀπηγόρευσε, καὶ τὴν αἰτίαν ἐπάγει, λέγων· ὅτι ὁ Κύριος διανέμων τὸν ἄρτον τοῖς μαθηταῖς, Λάβετε, φάγετε, εἶπε· τὰ δὲ νεκρωθέντα σώματα, οὔτε λαβεῖν, οὔτε φαγεῖν δύνανται. Καὶ ὁ ὀκτωκαιδέκατος κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου, πρὸ τῆς συνόδου ταύτης, ἀπηγόρευσε τὸ τῆς εὐχαριστίας μεταδίδοσθαι τοῖς νεκροῖς.

ΒΑΛΣ. Ὁ Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς, δειπνήσας μετὰ τῶν οἰκείων μαθητῶν, καὶ τοῦ ἄρτου τούτοις μεταδιδοὺς, Λάβετε, φάγετε, ἔφησε, τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν· καθὼς τοῦτο ἐν Εὐαγγελίοις γέγραπται. Εἴθιστο γοῦν πρὸ τῆς συνόδου ταύτης παρά τισι, μεταδιδόναι τῶν θείων ἁγιασμάτων, (ταῦτα γὰρ εὐχαριστίαν οἱ Πατέρες ὠνόμασαν), σώμασι νεκροῖς. Τοῦτο οὖν κωλύοντες οἱ Πατέρες, διωρίσαντο, μηκέτι τοιοῦτόν τι γίνεσθαι· ὅτι, φασί,

---

(1) Βευερ. — τῶν τελευτώντων Π. Χ. Τρ. Βρ. Ἑ. Σ. Ῥ. — (2) Ματθ. Κς', 26.

γέγραπται· Λάβετε, φάγετε· τὰ δὲ σώματα τῶν νεκρῶν, οὔτε λαβεῖν, οὔτε φαγεῖν δύνανται. Ἀνάγνωθι καὶ τὸν ιη'. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου. Τὸ μέν τοι χειρίζεσθαι τοῖς ἀρχιερεῦσι μετὰ τελευτὴν ἅγιον ἄρτον, καὶ οὕτως ἐνταφιάζεσθαι, νομίζω γίνεσθαι εἰς ἀποτροπὴν τῶν δαιμόνων (1), καὶ ἵνα δι' αὐτοῦ ἐφοδιάζηται πρὸς οὐρανὸν ὁ τοῦ μεγάλου καὶ ἀποστολικοῦ καταξιωθεὶς ἐπαγγέλματος.

ΑΡΙΣΤ. Σώματι νεκρῷ οὐ μεταδοτέον τῶν ἁγιασμάτων.

Ἐπειδὴ γέγραπται· Λάβετε, φάγετε· τὰ δὲ τῶν νεκρῶν σώματα οὔτε λαβεῖν, οὔτε φαγεῖν δύνανται· οὐδεὶς μεταδώσει τοῖς τελευτήσασι τῶν θείων καὶ ἀχράντων ἁγιασμάτων.

Κανὼν ΠΔ'.

Τοῖς κανονικοῖς τῶν Πατέρων θεσμοῖς κατακολουθοῦντες, ὁρίζομεν καὶ περὶ τῶν νηπίων· ὁσάκις μὴ εὑρίσκωνται βέβαιοι μάρτυρες, οἱ ταῦτα ἀναμφιβόλως βαπτισθέντα εἶναι λέγοντες, καὶ οὐδὲ αὐτὰ διὰ τὴν κεῖραν περὶ τῆς παραδοθείσης αὐτοῖς μυσταγωγίας ἀποκρίνασθαι ἐπιτηδείως ἔχωσι, χωρίς τινος προσκόμματος ὀφείλειν ταῦτα βαπτίζεσθαι· μή ποτε ὁ τοιοῦτος δισταγμὸς ἀποστερήσῃ αὐτὰ τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθάρσεως.

ΖΩΝΑΡ. Ἓν βάπτισμα ὁμολογεῖν ἀπὸ τοῦ θείου συμβόλου τῆς πίστεως δεδιδάγμεθα. Ὅτι δὲ ὁ Κύριος ἔφη, Εἰ μήτις γεννηθῇ δι' ὕδατος καὶ Πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· διὰ τοῦτο ἔδοξε τοῖς ἱεροῖς Πατράσι, παλαιοτέρων Πατέρων ἐξακολουθοῦσι θεσμοῖς, εἰ ἀμφίβολόν ἐστι τὸ βαπτισθῆναί τινας, ἐκείνων μὲν μὴ εἰδότων εἰ ἐβαπτίσθησαν, διὰ νηπιότητα, καὶ τὸ λίαν ἀτελὲς τῆς ἡλικίας αὐτῶν, (ἡλικία γὰρ ἡ κεῖρα ἑρμηνεύεται), καὶ οὐδέ τινες εὑρίσκονται εἰδότες, καὶ μαρτυροῦντες, ὅτι ἐβαπτίσθησαν, βαπτίζεσθαι αὐτοὺς χωρίς τινος προσκόμματος, ἀντὶ τοῦ, μή τινος ἐμποδίου ὄντος,

---

(1) Χ. Τρ. — τῶν δαιμονίων Βευερ.

διὰ τὸ ἀγνοεῖσθαι, εἰ ἐβαπτίσθησαν. Τοῦτο δέ φασιν, ὁρίζομεν, ἵνα μὴ διὰ δισταγμὸν καὶ ἀμφιβολίαν τοῦ εἴτε ἐβαπτίσθησαν, εἴτε μὴ, στερηθῶσι τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθάρσεως, καὶ ἔξω μείνωσι τῆς τοῦ Θεοῦ βασιλείας, κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν.

ΒΑΛΣ. Οἱ ἐν Καρθαγένῃ συνελθόντες Πατέρες, ὧν ὁ παρὼν κανὼν μέμνηται, ἓν βάπτισμα ὁμολογοῦντες, κατὰ τὴν τοῦ ἁγίου συμβόλου περίληψιν, ὥρισαν ἐν κανόνι οβ'. τοὺς ἐν νηπιότητι λεγομένους βαπτισθῆναι, εἴτε καὶ μὴ, βαπτίζεσθαι, ἐὰν μὴ ὦσι μάρτυρες βέβαιοι, πληροφοροῦντες αὐτοὺς βαπτισθῆναι. Ἀκολούθως οὖν τούτοις ἐθεσμοθέτησαν οἱ Πατέρες ἐν τῷ παρόντι κανόνι αὐτὰ ἐκεῖνα, ὅσα καὶ οἱ ἐν Καρθαγένῃ συνελθόντες παρεκελεύσαντο· δηλονότι βαπτίζεσθαι τοὺς ἀμφιβαλλομένους βαπτισθῆναι, εἰ μήτε αὐτοὶ ἐκεῖνοι δύνανται πληροφορῆσαι τὸ βαπτισθῆναι, διὰ τὸ μὴ εἰδέναι τί γέγονεν εἰς τούτους ἐν νηπιότητι, (κεῖρα γάρ ἐστιν ἡ ἀτελὴς ἡλικία)· μηδὲ μάρτυρες παράγονται πληροφοροῦντες τὸ βαπτισθῆναι αὐτούς· δέος γάρ ἐστι, μή ποτε διὰ τὸν δισταγμὸν ἀποστερηθῶσι τὰ νήπια τοῦ θείου βαπτίσματος, καὶ τῆς διὰ τούτου (1) διδομένης βασιλείας τῶν οὐρανῶν, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, τὴν λέγουσαν, Εἰ μή τις γεννηθῇ δι'ὕδατος καὶ Πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ταῦτα δὲ νενομοθέτηται, ὅτι τινὲς οὐ παρεχώρουν διὰ τὴν ἀμφιβολίαν βαπτίζεσθαι τοὺς τοιούτους, ἵνα μὴ δόξωσιν ἀναβαπτίζειν τοὺς προβαπτισθέντας· περὶ δὲ τούτου πολλάκις ἀμφισβήτησις γέγονε συνοδικῶς. Νηπίων γὰρ ἀπὸ χριστιανικῆς χώρας αἰχμαλωτισθέντων παρὰ Σκυθῶν καὶ Ἀγαρηνῶν, καὶ διαπραθέντων πρὸς Ῥωμαίους, ἀμφιβολία γέγονεν, εἰ χρὴ τοὺς πωληθέντας βαπτισθῆναι· ἔλεγον γάρ τινες, ὡς, ἐπεὶ ἀπὸ χριστιανικῆς χώρας ᾐχμαλωτίσθησαν, πρόληψίς ἐστι βαπτισθῆναι κατὰ χώραν ἐν νηπιότητι, καὶ οὐ χρὴ καὶ αὖθις ἀναβαπτισθῆναι. Ἤρεσε δὲ μᾶλλον, ὀφείλειν βαπτισθῆναι, διὰ τὸ μὴ εἰδέναι τούτους, εἰ ἐν νηπιότητι ἐβαπτίσθησαν, μήτε

(1) Χ. Τρ. — διὰ τοῦτο Βενερ. 'Ε.

τινὰς εὑρίσκεσθαι διαβεβαιουμένους τὸ βάπτισμα. Περὶ δὲ τῶν ἀπὸ χώρας ἀπίστων αἰχμαλωτιζομένων, ὡρίσθη, ἀδιαστίκτως αὐτοὺς βαπτίζεσθαι, εἰ μὴ μάρτυρες ὁμολογοῦσι βαπτισθῆναι τούτους μετὰ τὴν αἰχμαλωσίαν. Ἐπὶ δὲ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Λουκᾶ, παρέστησαν Ἀγαρηνοὶ συνοδικῶς, καὶ, ἀπαιτούμενοι βαπτισθῆναι, εἶπον, ὡς ἔφθασαν εἰς τὰς χώρας αὐτῶν βαπτισθῆναι· καὶ ἐρωτώμενοι ὅπως, ἀπελογήσαντο, ὅτι συνήθειά ἐστι πάντα τὰ νήπια τῶν Ἀγαρηνῶν βαπτίζεσθαι παρὰ ὀρθοδόξων ἱερέων· ἀλλ' οὐ παρεδέχθησαν· ἤκουσαν γάρ, ὡς τὸ παρὰ τῶν ἀπίστων ζητούμενον ἀπὸ τῶν Χριστιανῶν βάπτισμα, οὐ κατὰ διάθεσιν ἀγαθὴν καὶ πρόθεσιν (1) ὀρθόδοξον ζητεῖται, ἀλλὰ διὰ θεραπείαν σωματικήν. Δέδοκται γὰρ παρὰ τοῖς Ἀγαρηνοῖς τὰ τέκνα τούτων δαιμονᾷν, καὶ κατὰ κύνας ὄζειν, εἰ μὴ βαπτίσματος τύχωσι χριστιανικοῦ· κἀντεῦθεν, οὐχ ὡς καθαρτήριον παντὸς ῥύπου ψυχικοῦ, καὶ φωτὸς θείου καὶ ἁγιασμοῦ πάροχον ἀνακαλοῦνται τὸ βάπτισμα, ἀλλ' ὡς φαρμακείαν, ἢ ἐπῳδήν. Τινὲς δὲ ἐξ αὐτῶν εἶπον, μητέρας ἔχειν ὀρθοδόξους, καὶ ἀπὸ σπουδῆς τούτων βαπτισθῆναι αὐτοὺς παρὰ ὀρθοδόξων· ἀλλ' οὐδὲ οὗτοι εἰσηκούσθησαν, ὅτι οὐ παρέστησαν μάρτυρας τοῦτ' αὐτὸ μαρτυροῦντας· μᾶλλον μὲν οὖν καὶ κατεγνώσθησαν, ὡς μὴ ἀγαθὴν πρόληψιν διδόντες καθ' ἑαυτῶν, εἰς τὸ μὴ προσέρχεσθαι τῇ πίστει ὀρθῶς· διὸ καὶ ἐξεχωρήθη πάντας τούτους βαπτισθῆναι.

ΑΡΙΣΤ. Οἱ μὴ γινώσκοντες, μηδὲ μαρτυρούμενοι βαπτισθῆναι, βαπτιζέσθωσαν.

Ὅσοι ἀγνοοῦσιν, εἰ ἐν τῇ νηπιώδει αὐτῶν ἡλικίᾳ ἐβαπτίσθησαν, καὶ οὐδὲ εὑρίσκονταί τινες ἀξιόπιστοι μάρτυρες ἀναμφιβόλως αὐτοὺς διαβεβαιούμενοι βαπτισθῆναι· χωρίς τινος προσκόμματος βαπτιζέσθωσαν.

Κανὼν ΠΕ'.

Ἐπὶ δύω, ἢ τριῶν μαρτύρων βεβαιοῦσθαι πᾶν ῥῆμα, γρα-

(1) Χ. Τρ. — πραίρεσιν Βευερ. Ε.

φικῶς παρελάβομεν. Τοὺς οὖν ὑπὸ τῶν οἰκείων δεσποτῶν ἐλευθερουμένους δούλους, ἐπὶ τρισὶ μάρτυσι τῆς τοιαύτης τιμῆς ἀπολαύειν διοριζόμεθα· οἳ τὸ κῦρος παρόντες τῇ ἐλευθερίᾳ προσοίσουσι, καὶ τὸ πιστὸν ἐξ ἑαυτῶν τοῖς γενομένοις παρέξουσιν.

—

ΖΩΝΑΡ. Ἀδιατίμητον πρᾶγμα τὴν ἐλευθερίαν, ἤγουν διατιμηθῆναι, καὶ τιμὴν ὁρισθῆναι ἐπ' αὐτῇ μὴ δυνάμενον, οἱ τῆς πολιτείας εἶναι νόμοι φασίν. Ὡς οὖν περὶ μεγάλου πράγματος ἐσομένης τῆς μαρτυρίας, ὅτε δεήσει μαρτυρίας περὶ ἐλευθερίας, ἀπῃτοῦντο οἱ τὰς ἀποδείξεις ποιούμενοι πέντε, τυχὸν, ἢ καὶ πλείονας παράγεσθαι μάρτυρας, ὡς τοσούτων καὶ ἐφ' ἑτέραις ὑποθέσεσι παραγομένων. Τοῦτο οὖν ἀναιρῶν ὁ κανὼν, ἐπὶ θάλψει τῆς ἐλευθερίας, καὶ τρεῖς ὁρίζει ἀρκεῖν, καὶ τὴν γραφὴν παράγει εἰς σύστασιν τῆς θεσμοθεσίας, λέγουσαν· Ἐπὶ δύο, ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα· ἀντὶ τοῦ, βεβαιωθήσεται, κυρωθήσεται.

ΒΑΛΣ. Εἶπεν ἐν Εὐαγγελίοις ὁ Κύριος· Ἐπὶ δύο, ἢ τριῶν μαρτύρων πᾶν ῥῆμα σταθήσεται· διὸ καὶ ὁ παρὼν κανὼν διορίζεται, τοὺς λέγοντας ἐλευθερίας ἀξιωθῆναι παρὰ τῶν οἰκείων δεσποτῶν, μὴ ἀναγκάζεσθαι πολλοὺς μάρτυρας χάριν ἀποδείξεως τούτου αὐτοῦ παράγειν· ἀλλὰ διὰ τριῶν μαρτύρων συνιστᾷν τὴν λεγομένην προσεῖναι αὐτοῖς ἐλευθερίαν. Ἦσαν γάρ τινες, ὡς ἔοικε, λέγοντες, ὀφείλειν τὴν ἐλευθερίαν ἀποδείκνυσθαι διὰ πλειόνων μαρτύρων, πέντε τυχὸν, ἢ καὶ ἕξ· ὅπερ τῇ ἁγίᾳ συνόδῳ οὐκ ἤρεσε· καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Ἐτρακταΐσθη δὲ πολλάκις, εἰ, τοῦ νόμου λέγοντος, ἐν βιβλίῳ κά. τίτλῳ ά. καὶ βιβλίῳ κγ'. τίτ. ά. Ἐπὶ μὲν τοῖς ἐπέκεινα τῆς μιᾶς ὑπερπύρων λίτρας πράγμασιν (1) ὀφείλειν παράγεσθαι μάρτυρας τρεῖς· ἐπὶ δὲ ὑποθέσει λίτρας ὑπερπύρων μιᾶς καὶ κατωτέρω, ἀρκεῖν μάρτυρας δύο· ἀναγκάζεται ὁ ἐλευθεροδοῶν, κατὰ τὸν παρόντα κανόνα, παράγειν μάρτυρας τρεῖς·

(1) Βευερ. Ε. — τῆς ἐπέκεινα τῆς μιᾶς ὑπερπύρου λίτρας πραγματείας Χ. Τρ.

καὶ τέως ἐμοὶ ἔδοξε, δύο καὶ μόνους ἀρκεῖν μάρτυρας εἰς ἀπόδειξιν ἐλευθερίας, διὰ τὸ ἐπιθάλπεσθαι παρά τε τῶν νόμων καὶ τῶν κανόνων πλέον πάντων τὴν ἐλευθερίαν. Ἄλλως τε, ἐπεὶ οὐχ ὑπερβαίνει τὸ τίμημα δούλου οἱουδήτινος μίαν ὑπερπύρων λίτραν, νενομοθέτηται δὲ ἐπὶ μιᾶς ὑπερπύρων λίτρας ἀρκεῖν μάρτυρας δύο, πάντως καὶ εἰς ἀπόδειξιν ἐλευθερίας, δύο ἀρκέσουσι μάρτυρες, ἀκολούθως τῷ παρόντι κανόνι, τῷ ὑπὲρ τῆς ἐλευθερίας ἐκφωνηθέντι, καὶ λέγοντι ἐξ ἀρχῆς· Ἐπὶ δύο, ἢ τριῶν μαρτύρων, πᾶν ῥῆμα σταθήσεται· καὶ ὅτι ἐξ ἀτονίας τῶν ἀποδείξεων οὐχὶ ἡ ἀδιατίμητος ἐλευθερία δίδοται τῷ ἀντιδίκῳ, ἀλλ' ἡ δουλεία, ἥτις ἀποτιμᾶται, ὡς ἄνωθεν εἴρηται· ἧς καὶ δοθείσης διὰ νομισμάτων, ἐλευθερωθήσεται ὁ ἐλευθεροβοῶν. Ἀνάγνωθι καὶ τὴν νεαρὰν τοῦ βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, τὴν ἐξενεχθεῖσαν χάριν τοῦ μὴ δέχεσθαι ἀντιπαραστάσεις μαρτύρων, ὅταν παράγωνται μάρτυρες παρὰ τοῦ ἐλευθεροβοῶντος, καὶ χάριν τοῦ μὴ γίνεσθαι ἐλευθέρους τοὺς ἱερολογουμένους δούλους, τὴν καὶ τάδε ῥητῶς διεξιοῦσαν· Δύο ταῦτα ἐπὶ τὰς ἀκοὰς τῆς βασιλείας μου ἦλθεν, ἁγιώτατε δέσποτα, ὥς τινες τῶν προσερχομένων τῷ ἁγίῳ μεγάλῳ τε καὶ θείῳ ναῷ τῆς τοῦ Θεοῦ Λόγου Σοφίας, εἰς ἐλευθερίαν ἀναφωνοῦντες, καὶ πρόφασιν τῆς ἐλευθερίας τὸ γένος ποιούμενοι, (φασὶ γὰρ ἐξ ἐλευθέρων γεγεννῆσθαι γονέων, Βουλγάρων, τυχὸν, ἤ τινων τοιούτων, οὓς εἰς δοῦλον (2) ἡ καθ' ἡμᾶς παρέλαβε πολιτεία), εἰς ἀπόδειξιν τῶν λεγομένων ἀφίενται. Κἀπειδὴ παραστήσονται μάρτυρας ἀδιαβλήτους, εἰς ἀντιπαραστατικὴν μαρτυρίαν, οἱ κύριοι τούτων χωροῦσι, καὶ οὕτω τῶν ἐγκαλούντων διὰ τέλους παραμένειν τοῖς δικαστηρίοις ἀδυνατούντων, ἡ δουλικὴ τύχη πάλιν τούτοις ἐπιφορτίζεται. Καὶ ὅτε γαμικαὶ δούλων ὁμιλίαι τε καὶ συναρμογαὶ παρὰ τῷ καθ' ἡμᾶς γίνονται πολιτεύματι, οὐ μέντοι γε καὶ ἱερολογία ταύταις ἀκολουθεῖ, τῶν κυρίων αὐτῶν εὐλαβουμένων μεθ' ἱερολογίας ἀλλήλοις συνάπτειν τοὺς δούλους, ἵνα μὴ πρὸς ἐλευθερίαν ἐντεῦθεν συνελασθῶσι (1), καὶ τῆς προσηκούσης ἄμφω διορθώσεως ἔγνω-

(1) Χ. Τρ. — συνέλθωσι Βενετ. Ἐ — (2) Χ. Τρ. — εἰς δουλείαν Βενετ. Ἐ.

κε δεῖν· καὶ διὰ τοῦτο τὸ παρὸν διάταγμα συντετηρημένως ἐξέθετο· δι' οὗ καὶ διορίζεται κατὰ τῶν εἰς ἐλευθερίαν ἀναφωνούντων δούλων, ἀντιπαραστατικὴν μαρτυρίαν μὴ κρατεῖν· μηδὲ χώραν ἔχειν ὅλως αὐτὴν, παρ' οἱῳδήτινι πολιτικῷ ἢ ἐκκλησιαστικῷ δικαστηρίῳ· ἀλλὰ τοῖς ἐγκαλοῦσι μόνοις (1) τὰς ἀποδείξεις κατὰ νόμους ἐπάγεσθαι· κἂν εἴπου μαρτυριῶν εὐπορήσοιεν οὗτοι, νόμοις δεκτῶν καὶ μὴ περιτρεπομένων διαβολαῖς (2), τῷ τῶν μαρτύρων ὅρκῳ τὴν δίκην λύεσθαι· ἀλλὰ μὴ καὶ ἀντιπαραστάσεις τοῖς κυρίοις αὐτῶν ἐκχωρεῖσθαι (3)· ἵνα μὴ τὸ πολὺ τῶν ἀντιθέτων ἄνισον βλάβης αἴτιον τοῖς ἐλαχιστοτέροις γενήσεται. Ἀλλ' ὥσπερ ἐπὶ τῶν ὁμοτελῶν, ἡ τοῦ μακαριστοῦ κυροῦ Βασιλείου νομοθεσία τοῖς δυνατοῖς κατὰ τῶν πενήτων ἀντιπαραστάσεις οὐκ ἐξεχώρησεν· οὕτω κἀνταῦθα τοῖς κυρίοις κατὰ τῶν δούλων ἀπεσβεσμένον ἔσται τὸ τῆς ἀντιπαραστάσεως ἰσχυρὸν, καὶ μόνη κρατήσει παρὰ τούτοις ἡ κατὰ τῶν μαρτύρων διαβολὴ, τῆς ἀντιπαραστάσεως πάντως μὴ ἀποκλειομένης τοῖς ἐγκαλουμένοις δούλοις, ὅταν τοὺς μάρτυρας κατὰ τῶν ἐν νομῇ ἐλευθερίας ὄντων, οἱ πρὸς δουλείαν ἕλκοντες τούτους παράγωσι. Τοῖς γὰρ ἐλαχιστοτέροις καὶ ἀσθενέσιν, ἡ παροῦσα διάταξις χαρίζεται τὴν ῥοπήν· ἀλλ' οὐχ ὑπὲρ τῶν δυνατῶν καὶ μᾶλλον ἰσχυροτέρων ἐκτέθειται. Προστίθησι δὲ καὶ τὰς ἱερολογίας, μὴ μόνον παρὰ τοῖς ἐλευθέροις, ἀλλὰ καὶ παρὰ τοῖς δούλοις κρατεῖν· καὶ γάμον μὴ ἄλλως ἔννομόν τε καὶ τῆς χριστιανικῆς καταστάσεως ἄξιον εἶναί τε καὶ νομίζεσθαι, εἰ μὴ καὶ ἱερολογία τοὺς συναπτομένους συνδεῖ. Ἄτοπον γὰρ ἂν εἴη, μιᾶς ἐν πᾶσι τῆς χριστιανικῆς κρατούσης πίστεως, καὶ βαπτίσματος ὁμολογουμένου ἑνὸς, δι' οὗ προσηγμεθα τῷ Κυρίῳ, καὶ τῆς αὐτῆς σωτηρίας ἐλπιζομένης πᾶσιν ἡμῖν τοῖς πιστεύουσιν, ὑποτρέχειν ἐνίους ὑπόνοιαν, ὡς τοῖς δούλοις ἧττον μέτεστι τοῦ καλοῦ· καὶ τοὺς μὲν ἐλευθέρους κατὰ γάμον ἀλλήλοις συνάπτεσθαι, θείᾳ συνδουμένους εὐχῇ πρότερον· τοὺς δούλους δὲ τοιούτου διαπίπτειν καλοῦ· καὶ μὴ πα-

(1) Βενετ. Ἐ. — μόνας Χ. Τρ. — (2) διαβολῇ Χ. Τρ. — (3) ἐγχωρεῖσθαι Βενετ. Ἐ.

ραλαμβάνειν Θεὸν ἐπ' εὐλογίᾳ τῆς συνελεύσεως· ἢ δεδιέναι, ὡς, εἰ παραλαμβάνοιτο, ἀδικηθείη ἂν περὶ τὴν δεσποτείαν ὁ τούτων κύριος, τῆς ἐπ' αὐτοῖς στερισκόμενος δεσποτείας. Οὕτω γὰρ εἰ τοῦτο κρατείη, δεδιέναι χρὴ καὶ τὸ ἅγιον βάπτισμα, μὴ δοῦλοι ξενωθεῖεν τῶν δεσποτῶν (1). Ἀλλὰ καὶ αὐτὴν τὴν τῶν ἀχράντων μυστηρίων μετάληψιν, μὴ καὶ διὰ ταύτης ἐκείνων ἀλλοτριωθεῖεν· κἀντεῦθεν ἐκ τῶν δούλων οἰχήσεται τὸ μέγα καὶ σεβάσμιον τῆς θείας πίστεως ὄνομα· καὶ οὐ δοῦλοι μόνον ἀνθρώπων, ἀλλὰ καὶ τοῦ ἀνθρωποκτόνου γενήσονται ἄνθρωποι. Συγκινδυνεύουσι δὲ καὶ οἱ κύριοι τούτων, φόβῳ τοῦ μὴ διαπεσεῖν ὑπηρεσίας ἀνθρώπων, τῆς τοῦ Θεοῦ δόξης ἀποξενοῦν ἑαυτοὺς ἀνεχόμενοι. Ἀλλ' οὔτε τοῦτο λόγον ἔχει δίκαιον· καὶ τὴν ἱερολογίαν ἐξ ἀνάγκης καὶ ἐπὶ τῶν δούλων κρατεῖν, εὔλογον καὶ τῆς Χριστιανικῆς ἐπάξιον καταστάσεως· ἀλλὰ γὰρ ἐν ἀνθρώποις οἶδεν ἡ τύχη δεσποτείαν καὶ δουλείαν (2) διάφορα· καὶ ἅπερ ἡ καθ' ἡμᾶς πολιτεία παρέλαβε, ταῦτα καὶ ἐπὶ τούτων χρεὼν κρατεῖν. Εἷς δὲ Κύριος πάντων, μία πίςις, ἓν βάπτισμα· καὶ δούλου καὶ δεσπότου (3), ὅσα γε κατὰ πίςιν, διαφορὰν (4) οὐ γινώσκομεν· ὅτι καὶ πάντες ἐπίσης δοῦλοι ἐσμὲν τοῦ ἐκ δουλείας λυτρωσαμένου (5) ἡμᾶς τῷ ἐξ αὐτοῦ θείῳ καὶ ζωοποιῷ αἵματι. Καὶ ἐπεὶ ταῦτα καλῶς οὕτω (6) καὶ λυσιτελῶς διατέτακται, δεῖ τὴν μεγάλην ἁγιωσύνην σου δῆλα ταῦτα θέσθαι ἁπανταχοῦ τῶν ἁγίων ἐκκλησιῶν· ὡς ἂν οἱ ἐν αὐταῖς προεστῶτες οὕτω τε τὰ περὶ τῶν ἐλευθεριῶν δοκιμάζωσιν, ἀντιπαραστατικὴν μαρτυρίαν κατὰ τῶν δούλων τοῖς δεσπόταις μὴ συγχωροῦντες, καὶ πᾶσι θῶνται καταφανὲς ἐν ταῖς ὑπ' αὐτοὺς ἐνορίαις (7), ὡς οἱ μὴ μεθ' ἱερολογίας (8) ἀλλήλοις συνάπτοντες τοὺς δούλους, οὐχὶ θεοφιλῆ γάμον συνιστῶσιν ἐν αὐτοῖς, ἀλλ' ἐκπορνεύουσαν μίξιν κρατύνουσιν· οὓς

---

(1) Χ. Τρ. — τῶν δεσποτειῶν Βευερ. 'Ε. — (2) δεσπότου καὶ δούλου Χ. Τρ. — (3) Χ. Τρ. — καὶ δουλεία καὶ δεσποτεία Βευερ. 'Ε. — (4) Χ. Τρ. — διάφορα Βευερ. — διαφέροντα 'Ε. — (5) Χ. Τρ. — τῷ λυτρώσαντι Βευερ. 'Ε. — (6) Χ. Τρ. — τούτοις Βευερ. 'Ε. — (7) Χ. Τρ. — ἐν ταῖς ὑπ' αὐτῶν ἐνοριαῖς Βευερ. 'Ε. — (8) Χ. Τρ. — μεθ' ἱερουργίας Βευερ. 'Ε.

γὰρ μὴ συνάπτει Θεὸς, δι' ἱερολογίας παραλαμβανόμενος, οὗτοι πάντες εἰς ἁμαρτίαν συνέρχονται. Καὶ εἴπου προσαγγελθείη τοῦτο παρ' οἱουδήτινος οὕτως ἀπὸ τοῦδε γινόμενον, ἴστωσαν οἱ δεσπόται, ὡς οὐ μόνον θείῳ μηνύματι καταστήσονται ἔνοχοι, ἀλλὰ καὶ τῶν δούλων ἀλλοτριωθήσονται, εἰς ἐλευθερίαν ἁρπαζομένων· ἐξὸν γὰρ αὐτοῖς κατὰ νόμον Θεοῦ συνάπτειν ἀλλήλοις τοὺς δούλους, καὶ τὴν ἐπ' αὐτοῖς δεσποτείαν ἔχειν ἀλώβητον, εἰ μὴ τοῦτο ποιεῖεν, ἑαυτοῖς δικαίως πάντως τὴν τοῦ δεσπότου (1) ἐπανάγουσιν ἔκπτωσιν. Τὸ δὲ παρὸν διάταγμα οὐ μόνον ὀφείλει ἐν ταῖς ἁπανταχοῦ τῶν ἐκκλησιῶν διαγγελθῆναι, ἀλλὰ κἂν (2) τοῖς πολιτικοῖς δικαστηρίοις καταστρωθῆναι· γενέσθαι δὲ διαδόσιμον καὶ εἰς τοὺς τῶν ἐπαρχιωτικῶν (3) προεστῶτας ἀρχῶν, ὡς ἂν εἴδησιν ἔχωσιν ἅπαντες τῶν καλῶς παρὰ τῆς βασιλείας ἡμῶν ὁρισθέντων. Ἐπειδὴ δὲ καὶ γάμοι ἔφθασαν ἤδη γενέσθαι ἐπὶ προσώποις δουλικὴν ἔχουσι τύχην, καὶ οἱ γάμοι κατὰ τὴν ἕως τοῦ νῦν κρατοῦσαν παράλογον συνήθειαν προβεβήκασι, δεῖ καὶ ἐπὶ τούτων τὴν ἱερολογίαν γενέσθαι, ἵνα διὰ ταύτης, κἂν ὀψὲ γένηται, τὸ σεβάσμιον ἔχωσι τῶν ἀνωτέρω εἰρημένων παρατηρήσεων, καὶ ἐπὶ τῷ τοιούτῳ γάμῳ κρατεῖν ὀφειλουσῶν.

ΑΡΙΣΤ. Ἐλευθερούμενος ὑπὸ δεσπότου δοῦλος ἐπὶ δυσὶ μάρτυσιν, εἴη ἀδούλωτος. Σαφής.

Κανὼν ΠϚ'.

Τοὺς ἐπὶ ψυχῶν (4) ὀλίσθῳ πόρνας ἐπισυνάγοντας, καὶ ἐκτρέφοντας, εἰ μὲν κληρικοὶ εἶεν, ἀφορίζεσθαι, καὶ (5) καθαιρεῖσθαι ὁρίζομεν· εἰ δὲ λαϊκοὶ, ἀφορίζεσθαι.

—

ΖΩΝΑΡ. Τὸ πορνοβοσκεῖν καὶ τοῖς πολιτικοῖς ἀπηγόρευται νόμοις. Πορνοβοσκεῖν δέ ἐστι, τὸ τρέφειν πόρνας διὰ κέρδος τοῦ μισθώματος, ἐπὶ βλάβῃ ψυχῶν. Εἰ δὲ τοῖς τῆς πολιτείας

(1) Χ. Τρ. — τῆς δεσποτείας Βευερ. 'Ε. — (2) Χ. Τρ. — καὶ τοῖς Βευερ. 'Ε. — (3) Χ. Τρ. 'Ε. — ἐπαρχιωτῶν Βευερ. — (4) ἐπὶ ψυχῆς Χρ. Τρ. — (5) Π. Χ. Τρ. Βρ. — τὸ, ἀφορίζεσθαι καὶ, οὐ κεῖται παρὰ Βευερ. 'Ε. Κ. Σ. Ρ.

τοῦτο θεσμοῖς ἀποτέτραπται (1), πολλῷ τῷ μέσῳ εἴη ἂν ἀπηγορευμένον τοῖς ἐκκλησιαστικοῖς καὶ πνευματικοῖς· διὸ καὶ βαρύτατα τοῦτο κολάζει ὁ κανὼν ἐπὶ κληρικῶν. Καθαιρεῖσθαι γὰρ αὐτοὺς ἐνταυτῷ καὶ ἀφορίζεσθαι διατάσσεται, ὅπερ σπανιάκις εὑρίσκεται· ἀντὶ γὰρ πάσης ἑτέρας τιμωρίας ὡσεπιτοπολὺ τοῖς κεκληρωμένοις ἀρκεῖν νενομοθέτηται ἡ καθαίρεσις· τοὺς δὲ λαϊκοὺς, ἀφορίζεσθαι τοῦτο ποιοῦντας προστάσσει.

ΒΑΛΣ. Ὥσπερ ὁ πολιτικὸς νόμος κολάζει τοὺς πορνοβοσκοὺς, οὕτω καὶ ὁ κανὼν διορίζεται τοὺς ἐπισυνάγοντας πόρνας, καὶ οἷον διὰ τούτου συνωθοῦντας εἰς ψυχικὴν ἀπώλειαν τοὺς πολλούς· καὶ οὐ μόνον ἐπισυνάγοντας· ἀλλὰ καὶ ἐκτρέφοντας, ἤγουν τὰ ἀναγκαῖα αὐταῖς ἐπιχορηγοῦντας· (τῷ γὰρ ὀνόματι τῆς τροφῆς καὶ ἐνδυμασίαι, καὶ τὰ λοιπὰ τὰ πρὸς ἀκολασίαν τοὺς ἁπαλωτέρους ἕλκοντα, περιέχονται)· κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι· λαϊκοὺς δὲ, ἀφορίζεσθαι. Οὐ παρὰ τοῦτο δὲ οἱ μόνον ἐπισυνάγοντες, καὶ μὴ ἐκτρέφοντες αὐτὰς, οὐ τιμωρηθήσονται· ἀλλὰ κἀκεῖνοι ὁμοίως κολασθήσονται. Εἶπε δὲ ὁ κανὼν τὸ, ἐκτρέφοντες, ὅτι ἐξ ἀνάγκης τῇ συναγωγῇ ἐπακολουθεῖ καὶ ἡ λοιπὴ φροντὶς τῶν ἐπισυναγομένων. Οὐ γὰρ τὸ συνάγειν (2) μόνον ἄξιόν ἐστι κολάσεως· διότι συνάγει τις πολλάκις πόρνας, χάριν τοῦ ὑποθέσθαι αὐταῖς τὰ σωτηριώδη, ἢ χειραγωγίας ἀξιῶσαι σωματικῆς, ἢ παραδοῦναι τῷ ἄρχοντι χάριν σωφρονισμοῦ. Ζήτει βιβλίον ξ'. τῶν βασιλικῶν, τίτλῳ λή. κεφ. ά. Ἐὰν πατὴρ θυγατέρα, ἢ δεσπότης δούλην πορνοβοσκῇ, ἀπολλύτωσαν τὴν ἐπ' αὐταῖς ἐξουσίαν· προστίθησι δὲ τὸ κεφάλαιον, διὰ τοῦ ἐπισκόπου καὶ τοῦ ἄρχοντος αὐτὰς βοηθεῖσθαι· καὶ ὅτι, ἐὰν ἀνθίσταται πρὸς τοῦτο ὁ πατὴρ, ἢ ὁ δεσπότης, δημεύονται, καὶ ἐξορίζονται. Καὶ τὸ δεύτερον κεφάλαιον, τοὺς μὲν εὐτελεῖς πορνοβοσκοὺς, ὁμοίως τιμωρεῖ, τοὺς δὲ στρατείαν ἔχοντας, δημεύεσθαί φησι. Τὸ μέν τοι γ'. κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου, ὅπερ ἐστὶ νεαρὰ Ἰουστινιάνειος, μεγάλως κολάζει τοὺς σὺν τέχνῃ, καὶ δόλῳ, καὶ ἀνάγκῃ τινὰς εἰς τὴν τοιαύτην ἀσέλγειαν

(1) Χ. Τρ. — ἀπηγόρευται Βευερ. Κ — (2) Χ Τρ. — τὸ συναγαγεῖν Βευερ. Ε.

ἄγοντας, καὶ ἐμπορευομένους ταύτας (1). Ἀνάγνωθι μὲν οὖν τὸ τοιοῦτον κεφάλαιον ἐπιστατικώτερον· λέγουσι γάρ τινες, ὡς ἐκείνους τοῦτο κολάζει τοὺς πλανῶντας, καὶ μετά τινος μεθόδου, ἢ ἀνάγκης, μεθέλκοντας εἰς πορνείαν γυναῖκάς τινας· οὐ μὴν τοὺς προσδεχομένους τὰς ἑκουσίᾳ βουλήσει τὴν πορνείαν ἑλομένας, διὰ φύσεως ἀνάγκην ἢ καὶ πενίαν. Χρῶνται δὲ καὶ πρὸς ἐπισύστασιν τοῦ λόγου αὐτῶν, καὶ ῥήμασί τισι τῆς αὐτῆς νεαρᾶς, καὶ τῷ παρόντι κανόνι, μὴ μόνον τοὺς ἐπισυνάγοντας πόρνας κολάζοντι, ἀλλὰ καὶ τοὺς ἐκτρέφοντας, τουτέστι διὰ πλάνης καὶ κολακείας συνωθοῦντας αὐτὰς εἰς τὸ κακόν. Καὶ τὸ σήμερον δὲ γινόμενον πραγματικῶς εἰς τὰ πορνοβοσκεῖα, διενίστανται, συντρέχειν τοῖς λόγοις αὐτῶν. Ἐμοὶ δὲ δοκεῖ, ὅτι πάντα πορνοβοσκὸν οἱ νόμοι καὶ οἱ κανόνες ἀδιαστίκτως κολάζουσι, καὶ πᾶσαν πόρνην εἰς σωφροσύνην μεθέλκουσιν. Ἀνάγνωθι καὶ τὴν ϞΑʹ. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, μὴ παραχωροῦσαν κατὰ τὸν παλαιὸν νόμον διάγειν τινὰ μετὰ παλλακῆς.

ΑΡΙΣΤ. Ὁ συνάγων πόρνας ἐπ' ὀλίσθῳ ψυχῶν, ἀφορίζεται. Σαφής.

Κανὼν ΠΖʹ.

Ἡ τὸν ἄνδρα (2) καταλιποῦσα μοιχαλίς ἐστιν, εἰ ἐπ' ἄλλον ἦλθε, κατὰ τὸν ἱερὸν καὶ θεῖον Βασίλειον, ἐκ τῆς Ἱερεμίου προφητείας (3) ἄριστα τοῦτο ἀναλεξάμενον· ὅτι, Ἐὰν γένηται γυνὴ ἀνδρὶ ἑτέρῳ, οὐκ ἐπιστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς, ἀλλὰ μιαινομένη μιανθήσεται· καὶ πάλιν· Ὁ ἔχων (4) μοιχαλίδα, ἄφρων καὶ ἀσεβής. Εἰ οὖν φανῇ τοῦ ἀνδρὸς ἀλόγως ἀναχωρήσασα, ὁ μὲν συγγνώμης ἐστὶν ἄξιος, ἡ δὲ ἐπιτιμίων. Ἡ δὲ συγγνώμη τούτῳ πρὸς τὸ κοινωνεῖν τῇ ἐκκλησίᾳ δοθήσεται. Ὁ μέντοι καταλιμπάνων τὴν νομίμως συναφθεῖσαν αὐτῷ γυναῖκα, καὶ ἑτέραν ἀγόμενος, κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν, τῷ

(1) ταῦτα Βευερ. — (2) Π. Βρ. — ἡ καταλιποῦσα τὸν ἄνδρα Χ. Τρ. Βευερ. — (3) Ἱερ. Γʹ, 1. — (4) ὁ δὲ κατέχων Χ. Τρ. — Παροιμ. ΙΗʹ, 22.

τῆς μοιχείας ὑπόκειται κρίματι (1). Κεκανόνισται δὲ παρὰ τῶν Πατέρων ἡμῶν, τοὺς τοιούτους ἐνιαυτὸν προσκλαίειν, διετίαν ἐπακροᾶσθαι, τριετίαν ὑποπίπτειν, καὶ τῷ ἑβδόμῳ συνίστασθαι τοῖς πιστοῖς, καὶ οὕτω τῆς προσφορᾶς καταξιοῦσθαι, ἐὰν δὴ μετὰ δακρύων μετανοήσωσιν(2).

—

ΖΩΝΑΡ. Πάλαι μὲν τοῖς ἀνθρώποις καὶ ἐκ τῶν νόμων τῶν παλαιῶν, καὶ ἐξ ἔθους μακροῦ, ἐνεδέδοτο λύειν καὶ (3) ἀναιτίως τὰ συνοικέσια, καὶ ἐξῆν καὶ ἀνδρὶ, καὶ γυναικὶ, τῷ συνοίκῳ προσώπῳ λέγειν· Τὰ σαυτοῦ πράττε, ἢ, Τὰ σαυτῆς πράττε· καὶ λύειν τὸν γάμον· ὅπερ καὶ τοῖς Ἑβραίοις νενομοθέτητο. Ἐνεδέδοτο γὰρ τοῖς ἀνδράσι βιβλίον ἀποστασίου πέμπειν ταῖς γυναιξὶ, καὶ τῆς μετ' αὐτῶν ἀφίστασθαι συμβιώσεως· νῦν δὲ τοῦτο παρὰ Χριστιανοῖς οὐ κρατεῖ· ἀλλ' αἰτίαι ἠριθμημέναι εἰσὶν, αἳ τὸν γάμον δύνανται λύειν, καὶ ἄνευ μιᾶς ἐκείνων, χωρίζεσθαι τοὺς συνοικοῦντας ἐννόμῳ γάμῳ οὐκ ἔξεστι. Καὶ ὁ Κύριος δὲ τοῖς ἐρωτήσασιν, εἰ ἔξεστιν ἀνδρὶ τὴν γυναῖκα ἀπολύειν κατὰ πᾶσαν αἰτίαν, ἀπηγόρευσε τοῦτο, εἰπὼν, ὅτι ὁ ἀπολύσας τὴν γυναῖκα ἐκτὸς λόγου πορνείας, καὶ γαμήσας ἑτέραν, μοιχᾶται· καὶ ὁ ἀπολελυμένην γαμήσας, μοιχᾶται. Κατὰ τοῦτον οὖν τὸν λόγον, καὶ οἱ θεῖοι Πατέρες, τὴν ἀναιτίως καταλιποῦσαν τὸν ἄνδρα, καὶ ἑτέρῳ γενομένην, μοιχαλίδα ἐκάλεσαν, ἥτις κἂν ὑποστρέψαι βουληθῇ πρὸς τὸν ἴδιον ἄνδρα, ἄκοντος αὐτοῦ, οὐ παραδεχθήσεται· μεμίανται γάρ. Ἡ οὖν ἀλόγως ἀναχωρήσασα τοῦ ἀνδρὸς, φησὶν ὁ κανὼν, ἐπιτιμίων ἀξία, ἤγουν τῶν τῆς μοιχείας, *εἰ ἑτέρῳ γένηται* (4)· ὁ δὲ ἀνὴρ συγγνωμονηθήσεται, καὶ ἀξιωθήσεται τῆς ἐν τῇ ἐκκλησίᾳ κοινωνίας· ὥστε ἐξ ἀντιδιαστολῆς νοεῖσθαι δίδοται, ὅτι εἰ οὐκ ἀλόγως ἀνεχώρησε τοῦ ἀνδρὸς, ἐμπικραινομένου ἴσως αὐτῇ παρὰ τὸ προσῆκον, ἢ κακουχουμένη, ἤ τινας αἰτίας ἔχουσα παρὰ τοῦ ἀνδρὸς ἐπαγομένας,

---

(1) Ματθ. Ε', 32. ΙΘ', 9. — (2) Π. Κ. 'Ε. — ἄνευ τοῦ, δὴ, Βευερ. Σ Ρ. — οὐ κεῖται δὲ ὅλως τὸ, ἐὰν δὲ μετὰ δακρύων μετανοήσωσι, παρὰ Βρ. — (3) ὁ, καὶ, οὐ κεῖται ἐν Χ. Τρ. — (4) τὰ μεταξὺ * οὐκ ἀναγινώσκονται παρὰ Βευερ. καὶ Κ. ἀλλ' ἡ ἔννοια αὐτῶν εὕρηται ἐν τῇ λατινικῇ μεταφράσει.

ἐκείνη ἔσται ἀναίτιος (1) *γενομένη ἑτέρῳ* (2), καὶ ὁ ἀνὴρ ἐπιτιμηθήσεται, ὡς αὐτὸς αἴτιος τῆς ἁμαρτίας τῇ γυναικὶ γεγονώς. Ὁ μέν τοι καταλιμπάνων, φησὶν ὁ κανὼν, τὴν ἑαυτοῦ γυναῖκα, καὶ ἑτέραν ἀγόμενος, τῷ τῆς μοιχείας ὑπόκειται κρίματι, κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν· καὶ ἑξῆς ἐπάγει πῶς ὁ τοιοῦτος ἐπιτιμηθήσεται, καὶ οἰκονομηθήσεται. Ἐοίκασι δὲ οἱ Πατέρες οὗτοι καὶ ἐναντιοῦσθαι τῷ μεγάλῳ Βασιλείῳ· ἐκεῖνος γὰρ τὴν μὲν γυναῖκα, ἑτέρῳ συμφθειρομένην, τοῦ γάμου συνισταμένου, μοιχαλίδα καλεῖ· καὶ ἀποπέμψει, λέγει, ταύτην τῶν οἴκων αὐτοῦ ὁ ἀνήρ· ἡ δὲ γυνὴ, ἐκ πορνείας ἐπανιόντα τὸν ἄνδρα αὐτῆς, παραδέξεται· οὐ γὰρ ἔχομεν, φησὶ, κανόνα, τῷ τῆς μοιχείας αὐτὸν ὑπαγαγεῖν (3) ἐγκλήματι, ἐὰν εἰς ἐλευθέραν γάμου ἁμάρτῃ. Ἀλλ' οὐκ ἐναντιοῦνται οἱ κανόνες ἀλλήλοις· ὁ μὲν γὰρ μέγας Βασίλειος περὶ πορνεύσαντος λέγει, τοῦ γάμου συνισταμένου, καὶ συμφθαρέντος ἑτέρᾳ ἐξ ἀνδρὸς ἐλευθέρᾳ· ὁ δὲ παρὼν κανὼν, περὶ τοῦ ἀναιτίως ἀποπεμψαμένου τὴν γυναῖκα αὐτοῦ, καὶ ἑτέραν ὡς τάχα νόμιμον γαμετὴν εἰσοικησαμένου, ὃν καὶ ὁ Κύριος ἐν Εὐαγγελίοις μοιχὸν ἐκάλεσεν.

ΒΑΛΣ. Ὁ Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς ἐρωτηθεὶς, εἰ ἔξεστιν ἀνδρὶ τὴν γυναῖκα ἀπολύειν κατὰ πᾶσαν αἰτίαν, ἀπηγόρευσε τοῦτο, εἰπών· Ὅτι ὁ ἀπολύσας τὴν γυναῖκα αὐτοῦ ἐκτὸς λόγου πορνείας, καὶ γαμήσας ἑτέραν, μοιχᾶται. Καὶ ὁ ἐν βασιλεῦσιν ἀοίδιμος Ἰουςινιανὸς, τοὺς πάλαι κρατοῦντας νόμους, καὶ ἐκχωροῦντας τοῖς ὁμοζύγοις λύειν χωρὶς εὐλόγου αἰτίας τὰ συνοικέσια, καὶ λέγειν (4) ἕνα ἕκαστον πρὸς τὸν ἕτερον, Πράττε τὰ σεαυτοῦ, ἀνῄρεσε διὰ τῆς νεαρᾶς ριζ΄. τῆς κειμένης ἐν τῷ ζ΄. τίτλῳ τοῦ κη΄. βιβλίου, καὶ ἀπαριθμουμένης τὰς αἰτίας, δι' ἃς καὶ μόνας ὀφείλουσι λύεσθαι τὰ συνοικέσια· ὅθεν συνανῃρέθη καὶ ὁ ἑβραϊκὸς νόμος, ὁ ἐνδιδοὺς τοῖς ἀνδράσι βιβλίον ἀποςασίου πέμπειν ταῖς γυναιξὶ, καὶ τὴν ὁμοζωΐαν λύειν· ἀκολούθως οὖν καὶ ὁ παρὼν κανών φησιν, ὅτι ἡ τὸν ἄνδρα καταλιποῦσα γυνὴ, ἐὰν μετὰ

---

(1) οὔτε ἐκείνη ἔσται ἀναίτιος Χ. Τρ. Κ. — ἀλλὰ λατινιστὶ, ἄνευ τῆς ἀρνήσεως, ὅπερ ἴσως μόνον ὀρθόν. — (2) τὸ, γενομένη ἑτέρῳ, οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. — (3) Χ. Τρ. — ὑπάγειν Βευερ. — (4) Χ. Τρ. — λέγοντα Βευερ. Κ.

ἑτέρου συναφθῇ (1), ὑπόκειται τῷ τῆς μοιχείας ἐγκλήματι· καθὼς τοῦτο καὶ ὁ μέγας Βασίλειός φησιν ἔν τε τῷ θ΄. αὐτοῦ κανόνι, καὶ ἐν τῷ κά, ἀναλεξάμενος αὐτὸ ἀπὸ τῆς Ἱερεμίου προφητίας, τῆς λεγούσης. Ἐὰν γυνὴ ἀπὸ τῆς ἀνδρῴας ὁμοζωΐας ἐξελθοῦσα, ἑτέρῳ μιανθῇ, οὐ δύναται ὑποστρέψαι πρὸς τὸν ἄνδρα αὐτῆς, ὡς μοιχευθεῖσα. Ἀλλὰ καὶ ὁ Σολομὼν ἐν ταῖς Παροιμίαις εἶπεν· Ὁ μιγνύμενος μετὰ μοιχαλίδος, τουτέστι μετ᾽ ἐχούσης ἄνδρα, ἄφρων ἐστὶ καὶ ἀσεβής. Τιμωρηθήσεται οὖν ἡ οὕτω μοιχεύσασα δὶ ἐπιτιμίων κανονικῶν· ὁ ἀνὴρ δὲ, ὁ μὴ πταίσας (2), συγγνώμης ἀξιωθήσεται, τουτέστιν οὐκ ἐπιτιμηθήσεται. Ὁ καταλιμπάνων μέντοι τὴν οἰκείαν σύζυγον, καὶ ἑτέραν ἀγόμενος, κατὰ γάμου κοινωνίαν, ὡς μοιχὸς τιμωρηθήσεται, κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν. Τῶν μοιχῶν δὲ ἐπιτίμιά εἰσιν, ἀπὸ τοῦ οζ΄. κανόνος τοῦ αὐτοῦ μεγάλου Πατρὸς, τὸ προσκλαίειν ἐνιαυτὸν ἔξω τοῦ προνάου, καὶ τὰ λοιπὰ τὰ ἐν αὐτῷ τῷ κανόνι περιεχόμενα· καὶ ὁ μὲν κανὼν ταῦτα. Ὁ δὲ πολιτικὸς νόμος τοὺς μοιχοὺς ἀλλοτρόπως κολάζει· καὶ ἀνάγνωθι βιβλιον καὶ τίτ. λζ΄. κεφ. ογ΄. καταστρωθὲν εἰς τὸ σχόλιον τοῦ δ΄. καὶ έ. κεφ. τοῦ ιγ΄. τίτ. τοῦ παρόντος συντάγματος· καὶ τὴν ριζ΄. καὶ ρλδ΄. νεαρὰν τοῦ βασιλέως Ἰουστινιανοῦ, τὰς κειμένας ἐν τῷ ζ΄. τίτλῳ τοῦ κή. βιβλίου τῶν βασιλικῶν, καὶ συνοψισθείσας εἰς τὸ διαληφθὲν δ΄. καὶ έ. κεφ. καὶ τὴν λϐ΄. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, ῥινῶν ἐκτομῇ τὸν μοιχὸν καὶ τὴν μοιχαλίδα κολάζουσαν, καὶ διοριζομένην, τὸν μὲν ἄνδρα τῆς μοιχευθείσης, κερδαίνειν τὴν προῖκα, αὐτὴν δὲ ἐν μοναστηρίῳ περιορίζεσθαι, καὶ ἄκουσαν μὴ ἀποκείρεσθαι. Τὰ μέν τοι προσόντα ἴσως αὐτῇ πράγματα ἐπέκεινα τῆς προικὸς οἰκονομεῖσθαι, καθὼς αὐτὴ ἡ νεαρὰ διορίζεται. Σημείωσαι δὲ, ὅτι ἀπὸ μὲν τοῦ παρόντος κανόνος ἡ καταλιποῦσα τὸν ἄνδρα, ὡς μοιχαλὶς οὐ κολάζεται, εἰ μὴ μεθ᾽ ἑτέρου συμφθαρῇ. Ἀπὸ δὲ τῶν διαληφθεισῶν νεαρῶν, λύεται τὸ συνοικέσιον ἀπὸ μόνου τοῦ μεῖναι τὴν γυναῖκα ἔξω τῆς οἰκίας τοῦ ἀνδρὸς παρὰ γνώμην αὐτοῦ, εἰ μή τοι γε τυχὸν παρὰ τοῖς ἰδίοις γονεῦσιν. Ἆρα

(1) Χ. Τρ. — συμφθαρῇ Βευερ. Ἑ. — (2) Χ. Τρ. ὡς μὴ πταίσας Βευερ. Ἑ.

δὲ ἀπολελυμένη λέγεται καὶ ἡ παρὰ τοῦ ἀνδρὸς ἐκβληθεῖσα; Λύσις. Οὐδαμῶς· φησὶ γὰρ ἡ ῥηθεῖσα ριζ'. νεαρὰ ἐν μέρει ταῦτα· Εἰ μέντοι συμβῇ τινα, δίχα μιᾶς τῶν προειρημένων αἰτιῶν, τὴν ἑαυτοῦ γαμετὴν τοῦ ἰδίου οἴκου ἐξωθῆσαι, ὥστε ἐκείνην μὴ ἔχουσαν γονεῖς, πρὸς οὓς δύναται μεῖναι, ἐξ ἀνάγκης ἔξω τὴν νύκτα διάγειν, κελεύομεν, μηδεμίαν εἶναι τῷ ἀνδρὶ ἄδειαν, διὰ ταύτην τὴν αἰτίαν διαζύγιον πέμπειν τῇ γυναικί· διότι περ αὐτὸς τούτου αἴτιος γίνεται. Τὸ μέντοι γραφικὸν, τὸ λέγον, Οὐκ ἐπιστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς ἡ μοιχευθεῖσα, νόει περὶ ἀνδρὸς μὴ θέλοντος ἀναλαβέσθαι ταύτην· εἰ γὰρ συγχωρεῖ τὸ ἔγκλημα ὁ ἀνὴρ, ἀκωλύτως αὐτὴν ἀναλάβηται ἐντὸς διετίας, κατὰ τὴν αὐτὴν νεαράν. Ἐπεὶ δέ φησιν ὁ κανὼν, ὡς ἐκείνη ἡ γυνὴ τιμωρεῖται ὡς μοιχαλὶς, ἡ ἀλόγως ἀναχωρήσασα τοῦ ἀνδρὸς, εἴποι τις, ὡς ἡ τοῦ ἀνδρὸς εὐλόγως ἀναχωρήσασα οὐ τιμωρηθήσεται. Οὐκ ἔστι δὲ τοῦτο ἀληθές· οὔτε γὰρ μετὰ εὐλόγου αἰτίας, οὔτε μετὰ παραλόγου, δύναται ἡ γυνὴ ἀναχωρεῖν ἀπὸ τοῦ ἀνδρὸς χωρὶς δικαστικῆς ἐπιτροπῆς, καθὼς τοῦτό φησιν ὁ θ'. κανὼν τοῦ ἁγίου Βασιλείου, καὶ διάφοροι Ἰουστινιάνειοι νεαραὶ, κείμεναι ἐν τῷ ζ'. τίτλῳ τοῦ κή. βιβλίου. Ὅθεν καὶ τὰ τοῦ κανόνος ὀφείλομεν ἐκλαβέσθαι ἐκ περιουσίας· ἢ εἰπεῖν ἄλογον ἀναχώρησιν τῆς γυναικὸς εἶναι, τὴν χωρὶς δικαστικῆς ἐπιτροπῆς ἀναχώρησιν ταύτης. Ἐρωτήσει δέ τις, ὡς, τῶν κανόνων τοῦ ἁγίου Βασιλείου, ἤτοι τοῦ θ'. καὶ τοῦ κα'. λεγόντων, τὴν μὲν γυναῖκα ἑτέρῳ συμφθειρομένην μοιχᾶσθαι, τὸν δὲ ἄνδρα μεθ' ἑτέρας πορνεύοντα μὴ κατακρίνεσθαι· (οὐ γὰρ ἔχομεν, φησὶ, κανόνα τῷ τῆς μοιχείας αὐτὸν ὑπάγειν ἐγκλήματι), πῶς ὁ παρὼν κανὼν ἀπροσδιορίστως φησὶ, τὸν ἑτέραν ἀγαγόμενον, τῷ τῆς μοιχείας ὑποκεῖσθαι κρίματι; Λύσις. Διαφορά ἐστι τοῦ συμφθαρέντος ἀνδρὸς μετὰ ἐλευθέρας γυναικὸς, ζώσης τῆς γυναικὸς τούτου, καὶ τοῦ κατὰ γάμου κοινωνίαν ἀγαγόντος δευτέραν γαμετήν. Ἐκεῖνος μὲν γὰρ οὐ μοιχᾶται, ἀλλ' ὡς πόρνος τιμωρεῖται· οὗτος δὲ μοιχᾶται, καὶ κολάζεται ὡς μοιχός· ὅθεν οἱ κανόνες οὐκ ἐναντιοῦνται ἀλλήλοις. Καὶ ὅπως μὲν κολάζονται κανονικῶς οἱ πορνεύοντες, εἴρηται.

Τὸ δὲ κγ'. κεφ. τοῦ λζ'. τίτλου τοῦ ξ'. βιβλίου φησὶν ἐν β'. θέματι ταῦτα· Ὁ ἔχων γυναῖκα, καὶ πορνεύων, διὰ δώδεκα ἀλλακτῶν σωφρονιζέσθω· *καὶ ὁ μὴ ἔχων δὲ, καὶ τῇ αὐτῇ περιπίπτων ἁμαρτίᾳ διὰ ἓξ ἀλλακτῶν σωφρονιζέσθω· ὁ μέντοι* (1) ὁ μέντοι γυναῖκα ἔχων, καὶ τῇ ἰδίᾳ δούλῃ μιγνύμενος, διαγινωσκομένης τῆς πράξεως, αὐτὸς μὲν τυπτόμενος σωφρονιζέσθω· ὁ δὲ κατὰ τὸν τόπον ἄρχων ἀναλαμβάνων τὴν δούλην, ὑπὲρ ἐπαρχίαν αὐτὴν πιπρασκέτω, τῆς τιμῆς αὐτῆς τῷ μέρει τοῦ δημοσίου εἰσκομιζομένης. Ὁ δὲ εἰς ἀλλοτρίαν δούλην πορνεύων, τῶν μὲν εὐπόρων ὑπάρχων, παρεχέτω ὑπὲρ τοῦ πταίσματος τῷ δεσπότῃ τῆς δούλης νομίσματα λϛ'. εἰ δὲ εὐτελὴς εἴη, τυπτέσθω· καὶ καθ' ὅσον εὐπορεῖ, κατὰ ἀναλογίαν τῶν λϛ'. νομισμάτων, διδότω. Ὅτι δὲ καὶ ὁ νόμος ἐπίσης τοῖς κανόσιν ὡς μοιχὸν τιμωρεῖ τὸν δευτέραν γυναῖκα ἀγαγόμενον, φησὶ τὸ παρατέλευτον κεφάλαιον τοῦ αὐτοῦ τίτλου· Ὁ δύο γυναῖκας ἔχειν πειραθεὶς, οὐ νόμῳ, ἀλλὰ φαυλότητι* (2) προαιρέσεως, καλῶς ὑποκείσεται τῷ τῆς μοιχείας ἐγκλήματι. Ἡ δὲ *ἐς ὕστερον αὐτῷ γαμηθεῖσα* (3), εἰ ἠγνόει αὐτὸν ἔχειν νόμιμον γαμετὴν, συγγνωσθήσεται· ὥστε ἐξ ἀντιδιαστολῆς, ἡ γινώσκουσα μοιχᾶται. Πρόσχες δὲ, ὅτι πανταχοῦ οἱ Πατέρες τὴν καθαρὰν μετάνοιαν ἐπὶ τῶν ψυχικῶν σφαλμάτων ἀπαιτοῦσι· διὰ γὰρ τοῦτο καὶ ἐξεχώρησαν τοῖς κατὰ τόπον ἐπισκόποις, αὔξειν καὶ μειοῦν τὰ ἐπιτίμια, πρὸς τὴν τοῦ ἐπιτιμωμένου κατάνυξιν.

ΑΡΙΣΤ. Ἡ ἐξ ἀνδρὸς ἐπ' ἄλλον ἰοῦσα, μοιχαλίς· καὶ ὁ ἀπὸ γυναικὸς ἐπ' ἄλλην, κατὰ τὸν Κύριον, ὁμοίως μοιχός. Σαφής.

Κανὼν ΠΗ'.

Μηδεὶς ἔνδον ἱεροῦ ναοῦ κτῆνος τὸ οἱονοῦν εἰσαγέτω(4)· ἐκτὸς εἰμή τις ὁδοιπορῶν, μεγίστης καταλαβούσης ἀνάγκης, οἰκίσκου καὶ καταγωγῆς ἀπορῶν, ἐν τῷ τοιούτῳ

(1) Χ. Τρ. — τὰ μεταξὺ * οὐ κεῖται παρὰ Βευερ. καὶ Ἑ. ἀλλὰ λατινιστὶ παρὰ Ἑ. — (2) Χ. Τρ. — φάκτῳ Βευερ. ὅρα καὶ Σημ. Τόμ. Β'. σελ. 163. — (3) τὰ μεταξὺ * οὐ κεῖται παρὰ Βευερ. καὶ Ἑ. — (4) εἰσαγαγέτω Χ. Τρ.

καταλύσει ναῷ. Διὰ γὰρ τὸ μὴ τὸ κτῆνος ἔνδον εἰσενεχθῆναι, αὐτὸ μὲν, ἔστιν ὅτε, διαφθαρήσεται· ὁ δὲ, τῇ τοῦ ὑποζυγίου ἀποβολῇ, καὶ τῷ ἐντεῦθεν ἀπόρως (1) ἔχειν τῆς ἐπὶ τὴν ὁδοιπορίαν ὁρμῆς, θανάτου κινδύνῳ παραδοθήσεται· τὸ γὰρ σάββατον διὰ τὸν ἄνθρωπον γενέσθαι ἐκδιδασκόμεθα (2)· ὥστε διὰ πάντων προτιμητέαν ἡγεῖσθαι τὴν τοῦ ἀνθρώπου σωτηρίαν τε καὶ ἀπάθειαν. Εἰ δέ τις φωραθείη χωρὶς ἀνάγκης, ὡς εἴρηται, κτῆνος εἰσάγων ἐν ἱερῷ (3), εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΖΩΝΑΡ. Τιμῆς ἄξια τὰ ἱερὰ καὶ σεβάσματος. Διὸ οὐδέ τι κτῆνος ἐν αὐτοῖς εἰσάγεσθαι συγκεχώρηται· εἰ μήπου τις ὁδοιπορῇ, καὶ ἀνάγκη μεγίστη χειμῶνος, τυχὸν, ἢ ῥαγδαίων ὄμβρων καὶ ἀφορήτων καταλάβῃ αὐτόν· τότε γὰρ, κἂν ἐντὸς ἱεροῦ τὸ ὑποζύγιον εἰσαγάγῃ, ἀνέγκλητος ἔσεται· ἵνα μὴ τὸ μὲν, ἔξω μεῖναν, διαφθαρῇ, ὁ δὲ, μὴ ἔχων ὅπως τὸ λοιπὸν τῆς ὁδοιπορίας ἀνύσῃ, ἀπόρως ἴσως ἔχων ἕτερον κτήσασθαι, τῇ λύπῃ καταποθῇ, ἢ καὶ εἰς τὴν ζωὴν κινδυνεύσῃ. Παράγουσι δὲ καὶ ἀπὸ τῆς Γραφῆς μαρτυρίας οἱ θέμενοι τὸν κανόνα· φησὶ γὰρ ἡ Γραφή· Τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, καὶ ἵνα ἀναπαύσηται ὁ δοῦλός σου, καὶ τὸ ὑποζύγιον (4)· ὥστε ἡ τοῦ κτήνους ἀνάπαυσις οὐ δι' αὐτὸ νενομοθέτηται, ἀλλὰ διὰ τὸν ἄνθρωπον, ἵνα ἀναπαυθὲν, ἔχῃ τοῦτο εἰσέπειτα ἀκμαιότερον. Τοῦτο δὲ καὶ ὁ μέγας Παῦλός φησι, λέγων· Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ (5); Ὁ δὲ χωρὶς ἀνάγκης μεγίστης κτῆνος εἰσάγων ἐν ἱερῷ, κληρικὸς μὲν ὢν, καθαιρεθήσεται· λαϊκὸς δὲ, ἀφορισθήσεται.

ΒΑΛΣ. Ὡς ἔοικε, συνέβη ποτὲ ἐν δριμυτάτῳ χειμῶνι καταλῦσαί τινας εἰς ναὸν παρακείμενον ἐν δημοσίᾳ ὁδῷ· καὶ ἡ μὲν ἀπειλὴ τῆς χιόνος κατηνάγκαζε τούτους ἔνδον τοῦ ναοῦ εἰσελθεῖν μετὰ τῶν ἵππων αὐτῶν, καὶ τὴν ἀπὸ τοῦ ψύχους θανατηφό-

---

(1) τῷ ἐντεῦθεν ἀπόρῳ Σ. Ῥ. Χ. Τρ. — (2) Μάρκ. Β', 27. — (3) Π, Βρ. — εἰς ἱερὸν Χ. Τρ. Βευερ. — (4) Ἔξοδ. Κ', 10. — (5) α. Κορ. Θ', 10;

ρον κάκωσιν ἐκφυγεῖν· τὸ αἰδέσιμον δὲ τοῦ ναοῦ οὐ παρεχώρησεν αὐτοῖς τοῦτο ποιῆσαι. Ἀλλ᾽ αὐτοὶ μὲν εἰσελθόντες ἐν τῷ ναῷ, τὸν ἐκ τοῦ κρύους κίνδυνον ἔφυγον, τὰ δὲ ὑποζύγια αὐτῶν, ἔξω τοῦ ναοῦ ἑστηκότα, τοῦ ψύχους γεγόνασι παρανάλωμα· ὡς ἐντεῦθεν καὶ τοὺς ἀνθρώπους τὰ ὅμοια τοῖς ἀλόγοις ζώοις παθεῖν, ἢ ὡς ἀπὸ τῆς θλίψεως, ἢ ὡς μὴ δυναμένους πεζῇ βαδίσαι, διὰ τὴν ὑπερβολικὴν τῆς ὥρας κατάψυξιν. Τοῦτο οὖν διορθούμενοι οἱ ἅγιοι Πατέρες, διωρίσαντο μὴ ἔχειν ἐπ᾽ ἀδείας τινὰ κτῆνος οἱονδηποτοῦν ἔνδον εἰσάγειν ναοῦ, εἰ μὴ κατεπείγει ἀνάγκη μεγίστη· τηνικαῦτα γὰρ, φασὶ, καὶ τὸ κτῆνος ἐν τῷ ναῷ εἰσαχθήσεται, ἵνα μὴ σὺν αὐτῷ καὶ ὁ ἄνθρωπος θανάτῳ παραδοθῇ. Ἐπάγουσι δὲ, πρὸς κατασκευὴν τοῦ λόγου αὐτῶν, καὶ τὴν τοῦ Κυρίου διδασκαλίαν, τοῦ τὸ σάββατον καταλύσαντος, καὶ εἰπόντος πρὸς τοὺς αἰτιωμένους αὐτὸν, ὡς προτιμοτέρα ἐστὶν ἡ τοῦ ἀνθρώπου σωτηρία, παρὰ τὴν τοῦ σαββάτου φυλακήν· τὸ γὰρ σάββατον γέγονε διὰ τὸν ἄνθρωπον, οὐ μὴν ὁ ἄνθρωπος διὰ τὸ σάββατον. Ὅπως δὲ μὴ γένηται τοῦτο τοῖς ἀδιαφόρως ζῶσιν ἀφορμὴ κακίας, ὥστε ἀνεπικωλύτως καὶ μὴ προκειμένης (1) ἀνάγκης τὸν ἅγιον ναὸν τοῦ Θεοῦ κοινοποιεῖν τε καὶ βεβηλοῦν, διωρίσαντο, τὸν (2) χωρὶς ἀνάγκης μεγάλης τοιαύτης, κτῆνος οἱονδηποτοῦν εἰσάγοντα ἐν τῷ ναῷ, κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι· λαϊκὸν δὲ, ἀφορίζεσθαι. Τί δέ; πετεινὰ πτερωτὰ, πέρδικάς τε δηλονότι καὶ περιστερὰς, καὶ ἄλλας στρουθοὺς ἀδιαφόρως εἰσαγάγῃ τις ἐν ναῷ; Λύσις. Οὐδὲ ταῦτα, ὡς ἐμοὶ δοκεῖ, ἵνα μὴ τὸ ἅγιον διὰ τῶν ἐκκρίσεων βεβηλωθῇ.

ΑΡΙΣΤ. Ἱεροῦ ἔνδον οὐκ εἰσάγεται κτῆνος· εἰ μὴ καταλαβούσης ἐν ὁδῷ μεγίστης ἀνάγκης.

Εἰ δέ τις χωρὶς ἀνάγκης, εὐπορῶν ἑτέρου καταγωγίου, ἔνδον τοῦ ἱεροῦ ναοῦ τὸ ὑποζύγιον αὐτοῦ εἰσάξει, εἰ μὲν κληρικός ἐστι, καθαιρεθήσεται· εἰ δὲ λαϊκὸς, ἀφορισθήσεται.

Κανὼν ΠΘ΄.

Τὰς τοῦ σωτηρίου πάθους ἡμέρας, ἐν νηστείᾳ, καὶ προ-

(1) ἀνεπικαλύπτως καὶ χωρὶς. Βευερ. — (2) τὸν μὴ χωρὶς ἀνάγκης Ἑ. Βευερ.

σευχῇ, καὶ κατανύξει καρδίας ἐπιτελοῦντας, χρὴ τοὺς πιστοὺς περὶ μέσας τῆς περὶ τὸ μέγα σάββατον νυκτὸς ὥρας ἀπονηστίζεσθαι, τῶν θείων Εὐαγγελιστῶν Ματθαίου καὶ Λουκᾶ (1), τοῦ μὲν, διὰ τοῦ, Ὀψὲ σαββάτων ῥήματος· τοῦ δὲ, διὰ τοῦ, Ὄρθρου βαθέος, τὴν βραδύτητα τῆς νυκτὸς ὑπογραφόντων (2).

—

ΖΩΝΑΡ. Τὰς τοῦ πάθους ἡμέρας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν νηστείᾳ, καὶ κατανύξει, ἀνύειν τοὺς πιστοὺς ὁ κανὼν ἀπαιτεῖ· ἐν κατανύξει δὲ καρδίας, τουτέστι μὴ ὑποκεκριμένην εἶναι τὴν κατάνυξιν, ἔξω μόνον φαινομένην, ἀλλὰ καὶ αὐτῆς τῆς καρδίας ἁπτομένην. Περὶ δὲ τὸ μέσον τῆς νυκτὸς τοῦ σαββάτου, ἐπιφωσκούσης τῆς Κυριακῆς, προτρέπει ἀπονηστίζεσθαι, ἀντὶ τοῦ, βρώσεως ἅπτεσθαι, ὡς ἤδη γεγονυίας τῆς ἀναστάσεως. Ὁ μὲν γὰρ Εὐαγγελιστὴς, φησὶ, Ματθαῖος, Ὀψὲ σαββάτων, εἰπών· ὁ δὲ Λουκᾶς, Ὄρθρου βαθέος, τὴν βραδύτητα τῆς νυκτὸς ἡμῖν ὑπογράφουσιν, ἀντὶ τοῦ, παραδηλοῦσι, παραδιδόασι. Καὶ νῦν δέ φασι τοὺς ἐν Ἱεροσολύμοις, οὔτε κατὰ τὴν παρασκευὴν, οὔτε κατὰ τὸ σάββατον ἐσθίειν. Καὶ ὁ Ἀλεξανδρείας δὲ Διονύσιος περὶ τούτων ἐρωτηθεὶς, τὰ αὐτὰ πλατύτερον ἀπεκρίνατο.

ΒΑΛΣ. Καὶ ἐν ἀποστολικοῖς κανόσι, καὶ ἐν συνοδικοῖς νενομοθέτηται, μὴ νηστεύειν ἐν σαββάτῳ, ἢ ἐν Κυριακῇ, ἄνευ ἑνὸς καὶ μόνου σαββάτου, τοῦ μεγάλου δηλαδή (3)· κατὰ τοῦτο γὰρ νηστεύειν προσετάχθημεν. Ἀκολούθως οὖν τούτοις, καὶ ὁ παρὼν κανὼν, ὁρίζων κατὰ τὰς ὅλας ἡμέρας τοῦ σωτηρίου πάθους τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν νηστεύειν, καὶ προσεύχεσθαι μετὰ κατανύξεως, τουτέστι μὴ καθ' ὑπόκρισιν, ἐν αἷς καὶ τὸ μέγα συναριθμεῖται σάββατον· προστίθησι, κατὰ τὸ αὐτὸ σάββατον, μετὰ ἓξ ὥρας τῆς νυκτὸς ἀπονηστίζειν τοὺς πιστοὺς, διὰ τὸ ἀναστῆναι τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν, κατὰ τοὺς θείους Εὐαγγελιστὰς τὸν Ματθαῖον καὶ τὸν Λουκᾶν, περὶ τὴν με-

(1) Ματθ. ΚΗ, 1. Λουκ. ΚΔ', 1. — (2) Χ. Τρ. Βευερ. — ὑπογράψαντος Βρ. — ὑπογράφοντος Π. Σ. Ῥ. — (3) Χ. Τρ. — τούτου δηλονότι τοῦ μεγάλου Βευερ.

σότητα τῆς νυκτός. Ὡς τοῦ μὲν λέγοντος, Ὀψὲ σαββάτων ἦλθον αἱ Μαρίαι εἰς τὸν τάφον τοῦ Κυρίου, καὶ οὐχ εὗρον τὸ σῶμα αὐτοῦ· τοῦ δὲ ὑπογράφοντος τὴν μεσότητα τῆς νυκτὸς, διὰ τοῦ εἰπεῖν, Ὄρθρος ἦν βαθὺς, ὅτε αἱ γυναῖκες ἦλθον εἰς τὸ μνῆμα· καὶ ταῦτα μὲν οὕτως. Εἴποι δέ τις, ὡς, ἐπεὶ ὁ κανὼν διορίζεται ἐπὶ πάσας τὰς ἡμέρας τοῦ σωτηρίου πάθους νηστεύειν ἡμᾶς, ἀπονηστίζειν δὲ κατὰ τὸ μέγα σάββατον ἐν ὥρᾳ μεσονυκτίου, πρόκειται ἐξ ἀνάγκης δυοῖν θάτερον εἰπεῖν, ἢ δι᾽ ὅλων τῶν ἡμερῶν τοῦ Κυριακοῦ πάθους, τῶν ψηφιζομένων κυρίως μετὰ τὴν τετράδα, καθόλου νηστεύειν ἡμᾶς, καὶ παντὸς ἀπέχεσθαι βρώματος, κατὰ μόνον δὲ τὸ σάββατον απονηστίζειν, ὡς εἴρηται, ἢ κατὰ τὸ τοιοῦτον σάββατον καταλύειν ἡμᾶς πλέον τῶν ἄλλων ἡμερῶν τοῦ σωτηριώδους πάθους τοῦ Χριστοῦ. Ἵνα τί γὰρ ὡρίσθημεν κατὰ τοῦτο ἀπονηστίζειν ἐν μεσονυκτίῳ, εἰ ἐπίσης νηστεύειν μέλλομεν κατὰ τὰς ὅλας τοιαύτας ἡμέρας; ἐμοὶ δὲ δοκεῖ, ὅτι ὑπεξῃρημένη ἐστὶν ἡ νηστεία τοῦ μεγάλου σαββάτου, καὶ προτιμητέον τῶν ἄλλων ἡμερῶν τοῦ πάθους(1) τοῦ Χριστοῦ, ὅτι τότε κατέκειτο ἐν τῷ τάφῳ τὸ τεθεαμένον (2) σῶμα αὐτοῦ. Χρὴ οὖν καὶ ἐν ταῖς ἄλλαις μὲν ἡμέραις νηστεύειν μετὰ κατανύξεως διὰ τὰ πάθη τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν· πολλῷ δὲ πλέον κατὰ τὸ σάββατον, ὅτε ἡ ἐκ τῶν δεσμῶν τοῦ θανάτου ἀπολύτρωσις ἡμῶν κατηρτύετο. Διὰ γὰρ τοῦτο καὶ οἱ εὐλαβέστεροι δι᾽ ὅλου τοῦ σαββάτου, καὶ μέχρις ὥρας ἕκτης τῆς νυκτὸς, ἐν ταῖς ἐκκλησίαις προσεδρεύουσι· καὶ κατὰ τὴν ἕκτην ὥραν τῶν θείων ἁγιασμάτων μεταλαμβάνοντες, ἅπτονται ἄρτου καὶ ὕδατος, ἴσως δὲ καὶ οἴνου πάντη μετρίου· κατὰ δὲ τὴν ἑβδόμην ὥραν, ἀκούοντες τῆς ἑωθινῆς ὑμνῳδίας, ὅτε καὶ τὸ, Χριστὸς (3) ἀνέστη, ἐκφωνεῖται, ὑποστρέφουσιν εἰς τὰς κατοικίας αὐτῶν, τὴν τῆς μεγάλης Κυριακῆς ἱεροτελεστίαν ἀναμένοντες· ὅτι δὲ ἀπὸ τῆς ἑβδόμης ὥρας τῆς νυκτὸς τῆς πρὸ τῆς Κυριακῆς ἄρχεται ἡ Κυριώνυμος, δῆλον μὲν καὶ ἀπὸ τοῦ γίνεσθαι τὴν ἀνάβασιν τοῦ ἡλίου, ἤγουν τὴν

(1) Χ. Τρ. — προτιμότερον τῶν ἄλλων ἡμερῶν τοῦ Χριστοῦ, Βευερ. — (2) Βευερ. Ε. — τεθεωμένον Χ. Τρ. — (3) Χ. Τρ.—καὶ τὸ, Ὁ Χριστὸς, Βευερ.

φαῦσιν τῆς ἡμέρας, ἀπὸ τῆς ἑβδόμης ὥρας τῆς πρὸ αὐτῆς νυκτός· δῆλον δὲ καὶ ἀφ᾽ ὧν ὁ μέγας Πατὴρ ἡμῶν, ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος ἡρμήνευσε. Μετὰ γὰρ τὸ ἐπιστομίσαι τοὺς λέγοντας, μὴ ἀναστῆναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τριήμερον, καὶ εἰπεῖν, ὡς εἰ καὶ δοίη τις μὴ τριήμερον ἀναστῆναι τὸν Κύριον, εὐχαριστητέον μᾶλλόν ἐστιν, ὅτι καὶ πρὸ τῆς ὁρισθείσης προθεσμίας τῶν τριῶν ἡμερῶν ἐγήγερται ὁ Χριστὸς, καὶ οὐ μᾶλλον αἰτιατέον· ἐπιμέμψοιτο γάρ τις καὶ τὸν δανεισάμενον καταβαλόντα τὸ χρέος πρὸ τῆς ὁρισθείσης προθεσμίας εἰς καταβολὴν, ὅπερ ἄτοπον· προστίθησιν, ὡς, ἐπεὶ τὸ ἐν οἱᾳδήποτε ὥρᾳ τῆς ἡμέρας γινόμενον, τῆς ψηφιζομένης ἀπὸ ἑβδόμης ὥρας τῆς πρὸ αὐτῆς νυκτὸς, καὶ καταληγούσης μέχρις ἕκτης ὥρας τῆς μετὰ ταύτην νυκτὸς, ἐν αὐτῇ τῇ ἡμέρᾳ γεγενῆσθαι δοκεῖ· καλῶς λέγομεν, ὡς τριήμερος γέγονεν ἡ ἀνάστασις τοῦ Χριστοῦ, κατὰ τὴν αὐτοῦ ἀψευδῆ ἐπαγγελίαν. Κατὰ γὰρ τὴν παρασκευὴν ἀπέθανεν, ἥτις ἐστὶ πρώτη ἡμέρα· δευτέρα, τὸ σάββατον· καὶ ἐπεὶ ἥψατο καὶ τῆς ἑβδόμης ὥρας τῆς νυκτὸς τῆς πρὸ τῆς Κυριακῆς, λογίζεται καὶ ἡ Κυριακὴ τρίτη ἡμέρα. Ὁ μέντοι ἅγιος Γρηγόριος ὁ Νύσσης περὶ τοῦ ἁγίου Πάσχα διδάσκων, φησὶ ταῦτα ῥητῶς· Ἑσπέρα μὲν γὰρ ἦν, ὅτε ἐβρώθη τὸ ἱερὸν ἐκεῖνο καὶ ἅγιον σῶμα· νὺξ δὲ τὴν ἑσπέραν ἐκείνην πρὸ τῆς παρασκευῆς διεδέξατο· εἶτα ἡ τῆς παρασκευῆς ἡμέρα τῇ ἐπεισάκτῳ νυκτὶ διατμηθεῖσα, εἰς μίαν νύκτα καὶ εἰς ἡμέρας δύο καταψηφίζεται. Ἐν γὰρ ταῖς τρισὶν ὥραις ἐγένετο σκότος ἐπὶ πᾶσαν τὴν οἰκουμένην· αὕτη γὰρ ἐστιν ἡ κατὰ τὸ μέσον τῆς ἡμέρας καινοτομηθεῖσα νὺξ, τὰ δύο τμήματα τῶν ἡμερῶν δι᾽ αὐτῆς ὑπογράφουσα, τὸ μὲν, ἀπὸ τῆς τοῦ ὄρθρου ἐπὶ τὴν ἕκτην ὥραν· τὸ δὲ, ἀπὸ τῆς ἐννάτης ὥρας ἐπὶ τὴν ἑσπέραν· ὥστε εἶναι μέχρι τούτου δύο νύκτας, καὶ δύο ἡμέρας· εἶτα ἡ πρὸ τοῦ σαββάτου ἡμέρα ἔχει τὰς τρεῖς νύκτας, καὶ τὰς τρεῖς ἡμέρας.

ΑΡΙΣΤ. Τῷ μεγάλῳ σαββάτῳ περὶ μέσας νύκτας τῇ νηστείᾳ διαρκεστέον.

Ὁ μὲν Ματθαῖος, Ὀψὲ σαββάτων ἀναστῆναι, λέγει, τὸν Κύριον·

ὁ δὲ Λουκᾶς, ὄρθρου βαθέως· δεῖ γοῦν τῷ μεγάλῳ σαββάτῳ ἄχρι μεσονυκτίου νηστεύειν, καὶ ἔκτοτε μεταλαμβάνειν, τὸν βουλόμενον, τροφῆς, διὰ τὸ καταλαμβάνειν ἐκ τῶν ῥημάτων τούτων τῶν Εὐαγγελιστῶν, περὶ μέσας ὥρας τῆς νυκτὸς ἀναστῆναι τὸν Κύριον.

Κανὼν ϛ'.

Ταῖς Κυριακαῖς μὴ γόνυ κλίνειν ἐκ τῶν θεοφόρων ἡμῶν Πατέρων κανονικῶς παρελάβομεν, τὴν τοῦ Χριστοῦ τιμῶντες (1) ἀνάστασιν. Ὡς ἂν οὖν μὴ ἀγνοῶμεν τὸ σαφὲς τῆς τούτου (2) παρατηρήσεως, δῆλον τοῖς πιστοῖς καθιστῶμεν, ὥστε μετὰ τὴν ἐν τῷ σαββάτῳ ἑσπερινὴν τῶν ἱερωμένων πρὸς τὸ θυσιαστήριον εἴσοδον, κατὰ τὸ κρατοῦν ἔθος, μηδένα γόνυ κλίνειν μέχρι τῆς ἐφεξῆς κατὰ τὴν Κυριακὴν ἑσπέρας· καθ' ἣν μετὰ (3) τὴν ἐν τῷ λυχνικῷ εἴσοδον αὖθις τὰ γόνατα κάμπτοντες, οὕτω τὰς εὐχὰς τῷ Κυρίῳ προσάγομεν. Τῆς γὰρ τοῦ Σωτῆρος ἡμῶν ἐγέρσεως πρόδρομον τὴν μετὰ τὸ σάββατον νύκτα παραλαμβάνοντες, τῶν ὕμνων ἐντεῦθεν πνευματικῶς ἀπαρχόμεθα, εἰς φῶς ἐκ σκότους τὴν ἑορτὴν καταλήγοντες, ὡς ἐν ὁλοκλήρῳ ἐντεῦθεν νυκτὶ καὶ ἡμέρᾳ (4) πανηγυρίζειν ἡμᾶς τὴν ἀνάστασιν.

—

ΖΩΝΑΡ. Τὸ μὴ κλίνειν γόνυ ἐν Κυριακαῖς, ἢ ἐν ταῖς τῆς Πεντηκοστῆς ἡμέραις, διάφοροι νομοθετοῦσι κανόνες, καὶ ὁ μέγας Βασίλειος, ὃς καὶ τὰς αἰτίας προστίθησι, δι' ἃς ἀπηγόρευται. Οὗτος δὲ ὁ κανὼν περὶ μόνης τῆς Κυριακῆς διατάττεται, καὶ ἐκ ποίας ὥρας μέχρι τίνος οὐ δεῖ (5) κλίνειν γόνυ σαφῶς παριστᾷ, καί (6) φησι. Μετὰ τὴν κατὰ τὸ σάββατον ἑσπερινὴν εἴσοδον εἰς τὸ θυσιαστήριον τῶν ἱερωμένων, μηδένα γόνυ κλίνειν μέχρι

(1) Π. Χ. Τρ. Βρ. — τιμώντων Βευερ. Ἴδε Συν. Νικ. Καν. Κ'. — (2) Π. Χ. Τρ. — τῆς ἐπὶ τοῦτο Βρ. — τῆς τοιαύτης Βευερ. — (3) κατὰ, Βρ. — (4) νυχθημέρῳ Βρ. — (5) Χ. Τρ. — οὐδὲ κλίνειν Βευερ. Κ. — (6) Χ. Τρ. — παριστῶ φησὶν Βευερ. Κ.

τῆς ἑσπέρας τῆς Κυριακῆς, ὅτε δηλαδὴ αὖθις ἡ εἴσοδος γίνεται τῶν ἱερωμένων· ἔκτοτε γὰρ κλίνοντες γόνυ, καὶ οὕτως εὐχόμενοι οὐχ ἁμαρτήσομεν. Ἡ γὰρ μετὰ τὸ σάββατον νὺξ τῆς Κυριακῆς λογίζεται, ἣν καὶ ἐν ὕμνοις δέον διάγειν, φησὶν ὁ κανὼν, ἐκ σκότους εἰς φῶς τὴν ἑορτὴν παραπέμποντας, καὶ οὕτως ἐν ὁλοκλήρῳ νυκτὶ καὶ ἡμέρᾳ πανηγυρίζειν ἡμᾶς τὴν ἀνάστασιν.

ΒΑΛΣ. Ὁ κ'. κανὼν τῆς ἐν Νικαίᾳ συνόδου, ὁ ιέ. κανὼν τοῦ ἁγίου Πέτρου Ἀλεξανδρείας, καὶ τὸ κζ'. κεφάλαιον τῆς πρὸς τὸν Ἀμφιλόχιον ἐπιστολῆς τοῦ μεγάλου Βασιλείου, (τούτων γὰρ οἱ ἅγιοι Πατέρες μέμνηνται, καὶ θεοφόρους Πατέρας καλοῦσιν), ὥρισαν, μὴ κλίνειν γόνυ ἐν ταῖς Κυριακαῖς, ἢ ἐν ταῖς ἡμέραις τῆς Πεντηκοστῆς. Ἀκολούθως οὖν αὐτοῖς διορίζεται καὶ ὁ παρὼν κανὼν, τιμᾶσθαι τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν. Ἐπεὶ δέ τινες διηπόρουν, ὅθεν καὶ ἐκ ποίας ὥρας ἡ Κυριώνυμος ἄρχεται, καὶ μέχρι τίνος συμπεραίνεται, κατέστησαν καὶ τοῦτο δῆλον καὶ σαφὲς τοῖς πιστοῖς· καὶ εἶπον, ταύτην ἄρχεσθαι μετὰ τὴν ἑσπερινὴν ὑμνῳδίαν τοῦ σαββάτου, καὶ καταλήγειν μέχρι τῆς συμπληρώσεως τοῦ λυχνικοῦ, ἤτοι τοῦ ἑσπερινοῦ τῆς Κυριακῆς. Καὶ τότε μὲν, ἤγουν μετὰ τὸν ἑσπερινὸν τοῦ σαββάτου, μέχρι περατώσεως τοῦ ἑσπερινοῦ τῆς Κυριακῆς, μὴ κλίνειν γόνυ, διὰ τὴν τοῦ Χριστοῦ ἀνάστασιν· μετὰ δὲ τὸ λυχνικὸν τῆς Κυριακῆς, αὖθις τὰ γόνατα κάμπτειν, καὶ τῷ Κυρίῳ προσεύχεσθαι. Προστίθησι δὲ εἰς κατασκευὴν τούτου ὁ κανὼν, ὅτι καὶ ἡ ἀνάστασις τοῦ Χριστοῦ κατὰ τὴν ἑσπέραν τοῦ σαββάτου, τουτέστι πρὸ τῆς ἡμέρας τῆς Κυριακῆς γέγονεν· ἵνα ἀπὸ τοῦ σκότους τὰ τῆς ἑορτῆς καταλήξωσι πρὸς φῶς, καὶ ἡ πανήγυρις τῆς ἀναστάσεως γίνηται διὰ ὁλοκλήρου νυχθημέρου. Τούτων οὕτως ἐχόντων, εἴποι τις ἐναντιοῦσθαι τὰ ἐν τῷ παρόντι κανόνι τῇ διδασκαλίᾳ τοῦ προλαβόντος κανόνος. Ἐκεῖ μὲν γὰρ εἴρηται, τὴν Κυριώνυμον ψηφίζεσθαι ἀπὸ τῆς ζ'. ὥρας τῆς πρὸ αὐτῆς νυκτὸς, καὶ καταλήγειν μέχρι τῆς ἕκτης ὥρας καὶ αὐτῆς τῆς μετὰ ταύτην νυκτός· ἀρτίως δὲ δέδοκται, τὴν Κυριακὴν ψηφίζεσθαι μετὰ τὸ λυχνικὸν τοῦ σαββάτου, καὶ καταλήγειν μέχρι τοῦ ἑσπερινοῦ καὶ αὐτοῦ τῆς αὐτῆς Κυριακῆς. Οὐκ εἰσὶ δ' ἐναντία· ἀπό τε γὰρ

τῆς φυσικῆς κινήσεως τῶν οὐρανίων σωμάτων, καὶ ἐξ ὧν ὁ μέγας τῆς Δαμασκοῦ διδάσκαλός φησιν, οὕτως ἡ ἡμέρα ἄρχεται καὶ πληροῦται, καθὼς ἐν τῷ πθ'. κανόνι εἴρηται. Ὁ δὲ παρὼν κανὼν παρομοίως παρακελευόμενος, δι' ὅλου ἡμερονυκτίου πανηγυρίζειν ἡμᾶς τὴν τοῦ Κυρίου ἀνάστασιν· μὴ ἔχων δὲ τὸ τηνικαῦτα ἠναγκασμένον διδάξαι περὶ τοῦ ἡμερησίου διαστήματος, ἀλλὰ περὶ τοῦ πῶς δεῖ καὶ πότε εὐτρεπίζεσθαι ἡμᾶς εἰς πανήγυριν, καὶ μετάνοιαν, φησὶν, ὅτι μετὰ τὸ λυχνικὸν τοῦ σαββάτου τὰ πρὸς πανήγυριν τῆς ἀναστάσεως εὐτρεπιστέον· ὡσαύτως καὶ μετὰ τὸ ἑσπερινὸν τῆς Κυριακῆς, τὰ πρὸς μετάνοιαν. Εἰ μὴ γὰρ οὕτω ποιήσομεν, ἀλλὰ μέχρι τῆς ἑβδόμης ὥρας τῆς μετὰ τὴν Κυριακὴν ἑσπέρας ἀναμείνομεν τὸν (1) εὐτρεπισμὸν τῆς μετανοίας, ὡς ἐν ταύτῃ συμπληρουμένης τῆς Κυριωνύμου, λάθοιμεν (2) ἂν πανηγυρίζοντες καὶ μετὰ τὴν Κυριώνυμον, διὰ τὸ πολλοῖς, μᾶλλον δὲ τοῖς πλείοσιν ἀδιάγνωστον εἶναι τὴν ἐπιστασίαν τῆς ἑβδόμης ὥρας, καὶ τὸ τέλος τῆς ἕκτης. Συντήρει οὖν τὰ κανονικὰ, ἔνθα καὶ ὅπως ἐξεφωνήθησαν, καὶ μὴ εἴπῃς ἐναντιοῦσθαι· ἐν πᾶσι γὰρ τὸ πανάγιον Πνεῦμα ἐλάλησεν.

ΑΡΙΣΤ. Μετὰ τὴν ἑσπερινὴν εἴσοδον τοῦ σαββάτου μὴ γόνυ κλίνης, ἄχρι τῆς ἑσπερινῆς κατὰ τὴν Κυριακὴν εἰσόδου.

Ἐκ τῶν θεοφόρων Πατέρων κανονικῶς παρελάβομεν, μὴ γόνυ κλίνειν ἐν ταῖς Κυριακαῖς, ὡς τιμῶντες τὴν τοῦ Κυρίου ἀνάστασιν· ἵνα γοῦν μὴ ἀγνοῆται ἡ παρατήρησις αὕτη, ὅπως ὀφείλει γίνεσθαι, δήλην αὐτὴν οἱ Πατέρες τοῖς πιστοῖς διὰ τοῦ κανόνος τούτου πεποιήκασιν, ὥστε μετὰ τὴν ἐν τῷ σαββάτῳ ἑσπερινὴν τῶν ἱερωμένων πρὸς τὸ θυσιαστήριον εἴσοδον, μὴ γόνυ κλίνειν, μέχρι τῆς ἐφεξῆς κατὰ τὴν Κυριακὴν ἑσπερινῆς εἰσόδου· ὡς ἐν ὁλοκλήρῳ νυχθημέρῳ πανηγυρίζειν ἡμᾶς τὴν ἀνάστασιν.

Κανὼν ϞΑ'.

Τὰς τὰ ἀμβλωθρίδια διδούσας φάρμακα, καὶ τὰς δε-

(1) Χ. Τρ. — καὶ τὸν, Βευερ. Ε. — (2) Χ. Τρ. — λάθοιεν ἂν Βευερ. Ε.

χομένας τὰ ἐμβρυοκτόνα δηλητήρια, τῷ τοῦ φονέως ἐπιτιμίῳ καθυποβάλλομεν.

—

ΖΩΝΑΡ. Γυναῖκες λάθρα τισὶ μιγνύμεναι, καὶ συλλαμβάνουσαι, ἵνα μὴ γνωσθεῖεν, φάρμακά τινα πίνουσι, δι' ὧν τὰ ἔμβρυα διαφθείρουσι, καὶ οὕτως αὐτὰ νεκρὰ ἀποβάλλονται. Τὰς οὖν διδούσας τὰ τοιαῦτα φάρμακα, καὶ τὰς λαμβανούσας, τῷ τῶν φονέων ἐπιτιμίῳ καταδικάζει· καὶ εἰκότως. Οὐ μόνον γὰρ τὰ ἔμβρυα φθείρουσιν αἱ τοιαῦται, ἀλλ' ἐνίοτε καὶ αὐτὰς τὰς ἐγκύους, ὃ καὶ ὁ μέγας Βασίλειος ἐν β'. κανόνι φησίν· ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ συνόδου κανὼν κά. τὰς τοιαύτας γυναῖκας ἐπὶ δεκαετίαν ἀφορίζει.

ΒΑΛΣ. Ἐπίσης κολάζει ὁ κανὼν τῷ ἐπιτιμίῳ τοῦ φονέως τὰς διδούσας φάρμακα δηλητήρια, χάριν τοῦ ἀμβλωθῆναι τὰ ἔμβρυα, καὶ τὰς δεχομένας αὐτά. Καὶ ὁ μὲν κανὼν διὰ τοιούτου ἐπιτιμίου κολάζει ταύτας· καὶ εὑρήσεις τὰ εἴδη τῶν ἐπιτιμίων ἐν τῷ β'. κανόνι τοῦ ἁγίου Βασιλείου, καὶ ἐν τῷ κά. κανόνι τῆς ἐν Ἀγκύρᾳ συνόδου. Τὸ δὲ ά. κεφ. τοῦ λθ'. τίτλου, τοῦ ξ'. βιβλ. φησὶ ταῦτα ῥητῶς· Τῷ περὶ ἀνδροφόνων νόμῳ ὑπόκειται ὁ φονεύων ἄνθρωπον, καὶ ὁ κατὰ δόλον ποιῶν ἐμπρησμὸν, καὶ ὁ διὰ φόνον, ἢ κλοπὴν, μεθ' ὅπλων περιϊὼν, καὶ ὁ ἀρχῆς, ἢ δημοσίου δικαστηρίου προεστὼς, καὶ σπουδάσας πλαστῶς κατηγορηθῆναί τινα, καὶ ἀναιτίως καταδικασθῆναι· καὶ ὁ ἐπὶ ἀναιρέσει κατασκευάσας, ἢ δεδωκὼς φάρμακον. Καὶ κεφ. γ'. Τῷ περὶ ἀνδροφόνων νόμῳ κατέχεται καὶ ὁ διὰ τὸ φονεῦσαι ἄνθρωπον, φάρμακον ποιῶν, ἢ πιπράσκων, ἢ ἔχων. Εἰσὶ δὲ φάρμακα ὑγείαν ἐμποιοῦντα, καὶ τὰ λεγόμενα φίλτρα· οἱ δὲ τὰ φίλτρα ποιοῦντες, δημευόμενοι ἐξοριζέσθωσαν· εἰ δὲ καί τις μὴ κακῷ λογισμῷ δώσῃ γυναικὶ συλληπτικὸν, καὶ ἀποθάνῃ ἡ λαβοῦσα, ἐξορίζεται. Καὶ θέμα γ'. τοῦ αὐτοῦ κεφ. λέγον περὶ τὰς ἀρχάς· Κατέχεται τῷ περὶ ἀνδροφόνων νόμῳ, καὶ ὁ πιγμεντάριος προπετῶς διδοὺς φάρμακον, ἢ σαλαμάνδραν, ἢ ἀκόνιτον, ἢ πιτυοκάμπην, ἢ βούβρωστιν, ἢ μανδραγόραν, ἢ κανθαρίδας. Καὶ θέμα δ'. Ἡ ποινὴ, ἡ κατὰ ἀνδροφόνων, ἐπὶ μὲν τῶν ἐντίμων, περιορισμός ἐστι, καὶ τελεία δήμευ-

σις· ἐπὶ δὲ τῶν εὐτελῶν, ξίφει καὶ θηρίοις ὑποβληθῆναι· καὶ ταῦτα μὲν ἀπὸ τοῦ παλαιοῦ νόμου, καὶ τῶν κανόνων. Ἀπελύθησαν δὲ νεαραὶ περὶ φονέων ἀκουσίων καὶ ἑκουσίων διάφοροι, παρά τε τοῦ βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, καὶ τοῦ θεοστεφοῦς (1) καὶ ἁγίου ἡμῶν αὐτοκράτορος κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, ὧν αἱ δυνάμεις συνωψίσθησαν ἐν τοῖς περὶ φονέων κανόσι τοῦ μεγάλου Βασιλείου. Ἐρωτήσει δέ τις, ὡς ἐκ μόνου τοῦ δοῦναί τινα πρὸς γυναῖκα ἀμβλωθρίδια ὑποπεσεῖται τῷ τῶν φονέων ἐγκλήματι· ἢ χρεία ἐστὶ τοῦ γενέσθαι καὶ ἀποτέλεσμα, ἤγουν φόνον; Λύσις. Τὸ καταστρωθὲν ἄνωθεν γ'. κεφ. τοῦ λθ'. τίτλου τοῦ ξ'. βιβλίου διορίζεται, μὴ τὸν δόντα μόνον δηλητήριον φάρμακον, ὡς φονέα τιμωρεῖσθαι, ἀλλὰ καὶ τὸν ἔχοντά τι τοιοῦτον. Καὶ τὸ β'. θέμα τοῦ ά. κεφ. τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου φησίν· Ὁ σκοπὸν ἐσχηκὼς τοῦ φονεῦσαι, κἂν μὴ φονεύσῃ, ἀλλὰ τραυματίσῃ, φονεύς ἐστι· καὶ ὁ μὴ θελήσας φονεῦσαι, ἐὰν φονεύσῃ, οὐκ ἔστι φονεύς· ἡ δὲ διάθεσις ἐκ τοῦ πλήξαντος ὀργάνου ἐλέγχεται. Οἱ μέντοι κανόνες τοῦ μεγάλου Βασιλείου, καὶ τὸν ἀκουσίως φονεύσαντα (2), ὡς ἂν ἔχῃ, ὡς φονέα κολάζουσι, παρὰ τὴν περίληψιν τοῦ τοιούτου νόμου, καὶ παρὰ τὸ ς'. θέμα τοῦ γ'. κεφ. τοῦ λθ'. τίτλου τοῦ ξ'. βιβλίου, τὸ λέγον οὕτως· Ὁ περὶ ἀνδροφόνων νόμος δόλον ἐπιζητεῖ, καὶ οὐ μεγάλην ἀμέλειαν· ὅθεν ἐάν τις ἑαυτὸν ἐξ ὕψους ῥίψας, ἢ κλάδον ἀπὸ δένδρου, φονεύσῃ τινὰ, οὐχ ὑπόκειται τῷ παρόντι νόμῳ. Ἡ μέντοι λά. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, δίδωσιν ἄδειαν τῷ ἀνδρὶ διασπᾷν τὸν μετὰ τῆς γυναικὸς αὐτοῦ γάμον, ἐπίτηδες ἀμβλωσκούσης τὴν ἐκείνου σποράν.

ΑΡΙΣΤ. Καὶ ὁ διδοὺς, καὶ ἡ λαμβάνουσα ἀμβλωθρίδια, ἀνδροφόνοι.

Ὑπόκεινται τῷ τοῦ φονέως ἐπιτιμίῳ, καὶ αἱ τὰ ἐμβρυοκτόνα φάρμακα λαμβάνουσαι, καὶ οἱ παρέχοντες ταῦτα αὐταῖς.

---

(1) θεοστέπτου, κρατίστου καὶ ἁγίου Χ. Τρ. — (2) Χ. Τρ. — φονεύοντα Βουρ. Ε.

Κανὼν ϞΒ'.

Τοὺς ἁρπάζοντας γυναῖκας ἐπ' ὀνόματι συνοικεσίου, ἢ συμπράττοντας, ἢ συναιρομένους τοῖς ἁρπάζουσιν, ὥρισεν ἡ ἁγία σύνοδος, εἰ μὲν κληρικοὶ εἶεν, ἐκπίπτειν τοῦ οἰκείου βαθμοῦ· εἰ δὲ λαϊκοί, ἀναθεματίζεσθαι.

ΖΩΝΑΡ. Οὗτος ὁ κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου ἐστὶν εἰκοστὸς ἕβδομος· εἴπομεν οὖν περὶ τούτου ἐκεῖ.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἀπαράλλακτός ἐστι κανὼν κζ'. τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ ζήτει τὰ ἐν αὐτῷ παραγραφέντα, καὶ τίτλον θ'. τοῦ παρόντος συντάγματος κεφ. λ'. καὶ τὰ ἐν αὐτῷ. Ὡσαύτως καὶ τὸν ξζ'. ἀποστολικὸν κανόνα. Τί δέ; ἐὰν μὴ ὀνόματι συνοικεσίου ἁρπάσῃ τις γυναῖκα, ἀλλὰ διὰ πορνείαν, οὐ κολασθήσεται σὺν τοῖς συμπράξασι καὶ συναραμένοις αὐτῷ; Λύσις. Καὶ μάλιστα· τοῦτο γὰρ ἀζήτητόν ἐστι· τὸ δὲ ποιοῦν τὴν ζήτησιν ὑπῆρχεν ἡ πρόφασις τοῦ συνοικεσίου· ἔλεγον γάρ τινες, μηδέν τι κακὸν ποιῆσαι τὸν ἁρπάσαντα γυναῖκα διὰ τὸ νομίμως συναφθῆναι αὐτῇ, ἴσως καὶ ἀναξίαν οὖσαν τῷ γένει τούτου, κἀντεῦθεν μεγάλως χειραγωγουμένην. Ὅπερ τοῖς Πατράσιν οὐκ ἔδοξεν, ὡς προτρεπτικὸν κακίας, καὶ τὴν εὐταξίαν καταστρέφον τῶν πόλεων. Ἔτι ἐρωτήσει τις, εἰ μετὰ τὴν ἁρπαγὴν θελήσῃ ἡ ἁρπαγεῖσα συνδιάγειν νομίμως τῷ ἅρπαγι, ἀκουσθήσεται; Λύσις. Οὐδαμῶς· φησὶ γὰρ ἡ ρμγ'. Ἰουστινιάνειος νεαρά, ἤτοι τὸ γ'. κεφ. τοῦ νή. τίτ. τοῦ ξ'. βιβλίου, ταῦτα ῥητῶς· Μὴ γαμείσθω ἡ ἁρπαγεῖσα τῷ ἁρπάσαντι αὐτήν· ἀλλ' εἰ καὶ συναινέσουσι τῷ τοιούτῳ συνοικεσίῳ οἱ γονεῖς αὐτῆς, περιορίζονται. Τὸ δὲ δ'. ἑ. καὶ ϛ'. κεφάλ. τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου λέγουσι, τὴν ἁρπαγεῖσαν κερδαίνειν τὰ τοῦ ἁρπάσαντος πράγματα, μὴ θελήσασαν συζευχθῆναι νομίμως αὐτῷ· ἐπείτοι γε, εἰ θελήσει τοῦτο, δημεύεται ἥ τε περιουσία ταύτης, καὶ τοῦ ἅρπαγος, καὶ τῶν συναιρομένων ἐπὶ τῷ κακῷ, κἂν τε γονεῖς τούτων ὦσι, κἂν τε ἀλλότριοι. Ἀνάγνωθι καὶ τὸν αὐτὸν νή. ὅλον τίτλον, καὶ μαθήσῃ, ὅτι πᾶς ἁρπάσας γυναῖκα οἱανδήτινα, κἂν ἐστι μνηστὴ αὐτοῦ, κἂν

δούλη, ἢ ἀπελευθέρα, εἰ μὲν μεθ' ὅπλων, αὐτὸς μὲν ξίφει τιμωρεῖται· οἱ δὲ συμπράττοντες, καὶ συναιρόμενοι αὐτῷ, τυπτόμενοι, καὶ κουρευόμενοι ῥινοκοποῦνται· εἰ δὲ χωρὶς ὅπλων, ὁ μὲν ἅρπαξ χειροκοπεῖται· οἱ δὲ βοηθοὶ αὐτοῦ τυπτώμενοι καὶ κουρευόμενοι ἐξορίζονται. Ταῦτα μὲν οὕτω γίνονται, κἂν καὶ αὐτὴ ἡ γυνὴ ἐπὶ τῇ ἁρπαγῇ συναινέσῃ· ἀνάγνωθι καὶ τὴν λέ. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ.

ΑΡΙΣΤ. Οἱ ἁρπάζοντες γυναῖκας, καὶ οἱ συμπράττοντες, καὶ συναιρόμενοι, κληρικοὶ μὲν, καθαιροῦνται· λαϊκοὶ δὲ, ἀναθεματίζονται.

Τὰ αὐτὰ διαλαμβάνει τῷ παρόντι κανόνι καὶ ὁ εἰκοστὸς ἕβδομος κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου· ἐγράφη δὲ παρ' ἡμῶν ἐν ἐκείνῳ, ὡς, μέχρις ἂν τὴν ἁρπαγεῖσαν ἀποκαταστήσωσιν οἱ ἁρπάσαντες, εἰ μὲν προμνηστευθεῖσα ἦν, τῷ οἰκείῳ μνηστῆρι· εἰ δὲ σχολάζουσα, τοῖς γονεῦσιν αὐτῆς· τὸν ἀναθεματισμὸν, λαϊκοὶ ὄντες, οὐκ ἐκφεύξονται.

Κανὼν ϤΓ'.

Ἡ ἀναχωρήσαντος τοῦ ἀνδρὸς, καὶ ἀφανοῦς ὄντος, πρὸ τοῦ πεισθῆναι περὶ τοῦ θανάτου αὐτοῦ, ἑτέρῳ συνοικοῦσα, μοιχᾶται. Ὡσαύτως καὶ στρατιώτιδες, αἱ, τῶν ἀνδρῶν ἀφανῶν ὄντων, γαμηθεῖσαι, τῷ αὐτῷ ὑπόκεινται λόγῳ· ὥσπερ καὶ αἱ διὰ τὴν ἀποδημίαν τοῦ ἀνδρὸς μὴ ἀναμείνασαι τὴν ἐπάνοδον. Πλὴν ἔχει τινὰ συγγνώμην τὸ πρᾶγμα ἐνταῦθα, διὰ τὸ μᾶλλον πρὸς θάνατον εἶναι τὴν ὑπόνοιαν. Ἡ δὲ τῷ καταλειφθέντι πρὸς καιρὸν παρὰ τῆς γυναικὸς, κατ' ἄγνοιαν γημαμένη, εἶτα ἀφεθεῖσα, διὰ τὸ ἐπανελθεῖν πρὸς αὐτὸν τὴν προτέραν, ἐπόρνευσε μὲν, ἐν ἀγνοίᾳ δέ· γάμου οὖν οὐκ εἰρχθήσεται· κάλλιον δὲ, ἐὰν μείνῃ οὕτως. Εἰ δέ γε ὁ στρατιώτης ἐπανέλθοι χρόνῳ ποτὲ, οὗ ἡ γυνὴ διὰ τὴν ἐπὶ πολὺ ἐκείνου ἀπόλειψιν ἑτέρῳ συνήφθη ἀνδρὶ, οὗτος, εἰ προαιρεῖται, τὴν οἰκείαν αὖθις ἀπολαβέτω (1) γυναῖκα,

(1) Π. Σ. Ρ. — ἀναλαμβανέτω Βρ. — ἐπαναλαμβανέτω Βευερ.

συγγνώμης αὐτῇ ἐπὶ τῇ ἀγνοίᾳ διδομένης, καὶ τῷ ταύτην εἰσοικισαμένῳ κατὰ δεύτερον γάμον ἀνδρί.

—

ΖΩΝΑΡ. Ἐὰν γυνὴ, ἀναχωρήσαντος τοῦ ἀνδρὸς αὐτῆς, καὶ ἐπὶ μακρὸν ἴσως μὴ ἐπανελθόντος, πρὸ τοῦ πληροφορηθῆναι εἰ ὡς ἀληθῶς τέθνηκεν, ἑτέρῳ συνοικήσῃ, μοιχείαν τολμᾷ. Καὶ στρατιωτῶν δὲ γυναῖκες, ἀφανῶν τῶν ἀνδρῶν αὐτῶν γενομένων, εἰ γαμηθεῖεν ἑτέροις, μοιχαλίδες εἰσίν. Ἐπὶ τούτων δὲ μᾶλλον συγγνωμονεῖ ὁ κανὼν, διὰ τὸ τοὺς στρατιώτας μᾶλλον πιςεύεσθαι θανεῖν, ἐν πολέμοις ἀναστρεφομένους. Περὶ τούτων δὲ καὶ ὁ μέγας Βασίλειος ἐν τριακοστῷ πρώτῳ κανόνι, καὶ ἐν λς΄. τὰ αὐτὰ διατάττεται, ἢ μᾶλλον τοὺς ἐκείνου κανόνας ἡ σύνοδος αὐτοῖς τοῖς ῥήμασιν ἐγκατέστρωσε. Περὶ δὲ στρατιωτίδων γυναικῶν πολλὴν ὁ πολιτικὸς νόμος ποιεῖται ἀκρίβειαν, ὥστε μὴ ἑτέροις συνάπτεσθαι, εἰ μάθοιεν ἀνῃρεῖσθαι τοὺς ἄνδρας αὐτῶν, εἰ μὴ τὰς παρατηρήσεις φυλάξαιεν, ἃς ἡ ἑπτακαιδεκάτη νεαρὰ περιέχει, κειμένη εἰς βιβλίον τῶν Βασιλικῶν εἰκοστὸν ὄγδοον, τίτλον ἕβδομον, κεφάλαιον ζ΄. Εἰ δέ τις, φησὶν ὁ κανὼν οὗτος, γυνὴ συνοικήσει τῷ πρὸς καιρὸν καταλειφθέντι παρὰ τῆς ἰδίας γυναικὸς, ἀγνοοῦσα τὸ πρᾶγμα, εἶτα, ἐπανελθούσης τῆς προτέρας αὐτοῦ γυναικὸς, ἀποπεμφθῇ, ἐν αὐτῷ κατὰ δεύτερον τάχα συνοικήσασα γάμον, ὡς πορνεύσασα, καὶ οὐχ ὡς μοιχαλὶς καταδικασθήσεται· καὶ εἰ βούλεται ἑτέρῳ ἀνδρὶ νομίμῳ γενέσθαι, οὐ κωλυθήσεται. Καὶ τοῦτο δὲ τοῦ μεγάλου Βασιλείου κανών ἐςι τεσσαρακοστὸς ἕκτος *ὡς καὶ πλατύτερον ἐξηγήθη ἐκεῖ* (1). Εἰ δὲ στρατιώτου γυνὴ, ὡς τοῦ ἀνδρὸς αὐτῆς θανόντος, ἕτερον λάβοι, εἶτα ἐπανέλθοι ὁ στρατιώτης, εἰ βούλεται, λήψεται τὴν οἰκείαν γυναῖκα, συγγνωμονουμένην διὰ τὴν ἄγνοιαν, ὥστε μὴ ἐπιτιμηθῆναι· ἀλλ' οὐδὲ ὁ ταύτῃ νομίμως συναφθεὶς ἐπιτιμηθήσεται διὰ τὴν αὐτὴν αἰτίαν.

ΒΑΛΣ. Τινὲς γυναῖκες τῶν οἰκείων ἀνδρῶν ἀναχωρησάντων ἐκ τῆς ὁμοζωΐας τούτων, ἢ διά τινα αἰτίαν στρατιωτικὴν απο-

(1) τὰ μεταξὺ * οὐ κεῖται παρὰ Ε. καὶ Βευερ. ἀλλ' ἐν Χ. Τρ.

δημησάντων, καὶ ἀφανῶν γενομένων, ὡς μηδὲ ἀναδιδαξάντων (1) ἢ ταύτας, ἢ ἑτέρους τινὰς τὰ περὶ αὐτοὺς, ἀδηλίαν ἔχουσαι τοῦ θανάτου αὐτῶν, ἑτέροις συνήφθησαν. Φησὶ γοῦν ὁ κανὼν, ὡς μοιχαλίδας ταύτας κολάζεσθαι, μετὰ τὸ ἐκείνους ὑποστρέψαι, διὰ τὸ μὴ ἀναμεῖναι μαθεῖν τέλειόν τι περὶ τοῦ θανάτου αὐτῶν· οὐδὲ γὰρ ἔχουσι πρόφασιν εὔλογον τὴν τῶν ἀνδρῶν ἐς πολὺ ἀποδημίαν, καὶ ἀδηλίαν τοῦ θανάτου αὐτῶν (2). Ἡ δὲ κατ᾽ἄγνοιαν γαμηθεῖσα τάχα νομίμως τῷ διασχισθέντι πρὸς καιρὸν ἀπὸ τῆς οἰκείας συζύγου, εἶτα ἐκ τούτου ἀναχωρήσασα, διὰ τὸ τὴν σύμβιον αὐτοῦ πάλιν θελῆσαι συνοικεῖν τῷ οἰκείῳ ἀνδρὶ, μοιχείαν μὲν οὐχ ἥμαρτεν, ἐπόρνευσε δέ· ἔχει μέντοι εὔλογον πρόφασιν τὴν ἄγνοιαν, διὸ καὶ ἑτέρῳ γαμηθῆναι νομίμως οὐ κωλυθήσεται· ζήτει καὶ τὸν μς'. κανόνα τοῦ ἁγίου Βασιλείου. Συμβουλευτικῷ δὲ τρόπῳ ὑποτιθέασιν οἱ Πατέρες τῇ γυναικὶ μὴ συζευχθῆναι ἑτέρῳ, ἀλλὰ καρτερῆσαι, καὶ ἐξιλεώσασθαι τὸ ἁμάρτημα διὰ μετανοίας. Καὶ τῷ ἐπαναζεύξαντι δὲ στρατιώτῃ ἐξεχώρησαν, εἰ θέλει ἀνακαλέσασθαι τὴν ἑτέρῳ συζευχθεῖσαν γυναῖκα αὐτοῦ, ὀφείλουσαν συγγνώμης ἀξιωθῆναι, ὡς ἀπελπίσασαν τὴν ἐπάνοδον τοῦ οἰκείου ἀνδρός· ὥσπερ δὴ συγγνωσθήσεται καὶ ὁ εἰς δεύτερον γάμον αὐτὴν ἀγαγόμενος. Τούτων οὕτως ἐχόντων, ἐρωτήσει τις· διὰ τί ἄνω μὲν ὁ κανὼν φησι μοιχᾶσθαι τὰς γυναῖκας τοῦ τε ἀναχωρήσαντος, πρὸς δὲ καὶ τοῦ στρατιώτου, ἑτέροις γαμηθείσας πρὸ ἐντελοῦς πληροφορίας τοῦ θανάτου τῶν ἀνδρῶν αὐτῶν· ἐν τῷ τέλει δὲ διορίζεται συγγινώσκεσθαι τὴν γυναῖκα τοῦ στρατιώτου, καὶ τὸν συναφθέντα αὐτῇ κατὰ(3) δεύτερον γάμον; Λύσις. Πολλὴ διαφορά ἐστι τῆς γυναικὸς τοῦ στρατιώτου, καὶ τῆς ἄλλης. Ἡ μὲν γὰρ, ἅμα τῷ ἀποδημῆσαι τὸν στρατιώτην, ὕποπτον ἔχει τὸν θάνατον αὐτοῦ (4), καθὼς καὶ ὁ παρὼν κανὼν, μετὰ τὸ εἰπεῖν περὶ τοῦ στρατιώτου, φησὶ ταῦτα ῥητῶς· Πλὴν ἔχει τινὰ συγγνώμην τὸ πρᾶγμα ἐνταῦθα, ἤγουν συγγινώσκεται ἡ τοῦ στρατιώτου γυνὴ, διὰ τὸ μᾶλλον πρὸς θάνατον εἶναι τὴν ὑπόνοιαν,

---

(1) ἀναδειξάντων Χ. Τρ. — (2) τὸ, οὐδὲ γὰρ ἔχουσι . . . αὐτῶν, οὐ κεῖται παρὰ Ἐ. — (3) Χ. Τρ. = μετὰ, Βευερ. Ἐ. = (4) Χ. Τρ.

ὅπερ καὶ ὁ λά. καὶ ὁ λς'. κανὼν τοῦ ἁγίου Βασιλείου θεσμοθετοῦσιν. Ἡ ἄλλη δὲ οὐδέν τι τοιοῦτον προβαλέσθαι δύναται· ἅμα γὰρ τῇ ἐκ τῆς οἰκίας αὐτῆς ἀναχωρήσει τοῦ ἀνδρὸς, ἐγίνωσκε τὴν ἀφανῆ τούτου ἀποδημίαν, καὶ διὰ τοῦτο οὐδὲ συγγνώμης ἀξιοῦται. Πρὸς τούτοις εἴποι τις, ὡς τοῦ γάμου τοῦ γενομένου μετὰ τοῦ καταλειφθέντος παρὰ τῆς οἰκείας συζύγου, καὶ τῆς ἐλευθέρας γυναικὸς, ἀνυποστάτου ὄντος, ποῖος λόγος ὑπελίπετο, χάριν τοῦ μὴ συναφθῆναι αὐτὴν ἑτέρῳ ἀνδρὶ, ἀγνοήσασαν καὶ ταῦτα τὸν πρῶτον γάμον τοῦ καταλειφθέντος ἀνδρός; Λύσις. Τινῶν λεγόντων, ὅτι κἂν μοιχεία οὐ γέγονε παρὰ τῆς γυναικὸς διὰ τὴν ἄγνοιαν, ἀλλὰ πορνεία ἐτελέσθη, καὶ ὀφείλει ἡ πορνεύσασα κατὰ τοὺς περὶ τῆς πορνείας κανόνας ἐπιτιμηθῆναι, καὶ διὰ τοῦτο μηδὲ συζυγῆναι ἀνδρὶ, ὡς ἔξω οὖσα τῶν ἐκκλησιαστικῶν περιβόλων· οἱ Πατέρες καὶ τοῦτο λύοντες ἔφησαν· ὅτι πορνεία μὲν γέγονεν· ἐπεὶ δὲ ἡ γυνὴ οὐ πορνικῷ τρόπῳ, ἀλλὰ νομίμως συνεζύγη τῷ καταλειφθέντι, πορνευόντων ἐπιτιμίοις οὐχ ὑποπεσεῖται, ἀλλὰ τῆς ἐκκλησιαστικῆς κοινωνίας ἀξιωθήσεται, καὶ ἑτέρῳ συζυγῆναι οὐ κωλυθήσεται. Ἵνα δὲ μὴ δόξωσι προτρέπειν τὰς γυναῖκας πρὸς τὸ ἀνευλαβέστερον, εἶπον, κάλλιον εἶναι ἡσυχάζειν αὐτάς· κἂν γὰρ ἐν ἀγνοίᾳ ἥμαρτον, ἀλλ', ὅσον τὸ εἰς αὐτὰς, πρῶτος γάμος λογίζεται ἐκεῖνο τὸ ἀνυπόστατον, καὶ οὐκ ὀφείλουσι δευτερογαμῆσαι, εἰ μὴ βούλονται τοῖς τῶν δευτερογαμούντων ἐπιτιμίοις ὑποπεσεῖν. Ἔτι ἐρωτήσει τις· ἆρα καὶ ὁ τὴν τοῦ στρατιώτου γυναῖκα ἐν ἀγνοίᾳ ἀγαγόμενος συγγνωσθήσεται; Λύσις. Καὶ μάλιστα· εἰ γὰρ ὠφελεῖ τὴν γυναῖκα ἡ ἄγνοια, πολλῷ μᾶλλον τὸν ἄνδρα τὸν ταύτην ἀγαγόμενον ἀπροκριμάτιστον συντηρήσει, ὡς μηδὲ εἰδέναι ὀφείλοντα. Τί δέ; τοῦ στρατιώτου αἱρετισαμένου μὲν ἀναλαβέσθαι τὴν οἰκείαν ὁμόζυγον, γενήσεται τὰ τῷ κανόνι περιεχόμενα, ἀπαναινομένου δὲ, οὐδαμῶς, ἀλλ' ἔσται αὕτη μετὰ τοῦ ἑτέρου συμβιωτεύουσα; Λύσις. Μετὰ τὴν ὑποστροφὴν τοῦ στρατιώτου, ἀπεντεῦθεν ὁ δεύτερος γάμος διασπᾶται· καὶ εἰ μὲν θέλει ὁ στρατιώτης λαβεῖν αὐτὴν, ἔχει ἐπ' ἀδείας τοῦτο ποιεῖν· εἰ δὲ μὴ, οὐδὲ μετὰ τοῦ δευτέρου ἀνδρὸς συνοικήσει· μᾶλλον μὲν οὖν, καὶ εἰ ἐπιμείνῃ μετὰ τούτου συμ-

διοτεύουσα, συγγνώμης οὐκ ἀξιωθήσεται, ἀλλὰ καὶ ὡς μοιχαλὶς τιμωρηθήσεται. Ἐκείνας γὰρ συγγνωμονεῖσθαι, φασὶν οἱ Πατέρες, τὰς ἑτοίμως ἀφισταμένας τοῦ δευτέρου συνοικεσίου, καὶ συντιθεμένας τῷ ἐξ ἀγνοίας ἁμαρτήματι· οὐ μὴν τὰς ἀνθισταμένας, καὶ τὴν μοιχείαν προελομένας· καὶ ταῦτα μὲν ὁ κανών. Ὁ δὲ πολιτικὸς νόμος, ἤτοι τὸ γ'. κεφ. τοῦ ζ'. τίτλου τοῦ κή. βιβλίου, ὅπερ ἐστὶ νεαρὰ Ἰουστινιάνειος ριζ'. φησὶ, τὰς γυναῖκας τῶν ἐν ταξατιῶνι(1) ὄντων, καὶ στρατείαις καταλεγομένων στρατιωτῶν, καὶ λοιπῶν, περιμένειν τὴν ἐπιδημίαν τῶν ἀνδρῶν, κἂν ὅσος παρέλθῃ χρόνος· καὶ, κἂν δέξωνται γράμματα πληροφορητικὰ τοῦ θανάτου αὐτῶν, ἀναμένειν καὶ ἕτερον ἐνιαυτὸν, καὶ μετὰ τοῦτο συγγνωστέον εἶναι τὸν μετὰ ἑτέρου ἀνδρὸς γάμον αὐτῆς, μὴ ὀφείλοντα διασπασθῆναι. Ἡ μέντοι κβ'. Ἰουστινιάνειος νεαρὰ, ἤτοι τὸ έ. κεφ. τοῦ ζ'. τίτλου τοῦ κή. βιβλίου διορίζεται ἐπὶ πενταετίαν ἀναμένειν τὴν γυναῖκα, ἢ τὸν ἄνδρα, ὅταν τις ἐξ αὐτῶν αἰχμαλωτισθῇ, καὶ ἀδηλία ἐστὶ τῆς τούτου ζωῆς· μετὰ δὲ τὴν πενταετίαν ἕτερον συναλλάττειν γάμον. Ἀνάγνωθι οὖν τὴν τοιαύτην νεαρὰν, ὡσαύτως καὶ τὴν λγ'. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, διοριζομένην, μὴ λύεσθαι προφάσει τῆς αἰχμαλωσίας γάμον, μηδὲ τῷ ἐλευθέρῳ συντηρηθέντι μέρει ἐξεῖναι πρὸς ἕτερον ἀπιδεῖν συνοικέσιον· ἀλλ' εἰ καὶ συναφθῇ ἑτέρῳ, ἄδειαν ἔχει τὸ ὑποστρέψαν μέρος ἐκ τῆς αἰχμασίας, ἀνακαλεῖσθαι τὸ οἰκεῖον μέλος, καὶ τὸν δεύτερον γάμον διασπᾷν. Τοῦ γοῦν κανόνος διοριζομένου ὅσα εἴπομεν ἄνωθεν, καὶ τῶν νόμων παρακελευομένων ταῦτα δὴ τὰ προσεχῶς γεγραμμένα, ἐρωτήσει τις, τίσιν ἐκ τούτων προσέχειν ὀφείλομεν; Φαμὲν οὖν, ὅτι καὶ τοῖς ἐν τῷ κανόνι, καὶ τοῖς ἐν τοῖς νόμοις, ἑκατέροις πάντως κατὰ καιρόν· καὶ ἀπὸ μὲν τοῦ κανόνος μοιχαλίδας εἴποιμεν εἶναι τὰς περὶ ὧν ὁ κανὼν γυναῖκας, γαμηθείσας ἑτέροις πρὸ τοῦ λαβεῖν ἐντελῆ πληροφορίαν τοῦ θανάτου τῶν ἀφανῶν ἀνδρῶν αὐτῶν· τοῦτο γὰρ καὶ αἱ νεαραὶ παρακελεύονται· τὴν δὲ γυναῖκα τοῦ στρατιώτου, μὴ κατὰ τὴν περίληψιν τῆς νεαρᾶς γαμηθεῖσαν, συγγνώμης οὐκ ἀξιώσομεν, ὥσπερ κατὰ

(1) ταξιδίοις. 3. Βασιλ. ΚΗ. 7.

ταύτην ποιήσασαν οὐκ αἰτιασόμεθα· τὸ μέντοι ἔχειν ἐπ' ἀδείας τοὺς ἄνδρας πασῶν τῶν μοιχευθεισῶν γυναικῶν ἀναλαμβάνεσθαι αὐτὰς καὶ μετὰ τὴν ὑποστροφὴν, κοινῶς εἶπε, καὶ μὴ ἐπὶ μόνης τῆς γυναικὸς τοῦ ςρατιώτου, κατὰ τὴν περίληψιν τῆς ῥηθείσης ριζ'. νεαρᾶς, τῆς συνοψισθείσης ἐν κεφ. γ'. τοῦ ιγ'. τίτ. τοῦ παρόντος συντάγματος. Ἐπεὶ δὲ ὁ μὲν κανὼν περὶ αἰχμαλώτου οὐδέν τι ἐθεσμοθέτησεν, ἡ δὲ διαληφθεῖσα Ἰουστινιάνειος νεαρὰ διορίζεται ἐπὶ πενταετῆ καιρὸν ἀναμένειν τὸ περιλειφθὲν μέρος ἐλεύθερον, καὶ οὕτως ἀπροκριματίστως ἕτερον συνοικέσιον συνιστᾷν· ᾧ δῆτα διορισμῷ ἐναντιοῦται ἡ λγ'. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, λέγουσα ἀδιαστίκτως, ἀνακαλεῖσθαι ἀεὶ τὸν ὑποστρέψαντα αἰχμάλωτον τὸ οἰκεῖον μέλος· εἶπε, ὅτι τὰ τῆς Ἰουστινιανείου νεαρᾶς ἠπράκτησαν, ἀναιρεθέντα ὑπὸ τῆς ῥηθείσης λγ'. νεαρᾶς τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ. Ἐπὶ τούτοις μὴ ἐναντιωθῇ σοι τὸ παρατέλευτον θέμα τοῦ ιγ'. κεφ. τοῦ λζ'. τίτ. τοῦ ζ'. βιβλίου, λέγον· Ἐὰν ἐπὶ πολὺν χρόνον ἀπολειφθέντα τὸν ἄνδρα πλαστῶς ἡ γυνὴ ἀκούσῃ τελευτῆσαι, καὶ πεισθεῖσα τῇ φήμῃ ἑτέρῳ γαμηθῇ ἀδόλως, οὐ τιμωρεῖται· ἀλλ' εἶπε, εἶναι τοῦτο δίγεστον (1), καὶ ἀναιρεθῆναι ὑπὸ τῶν ῥηθεισῶν νεαρῶν.

ΑΡΙΣΤ. Ἀνδρὸς ἀφαντουμένου, ἡ πρὸ τοῦ πεισθῆναι λαβοῦσα, μοιχᾶται· ὁ δὲ ὑποστρέψας ἀνὴρ, εἰ προήρηται, λήψεται αὐτήν.

Συνάδει τῷ παρόντι κανόνι καὶ ἡ ἑκατοστὴ ἑπτακαιδεκάτη Ἰουστινιάνειος νεαρὰ, ἡ ἐν τῷ ἑβδόμῳ τίτλῳ τοῦ εἰκοστοῦ ὀγδόου βιβλίου τῶν βασιλικῶν κειμένη· προστάττει γὰρ κἀκείνη, ὡς, ἐὰν γυνὴ στρατιώτην ἔχῃ ἄνδρα, καὶ ἐν ἐκστρατείᾳ ἀποδημῇ, καὶ μάθῃ τοῦτον τετελευτηκέναι, μὴ ἄλλως εἰς ἑτέρους αὐτὴν ἔρχεσθαι γάμους, εἰ μὴ πληροφορίαν σχῇ παρὰ τῶν πρώτων τοῦ ἀριθμοῦ, ἐν ᾧ ὁ ἀνὴρ αὐτῆς ἐστρατεύσατο, προκειμένων τῶν ἁγίων Εὐαγγελίων, καὶ ἐπὶ πράξεως ὑπομνημάτων ὁμολογούντων, ὡς ταῖς ἀληθείαις ὁ ἀνὴρ αὐτῆς ἐτελεύτησε, καὶ τὰ τοιαῦτα ὑπομνήματα λάβῃ, καὶ μετὰ τὴν τοιαύτην πληροφορίαν ἀναμείνῃ καὶ ἑνὸς ἐνιαυτοῦ διάστημα. Εἰ δὲ παρὰ τὴν παρατήρησιν ταύτην εἰς ἕτερον ἔλθῃ γάμον· καὶ αὐτὴν, καὶ τὸν

(1) διάταγμα Χ. Τρ.

ἀγαγόμενον αὐτὴν, ὡς μοιχοὺς τιμωρεῖσθαι. Εἰ δὲ, τῆς παρατηρήσεως ταύτης γενομένης, εὑρεθῶσιν οἱ μεθ' ὅρκου πληροφορήσαντες αὐτὴν ψευδόμενοι, αὐτοὺς μὲν τῆς στρατείας ἀπογυμνοῦσθαι, καὶ δέκα λιτρῶν χρυσίου ποινὴν πρὸς ἐκεῖνον, ὃν ἐψεύσαντο τετελευτηκέναι, καταθεῖναι παρακελεύεται· αὐτὸν δὲ, εἰ βουληθῇ, τὴν ἰδίαν γαμετὴν ἀναλαβεῖν οὐ κωλύει.

Κανὼν ϞΔ'.

Τοὺς ὀμνύοντας ὅρκους ἑλληνικοὺς, ὁ κανὼν ἐπιτιμίοις καθυποβάλλει· καὶ ἡμεῖς τούτοις ἀφορισμὸν ὁρίζομεν.

—

ΖΩΝΑΡ. Τὰ τῶν Ἑλλήνων ἔθη, καὶ τὰ τῶν ἐθνικῶν, ἀποτρόπαια τοῖς πιστοῖς· διὸ οὐδὲ ὅρκους ἑλληνικοὺς ὀμνύειν ἐπιτετράμμεθα. Καὶ ὁ μέγας δὲ Βασίλειος, ἐν ὀγδοηκοστῷ πρώτῳ κανόνι, περὶ τῶν ἐθνικοὺς ὀμοσάντων ὅρκους, ὅπως οἰκονομηθήσονται, διατάττεται. Καὶ ὁ πολιτικὸς δὲ νόμος, ἐν εἰκοσῷ δευτέρῳ βιβλίῳ τῶν βασιλικῶν κείμενος, τίτλῳ ε. κεφ. δ'. φησί· Πᾶς θεμιτὸς ὅρκος, ἐξ ἐπαγωγῆς ὀμοθεὶς, φυλάττεται· ὡς ἐξ ἀντιδιαστολῆς νοεῖσθαι, ὅτι ὁ ἀθέμιτον ὅρκον ὀμόσας, οἷον, μὰ τὸν ἥλιον, καὶ τοιούτους, οὐκ ἀναγκασθήσεται φυλάξαι αὐτόν.

ΒΑΛΣ. Ὁ μέγας Βασίλειος, ἐν κανόνι πα'. ἐπιτιμίοις καθυποβάλλει οὐ μόνον τοὺς ἑκουσίως τῶν δαιμονιωδῶν θυμάτων ἀψαμένους, καὶ ὀμόσαντας ἑλληνικοὺς ὅρκους, ἀλλὰ καὶ τοὺς ἀκουσίως εἰς τοῦτο συνωθηθέντας· ἀκολούθως οὖν τῷ τοιούτῳ κανόνι καὶ ὁ παρὼν ἀφορίζει τούτους. Ἑλληνικοὶ δὲ ὅρκοι εἰσὶν, οἱ παρὰ τῶν Ἑλλήνων ὀμνύμενοι· οἱ μὲν γὰρ εἰς ψευδωνύμους θεοὺς πιστεύοντες, ὤμνυον εἰς τὰ τούτων ὀνόματα· ἄλλοι δὲ ἐπίστευον εἰς τὰ στοιχεῖα, καὶ ἕτεροι εἰς ἄλλα τινά. Ἐρωτήσει δέ τις, ὡς, τοῦ παρόντος κανόνος μεμνημένου τοῦ κανόνος τοῦ ἁγίου Βασιλείου, τοῦ κολάζοντος τοὺς ἑκουσίως, ἢ ἀκουσίως προσελθόντας τοῖς δαίμοσι, καὶ ὀμόσαντας ἑλληνικοὺς ὅρκους, ἐάν τις τοῖς δαίμοσι μὲν μὴ προσέλθῃ, μηδὲ μιανθῇ, ἀλλὰ τὴν ὀρθόδοξον πίστιν σεβόμενος, ὀμνύῃ ὅρκους ἑλληνικοὺς ἐκ καταφρονήσεως, κολασθήσεται, ἢ οὔ; **Λύσις.** Κολασθή-

σεται· οὐκ ἐπίσης δὲ τοῖς προσελθοῦσι τοῖς δαίμοσι, ἀλλὰ μετριώτερον, καὶ κατὰ τὸ δοκοῦν τῷ κατὰ χώραν ἐπισκόπῳ. Ὅτι καὶ ὁ μέγας Βασίλειος διαφορὰν ποιεῖται τῶν προσελθόντων τοῖς δαίμοσι, καὶ ὀμοσάντων· καὶ μετριώτερον κολάζει τὸν δι' ἀνάγκην μεγάλην τῶν ἀθεμίτων γευσάμενον, καὶ ἑλληνικοὺς ὀμόσαντα ὅρκους· τῷ μέντοι ἀφορισμῷ ἀδιαφόρως πάντες ὑποβληθήσονται· ἵνα μάθῃ καὶ ὁ καταφρονητὴς τῶν θείων παραγγελιῶν, μὴ παίζειν ἐν οὐ παικτοῖς. Τί δέ; ἐὰν ὀμόσῃ τις ὅρκον μὴ ἑλληνικόν, ἀλλ' ἀσυνήθη, τυχὸν εἰς τοὺς παῖδας αὐτοῦ, ἢ εἰς ἕτερόν τι, μὴ προσκροῦον εἰς τὴν πίστιν, τιμωρηθήσεται; Λύσις. Τὸ δ'. κεφ. καὶ τὸ ε. τοῦ ε. τίτλου, τοῦ κϐ'. βιβλίου, τοὺς κατὰ ἀδοκίμου θρησκείας ὀμνυμένους ὅρκους ἀποτρέπονται· φησὶ γὰρ τὸ δ'. κεφ. ὡς ἐπιφέρεται ὁ ὅρκος, οὕτως ἐποφείλει ὀμνύεσθαι· εἰ γὰρ ἐμοῦ κατὰ τοῦ Θεοῦ ἐπάγοντος, ὀμόσεις κατὰ τῆς κεφαλῆς σου, ἢ κατὰ τῶν τέκνων σου (1), οὐκ ἔῤῥωται· ὥστε εἰ ἐπήγαγόν σοι κατὰ τῆς κεφαλῆς σου, ἢ τῶν τέκνων σου, καὶ ὤμοσας οὕτως, ὤφειλεν εἶναι ὁ ὅρκος ἐῤῥωμένος. Καὶ τὸ ε. κεφ. Καλῶς ἐπιφέρω σοι κατὰ τῆς σωτηρίας σου ὀμόσαι· πᾶς γὰρ θεμιτὸς ὅρκος ἐξ ἐπαγωγῆς ὀμοθεὶς, φυλάττεται· καὶ ὃν τις ὀμόσει κατὰ τὴν ἰδίαν θρησκείαν· καὶ τὸ τελευταῖον θέμα τοῦ αὐτοῦ κεφαλαίου· Ὁ κατὰ ἀδοκίμου θρησκείας ὀμνύμενος ὅρκος οὐ φυλάττεται· ἀδόκιμος δὲ θρησκεία ἐστὶν, ἡ παρὰ τὴν ὀρθόδοξον πίστιν. Ὁ γοῦν ὀρθόδοξος μὴ κατὰ τοὺς λοιποὺς Χριστωνύμους ὀμνύων, ἀλλὰ κατὰ τοὺς κακοδόξους, οὐ μόνον οὐκ ὠφεληθήσεται ἀπὸ τοῦ ὅρκου, ἀλλὰ καὶ τιμωρηθήσεται, κατὰ τοὺς κανόνας.

ΑΡΙΣΤ. Ὁ ἑλληνικοῖς ὅρκοις ὀμνύμενος, ἐπιτιμητέος· ἀφορίζεται γάρ. Σαφής.

Κανὼν ϞΕ'.

Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ, καὶ τῇ μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν, δεχόμεθα κατὰ τὴν ὑποταγ-

(1) Χ. Τρ. — εἰ γὰρ, ἐμοῦ ἐπάγοντος κατὰ τοῦ Θεοῦ ὀμόσαι, κατὰ τῶν τέκνων σου ὀμόσεις, οὐκ ἔῤῥωται. Βευερ.

μένην ἀκολουθίαν τε καὶ συνήθειαν. Ἀρειανοὺς μὲν καὶ Μακεδονιανοὺς, καὶ Ναυατιανοὺς (1), τοὺς λέγοντας ἑαυτοὺς Καθαροὺς καὶ Ἀριστεροὺς, καὶ τοὺς Τεσσαρακαιδεκατίτας, ἤγουν Τετραδίτας, καὶ Ἀπολλιναριστὰς, δεχόμεθα, διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν μὴ φρονοῦσαν, ὡς φρονεῖ ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία, σφραγιζομένους, ἤτοι χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ, τὸ μέτωπον, καὶ τοὺς ὀφθαλμοὺς, καὶ τὰς ῥίνας, καὶ τὸ στόμα, καὶ τὰ ὦτα· καὶ, σφραγίζοντες αὐτοὺς, λέγομεν· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Περὶ δὲ τῶν παυλιανισάντων, εἶτα προσφυγόντων (2) τῇ καθολικῇ ἐκκλησίᾳ (3), ὅρος ἐκτέθειται, ἀναβαπτίζεσθαι αὐτοὺς ἐξάπαντος. Εὐνομιανοὺς μέντοι, τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους, καὶ Μοντανιστὰς, τοὺς ἐνταῦθα λεγομένους Φρύγας, καὶ Σαβελλιανοὺς, τοὺς υἱοπατορίαν δοξάζοντας, καὶ ἕτερά τινα χαλεπὰ ποιοῦντας, καὶ πάσας τὰς ἄλλας αἱρέσεις, ἐπεὶ πολλοί(4) εἰσιν ἐνταῦθα, μάλιστα οἱ ἀπὸ τῆς Γαλατῶν χώρας ἐρχόμενοι(5), πάντας τοὺς ἀπ' αὐτῶν θέλοντας προστίθεσθαι τῇ ὀρθοδοξίᾳ, ὡς Ἕλληνας δεχόμεθα· καὶ τὴν πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς Χριστιανούς· τὴν δὲ δευτέραν, κατηχουμένους· εἶτα τὴν τρίτην, ἐξορκίζομεν μετὰ τοῦ ἐμφυσᾷν τρίτον εἰς τὸ πρόσωπον, καὶ εἰς τὰ ὦτα, καὶ οὕτω κατηχοῦμεν αὐτοὺς (6), καὶ ποιοῦμεν χρονίζειν ἐν τῇ ἐκκλησίᾳ (7), καὶ ἀκροᾶσθαι τῶν Γραφῶν, καὶ τότε αὐτοὺς βαπτίζομεν. Καὶ τοὺς Μανιχαίους δὲ, καὶ τοὺς Οὐαλεντινιανοὺς (8), καὶ Μαρκιωνιστὰς, καὶ τοὺς ἐκ τῶν ὁμοίων αἱρέσεων προσερχομένους, ὡς

---

(1) καὶ Σαββατιανοὺς Σ. Ῥ. — (2) προσελθόντων Σ. Ῥ. — (3) Π. Σ. Ῥ. Βευερ. — περὶ δὲ τῶν Παυλιανιστῶν τῇ καθολικῇ ἐκκλησίᾳ ὅρος ἐκτέθειται Βρ.

(4) Χ. Τρ. — ἐπειδὴ πολλαί εἰσιν Π. Βευερ. — (5) Π. Χ. Τρ. Βρ. — ὁρμώμενοι Βευερ. — (6) τὸ, αὐτοὺς, οὐ κεῖται παρὰ Βευερ. — (7) εἰς τὴν ἐκκλησίαν Βευερ. Σ. Ῥ. — (8) Οὐαλεντίνους Χ. Τρ. Σ. Ῥ. — Οὐαλεντίους Βρ.

Ἕλληνας δεχόμενοι, ἀναβαπτίζομεν· Νεστοριανοὺς δὲ, καὶ Εὐτυχιανιστὰς, καὶ Σεβηριανοὺς, καὶ τοὺς ἐκ τῶν ὁμοίων αἱρέσεων (1) χρὴ ποιεῖν λιβέλλους, καὶ ἀναθεματίζειν τὴν αἵρεσιν αὐτῶν, καὶ Νεστόριον, καὶ Εὐτυχέα, καὶ Διόσκορον καὶ Σεβῆρον· καὶ τοὺς λοιποὺς ἐξάρχους τῶν τοιούτων αἱρέσεων, καὶ τοὺς φρονοῦντας τὰ αὐτῶν, καὶ πάσας τὰς προαναφερομένας αἱρέσεις, καὶ οὕτω μεταλαμβάνειν τῆς ἁγίας κοινωνίας.

—

ΖΩΝΑΡ. Οὗτος ὁ κανὼν τῆς οἰκουμενικῆς δευτέρας ἐστ' συνόδου ἕβδομος· ἃ οὖν ἐκεῖ εἴρηται ἀρκοῦσι· τὸ γὰρ αὖθις τὰ αὐτὰ καὶ περὶ τῶν αὐτῶν λέγειν, ματαιοπονία κριθήσεται.

ΒΑΛΣ. Περὶ τοῦ κανόνος τούτου, ἑβδόμου ὄντος τῆς οἰκουμενικῆς δευτέρας συνόδου, ἱκανῶς ἐκεῖ ἐγράψαμεν· καὶ οὐ χρὴ περὶ τῶν αὐτῶν παλιλλογεῖν. Ἐπεὶ δὲ προσετέθη παρὰ τῆς συνόδου ταύτης, ὀφείλειν καὶ τοὺς Μανιχαίους, καὶ τοὺς Οὐαλεντίνους, καὶ τοὺς Μαρκιονιστὰς, καὶ τοὺς ἐκ τῶν ὁμοίω αἱρέσεων, κατὰ τοὺς Εὐνομιανοὺς καὶ τοὺς Μοντανιστὰς, βαπτίζεσθαι· τοὺς δὲ Νεστοριανοὺς, μετὰ τὸ δοῦναι λιβέλλους τῆς πίστεως αὐτῶν, καὶ ἀναθεματίσαι Νεστόριον, καὶ Εὐτυχέα, καὶ Διόσκορον, καὶ Σεβῆρον, καὶ τοὺς λοιποὺς τοὺς ὁμοφρονοῦντας αὐτοῖς, καὶ τὰς αἱρέσεις αὐτῶν, μεταλαμβάνειν τῆς ἁγίας* (2) κοινωνίας· φέρε περὶ τούτων καὶ μόνων ἀρτίως εἴπωμεν. Μανιχαῖοι μὲν οὖν εἰσιν, οἱ τὰ τοῦ Μάνεντος φρονοῦντες, ὅστις Μάνης Παράκλητον ἑαυτὸν ἐκάλει· τὸν Χριστὸν δὲ δοκήσει καὶ μόνῃ φανῆναι *καὶ παθεῖν*(3) εἰσηγήσατο· καὶ δύο ἀρχὰς, πονηράν τε καὶ ἀγαθὴν, ἤγουν Θεόν τε καὶ ἥλιον(4)· κατὰ τῆς (5) Παλαιᾶς Διαθήκης ἐβλασφήμει· σελήνῃ καὶ ἄστρασιν, ὡς θεοῖς, προσκυνεῖν ἐπέτρεψε· μετεμψύχωσιν ἐδίδασκε (6)· σαρκὸς ἀνάστασιν ἠρνήσατο· καὶ βοτάνας, καὶ δένδρα, καὶ ὕδωρ,

---

(1) Τὰ ἀπὸ τοῦ, προσερχομένους, ἕως τοῦ, χρὴ ποιεῖν, οὐ κεῖται παρὰ Βευερ. Βρ. Π. καὶ Χ. Τρ. ἀλλ' ἐν Σ. Ῥ. — (2) Χ. Τρ. — (3) Χ. Τρ. — οὐ κεῖται παρὰ Βευερ. — (4) Χ. Τρ. 'Ε. — ὕλην Βευερ. — (5) Χ. Τρ. — καὶ τὰ τῆς Παλαιᾶς Βευερ. — (6) Χ. Τρ. 'Ε. — οὐ κεῖται παρὰ Βευερ.

ἔμψυχα εἶναι ἀπεφήνατο. Οὐαλεντινιανοί εἰσιν, οἱ εὑρεθέντες κατὰ τὸν καιρὸν τοῦ Οὐάλεντος τοῦ βασιλέως Βογόμιλοι, ἤτοι Μασαλλιανοί, καὶ Εὐχῖται, καὶ Ἐνθουσιασταί. Μαρκιωνισταὶ δὲ, οἱ ἀπὸ Μαρκίωνος καταγόμενοι· ὅστις Μαρκίων τρεῖς ἀρχὰς εἶπε· πρώτην, τὸν ἄνω Θεὸν ἀόρατον· δευτέραν, τὸν ὁρατὸν, καὶ κτίστην, καὶ δημιουργόν· καὶ τρίτην, τὸν διάβολον. Ἐβάπτιζε δὲ οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ ἐκ τρίτου, παραχωρῶν καὶ ταῖς γυναιξὶ βαπτίζειν. Νεστοριανοὶ δὲ λέγονται, οἱ κατὰ τὸν Νεςόριον χωρίζοντες τὸν Θεὸν Λόγον, καὶ τὸν προσληφθέντα τούτῳ ἄνθρωπον· περὶ οὗ ἐν τῷ προοιμίῳ τῆς τρίτης συνόδου ἐγράψαμεν. Ὡσαύτως καὶ περὶ τῆς αἱρέσεως τοῦ Εὐτυχοῦς, τοῦ Διοσκόρου, καὶ τοῦ Σεβήρου, τὰ εἰκότα διελάβομεν ἐν τῷ προοιμίῳ τῆς τετάρτης συνόδου· ἀνάγνωθι οὖν ταῦτα.

ΑΡΙΣΤ. Τοὺς ἀπὸ αἱρετικῶν ἐπιστρέφοντας οὕτω δεχόμεθα· Ἀρειανοὺς, Μακεδονιανοὺς, Ναυατιανοὺς, τοὺς καὶ Καθαροὺς, καὶ Ἀριστεροὺς, καὶ Τεσσαρεσκαιδεκατίτας, ἤγουν Τετραδίτας, καὶ Ἀπολλιναριστὰς, ἀναθεματίζοντας πᾶσαν αἵρεσιν, χρίομεν τῷ ἁγίῳ μύρῳ μέτωπον, ὀφθαλμοὺς, ῥίνας, στόμα, καὶ ὦτα, καὶ σφραγίζοντες, λέγομεν· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου ἀμήν.

Τινὲς τῶν αἱρετικῶν βαπτίζονται· ἄλλοι τῷ ἁγίῳ μύρῳ χρίονται μόνῳ· ἕτεροι δὲ πᾶσαν αἵρεσιν, καὶ τὴν αὐτῶν ἀναθεματίζοντες, εἰς κοινωνίαν προσδέχονται. Τίνες δὲ οἱ βαπτιζόμενοι, καὶ τίνες οἱ μόνῳ μύρῳ χριόμενοι· τίνες δὲ οἱ τὴν ἰδίαν αἵρεσιν καὶ τὰς ἄλλας ἀναθεματίζοντες, καὶ τούτῳ μόνῳ ἀρκούμενοι, καὶ εἰς κοινωνίαν παραδεχόμενοι, τῷ παρόντι κανόνι δηλοῦνται· κἂν καὶ πολλαὶ τῶν αἱρέσεων παρελείφθησαν. Τέως δὲ τοὺς Παυλιανιστὰς, τοὺς ἀπὸ Παύλου τοῦ Σαμοσατέως καταγομένους, καὶ τοὺς λοιποὺς αἱρετικοὺς, τοὺς προσερχομένους τῇ ὀρθοδόξῳ πίστει, καὶ ὡς Ἕλληνας παραδεχόμενοι, καὶ βαπτίζοντες, τῇ πρώτῃ ἡμέρᾳ τὰς αἱρέσεις αὐτῶν ἀπαιτοῦμεν ἀναθεματίζειν, καὶ ποιοῦμεν αὐτοὺς, ὅσον κατὰ τοῦτο, Χριστιανούς· τῇ δὲ δευτέρᾳ, κατηχοῦμεν αὐτοὺς τὸν λόγον τῆς ἀληθείας, καὶ ἐφεξῆς τὰ λοιπὰ ποιοῦμεν· καὶ οὕτω

μετὰ τὸ χρονίσαι αὐτοὺς ἐν ταῖς ἐκκλησίαις, καὶ τῶν θείων Γραφῶν ἀκροάσασθαι, τοῦ θείου καταξιοῦμεν βαπτίσματος. Παυλιανιστὰς ἀναβαπτίζομεν· Εὐνομιανούς, Μοντανιστάς, Σαβελλιανούς, καὶ πάντας τοὺς ἀπ' αὐτῶν, ὡς Ἕλληνας, δεχόμενοι· καὶ τῇ πρώτῃ ἡμέρᾳ ποιοῦμεν αὐτοὺς Χριστιανούς, τῇ δευτέρᾳ κατηχουμένους, τῇ τρίτῃ ἐξορκίζομεν, ἐμφυσῶντες τρίτον εἰς τὸ πρόσωπον, καὶ τὰ ὦτα· καὶ οὕτω κατηχοῦμεν, καὶ ποιοῦμεν χρονίζειν ἐν τῷ ναῷ, καὶ ἀκροᾶσθαι τῶν Γραφῶν· καὶ τότε αὐτοὺς βαπτίζομεν· καὶ Μανιχαίους δὲ, καὶ Οὐαλεντινιανούς, καὶ Μαρκιωνιστάς, καὶ Σεβηριανούς, καὶ τοὺς ἐκ τῶν ὁμοίων αἱρέσεων, χρή, λιβέλλους διδόντας, ἀναθεματίζειν πᾶσαν αἵρεσιν, καὶ οὕτω μεταλαμβάνειν τῆς ἁγίας κοινωνίας.

Κανὼν ϞϚʹ.

Οἱ τὸν Χριστὸν διὰ τοῦ βαπτίσματος ἐνδυσάμενοι, τὴν ἐν σαρκὶ αὐτοῦ πολιτείαν μιμεῖσθαι καθωμολόγησαν. Τοὺς οὖν τὰς ἐν τῇ κεφαλῇ τρίχας πρὸς λύμην τῶν ὁρώντων ἐν ἐπινοίαις ἐμπλοκῆς εὐθετίζοντας, καὶ διασκευάζοντας, καὶ δέλεαρ προτιθέντας ἐντεῦθεν ταῖς ἀστηρίκτοις ψυχαῖς, ἐπιτιμίῳ προσφόρῳ πατρικῶς θεραπεύομεν, παιδαγωγοῦντες αὐτούς, καὶ σωφρόνως βιοῦν ἐκδιδάσκοντες, πρὸς τὸ ἀφέντας τὴν ἐκ τῆς ὕλης ἀπάτην καὶ ματαιότητα, πρὸς τὴν ἀνώλεθρον καὶ μακαρίαν ζωὴν τὸν νοῦν μετάγειν διηνεκῶς, καὶ ἐν φόβῳ ἁγνὴν ἔχειν ἀναστροφήν, καὶ Θεῷ πλησιάζειν, κατὰ τὸ ἐφικτόν, διὰ τῆς ἐν βίῳ καθάρσεως, καὶ τὸν ἔνδον, ἢ τὸν ἔξω ἄνθρωπον μᾶλλον κοσμεῖν ἀρεταῖς καὶ χρηστοῖς καὶ ἀμώμοις τοῖς ἤθεσιν· ὥστε μηδὲν λείψανον φέρειν ἐν ἑαυτοῖς τῆς τοῦ ἐναντίου σκαιότητος. Εἰ δέ τις παρὰ τὸν παρόντα κανόνα διαγίνοιτο (1), ἀφοριζέσθω.

—

(1) Π. Βρ. Κ. — διαγένηται Χ. Τρ. — διάγοιτο Βευερ.

ΖΩΝΑΡ. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, ὁ μέγας Παῦλός φησίν(1)· οἱ δὲ διὰ τοῦ θείου βαπτίσματος τὸν Χριστὸν ἐνδυσάμενοι, κατ' ἐκεῖνον ὀφείλουσι πολιτεύεσθαι· καὶ πᾶσαν ἁγνείαν καὶ σωφροσύνην μετιέναι καὶ καθαρότητα, καὶ μὴ τῇ τῆς ὕλης προστετηκέναι ματαιότητι, καὶ τὸ σῶμα κοσμεῖν περιττῶς τε καὶ περιέργως. Τί δ' ἂν γένοιτο περιεργότερόν τε καὶ περιττότερον κόσμημα, τοῦ τὰς τρίχας τῆς κεφαλῆς πλέκειν, καὶ εὖ διατιθέναι, καὶ διασκευάζειν, δέλεαρ αὐτὰς (2) καὶ ἀπάτην προτιθέντας ταῖς ἀστηρίκτοις πρὸς τὴν πίστιν ψυχαῖς, κἀντεῦθεν πρὸς ἀκολασίαν εὐολίσθοις; Οἱ μὲν οὖν θεῖοι Πατέρες ἐκεῖνοι, τοῦ δι' ἐμπλοκῆς εὐθετίζειν καὶ διασκευάζειν τὰς κόμας ἐμνήσθησαν· οὐδὲν γὰρ ἕτερον τότε περὶ τὴν κόμην τισὶν, ὡς ἔοικε, περιείργαστο, οἷα νῦν τοῖς τριχοβάπταις, καὶ τριχοπλάσταις περιεργάζεται, πᾶσαν σπουδὴν ποιουμένοις κομᾷν, καὶ γυναικώδεις φέρειν βοστρύχους, μέχρι ζωστῆρος καθιεμένους, εἰ δυνατόν. Τοῦτο δὲ οὐκ ἐκ μόνου τοῦ μὴ κείρειν τῆς κόμης τὸ περιττόν σφισιν ἐπιτετήδευται, ἀλλὰ πρὸς τὸ μὴ σίδηρον ἀναβαίνειν ἐπὶ τῆς κεφαλῆς αὐτῶν, καὶ ἅπαν(3) τὸ πὴν κόμην τρέφειν αὐτοῖς πεφυκὸς, καὶ βαθεῖαν ποιεῖν, περιείργασται. Πλάττονταί τέ σφισιν αἱ κόμαι καλάμοις συνδούμεναι, ἵν' αὐταῖς οὐλότης προσγένηται, καὶ βάπτονται δὲ, ἵν' εἶεν ξανθαὶ καὶ χρυσίζουσαι. Οἱ δὲ καὶ ὕδατι τὴν τρίχα τῆς κεφαλῆς ποιοῦντες διάβροχον, εἱληθερεῖσθαι ταύτην ἐν ἀκμῇ θέρους ἀνέχονται, ἵν' αὐτοῖς τὸ μέλαν μεταβληθείη τὸ τῶν τριχῶν. Εἰσὶ δ' οἳ καὶ νόθους πλοκάμους περιτιθέασιν ἑαυτοῖς, τὴν ἐγγενῆ τε καὶ ξυμφυῆ ξυρώμενοι τρίχωσιν. Καὶ ἡ μὲν κόμη νῦν οὕτω τοῖς πλείοσιν εὐθετίζεταί τε καὶ διεσκεύασται· ἅπαν δὲ τοὐναντίον περὶ τὸν πώγωνα διαπράττεται· οἷς μὲν γὰρ ἄρτι τὸ νεοτήσιον ἄνθος φύεται, ξυρᾶται αὐτίκα, ἵνα μὴ εἰς ἴουλον καταστῇ, ἀλλὰ λειότης αὐτῶν ἐπιπρέπῃ ταῖς ὄψεσι, καὶ οἷον εἰπεῖν, γυναικίζοιντό τε καὶ μαλακίζοιντο. Οἷς δὲ προήκων ὁ χρόνος κατὰ συστήματα σχεδὸν ποιεῖ τὰς τρίχας τοῦ πώγωνος φύεσθαι, ἵνα

(1) Γαλ. Γ', 27. — (2) Χ. Τρ. — δέλεαρ αὐτὸν καὶ ἀπάτην Κ. — δέλεαρ αὐτὸν ἀπάτην Βευερ. — (3) Χ. Τρ. — ἅπασαν τὴν κόμην Βευερ.

μὴ τὴν ὑπήνην φέροιεν καθειμένην, οὗτοι ἀπέχονται μὲν ξυροῦ, κεράμου δέ τι (1) θραῦσμα ἄνθραξιν ἐκπυρούμενον τῇ ὑπήνῃ προσφέρουσι, καὶ τούτῳ (2) τοῦ πώγωνος ἅπαν ἐκτεφροῦσι τὸ αἰωρούμενον· λείπουσι δὲ τοσοῦτον, ὡς δοκεῖν ἄρτι τὸν ἴουλον φύεσθαι, καὶ τοὺς εἰς ἄνδρας ἤδη τελέσαντας νεανίσκοις ἐοικέναι πρώτοις ὑπηνήταις. Ταῦτα δὲ οὐ τοῖς τυχοῦσι μόνοις ἐπιτηδεύεται, ἀλλὰ καὶ τοῖς ὑπερλίαν αὐτοῖς. Ὅθεν κατενεχθὲν τὸ κακὸν ἐγένετο πάνδημον, καὶ ὥς τι νόσημα ἐπιδήμιον ἐνσκῆψαν τοῖς Χριστωνύμοις, πάντας σχεδὸν ἐπιβόσκεται· καὶ ταῦτα τοῦ μὲν θείου καὶ παλαιοτάτου θεσμοῦ ἐν τῷ Δευτερονομίῳ λέγοντος· Οὐ ποιήσετε σισόην ἐκ τῆς κόμης τῆς κεφαλῆς ὑμῶν, οὐδὲ φθερεῖτε τὴν ὄψιν τοῦ πώγωνος ὑμῶν(3). Τοῦ δὲ μεγάλου Παύλου, Ἀνὴρ ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστὶ, λέγοντος(4)· Οἱ μὲν οὖν τῆς συνόδου ταύτης Πατέρες, τοὺς, ἅπερ εἰρήκασιν ἄνω, ποιοῦντας, ἐπιτιμῶσι πατρικῶς, καὶ ἀφορισμῷ ὑποβάλλουσιν· οἱ δὲ νῦν Πατέρες, τοὺς τὰ ἀπηριθμημένα ποιοῦντας περὶ τὴν κόμην τε καὶ τὸν πώγωνα, καὶ ἔτι μᾶλλον ἀσχημονοῦντας, καὶ οὕτως εἰσιόντας ἐν ταῖς ἐκκλησίαις, οὐ μόνον ἀνεπιτιμήτους ἐῶσιν, ἀλλὰ καὶ εὐλογοῦσι, καὶ τῶν ἁγιασμάτων αὐτοῖς, μεταλαβεῖν αὐτῶν βουλομένοις, βαβαὶ τῆς ἀτοπίας, μεταδιδόασι· καὶ ὁ κωλύων ταῦτα οὐδείς· οὐ πατριάρχης, οὐκ ἄλλοι ἀρχιερεῖς, οὐ μοναχοί, οἷς ὡς πατράσι χρῶνται πνευματικοῖς οἱ οὕτως ἀσχημονοῦντες.

ΒΑΛΣ. Ἐκ τῆς πρὸς Γαλάτας ἐπιστολῆς τοῦ μεγάλου Παύλου προοιμιασάμενοι οἱ ἅγιοι Πατέρες, τῆς λεγούσης ἐν μέρει, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, διωρίσαντο διορθωθῆναι δι' ἐπιτιμίου, τοὺς δι' ἐπινοίας ἐνδιασκεύου (5) καὶ ἐμπλοκῆς τὰς ἐν τῇ κεφαλῇ τρίχας πληθύνοντας, καὶ καλλωπίζοντας, χάριν τοῦ ἐφέλκειν δι' αὐτῶν, ὡς διά τινος δελεάσματος, τὰς τῶν ἀστηρίκτων ψυχάς. Ὀφείλουσι γάρ, φασι, πάντες οἱ πιστοὶ πρὸς τὴν ἄνω καὶ μακαρίαν ζωὴν ἀποβλέπειν, καὶ μετὰ φόβου Θεοῦ ἀναστρέφεσθαι, ἐφ' ᾧ πλησιάσαι αὐτῷ, κατὰ

(1) Χ. Τρ. — δ' ἐστι Βευερ. — (2) Χ. Τρ. — τούτου Βευερ. — (3) Λευΐτ. ΙΘ', 27. — (4) ά. Κορ. ΙΑ, 14. — (5) Χ. Τρ. — δι' ἀπονοίας ἐν διασκευῇ Βευερ.

τὸ ἐφικτὸν, καὶ τὸν ἔνδον μᾶλλον ἄνθρωπον, ἤγουν τὴν ψυχὴν, διὰ πάσης ἀρετῆς κοσμεῖν, καὶ μὴ τὸν ἐκτός. Εἰ δέ τις παρὰ τὸν παρόντα κανόνα διάγει ἐφεξῆς, ἀφορισμῷ καθυποβληθήσεται. Φησὶ δὲ καὶ ὁ μέγας Παῦλος· Ἀνὴρ ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι· καὶ ὁ Μωσαϊκὸς δὲ νόμος λέγει ἐν τῷ Δευτερονομίῳ· Οὐ ποιήσετε σισόην ἐκ τῆς κεφαλῆς ὑμῶν. Σημείωσαι οὖν ταῦτα διὰ τοὺς κλώθοντας, ἢ πλέκοντας, ἢ βάπτοντας, ἢ μετὰ ὕδατος βρέχοντας, ἢ ἄλλως πως πληθύνοντας καὶ καλλωπίζοντας τὰς οἰκείας τρίχας, ἢ ταύταις ἀλλοτρίας συνάπτοντας· ὡσαύτως καὶ διὰ τοὺς καλλύνοντας κατὰ γυναῖκας τὰ περὶ τὴν κεφαλὴν μέρη αὐτῶν (1).

ΑΡΙΣΤ. Οἱ τὰς κόμας ἐν πλοκῆς ἐπινοίᾳ πρὸς λύμην ἐργαζόμενοι τῶν ὁρώντων, ἀφορίζονται.

Τοὺς κομῶντας τὴν κεφαλὴν, καὶ τὰς τρίχας αὐτῶν ἐν πλοκῇ διευθετίζοντας, πρὸς βλάβην τῶν ἁπλουστέρων, καὶ ῥαθύμως βιούντων, ἀφορίζεσθαι ἡ σύνοδος ὥρισε· δεῖ γὰρ ἁγνὴν τὴν ἀναστροφὴν ἡμῶν ἔχειν, καὶ ἐν φόβῳ, καὶ Θεῷ πλησιάζειν, κατὰ τὸ δυνατὸν ἡμῖν, διὰ τῆς ἐν τῷ βίῳ καθάρσεως, καὶ ἀρεταῖς κοσμεῖν τὸν ἔνδον καὶ τὸν ἔξω ἄνθρωπον.

Κανὼν ϞΖ΄.

Τοὺς ἢ γαμετῇ συνοικοῦντας, ἢ ἄλλως ἀδιακρίτως τοὺς ἱεροὺς τόπους κοινοποιοῦντας, καὶ καταφρονητικῶς περὶ αὐτοὺς ἔχοντας, καὶ οὕτως ἐν αὐτοῖς καταμένοντας, καὶ ἐκ τῶν ἐν τοῖς σεβασμίοις ναοῖς (2) κατηχουμένων ἐξωθεῖσθαι προστάσσομεν. Εἰ δέ τις μὴ τοῦτο παραφυλάξοι, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

—

ΖΩΝΑΡ. Ἱεροὺς τόπους, οὐ τοὺς θείους ναοὺς ἐνταῦθα καλεῖ, ἀλλὰ τὰς περὶ αὐτοὺς κατοικίας, οἷά εἰσι τὰ λεγόμενα κατηχούμενα. Οὐδεὶς γὰρ οὕτως ἂν εἴη τολμητίας, ὡς ἐντὸς ναοῦ συνοικεῖν γαμετῇ. Ἐν οἰκίαις δὲ πάνυ συνημμέναις ναοῖς καὶ ἐν

(1) Βευερ. Ἑ. — καὶ αὐτὴν Χ. Τρ. — (2) Χ. Τρ. Βευερ. Βρ. = οἴκοις Π. Κ. Ἐ.

τοῖς κατηχουμένοις ᾤκουν τινὲς, μὴ σεμνῶς ἴσως βιοῦντες, καὶ καταφρονητικῶς εἶχον περὶ τοὺς τόπους τοὺς ἱεροὺς, ἀδιακρίτως οἰκοῦντες ἐν αὐτοῖς, ἀντὶ τοῦ, μὴ διαστέλλοντες, μηδὲ διαχωρίζοντες μέσον ἁγίου καὶ βεβήλου. Τοὺς οὖν οὕτως ἔχοντας, ἐξωθεῖσθαι τῶν κατηχουμένων ὁ κανὼν διατάττεται, καὶ τοὺς μὴ φυλάττοντας αὐτὸν, κληρικοὺς μὲν, καθαιρεῖ· λαϊκοὺς δὲ, ἀφορίζει. Ὅτι δὲ καὶ τὰ συγκείμενα τοῖς θείοις ναοῖς προνομίων ἀξιοῦνται, φησὶ τὸ δωδέκατον κεφάλαιον τοῦ ά. τίτ. τοῦ έ. βιβλίου, περιέχον οὕτω· Μέχρι τῶν ἐπὶ τῆς δημοσίας ἀγορᾶς τῆς ἐκκλησίας ὅρων τὸ ἀσφαλὲς ἐχέτωσαν οἱ προσφυγόντες, τοῖς ἐνδοτέροις λουτροῖς, ἢ κήποις, ἢ οἰκήμασιν, ἢ στοαῖς, ἢ αὐλαῖς χρώμενοι, καὶ κωλυέσθωσαν ἐντὸς τοῦ ναοῦ ὑπνοῦν ἢ ἐσθίειν.

ΒΑΛΣ. Ἱεροὶ τόποι λέγονται οἱ ἀφωρισμένοι τῷ Θεῷ, ἤγουν οἱ θεῖοι ναοὶ, οἱ πρόναοι, τὰ κατηχουμενεῖα, καὶ τὰ περὶ αὐτά. Μηδὲ γάρ εἴπῃς ἱεροὺς τόπους, πάντας τοὺς προσκυρωθέντας ταῖς ἐκκλησίαις, ἤγουν ἐνοικικὰ καὶ λοιπὰ οἰκήματα. Τινὲς γοῦν κατέχοντες ναοὺς, κατῴκουν ἀδιαφόρως μετὰ γυναικῶν (1) ἐν τοῖς περὶ αὐτοὺς κατηχουμενείοις, καὶ οἰκήμασι, μὴ διαστέλλοντες μέσον ἁγίου καὶ βεβήλου, ἀλλ' ἀδιακρίτως τούτοις κεχρημένοι. Ὅθεν καὶ διωρίσαντο οἱ ἅγιοι Πατέρες, τοὺς οὕτω καταφρονητικῶς κοινοποιοῦντας τοὺς ἱεροὺς τόπους, μὴ μόνον ἀπὸ τῶν ἐκκλησιῶν ἐξωθεῖσθαι, κἂν ἔχωσι δίκαια ἐπ' αὐταῖς, ἀλλὰ καὶ ἀπ' αὐτῶν τῶν κατηχουμενείων· διὰ γὰρ τοῦτο, οὐδὲ εἰς νομοθεσίαν ἔφερον τὸ ἐκβάλλεσθαι τούτους ἀπὸ τῶν ναῶν, ὡς εἰδότες εἶναι αὐτὸ ἀναμφίβολον. Ὅτι δὲ ἤθελον οἱ ἔχοντες τὰς ἐκκλησίας, κἂν τὰ κατηχουμενεῖα κατέχειν, εἶπον οἱ Πατέρες, ὡς οὐ μόνον ἀπὸ τῶν ἐκκλησιῶν, ἀλλὰ καὶ ἀπὸ τῶν κατηχουμενείων ἐξωθοῦνται (2). Καλῶς δὲ οὐκ ἐμνήσθησαν ἐκκλησιῶν, ἀλλὰ ἱερῶν τόπων· τὸ γὰρ καταμένειν μετὰ γυναικὸς ἐν ἐκκλησίᾳ, ἀσεβέστατόν (3) ἐστι, καὶ οὐδὲ εἰς ἐνθύμησιν ἦλθε τοῖς Πατράσι τὸ τολμηθῆναι ὅλως παρά τινος τοιοῦτον ἀσέβημα. Κοινοποιοῦνται δὲ οἱ ἱεροὶ τόποι, διὰ τοῦ καταμένειν μετὰ γυναικῶν,

(1) Χ. Τρ. — μετὰ τῶν γυναικῶν Βευερ. — (2) Χ. Τρ. — ἵνα ἐξωθῶνται Βευερ. — (3) Βευερ. — ἀσέβαστον Χ. Τρ.

δι' ἀλαλαγῆς (1) μελισμάτων ἀσχημόνων καὶ ἀπρεπῶν, καὶ διὰ κατασκευῆς παρακελλίων, ἢ μαγειρείων, ἢ ἄλλων τοιούτων. Τοὺς μέν τοι παραβάτας τοῦ κανόνος, κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι διορίζονται· λαϊκοὺς δὲ, ἀφορίζεσθαι. Ἀνάγνωθι καὶ τὸ ιϐ'. κεφ. τοῦ ά. τίτλου τοῦ έ. βιϐλίου, ὅπερ κατεστρώθη εἰς τὴν ἑρμηνείαν τοῦ ος'. κανόνος· καὶ μὴ ἐναντιωθῇ σοι, διδάσκον ὅρια τῆς ἐκκλησίας εἶναι τὰ λουτρὰ, καὶ τοὺς κήπους, καὶ τὰς στοὰς ταύτης, καὶ διὰ τοῦτο μὴ δύνασθαί τινα ἀφέλκειν ἐκ τούτων τοὺς πρόσφυγας· κατὰ τοῦτο γὰρ καὶ μόνον δοκοῦσι καὶ ταῦτα τῆς ἐκκλησίας μέρη. Ἐπείτοι γε καὶ αὐτὸ τὸ κεφ. διορίζεται, ἐν τούτοις καὶ ὑπνοῦν, καὶ ἐσθίειν, ἅπερ εἰς τὸν ναὸν ἐκωλύθησαν γίνεσθαι. Τὸ μέντοι κά.(2) κεφ. τοῦ αὐτοῦ βιϐλίου καὶ τίτλου, καὶ ἀπὸ τῆς ἐκκλησίας, καὶ ἀπὸ τῶν ὅρων αὐτῆς ἐξέλκειν διορίζεται τοὺς ἀνδροφόνους, τοὺς μοιχοὺς, καὶ τοὺς ἅρπαγας· τοῖς γὰρ τοιούτοις τόπος ἀσυλίας (3) οὐκ ἔστιν· ὅτι, φησὶν, οὐ τοῖς ἀδικοῦσιν, ἀλλὰ τοῖς ἀδικουμένοις οἱ νόμοι βοηθοῦσιν. Ἀνάγνωθι καὶ τὴν ογ'. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, παρομοίως κολάζουσαν καὶ τοὺς ἐπιτρέποντας τὴν εἰς τὰ κατηχουμενεῖα κατοικίαν.

ΑΡΙΣΤ. Ὁ ὑπογύναιος, καὶ καταφρονητικῶς μένων ἐν τῷ ναῷ (4), ἐξωθείσθω καὶ τῶν κατηχουμενείων· εἰ δὲ μὴ παραφυλάττοι, καθαιρείσθω, ἢ ἀφοριζέσθω.

Οἱ κοινοποιοῦντες τοὺς ἱεροὺς οἴκους, καὶ ἐν αὐτοῖς καταφρονητικῶς καταμένοντες, κἂν ἄζυγοί εἰσιν, ἐξωθοῦνται καὶ τῶν κατηχουμενείων· ὡσαύτως καὶ οἱ γυναιξὶ συνοικοῦντες, καὶ οἰκοῦντες ἐν αὐτοῖς. Καὶ ὅστις τοῦτο οὐ παραφυλάξει, ἀλλ' ἀδιακρίτως ἔχει περὶ αὐτοὺς τοὺς θείους ναοὺς, εἰ μὲν κληρικός ἐστι, καθαιρεῖται· εἰ δὲ λαϊκὸς, ἀφορίζεται.

Κανὼν ϞΗ'.

Ὁ ἑτέρῳ μνηστευθεῖσαν γυναῖκα, ἔτι τοῦ μνηστευσαμέ-

(1) Βευερ. Ἐ. — δι' ἀλλαγῆς Χ. Τρ. — (2) ιϐ'. Βασιλ. 5. 1. — (3) Χ. Τρ. — ἡσυχίας Ἐ. — (4) ἐν ἱερῷ Β.

νου (1) ζῶντος, πρὸς γάμου κοινωνίαν ἀγόμενος, τῷ τῆς μοιχείας ὑποκείσθω ἐγκλήματι.

ΖΩΝΑΡ. Νῦν μὲν ἡ μνηστεία γάμῳ ἰσοδυναμεῖ, ἐκ νεαρᾶς τοῦ βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ. Καὶ πάλαι δὲ, ἐπεὶ φίλημα τῶν μνηστευομένων ἐπὶ τῇ μνηστείᾳ ἐγίνετο, καὶ ἀῤῥαβὼν τῇ γυναικὶ παρείχετο παρὰ τοῦ ἀνδρὸς, εἰκότως καὶ τότε ὁ ζῶντος τοῦ μνήστορος τὴν μνηστὴν εἰς γάμον ἀγόμενος τῷ τῆς μοιχείας ἐγκλήματι καθίστατο ἔνοχος· κἂν ἐξῆν τότε λύειν τὴν μνηστείαν, τῆς ποινῆς τοῦ προστίμου παρεχομένης· ἀλλὰ, μήπω τῆς μνηστείας λυθείσης, μνηστὴ ἦν ἡ γυνὴ ἑτέρου, καὶ ὁ ταύτην λαβὼν μοιχὸς εἰκότως ἐκρίνετο. Ὅπου δὲ οὔτε φίλημα, οὔτε δόσις ἀῤῥαβῶνος παρηκολούθησεν, ὡς νῦν γίνεται ἐπὶ τῶν λεγομένων δεσμῶν, κἂν ἕτερος λάβῃ τὴν γυναῖκα, οὐχ ὑποπεσεῖται τῷ τῆς μοιχείας ἐγκλήματι.

Ἑτέρα ἑρμηνεία (2).

Ἔτι δηλονότι τῆς μνηστείας νόμῳ συνισταμένης, καὶ διαζυγίου μὴ σταλέντος· δεῖ γὰρ, φησὶν ὁ νόμος, ὡς ἐπὶ γάμου διαλύσεως, οὕτω δὴ καὶ ἐπὶ μνηστείας, στέλλεσθαι διαζύγιον, δι' εὔλογον τυχὸν αἰτίαν· ἢ τὴν ὡς ἀνυποστάτου τυχὸν τοῦ γάμου διὰ τὸ ἀθέμιτον, ἢ καινοτάτην θρησκείαν ἀγνοηθεῖσαν, ἢ διὰ τὴν τῶν τρόπων αἰσχρότητα, ἢ τύχης ἐναλλαγὴν, ἢ ἐγγάστριον ἐξ ἀλλοτρίων σπερμάτων φωραθὲν, ἢ γάμων ὑπέρθεσιν ὑπὲρ τετραετίαν μὴ ἐξ εὐλόγου αἰτίας ἐκταθεῖσαν, διὰ νόσον χρονίαν ἴσως, ἢ θάνατον γονέων, ἢ κεφαλικὰ ἐγκλήματα, ἢ μακρὰς ἀποδημίας ἐξ ἀνάγκης γενομένας· ἔτι δὲ διὰ βίαν ἄρχοντος ἐπαρχίας μνηστευομένης τῆς τε κόρης, καὶ τῶν αὐτῆς γονέων μὴ συναινούντων, ἢ δι' ἀπόκαρσιν ἀληθῆ καὶ πρὸς μονήρη βίον ἀπόκλισιν, ἢ τὸ μὴ δύνασθαι τὴν γυναῖκα τεκνοποιεῖν, ἢ τὸν ἄνδρα τὰ τῶν ἀνδρῶν

---

(1) Π. Ἑ. Κ. Βευερ. — τοῦ μεμνηστευμένου Χ. Τρ.

(2) Ἡ δευτέρα αὕτη ἑρμηνεία εὕρηται ἐν τῷ Ἀμερβαχιανῷ Κώδικι, κατὰ τὴν μαρτυρίαν τοῦ Βευερ. παρατιθέντος αὐτὴν ἐν ταῖς Σημ. αὐτοῦ Τόμ. Βʹ. σελ. 164. Ὡσαύτως καὶ ἐν ἑτέροις δυσὶ χειρογράφοις, ἐξ ὧν κατεχώρησεν αὐτὴν ὁ Κιντῖνος ἐν τῷ παραρτήματι τῆς ἐκδόσεως τοῦ Ζωναρᾶ· οὐ κεῖται δὲ ἐν Χ. Τρ.

ἐνεργεῖν, ἢ τὸ εἶναι βουλευτὴν, ἢ τὸ τῷ δημοσίῳ ὑποκεῖσθαι αὐτοῦ τὴν οὐσίαν, ἢ ἄλλῳ βαρυτάτῳ λειτουργήματι ἔνοχον εἶναι. Ὁ γάρ, τινος τούτων τῶν ἀπηριθμημένων τὴν συστᾶσαν ἤδη μνηστείαν μὴ διαστήσαντος, ἢ διασπαράξαντος, τὴν ἑτέρῳ μνηστευθεῖσαν ἀγαγόμενος, ἔτι τοῦ μνηστευσαμένου ζῶντος, τῷ ἐγκλήματι τῶν μοιχῶν εἰκότως ὑπόκειται· μοιχεία γὰρ, ἀλλ' οὐ γάμος, τὸ γινόμενον. Εἰ γὰρ ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται, κατὰ τὴν τῆς αὐτοαληθείας ἀπόφασιν, ὁ τὴν μὴ νόμῳ τοῦ μνηστῆρος λελυμένην ἀγαγόμενος, ποῦ τετάξεται; Καὶ ἐν τῇ Παλαιᾷ δὲ, παραπλησίως τῷ μοιχῷ κολάζεται ὁ φθείρων τὴν ἄλλῳ μεμνηστευμένην, ἐπειδὴ τὰ τῆς μνηστείας αὐτοὺς συνήρμοσε σύμβολα, ὅθεν καὶ γυναῖκα αὐτὴν προσηγόρευσεν· Ἐταπείνωσε γάρ, φησι, τὴν γυναῖκα τοῦ πλησίον(1)· οὕτω δὲ καὶ ἡ ἁγία Παρθένος γυνὴ τοῦ Ἰωσὴφ ἐχρημάτισε· Μὴ φοβηθῇς γάρ, φησι, παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου.

ΒΑΛΣ. Τὴν μνηστείαν οἱ νομοθέται ὁρίζονται μνήμην καὶ ἐπαγγελίαν τῶν μελλόντων γάμων. Ἔλεγον γοῦν τινες, ὡς, εἴ τις τὴν ἑτέρῳ μνηστευθεῖσαν κατὰ νόμον γάμου ἀγάγηται, οὐκ ἔςι μοιχὸς, ἀλλ' οὐδὲ πόρνος· πορνείαν μὲν γὰρ οὐχ ἥμαρτεν, ὅτι νομίμως συνεζύγη μετὰ ταύτης· μοιχείαν δὲ οὐκ ἐπλημμέλησεν, ὅτι ὕπανδρος οὐκ ἔτι ἐστί. Τοῦτο τοίνυν μὴ παραδεξάμενοι οἱ ἅγιοι Πατέρες, ὥρισαν, ὡς μοιχὸν κατακρίνεσθαι τὸν πρὸς γάμου κοινωνίαν λαμβάνοντα τὴν ἑτέρῳ μεμνηστευμένην, ὅτι τε φίλημα προέβη μέσον τῶν μνηστόρων, καὶ ἀρραβῶνες ἐδόθησαν, χάριν ἀσφαλείας τῶν συναλλαξάντων μερῶν· καὶ οὐκ ἄλλως ὁ μνηστὴρ ἑτέραν γυναῖκα λαβεῖν ἠδύνατο, εἰ μὴ κατὰ νόμους τὴν πρώτην μνηστείαν ἔλυσε· καὶ ἀπὸ μὲν τοῦ κανόνος ταῦτα. Πολλῷ δὲ πλέον σήμερον ὡς μοιχὸς κατακριθήσεται ὁ τοιοῦτος, ὅταν, ἀπὸ τῆς περὶ μνηστείας προσκυνητῆς νεαρᾶς τοῦ ἀοιδίμου ἁγίου Βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, ἡ μνηστεία κατὰ πάντα σχεδὸν ἰσοδυναμεῖ τῷ τελείῳ γάμῳ, καὶ ἄλλως οὐ λύεται, εἰ μὴ καθ' οὓς τρόπους καὶ τὸ τέλειον διασπᾶται συνοικέ-

(1) Δευτερ. ΚΒ', 24.

σιον. Μὴ θαυμάσῃς δὲ, ὅτι περὶ τῆς γυναικὸς οὐκ ἐθεσμοθετήθη τι παρὰ τῶν Πατέρων· εἰ γὰρ κολάζεται ὁ ταύτην ἀγόμενος, δυνάμενος ἴσως προβαλέσθαι καὶ ἄγνοιαν, πολλῷ πλέον ἡ γυνὴ τιμωρηθήσεται, ἡ μηδὲν τοιοῦτον εἰπεῖν ἐξισχύουσα, ζῶντος τοῦ μνηστῆρος αὐτῆς. Ἐκεῖνος μέν τοι ὡς μοιχὸς τιμωρηθήσεται, ὁ ἐν εἰδήσει τὴν μεμνηστευμένην ἑτέρῳ γαμήσας· ἡ δὲ γυνὴ, ὡς ἂν ἔχῃ τὸ πρᾶγμα, ὡς μοιχαλὶς κολασθήσεται. Τί δέ; ὁ μὲν εἰς γάμου κοινωνίαν ἀγαγόμενος τὴν ἀλλοτρίαν μνηστὴν, ὡς μοιχὸς κολάζεται, ὁ δὲ πορνεύσας μετὰ ταύτης, οὐ τιμωρεῖται ὡς μοιχός; Λύσις. Εἴτε κατὰ γάμου κοινωνίαν, εἴτε πορνικῶς συμφθαρῇ τις ἐν εἰδήσει, μετὰ τῆς ἑτέρῳ μεμνηστευμένης, ὡς μοιχὸς κολάζεται· μόνος γὰρ ὁ ἀγνοήσας τὴν μνηστείαν, ὡς πόρνος τιμωρεῖται. Πρόσκειται δὲ τῷ κανόνι τὸ πρὸς γάμου κοινωνίαν ἀγαγέσθαι τινὰ τὴν τοῦ ἑτέρου μνηστὴν, διὰ τὴν δηλωθεῖσαν αἰτίαν ἐν τῇ ἀρχῇ τῆς ἑρμηνείας· καὶ ταῦτα μὲν περὶ μεμνηστευμένης ἑτέρῳ γυναικός. Εἰ γὰρ οὐ προέβη μνηστεία, ἀλλὰ συμφωνία, δόσει προστίμου κατωχυρωμένη, οἷά εἰσι τὰ σήμερον γινόμενα δεσμωτικὰ χαρτία (1), οὐ τιμωρηθήσεταί τις ἐκ τούτου, ὡς παραβαίνων τὰ σύμφωνα, καὶ συναλλάττων μεθ' ἑτέρου προσώπου γάμον. Γίνωσκε δὲ, ὅτι καὶ ἀπὸ τοῦ Μωσαϊκοῦ νόμου, ἡ μνηστεία ὡς γάμος ἐλογίζετο· καὶ ἡ μνηστὴ, γαμετὴ κατωνομάζετο, καὶ ὁ ταύτην ἀγόμενος ἕτερος ἀνὴρ, ὡς μοιχὸς ἐκολάζετο. Φησὶ γὰρ ὁ νόμος ἐν τῇ Παλαιᾷ· Καὶ ἐταπείνωσε τὴν γυναῖκα τοῦ πλησίον, ἤγουν διεπαρθένευσε τὴν μνηστὴν τούτου. Καὶ ἡ ἁγία Παρθένος καὶ θεομήτωρ, οὕτω γυνὴ τοῦ Ἰωσὴφ ἐχρημάτισε. Φησὶ γὰρ τὸ θεῖον καὶ ἱερὸν Εὐαγγέλιον· Μὴ φοβηθῇς παραλαβεῖν Μαρίαν τὴν γυναῖκά σου. Ἀνάγνωθι καὶ τὴν λγ'. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Φιλοσόφου, διοριζομένην λύεσθαι τὴν μνηστείαν, ἐὰν μετὰ ταύτην ἡ γυνὴ φωραθείη ἐγκυμονοῦσα ἐκ προϋποδοχῆς ἀλλοτρίων σπερμάτων.

---

(1) Βουρ. — τὸ, χαρτία, οὐ κεῖται ἐν Χ. Τρ.

Ἑτέρα ἑρμηνεία (1).

Σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι καὶ πρὸ τῆς νεαρᾶς τοῦ βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, οὐκ ἐλύετο ἡ μνηστεία, εἰ μὴ ἀπὸ εὐλόγων αἰτίων· διὰ γὰρ τοῦτο καὶ τῷ τῆς μοιχείας ὑπέπιπτεν ἐγκλήματι ὁ συναπτόμενος πορνικῶς, ἢ γαμικῶς, τῇ ἑτέρῳ μεμνηστευμένῃ. Γίνωσκε δὲ καὶ τοῦτο, ὅτι οἱ μὲν ἅγιοι Πατέρες, ὡς ὁ κανών φησι, τῷ τῆς μοιχείας ἐγκλήματι καθυποβάλλουσι τὸν εἰς γάμον ἀγαγόμενον μνηστὴν ἑτέρου. Τινὲς δὲ τῶν λογίων (2), δῆθεν κατὰ συμπάθειαν* (3), τῆς τοιαύτης ἐνοχῆς εὐμεθόδως αὐτὸν ἀπαλλάττουσι. Λέγουσι γὰρ (4), ὡς ἐὰν πρὸ τοῦ γάμου συνέλθωσιν ὅ τε μνηστὴρ καὶ ἡ μνηστὴ, καὶ τέξωσι παῖδα, φυσικὸν εἶναι τοῦτον καὶ πορνογενῆ, ἑνὸς τῶν μνηστήρων τελευτήσαντος πρὸ τοῦ γάμου. Ἡμεῖς δέ φαμεν, ὅτι καὶ πρὸ τῆς νεαρᾶς τοῦ βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, τῆς ἐξισωσάσης τὴν μνηστείαν κατὰ πάντα τῷ γάμῳ, τοῖς μνηστῆρσι γαμικὰ κατ' ἀλλήλων παρὰ τῶν νόμων ἐδόθησαν δίκαια· ἥ τε γὰρ μνηστὴ, πρὸ τῶν γάμων λυομένης τῆς μνηστείας, τὴν περὶ προικὸς ἀγωγὴν ἐκίνει, χάριν τῆς δοθείσης τῷ μνηστῆρι προικὸς (5), κατὰ τὸ ϐ'. θέμα τοῦ ιζ'. κεφ. τοῦ ζ'. τίτ. τοῦ θ'. βιϐλίου, λέγον· Ἡ μνηστὴ διδοῦσα προῖκα, εἰ μὴ γαμηθῇ, ἔχει τὸ τῆς προικὸς προνόμιον· καὶ κατὰ τὸ οδ'. κεφ. τοῦ ά. τίτ. τοῦ κθ'. βιϐλίου, λέγον· Ἡ μνηστὴ παρεχομένη προῖκα, καὶ μὴ γαμηθεῖσα, καὶ ἡ ἥττων τῶν δώδεκα ἐτῶν, προνόμιον ἔχει ἀπαιτήσεως κατὰ μίμησιν τῆς προικός· τὸ δὲ προνόμιον ἐν ταῖς προσωπικαῖς ἀγωγαῖς χώραν ἔχει. Καὶ ὁ μνηστὴρ, κατά τε τὸν παρόντα κανόνα, καὶ κατὰ τὸ ή. κεφ. τοῦ νη'. τίτλου τοῦ ξ'. βιϐλίου, καὶ κατὰ τὸ γ'. θέμα τοῦ ιϐ'. κεφ. τοῦ λϐ'. τίτλου τοῦ ξ' βιϐλίου, δικαίῳ ἀνδρὸς ἐκίνει τὸ μοιχικὸν κατά τε τῆς μνηστῆς ἑτέρῳ συμφθαρείσης πρὸ τοῦ γάμου, καὶ κατὰ

(1) Ἡ ἑρμηνεία αὕτη οὐ κεῖται παρὰ 'Ε. οὐδ' ἐν ἄλλῳ Κώδ. εὗρεν αὐτὴν ὁ Βευερ. παρὰ τὸν Βοδληϊάνειον. Ἀλλ' ἀναγινώσκεται καὶ ἐν Χ. Τρ. ἀπὸ τοῦ, Οἱ μὲν ἅγιοι Πατέρες, ὡς ὁ κανών φησι, κτλ.

(2) Βευερ. — πλουσίων Χ. Τρ. — (3) Χ. Τρ. — (4) Βευερ. — ἐν δὲ Χ. Τρ. οὕτω· φυσικὸν εἶναι καὶ πορνογενῆ τὸν ἀπὸ τοῦ μνηστῆρος γεννηθέντα παρὰ τῆς μνηστῆς, ἐὰν αὕτη τελευτήσῃ πρὸ τοῦ γάμου. Φαμὲν οὖν ὅτι καὶ πρὸ τῆς Νεαρᾶς κτλ. — (5) χάριν τῶν δοθέντων τῷ μνηστῆρι προικῴων πραγμάτων Χ. Τρ.

τοῦ ταύτην μοιχεύσαντος. Εἰ γοῦν πρὸ τῆς νεαρᾶς τοιαῦτα δίκαια εἶχον κατ' ἀλλήλων οἱ μνηστῆρες, πολλῷ πλέον μετὰ τὴν νεαρὰν, τὴν διοριζομένην ἰσοδυναμεῖν κατὰ πάντα τὴν μνηστείαν τῷ γάμῳ, διὰ τὴν τῶν ἁγίων καὶ θείων εὐχῶν τελετήν· διὸ καὶ ὁμόζυγος ὁ μνηστὴρ κληθήσεται τῆς ἰδίας μνηστῆς· καὶ ὁ ἐξ αὐτῆς γεννηθεὶς, γνήσιος αὐτῶν ἔσται παῖς καὶ κληρονόμος, καὶ ὑπεξούσιος τῷ πατρί· ἐκ τοῦ μὴ γενέσθαι τὸν γάμον, κατὰ μηδένα λόγον ἐμποδιζόμενος.

ΑΡΙΣΤ. Μοιχός ἐστιν ὁ τὴν ἑτέρῳ μνηστευθεῖσαν ἀγόμενος. Σαφής.

Κανὼν ϞΘ'.

Καὶ τοῦτο δὲ ἐν τῇ Ἀρμενίων χώρᾳ γίνεσθαι μεμαθήκαμεν· ὥς τινες ἔνδον ἐν τοῖς ἱεροῖς θυσιαστηρίοις μέλη κρεῶν ἕψοντες, προσάγουσιν, ἀφαιρέματα τοῖς ἱερεῦσιν Ἰουδαϊκῶς ἀπονέμοντες. Ὅθεν τὸ τῆς ἐκκλησίας φυλάττοντες ἀκηλίδωτον, ὁρίζομεν, μὴ ἐξεῖναί τινι τῶν ἱερέων ἀφωρισμένα κρεῶν μέλη παρὰ τῶν προσαγόντων λαμβάνειν, ἀλλ' οἷς ἀρεσθῇ ὁ προσάγων, τούτοις ἀρκείσθωσαν, ἔξω τῆς ἐκκλησίας τῆς τοιαύτης γινομένης προσαγωγῆς. Εἰ δέ τις μὴ τοῦτο οὕτω ποιῇ, ἀφοριζέσθω.

ΖΩΝΑΡ. Οἱ θύοντες παρ' Ἰουδαίοις προσῆγον τοῖς ἱερεῦσιν ἐκ τοῦ τεθυμένου ζώου τὸ στηθύνιον, καὶ ἕτερα τοῦ ζώου μέρη, ἃ καὶ λόγους εἶχον, δι' οὓς προσήγοντο, καὶ ἀναγωγάς. Παρὰ δὲ τοῖς Ἀρμενίοις, ζώων μὲν θυσίαι οὐκ ἐπράττοντο· ἐπεὶ τὸ ζῶα προσάγειν εἰς θυσίαν ἀπηγόρευται τοῖς Χριστιανοῖς· ἕψοντες δὲ κρέα τοῦ θυσιαστηρίου ἐντὸς, ἐξ ἐκείνων προσῆγον τοῖς ἱερεῦσιν ὡρισμένα τινά· ὅπερ, ὡς Ἰουδαϊκὸν, κωλύει ἡ σύνοδος. Καὶ τὸ μὲν ἕψειν ἐν ἐκκλησίᾳ, ἢ ὡρισμένα προσάγειν ἐν αὐτῇ τοῖς ἱερεῦσιν, ἀπαγορεύει· τὸ δὲ προσάγειν αὐτοῖς οἷα καὶ ὅσα οἱ προσάγοντες βούλονται, ἔξω τῆς ἐκκλησίας ἐφῆκε· καὶ τοῦτο δὲ πάντως διὰ τὴν κρατήσασαν παρ' ἐκείνοις συνήθειαν ἐφῆκεν ἡ σύνοδος· ἀφαίρεμα δὲ, τὸ προσαγόμενον λέγεται, ὡς ἐκ τοῦ ὅλου θύματος ἀφαιρούμενον.

ΒΑΛΣ. Οἶδας, ὅτι, τοῦ Μωϋσέως κελεύσαντος τοῖς Ἰσραηλίταις, κατὰ τὸν καιρὸν τῆς ἀπὸ τῆς Αἰγύπτου ἐξελεύσεως αὐτῶν, σφαγιάσαι ἀμνὸν, καὶ χρίσαι διὰ τοῦ αἵματος τούτου τὰς φλιὰς τῶν οἰκιῶν αὐτῶν, ὅπως φύγωσι τὸν ἐκ τοῦ ὀλοθρευτοῦ τῶν πρωτοτόκων κίνδυνον, δέδοκται παρ' Ἰουδαίοις διὰ θυσίας ἀμνοῦ καὶ ἄλλων τινῶν ζώων ἐξιλεοῦσθαι τὸν Θεὸν ἐν ἡμέραις τισίν· ἡ δὲ θυσία αὕτη ἐν ἄλλῳ μὲν τόπῳ ἐγίνετο, ἐν ἑτέροις δὲ τὰ κρέα ἐψεῖτο, καὶ ἐμερίζετο. Τινὰ γοῦν μέρη τοῦ θυομένου ζώου τοῖς ἱερεῦσι προσήγοντο διὰ λόγους τινὰς, περὶ ὧν οὐκ ἔςι καιρὸς λέγειν. Ἐπεὶ δὲ μεμαθήκασιν οἱ ἅγιοι Πατέρες, ὡς ἐν τῇ χώρᾳ τῶν Ἀρμενίων θυσίαι μὲν διὰ ζώων οὐ γίνονται, μέρη δὲ κρεῶν ἐντὸς τοῦ θυσιαστηρίου ἕψονται, καὶ ἐκ τούτων ἀφαιρέματά τινα, ἤγουν ἀφωρισμένα μέλη, πόδας τυχὸν καὶ κεφαλὰς, ἢ ἕτερόν τι τοιοῦτον, τοῖς ἱερεῦσιν Ἰουδαϊκῶς προσάγουσιν, ὥρισαν, μήτε ἐντὸς τοῦ θυσιαστηρίου μέλη κρεῶν ἕψεσθαι, μήτε ἐκτὸς αὐτοῦ προσάγεσθαι τοιαῦτα ἀφωρισμένα μέλη τοῖς ἱερεῦσι, κατὰ τὸ πάλαι κρατοῦν ἔθος· ἀλλὰ τὴν τοιουτότροπον προσαγωγὴν σχολάσαι, καὶ δεξιοῦσθαι τοὺς ἱερεῖς παρὰ τῶν λαϊκῶν, ἐν οἷς οὗτοι θέλουσιν εἴδεσί τε καὶ πράγμασιν. Ὡς ἔοικε δὲ, διὰ τὴν κρατήσασαν ἐν Ἀρμενίοις συνήθειαν, ἐνέδωκαν οἱ Πατέρες προσάγειν τοὺς λαϊκοὺς τοῖς ἱερεῦσι τὰ αὐτοῖς αἱρετά· παρ' ἡμῖν γὰρ οὐδεὶς ἀναγκάζεται τοιοῦτόν τι ποιεῖν. Εἴποι δέ τις, πῶς, τοῦ κανόνος διαλαμβάνοντος, περὶ δύο τινῶν γινομένων εἰς τὴν χώραν τῶν Ἀρμενίων, ἤγουν περὶ τοῦ ἕψεσθαι μέλη κρεῶν ἐν τοῖς θυσιαστηρίοις, καὶ περὶ τοῦ ἐντὸς τῆς ἐκκλησίας προσάγεσθαι τοῖς ἱερεῦσιν ἀφαιρέματα, κάτω μόνην τὴν ἐπ' ἐκκλησίας προσαγωγὴν τῶν κρεῶν οἱ Πατέρες ἐκώλυσαν; Λύσις. Τὸ ἐν τοῖς θυσιαστηρίοις μέλη κρεῶν ἕψεσθαι, πάντη παρὰ Χριστιανοῖς ἀπηγόρευται, ἐξότου ἡ διὰ τῶν ζώων ἐπαύθη θυσία, καὶ διὰ τοῦτο εἰπεῖν περὶ αὐτοῦ τοῖς Πατράσιν, οὐκ ἔδοξεν· ὅθεν καὶ περὶ μόνων τῶν ἀφαιρεμάτων, τῶν τοῖς ἱερεῦσι προσαγομένων, ἡ θεσμοθεσία γέγονεν, ὡς τούτου τάχα τοῦ κεφαλαίου εἰσέτι πίπτοντος ὑπὸ ζήτησιν.

ΑΡΙΣΤ. Ἰουδαϊκῶς τινες ἐν ἱεροῖς ἕψουσι κρέα· ὃς τοῦτο οὖν

συγχωρήσειεν, ἢ λάβοι τι ἐξ αὐτῶν, οὐχ ἱερεύς. Εἰ δέ τις οἴκοθεν ἄγοι, ὅδε κατὰ τὸ ἀρέσκον τῷ προσάγοντι λαβέτω, ἔξω τῆς ἐκκλησίας γινομένης τῆς προσαγωγῆς.

Τινὲς ἐν τῇ τῶν Ἀρμενίων χώρᾳ μέλη κρεῶν ἕψοντες ἐν τοῖς ἱεροῖς οἴκοις προσῆγον, ἀφωρισμένα τινὰ τούτων τοῖς ἱερεῦσιν Ἰουδαϊκῶς ποιοῦντες. Τοῦτο γοῦν οἱ Πατέρες μαθόντες γινόμενον, κωλύουσι γίνεσθαι· καὶ προστάττουσι, μὴ ἐξεῖναι τοῖς ἱερεῦσιν ὡρισμένα κρεῶν μέλη ἀπαιτεῖν, ἀλλ' ἐκείνοις ἀρκεῖσθαι, οἷς ἀρέσκεται ὁ προσάγων, τὴν δὲ προσαγωγὴν τούτων ἔξω τῆς ἐκκλησίας γίνεσθαι· εἰ δὲ μή, ἀφορίζεσθαι τὸν ἄλλως ποιοῦντα.

Κανὼν Ρ'.

Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν· καί, Πάσῃ φυλακῇ τήρει σὴν καρδίαν, ἡ Σοφία διακελεύεται(1)· ῥαδίως γὰρ τὰ ἑαυτῶν ἐπὶ τὴν ψυχὴν αἱ τοῦ σώματος αἰσθήσεις εἰσκρίνουσι. Τὰς οὖν τὴν ὅρασιν καταγοητευούσας γραφάς, εἴτε ἐν πίναξιν, εἴτε ἄλλως πως ἀνατεθειμένας (2), καὶ τὸν νοῦν διαφθειρούσας (3), καὶ κινούσας πρὸς τὰ τῶν αἰσχρῶν ἡδονῶν ὑπεκκαύματα (4), οὐδαμῶς ἀπὸ τοῦ νῦν οἱῳδήποτε τρόπῳ προστάσσομεν ἐγχαράττεσθαι· εἰ δέ τις τοῦτο πράττειν ἐπιχειρήσοι, ἀφοριζέσθω.

ΖΩΝΑΡ. Γραφάς τινας, ἤτοι ζωγραφίας, ἀσέμνους ἐν τοίχοις καὶ πίναξιν ἐνεχάραττον, αἳ τοὺς ὁρῶντας ἐξεκαλοῦντο πρὸς ἡδονάς, καὶ πράξεις αἰσχράς, καὶ πρὸς ἐπιθυμίας ἠρέθιζον σαρκικάς. Ταύτας οὖν ὁ κανὼν ἐν οὐδενὶ τόπῳ γίνεσθαι συγχωρεῖ, τάς τε γραφικὰς μαρτυρίας παράγων, καὶ λέγων, ὡς ῥᾳδίως αἱ αἰσθήσεις τὰ δι' αὐτῶν ὁρώμενα, ἢ ἀκουόμενα, τυχόν, εἰσκρίνουσιν ἐπὶ τὴν ψυχήν, ἀντὶ τοῦ, εἰσωθοῦσιν, εἰσάγουσι· διὸ καὶ τοὺς τοιαῦτα ποιοῦντας κολάζει ἀφορισμῷ.

ΒΑΛΣ. Πρώτη τῶν αἰσθήσεων ἡ ὅρασίς ἐστι, καὶ ὀφείλομεν διὰ ταύτης ἐπὶ πᾶν ἀγαθὸν ὁδηγεῖσθαι· οὐ μὴν δὲ αὐτῆς κατὰ

---

(1) Παροιμ. Δ', 23. 25. — (2) Βρ. Χ. Τρ. — ἀνατιθεμένας Π. Κ. Ė. Βευερ. — (3) Π. Βρ. Κ. Ė. = φθειρούσας Χ. Τρ. Βευερ. — (4) ὑπεκκαύσεις Π.

τὸν προπάτορα προδιδόναι τὰς ἐντολὰς τοῦ Θεοῦ. Εἶδε γάρ, φησι, κἀκεῖνος τὸ φυτὸν ὡς ὡραῖον, καὶ ἠπατήθη, καὶ ἔφαγε, καὶ τῷ θανάτῳ ὑπόδικος γέγονεν. Ἐπεὶ τοίνυν τινὲς ἐρωτομανοῦντες, καὶ περὶ τὴν βιοτὴν ἀδιάφοροι, ἐν πίναξιν, ἢ καὶ ἐν τοίχοις, ἢ καὶ ἐν ἄλλοις τισὶν εἴδεσιν εἰκόνιζον ἐρωτίδια, ἢ καί τινα ἕτερα μυσαρὰ, ὅπως τὰς σαρκικὰς αὐτῶν ἐπιθυμίας διὰ τῆς πρὸς ταῦτα ὁράσεως ἐκπεραίνωσιν, ὥρισαν οἱ ἅγιοι Πατέρες, χρησάμενοι καὶ μαρτυρίαις γραφικαῖς, σχολάσαι ταῦτα παντάπασιν, ὡς καταγοητεύοντα, ἤτοι ἀπατῶντα τὴν ὅρασιν, καὶ εἰσκρίνοντα, ἤτοι εἰσβάλλοντα, εἰς τὴν ψυχὴν πᾶν εἴ τι κακὸν, καὶ παραίτια ὄντα αἰσχρῶν καὶ ἀσέμνων τολμημάτων, καὶ διαφθειρόντων τὸ κατ' εἰκόνα Θεοῦ. Τοὺς δὲ τοιοῦτόν τι τολμήσοντας, καθ' οἱονδήτινα τρόπον, ὑπευθύνους εἶναι ἀφορισμῷ. Σημείωσαι τοῦτο· παρὰ γὰρ οἴκοις πλουσίων τινῶν, οὐ μόνον γραφαὶ τοιαῦται, καὶ ταῦτα χρυσόπαστοι, μετὰ πάσης ἀσχημοσύνης ἐξεικονίζονται, ἀλλὰ καὶ διὰ γυψίνων κατασκευασμάτων στηλογραφοῦνται ἀνθρωπόμορφα εἰκονίσματα.

ΑΡΙΣΤ. Αἱ πρὸς τὰ αἰσχρὰ κινοῦσαι τὴν ὅρασιν γραφαὶ, ἀζωγράφητοι· ὁ δὲ παραβαίνων, ἀφορίζεται.

Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, καὶ πάσῃ φυλακῇ τήρει σὴν καρδίαν, ἡ Σοφία διακελεύεται. Διὰ τοῦτο γοῦν δέον ἔκριναν οἱ Πατέρες, τὸ ἐν πίναξιν, ἢ ἐν τοίχοις γίνεσθαι ζωγραφίας πρὸς αἰσχρὰ κινούσας τὴν ὅρασιν, καὶ διαφθειρούσας τὸν νοῦν, κωλύεσθαι· τὸν δὲ παραβαίνοντα τοῦτο, προσέταξαν ἀφορίζεσθαι.

Κανὼν ΡΑ'.

Σῶμα Χριστοῦ, καὶ ναὸν, τὸν κατ' εἰκόνα Θεοῦ κτισθέντα ἄνθρωπον, ὁ θεῖος Ἀπόστολος (1) μεγαλοφώνως ἀποκαλεῖ(2). Πάσης οὖν αἰσθητῆς κτίσεως ὑπερκείμενος ὁ τῷ σωτηρίῳ πάθει τοῦ οὐρανίου τυχὼν ἀξιώματος, ἐσθίων καὶ πίνων Χριστὸν, πρὸς ζωὴν διὰ παντὸς μεθαρ-

(1) ὁ μέγας καὶ θεῖος Ἀπόστολος Παῦλος Βρ. — (2) α'. Κορ. ς', 19. — β'. Κορ. ς', 16. — Ἐφ. Δ', 24.

μόζεται τὴν ἀΐδιον, ψυχὴν καὶ σῶμα τῇ μεθέξει τῆς θείας (1) ἁγιαζόμενος χάριτος· ὥστε, εἴτις τοῦ ἀχράντου σώματος μετασχεῖν ἐν τῷ τῆς συνάξεως βουληθείη καιρῷ, καὶ ἓν πρὸς αὐτὸ (2) τῇ μετουσίᾳ γενέσθαι, τὰς χεῖρας σχηματίζων εἰς τύπον σταυροῦ, οὕτω προσίτω καὶ δεχέσθω τὴν κοινωνίαν τῆς χάριτος. Τοὺς γὰρ ἐκ χρυσοῦ, ἢ ἄλλης ὕλης, ἀντὶ χειρὸς, τινὰ (3) δοχεῖα κατασκευάζοντας πρὸς τὴν τοῦ θείου δώρου ὑποδοχὴν, καὶ διʹ αὐτῶν τῆς ἀχράντου κοινωνίας ἀξιουμένους, οὐδαμῶς προσιέμεθα, ὡς προτιμῶντας τῆς τοῦ Θεοῦ εἰκόνος τὴν ἄψυχον ὕλην καὶ ὑποχείριον. Εἰ δέ τις ἁλῷ τῆς ἀχράντου κοινωνίας μεταδιδοὺς τοῖς τὰ τοιαῦτα δοχεῖα προσφέρουσι, καὶ αὐτὸς ἀφοριζέσθω, καὶ ὁ ταῦτα ἐπιφερόμενος.

ΖΩΝΑΡ. Τινὲς διʹ εὐλάβειαν τάχα, καὶ τιμὴν τῶν θείων δώρων, δοχεῖά τινα χρύσεα, ἢ ἐξ ἄλλης ὕλης τῶν πολυτίμων ποιοῦντες, ἐν ἐκείνοις ἐδέχοντο τὸ ἄχραντον σῶμα τοῦ Κυρίου, καὶ οὕτως αὐτοῦ μετελάμβανον. Ὅπερ ἡ σύνοδος, κἂν διʹ εὐλάβειαν ἐγίνετο, οὐκ ἐδέξατο· παντὸς γὰρ αἰσθητοῦ πράγματος, τιμιώτερον ἡγεῖται τὸν ἄνθρωπον, ὡς Θεοῦ εἰκόνι τετιμημένον, καὶ σῶμα Χριστοῦ γενόμενον, καὶ ναὸν Θεοῦ, κατὰ τὸν θεῖον Ἀπόστολον Παῦλον. Ἐπεὶ οὖν, φησιν, ὑπέρκειται πάσης κτίσεως αἰσθητῆς, καὶ ἐσθίων καὶ πίνων Χριστὸν, διὰ τῆς κοινωνίας ἁγιάζεται ψυχῇ τε καὶ σώματι ὁ τῶν ἁγιασμάτων ἀξιούμενος· εἴ τις ἐν καιρῷ συνάξεως βούλεται τοῦ ἀχράντου σώματος μεταλαβεῖν, προσίτω τὰς χεῖρας ἐκτείνας, καὶ σχηματίσας εἰς τύπον σταυροῦ, καὶ οὕτω δεχέσθω τὴν κοινωνίαν τῆς χάριτος, ἣν ἡμῖν ὁ Κύριος εἰς ἁγιασμὸν ἐχαρίσατο. Οὐδεὶς γὰρ ἄξιος ἀληθῶς ἐστι τῆς αὐτοῦ μεταλήψεως, ἀλλὰ πάντες χάριτι αὐτῆς ἀξιούμεθα, καθὼς καὶ χάριτί ἐσμεν σεσωσμένοι, κατὰ τὸν μέγαν Παῦλον. Τοὺς δὲ

---

(1) Χ. Τρ. — τῇ μετοχῇ τῆς θείας Σ. Ῥ. — ψυχῇ καὶ σώματι μετέχει Βρ. — ψυχῇ καὶ σώματι μεθέξει Βευερ. — (2) Π. Σ. Ῥ. — καὶ ἔμπροσθεν αὐτοῦ Χ. Τρ. Βρ. Βευερ. — (3) Π. Σ. Ῥ. Βρ. — χειρός τινος Βευερ.

τοιαῦτα δοχεῖα κομίζοντας, καὶ δι' αὐτῶν δέχεσθαι βουλομένους τὴν κοινωνίαν, ὡς προτιμῶντας τῆς τοῦ Θεοῦ εἰκόνος τὴν ἄψυχον ὕλην, ἀφορίζεσθαι ὁ κανὼν λέγει, καὶ τοὺς τούτου μεταδιδόντας αὐτοῖς.

ΒΑΛΣ. Κατὰ τοὺς τότε καιροὺς πλούσιοί τινες, τῶν πενεςέρων, ὡς ἔοικε, καταμωκώμενοι, ἐκ χρυσοῦ ἢ ἀργύρου, ἢ ἄλλου τινὸς εἴδους κατασκευάζοντες δοχεῖα ἐν προσχήματι εὐλαβείας καὶ φόβου Θεοῦ, ἐχρῶντο τούτοις ὡσεὶ χερσὶ, καὶ τὸ ἄχραντον σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, κατὰ τὸν καιρὸν τῆς ἁγίας μεταλήψεως, ἐν αὐτοῖς ὑπεδέχοντο. Καὶ ἀρχῆθεν μὲν ἴσως ἐπενοήθη τοῦτο παρά τινων δι εὐλάβειαν, νομιζόντων τάχα μὴ εἶναι ἀξίαν εἰς ὑποδοχὴν τοῦ Κυριακοῦ σώματος τὴν χεῖρα τὴν ἁπτομένην καὶ αἰσχρῶν τινων καὶ ἀναξίων. Καιροῦ δὲ προϊόντος, εἰς ψυχικὴν ἀπώλειαν μετέπεσεν ἡ εὐλάβεια, ὡς τῶν ποιούντων ταῦτα ζητούντων προτιμᾶσθαι τῶν πενεστέρων, καὶ ἄλλως ἀλαζονευομένων. Ἐπεὶ γοῦν ἔδοξε τοῦτο τοῖς Πατράσι παραίτιον σκανδάλων πολλῶν, ἀλλὰ μὴν καὶ ὑβριστικὸν τοῦ ἡμετέρου σώματος, τοῦ κατ' εἰκόνα Θεοῦ πλασθέντος, εἶπον, ὡς, τοῦ μεγάλου Ἀποστόλου Παύλου ἀποκαλοῦντος τὸν ἄνθρωπον σῶμα Χριστοῦ, καὶ εἰκόνα Θεοῦ, καὶ παντὸς κτίσματος τιμιώτερον, ὡς καὶ ἀξιούμενον τῆς τῶν θείων ἁγιασμάτων μεταλήψεως, κἀντεῦθεν κατά τε ψυχὴν καὶ σῶμα ἁγιαζόμενον, οὐκ ὀφείλουσί τινες προτιμᾶσθαι αὐτοῦ τὰ ἐκ χρυσοῦ καί τινων ἑτέρων ὑλικῶν ἄψυχα καὶ ὑποχείρια εἴδη· ἢ μὴν τοὺς παρὰ ταῦτα ποιοῦντας ἀφορίζεσθαι, δηλαδὴ αὐτούς τε τοὺς χρωμένους τοιούτοις τισὶν ὑλικοῖς εἰς ὑποδοχὴν τοῦ σώματος τοῦ Χριστοῦ, καὶ τοὺς μεταδιδόντας τούτου αὐτοῖς. Μὴ θαυμάσῃς δὲ, μηδὲ ἐρωτήσῃς τὴν αἰτίαν, δι ἣν ἔν τισιν ἐκκλησίαις μεταδίδοται τοῖς λαϊκοῖς τὸ ἅγιον σῶμα τοῦ Χριστοῦ, καὶ οὐκ ἐγχειρίζεται τούτοις κατὰ τὴν τοῦ κανόνος περίληψιν· πίστις γὰρ ὀρθὴ, καὶ φόβος Θεοῦ, καὶ εὐλάβεια ἀνύποπτος τοῦτο παρέδωκεν, οὐχὶ τὸ τῶν λαϊκῶν ἀνάξιον. Νομίζω δὲ ὑπὸ τοῦ παρόντος κανόνος ἁλίσκεσθαι τοὺς προβαλλομένους ἀξιώματα καὶ γένη κατὰ τῶν

τῆς ἁγίας μεταλήψεως καιρὸν, καὶ ζητοῦντας προτιμᾶσθαι (1).

ΑΡΙΣΤ. Τὰς παλάμας εἰς σταυρὸν τυποῖ ὁ μεταληψόμενος, καὶ λαμβάνων τῷ στόματι· ὁ δὲ δοχεῖον χρυσοῦν, ἢ ἐξ ἄλλης ὕλης, ἀντὶ χειρὸς σκευάζων, ἀφοριστέος.

Πάσης τῆς αἰσθητῆς κτίσεως ἐπέκεινα ὁ κατὰ εἰκόνα Θεοῦ κτισθεὶς ἄνθρωπος, καὶ σῶμα Χριστοῦ, καὶ ναός ἐστι, κατὰ τὸν Ἀπόστολον. Εἴ τις γοῦν τῆς κοινωνίας μετασχεῖν βουληθείη, καὶ οὐ λάβῃ αὐτὴν τῷ στόματι, ὡς ἐν τύπῳ σταυροῦ σχηματίσας τὴν χεῖρα αὐτοῦ, ἀλλὰ δοχεῖόν τι χρυσοῦν, ἢ ἐξ ἄλλης ὕλης κατασκευάσει ἀντὶ χειρὸς, ὥστε δι' αὐτοῦ τὸ θεῖον δέξασθαι δῶρον, καὶ τῆς μεταλήψεως ταύτης ἀξιωθῆναι, ἀφορισθήσεται [καὶ] αὐτὸς, καὶ ὁ μεταδιδοὺς, ὡς προτιμῶντες τῆς τοῦ Θεοῦ εἰκόνος τὴν ἄψυχον ὕλην καὶ ὑποχείριον.

Κανὼν ΡΒ'.

Δεῖ δὲ τοὺς ἐξουσίαν λύειν καὶ δεσμεῖν παρὰ Θεοῦ λαβόντας, σκοπεῖν τὴν τῆς ἁμαρτίας ποιότητα, καὶ τὴν τοῦ ἡμαρτηκότος πρὸς ἐπιστροφὴν ἑτοιμότητα (2), καὶ οὕτω κατάλληλον τὴν θεραπείαν προσάγειν τῷ ἀῤῥωστήματι, ἵνα μὴ, τῇ ἀμετρίᾳ καθ' ἑκάτερον χρώμενος, ἀποσφαλείη πρὸς τὴν σωτηρίαν τοῦ κάμνοντος. Οὐ γὰρ ἁπλῆ τῆς ἁμαρτίας ἡ νόσος, ἀλλὰ ποικίλη καὶ πολυειδὴς, καὶ πολλὰς τῆς βλάβης τὰς παραφυάδας βλαστάνουσα, ἐξ ὧν τὸ κακὸν ἐπὶ πολὺ διαχεῖται, καὶ πρόσω βαίνει, μέχρις ἂν σταίη τῇ δυνάμει τοῦ θεραπεύοντος. Ὥστε τὸν τὴν ἰατρικὴν ἐν Πνεύματι ἐπιστήμην ἐπιδεικνύμενον, πρότερον χρὴ τὴν τοῦ ἡμαρτηκότος διάθεσιν ἐπισκέπτεσθαι, καὶ εἴτε πρὸς τὴν ὑγείαν νεύει, ἢ τοὐναντίον, διὰ τῶν οἰκείων τρόπων προσκαλεῖται καθ' ἑαυτοῦ τὸ ἀῤῥώστημα, ἐφορᾷν, ὅπως τε τῆς ἐν τῷ μεταξὺ προνοεῖται ἀναστροφῆς (3), καὶ εἰ μὴ τῷ τεχνίτῃ ἀντιπαλαίει, καὶ τὸ τῆς ψυχῆς ἕλ-

---

(1) Ἑ. Βευερ.—τὸ, καὶ ζητοῦντας προτιμᾶσθαι, οὐ κεῖται ἐν Τρ. Χρ.—(2) ἑτοιμασίαν Σ. Ῥ. — (3) τῇ . . . . ἀναστροφῇ Βρ.

κος διὰ τῆς τῶν ἐπιτιθεμένων φαρμάκων αὐξάνει προσαγωγῆς (1), καὶ οὕτω τὸν ἔλεον κατ' ἀξίαν ἐπιμετρεῖν. Πᾶς γὰρ λόγος Θεῷ καὶ τῷ τὴν ποιμαντικὴν ἐγχειρισθέντι ἡγεμονίαν, τὸ πλανώμενον πρόβατον ἐπαναγαγεῖν, καὶ τρωθὲν (2) ὑπὸ τοῦ ὄφεως ἐξιάσασθαι, καὶ μήτε κατὰ κρημνῶν ὠθῆσαι τῆς ἀπογνώσεως, μήτε τὸν χαλινὸν ὑπενδοῦναι (3) πρὸς τὴν τοῦ βίου ἔκλυσίν τε καὶ καταφρόνησιν· ἀλλ' ἑνί γε (4) τρόπῳ πάντως, εἴτε διὰ τῶν αὐστηροτέρων τε καὶ στυφόντων, εἴτε διὰ τῶν ἁπαλωτέρων τε καὶ πρᾳοτέρων φαρμάκων, κατὰ τοῦ πάθους στῆναι, καὶ πρὸς συνούλωσιν τοῦ ἕλκους ἀνταγωνίσασθαι, τοὺς τῆς μετανοίας καρποὺς δοκιμάζοντι, καὶ οἰκονομοῦντι σοφῶς τὸν πρὸς τὴν ἄνω λαμπροφορίαν καλούμενον ἄνθρωπον. Ἀμφότερα τοίνυν εἰδέναι ἡμᾶς χρὴ, καὶ τὰ τῆς ἀκριβείας, καὶ τὰ τῆς συνηθείας (5)· ἕπεσθαι δὲ, ἐπὶ τῶν μὴ καταδεξαμένων τὴν ἀκρότητα (6), τῷ παραδοθέντι τύπῳ, καθὼς ὁ ἱερὸς ἡμᾶς ἐκδιδάσκει Βασίλειος.

ΖΩΝΑΡ. Περὶ πολλῶν ἐπιτιμίων καὶ διαφόρων διαλεχθεῖσα ἡ σύνοδος, καὶ τῶν ἀπαριθμηθέντων πταισμάτων ἑκάστῳ τὸ κατάλληλον ἀποτάξασα, τελευταῖον, διὰ τοῦ παρόντος κανόνος τὸ πᾶν τῇ κρίσει τῶν ἐπισκόπων ἀνέθετο· καὶ χρῆναί, φησι, μὴ μόνον τὴν ποιότητα τῆς ἁμαρτίας σκοπεῖν, εἰ μεγάλη τυχὸν εἴη, ἢ μετρία, ἀλλὰ καὶ τὴν τοῦ ἡμαρτηκότος διάθεσιν, καὶ ὅπως πρὸς τὴν μετάνοιαν διατίθεται· εἰ ἑτοίμως δηλαδὴ ἔχει δέξασθαι φάρμακα στύφοντα καὶ πικραίνοντα, ἢ μαλακώτερον διάκειται, καὶ νωθρότερον πρὸς τὴν θεραπείαν· καὶ οὕτω κατάλληλον προσάγειν τὸ ἴαμα· ἵνα μὴ, δύο, τυχὸν, τῶν τὸ αὐτὸ ἁμαρτησάντων ὄντων· καὶ τοῦ μὲν ἑτοίμου τυγχάνοντος πρὸς

---

(1) μεταγωγῆς Χ. Τρ. — (2) τὸ τρωθὲν Σ. Ῥ. — (3) Π. ἐνδοῦναι Σ. Ῥ. — ἐπιδοῦναι Χ. Τρ. Βευερ. — (4) Π. Βρ. Σ. Ῥ. — ἀλλ' ἐν ἑτέρῳ Βευερ. — ἀλλ' ἑνί τε Χ. Τρ. — (5) συμπαθείας Σ. Ῥ. — (6) ἐπὶ τῶν καταδεξαμένων τὴν ἀκρότητα δέξασθαι Σ. Ῥ.

μετάνοιαν, τοῦ δὲ νωθρότερον διακειμένου, ὁ θεραπεύων αὐτοὺς πρὸς τὸ ἁμάρτημα μόνον ἀποβλέπων, καὶ ἑκατέρῳ αὐτῶν ὁμοίως χρώμενος, ἀποσφαλείη πρὸς τὴν σωτηρίαν τοῦ κάμνοντος. Ὁ μὲν γὰρ ἑτοίμως ἔχων πρὸς τὴν μετάνοιαν, κἂν αὐστηρότερον εἴη τὸ ἐπιτίμιον, δέξεται τοῦτο, καὶ ἑαυτὸν ὑποθήσει τῷ τοῦ αὐτὸν οἰκονομοῦντος θελήματι. Ὁ δὲ μὴ θερμότητα δεικνὺς πρὸς μετάνοιαν, ἀποδυσπετήσει πρὸς τὰ πάνυ στύφοντα φάρμακα, καὶ οὐ μόνον οὐκ ἰαθήσεται, ἀλλὰ καὶ εἰς ἀπόγνωσιν ἴσως ἐμπεσών, χείροσιν ὑποπεσεῖται πλημμελείαις. Πολυειδὴς γάρ, φασὶν οἱ Πατέρες, καὶ ποικίλη τῆς ἁμαρτίας ἡ νόσος, καὶ πολλὰς παραφυάδας τῆς βλάβης βλαςάνουσα· ἐξ ὧν παραφυάδων τὸ κακὸν διαχεῖται, πλατύνεται δηλαδὴ καὶ πρόεισιν, ἕως ἂν τοιοῦτον γένηται, ὥςε ὑπερνικᾷν καὶ τὴν τοῦ θεραπεύοντος δύναμιν. Διὰ ταῦτά, φασι, τὸν πνευματικὸν ἰατρὸν δεῖ πρῶτον τὴν τοῦ ἡμαρτηκότος διάθεσιν κατασκοπεῖν, εἴτε θερμῶς μετανοεῖ, καὶ ὑγείας ὀρέγεται, εἴτε μᾶλλον τὴν νόσον αὔξει καθ' ἑαυτοῦ διὰ τρόπων κακίαν, καὶ πῶς μετὰ τὴν ἁμαρτίαν ἀναστρέφεται καὶ βιοῖ, καὶ εἰ μὴ τῷ τεχνίτῃ ἀντιπαλαίει, ὅπερ γίνεται ἐπὶ τῶν μανίαν νοσούντων· ἐκεῖνοι γὰρ τοῖς ἰατρεύουσιν αὐτοὺς ἀνθίστανται, καὶ οὐκ ἐῶσι προσάγειν αὐτοῖς τὰ σωτήρια φάρμακα. Σκοπεῖν δὲ καὶ τοῦτο, μήποτε ἰατρεύων, καὶ φάρμακα προσάγων, διὰ τῆς ἐπιθέσεως αὐτῶν αὐξάνῃ τὸ ἕλκος τὸ ψυχικόν· καὶ οὕτω τὸν ἔλεον κατ' ἀξίαν ἐπιμετρεῖν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅτι προσέχειν δεῖ τὸν πνευματικὸν ἰατρὸν τῇ διαθέσει τοῦ κάμνοντος, καὶ μήτε τῷ μικροψύχῳ ἐπιτιθέναι πάνυ στύφοντα φάρμακα, ἵνα μὴ μᾶλλον αὔξῃ τὸ ἕλκος, ἀπαγορεύσαντος πρὸς τὴν θεραπείαν ἐκείνου, μήτε τῷ δυναμένῳ τὰ αὐστηρότερα δέχεσθαι, μαλακώτερον προσφέρεσθαι, ὥστε διὰ τὴν μαλακότητα τῶν ἐπιτιμίων, ἐμπίπτειν ἐκεῖνον εἰς τὸ αὐτὸ πάθος, καὶ εἰς μεῖζον ἴσως· ἀλλ' ἐπιμετρεῖν τὸν ἔλεον κατ' ἀξίαν, ἤγουν ἐλεεῖν ἕκαςον ἀξίως τῆς αὐτοῦ διαθέσεως· καὶ ἐλαφρύνειν μὲν τῷ μικροψύχῳ τὴν ἐπιτίμησιν, βαρύνειν δὲ τῷ μεγαλοψύχῳ αὐτήν· καὶ ἀμφότερα δι' ἔλεον ποιεῖν, ἵνα τὸν μὲν ἐκκαθάρῃ τοῦ ῥύπου, τῷ δὲ μὴ ἐπιξέσῃ τὸ τραῦμα, καὶ χεῖρον τὸ ἕλκος ἐργάσηται. Ἡ γὰρ

πᾶσα φροντὶς καὶ σπουδὴ τῷτε Θεῷ, καὶ τῷ ψυχῶν ποιμένι, τοῦτό ἐστι· τὸ τὸ πλανώμενον πρόβατον ἐπαναγαγεῖν, καὶ τὸ φαρμαχθὲν ὑπὸ τοῦ ὄφεως ἐξιάσασθαι, καὶ μήτε διὰ τῆς αὐστηρίας ὠθῆσαι κατὰ κρημνοῦ τῆς ἀπογνώσεως, μήτε διὰ χαυνότητος, καὶ τῶν ἁπαλωτέρων φαρμάκων, ἐνδοῦναι αὐτῷ τὸν χαλινὸν, ὡς ἵππῳ, ὥστε σκιρτᾷν, καὶ βίον ἔκλυτον ζῆν, ἀλλὰ σπεύδειν ἀντιστῆναι τῷ πάθει, εἴτε δι' αὐστηρίας, εἴτε διὰ πρᾳότητος, ὡς ἂν διαθέσεως ἔχῃ πρὸς αὐτὰ ὁ θεραπευόμενος. Τοῦτο δ' ἔσται, εἰ δοκιμάζει καὶ καταστοχάζεται τοὺς τῆς μετανοίας αὐτῶν καρπούς· καὶ οἰκονομεῖν τὸν πρὸς τὴν ἄνω λαμπροφορίαν, ἤγουν τὴν τῶν οὐρανῶν βασιλείαν, καλούμενον ἄνθρωπον. Ἀμφότερα οὖν ἐνδέχεται ἡμᾶς γινώσκειν, φασὶν οἱ τῆς συνόδου Πατέρες, καὶ τὰ τῆς ἀκριβείας, καὶ τὰ τῆς συνηθείας, ἢ συμπαθείας. Γράφονται γὰρ καὶ ἀμφότερα, ἤγουν, καὶ ὅσα ἡ ἀκρίβεια βούλεται, καὶ ὅσα τὸ συμπαθὲς ἀπαιτεῖ, εὐκαίρως καὶ σὺν διακρίσει γινόμενον· *Οὕτω δὲ καὶ ὁ μακάριος Παῦλος ἔγραψε Θεσσαλονικεῦσι (1), περὶ τῶν ἀτάκτως ἐν αὐτοῖς διαγόντων, λέγων· Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ, ἵνα ἐντραπῇ· Καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν· ταῦτα γὰρ ἐλέου καὶ συμπαθείας εἰσὶν*(2), ἢ τὰ τῆς συνηθείας, ἤγουν τὰ τοῦ ἔθους τοῦ χρόνῳ δοκιμασθέντος καὶ βεβαιωθέντος, ὃ καὶ ὡς νόμον κρατεῖν, καὶ οἱ θεῖοι κανόνες, καὶ οἱ τῆς πολιτείας νόμοι κελεύουσι. Καὶ ὁ μέγας δὲ Βασίλειος, ἐπὶ τῶν μὴ καταδεχομένων τὴν ἀκρότητα τῶν παραδοθέντων τύπων, ἕπεσθαι τῇ συνηθείᾳ ἐδίδαξε. Τὴν ἄνω δὲ λαμπροφορίαν εἶπεν, ὅτι τοῖς θείοις Πατράσι καὶ διδασκάλοις βασιλεία τῶν οὐρανῶν πρὸ τῶν ἄλλων ἡ ἔλλαμψις κέκριται, ἡ ἐκ τῆς θείας φύσεως, καὶ τὸ νοῆσαι τελεώτερον *τὸν Θεόν* (3).

ΒΑΛΣ. Καὶ ἐν ἄλλαις συνόδοις ὡρίσθη, τὸν κατὰ χώραν ἐπίσκοπον, τὸν ἀπὸ τῆς χάριτος τοῦ παναγίου Πνεύματος ἐξου-

(1) Β'. Θεσσαλ. Γ', 14. 15. — (2) Τὰ μεταξὺ τῶν* οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. ἀλλ' ἐν Χ. Τρ. μόνον. — (3) Χ. Τρ. — οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. ἀλλ' ἐν τῇ Λατινικῇ μεταφράσει μόνον.

σίαν λαβόντα δεσμεῖν καὶ λύειν, μὴ πάντοτε προσέχειν τοῖς θεσμοθετηθεῖσι παρὰ τῶν κανόνων, χάριν τῶν ἐπιτιμίων, ἀλλ' οἰκονομεῖν ταῦτα, πρὸς τὰ πρόσωπα τὰ ἐπιτιμώμενα, ἤγουν πρὸς τὰς ἡλικίας αὐτῶν, καὶ πρὸς τὰς διαθέσεις, καὶ πρὸς τὰ ἐπιτηδεύματα, ἀλλὰ μὴν καὶ πρὸς τὴν ποιότητα τοῦ ἁμαρτήματος· καὶ οὕτω προσάγειν ἑκάστῳ ἀῤῥωστήματι θεραπείαν κατάλληλον. Καὶ ὁ παρὼν δὲ κανὼν τοῦτο αὐτὸ διορίζεται, ἀνατιθέμενος τὸ πᾶν τῆς διὰ τῶν ἐπιτιμίων θεραπείας τοῦ κάμνοντος εἰς τὴν διάκρισιν τοῦ ἰατρεύοντος, ἤγουν τοῦ κατὰ χώραν ἐπισκόπου, καὶ τοῦ ἐπιτραπησομένου παρ' αὐτοῦ. Καὶ ὁ μὲν σκοπὸς τοῦ κανόνος οὗτός ἐστι, σαφέστατός τε καὶ εὔληπτος· διὰ γὰρ τοῦτο οὐδὲ πλέον τι γέγραπται παρ' ἡμῶν χάριν ἑρμηνείας. Ἐν τῷ τέλει δὲ διορίζεται, ὀφείλειν ἡμᾶς εἰδέναι καὶ τὰ τῆς ἀκριβείας, καὶ τὰ τῆς συνηθείας· γράφεται δὲ καὶ τὰ τῆς συμπαθείας, ἀκολούθως τῷ ἀποστολικῷ ῥητῷ τῷ λέγοντι· Εἰ δέ τις οὐχ ὑπακούει τοῦ λόγου ἡμῶν, διὰ τῆς ἐπιστολῆς τοῦτο σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ, ἵνα ἐντραπῇ· μηδὲ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν· ταῦτα γὰρ ἐλέους καὶ συμπαθείας εἰσὶν, ἤτοι συνηθείας, ἤγουν τοῦ ἔθους (1) τῷ χρόνῳ δοκιμασθέντος καὶ βεβαιωθέντος. Συναγαγὼν τοίνυν, εἰπὲ, ὡς χρὴ ἡμᾶς εἰδέναι *καὶ τὰ τῆς ἀκριβείας τῶν κανονικῶν ἐπιτιμίων* (2) καὶ τὰ τῆς συμπαθεστέρας συνηθείας· καὶ πῇ μὲν, κανονικῶς θεραπεύειν τὰ ἀῤῥωστήματα, ὅταν ἑτοίμως καταδέχωνται οἱ κάμνοντες τὰ ἐπιτίμια· πῇ δὲ διὰ τῶν συνήθων καὶ συμπαθεστέρων ἰατρειῶν, ὅταν σκληρότεροι ὦσιν εἰς τὴν ὑποδοχὴν τῶν ἐπιτιμίων οἱ ἰατρευόμενοι· εἰς ταῦτα γὰρ τὰ συνήθη οὐκ ἄν τις ἀντισταίη. Παρομοίως δὲ τούτοις παρακελεύεται καὶ ὁ μέγας Βασίλειος ἐν τῷ γ'. κανόνι αὐτοῦ.

ΑΡΙΣΤ. Ἡ τῆς ἁμαρτίας ἐπὶ πᾶσι σκοπεῖται ποιότης, καὶ ἡ ἐπιστροφὴ καθορᾶται· καὶ οὕτω μετρεῖται τὸ ἔλεος.

Τὰ μὲν ἐπιτίμια ἐφ' ἑκάστῳ ἁμαρτήματι ὥρισαν οἱ Πατέρες·

---

(1) Χ. Τρ.—τοῦ ἤθους Βευερ. Ἐ. —(2) τὰ μεταξὺ τῶν* οὐ κεῖται παρὰ Βευερ. ἀλλ' ἐν Χ. Τρ. καὶ παρὰ Ἐ.

τὴν δὲ κρίσιν πᾶσαν ἀνέθεντο πρὸς τὸν τὴν ἐξουσίαν παρὰ Θεοῦ λαβόντα τοῦ δεσμεῖν τε καὶ λύειν· ὅπως αὐτὸς καὶ τὴν ποιότητα σκοπήσῃ τοῦ ἁμαρτήματος, καὶ τὴν ἐπιστροφὴν τοῦ ἡμαρτηκότος, καὶ οὕτως ἐπιμετρήσῃ τὸ ἔλεος, τὴν θεραπείαν προσάγων κατάλληλον τῷ ἀῤῥωστήματι. Ὁ γὰρ πᾶς λόγος τῷ Θεῷ, καὶ τῷ τὴν πνευματικὴν ἐγκεχειρισμένῳ ἡγεμονίαν ἐν τούτῳ ἐστὶ, ἐν τῷ τὸ πλανώμενον πρόβατον ἐπαναγαγεῖν, καὶ μὴ κατὰ κρημνῶν ὠθῆσαι τῆς ἀπογνώσεως, καὶ τὸν τρωθέντα ὑπὸ τοῦ ὄφεως ἐξιάσασθαι, εἴτε διὰ τῶν αὐστηροτέρων τε καὶ στυφόντων, εἴτε διὰ τῶν ἁπαλωτέρων καὶ πρᾳοτέρων φαρμάκων.



ΚΑΝΟΝΕΣ
ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗΣ
ΕΒΔΟΜΗΣ ΣΥΝΟΔΟΥ.

ΖΩΝΑΡ. Ἡ ἑβδόμη οἰκουμενικὴ σύνοδος γέγονεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης, τῆς μητρὸς αὐτοῦ. Ἦν δὲ αὗτος ὁ Κωνσταντῖνος υἱὸς Λέοντος, τοῦ υἱοῦ τοῦ Κοπρωνύμου, τριακοσίων ἑξήκοντα ἑπτὰ ἁγίων Πατέρων ἀθροισθέντων ἐν Νικαίᾳ τῆς Βιθυνίας κατὰ τῶν εἰκονομάχων, ἤγουν χριστιανοκατηγόρων· ἥτις τὰς εἰκονικὰς ἐκτυπώσεις προσκυνεῖσθαι καὶ κατασπάζεσθαι σχετικῶς ἐψηφίσατο, ὁμοίως τῷ τοῦ τιμίου σταυροῦ τύπῳ· καὶ τῇ τῶν πιστῶν ἐκκλησίᾳ παρέδωκεν, οὕτω σέβεσθαι τοὺς τύπους τοῦ προσλήμματος τοῦ Κυρίου, καὶ τῆς αὐτὸν ἀσπόρως καὶ ἀῤῥήτως τεκούσης Θεοτόκου, καὶ τοὺς τῶν ἁγίων ἁπάντων. Ἀλλὰ καὶ κανόνας ἐξέθετο εἰς κατάστασιν ἐκκλησιαστικὴν, καὶ εἰς ὠφέλειαν τῶν πιστῶν, οἵπερ εἰσὶν οὗτοι.

ΒΑΛΣ. Ἡ ἁγία καὶ οἰκουμενικὴ ἑβδόμη σύνοδος γέγονεν ἐν ἔτει ,ςσϟς΄ Ἰνδικτιῶνος ιά. ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης, τῆς μητρὸς αὐτοῦ. Ἦν δὲ οὗτος ὁ Κωνσταντῖνος υἱὸς Λέοντος, τοῦ υἱοῦ τοῦ Κοπρωνύμου, τριακοσίων ἑξήκοντα ἑπτὰ ἁγίων Πατέρων συναθροισθέντων ἐν Νικαίᾳ τῆς Βιθυνίας τὸ δεύτερον, κατὰ τῶν εἰκονομάχων, ἤγουν χριστιανοκατηγόρων· ἥτις τὰς εἰκονικὰς ἐκτυπώσεις προσκυνεῖσθαι καὶ κατασπάζεσθαι σχετικῶς ἐψηφίσατο.

Κανὼν Α΄.

Τοῖς τὴν ἱερατικὴν λαχοῦσιν ἀξίαν, μαρτύριά τε καὶ κατορθώματα, αἱ τῶν κανονικῶν διατάξεων εἰσιν ὑποτυπώσεις· ἃς ἀσμένως δεχόμενοι (1), μετὰ τοῦ θεοφάντορος

(1) Π. — ἃς δεχόμενοι ἀσμένως Βευερ. Χ. Τρ.

Δαβὶδ ᾄδομεν πρὸς τὸν δεσπότην Θεὸν, λέγοντες· Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ· καὶ, Ἐνετείλω δικαιοσύνην, τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα· συνέτισόν με καὶ ζήσομαι(1). Καὶ, Εἰς τὸν αἰῶνα ἡ προφητικὴ φωνὴ ἐντέλλεται ἡμῖν φυλάττειν τὰ μαρτύρια τοῦ Θεοῦ, καὶ ζῆν ἐν αὐτοῖς, δηλονότι ἀκράδαντα καὶ ἀσάλευτα διαμένοντα (2), ὅτι καὶ ὁ θεόπτης Μωϋσῆς οὕτω φησίν· Ἐν αὐτοῖς οὐκ ἔςι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔςιν ἀφελεῖν(3). Καὶ ὁ θεῖος Ἀπόστολος Πέτρος ἐν αὐτοῖς ἐγκαυχώμενος βοᾷ· Εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι(4). Καὶ ὁ Παῦλός φησι· Κἂν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν, παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν (5), ἀνάθεμα ἔστω. Τούτων οὖν οὕτως ὄντων (6), καὶ διαμαρτυρουμένων ἡμῖν, ἀγαλλιώμενοι ἐπ' αὐτοῖς, ὡς εἴ τις εὕροι σκῦλα πολλὰ, ἀσπασίως τοὺς θείους κανόνας ἐνστερνιζόμεθα, καὶ ὁλόκληρον τὴν αὐτῶν διαταγὴν καὶ ἀσάλευτον κρατύνομεν, τῶν ἐκτεθέντων ὑπὸ τῶν ἁγίων σαλπίγγων τοῦ Πνεύματος, τῶν πανευφήμων Ἀποστόλων, τῶν τε ἐξ ἁγίων οἰκουμενικῶν συνόδων, καὶ τῶν τοπικῶς συναθροισθεισῶν ἐπὶ ἐκδόσει τοιούτων διαταγμάτων, καὶ τῶν ἁγίων Πατέρων ἡμῶν. Ἐξ ἑνὸς γὰρ ἅπαντες καὶ τοῦ αὐτοῦ Πνεύματος αὐγασθέντες, ὥρισαν τὰ συμφέροντα. Καὶ οὓς μὲν τῷ ἀναθέματι παραπέμπουσι, καὶ ἡμεῖς ἀναθεματίζομεν· οὓς δὲ τῇ καθαιρέσει, καὶ ἡμεῖς καθαιροῦμεν· οὓς δὲ τῷ ἀφορισμῷ, καὶ ἡμεῖς ἀφορίζομεν· οὓς δὲ ἐπιτιμίῳ παραδιδόασι, καὶ ἡμεῖς ὡσαύτως ὑποβάλλομεν. Ἀφιλάργυρος γὰρ ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσιν(7)· ὁ ἀναβεβηκὼς εἰς τρίτον οὐρανὸν, καὶ ἀκούσας ἄρρητα ῥήματα, Παῦλος ὁ θεῖος Ἀπόστολος διαῤῥήδην βοᾷ.

---

(1) Ψαλμ. ΡΙΗ, 14. ΡΛΗ, ΡΜΔ'. — (2) Χ. Τρ. — διαμένουσι. Βευερ. — (3) Δευτερ. ΙΒ', 32. — (4) Πέτρ. Α, 12. — (5) Χ. Τρ. Βευερ. παρ' ὃ παρελάβετε Σ. Ρ. Π. — Γαλ. Α, 8. — (6) ἐχόντων Βευερ. — (7) Ἑβρ. ΙΓ', 5.

ΖΩΝΑΡ. Ἐν τῇ θεοπνεύστῳ Γραφῇ πολλαχοῦ εὑρίσκεται τῶν μαρτυρίων τὸ ὄνομα, ὧν ἐνίων καὶ οἱ ἱεροὶ Πατέρες οὗτοι ἐν τῷ παρόντι κανόνι ἐμνήσθησαν. Δεῖ τοίνυν εἰπεῖν πρότερον, τίνα εἰσὶ τὰ μαρτύρια. Μαρτύρια οὖν λέγονται, αἱ τοῦ Κυρίου διαταγαὶ, αἱ διαμαρτυρόμεναι καὶ παριστῶσαι, πῶς δεῖ βιοῦν ἡμᾶς, καὶ ὅπως οἱ παραβάται τῶν τῷ Θεῷ διατεταγμένων τιμωρηθήσονται. Φασὶν οὖν οἱ τῆς συνόδου Πατέρες, ὅτι τοῖς τῆς ἱερατικῆς ἀξίας ἀξιωθεῖσιν οἱ θεῖοι κανόνες, καὶ τὰ ὑπ' ἐκείνων τυπούμενα καὶ ὁριζόμενα, μαρτύριά εἰσι. Διαμαρτύρονται γὰρ, πῶς χρὴ βιοῦν αὐτοὺς, καὶ πῶς πολιτεύεσθαι· καὶ τὴν ἐκ παραβάσεως αὐτῶν ἀπειλοῦσι καὶ προδεικνύουσι κόλασιν. Εἰσὶ δὲ τοῖς αὐτοῖς οἱ κανόνες καὶ κατορθώματα, συντηρούμενοι δηλαδὴ καὶ ῥυθμίζοντες τὸν βίον αὐτοῖς· οὕτω γὰρ κατορθοῦσι τὴν ἀρετὴν, καὶ εὐαρεστοῦσι Θεῷ, οὗ μεῖζον οὐκ ἂν τις εὕροι κατόρθωμα. Ταύτας τοίνυν τὰς κανονικὰς διατάξεις ἀσμένως, φασὶ, δεχόμενοι, ἀντὶ τοῦ ἀγαπητῶς, προθύμως, μετὰ τοῦ Δαβὶδ ᾄδομεν· Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ· τοῦτο λέγοντες, ὅτι ὁδεύοντες, ἤγουν τὴν ὁδὸν τοῦ βίου ἀνύοντες κατὰ τὰ μαρτύριά σου, τερπόμεθα καὶ εὐφραινόμεθα, ὡς ἐπὶ παντὶ πλούτῳ, ὡς ἐπὶ παντοδαπῷ, καὶ πολυειδεῖ πλούτῳ, ἢ ὥσπερ εἰ πάντα τὸν πλοῦτον ὁμοῦ συναχθέντα εἰς ἓν, εἰ δυνατὸν, εἴχομεν. Καὶ πάλιν· Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, συνέτισόν με καὶ ζήσομαι· καὶ εἰς τὸν αἰῶνα ἡ προφητικὴ φωνὴ ἐντέλλεται ἡμῖν φυλάττειν τὰ μαρτύρια τοῦ Θεοῦ, καὶ ζῆν ἐν αὐτοῖς, δηλονότι ἀκραδάντοις καὶ ἀσαλεύτοις μένουσι. Ζῶμεν γὰρ ἐν τοῖς τοῦ Θεοῦ μαρτυρίοις, ὅταν ἀσάλευτα ταῦτα μένωσι, μὴ παραβαινόμενα παρ' ἡμῶν μηδὲ ἀθετούμενα· ἀκράδαντα δὲ τὰ ἐστηριγμένα καὶ μὴ ῥᾳδίως θραυόμενα (1), ἢ κινούμενα, λέγονται. Κράδη γὰρ ὁ κλάδος λέγεται τῆς συκῆς, ὃς ἀσθενής ἐστι, καὶ εὐκόλως συνθλώμενος· *ὅθεν καὶ ἡ παροιμία ἐξείληπται ἡ λέγουσα· Συκίνη ἐπικουρία*(2). Ὁ γοῦν ἐστηριγμένος καὶ μὴ εὐ-

(1) τὸ, θραυόμενα, οὐ κεῖται παρὰ Κ. — (2) τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. ἀλλ' ἐν Χ. Τρ.

κόλως κινούμενος, ἀκράδαντος λέγεται. Εἶτα καὶ τὸν Μωϋσῆν παράγει λέγοντα· ὅτι ἐν αὐτοῖς, τοῖς θείοις δηλαδὴ διατάγμασιν (1), οὐκ ἔστι προσθεῖναι, καὶ ἐξ αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. Καὶ τοὺς Ἀποστόλους, τὸν μὲν τὴν πίστιν θερμότατον Πέτρον ἐν αὐτοῖς καυχώμενον, καὶ εἰπόντα· Εἰς ἃ ἐπιθυμοῦσιν Ἄγγελοι παρακύψαι, ἅτινά εἰσιν, ὡς ἐκεῖνός φησιν, ἃ νῦν ἀνηγγέλη ὑμῖν διὰ τῶν εὐαγγελισαμένων ἡμῖν ἐν Πνεύματι ἁγίῳ· εἰ καί τινες ἑτέρως ἐξηγοῦνται τὸ ἀποστολικὸν τοῦτο ῥητόν. Τὸν δὲ τὸν ζῆλον πολὺν Παῦλον βοῶντα· Κἂν Ἄγγελος εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. Καὶ ἐπὶ τούτοις ἐπάγουσιν οἱ τὸν κανόνα τοῦτον ἐκθέμενοι, ὅτι, τούτων οὕτως ὄντων, καὶ διαμαρτυρομένων ἡμῖν, ἀγαλλιώμενοι ἐπ' αὐτοῖς, ὡς εἴτις εὕροι σκῦλα πολλά· καὶ τοῦτο Δαβιτικόν (2). Σκῦλα δὲ τὰ τοῖς νεκροῖς τοῖς ἐν πολέμῳ πεσοῦσι περικείμενα λέγονται, εἴτε ἐσθῆτές εἰσιν, εἴτε ὅπλα, εἴτε τις κόσμος. Τὸ ὑπερβάλλον οὖν διὰ τούτου ὁ Προφήτης ἐδήλωσε τῆς ἀγαλλιάσεως· οἱ γὰρ τοὺς ἐν πολέμῳ πεσόντας σκυλεύοντες, νενικηκότες ἂν νοοῖντο, καὶ τῶν ἐναντίων ὑπερτερήσαντες, καὶ διπλῆν τὴν ἀγαλλίασιν ἔχουσι, τὴν μὲν διὰ τὴν νίκην, τὴν δὲ διὰ τὸν πλοῦτον, ὃν ἐκ τῶν σκύλων συνήγαγον. Οὕτως οὖν καὶ ἡμεῖς, οἱ Πατέρες οὗτοί φασιν, ἀγαλλόμενοι τοὺς θείους κανόνας ἐνστερνιζόμεθα, ἀντὶ τοῦ, ἀγαπητῶς δεχόμεθα, καὶ κατασπαζόμεθα· οὓς γὰρ ἀγαπῶμεν περὶ τὰ στέρνα ταῖς περιπλοκαῖς τιθέντες κατασπαζόμεθα, ἤ, ἀντὶ τοῦ, ἐγκαρδίως φιλοῦμεν· περὶ τὰ στέρνα γὰρ ἡ καρδία ἡμῶν· καὶ ὁλόκληρον καὶ ἀσάλευτον τὴν αὐτῶν διαταγὴν τηροῦμέν, φασι· κρατυνομένων, ἤγουν ἐπικυρουμένων, καὶ βεβαιουμένων, τῶν τε ἐκτεθέντων ὑπὸ τῶν ἁγίων Ἀποςόλων, καὶ τῶν ἐξ οἰκουμενικῶν συνόδων, καὶ τῶν κατὰ τόπους συναθροισθεισῶν, καὶ τῶν ἁγίων Πατέρων ἡμῶν, δηλαδὴ τῶν ἐκτὸς συνόδων κανόνας ἐκτεθεικότων· πάντες γὰρ ἐκ τοῦ αὐτοῦ ἁγίου Πνεύματος φωτισθέντες τὸν νοῦν, ὥρισαν τὰ συμφέροντα. Καὶ πάντα, φασί, κατ' ἐκείνους καὶ ἡμεῖς ποιοῦμεν· οὓς γὰρ ἐκεῖνοι ἀναθεματίζου-

(1) Χ. Τρ. Κ. — διδάγμασι Βευερ.
(2) Ψαλμ. ΡΙΗ, 162.

σι, καὶ ἡμεῖς· οὓς δὲ καθαιροῦσι, καὶ ἡμεῖς (1)· οὓς δὲ ἀφορίζουσι, καὶ ἡμεῖς· οἷς δ' ἐπιτιμῶσι, καὶ ἡμεῖς· ἀφιλάργυρος γὰρ ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσι· τὸ μὲν ῥητὸν ἀποστολικόν· ἐχρήσαντο δὲ τούτῳ οἱ τῆς συνόδου, δηλοῦντες, οἶμαι, ὅτι οὐδὲν πλέον τοῖς παρ' ἐκείνων διαταγεῖσι θέλομεν ἡμεῖς προσθεῖναι, διὰ φιλοδοξίαν ἀπληστευόμενοι, ὡς οἱ φιλάργυροι ἀεὶ ζητοῦντες, οἷς ἔχουσι, προστιθέναι· ἀλλ' ἀρκούμεθα τοῖς παροῦσι, τοῖς παρὰ τῶν ἁγίων Πατέρων δηλονότι ὁρισθεῖσιν.

ΒΑΛΣ. Μαρτύρια λέγονται τὰ τῶν θείων Γραφῶν παραγγέλματα, ὡς διαμαρτυρούμενα καὶ ὑποτυποῦντα, πῶς χρὴ πολιτεύεσθαι τοὺς πιστούς. Φασὶν οὖν οἱ τῆς συνόδου ταύτης ἅγιοι Πατέρες, ὅτι κατασπαζόμενοι τοὺς προεκτεθέντας κανόνας παρὰ τῶν ἁγίων Ἀποστόλων, τῶν ἓξ οἰκουμενικῶν συνόδων, καὶ τῶν τοπικῶν, ἀναθεματίζομεν τοὺς παρὰ τούτων ἀναθεματισθέντας, καθαιροῦμεν τοὺς καθαιρεθέντας, ἀφορίζομεν τοὺς ἀφορισθέντας, καὶ ἐπιτιμῶμεν τοὺς ἐπιτιμηθέντας· ἀφιλάργυρος γὰρ ὁ τρόπος· τουτέστιν, οὐδέν τι πλέον διὰ φιλοδοξίαν τούτοις προστιθέαμεν, ἀπληστευσάμενοι, ὡς οἱ φιλάργυροι, ἀλλ' ἀρκούμενοι τοῖς παρ' ἐκείνων διορισθεῖσι. Καὶ ὁ μὲν σκοπὸς τοῦ κανόνος οὗτός ἐστι· τὰ δ' ἐν αὐτῷ περιεχόμενα γραφικά, σαφῆ ὄντα, ἑρμηνείας οὐ δέονται. Γίνωσκε δέ, ὅτι οὗτος μὲν ὁ κανὼν τῶν ἀποστολικῶν καὶ συνοδικῶν κανόνων ἐμνήσθη μόνον· ὁ δεύτερος δὲ κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου διορίζεται, καὶ ἑτέρων ἁγίων θεσπίσματα, ὡς τοὺς ἱεροὺς κανόνας, κρατεῖν. Μὴ θαυμάσῃς οὖν, πῶς καὶ περὶ τούτων οὐ γέγραπταί τι ἐνταυθοῖ· ἠρκέσθησαν γὰρ οἱ ἅγιοι Πατέρες τοῖς ὁροθετηθεῖσι (2) τότε λίαν καλῶς. Μὴ ἐναντιωθῇ δέ σοι ἡ ρλϐ'. Ἰουστινιάνειος νεαρά, ἡ καταστρωθεῖσα εἰς τὸ σχόλιον τοῦ δευτέρου κεφ. τοῦ ϐ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ μεμνημένη μόνον τῶν οἰκουμενικῶν συνόδων, καὶ τῶν τοπικῶν· δι' ὧν γὰρ ἐπεκύρωσε τὸν δεύτερον κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, συνεστήριξε καὶ τὰ τῶν ἑτέρων ἁγίων θεσπίσματα, τὰ τούτῳ περιεχόμενα.

---

(1) Χ. Τρ. Κ. — οὐ κεῖται παρὰ Βευερ. — (2) Χ Τρ. Ε. — ὁρισθεῖσι Βευερ.

ΑΡΙΣΤ. Τοὺς θείους κανόνας ἀσπασίως ἐνστερνιζόμεθα, τῶν τε ἁγίων Ἀποστόλων, τῶν ἓξ οἰκουμενικῶν συνόδων, καὶ τῶν τοπικῶν, πρὸς δὲ καὶ τῶν ἁγίων Πατέρων ἡμῶν, ὡς ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ ἁγίου Πνεύματος ἐμπνευσθέντων. Οὓς οὖν ἀνεθεμάτισαν, ἀναθεματίζομεν· καὶ οὓς καθεῖλον, καθαιροῦμεν· οὓς ἀφώρισαν, ἀφορίζομεν· καὶ οὓς ἐπετίμησαν, ἐπιτιμῶμεν.

Ἐπὶ Κωνσταντίνου, τοῦ ἐγγόνου τοῦ τρισκαταράτου καὶ θεομισοῦς Κοπρωνύμου, καὶ Εἰρήνης τῆς μητρὸς αὐτοῦ, τῆς ἐξ Ἀθηνῶν, ἡ παροῦσα ἑβδόμη γέγονε σύνοδος ἐν Νικαίᾳ τὸ δεύτερον, συνελθόντων, συμβουλῇ καὶ παραινέσει Ταρασίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τριακοσίων ἑξήκοντα ἑπτὰ θεοφόρων Πατέρων. Ἡ δὲ συνέλευσις τούτων γέγονε κατὰ τῶν εἰκονομάχων, ἤτοι χριστιανοκατηγόρων· καὶ τούτους ἀνεθεμάτισαν· τῇ δ' ἐκκλησίᾳ τὸν ἀρχαῖον αὐτῆς κόσμον ἀποδεδώκασι, καὶ τὰς εἰκονικὰς ἀνατυπώσεις ἔχειν αὐτὴν, καὶ σχετικῶς ἀσπάζεσθαι ταύτας, καλῶς διωρίσαντο· ὡσαύτως δὲ καὶ τὸν τύπον τοῦ τιμίου προσκυνεῖσθαι σταυροῦ· ἀσπασάμενοι καὶ κρατύναντες τούς τε τῶν πανευφήμων καὶ ἁγίων Ἀποστόλων κανόνας, τῶν τε ἁγίων οἰκουμενικῶν ἓξ συνόδων, καὶ τῶν τοπικῶς συναθροισθεισῶν· καὶ τοὺς μὲν ἀναθεματισθέντας ὑπ' αὐτῶν, ἀναθεματίζουσι καὶ αὐτοί· τοὺς δὲ καθαιρέσει διά τι πταῖσμα κατακριθέντας, ὡσαύτως καὶ οὗτοι καταδικάζουσι· τοὺς δὲ ἀφωρισμένους, ἀφορίζουσι· καὶ τοὺς ἐπιτιμίοις καθυποβαλλομένους ἐπιτιμῶσιν ἐπίσης, μηδέν τι προστιθέντες, ἢ ὑφαιροῦντες τῶν παρὰ τῶν ἁγίων Ἀποστόλων καὶ τῶν θεοφόρων Πατέρων ἐκτεθέντων καὶ ὁρισθέντων.

Κανὼν Β'.

Ἐπειδήπερ ψάλλοντες συντασσόμεθα τῷ Θεῷ· Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου (1)· πάντας μὲν Χριστιανοὺς τοῦτο φυλάττειν σωτήριον, κατ' ἐξαίρετον δὲ, τοὺς τὴν ἱερατικὴν ἀμπεχομένους

(1) Ψαλμ. ΡΙΗ, 16.

ἀξίαν. Ὅθεν ὁρίζομεν, πάντα τὸν προάγεσθαι μέλλοντα εἰς τὸν τῆς ἐπισκοπῆς βαθμὸν (1), πάντως τὸν Ψαλτῆρα γινώσκειν, ἵνα, ὡς ἐκ τούτου, καὶ πάντα τὸν κατ' αὐτὸν κλῆρον οὕτω νουθετῇ μυεῖσθαι. Ἀνακρίνεσθαι δὲ ἀσφαλῶς ὑπὸ τοῦ μητροπολίτου, εἰ προθύμως ἔχει ἀναγινώσκειν ἐρευνητικῶς, καὶ οὐ παροδευτικῶς, τούς τε ἱεροὺς κανόνας, καὶ τὸ ἅγιον Εὐαγγέλιον, τήν τε τοῦ Θείου Ἀποστόλου βίβλον, καὶ πᾶσαν τὴν θείαν Γραφήν· καὶ κατὰ τὰ θεῖα ἐντάλματα ἀναστρέφεσθαι, καὶ διδάσκειν τὸν κατ' αὐτὸν λαόν. Οὐσία γὰρ τῆς καθ' ἡμᾶς ἱεραρχίας ἐστὶ τὰ θεοπαράδοτα λόγια, ἤγουν ἡ τῶν θείων Γραφῶν ἀληθινὴ ἐπιστήμη, καθὼς ὁ μέγας ἀπεφήνατο Διονύσιος. Εἰ δὲ ἀμφισβητοίη, καὶ μὴ ἀσμενίζοι οὕτω ποιεῖν τε καὶ διδάσκειν, μὴ χειροτονείσθω. Ἔφη γὰρ προφητικῶς ὁ Θεός· Σὺ ἐπίγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαί σε τοῦ μὴ ἱερατεύειν μοι (2).

ΖΩΝΑΡ. Πάντας μὲν δεῖ τοὺς πιστοὺς ἐν τοῖς τοῦ Θεοῦ μελετᾷν δικαιώμασι, καὶ μὴ ἐπιλανθάνεσθαι τῶν λόγων αὐτοῦ. Ἐξαιρέτως δὲ τοὺς τὸ ἱερατικὸν ἀμπεχομένους, ἤγουν ἐνδεδυμένους, περικειμένους, ἀξίωμα. Διὸ καὶ ὁ κανὼν οὗτος τὸν εἰς ἐπισκοπὴν προάγεσθαι μέλλοντα κελεύει, τὸν Ψαλτῆρα γινώσκειν, ἵνα καὶ τὸν οἰκεῖον οὕτως ἐκπαιδεύῃ μυεῖσθαι λαὸν, ἀντὶ τοῦ μανθάνειν. Ἀνακρίνεσθαι δὲ βούλεται αὐτὸν παρὰ τοῦ μέλλοντος χειροτονῆσαι αὐτὸν μητροπολίτου, εἰ θέλει ἀναγινώσκειν τοὺς ἱεροὺς κανόνας, τὸ Εὐαγγέλιον, τὴν τοῦ Ἀποστόλου βίβλον, καὶ πᾶσαν τὴν θείαν Γραφήν. Ἀναγινώσκειν δὲ ἑρμηνευτικῶς, ὥστε εἰδέναι τὸν νοῦν ἑκάστου, καὶ ἱκανὸν εἶναι πρὸς διδασκαλίαν τοῦ ὑπ' αὐτὸν λαοῦ, καὶ ἕτοιμον πρὸς ἀπόκρισιν τοῖς ἐρωτῶσιν αὐτὸν, κατὰ τὸν θεῖον Ἀπόστολον, παραγγέλλοντα τοῖς πιστοῖς, ἵνα ἕτοιμοι ὦσιν ἀεὶ πρὸς ἀπο-

---

(1) Π. Χ. Τρ. Βευερ. — θρόνον Σ. Ρ. — (2) Ὠσηὲ Δ', 6.

λογίαν παντὶ τῷ αἰτοῦντι αὐτοὺς λόγον περὶ τῆς ἐν ἡμῖν ἐλπίδος· ἀλλὰ μὴ παροδευτικῶς, ἤγουν ἀπροσέκτως, καὶ μόνα τὰ ῥήματα λέγοντα, τῆς δ' ἐννοίας μὴ προσαπτόμενον. Καὶ οὐ μόνον οὕτως ἀναγινώσκειν τὴν θείαν Γραφὴν ἀπαιτεῖσθαι αὐτὸν, ἀλλὰ καὶ κατὰ τὰ θεῖα ἐντάλματα ἀναστρέφεσθαι καὶ βιοῦν, καὶ οὐδὲ τοῦτο μόνον, ἀλλὰ καὶ διδάσκειν τὸν ὑπ' αὐτὸν λαόν. Οὐσία γὰρ τῆς καθ' ἡμᾶς ἱεραρχίας τὰ θεοπαράδοτά εἰσι λόγια, ἤγουν ἡ τῶν θείων Γραφῶν ἀληθινὴ ἐπιστήμη, ὡς ὁ μέγας ἀπεφήνατο Διονύσιος. Οὐσία δὲ τῆς ἱεραρχίας ἐκλήθη ἡ θεία Γραφὴ, ὡς σύστασις ταύτης. Ἄκαιρον γάρ μοι κέκριται τὸ πλέον εἰπεῖν τι περὶ οὐσίας, κατὰ τοὺς ἔξω. Ἢ γὰρ τῶν μετασχόντων παιδείας οἱ τοὺς κανόνας μετιόντες εἰσὶ, καὶ οἴδασι τὸν ὅρον ταύτης, καὶ ὅσα ἐν ταῖς κατηγορίαις περὶ αὐτῆς εἴρηται· ἢ ἄγευστοι παιδείας εἰσὶ, καὶ μάτην ὅσα ἄν τις εἴποι πρὸς ἐκείνους εἰρήσονται. Εἰ μὲν οὖν ταῦτα ὑπισχνεῖται ποιεῖν, καὶ οὕτω βιοῦν, καὶ τοὺς ἄλλους ῥυθμίζειν, χειροτονεῖσθαι αὐτὸν κελεύουσιν οἱ Πατέρες· εἰ δὲ ἀμφιβάλλοι, καὶ μὴ ἀσμενίζοι, ἀντὶ τοῦ ἀγαπᾷ, προθυμεῖται, οὕτω ποιεῖν καὶ διδάσκειν, μὴ χειροτονεῖσθαι· καὶ ἐπὶ τούτοις ἐπάγουσι τὰ προφητικὰ ῥήματα.

ΒΑΛΣ. Εἰδότες οἱ ἅγιοι Πατέρες, ὅτι, διὰ τὴν τῶν εἰκονομάχων αἵρεσιν, οἱ πλείους πιστοὶ ἐξηγροικίσθησαν (1), ὡς φεύγοντες, καὶ μὴ δυνάμενοι κἂν εἰς ὄψιν ἀνθρώπων ἔρχεσθαι, εἶπον, ὡς καὶ πάντες μὲν Χριστιανοὶ ἀναγκάζονται τὴν θείαν Γραφὴν ἀναγινώσκειν μετ' ἐρεύνης· πολλῷ δὲ πλέον οἱ ἀρχιερεῖς, οἱ πρὸς τὸ διδάσκειν τὸν ὑπ' αὐτοὺς λαὸν τεταγμένοι. Διὸ καὶ ὥρισαν μὴ ἄλλως τινὰ χειροτονεῖσθαι, εἰ μὴ τὸν Ψαλτῆρα γινώσκει, καὶ, ἀνακρινόμενος ὑπὸ τοῦ μέλλοντος χειροτονεῖν αὐτὸν, ὁποίαν ἔφεσιν ἔχει περὶ τὴν μάθησιν τῆς θείας Γραφῆς, κατάθηται ἐπιμεληθῆναι τῆς ἀναγνώσεως τῶν ἱερῶν καὶ θείων κανόνων, καὶ τῶν λοιπῶν, μετὰ ἐρεύνης δηλονότι, καὶ οὐ κατὰ πάροδον. Ἀναστρέφεσθαι δὲ καὶ κατὰ τὰ θεῖα ἐντάλματα, καὶ διδάσκειν τὸν τοῦ Κυρίου λαὸν, καὶ ἁπλῶς εἶναι

(1) Ἐ. Βευερ. — ἐξηγριώθησαν Χ. Τρ.

ἕτοιμον εἰς τὸ διδάσκειν, καὶ ἀποκρίνεσθαι τὰ εἰκότα περὶ τῶν θεοπαραδότων λογίων, τῶν ὄντων οὐσίαν, ἤτοι σύστασιν τῆς ἱερωσύνης. Εἴποι δέ τις, πῶς οἱ ἅγιοι Πατέρες οὐκ εἶπον ὀφείλειν χειροτονεῖσθαι τοὺς εἰδότας τοὺς ἱεροὺς κανόνας, τὸ ἅγιον Εὐαγγέλιον, καὶ τὰ λοιπὰ, ἀλλὰ τοὺς εἰδότας μόνον τὸν Ψαλτῆρα, καὶ ἐπαγγελλομένους ἐπιμεληθῆναι καὶ τῆς τῶν λοιπῶν μαθήσεως; Λύσις. Τὸ μὲν εἰδέναι τὸν Ψαλτῆρα, ὡς ἀπητημένον ἐξ ἀνάγκης, ἀπητήθη καὶ παρὰ τῶν ἁγίων Πατέρων ἀσυμπαθῶς, τοὺς χειροτονεῖσθαι ὀφείλοντας· τῶν δὲ λοιπῶν θείων διδαγμάτων ἡ κατάληψις οὐκ ἐζητήθη, διὰ τὸ μὴ ὀφειλόμενον εἶναι καὶ τοὺς μήπω ἀξιωθέντας διδασκαλικοῦ ἀξιώματος τοιαύταις ἀναγνώσεσιν ἑαυτοὺς ἀπασχολεῖν, καὶ μᾶλλον τότε, ὅτε οἱ Χριστιανοὶ φυγαδείας κατεκρίνοντο. Ἵνα τί γοῦν, εἶπον, ὁ ἀπὸ τῶν ἄλλων βιωτικῶν ἴσως ἐργασιῶν εἰς χειροτονίαν μετακαλούμενος, καὶ διὰ τοῦτό τε καὶ διὰ τὴν τῶν ὀρθοδόξων στενοχωρίαν συγγνωμονούμενος, οὐ χειροτονηθείη, ὡς μὴ ἔχων κατάληψιν ἀκριβῆ τῆς θείας Γραφῆς; Διό, φασιν, εἰ πρὸς ταύτην ἕτοιμός ἐστι, καὶ ἐπαγγέλλεται μετὰ διαθέσεως ἐπιμεληθῆναι τῆς ἀναγνώσεως αὐτῆς, χειροτονηθήσεται· ὅτι μετὰ τὸ ἀπαλλαγῆναι τῆς ἀπὸ τῶν ἄλλων ὀχλήσεως, καὶ ἀναδέξασθαι τὸ διδασκαλικὸν ἀξίωμα, ἐξ ἀνάγκης οὐ καταισχυνεῖ τὸ ἐπάγγελμα, ἀλλὰ γενήσεται τούτου καὶ μόνου, καὶ ῥᾳδίως ἕξει τὴν ἐπιστήμην τῆς θείας Γραφῆς.

ΑΡΙΣΤ. Ὁ γενησόμενος ἐπίσκοπος, γινωσκέτω τὸ Ψαλτήριον. Διαγινωσκέτω ὅ,τι ἀναγινώσκει, οὐχ ἁπλῶς, ἀλλ' ἐρευνητικῶς, τοὺς ἱεροὺς κανόνας, τὸ ἅγιον Εὐαγγέλιον, τὴν τοῦ Ἀποστόλου βίβλον, καὶ πᾶσαν τὴν θείαν Γραφήν· εἰ δὲ μὴ, μὴ χειροτονείσθω.

Τὸν μέλλοντα εἰς τὸν τῆς ἐπισκοπῆς προάγεσθαι βαθμὸν, δεῖ πάντως τὸν Ψαλτῆρα γινώσκειν, καὶ ἑρμηνεύειν αὐτὸν, ἵνα καὶ τὸν ὑπ' αὐτὸν κλῆρον οὕτω μανθάνειν διδάσκῃ. Ἐξετάζεσθαι δὲ ἀσφαλῶς καὶ ὑπὸ τοῦ μητροπολίτου, εἰ ἐπιμελῶς δύναται τοὺς ἱεροὺς κανόνας ἀναγινώσκειν, τὸ ἅγιον Εὐαγγέλιον, τὴν τοῦ θείου Ἀποστόλου Παύλου βίβλον, καὶ πᾶσαν τὴν θείαν Γραφὴν, καὶ τὸν νοῦν αὐτῶν ἐρευνᾷν, καὶ συνιέναι τὰ γεγραμμένα· διότι σύ-

στασις καὶ οὐσία τῆς ἀρχιερωσύνης ἡ τῶν θείων Γραφῶν ἐστιν ἀληθινὴ ἐπιστήμη, κατὰ τὸν μέγαν Διονύσιον· καὶ οὕτως ἔχοντα γνώσεως χειροτονεῖσθαι αὐτόν· εἰ δὲ μὴ, μὴ χειροτονεῖσθαι. Εἶπε γὰρ ὁ Θεὸς διὰ τοῦ Προφήτου· Σὺ ἐπίγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαί σε τοῦ μὴ ἱερατεύειν μοι.

Κανὼν Γ'.

Πᾶσαν ψῆφον γινομένην παρὰ(1) ἀρχόντων, ἐπισκόπου, ἢ πρεσβυτέρου, ἢ διακόνου, ἄκυρον μένειν, κατὰ τὸν κανόνα τὸν λέγοντα· Εἴ τις ἐπίσκοπος, κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς ἐκκλησίας γένηται, καθαιρείσθω, καὶ ἀφοριζέσθω (2), καὶ οἱ κοινωνοῦντες αὐτῷ πάντες. Δεῖ γὰρ τὸν μέλλοντα προβιβάζεσθαι εἰς ἐπισκοπὴν, ὑπὸ ἐπισκόπων ψηφίζεσθαι· καθὼς παρὰ τῶν ἁγίων Πατέρων τῶν ἐν Νικαίᾳ ὥρισται ἐν τῷ κανόνι τῷ λέγοντι· Ἐπίσκοπον προσήκει, μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ καθίστασθαι· εἰ δὲ δυσχερὲς εἴη τὸ τοιοῦτο, ἢ διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ, ἐξάπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους, (συμψήφων γινομένων καὶ τῶν ἀπόντων, καὶ συντιθεμένων διὰ γραμμάτων), τότε τὴν χειροτονίαν ποιεῖσθαι. Τὸ δὲ κῦρος τῶν γινομένων, δίδοσθαι καθ' ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ.

ΖΩΝΑΡ. Παλαιὰ ἡ κακία· ἐγίνοντο γὰρ καὶ πάλαι ἄθεσμά τινα, καὶ ἄρχοντες τῇ δυναστείᾳ θαῤῥοῦντες, ἐψηφίζοντο ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους προσέτασσον γίνεσθαι. Ταῦτα οὖν ἡ σύνοδος κωλύει, τὸν ἀποστολικὸν κανόνα παράγουσα, ὃς τὸν δι' ἀρχόντων ἐγκρατῆ γενόμενον ἐκκλησίας ἐπίσκοπον, καθαιρεῖ ἅμα καὶ ἀφορίζει, μεγάλης τιμωρίας ἄξιῶν τὸν τοῦτο ποιοῦντα, καὶ οὐκ ἐκεῖνον μόνον, ἀλλὰ καὶ τοὺς κοινωνοῦντας αὐτῷ. Ὁρίζει δὲ ὑπὸ ἐπισκόπων ψηφίζεσθαι τὸν εἰς ἐπισκοπὴν

---

(1) παρὰ τῶν ἀρχόντων Βευερ. (2) Π. Βευερ. Ε. — καὶ ἀφοριζέσθωσαν Σ. Ῥ. Χ. Τρ.

πραχθήσεσθαι μέλλοντα, καὶ μέμνηται τοῦ δ'. κανόνος τῶν ἐν Νικαίᾳ ἁγίων Πατέρων, ὃς ἐξηγήθη ἐκεῖ.

ΒΑΛΣ. Ἐν ταῖς ἡμέραις τῆς παρούσης συνόδου, ἐψηφίζοντό τινες, ὡς ἔοικεν, ἀπὸ ἐξουσίας τινῶν παραδυναστευόντων, ὑπεναντίως τῷ περὶ τούτου ἀποστολικῷ λ'. κανόνι. Μὴ ἀνεχόμενοι οὖν τοῦτο οἱ ἅγιοι Πατέρες, ὥρισαν τὴν τοιαύτην ψῆφον ἄκυρον εἶναι, ἀκολούθως τῷ ῥηθέντι ἀποστολικῷ κανόνι, τῷ διοριζομένῳ, τοὺς οὕτω ψηφισθέντας καθαιρεῖσθαι καὶ ἀφορίζεσθαι, τοὺς δὲ κοινωνήσαντας αὐτοῖς ἀφορίζεσθαι (1). Τὴν μέντοι ψῆφον ὀφείλειν γίνεσθαι κατὰ τὸν δ'. κανόνα τῶν ἁγίων Πατέρων τῶν ἐν Νικαίᾳ· καὶ ἀνάγνωθι τὸν τοιοῦτον κανόνα καὶ τὸν λ'. τῶν ἁγίων Ἀποστόλων, καὶ τὰς ἑρμηνείας αὐτῶν. Τί δέ; τῶν κανόνων μὴ διοριζομένων, διὰ ψήφων γίνεσθαι τὰς χειροτονίας τῶν πρεσβυτέρων καὶ τῶν διακόνων, ἀλλὰ μόνων τῶν ἐπισκόπων, πῶς ὁ κανὼν φησιν ἀκυροῦσθαι τὰς παρ' ἀρχόντων γινομένας ψήφους ἐπισκόπων, πρεσβυτέρων καὶ διακόνων; Λύσις. Τινὲς εἶπον καὶ τὰς τρεῖς χειροτονίας ἐπὶ ἑνὸς προσώπου ὀφείλειν ἐκλαμβάνεσθαι, καὶ τὴν οὕτω γινομένην ψῆφον χάριν τοῦδέ τινος, ἐφ' ᾧ γενέσθαι διάκονον, πρεσβύτερον, καὶ οὕτως ἐπίσκοπον, ἄκυρον εἶναι. Ἕτεροι εἶπον, ὅτι τὸ παλαιὸν αἱ ψῆφοι παρὰ τοῦ δήμου ἐγίνοντο· καὶ ἐψηφίζοντο οὐ μόνον ἐπίσκοποι, ἀλλὰ καὶ πρεσβύτεροι, καὶ διάκονοι· καὶ διὰ τοῦτο εἶπεν ὁ κανὼν, τὰς κατὰ δυναστείαν ἀρχοντικὴν (2) γινομένας ψήφους ἐπισκόπων, ἢ πρεσβυτέρων, ἢ διακόνων, ἀκυροῦσθαι. Ἄλλοι δὲ εἶπον, ὡς, ἐπὶ μὲν ἐπισκόπων, ἡ ψῆφος κατὰ κυριωνυμίαν ἐῤῥέθη· ἐπὶ δὲ πρεσβυτέρων, καὶ διακόνων καταχρηστικῶς· ἀντὶ γὰρ χειροτονίας ἐξελήφθη· ὅπερ καὶ ἐμοὶ ἀρέσκει, εὑρίσκοντι καὶ ἑτέρους κανόνας τὴν ψῆφον ἀντὶ χειροτονίας ἐκλαμβανομένους. Τῶν δὲ ἀρχόντων μὴ δυναμένων ὅλως ψηφίζεσθαι ἐπισκόπους, πῶς ὁ κανὼν διορίζεται ἀκυροῦσθαι τὰς παρὰ τούτων γινομένας ψήφους; Λύσις. Οὐ περὶ ψήφων παρὰ ἀρχόντων γινομένων ὁ κανὼν θεσπίζει, ἀλλὰ περὶ ψήφων ἐπισκόπων, προβαινουσῶν κατὰ ἐξουσίαν ἀρ-

(1) Χ. Τρ. Βευερ. — τὸ, τοὺς δὲ κοινωνήσαντας αὐτοῖς ἀφορίζεσθαι, οὐ κεῖται παρὰ Ε. — (2) Χ. Τρ. Ε. — ἀρχόντων Βευερ.

χοντικὴν, καὶ περὶ ψήφων, ἤτοι χειροτονιῶν πρεσβυτέρων, ἢ διακόνων, προβαινουσῶν κατὰ κέλευσιν ὁμοίαν. Φησὶ γοῦν, ὡς, κἂν τῷ δοκεῖν παρὰ τῶν ἐχόντων ἐξουσίαν ἀρχιερέων γίνωνται αὗται, ἀλλ' ἐπεὶ κατὰ δυναστείαν καὶ βίαν προβαίνουσιν, ὀφείλουσιν ἀκυροῦσθαι καὶ ἀναλύεσθαι.

ΑΡΙΣΤ. Πᾶσα ψῆφος, ὑπὸ κοσμικῶν ἀρχόντων γινομένη, ἄκυρος ἔστω.

Ἐν πολλοῖς τῶν κανόνων εἴρηται, τὸ, ὑπὸ πάντων τῶν ἐπισκόπων ἑκάστης ἐπαρχίας ὀφείλειν ψηφίζεσθαι (εἴγε τοῦτο δυνατὸν), τὸν μέλλοντα εἰς ἐπισκοπὴν προβιβάζεσθαι· εἰ δὲ μὴ, κἂν ὑπὸ τριῶν ἐπισκόπων, συμψήφων γινομένων καὶ τῶν απόντων διὰ γραμμάτων. Τὸ δὲ κοσμικοῖς ἄρχουσι χρήσασθαί τινα, καὶ δι' αὐτῶν ἐκκλησίας τινὸς ἐγκρατῆ γενέσθαι, οὐ μόνον ἐςὶν ἀνίσχυρον, ἀλλὰ καὶ καθαίρεσιν, καὶ ἀφορισμὸν ἐπάγει τῷ τοιουτοτρόπως τῆς ἱερωσύνης τυχόντι.

Κανὼν Δ'.

Ὁ κήρυξ τῆς ἀληθείας Παῦλος (1), ὁ θεῖος Ἀπόστολος, οἱονεὶ κανόνα τιθεὶς τοῖς Ἐφεσίων πρεσβυτέροις, μᾶλλον δὲ καὶ παντὶ ἱερατικῷ πληρώματι (2), οὕτως ἐπαῤῥησιάσθη, εἰπών· Ἀργυρίου, ἢ χρυσίου, ἢ ἱματισμοῦ, οὐδενὸς ἐπεθύμησα· πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων, μακάριον ἡγουμένους (3) τὸ διδόναι, ἢ λαμβάνειν (4). Διὸ καὶ ἡμεῖς μαθητευθέντες (5) παρ' αὐτοῦ, ὁρίζομεν, μηδόλως αἰσχροκερδῶς ἐπινοεῖσθαι ἐπίσκοπον, προφασιζόμενον προφάσεις ἐν ἁμαρτίαις, ἀπαιτεῖν χρυσὸν, ἢ ἄργυρον, ἢ ἕτερον εἶδος τοὺς ὑπ' αὐτὸν τελοῦντας ἐπισκόπους, ἢ κληρικοὺς, ἢ μοναχούς. Φησὶ γὰρ ὁ Ἀπόστολος· Ἄδικοι

(1) Χ. Τρ. Π. — ὁ μέγας Παῦλος Βευερ. — (2) παντὶ τῷ ἱερατικῷ τάγματι Χ. Τρ. — (3) Ἐ. Βευερ. — ἡγούμενοι Χ. Τρ. Κ. — ἡγούμενος Π. — Πράξ. Κ', 33. 35. — (4) Π. Βευερ. Ἐ. Ῥ. — τὸ, ἢ λαμβάνειν, οὐ κεῖται ἐν Χ. Τρ. καὶ Κ. — (5) Π Σ Ῥ. Κ. — μαθόντες Βευερ.

βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι(1)· καί, Οὐκ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ' οἱ γονεῖς τοῖς τέκνοις (2)· Εἴ τις οὖν δι' ἀπαίτησιν χρυσοῦ, ἢ ἑτέρου τινὸς εἴδους, εἴτε διά τινα ἰδίαν ἐμπάθειαν(3), εὑρεθείη ἀπείργων τῆς λειτουργίας, καὶ ἀφορίζων τινὰ τῶν ὑπ' αὐτὸν κληρικῶν, ἢ σεπτὸν ναὸν κλείων, ὡς μὴ γίνεσθαι ἐν αὐτῷ τὰς τοῦ Θεοῦ λειτουργίας, καὶ εἰς ἀναίσθητον (4) τὴν ἑαυτοῦ μανίαν ἐπιπέμπων, ἀναίσθητος ὄντως ἐστί, καὶ τῇ ταυτοπαθείᾳ ὑποκείσεται, καὶ ἐπιστρέψει ὁ πόνος αὐτοῦ ἐπὶ (5) τὴν κεφαλὴν αὐτοῦ, ὡς παραβάτης ἐντολῆς Θεοῦ, καὶ τῶν Ἀποστολικῶν διατάξεων. Παραγγέλλει γὰρ καὶ Πέτρος, ἡ κορυφαία τῶν Ἀποστόλων ἀκρότης, Ποιμαίνετε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Θεοῦ, ἐπισκοποῦντες (6) μὴ ἀναγκαστῶς (7), ἀλλ' ἑκουσίως, κατὰ Θεόν· μὴ αἰσχροκερδῶς, ἀλλὰ προθύμως· μὴ ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου· καὶ φανερωθέντος τοῦ Ἀρχιποίμενος, κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον (8).

—

ΖΩΝΑΡ. Τὸ ἀπαιτεῖν τὸν ἀρχιερέα τοὺς ὑπ' αὐτὸν διδόναι τι αὐτῷ, πάντη κωλύει ὁ κανών· καὶ τὸν μέγαν Παῦλον εἰσάγει λέγοντα· Ἀργυρίου, ἢ χρυσίου, ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα (9), τύπον ἑαυτὸν καὶ ὑπόδειγμα πᾶσι διδόντα, ὅτι οὕτω χρὴ τοὺς πιστοὺς ἀναστρέφεσθαι, καὶ κοπιῶντας ἀντιλαμβάνεσθαι τῶν ἀσθενῶν· ἀσθενεῖς ἐνταῦθα οὐ τοὺς νοσοῦντας δηλῶν, ἀλλὰ πάντας τοὺς ὁπωσδήποτε δεομένους ἐλέους. Εἰ δὲ πᾶσι ταῦτα ἐντέλλεται, πολλῷ μᾶλλον ἂν τοῖς ἐπισκόποις ἁρμόσωσιν. Ὁρίζει οὖν, μὴ προφάσεις πλαττόμενον δι' αἰσχρο-

---

(6) ά. Κορ. ϛ', 9. — (2) β'. Κορ. ΙΒ', 14. — (3) Π. Χ. Τρ. — ἰδιοπάθειαν Βευερ. — (4) Χ. Τρ. Ἑ. — εἰς ἀναίσθητα Π. Σ. Ῥ. — (5) Χ. Τρ. Βευερ. — εἰς κεφαλὴν Π. — (6) Βευερ. — οὐ κεῖται τὸ, ἐπισκοποῦντες παρὰ Ἑ. Π. Χ. Τρ. — (7) ἀναγκαστικῶς Βευερ. ἄνευ τοῦ, ἐπισκοποῦντες, Χ. Τρ. — (8) ά. Πέτρ. Ἑ, 2—4. — (9) Πράξ. Κ', 33.

κέρδειαν τὸν ἐπίσκοπον ἀπαιτεῖν, ἀπὸ τῶν ὑπ' αυτὸν ὄντων ἐπισκόπων, κληρικῶν, ἢ μοναχῶν, χρυσὸν, ἢ ἄργυρον, ἢ ἕτερον εἶδος· ἄδικος γάρ, φησιν, ἡ τοιαύτη ἀπαίτησις· ἄδικοι δὲ βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι· καὶ οὐκ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ' οἱ γονεῖς τοῖς τέκνοις· καὶ ταῦτα δὲ ἀποστολικὰ τὰ ῥητά. Εἰ γοῦν ἀπαιτῶν τις ἐπίσκοπος τοὺς ὑπ' αὐτὸν οἱονδήποτε πρᾶγμα, καὶ μὴ εὐπειθεῖς εὑρίσκων αὐτοὺς, ἀφορίσει αὐτοὺς ἢ δι' ἐμπάθειαν ἑτέραν, ἢ κλείσει ναὸν, ὥστε μὴ γίνεσθαι ἐν αὐτῷ τὰς ἱερουργίας, εἰς ἀναίσθητον, τὸν ναὸν, δηλαδὴ τὴν ὀργὴν αὐτοῦ, ἣν μανίαν, διὰ τὸ πάνυ σφοδρὸν καὶ παράλογον ὠνόμασεν, ἐπιπέμπων, ἀναίσθητός ἐστί, φησι, καὶ τῇ ταυτοπαθείᾳ ὑποκείσεται, ἤγουν ἀφορισθήσεται, καὶ ὃ ἐποίησε πάθῃ, ὁ μὲν ἐπίσκοπος παρὰ τοῦ μητροπολίτου αὐτοῦ, ὁ δὲ μητροπολίτης παρὰ τοῦ πατριάρχου, οἷς ὑπόκεινται· καὶ ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, ὡς παραβάτου ἐντολῆς Θεοῦ, καὶ τῶν ἀποστολικῶν διατάξεων· καὶ ἑξῆς τίθησι τὰ τοῦ κορυφαίου τῶν Ἀποστόλων Πέτρου ῥητὰ, ἃ ἐν τῇ πρώτῃ τῶν καθολικῶν αὐτοῦ ἐπιστολῶν γέγραπται.

ΒΑΛΣ. Ἵνα τὸ τῆς αἰσχροκερδείας πάθος ἀπὸ τῶν Χριστωνύμων ἐκριζωθῇ, ὥρισαν οἱ Πατέρες, μὴ ἔχειν ἐπ' ἀδείας τοὺς ἀρχιερεῖς ἀπὸ τῶν ὑπ' αὐτοὺς ἐπισκόπων, ἢ μοναχῶν, ἢ κληρικῶν, χρυσὸν ἀπαιτεῖν, ἢ ἕτερον οἱονδηποτοῦν πρᾶγμα. Τὸν δὲ ἀφορίζοντα ἀρχιερέα, διὰ τὴν τοιαύτην αἰτίαν, τινὰ ἐκ τῶν ὑπ' αὐτὸν, ἢ ἐπιτρέποντα διὰ τοῦτο μὴ γίνεσθαι τὴν τοῦ θείου ναοῦ δοξολογίαν, καὶ οὕτως εἰς ἀναίσθητον, ἤγουν εἰς τὸν ναὸν, τὴν ἀλλόκοτον αὐτοῦ μανίαν ἐκχέοντα, προφασιζόμενον ματαίας τινὰς καὶ ἀκανονίστους προφάσεις, ὑποκεῖσθαι τῇ ταυτοπαθείᾳ, ὡς τῇ ἀληθείᾳ ὄντα ἀναίσθητον· ταυτοπάθεια δέ ἐστι τὸ παθεῖν εὐλόγως ὃ παραλόγως ἐποίησε. Ταῦτα δὲ θεσπίζοντες οἱ Πατέρες, ἐχρήσαντο καὶ διαφόροις ῥητοῖς ἐκ τῆς πρὸς Ἐφεσίους ἐπιστολῆς τοῦ ἁγίου Ἀποστόλου Παύλου, τὴν αἰσχροκέρδειαν καὶ τὴν φιλαργυρίαν κολάζουσι, καὶ τὴν ἐλεημοσύνην ἀποσεμνύνουσι. Τί δέ; εἰ κανονική ἐστιν ἡ πρόφασις, συγγνωσθήσεται ὁ ἀρχιερεὺς ἐκ τοῦ ὑπ' αὐτὸν ἀπαιτῶν χρυσὸν, ἢ ἄρ-

γυρον; Λύσις. Οὐδαμῶς· εἰ γὰρ τοῦτο ποιήσει, ὡς παραβάτης τῶν ἐντολῶν τοῦ Θεοῦ, καὶ ὡς πωλήσας τὴν ψυχικὴν σωτηρίαν τοῦ ὑπ' αὐτὸν, κολασθήσεται. Ὀφείλει γὰρ τὸν ἴσως ἐπταικότα ἐπίσκοπον αὐτοῦ, ἢ κληρικὸν, ἢ μοναχὸν, ὁ πρῶτος κατὰ κανόνα κολάζειν, καὶ μὴ διά τι αἰσχροκερδὲς τὴν κανονικὴν διόρθωσιν παρατρέχειν. Ἐντέλλεται δὲ ὁ κανὼν τοῖς ἀρχιερεῦσι, μὴ κατακυριεύειν τῶν κληρικῶν αὐτῶν, τουτέστιν, ὡς δούλοις καὶ ὑπηρέταις τούτοις κεχρῆσθαι, ἀλλὰ χωρὶς ἐμπαθείας καὶ ἀνάγκης τινὸς ποιμαίνειν, καὶ διορθοῦσθαι αὐτούς. Σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι οὐ μόνον ὁ ἀφορίσας ἀρχιερεὺς τὸν κληρικὸν αὐτοῦ διὰ πρόφασιν αἰσχροκερδείας ἀφορίζεται, κατὰ τὸν λόγον τῆς ταυτοπαθείας, ἀλλὰ καὶ ὁ κατ' ἐμπάθειαν, ἢ ἄλλην ἀνεύλογον αἰτίαν τοιοῦτόν τι ἀδίκως ποιήσας. Καὶ τὰ περὶ τούτου ζητεῖται παρὰ τῷ μείζονα ἔχοντι ἐξουσίαν, καὶ δυναμένῳ διαιτᾷν τοῖς τοιούτοις. Ζήτει καὶ κεφ. ιζ'. τοῦ ά. τίτ. τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, ὅπερ ἐστὶ νεαρὰ Ἰουστινιάνειος, λέγον οὕτω· Πᾶσι δὲ τοῖς ἐπισκόποις καὶ πρεσβυτέροις ἀπαγορεύομεν μὴ ἀφορίζειν τινὰ τῆς ἁγίας κοινωνίας, πρὶν αἰτία δειχθῇ, δι' ἣν οἱ ἐκκλησιαστικοὶ κανόνες τοῦτο γίνεσθαι κελεύουσιν. Εἰ δέ τις παρὰ ταῦτα τῆς ἁγίας κοινωνίας χωρίσει τινὰ, ἐκεῖνος μὲν, ὃς ἀδίκως τῆς ἁγίας κοινωνίας ἐχωρίσθη, λυομένου τοῦ χωρισμοῦ ὑπὸ τοῦ μείζονος ἱερέως, τῆς ἁγίας ἀξιούσθω κοινωνίας· ὁ δὲ ἀδίκως τινὰ τῆς ἁγίας κοινωνίας χωρίσαι τολμήσας, πᾶσι τρόποις ὑπὸ τοῦ ἱερέως, ὑφ' ὃν τέτακται, χωρισθήσεται τῆς κοινωνίας, ἐφ' ὅσον χρόνον ἐκεῖνος συνίδῃ· ἵνα ὅπερ ἀδίκως ἐποίησε, δικαίως ὑπομείνῃ. Σημείωσαι τὸν παρόντα κανόνα, διὰ ταυτοπαθείας κολάζοντα τοὺς ἐπισκόπους, τοὺς κατὰ πρόφασιν αἰσχροκερδείας ἢ ἰδιοπαθείας ἀφορίζοντας ἐκ τῶν ὑπ' αὐτούς τινας, ἢ κλείοντας ναούς· ὥστε ὁ οὕτως ἀφορίσας, ἀφορισθήσεται· ὁ δὲ κλείσας ναὸν, καὶ πλεῖον τοῦ ἀφορισμοῦ κολασθήσεται. Μὴ εἴπῃς δὲ ἐξ ἀντιδιαστολῆς, μὴ κολάζεσθαι τὸν ἐπίσκοπον, τὸν μὴ διὰ αἰσχροκέρδειαν, ἢ διὰ ἰδιοπάθειαν, ἀλλ' εὐλόγως ἀφορίζοντά τινας, ἢ κλείοντα ναούς· ἀλλὰ τὸ ἐξ ἀντιδιαστολῆς ἐκλαβοῦ

εἰς μόνους τοὺς ἀφορισμούς· ὁ γὰρ κλείων ναοὺς ἐπίσκοπος ἐξ οἱουδήτινος εὐλόγου, ἢ παραλόγου τρόπου, ὡς ἐμοὶ δοκεῖ, κολασθήσεται, ὡς ἄνωθεν εἴρηται (1).

Ἑτέρα ἑρμηνεία.

Ὁ μὲν παρὼν δ'. κανὼν ἀπαλλάττει τοὺς κληρικοὺς πάσης αἰσχροκερδοῦς εἰσπράξεως, ἐπινοουμένης παρὰ ἀρχιερέως (2). Τὸ δὲ β'. γ'. δ'. καὶ ε. κεφ. τοῦ γ'. τίτλου τοῦ γ'. βιβλίου τῶν βασιλικῶν διορίζεται, μήτε μιτάτων δόσεσι (3), μήτε προσωπικαῖς λειτουργίαις, μήτε ἁπλῶς οἱαισδήτισιν ἐπηρείαις δημοσιακαῖς τοὺς κληρικοὺς ὑποκεῖσθαι, ἀλλὰ τὰ (4) δημοσιακὰ τελέσματα καὶ μόνα τελεῖν. Ἀλλ' ὁ ἀείμνηστος ἐν βασιλεῦσι κύριος Μανουὴλ ὁ Κομνηνὸς (5) διὰ χρυσοβούλλου προστάγματος (6), ἀπολυθέντος κατὰ τὸν Φεβρουάριον μῆνα τῆς ζ'. Ἰνδικτιῶνος τοῦ ,ϛχ'. ἔτους, ἐφιλοτιμήσατο πᾶσι τοῖς ὁπουδήποτε τῶν χωρῶν τῆς Ῥωμανίας προσκαθημένοις ἱερεῦσι, καὶ δημοσιακοῖς τελεσταῖς οὖσι, μὴ μόνον ἐξκουσείαν πάσης δημοσιακῆς ἐπηρείας, ἀλλὰ καὶ ἀτέλειαν τοῦ ζευγολογίου. Μετὰ δέ τινα καιρὸν ἀπεχαρίσατο τούτοις μετὰ δοχῆς ἀτέλειαν· καὶ κεφ. δ'. Κἂν μὴ ἀπὸ ζευγολογίου ὦσι τὰ διδόμενα παρὰ τούτων τελέσματα. Τὴν δὲ τοιαύτην (7) φιλοτιμίαν τῆς ἐξκουσείας τῶν δημοσιακῶν ἐπηρειῶν ἀπεχαρίσαντο, καὶ τοῖς ἐν πᾶσι προσωπικοῖς ἐκκλησιαστικοῖς καὶ μοναστηριακοῖς κτήμασι προσκαθημένοις ἱερεῦσι· πλὴν, τῶν μὲν δημοσιακῶν ἱερέων τὴν ποσότητα δι' ἀπογραφῆς ἐστενοχώρησε, διὰ τὴν δοχὴν τῶν συμπαθηθέντων τελεσμάτων αὐτῶν, ὥστε εἰς τὸ ἑξῆς μὴ αὐξάνεσθαι ταῦτα· τοὺς δὲ λοιποὺς προσωπικοὺς ἱερεῖς (8), οὐκ εὐδόκησεν ἀπογραφῆναι πάντως, διὰ τὸ μηδὲ ὀφείλειν γί-

(1) Τὰ ἀπὸ τοῦ, Σημείωσαι τὸν παρόντα κανόνα, οὐ κεῖται ἐν Χ. Τρ. ἀλλὰ παρὰ Βευερ. καὶ Ἐ. — (2) Χ. Τρ. Ἐ. — παρὰ τῶν κατὰ τόπους ἀρχιερέων Βευερ. — (3) μιτάτον, ἢ μετάτον, ἡ οἰκία, καὶ ὁ ἕνεκα αὐτῆς πληρονόμενος φόρος. Δουκάγγ. — (4) καὶ τὰ ἐγνωσμένα δημοσιακὰ Βευερ. — (5) Βευερ. Ἐ. — ὁ μέντοι κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς διὰ χρυσοβούλλου κτλ. Χ. Τρ. — (6) Χ. Τρ. — διὰ χρυσοβούλου προσκυνητοῦ Ἐ. — διὰ χρυσοβούλλου Βευερ. — (7) Χ. Τρ. Ἐ. — τὴν δὲ ῥηθεῖσαν Βευερ. — (8) Χ. Τρ — τοὺς δὲ προσωπικοὺς καὶ λοιποὺς ἱερεῖς Βευερ.

νεσθαι χάριν τούτων δοχὴν οἱανδήτινα (1). Ἐπεὶ δὲ μετά τινας (2) χρόνους, ἱερέων τινῶν δημοσιακῶν, ὑπερβαινόντων τὴν ποσότητα τῶν, ὡς εἴρηται, γεγονυιῶν ἀπογραφῶν, ἑλκομένων εἰς ἀπόδοσιν πλωΐμων, καὶ λοιπῶν δημοσιακῶν ἐπηρειῶν, ὑπεμνήσθη ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς παρὰ τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Λουκᾶ, καὶ συνεζητήθη κατὰ πρόσταξιν βασιλικὴν, εἰ βοηθοῦνται καὶ οἱ τοιοῦτοι δημοσιακοὶ ἱερεῖς ἀπὸ τοῦ ῥηθέντος χρυσοβούλλου εἰς τὸ ἐξκουσεύεσθαι τέως ἀπὸ τῶν δημοσιακῶν ἐπηρειῶν· διεγνώσθη συνοδικῶς (3), ἔχειν τοὺς τοιούτους ἱερεῖς τέως τὴν ἐξκουσείαν ἀπὸ τῶν ἐπηρειῶν (4). Εἶπε γὰρ ἡ ἁγία σύνοδος, ὅτι καὶ ἀπὸ τοῦ προοιμίου, ἀλλὰ μὴν καὶ ἀπὸ τοῦ ἐξκουσεύεσθαι πάντας τοὺς προσωπικοὺς ἱερεῖς, μηδὲ ἀπογραφομένους, παρίσταται ἐναργῶς τὴν βασιλικὴν εὐεργεσίαν πρὸς πάντας ὑφαπλωθῆναι τοὺς ἱερεῖς. Ἄδικον δ' ἔφασαν, καὶ τῆς βασιλικῆς εὐεργεσίας ἀλλότριον, τούτους μὲν τῷ δημοσίῳ μηδὲν συνεισφέροντας, ἐξκουσεύεσθαι διὰ τὴν τιμὴν τῆς ἱερωσύνης· ἐκείνους δὲ, τελεστὰς ὄντας τοῦ δημοσίου, ἐπηρεάζεσθαι, καὶ τὴν ἐκ τῆς ἱερωσύνης μὴ ἔχειν περίθαλψιν, ἀλλὰ κατὰ τοὺς λαϊκοὺς (5) εὐθύνεσθαι· καὶ ἀνάγνωθι τὸ κατὰ τὸν Ἰούλιον μῆνα τῆς ά. ἰνδικτιῶνος τοῦ ϛχ'. ἔτους γεγονὸς χάριν τούτου συνοδικὸν σημείωμα.

ΑΡΙΣΤ. Ὁρίζομεν, μηδόλως ἐπιλογεῖσθαι ἐπίσκοπον ἀπαιτεῖν χρυσὸν, ἢ ἄργυρον, ἢ ἕτερον εἶδος, τοὺς ὑπ' αὐτὸν ἐπισκόπους, ἢ κληρικοὺς, ἢ μοναχούς. Εἴ τις οὖν δι' ἀπαίτησιν χρυσοῦ, ἢ ἑτέρου εἴδους, ἢ διά τινα ἰδιοπάθειαν, εὑρεθείη ἀπείργων τῆς λειτουργίας, ἢ ἀφορίζων τινὰ τῶν ὑπ' αὐτὸν κληρικῶν, ἢ σεπτὸν ναὸν κλείων, μὴ γίνεσθαι ἐν αὐτῷ τὰς ἱερὰς τοῦ Θεοῦ λειτουργίας, τῇ ταυτοπαθείᾳ ὑποκείσεται. Φησὶ γὰρ Πέτρος ὁ Ἀπόστολος· Ποιμαίνετε τὸ ποίμνιον τοῦ Θεοῦ μὴ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως, καὶ κατὰ Θεόν· μὴ αἰσχροκερδῶς, ἀλλὰ προθύ-

(1) Χ. Τρ. Ἐ. — γίνεσθαι δοχὴν ὑπὲρ τούτων Βευερ. — (2) Χ. Τρ. Ἐ. — καὶ μετά τινας Βευερ. — (3) Βευερ. — διάγνωσις γέγονε συνοδικὴ Χ. Τρ.
(4) ἀπὸ τῶν ἐπηρειῶν ἐξκουσεύεσθαι Χ. Τρ. — (5) κατὰ τοὺς ἀνιέρους Χ. Τρ.

μως· μὴ ὡς κατακυριεύοντες τὸν κλῆρον, ἀλλ' ὡς τύπος γινόμενοι τοῦ ποιμνίου.

Τὸ ἐπιτιμᾷν, καὶ ἀφορίζειν, διὰ τοῦτο ἐδόθη παρὰ τῶν ἱερῶν κανόνων τοῖς ἐπισκόποις, ἵνα τὰ ἐπταισμένα παρὰ τῶν ὑπ' αὐτοὺς κληρικῶν καὶ λοιπῶν, πνευματικῶς ὁμοῦ καὶ πατρικῶς διορθῶνται. Εἰ δέ τινες τῇ ἐξουσίᾳ πάντη καταχρώμενοι, ἀφορίσουσί τινας, ἢ ἐπιτιμήσουσι, δι ἰδίαν ἐμπάθειαν, ἢ ἀπαίτησιν χρυσοῦ, ἢ ἑτέρου τινὸς εἴδους, δικαίως τῇ ταὐτοπαθείᾳ ὑποπεσοῦνται· ἵνα μάθωσι μὴ ἀλόγως ἐπιτιμᾷν.

Κανὼν Ε΄.

Ἁμαρτία πρὸς θάνατόν ἐστιν, ὅταν τινὲς ἁμαρτάνοντες, ἀδιόρθωτοι μένωσι (1). Τὸ δὲ τούτου χεῖρον, ἐὰν καὶ (2) τραχηλιῶντες κατεξανίστανται τῆς εὐσεβείας, καὶ τῆς ἀληθείας, προτιμώμενοι τὸν Μαμωνᾶν τῆς τοῦ Θεοῦ ὑπακοῆς, καὶ τῶν κανονικῶν αὐτοῦ διατάξεων μὴ ἀντεχόμενοι. Ἐν τούτοις οὐκ ἔστι Κύριος ὁ Θεὸς, εἰ μήπου ταπεινωθέντες, τοῦ ἰδίου σφάλματος (3) ἀνανήψωσι· χρὴ γὰρ μᾶλλον αὐτοὺς προσέρχεσθαι τῷ Θεῷ, καὶ μετὰ συντετριμμένης καρδίας τὴν ἄφεσιν τούτου τοῦ ἁμαρτήματος, καὶ τὴν συγχώρησιν αἰτεῖσθαι, οὐχὶ ἐναβρύνεσθαι τῇ ἀθέσμῳ δόσει (4). Ἐγγὺς γὰρ Κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ (5)· Τοὺς οὖν ἐγκαυχωμένους, διὰ δόσεως χρυσίου τετάχθαι ἐν (6) ἐκκλησίᾳ, καὶ ταύτῃ τῇ πονηρᾷ συνηθείᾳ ἐπελπίζοντας, τῇ ἀλλοτριούσῃ ἀπὸ τοῦ Θεοῦ, καὶ ἐκ πάσης ἱερωσύνης, καὶ ἐκ τούτου ἀναιδεῖ προσώπῳ, καὶ ἀπερικαλύπτῳ στόματι, ὀνειδιστικοῖς λόγοις τοὺς δι' ἀρετὴν (7) βίου ὑπὸ τοῦ ἁγίου Πνεύματος ἐκλεγέντας, καὶκα-

---

(1) Π. Χ. Τρ. Βίνν. — μείνωσι Βευερ. Ἑ. Κ. — (2) Χ. Τρ. Σ. Ρ. Βίνν. — ὁ, καὶ, οὐ κεῖται ἐν Π. καὶ παρὰ Βευερ. Ε. Κ. — (3) Π. Βευερ. — φρονήματος Χ. Τρ. — (4) Π. Βευερ. — τῇ ἑτέρᾳ δόσει τῇ ἀθέσμῳ Χ. Τρ. — (5) Ψαλμ. ΛΓ', 18. — (6) Π. Χ. Τρ. — τῇ ἐκκλησίᾳ Βευερ. — ἐν τῇ ἐκκλησίᾳ Βίνν. — (7) Βευερ. Κ. Ἑ. Βίνν. — δι' ἀρετῆς Π. Χ. Τρ.

ταγέντας ἐκτὸς δόσεως χρυσίου, ἀτιμάζοντας, πρῶτα μὲν τοῦτο ποιοῦντας, τὸν ἔσχατον βαθμὸν λαμβάνειν τοῦ οἰκείου τάγματος. Εἰ δ' ἐπιμένοιεν, δι'ἐπιτιμίου (1) διορθοῦσθαι. Εἰ δέ τις ἐπὶ χειροτονίᾳ φανείη ποτὲ τοῦτο πεποιηκὼς, γινέσθω κατὰ τὸν ἀποστολικὸν κανόνα, τὸν λέγοντα· Εἴ τις ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένηται, ἢ πρεσβύτερος, ἢ διάκονος, καθαιρείσθω καὶ αὐτὸς, καὶ ὁ χειροτονήσας, καὶ ἐκκοπτέσθωσαν (2) παντάπασι ἐκ τῆς κοινωνίας, ὡς Σίμων ὁ μάγος ὑπ' ἐμοῦ Πέτρου. Ὡσαύτως καὶ κατὰ τὸν δεύτερον κανόνα τῶν ἐν Χαλκηδόνι ὁσίων Πατέρων ἡμῶν, τὸν λέγοντα· Εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσοιτο, καὶ εἰς πρᾶσιν καταγάγοι τὴν ἄπρατον χάριν, καὶ χειροτονήσοι ἐπὶ χρήμασιν ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἤ τινα τῶν ἐν τῷ κλήρῳ καταριθμουμένων, ἢ προβάλλοιτο ἐπὶ χρήμασιν οἰκονόμον, ἢ ἔκδικον, ἢ παραμονάριον, ἢ ὅλως τινὰ τοῦ κανόνος, ἢ δι' αἰσχροκέρδειαν οἰκείαν, ὁ τοῦτο ἐπιχειρήσας ἐλεγχθεὶς, (3) κινδυνευέτω εἰς τὸν οἰκεῖον βαθμόν· καὶ ὁ χειροτονούμενος μηδὲν ἐκ τῆς κατ' ἐμπορίαν ὠφελείσθω χειροτονίας, ἢ προβολῆς, ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας, ἢ τοῦ φροντίσματος, οὗπερ ἐπὶ χρήμασιν ἔτυχεν (4). Εἰ δέ τις καὶ μεσιτεύων φανείη τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι, καὶ οὗτος, εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ· εἰ δὲ λαϊκὸς, ἢ μοναχὸς, ἀφοριζέσθω.

ΖΩΝΑΡ. Τινὲς εἰς κλῆρον καταταγῆναι μέλλοντες προσῆγον τῇ ἐκκλησίᾳ χρήματα, ὡς ἀφιεροῦντες αὐτὰ τῷ Θεῷ· εἶτα τούτοις θαῤῥοῦντες, καὶ τῇ δόσει τοῦ χρυσίου καυχώμενοι, ὠνείδιζον ἀναιδῶς (5) τοὺς δόσεως χρυσίου χωρὶς, δι' ἀρετὴν ἴσως

---

(1) ἐπιτιμίοις Βευερ. — (2) Χ. Τρ Σ. Ῥ. — ἐκκοπτέσθω Π. Βευερ. Βίνν.
(3) Βευερ. — ἐπιχειρῆται ἐλεγχθεὶς Χ. Τρ. Βίνν. — (4) ἔλαβε Χ. Τρ.
(5) Χ. Τρ. — ἀδεῶς Βευερ. 'Ε.

ἢ καὶ λόγον καταταγέντας τῷ κλήρῳ. Τοὺς γοῦν τοιούτους, πρῶτον μὲν ὑποβιβάζεσθαι βούλεται ὁ κανὼν ἐκ τοῦ οἰκείου βαθμοῦ, καὶ εἰς τὸν ἔσχατον τόπον τοῦ τάγματος, ἐν ᾧ εἰσι, τάττεσθαι· εἰ δὲ καὶ ἔτι τὰ αὐτὰ ποιοῦσι, ἐπιτιμᾶσθαι αὐτούς, ἵνα διορθωθῶσι. Προοιμιάζονται δὲ οἱ τὸν κανόνα ἐκθέμενοι, ἀπὸ τοῦ Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου· ἐκείνῳ γὰρ εἴρηται ἐν τῇ πρώτῃ καθολικῇ ἐπιστολῇ, τὸ, Ἔστιν ἁμαρτία πρὸς θάνατον· καὶ ἐκλαμβάνονται οὗτοι τὸ ῥητὸν ἐπὶ τῶν ἁμαρτανόντων, καὶ μὴ μετανοούντων. Εἶτα καὶ χεῖρον λέγουσι, ὥσπερ δὴ καί ἐστι, τὸ μετὰ τὴν ἁμαρτίαν τραχηλιᾷν, ἤγουν ἀναισχυντεῖν· ἁμαρτίαν μὲν καλοῦντες τὸ ἐγκαυχᾶσθαι ἐπὶ τῇ προσαγωγῇ τῶν χρημάτων, καὶ προτιμᾷν τῆς τοῦ Θεοῦ ὑπακοῆς καὶ τῶν κανονικῶν διατάξεων τὸν Μαμωνᾶν, τὰ χρήματα δηλονότι· ἀναισχυντίαν δὲ τὸν ὀνειδισμόν, καὶ τὴν ἀτιμίαν, ἣν ἐπάγουσι τοῖς κληρωθεῖσι χωρὶς παροχῆς χρημάτων. Ἐν τούτοις οὐκ ἔστι, φασί, κύριος ὁ Θεός· καὶ τοῦτο δὲ γραφικὸν ἐκ τῆς τρίτης τῶν Βασιλειῶν. Χρὴ οὖν αὐτούς, ταπεινωθέντας, προσπεσεῖν τῷ Θεῷ, καὶ αἰτεῖν τοῦ ἁμαρτήματος ἄφεσιν, καὶ οὐχὶ μᾶλλον ἐπαίρεσθαι ἐπὶ τῇ δόσει τῇ ἀθέσμῳ· ἄθεσμον δὲ τὴν δόσιν καλεῖ, οὐ καθ' ἑαυτό (1)· εἰ γὰρ ἄθεσμος ἦν, διὰ τί προσεδέχθη; καὶ διὰ τί μὴ καὶ αὐτὸς τελείως ἐξωθεῖται τοῦ κλήρου, καὶ ὁ ἐπὶ δόσει τοῦτον κληρώσας κολάζεται; οὐ καθ' ἑαυτὸ τοίνυν ἄθεσμος ἡ δόσις ἐκλήθη, ἀλλ' ὅτι ἐκεῖνος ταύτην ποιεῖ νομίζεσθαι ἄθεσμον, ὡς δι' αὐτὴν ἀλαζονευόμενος, καὶ κατεπαιρόμενος τῶν ὁμοταγῶν· κἀντεῦθεν ὑπόληψιν διδούς, ὅτι οὐ κατὰ Θεὸν ἐποιήσατο τὴν προσαγωγήν, ἀλλ' ἵν' ἔχοι ταύτην εἰς καύχημα καὶ ἀλαζονείας ὑπόθεσιν. Τοῦτο δὲ δηλοῦται καὶ διὰ τῶν ἐφεξῆς· φησὶ γὰρ ὁ κανών· Εἰ δέ τις ἐπὶ χειροτονίᾳ φανῇ ποτε τοῦτο πεποιηκώς, τὸ δοῦναι δηλαδὴ χρήματα, γινέσθω κατὰ τοὺς κανόνας, ἤγουν τὸν ἀποστολικόν, ὅς εἰκοστὸς ἔννατός ἐστι· καὶ κατὰ τὸν δεύτερον τῆς ἐν Χαλκηδόνι συνόδου. Ὥσπερ οὖν ἀθέσμου οὔσης ἐνταῦθα τῆς δόσεως, καὶ ὁ χειροτονήσας ποινηλατεῖται, καὶ ὁ χειροτονηθείς, οὕτω κἀκεῖ ἐγίνετο ἄν, εἰ πρὸς ἀλήθειαν ἄθε-

(1) Χ. Τρ. — οὐ κατ' αὐτό. Ἐ Βευερ.

σμος ἦν. Τὴν δὲ τῶν κανόνων τούτων ἐξήγησιν ὁ ζητῶν εὑρήσει ἐν τοῖς τόποις αὐτῶν.

ΒΑΛΣ. Μέλλοντες οἱ ἅγιοι Πατέρες κολάσαι τοὺς κληρικοὺς, τοὺς πρῶτα μὲν ἑκοντὶ καὶ κατὰ φιλόθεον γνώμην προσάγοντας ἐν ἐκκλησίᾳ (1) χρήματα, ἢ ἕτερά τινα, ὕστερον δὲ ἐγκαυχωμένους ἐπὶ τῇ δόσει, καὶ ζητοῦντας προκαθεδρίας καὶ προτιμήσεις, καὶ ὀνειδίζοντας τοὺς δι᾽ ἀρετὴν, ἢ ἐνέργειαν, κληρωθέντας κατὰ Θεὸν συναδελφοὺς αὐτῶν, ἐχρήσαντο ἐν προοιμίοις ῥήματί τινι ἀπὸ τῆς πρώτης καθολικῆς ἐπιστολῆς τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου, λέγοντος· Ἔστιν ἁμαρτία πρὸς θάνατον (2), ἤγουν ἔστιν ἁμαρτία θανάσιμος, ἡ ἀδιόρθωτος καὶ ἀμετανόητος· καὶ ἔτι ταύτης χείρων, ἡ σὺν τῇ ἁμαρτίᾳ ἀναίδεια. Ποῖον γὰρ οὐχ ὑπερβαίνει κακὸν τὸ προτιμᾶσθαί τινα τῆς ἐντολῆς τοῦ Θεοῦ τὰ τοῦ μαμμωνᾶ, ἤγουν τὰ χρήματα, καὶ λέγειν, ὀφείλειν τοῦτον, δι᾽ ἃ προσήγαγε, προτιμότερον εἶναι τῶν ἄλλων πάντων, τῶν ἐνεργείας ἐχόντων ἴσως καὶ ἀρετὴν (3); Τοὺς γοῦν οὕτω φρονοῦντας, καὶ ὅλως δόσεως χρημάτων μεμνημένους, καὶ ἐλπίζοντας διὰ τοῦτο προτιμᾶσθαι παρὰ τοῖς πολλοῖς (4), ἀφ᾽ οὗ μᾶλλον κατάγνωσις ἐπάγεται, καὶ ἀπερικαλύπτως ὀνειδίζοντας τοὺς ἀδελφοὺς αὐτῶν διὰ τὴν ὑψοποιὸν πενίαν, ὑποβιβάζεσθαι εἰς τὸν ἔσχατον τόπον τοῦ βαθμοῦ αὐτῶν, ἵνα ταπεινωθῶσιν (5). Εἰ δὲ καὶ οὕτως ἐπιμένοιεν τῷ κακῷ, ἐπιτιμᾶσθαι κατὰ τὸ δόξαν πάντως τῷ ἐπισκόπῳ· καὶ ταῦτα μὲν, ὁπόταν τις αὐθαιρέτως προσαγάγῃ ἐν ἐκκλησίᾳ οἱαδήτινα πράγματα, ἅτινα καὶ οἱ λαμβάνοντες, ἀπροκριματίστως λαμβάνουσι, καὶ οἱ διδόντες, ἀνευθύνως διδόασιν. Εἰ δέ τις, φησὶν, οὐκ ἐξ ἀρχῆς μετὰ τοιαύτης αὐθαιρέτου γνώμης ἐποίησε τὴν προσαγωγὴν ἀλλὰ διὰ τὸ χειροτονηθῆναι, ἢ κληρωθῆναι, ἢ ἄλλως πως ἐν ἐκκλησίᾳ καταλεγῆναι, ὁ τοιοῦτος κολαζέσθω κατὰ τὸν κθ'. ἀποστολικὸν κανόνα, καὶ τὸν β'. κανόνα τῆς ἐν Χαλκηδόνι

(1) ἐν ταῖς ἐκκλησίαις Βευερ. Ε. — (2) α'. Ἰω. Ε, 16. — (3) Χ. Τρ. — τῶν καὶ ἐνεργείας ἴσως ἐχόντων, ἢ καὶ ἀρετὴν Ε. Βευερ. — (4) Βευερ. Κ. — παρὰ τοὺς πολλοὺς Χ. Τρ. — (5) ἵνα πειραθῶσι Ε.

συνόδου. Τὸ μέντοι ῥῆμα, τὸ λέγον, Ἐν τούτοις οὐκ ἔστι Κύριος ὁ Θεὸς, ἐξελήφθη παρὰ τῶν ἁγίων Πατέρων ἐκ τῆς τρίτης τῶν Βασιλειῶν, διὰ τοὺς ἀλαζόνας καὶ προτιμωμένους τὰ τοῦ μαμμωνᾶ. Ἀκούων δὲ τοῦ κανόνος ὀνομάζοντος τὴν οὕτως ἑκουσίως γινομένην δόσιν τοῦ χρυσίου ἄθεσμον, μὴ εἴπῃς εἶναι ταύτην κεκωλυμένην, κἀντεῦθεν καὶ ἄθεσμον, ὡς προβᾶσαν χάριν ἐξωνήσεως χειροτονίας, ἢ κληρώσεως· περὶ ταύτης γὰρ ἐφεξῆς διδάσκει· ἀλλ' ἄθεσμον ταύτην οἱ Πατέρες ὠνόμασαν διὰ τὸν προσαγαγόντα, καὶ διὰ ταύτην τὴν προσαγωγὴν ἐναβρυνόμενον. Σημείωσαι ταῦτα, διὰ τοὺς ἀποκειρομένους εἰς μοναστήρια μετὰ δόσεως χρημάτων, καὶ διὰ τοὺς αὐτοπροαιρέτως ποιοῦντας προσαγωγὰς τῷ Θεῷ. Τοὺς μέντοι ἐπικτωμένους ἐξωμονιτάτα ἀδελφάτα ἐν μοναστηρίοις διὰ χρημάτων, οὐ νομίζω ὑπὸ τῶν κανόνων ἁλίσκεσθαι, διὰ τὸ μὴ εἶναι ἐπίμομφον τὴν τῶν σιτηρεσίων ἐπίκτησιν. Τί δέ; ὁ μὲν αὐθαιρέτως προσαγαγὼν χρήματα οὕτω κολάζεται, ὁ δὲ διὰ τὸ κληρωθῆναι, ἢ ἀποκαρῆναι, δοὺς οἱαδήτινα πράγματα, ἐνδυνάμως ζητήσει μετὰ τὸ κολασθῆναι ἃ δέδωκε; Λύσις. Οὐδαμῶς· φησὶ γὰρ τὸ ιά. κεφ. τοῦ β'. τίτλου τοῦ κδ'. βιβλίου τῶν βασιλικῶν οὕτω· Τὸ ἐπὶ αἰσχρᾷ αἰτίᾳ ἑκατέρων διδόμενον τοῦ τε λαβόντος, καὶ τοῦ παρέχοντος, οὐκ ἀντιστρέφεται· καὶ προστίθησιν ἔξωθεν ὁ Παλαιὸς λογισμόν· ὅτι, Ἐν ἴσῃ αἰτίᾳ, κρείττων ἐστὶν ὁ νεμόμενος, ἀπὸ τοῦ κβ'. βιβλίου τοῦτο ἀναλεξάμενος.

ΑΡΙΣΤ. Τοὺς ἐγκαυχωμένους διὰ δόσεως χρυσίου τετάχθαι ἐν ἐκκλησίᾳ, καὶ ἀτιμάζοντας τοὺς δι' ἀρετὴν ἐκλεγέντας, καὶ χωρὶς δόσεως καταταχθέντας, ἔδοξε τὸν ἔσχατον βαθμὸν τοῦ ἰδίου λαμβάνειν τάγματος. Εἰ δὲ ἐπιμένοιεν, ἐπιτιμᾶσθαι· τοὺς δ' ἐπὶ χειροτονίᾳ τοῦτο πεποιηκότας, ἐκκόπτεσθαι τῆς κοινωνίας, ὡς ὑπὸ Πέτρου τὸν Σίμωνα μάγον.

Τὸν λόγον δεῖ καὶ τὴν ἀρετὴν προτιμᾶσθαι· καὶ χωρὶς δόσεως χρυσίου, τοὺς οὕτως ἔχειν εὑρισκομένους τάττεσθαι χρὴ ἐν τῷ κλήρῳ τῆς ἐκκλησίας· καὶ μὴ ὀνειδίζεσθαι αὐτοὺς ὑπὸ τῶν καταταγέντων τῇ ἐκκλησίᾳ δι' οἱασδήτινος δόσεως· ἀλλὰ μᾶλλον καὶ ἐπαινεῖσθαι, ὡς δι' ἀρετὴν βίου ὑπὸ τοῦ ἁγίου Πνεύμα-

τος ἐκλεγέντας. Εἰ δέ τινες, ὡς ἐγκαυχώμενοι ἐπὶ τῇ τοιαύτῃ ἀθέσμῳ δόσει, καὶ τῇ πονηρᾷ ταύτῃ συνηθείᾳ, τῇ ἀλλοτριούσῃ ἀπὸ Θεοῦ καὶ πάσης ἱερωσύνης, κατονειδίσουσιν ἀναιδεῖ προσώπῳ, καὶ ἀπερικαλύπτῳ στόματι, τοὺς ἄνευ χρυσίου καταταγέντας κληρικοὺς, τὸν ἔσχατον βαθμὸν ἐν τῷ οἰκείῳ τάγματι λήψονται. Εἰ δὲ καὶ οὕτως ἐπιμένοιεν αὐτοὺς ὀνειδίζοντες, δι' ἐπιτιμίου διορθωθήσονται· καὶ ταῦτα μὲν περὶ τῶν εἰς κλῆρον καταλεγομένων. Ὅσοι δὲ διὰ χρημάτων χειροτονίας τύχωσί τινος, καθαιρεθήσονται καὶ αὐτοὶ, καὶ οἱ χειροτονήσαντες αὐτούς.

Κανὼν Ϛ'.

Ἐπειδή περ κανών ἐστιν, ὁ λέγων· Δὶς τοῦ ἔτους καθ' ἑκάστην ἐπαρχίαν χρῆναι (1) γίνεσθαι διὰ συναθροίσεως ἐπισκόπων τὰς κανονικὰς ζητήσεις· διὰ τὴν συντριβὴν καὶ τὸ ἐνδεῶς ἔχειν πρὸς ὁδοιπορίαν τοὺς συναθροιζομένους, ὥρισαν οἱ τῆς ἕκτης συνόδου ὅσιοι Πατέρες, ἐξ ἅπαντος τρόπου καὶ προφάσεως, ἅπαξ τοῦ ἐνιαυτοῦ γίνεσθαι, καὶ τὰ ἐσφαλμένα διορθοῦσθαι. Τοῦτον οὖν τὸν κανόνα καὶ ἡμεῖς ἀνανεοῦμεν· καὶ εἴ τις εὑρεθῇ ἄρχων τοῦτο κωλύων, ἀφοριζέσθω. Εἰ δέ τις ἐκ τῶν μητροπολιτῶν ἀμελήσοι τοῦτο γίνεσθαι, ἐκτὸς ἀνάγκης, καὶ βίας, καί τινος εὐλόγου προφάσεως, τοῖς κανονικοῖς (2) ἐπιτιμίοις ὑποκείσθω. Τῆς δὲ συνόδου γενομένης περὶ κανονικῶν καὶ εὐαγγελικῶν πραγμάτων, δεῖ τοῖς συναθροισθεῖσιν ἐπισκόποις ἐν μελέτῃ καὶ φροντίδι γίνεσθαι (3) τοῦ φυλάττεσθαι (4) τὰς θείας καὶ ζωοποιοὺς ἐντολὰς τοῦ Θεοῦ. Ἐν γὰρ τῷ φυλάττεσθαι (5) αὐτὰς ἀνταπόδοσις πολλή· ὅτι καὶ λύχνος ἡ ἐντολή· νόμος δὲ, φῶς, καὶ ὁδὸς ζωῆς ἔλεγχος καὶ παιδεία(6)· καὶ, Ἡ ἐντολὴ Κυρίου τηλαυγὴς(7)

---

(1) Χ. Τρ. — χρὴ Π. Ἑ. Κ. — (2) Χ. Τρ. Ἑ. Κ. Βευερ. — ἄνευ τοῦ, κανονικοῖς, Π. — (3) Π. Χ. Τρ. Ἑ. Ῥ. — τίθεσθαι Βευερ. — (4) Π. Χ. Τρ. Ἑ. Κ. Βευερ. — φυλάττειν Σ. Ῥ. — (5) Χ. Τρ. Σ. Ῥ. Ἑ. Κ. Βευερ. — φυλάσσειν Π. — Ψαλμ. ΙΗ', 12. — (6) Παροιμ. ϛ', 23. — (7) τὸ, τηλαυγὴς, οὐ κεῖται ἐν Χ. Τρ. — Ψαλμ. ΙΗ', 9.

φωτίζουσα ὀφθαλμούς. Μὴ ἔχειν δὲ ἄδειαν τὸν μητροπολίτην, ἐξ ὧν ἐπιφέρεται ὁ ἐπίσκοπος μετ' αὐτοῦ, ἢ κτῆνος, ἢ ἕτερον εἶδος ἀπαιτεῖν. Εἰ γὰρ(1) τοῦτο ἐλεγχθῇ πεποιηκώς, ἀποτίσει τετραπλάσιον.

—

ΖΩΝΑΡ. Περὶ τοῦ γίνεσθαι συνόδους ἐν ταῖς ἐπαρχίαις καθ' ἕκαστον ἔτος, διάφοροι κανόνες διαλαμβάνουσι, καὶ ὁ παρὼν δὲ οὗτος· καὶ μέμνηται τοῦ κανόνος τῆς ϛ'. συνόδου, ἥτις ἅπαξ τοῦ ἐνιαυτοῦ διετυπώσατο γίνεσθαι τὰς συνόδους ἐν ταῖς ἐπαρχίαις, ἵνα μὴ πολλὴν ὄχλησιν καὶ καινοτομίαν ἐν ταῖς ὁδοιπορίαις οἱ ἐπίσκοποι ἔχωσι. Καὶ ἀνανεοῖ τὴν περὶ τῶν συνόδων παλαιοτέραν διάταξιν· καὶ, εἰ ἄρχων κωλύσει, φησὶ, τὸ γίνεσθαι σύνοδον, ἀφοριζέσθω· καὶ τοὺς ἀμελοῦντας τοῦ πράγματος μητροπολίτας, εἰ μὴ ἀνάγκη τις μεσολαβήσῃ καὶ βία, κανονικοῖς ὑποβάλλει ἐπιτιμίοις. Ὅτε δὲ γένηται σύνοδος περὶ κανονικῶν καὶ εὐαγγελικῶν πραγμάτων, δεῖ τοὺς ἐπισκόπους φροντίζειν, εἰ φυλάττονται αἱ θεῖαι ἐντολαί. Κανονικὰ μὲν οὖν πράγματα εἶεν ἂν οἱ ἀφορισμοὶ, εἰ δικαίως γίνονται σκοπούμενοι, εἰ δὶ οἰκονόμων, ὄντων ἐκ τῶν κλήρων αὐτῶν, τὰ τῶν ἐκκλησιῶν διοικοῦσιν οἱ ἐπίσκοποι· καὶ τοιαῦτά τινα, ἃ οἱ κανόνες γίνεσθαι διατάττονται. Εὐαγγελικὰ δὲ, ἃ διὰ τοῦ εὐαγγελίου ἡμῖν ἐπιτάττονται, οἷόν ἐστι τὸ βαπτίζειν εἰς ὄνομα Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, καὶ τὸ μὴ ἐκβάλλειν τινὰ τὴν γυναῖκα αὐτοῦ, ἐκτὸς λόγου πορνείας, καὶ ἄλλα τοιαῦτα. Ταῦτα γὰρ πάντα ἠρεύνων, εἰ ἐν ταῖς χώραις αὐτῶν ἐγίνοντο, οἱ ἀρχιερεῖς ἀθροιζόμενοι, καὶ εἰ κατὰ τὰς θείας ἐντολὰς βιοῦσιν οἱ ἄνθρωποι. Καὶ μαρτυρίας γραφικὰς ὁ κανὼν παράγει ἔκ τε τοῦ Ψαλτῆρος, καὶ ἐκ τῶν Παροιμιῶν. Καὶ ἐπὶ τούτοις προστίθησιν, ὅτι, συναγομένων τῶν ἐπισκόπων ἔνθα ὁ μητροπολίτης τῆς ἐπαρχίας ὁρίσει κατὰ τὸν κανόνα, οὐχ ἕξει ὁ μητροπολίτης ἐξουσίαν ἀπαιτεῖν τι ἐξ αὐτῶν, οὔτε κτῆνος, ἵππον, τυχὸν, ἢ ἡμίονον, οὔτε τι ἕτερον εἶδος· εἰ δὲ ἀπαιτήσας καὶ λαβών τι ἐλεγχθείη, ἀποδώσει τὸ τετραπλοῦν.

(1) Χ. Τρ. Βευερ. — εἰ δὲ Π. Ε. Κ.

ΒΑΛΣ. Κανόνων διαφόρων διοριζομένων, πότε ὀφείλουσι γίνεσθαι σύνοδοι, καὶ τῶν μὲν λεγόντων, ἅπαξ τοῦ ἐνιαυτοῦ συνέρχεσθαι τοὺς ἐπαρχιώτας ἐπισκόπους, τῶν δὲ, δὶς τοῦ ἔτους· ὁ παρὼν κανὼν, διὰ τὴν ἐκ τῆς ὁδοιπορίας συντριβὴν τῶν ἐπισκόπων, κατηκολούθησε τῷ ή. κανόνι τῆς ϛ'. συνόδου, τῷ διοριζομένῳ ἅπαξ τοῦ ἐνιαυτοῦ τούτους συναθροίζεσθαι, καὶ διωρίσατο οὕτω γίνεσθαι, εἰ μή τις ἀνάγκη καὶ βία, ἢ ἄλλη πρόφασις εὔλογος τὴν συνέλευσιν παρεμποδίσει· τοὺς δὲ μὴ οὕτω ποιοῦντας ἀρχιερεῖς τοῖς κανονικοῖς ἐπιτιμίοις ὑποκεῖσθαι· ἀλλὰ καὶ τοὺς πολιτικοὺς ἄρχοντας, τοὺς κωλύοντας τοῦτο γίνεσθαι, ἀφορίζεσθαι. Ὅτε μέντοι, φησὶν, ἡ σύνοδος γένηται, ὀφείλουσιν οἱ ἐπίσκοποι φροντίζειν τοῦ φυλάττεσθαι τὰς εὐαγγελικὰς καὶ κανονικὰς παραδόσεις, καὶ τὰς ἄλλας ἐντολὰς τοῦ Θεοῦ. Καὶ κανονικαὶ μὲν παραδόσεις εἰσὶν οἱ εὔλογοι καὶ παράλογοι ἀφορισμοὶ, αἱ καταταγαὶ τῶν κληρικῶν, αἱ διοικήσεις (1) τῶν ἐπισκοπικῶν πραγμάτων, καὶ τὰ τοιαῦτα. Εὐαγγελικαὶ δὲ παραδόσεις καὶ ἐντολαὶ τοῦ Θεοῦ, τὸ βαπτίζειν (2) εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· τὸ, Μὴ μοιχεύσῃς, Μὴ πορνεύσῃς, μὴ ψευδομαρτυρήσῃς, καὶ τὰ ὅμοια. Ἐπεὶ δὲ ἔμαθον οἱ Πατέρες, ὅτι ἐν ταῖς συνελεύσεσι τῶν ἐπισκόπων μητροπολῖταί τινες κατεξουσιάζουσιν αὐτῶν, καὶ ἀπαιτοῦσιν ἵππους, ἢ ἕτερά τινα εἴδη, ὥρισαν καὶ τοῦτο σχολάσαι, καὶ τὸν τοιοῦτόν τι ποιήσοντα μητροπολίτην, ἀντιστρέφειν τὸ διδόμενον εἰς τὸ τετραπλοῦν. Καλῶς δ' εἶπεν ὁ κανὼν, μὴ ἔχειν ἐπ' ἀδείας τὸν μητροπολίτην ἀπαιτεῖν τι ἐξ ὧν ὁ ἐπίσκοπος ἐπιφέρεται· εἰ γὰρ ἑκοντὶ ὁ ἐπίσκοπος θελήσει δεξιώσασθαι τὸν μητροπολίτην αὐτοῦ διά τινος πράγματος, οὐ κωλυθήσεται τοῦτο ποιεῖν. Ζήτει τὸ ή. κεφ. τοῦ ή. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὸν ή. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου.

ΑΡΙΣΤ. Ἐπεὶ μὴ δυνατὸν, κατὰ τὸ πάλαι δόξαν, δὶς τοῦ ἔτους γίνεσθαι σύνοδον· γινέσθω ἅπαξ κατὰ τὸ δόξαν τῇ ἕκτῃ· καὶ ὁ κωλύσας ἄρχων, ἀφοριζέσθω· καὶ ὁ ἀμελήσας ἐπίσκο-

(1) Χ. Τρ. — αἱ παραδόσεις Βευερ. Ἑ. — (2) Χ. Τρ. — βαπτίζεσθαι Βευερ. Ἑ.

πος, ἐπιτιμάσθω. Τῆς συνόδου δὲ γινομένης, εἴπερ ὁ μητροπολίτης ἀφέληταί τι τῶν τοῦ ἐπισκόπου, ἀποτίσει τετραπλάσιον.

Βεβαιοῖ καὶ αὕτη ἡ σύνοδος τὸ ἅπαξ τοῦ ἐνιαυτοῦ γίνεσθαι σύνοδον ἐν ἑκάστῃ ἐπαρχίᾳ· καὶ τὸν μὲν κατὰ χώραν ἄρχοντα, εἰ εὑρεθῇ κωλύων τὴν τῶν ἐπισκόπων συνέλευσιν, τὴν διὰ κανονικὰ καὶ εὐαγγελικὰ πράγματα γινομένην, ἀφορίζει· τὸν δὲ μητροπολίτην τὸν ἀμελοῦντα τοῦτο γενέσθαι, ἄνευ τινὸς ἀνάγκης καὶ βίας, κανονικοῖς ἐπιτιμίοις καθυποβάλλει. Προστάττει δὲ καὶ τὸ μὴ ἔχειν ἄδειαν τὸν μητροπολίτην ἀφαιρεῖσθαί τι ὧν οἱ ἐπίσκοποι ἐπιφέρονται μεθ' ἑαυτῶν, ἢ κτῆνος, ἢ ἕτερον εἶδος. Εἰ δὲ ἐλεγχθῇ ἀφελόμενός τι ἐξ αὐτῶν, ἀπαιτεῖσθαι τοῦτο εἰς τὸ τετραπλάσιον.

Κανὼν Ζ'.

Ἔφη Παῦλος ὁ θεῖος Ἀπόστολος(1)· Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι (2) πρόδηλοί εἰσι· τισὶ δὲ καὶ ἐπακολουθοῦσιν. Ἁμαρτιῶν οὖν προκαταλαμβανουσῶν(3), καὶ ἕτεραι ἁμαρτίαι ἕπονται (4) ταύταις. Τῇ οὖν ἀσεβεῖ αἱρέσει τῶν χριστιανοκατηγόρων καὶ ἄλλα ἀσεβήματα συνηκολούθησαν. Ὥσπερ γὰρ τὴν τῶν σεπτῶν εἰκόνων ἀφείλοντο ὄψιν ἐκ τῆς ἐκκλησίας (5), καὶ ἕτερά τινα ἔθη παραλελοίπασι, ἃ χρὴ ἀνανεωθῆναι, καὶ κατὰ (6) τὴν ἔγγραφον καὶ ἄγραφον θεσμοθεσίαν οὕτω κρατεῖν. Ὅσοι οὖν σεπτοὶ ναοὶ καθιερώθησαν ἐκτὸς ἁγίων λειψάνων μαρτύρων, ὁρίζομεν ἐν αὐτοῖς κατάθεσιν γίνεσθαι λειψάνων μετὰ τῆς συνήθους εὐχῆς (7). Ὁ δὲ ἄνευ ἁγίων λειψάνων καθιερῶν ναόν, καθαιρείσθω, ὡς παραβεβηκὼς τὰς ἐκκλησιαστικὰς παραδόσεις.

ΖΩΝΑΡ. Τοῦτο τὸ ἀποστολικὸν ῥητόν, ὁ μὲν μέγας Βασί-

(1) Τιμόθ. Ἐ, 24. — (2) Χ. Τρ. Π. — τινῶν ἁμαρτίαι ἀνθρώπων Βευερ. — (3) Χ. Τρ. Π. ἁμαρτιῶν γὰρ Βευερ. — προκαταλαβουσῶν Π. — (4) παρέπονται Σ. Ῥ. — (5) ἐκ τῶν ἐκκλησιῶν Χ. Τρ. — (6) ἡ, κατὰ, οὐ κεῖται ἐν Χ. Τρ. — (7) τὸ, μετὰ τῆς συνήθους εὐχῆς, οὐ κεῖται ἐν Χ. Τρ.

λειος ἄλλως ἐξελάβετο. Οὗτοι δὲ οἱ Πατέρες ἐνταῦθα ἁπλοϊκώτερον ἐδέξαντο τὸ, ἐπακολουθοῦσι, τὸ ἕπεσθαι δηλονότι ταῖς προλαβούσαις ἁμαρτίαις καὶ ἑτέρας· καὶ τοῦτο ἐκβῆναί, φασιν, ἐπὶ τῶν εἰκονομάχων. Ἐκείνους γὰρ ὀνομάζουσι χριστιανοκατηγόρους, ὡς κατηγοροῦντας τῶν Χριστιανῶν εἰδωλολατρείαν· οὐ μόνον γὰρ τὰς ἐκκλησίας τοῦ κόσμου τῶν σεπτῶν εἰκόνων ἐστέρησαν, ἀλλὰ καὶ ἔθη παλαιὰ παραλελοίπασιν, ἃ καὶ ἀνανεοῦσιν οὗτοι· ἵνα καὶ ἡ ἔγγραφος θεσμοθεσία, καὶ ἡ ἄγραφος συνήθεια κρατῇ. Τὸ δὲ παραλειφθὲν ἔθος ἦν, τὸ ἐν ταῖς καθιερώσεσι τῶν θείων ναῶν μὴ γίνεσθαι καταθέσεις λειψάνων ἁγίων. Ὅσοι οὖν, φασι, χωρὶς καταθέσεως ἁγίων λειψάνων καθιερώθησαν ναοί, δεξάσθωσαν νῦν καὶ ἅγια λείψανα, κατατιθέμενα ἐν αὐτοῖς. Ὁ δὲ καθιερῶν (1) ναὸν χωρὶς ἱερῶν λειψάνων, καθαιρείσθω, ὡς παραβάτης τῶν ἐκκλησιαστικῶν παραδόσεων.

ΒΑΛΣ. Ἔθος ἦν ἐκκλησιαστικὸν, τοὺς θείους ναοὺς καθιεροῦσθαι διὰ ἁγίων λειψάνων μαρτυρικῶν. Οἱ δὲ χριστιανοκατήγοροι, ἤγουν εἰκονοκαῦται, οἱ λέγοντες τοὺς προσκυνητὰς τῶν σεπτῶν καὶ ἁγίων εἰκόνων εἰδωλολάτρας, ἐπέκεινα τῆς αἱρέσεως αὐτῶν, καὶ τῆς κατὰ τῶν ὀρθοδόξων μανίας, καὶ σεπτοὺς ναοὺς καθιέρωσαν ἐκτὸς ἁγίων λειψάνων. Φασὶν οὖν οἱ Πατέρες, ὅτι ταῖς ἀνθρωπίναις ἁμαρτίαις ἐπακολουθοῦσι καὶ ἕτεραι ἁμαρτίαι, κατὰ τὸν μέγαν Ἀπόστολον Παῦλον. Καὶ ἐπεὶ τῇ αἱρέσει τῶν εἰκονομάχων καὶ ἄλλα κακὰ ἐπηκολούθησαν, (παρελείφθησαν γὰρ ἔθιμα ἐκκλησιαστικὰ ἀναγκαῖα), ὁρίζομεν τοὺς καθιερωθέντας ναοὺς ἄνευ ἁγίων λειψάνων, πάλιν καθιερωθῆναι διὰ λειψάνων, καὶ ἐφεξῆς οὕτω γίνεσθαι· τοὺς δὲ καθιεροῦντας ναοὺς χωρὶς ἁγίων λειψάνων, καθαιρεῖσθαι· καὶ ὁ μὲν κανὼν ταῦτα. Εἶπε δέ τις· καὶ πῶς ἄνευ καταθέσεως λειψάνων σήμερον τὰ εὐκτήρια καθιεροῦνται; καὶ διὰ τί οὐ γίνονται ἱεροτελεστίαι ἐν αὐτοῖς καὶ παρὰ ἐπισκόπων, ἀλλὰ παρὰ ἱερέων μόνον; καὶ ἤκουσεν, ὡς τὰ γινόμενα παρὰ τῶν ἀρχιερέων ἀντιμίνσια, καθ' ὃν καιρὸν καθιέρωσις ναοῦ γίνεται, διδόμενα (2) εἰς εὐκτηρίους οἴκους, ἀρκοῦσιν ἀντὶ καθιερώσεως, ἤτοι

(1) καθιστῶν Χ. Τρ. — (2) Χ. Τρ. — διαδιδόμενα Βευερ. Ἐ.

ἐνθρονισμοῦ, καὶ ἐγκαινίων, καὶ ἀνοιξίων· διὰ τοῦτο γὰρ καὶ ἀντιμίνσια ἐκλήθησαν, ἤτοι ἀντιπρόσωπα καὶ ἀντίτυπα τῶν πολλῶν τοιούτων μίνσων, τῶν καταρτιζόντων τὴν ἁγίαν δεσποτικὴν τράπεζαν. Οἱ μέντοι ἀρχιερεῖς οὐ ποιοῦσιν ἱεροτελεστίας εἰς εὐκτηρίους ἀνενθρονίστους ναούς, διότι τὸ τῆς ἀρχιερωσύνης (1) ἀξίωμα ὑποβιβάζεται, θρόνου μὴ ὄντος αὐτίκα εἰς ὃν ἀποστολικῶς ὁ ἐπίσκοπος καθιδρύεται, μηδὲ τῶν ἄλλων τῶν συνιστώντων τὴν τοῦ ναοῦ καθιέρωσιν καὶ εὐπρέπειαν. Ἐρωτήσαντες δέ τινες, πότε ἡ καθιέρωσις γίνεται τῶν ἐκκλησιῶν; ἤκουσαν, ὅτι ἡ μὲν πῆξις τοῦ θεμελίου δἰ εὐχῆς μόνης τοῦ κατὰ χώραν ἐπισκόπου καὶ σταυροπηγίου (2) γίνεται· ἡ δὲ καθιέρωσις, μετὰ τὸν ἀπαρτισμὸν τοῦ ναοῦ, ὅτε τελοῦνται τὰ ἀνοίξια, καὶ ὁ ἐνθρονισμός, καὶ ὁ ἅπαξ τούτου ἀπαρτισμός, ὑπὸ ἁγίου μύρου χριομένου, καὶ λείψανα μαρτυρικὰ ὑποδεχομένου. Διενισταμένου δέ τινος, ὀφείλειν καθαιρεθῆναι ἀρχιερέα τινὰ ποτὲ εἰς ἀνενθρόνιστον ἐκκλησίαν ἱερουργήσαντα, καθὼς καθαιρεῖται καὶ ὁ καθιερῶν ναὸν ἄνευ ἁγίων λειψάνων, ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης κὺρ Λουκᾶς ἀπεφήνατο ἄλλως πως τὸν τοιοῦτον ἀρχιερέα κολασθῆναι, κατὰ τὸ δοκοῦν δηλαδὴ τῇ συνόδῳ, οὐ μὴν διὰ καθαιρέσεως, ὅτι κατὰ πολὺ ἀκατάλληλά εἰσι τὰ ἐπταισμένα.

ΑΡΙΣΤ. Κατατιθέσθω μαρτύρων ἅγια λείψανα ἐν τοῖς ἄνευ αὐτῶν καθιερωθεῖσι ναοῖς, μετὰ τῆς συνήθους εὐχῆς· ὁ δὲ ἄνευ τούτων καθιερώσας, καθαιρείσθω, ὡς παραβὰς τὰς ἐκκλησιαστικὰς παραδόσεις.

Ὅσοι μὲν ναοὶ πρὸ τῆς συνόδου ταύτης, ἄνευ τῆς συνήθους εὐχῆς τῶν ἐπισκόπων, καὶ λειψάνων ἁγίων Μαρτύρων, ἀνῳκοδομήθησαν, ὠρίσθη γενέσθαι κατάθεσιν ἐν αὐτοῖς λειψάνων ἁγίων, καὶ τὴν συνήθη εὐχὴν τελεσθῆναι· ὅσοι δὲ μετὰ τὴν σύνοδον ταύτην εὑρεθῶσι χωρὶς λειψάνων καθιεροῦντες ναόν, καθαιρεῖσθαι κατεδικάσθησαν, ὡς παραβάται τῶν ἐκκλησιαστικῶν παραδόσεων.

---

(1) Χ. Τρ. — ἱερωσύνης Βευερ. Ἐ. — (2) Χ. Τρ. — δι' εὐχῆς μόνης καὶ σταυροπηγίου, Βευερ. Ἐ.

Κανὼν Η'.

Ἐπειδὴ πλανώμενοί τινες ἐκ τῆς τῶν Ἑβραίων θρησκείας, μυκτηρίζειν ἔδοξαν Χριστὸν τὸν Θεὸν ἡμῶν, προσποιούμενοι μὲν χριστιανίζειν, αὐτὸν δὲ ἀρνούμενοι κρύβδην, καὶ λαθραίως σαββατίζοντες, καὶ ἕτερα Ἰουδαϊκὰ ποιοῦντες· ὁρίζομεν τούτους, μήτε εἰς κοινωνίαν, μήτε εἰς εὐχὴν, μήτε εἰς ἐκκλησίαν δέχεσθαι, ἀλλὰ φανερῶς εἶναι κατὰ τὴν ἑαυτῶν θρησκείαν Ἑβραίους (1), καὶ μήτε τοὺς παῖδας αὐτῶν βαπτίζειν, μήτε δοῦλον ὠνεῖσθαι, ἢ κτᾶσθαι. Εἰ δὲ ἐξ εἰλικρινοῦς πίστεως ἐπιστρέψει τις αὐτῶν, καὶ ὁμολογήσει ἐξ ὅλης καρδίας, θριαμβεύων τὰ κατ' αὐτοὺς (2) ἔθη καὶ πράγματα, πρὸς τὸ καὶ ἄλλους ἐλεγχθῆναι καὶ διορθώσασθαι, τοῦτον προσδέχεσθαι, καὶ βαπτίζειν, καὶ (3) τοὺς παῖδας αὐτοῦ, καὶ ἀσφαλίζεσθαι αὐτοὺς ἀποστῆναι τῶν Ἑβραϊκῶν ἐπιτηδευμάτων· εἰ δὲ μὴ οὕτως ἔχοιεν, μηδαμῶς αὐτοὺς προσδέχεσθαι.

—

ΖΩΝΑΡ. Τινὲς Ἰουδαῖοι προσήρχοντο τῷ δοκεῖν τῇ πίσει, καὶ προσεποιοῦντο γίνεσθαι Χριστιανοί· ἐκεῖνοι δὲ ἐμυκτήριζον τὸν Χριστὸν, ἀντὶ τοῦ, ἐνέπαιζον, κρυφίως αὐτὸν ἀρνούμενοι, καὶ λεληθότως τὰ σάββατα φυλάσσοντες, καὶ ἄλλα Ἰουδαϊκὰ ποιοῦντες, οἷον περιτέμνοντες τοὺς παῖδας αὐτῶν, ἀκαθάρτους ἡγούμενοι τοὺς νεκροὺς προσψαύσαντας, καὶ τοὺς λεπροὺς, καὶ τοὺς γονοῤῥυεῖς, καὶ ἄλλα τοιαῦτα, ὅσα τῷ παλαιῷ ἀπηγόρευται νόμῳ. Τοὺς γοῦν τοιούτους ὥρισεν ἡ σύνοδος, μήτε εἰς κοινωνίαν δέχεσθαι, μήτε συνεύχεσθαι αὐτοῖς, μήτε ὅλως εἰς ἐκκλησίαν εἰσιέναι παραχωρεῖν· εἶναι δὲ Ἑβραίους καὶ αὖθις κατὰ τὸ φανερὸν, καὶ μηδὲ τοὺς παῖδας αὐτῶν βαπτίζειν, μήτε παραχωρεῖν αὐτοῖς δούλους ὠνεῖσθαι. Τὸ γὰρ Χριστιανὸν ἀνδράποδον κτᾶσθαι Ἰουδαῖον, καὶ ὁ πολιτικὸς κωλύει νόμος. Οἱ δὲ

(1) ἀλλὰ φανερῶς ἔστωσαν . . . Ἑβραῖοι Σ. 'Ρ. 'Ε. Κ. — (2) Π. — κατ' αὐτὸν Χ. Τρ. — κατ' αὐτῶν Βευερ. 'Ε. Κ. — (3) Σ. 'Ρ. Χ. Τρ. — ὁ, καὶ, οὐ κεῖτα παρὰ Βευερ. καὶ Π.

τάχα τῇ πίστει προσελθόντες, ὡς Χριστιανοὶ, οὐκ ἐκωλύοντο δούλους ὠνεῖσθαι. Ἐπεὶ δὲ ὑποκεκρυμμένως τοῦτο ἐποίουν, φησὶν ἡ σύνοδος μὴ ἐξεῖναι αὐτοῖς δούλους ὠνεῖσθαι, ἢ ἄλλως κτᾶσθαι, ἐκ δωρεᾶς, τυχὸν, ἢ ἀνταλλαγῆς, ἢ ἑτέρῳ τρόπῳ. Εἰ δὲ ἐξ εἰλικρινοῦς καὶ καθαρᾶς πίστεως, ἀντὶ τοῦ, καθαρῶς καὶ ἀνυποκρίτως, πιστεύσας ἐπιστρέψει τις αὐτῶν, καὶ ὁμολογήσει ἐξ ὅλης καρδίας, ἀντὶ τοῦ, τὰ αὐτὰ ἡμῖν λέγει, καὶ τὰ ἔθη τὰ οἰκεῖα, καὶ ὅσα πράττουσι, θριαμβεύει, ἤγουν εἰς τὸ φανερὸν προτίθησι, καὶ συντίθεται μὴ ποιεῖν, ὥστε καὶ ἄλλους ἐλεγχθῆναι ὁμοπίστους αὐτῷ, καὶ διορθωθῆναι, τὸν τοιοῦτον προσδέχεσθαι, καὶ βαπτίζειν, καὶ τοὺς παῖδας αὐτοῦ, καὶ ἀκριβῶς προσέχειν αὐτοῖς, ὥστε ἀποστῆναι τῶν ἑβραϊκῶν ἐπιτηδευμάτων· ἄλλως δὲ αὐτοὺς μὴ προσδέχεσθαι. Καὶ ὁ μέγας δὲ Βασίλειος, ἐν πέμπτῳ κανόνι, Τοὺς μετανοοῦντας δεῖ, φησι, δέχεσθαι, οὐκ ἀκρίτως δὲ, ἀλλὰ δοκιμάζειν, εἰ ἀληθῶς καὶ γνησίως μετανοοῦσι. Καὶ ὁ πολιτικὸς νόμος πολλὴν ποιεῖσθαι θεσπίζει περὶ τῶν προσερχομένων Ἰουδαίων τὴν ἀκριβολογίαν.

ΒΑΛΣ. Ἰουδαῖοί τινες, ἔνοχοι καταστάντες ἐπί τισιν ὑποθέσεσι, καὶ θέλοντες ταύτας ἐκφυγεῖν, προσήρχοντο τῇ ὀρθοδόξῳ πίστει, καὶ προσεποιοῦντο μὲν τὰ τῶν Χριστιανῶν φρονεῖν, τῇ ἀληθείᾳ δὲ τὰ τῶν Ἰουδαίων ἐφρόνουν, λάθρα σαββατίζοντες, καὶ τὰ ἡμέτερα διασύροντες. Ἐβάπτιζον δὲ καὶ τοὺς παῖδας αὐτῶν, καὶ ἄλλα τινὰ ἐποίουν εὐσεβῆ, ὡς ἂν φαίνωνται τάχα ὀρθόδοξοι. Φασὶν οὖν οἱ Πατέρες, μὴ δέχεσθαι τούτους εἰς κοινωνίαν οἱανδήτινα, μηδὲ παραχωρεῖν τοὺς παῖδας αὐτῶν βαπτίζεσθαι, μηδὲ δοῦλον Χριστιανὸν ὁπωσδήποτε κτᾶσθαι, ἀλλὰ φανερῶς κατὰ τὴν τῶν Ἑβραίων θρησκείαν αὐτοὺς πολιτεύεσθαι. Εἰ δέ τις ἐξ αὐτῶν ἀπὸ τῆς Ἰουδαϊκῆς θρησκείας πρὸς τὴν ὀρθόδοξον πίστιν ἐπιστρέψει μετὰ καθαρᾶς διαθέσεως, καὶ ἄνευ ἀνάγκης, ἢ προσποιήσεως, καὶ ἀποτάξεται (1) τοῖς Ἰουδαϊκοῖς ἔθεσιν, καὶ ὁλοψύχως θριαμβεύσει αὐτὰ, καὶ ὁμολογήσει τὰ παρά τινων κατὰ σκῆψιν γινόμενα, καὶ εἰς ἐμπαιγμὸν ἀφορῶντα τῆς πίστεως τῶν Χριστιανῶν, ἐφ᾽ ᾧ κἀκείνους ἐλεγχθῆναι

(1) καὶ ἀντίως ἄξεται 'Ε.

καὶ διορθωθῆναι, προσδέχεσθαι τοῦτον καὶ τοὺς παῖδας αὐτοῦ εἰς κοινωνίαν, καὶ βαπτίζειν, ἀσφαλιζομένους ἀπέχειν ἀπὸ τῶν Ἰουδαϊκῶν παραδόσεων, καὶ ἐπιτηδευμάτων. Σημείωσαι οὖν ταῦτα διὰ τοὺς ἱερεῖς, τοὺς βαπτίζοντας τοὺς παῖδας τῶν Ἀγαρηνῶν, καὶ ὅτι τὸ διὰ θεραπείαν σωματικὴν ζητούμενον ὑπὸ τούτων βάπτισμα ἀπαράδεκτόν ἐστι (1). Τὸ μέν τοι μδ'. κεφ. τοῦ ά. τίτ. τοῦ ά. βιβλίου τῶν βασιλικῶν φησι· Ἰουδαῖος τὸ θέλειν εἶναι Χριστιανὸς προσποιούμενος, ὡς ἂν τὴν κατ᾽ αὐτοῦ κατηγορίαν, ἢ τὴν ἀπὸ χρέους ἀγωγὴν, παραμένων τῇ ἐκκλησίᾳ φεύγῃ μὴ πληρώσας τὰ χρέη, ἢ ἐλευθερωθεὶς τοῦ ἐγκλήματος, μὴ δεχέσθω. Ζήτει καὶ τὸ μζ'. κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου· Ἰουδαῖος Χριστιανὸν ἀνδράποδον μὴ ἐχέτω, μήτε κατηχούμενον περιτεμνέτω· μήτε ἄλλος αἱρετικὸς Χριστιανὸν ἀνδράποδον ἐχέτω· καὶ τὸ νδ'. κεφ. Σαμαρείτης δὲ οὐδεὶς Χριστιανὸν οἰκέτην ἕξει, ἀλλ᾽ ἅμα τῷ κτήσασθαι τοῦτον εὐθέως εἰς ἐλευθερίαν ἁρπάζεσθαι· εἰ δὲ τῆς ὁμοίας αὐτῷ ὁ οἰκέτης κακοδοξίας εἴη, ἐξέστω αὐτῷ, τὴν τῶν Χριστιανῶν ἀσπαζομένῳ δόξαν, εὐθὺς καὶ τῆς Ῥωμαϊκῆς ἀπολαύειν ἐλευθερίας.

ΑΡΙΣΤ. Ἑβραίους μὴ χρῆναι προσδέχεσθαι, εἰ μὴ φαίνοιντο ἐξ εἰλικρινοῦς καρδίας ἐπιστρέφοντες. Σαφής.

Κανὼν Θ'.

Πάντα τὰ μειρακιώδη ἀθύρματα, καὶ μανιώδη βακχεύματα, τὰ ψευδοσυγγράμματα, τὰ κατὰ τῶν σεπτῶν εἰκόνων γινόμενα, δέον δοθῆναι τῷ ἐπισκόπῳ Κωνσταντινουπόλεως, ἵνα ἀποτεθῶσι μετὰ τῶν λοιπῶν αἱρετικῶν βιβλίων. Εἰ δέ τις εὑρεθείη ταῦτα κρύπτων· εἰ μὲν ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἢ μοναχὸς, ἀφοριζέσθω.

—

ΖΩΝΑΡ. Οἱ κατὰ τῶν ἁγίων εἰκόνων λυττήσαντες, καὶ εἴδωλα ταύτας καλοῦντες, καὶ συγγράμματα συνεγράψαντο συγ-

(1) τὰ, ἀπὸ τοῦ Σημείωσαι, ἕως τοῦ, ἐστί, κεῖται ἐν Χ. Τρ. ἐν περισελ.

κροτοῦντα τὴν δόξαν αὐτῶν, ἅτινα ἡ ἁγία αὕτη σύνοδος ὠνόμασε μειρακιώδη ἀθύρματα, ἤτοι παιδικὰ παίγνια, καὶ μανιώδη βακχεύματα. Αἱ βάκχαι χορὸς ἦσαν γυναικῶν μαινομένων, ἀκολουθοῦσαι τῷ Διονύσῳ· ὁ δὲ Διόνυσος, Θεὸς τοῖς Ἕλλησιν ἐνομίζετο, ἔφορος τῆς μέθης, μεθύων κἀκεῖνος, καὶ παράφορος ὤν. Ὥσπερ οὖν αἱ Βάκχαι ὑπὸ μανίας κρατούμεναι, οὐδὲν σωφρόνως ἐποίουν, ἀλλ᾽ ἐμμανῶς ἐκινοῦντο· οὕτω καὶ τοὺς τὰ συγγράμματα ἐκεῖνα ποιήσαντας, οἱ τῆς συνόδου λέγουσι κινηθῆναι πρὸς συγγραφὴν μανιωδῶς, καὶ παρακεκομμένως, ἀλλ᾽ οὐ σωφρόνως. Ἐκεῖνα οὖν τὰ συγγράμματα, ὁρίζει παρὰ μηδενὸς κρύπτεσθαι, ἀλλὰ δοθῆναι παρὰ τῶν ἐχόντων αὐτά, ἵν᾽ ἀποτεθεῖεν μετὰ τῶν ἄλλων αἱρετικῶν βιβλίων· τοὺς δὲ κρύπτοντας ταῦτα ἐπισκόπους, ἢ ἄλλους ἱερωμένους, καθαιρεῖσθαι· λαϊκοὺς δὲ, καὶ μοναχοὺς, ἀφορίζεσθαι.

ΒΑΛΣ. Τῆς τῶν χριστιανοκατηγόρων, ἤτοι τῶν Εἰκονοκαυτῶν, αἱρέσεως κρατησάσης ἐπὶ πολὺ, οἱ ταύτῃ προσκείμενοι διὰ γραφῶν τὰς κατὰ τῶν ἁγίων εἰκόνων βλασφημίας αὐτῶν ἐστηλίτευον. Φασὶν οὖν οἱ Πατέρες, ὀφείλειν ταύτας δοθῆναι, ἐφ᾽ ᾧ ἀποτεθῆναι ἐν τῷ ἐπισκοπείῳ τῆς Κωνσταντινουπόλεως, ἔνθα ἀπόκεινται καὶ τὰ λοιπὰ βιβλία τῶν αἱρετικῶν. Τοὺς δὲ κρύπτοντας ταῦτα, ἱερωμένους μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἢ μοναχοὺς, ἀφορίζεσθαι. Καλῶς δὲ ὠνόμασαν οἱ Πατέρες τὰ τοιαῦτα συγγράμματα μειρακιώδη ἀθύρματα, ἤγουν νηπιώδη παίγνια, καὶ μανιώδη βακχεύματα, ἤτοι μαινομένων Βακχῶν φλυαρήματα, ὅτι εὐδιάλυτα καὶ εὐκατάσειστά εἰσιν, ὡς τὰ τῶν μειρακίων παίγνια, καὶ ἀξιογέλαστα, ὡς τὰ τῶν μαινομένων ἔργα καὶ μεθυόντων· αἱ Βάκχαι γὰρ χοροὶ ἦσαν μαινομένων, ἑπόμενοι τῷ ἐφόρῳ τῆς μέθης ψευδωνύμῳ θεῷ, τῷ Διονύσῳ. Οἱ μέν τοι νόμοι τὰ τῶν αἱρετικῶν βιβλία διορίζονται καίεσθαι· καὶ ζήτει κεφ. γ΄. τοῦ ιβ΄. τίτλου τοῦ παρόντος συντάγματος, καὶ εὑρήσεις ἐν αὐτῷ κατεστρωμένα κεφάλαια διάφορα, τοῦτ᾽ αὐτὸ παρακελευόμενα. Εἴποι δέ τις, δι᾽ ἣν αἰτίαν ὁ μὲν κανὼν τὰ τῶν χριστιανοκατηγόρων βιβλία ἀποτίθεσθαι ἐν τῷ ἐπισκοπείῳ διορίζεται, οἱ νόμοι δὲ καίε-

σθαι ταῦτα ἐπιτρέπουσι (1); Λύσις. Ταυτόν ἐστι τὸ καυθῆναι τὰ βέβηλα συγγράμματα τῶν αἱρετικῶν, καὶ τὸ ἀποτεθῆναι ἐν τῷ ἐπισκοπείῳ τῆς Κωνσταντινουπόλεως· οὔτε γὰρ καιόμενα εἰς ἀνάγνωσιν ἔλθοιεν, οὔτε ἐν τοιούτῳ ἀσύλῳ τόπῳ ἀποτιθέμενα, θεατὰ γενήσεταί τινι. Ὁ γοῦν καύσας ταῦτα, καὶ μὴ ἀποθέμενος ἐν τῷ ἐπισκοπείῳ, τῷ κανόνι οὐχ ὑποκείσεται, ὡς μηδὲ ὑπεναντίως αὐτῷ διαπραξάμενος. Ἐπισκοπεῖον δὲ τῆς Κωνσταντινουπόλεως τὸ πατριαρχεῖόν ἐστιν. Ἐπεὶ δὲ τὸ μεγαλεῖον τοῦ πατριαρχικοῦ θρόνου διάφορα μὲν σέκρετα ἔχει ὑφ' ἑαυτὸ, ἰδικῶς δὲ ἀφωρίσθησαν τῷ σεκρέτῳ τοῦ χαρτοφυλακείου τὰ ἐπισκοπικὰ δίκαια, καὶ ὁ κατὰ καιροὺς Χαρτοφύλαξ ἐνεργεῖ, δικαίῳ τοῦ κατὰ καιροὺς ἁγιωτάτου πατριάρχου, πάντα τὰ τούτῳ ἀνήκοντα, ὡς ἐπισκόπῳ· ἀφορίζει γάρ· διορθοῦται ψυχικὰ σφάλματα· διακόνους καὶ ἱερεῖς ἐπιτρέπει χειροτονεῖσθαι· τὰ τῶν ἱεροτελεστιῶν πιττάκια ἐκτίθεται, καὶ ἄλλα τοιαῦτά τινα· καλῶς ἐπισκοπεῖον κληθήσεται τὸ χαρτοφυλακεῖον.

ΑΡΙΣΤ. Εἴ τις εὑρεθείη κρύπτων βιβλίον κατὰ τῶν σεπτῶν εἰκόνων συντεθὲν, τοῦ μὲν ἱεροῦ ὢν καταλόγου, καθαιρείσθω· λαϊκὸς δὲ, ἢ μοναχὸς, ἀφοριζέσθω. Σαφής.

Κανὼν Ι'.

Ἐπειδή τινες τῶν κληρικῶν, παραλογιζόμενοι τὴν κανονικὴν διάταξιν, ἀπολιπόντες τὴν ἑαυτῶν παροικίαν εἰς ἑτέραν παροικίαν ἐκτρέχουσι, κατὰ τὸ (2) πλεῖστον δὲ ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει (3), καὶ εἰς ἄρχοντας προσεδρεύουσιν, ἐν τοῖς αὐτῶν εὐκτηρίοις τὰς λειτουργίας ποιοῦντες, τούτους, χωρὶς τοῦ ἰδίου ἐπισκόπου καὶ τοῦ Κωνσταντινουπόλεως, οὐκ ἔξεστι δεχθῆναι ἐν οἱῳδήποτε οἴκῳ, ἢ ἐκκλησίᾳ· εἰ δέ τις τοῦτο ποιήσει, ἐπιμένων, καθαιρείσθω. Ὅσοι δὲ μετ' εἰδήσεως τῶν προ-

(1) Χ. Τρ. 'Ε. — παρὰ δὲ Βευερ. οὐ κεῖνται τὰ ἀπὸ τοῦ, οἱ νόμοι δέ.

(2) Χ. Τρ. — κατὰ πλεῖστον Π. Βευερ. — (3) εἰς ταύτην τὴν . . . πόλιν Χ. Τρ.

λεχθέντων ἱερέων τοῦτο ποιοῦσιν (1), οὐκ ἔξεστιν αὐτοῖς, κοσμικὰς καὶ βιωτικὰς φροντίδας ἀναλαμβάνεσθαι, ὡς κεκωλυμένοις τοῦτο ποιεῖν παρὰ τῶν θείων κανόνων. Εἰ δέ τις φωραθείη τῶν λεγομένων μειζοτέρων τὴν φροντίδα ἐπέχων, ἢ παυσάσθω, ἢ καθαιρείσθω. Μᾶλλον μὲν οὖν ἴτω πρὸς διδασκαλίαν τῶν τε παίδων καὶ τῶν οἰκετῶν, ἐπαναγινώσκων αὐτοῖς (2) τὰς θείας Γραφάς· εἰς τοῦτο γὰρ καὶ τὴν ἱερωσύνην ἐκληρώσατο.

ΖΩΝΑΡ. Πολλοὶ περὶ τούτου τοῦ κεφαλαίου κανόνες εἰσὶ καὶ ἀποστολικοί, καὶ συνοδικοί· ἀλλ' εἰς ἐκκοπὴν οὐκ ἤρκεσαν τοῦ κακοῦ. Διὸ καὶ ἡ σύνοδος αὕτη τὸν κανόνα τοῦτον ἐξέθετο, δύο ἐνταυτῷ κωλύοντα ἄθεσμα, τό τε ἀπὸ πόλεως εἰς πόλιν, μηδ' εἰς ταύτην τὴν βασιλίδα τῶν πόλεων, προστρέχειν κληρικοὺς ἀλλοτρίους, καὶ ἄρχουσι προσιέναι, καὶ ἐν τοῖς εὐκτηρίοις τῶν οἴκων αὐτῶν λειτουργεῖν, ἄνευ γνώμης τοῦ ἰδίου ἐπισκόπου, ὃν ἀπέλιπον, καὶ τοῦ Κωνσταντινουπόλεως, οὗ τῇ ἐνορίᾳ προσῆλθον· εἰ δὲ μή, καθαιρεῖσθαι αὐτούς. Καὶ τό, κἂν παραχωρηθῶσιν ὑπὸ τῶν εἰρημένων ἐπισκόπων λειτουργεῖν ἐν εὐκτηρίῳ οἴκῳ, μὴ κοσμικὰς καὶ βιωτικὰς φροντίδας ἀναδέχεσθαι, προνοητὰς (3) γινομένους, ἢ λογαριαστάς, ἢ ἄλλας τοιαύτας μεταχειριζομένους φροντίδας. Εἰ δέ τι τοιοῦτον, φασὶν οἱ τῆς συνόδου Πατέρες, εὑρεθεῖέν τινες ποιοῦντες, ἢ παυσάσθωσαν, ἢ καθαιρείσθωσαν. Ἡ τῶν λεγομένων δὲ μειζοτέρων φροντίς, ἣν ὁ κανὼν οὗτος λέγει, ἐστίν, ὡς ἐκ τοῦ ιά. κανόνος τῆς πρώτης καὶ δευτέρας συνόδου, τῆς συστάσης ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων, γνῶναί ἐστιν, ἡ ἐν ἀγροῖς ἀρχοντικοῖς λεγομένη κουρατωρεία, ὅπου καὶ μειζότεροι ὠνομάζοντο. *Κοσμικὰς μὲν οὖν φροντίδας ὑπεισιέναι οἱ ἱερωμένοι κωλύονται· παιδεύειν δέ, καὶ διδάσκειν παῖδας ἀρχόντων, καὶ δούλους, καὶ τὰ τούτων ἤθη ῥυθμίζειν, οὐ κωλύονται* (4).

---

(1) ποιήσωσι Χ. Τρ. — (2) Χ. Τρ. — τό, αὐτοῖς, οὐ κεῖται ἐν Π. καὶ παρὰ Βευερ. καὶ Κ. — (3) Χ. Τρ. — προνοητοὺς Βευερ. Κ. — (4) τὰ μεταξὺ τῶν * οὐ κεῖνται παρὰ Βευερ. καὶ Κ. ἀλλ' ἐν Χ. Τρ.

ΒΑΛΣ. Διάφοροι κανόνες κωλύουσι τοὺς κληρικοὺς καταλιμπάνειν τὰς παροικίας, ἐν αἷς ἐκληρώθησαν, καὶ μεταβαίνειν εἰς ἑτέρας. Ἀκολούθως οὖν τούτοις καὶ ὁ παρὼν κανὼν διορίζεται, μηδένα κληρικὸν χωρὶς τοῦ ἰδίου ἐπισκόπου, ἤτοι δίχα συστατικῆς καὶ ἀπολυτικῆς γραφῆς αὐτοῦ, ἢ ὁρισμοῦ τοῦ πατριάρχου Κωνσταντινουπόλεως, ὁπουδήποτε δέχεσθαι, ἤτοι λειτουργεῖν εἰς οἱανδήτινα ἐκκλησίαν, ἢ εἰς ἀρχοντικὸν εὐκτήριον· τὸν δὲ παρὰ ταῦτα ποιήσαντα, καὶ μὴ ὑποστρέφοντα εἰς τὸν οἰκεῖον κλῆρον, μετὰ ἐπιφώνησιν, καθαιρεῖσθαι· τοῦτο γάρ ἐστι τὸ, παυσάσθω, ἢ καθαιρείσθω. Εἰ δέ τινες ἐκχωρηθέντες παρὰ τῶν κληρωσάντων αὐτοὺς, δι' ὧν εἴπομεν γραφῶν, ἢ παρὰ τοῦ πατριάρχου Κωνσταντινουπόλεως, εἰς ἑτέρας ἐκκλησίας ἱερουργεῖν, κοσμικὰς φροντίδας ἀναδέξωνται, παρὰ τὴν τῶν κανόνων περίληψιν, ἢ γένωνται μειζότεροι, ὀφείλουσι, μετὰ τὸ κωλυθῆναι, παύεσθαι, ἢ καθαιρεῖσθαι. Καὶ τὰ μὲν ἄλλα τὰ τῷ κανόνι περιεχόμενα ἐν διαφόροις κανόσιν ἐξηγήθησαν, ἤγουν ἐν τῷ ιζ'. καὶ ιή. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, τῷ ιγ'. καὶ κγ'. τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ ἐν ἑτέροις. Ἀπὸ δὲ τοῦ παρόντος κανόνος σημείωσαι ἐν ῥητῷ, ὅτι μόνῳ τῷ πατριάρχῃ Κωνσταντινουπόλεως ἐφεῖται κληρικοὺς ἀλλοτρίους δέχεσθαι, καὶ δίχα ἀπολυτικῆς γραφῆς τοῦ χειροτονήσαντος αὐτοὺς, ἐὰν τέως οὗτοι γραφὰς ἐπιφέρωνται, συνιστώσας ὅτι ἐχειροτονήθησαν, ἢ ἐκληρώθησαν· ὅθεν καὶ ἐνδυνάμως, ὡς ἐμοὶ δοκεῖ, ἐκχωρήσει ὁ κατὰ καιροὺς ἁγιώτατος πατριάρχης, καὶ ὁ χαρτοφύλαξ αὐτοῦ, ἀλλοτρίῳ κληρικῷ ἱερουργεῖν (1) ἐν τῇ βασιλευούσῃ τῶν πόλεων, καὶ δίχα ἀπολυτικῆς γραφῆς τοῦ χειροτονήσαντος αὐτόν. Μειζότεροι μέντοι λέγονται οἱ κουράτωρες τῶν ἀγροικικῶν προαστείων, καθὼς τοῦτο παρίσταται ἀπὸ τοῦ ιά. κανόνος τῆς ά. καὶ β'. συνόδου τῆς συστάσης ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποςόλων. Τοῦτο οὖν ἀπὸ τῶν ἱερωμένων οἱ Πατέρες ἀποτρεπόμενοι, ὑποτιθέασιν αὐτοῖς διδάσκειν γράμματα, καὶ τὰ πρὸς ζωὴν ἐκεῖθεν πορίζεσθαι· ὅτι καὶ εἰς τοῦτο ἀφωρίσθησαν. Τὸ δὲ προσεδρεύειν τοὺς ἀλλοτρίους κληρικοὺς εἰς ἄρχοντας, καὶ εἰς εὐκτήρια τού-

---

(1) Χ. Τρ. Ἑ. — λειτουργεῖν Βευερ.

των λειτουργεῖν, τοῦ φάκτου ἐστί· κἂν γὰρ εἰς ταπεινότερα λειτουργῶσιν εὐκτήρια παρὰ γνώμην τῶν ἐπισκόπων αὐτῶν, ἢ τοῦ Κωνσταντινουπόλεως, ὁμοίως κολασθήσονται.

ΑΡΙΣΤ. Κληρικὸς, τὴν ἑαυτοῦ παροικίαν ἀπολιπὼν, καὶ ἐν ἑτέρᾳ ἀφικόμενος χωρὶς τοῦ ἰδίου ἐπισκόπου καὶ τοῦ Κωνσταντινουπόλεως, μὴ δεχέσθω, μήτε ἐν οἴκῳ, μήτε ἐν ἐκκλησίᾳ. Ὁ δὲ τοῦτο ποιῶν καὶ ἐπιμένων, καθαιρείσθω. Οἱ δὲ μετ' εἰδήσεως ὧν ἔφημεν τοῦτο ποιοῦντες, κοσμικὰς φροντίδας μὴ ἀναδεχέσθωσαν, ἢ δεξάμενοι, παυσάσθωσαν· εἰ δὲ μὴ, καθαιρείσθωσαν.

Ἀλλότριον κληρικὸν, ἐν τῇ βασιλίδι ταύτῃ τῶν πόλεων εἰσελθόντα, οὐ χρὴ, ἄνευ γνώμης τοῦ ἰδίου ἐπισκόπου, καὶ τοῦ Κωνσταντινουπόλεως ἐπισκόπου, ἐν οἱῳδήτινι οἴκῳ, ἢ ἐκκλησίᾳ παραδεχθῆναι· εἰ δὲ παρά τινος προσδεχθῇ, χωρὶς εἰδήσεως αὐτῶν, καὶ ἐπιμένει, πρὸς τὴν ἑαυτοῦ παροικίαν μὴ ἐπιστρέφων, καθαιρεθήσεται. Ὁ δὲ μετ' εἰδήσεως αὐτῶν ἔν τινι οἴκῳ τῶν κατὰ τὴν θεοφύλακτον ταύτην πόλιν εἰσιὼν, οὐκ ὀφείλει προνοητὴς, ἢ μειζότερος, ἢ κουράτωρ γενέσθαι· ἀλλὰ πρὸς διδασκαλίαν τῶν παίδων καὶ τῶν οἰκετῶν εἶναι. Εἰ δὲ τοιαύτας φροντίδας ἀναδέξεται, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

Κανὼν ΙΑ'.

Ὑπόχρεοι ὄντες πάντες τοὺς θείους κανόνας φυλάττειν, καὶ τὸν λέγοντα, οἰκονόμους (1) εἶναι ἐν ἑκάστῃ ἐκκλησίᾳ, παντὶ τρόπῳ ἀπαράτρωτον διατηρεῖν ὀφείλομεν. Καὶ εἰ μὲν ἕκαστος μητροπολίτης ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ καθιστᾷ οἰκονόμον, καλῶς ἂν ἔχοι· εἰ δὲ μή γε ἐξ αὐθεντίας ἰδίας, τῷ Κωνσταντινουπόλεως ἐπισκόπῳ ἄδειά ἐστι προχειρίζεσθαι οἰκονόμον ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ. Ὡσαύτως καὶ τοῖς μητροπολίταις, εἰ οἱ ὑπ' αὐτοὺς ἐπίσκοποι οὐ προαιροῦνται οἰκονόμους ἐγκαταστῆσαι ἐν ταῖς ἑαυτῶν ἐκκλησίαις· τὸ αὐτὸ δὲ φυλάττεσθαι καὶ ἐπὶ τῶν μοναστηρίων.

—

(1) Χ. Τρ. Βευερ. — οἰκονόμον, Βευερ.

ΖΩΝΑΡ. Οἱ ἀρχιερεῖς, πρὸ τοῦ χειροτονηθῆναι, ἀσφαλίζονται καὶ περὶ τῆς πίστεως, καὶ περὶ ἄλλων· μετὰ τῶν ἄλλων δὲ, καὶ ὅτι φυλάξουσι τοὺς ἱεροὺς κανόνας· διὰ τοῦτο οὖν λέγουσιν οἱ Πατέρες οὗτοι, ὅτι ὑπόχρεοί ἐσμεν πάντας τοὺς θείους κανόνας φυλάττειν. Ἐπεὶ τοίνυν καὶ ὁ κϛ'. τῆς ἐν Χαλκηδόνι κανὼν ὥρισε, πᾶσαν ἐκκλησίαν ἐπίσκοπον ἔχουσαν, καὶ οἰκονόμον ἔχειν ἐκ τοῦ ἰδίου κλήρου, οἰκονομοῦντα τὰ ἐκκλησιαστικὰ, κατὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου, φασὶν οἱ τῆς συνόδου ταύτης, ὅτι φυλάττειν ὀφείλομεν καὶ τὸν κανόνα τὸν λέγοντα, οἰκονόμον εἶναι ἐν ἑκάστῃ ἐκκλησίᾳ. Καὶ εἰ μὲν ἕκαστος ἐπίσκοπος προβάλλεται οἰκονόμον τῆς ἰδίας ἐκκλησίας, ἔσται· εἰ δὲ μὴ ποιεῖ τοῦτο, τῷ Κωνσταντινουπόλεως διδόασι προνόμιον, προχειρίζεσθαι οἰκονόμον ἐξ αὐθεντίας ἰδίας, ἤγουν μετ' ἐξουσίας, ἐν ταῖς ὑποκειμέναις αὐτῷ δηλαδὴ ἐκκλησίαις. Ὁμοίως δὲ καὶ τοῖς μητροπολίταις, ἐν ταῖς ἐπαρχίαις τῶν παρ' αὐτῶν χειροτονουμένων ἀρχιερέων· τὸ αὐτὸ κελεύουσι φυλάττεσθαι καὶ ἐπὶ τῶν μοναστηρίων. Ἀλλὰ ταῦτα ἐν γράμμασιν, ὅσον τέως παρά τισιν· οὐδὲ γὰρ πάντων κατηγορητέον, οὐδὲ γὰρ δίκαιον (1).

ΒΑΛΣ. Ἡ ἐν Χαλκηδόνι σύνοδος διωρίσατο ἐν κανόνι κϛ'. πᾶσαν ἐκκλησίαν οἰκονομεῖσθαι διὰ κληρικῶν αὐτῆς (2), κατὰ γνώμην τοῦ ἐπισκόπου· τοὺς δὲ παραβαίνοντας ταῦτα οὐκ εἶπεν ὅπως προσήκει κολάζεσθαι. Οἱ γοῦν τῆς παρούσης συνόδου ἅγιοι Πατέρες προοιμιασάμενοι, ὅτι ἀπαραίτητόν ἐστι φυλάττεσθαι τοὺς κανόνας, καὶ μᾶλλον παρὰ τῶν ἀρχιερέων, τῶν ἀσφαλιζομένων πρὸ τῆς χειροτονίας μετὰ τῶν ἄλλων καὶ τὸ φυλάττειν τοὺς κανόνας, καὶ οἷον διὰ τοῦτο καταστάντων ὑποχρέων, διωρίσαντο ἀπαρεγχείρητον συντηρεῖσθαι τὸν ῥηθέντα (3) κανόνα· καὶ προσέθεντο, ὡς, εἰ μὴ οὕτω ποιοῦσιν οἱ μητροπολῖται ἐν ταῖς ἐκκλησίαις αὐτῶν, προβαλεῖται ὁ πατριάρχης Κωνσταντινουπόλεως αὐθεντικῶς οἰκονόμον ἐν τῇ μητροπόλει πάντως ἀπὸ τῶν κληρικῶν αὐτῆς. Ὡσαύτως καὶ ὁ μητροπολίτης ἵνα καθιστᾷ οἰκονόμον εἰς τὴν ἐπισκοπὴν, ἐὰν ὁ ἐπίσκοπος ἀμελήσῃ τούτου·

(1) ἄξιον Χ. Τρ. — (2) Χ. Τρ. Ἑ. — τὸ, αὐτῆς, οὐ κεῖται παρὰ Βευερ. — (3) Χ. Τρ. — ἀπαρεγχείριστον . . . τὸν παρόντα Βευερ. Ἑ.

τὸ αὐτὸ δὲ γίνεσθαι καὶ εἰς τὰ μοναστήρια. Ἐπισκόπου δέ τινος αἰτιαθέντος, ὅτι τὰ τῆς ἐπισκοπῆς ᾠκονόμει διὰ λαϊκοῦ, εἶπόν τινες, ὡς, ἐπεὶ ὁ παρὼν κανὼν, ὁ κολάζων τοὺς ἀρχιερεῖς, τοὺς μὴ προχειριζομένους οἰκονόμους, οὐ λέγει κληρικοὺς εἶναι τοὺς ὀφείλοντας γίνεσθαι οἰκονόμους, ἐνδυνάμως καὶ λαϊκοὶ τὰ τῶν ἐκκλησιῶν οἰκονομήσουσιν. Ἐμοὶ δὲ οὐ δοκεῖ τοῦτο· ὅτι τε οἱ ἐν Χαλκηδόνι Πατέρες διὰ κληρικῶν οἰκονομεῖσθαι τὰ τῶν ἐκκλησιῶν διωρίσαντο, καὶ ὅτι ὁ παρὼν κανὼν, δι' ὧν εἶπε, τὸ αὐτὸ φυλάττεσθαι καὶ εἰς τὰ μοναστήρια, παρεδήλωσεν ὅπερ καὶ ἡ ἐν Χαλκηδόνι ἐθέσπισε σύνοδος· οἰκονομεῖν γὰρ τὰ τῶν μοναστηρίων, οὐκ εἴπῃ τις λαϊκοὺς, κἂν παραφρονῇ. [Σημείωσαι τὸν παρόντα κανόνα, διοριζόμενον, τί ὀφείλει γίνεσθαι εἴς τε τοὺς ἀρχιερεῖς, καὶ εἰς τοὺς ἡγουμένους, τοὺς μὴ διὰ κληρικῶν, ἢ μοναχῶν οἰκονομοῦντας τὰ τῶν ἐκκλησιῶν, καὶ τὰ τῶν μοναστηρίων] (1).

ΑΡΙΣΤ. Τοῦ μητροπολίτου μὴ ποιοῦντος οἰκονόμον τῆς μητροπόλεως, ποιείτω ὁ πατριάρχης· καὶ τοῦ ἐπισκόπου, ὁ μητροπολίτης· κατὰ τὸ δόξαν τοῖς ἐν Χαλκηδόνι· τὸ αὐτὸ καὶ ἐπὶ τῶν μοναστηρίων.

Ἐν ἐκκλησίᾳ ἑκάστῃ δεῖ οἰκονόμον εἶναι ἐκ τοῦ ἰδίου κλήρου, κατὰ γνώμην τοῦ ἐπισκόπου τὰ ἐκκλησιαστικὰ πράγματα διοικεῖν ὀφείλοντα, καθὼς ὁ κϛ'. κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου διαλαμβάνει. Εἰ δέ τινες τῶν ἐπισκόπων δι' ἑαυτῶν οἰκονομεῖν ταῦτα βούλονται, ἐπὶ μὲν τῶν μητροπόλεων ὁ πατριάρχης προβαλεῖται οἰκονόμον, ἐπὶ δὲ τῶν ἐπισκοπῶν αὐτῶν, ὁ μητροπολίτης· τὸ δὲ αὐτὸ ἔσται καὶ ἐπὶ τῶν μοναστηρίων τῶν μὴ ἐχόντων οἰκονόμους.

Κανὼν ΙΒ'.

Εἴ τις ἐπίσκοπος εὑρεθείη, ἢ ἡγούμενος, ἐκ τῶν αὐτουργίων τοῦ ἐπισκοπείου, ἢ τοῦ μοναστηρίου, ἐκποιούμενος εἰς ἀρχοντικὴν χεῖρα, ἢ ἑτέρῳ προσώπῳ ἐκδιδοὺς, ἄκυ-

(1) Ἡ Σημ. αὕτη κεῖται ἐν περισελ. τοῦ Χ. Τρ. — τὸ, εἰς τοὺς ἡγουμένους, οὐ κεῖται παρὰ Βευερ. ὁ δὲ Ἑ. ὅλως παραλείπει αὐτήν.

ρον εἶναι τὴν ἔκδοσιν, κατὰ τὸν κανόνα τῶν ἁγίων Ἀποστόλων, τὸν λέγοντα· Πάντων τῶν ἐκκλησιαστικῶν πραγμάτων ὁ ἐπίσκοπος ἐχέτω τὴν φροντίδα, καὶ διοικείτω αὐτὰ ὡς Θεοῦ ἐφορῶντος· μὴ ἐξεῖναι δὲ αὐτῷ σφετερίζεσθαί τι ἐξ αὐτῶν, ἢ συγγενέσιν ἰδίοις τὰ τοῦ Θεοῦ χαρίζεσθαι· εἰ δὲ πένητες εἶεν, ἐπιχορηγείτω ὡς πένησιν, ἀλλὰ μὴ προφάσει τούτων τὰ τῆς ἐκκλησίας (1) ἀπεμπολείτω. Εἰ δὲ προφασίζοιντο ζημίαν ἐμποιεῖν, καὶ μηδὲν πρὸς ὄνησιν τυγχάνειν τὸν ἀγρὸν, μηδ' οὕτω τοῖς κατὰ τόπον ἄρχουσιν ἐκδιδόναι τὸν τόπον, ἀλλὰ κληρικοῖς, ἢ γεωργοῖς. Εἰ δὲ πανουργίᾳ πονηρᾷ χρήσοιντο, καὶ ἐκ τοῦ κληρικοῦ, ἢ τοῦ γεωργοῦ ὠνήσηται ἄρχων τὸν ἀγρὸν, καὶ οὕτως ἄκυρον εἶναι τὴν πρᾶσιν, καὶ ἀποκαθίστασθαι (2) τῷ ἐπισκοπείῳ, ἢ τῷ μοναστηρίῳ· καὶ ὁ ἐπίσκοπος (3), ἢ ὁ ἡγούμενος τοῦτο ποιῶν, ἐκδιωχθήτω· ὁ μὲν ἐπίσκοπος τοῦ ἐπισκοπείου, ὁ δὲ ἡγούμενος τοῦ μοναστηρίου· ὡς διασκορπίζοντες κακῶς, ἃ οὐ συνήγαγον.

ΖΩΝΑΡ. Τὰ αὐτούργια τῶν ἐκκλησιῶν ἀνεκποίητα ὁ κανὼν οὗτος κελεύει φυλάττεσθαι· (αὐτούργιον δ' ἐνταῦθα πᾶν εὐπρόσοδον νοητέον)· καὶ τὸν ἀποστολικὸν κανόνα παράγουσιν, ὅστις τῷ ἐπισκόπῳ ἀνατίθησι τὴν φροντίδα τῶν ἐκκλησιαστικῶν πραγμάτων, ἵν' αὐτὰ διοικῇ, ὡς τοῦ Θεοῦ ἐφορῶντος, καὶ μηδὲν ἐξ αὐτῶν σφετερίζηται, ἤτοι οἰκειῶται, ἢ συγγενέσι χαρίζηται ἑαυτοῦ. Εἰ δὲ προφασίζοιτο ὁ ἐπίσκοπος, φασὶν οἱ Πατέρες οὗτοι, ὅτι ἀπρόσοδός ἐστι, τυχὸν, ὁ ἀγρὸς, καὶ οὐδεμίαν ὠφέλειαν τῇ ἐκκλησίᾳ ἐμποιεῖ, μηδὲ οὕτως ἄρχουσιν αὐτὸν ἐκδιδότω, ἀλλὰ κληρικοῖς, ἢ γεωργοῖς· τοῖς μὲν κληρικοῖς, ὡς ὑποκειμένοις αὐτῷ καὶ ὑπείκουσι· τοῖς δὲ γεωργοῖς, ὡς ἀγρόταις ἀνθρώποις, καὶ εὐτελοῦς καὶ ταπεινοτέρας καταστάσεως. Εἰ δὲ πανούργως καὶ

(1) Π. Χ. Τρ. Σ. Ῥ. — τὰ τοῦ Θεοῦ Βευερ. — (2) Σ. Ῥ. Π. — καὶ οὕτως ἄκυρος ἔστω ἡ πρᾶσις, καὶ ἀποκαθιστάσθω. Χ. Τρ. Βευερ. — (3) καὶ ἐπίσκοπος Σ. Ῥ.

μετὰ δόλου ἐκδοθείη μὲν ὁ ἀγρὸς κληρικῷ, ἢ γεωργῷ, ἐξ ἐκείνου δὲ μετατεθείη εἰς ἀρχοντικὸν πρόσωπον, ἄκυρον εἶναι τὸ πραχθὲν, εἴτε πρᾶσις λέγοιτο, εἴτε συνάλλαγμα ἕτερον, καὶ ἀποκαθίστασθαι τὸ πρᾶγμα τῇ ἐκκλησίᾳ. Ὁ δὲ τοῦτο ποιῶν, τὸ μετὰ δόλου δηλονότι, ἢ καὶ φανερῶς προδιδόναι δυνάσταις τὰ ἐκκλησιαςικὰ, εἴτε ἐπίσκοπος εἴη, εἴτε ἡγούμενος, ἐκδιωκέσθω, ὡς διασκορπίζων κακῶς ἃ οὐ συνήγαγεν. Εἰ γὰρ ἃ ἕκαστος ἐκτήσατο, διασκορπίζων κακῶς κρίματί ἐστιν ἔνοχος, πόσῳ μᾶλλον ὁ διασκορπίζων ἃ ἕτεροι τῷ Θεῷ ἀφιέρωσαν; οὗτος μὲν οὖν ὁ κανὼν περὶ τῶν αὐτουργίων λέγει. Ὁ δὲ τῆς ἐν Καρθαγένῃ συνόδου εἰκοστὸς ἕκτος κανὼν, οὐδὲ ἀπρόσοδον ἐᾷ ἐκποιεῖσθαι, εἰ μὴ μετὰ παρατηρήσεως· καὶ τοὺς μὴ φυλάσσοντας τὸν κανόνα ἐκπτώσει κολάζει τῆς οἰκείας τιμῆς. Ὁ δὲ μέγας Κύριλλος Δόμνῳ ἐπιστέλλων, κειμήλια καὶ κτήσεις ἀκινήτους ἐκκλησιῶν ἀνεκποίητα εἶναι διατάττεται· ἀλλὰ ταῦτά τισι τῶν ἡγουμένων λῆρος δοκεῖ.

ΒΑΛΣ. Ἐρησε διὰ Μωϋσέως ὁ Θεὸς, τὰ τῷ Θεῷ προσφερόμενα μὴ ἀνταλλάττεσθαι, ἀλλ' ἀνεκποίητα μένειν, κἂν χείρονα ὦσι τῶν ἀντιδιδομένων· ἐὰν δέ, φησιν, ἀλλάσσων ἀλλάξῃς αὐτὸ, ἔσται καὶ αὐτὸ, καὶ (1) τὸ ἀντάλλαγμα αὐτοῦ ἅγιον. Φησὶ γοῦν καὶ ὁ κανὼν μὴ ἐκποιεῖσθαι, ἢ ἐκδίδοσθαι παρὰ ἐπισκόπου, ἢ ἡγουμένου, πρὸς οἱονδηποτοῦν πρόσωπον αὐτούργιον τῆς ἐπισκοπῆς, ἢ τοῦ μοναστηρίου· ἢ μὴν ἀκυροῦσθαι τὴν ἐκποίησιν, ἢ τὴν ἔκδοσιν, κατὰ τὸν λή. ἀποστολικὸν κανόνα. Προστίθησι δὲ, ὡς, εἴπερ προφασίζεται ὁ ἐπίσκοπος, ἢ ὁ ἡγούμενος, ἀπρόσοδον εἶναι τὸν ἀγρὸν, καὶ ταῖς ἐκκλησίαις ἐπιζήμιον, ἡ μὲν ἔκδοσις τούτου γινέσθω, πλὴν μὴ πρὸς ἀρχοντικὰ πρόσωπα, ἀλλὰ πρὸς χωριτικὰ, ἢ πρὸς κληρικούς. Ἐπεὶ δὲ τῶν εἰκότων ἦν περιγραφῆναι τὸν κανόνα παρά τινων, ὥρισαν οἱ Πατέρες· ὡς, εἴποτε μετὰ πανουργίας περιέλθῃ εἰς δυνατὸν πρόσωπον πρᾶγμα ἐκκλησιαστικὸν διὰ μέσου ταπεινοῦ προσώπου, ἢ κληρικοῦ, προσποιησαμένου ἐκλαμβάνεσθαι τὸ ἀκίνητον, εἶναι μὲν καὶ οὕτω τὰ

---

(1) Χ. Τρ. Ἐ. — καὶ αὐτὸ τὸ, Βευερ.

προγεγονότα ἄκυρα, καὶ ἀποκαθίστασθαι τῇ ἐκκλησίᾳ τὸ ἀκίνητον· ἐκβάλλεσθαι δὲ καὶ τὸν τοῦτο ποιήσαντα ἐπίσκοπον, ἢ ἡγούμενον, ἀπὸ τοῦ ἐπισκοπείου, ἢ ἐκ τοῦ μοναστηρίου(1)· καὶ ὁ μὲν κανὼν ταῦτα. Ἐπεὶ δὲ αὐτούργιά εἰσι τὰ ἐξ αὐτῶν τῶν πραγμάτων, καὶ οἷον οἴκοθεν διδόντα τοὺς καρποὺς, ὡς αἱ ἁλικαὶ, οἱ ἐλαιῶνες, οἱ ἀμπελῶνες, οἱ λιβαδιαῖοι τόποι, οἱ ὑδρόμυλοι, τὰ κεραμαρεῖα, ὡς καὶ τὰ λοιπὰ τοιαῦτα· ἐρωτήσει τις, περὶ τοιούτων αὐτουργίων διορίζεται ὁ κανὼν, ἢ περὶ παντὸς εὐπροσόδου ἀκινήτου, καὶ μᾶλλον, ὅτι περὶ τὸ τέλος μέμνηται ἐπιζημίων ἀγρῶν; Λύσις. Καὶ περὶ ἀμφοτέρων θεσπίζει· καί φησι, τὰ μὲν εὐπρόσοδα, ὡς τὰ αὐτούργια, μὴ ἐκποιεῖσθαι, μηδὲ ἐκδίδοσθαι(2)· τὸν δὲ τῇ ἀληθείᾳ, καὶ μὴ κατὰ σκῆψιν, ὄντα ἀπρόσοδον ἀγρὸν, ἐκδίδοσθαι· ὥστε, ἐὰν μὲν τὸ αὐτούργιον γένηται πάντη ἀπρόσοδον, (τυχὸν γὰρ λιβαδιαῖος τόπος κατεκλύσθη ὑπὸ ποταμίου ῥεύματος), ἢ καὶ τὸ ἐξώχωρον προάστειον, ἐὰν εὐπρόσοδον καταστῇ, ὡς διὰ παροίκων οἰκισθὲν ἐκ νέου, τοῦτο μὲν τὸ ἐξώχωρον, διὰ τὸ εὐπρόσοδον, οὐκ ἐκποιηθήσεται· ἐκεῖνο δὲ, κἂν αὐτούργιον ἐλέγετο, διὰ τὸ ἀπρόσοδον, καὶ τὸ ἀνωφελὲς, ἐκδοθήσεται· οὐ γὰρ διὰ τὰ ὀνόματα, ἀλλὰ διὰ τὴν πρόσοδον ὀφείλουσιν ἐκποιεῖσθαι, εἴτε καὶ μή. Γίνωσκε δὲ, ὅτι ἀπὸ τῶν νόμων κυρίως ἐκποίησις μὲν λέγεται ἡ μετάθεσις τῆς δεσποτείας, ἤγουν ἡ δωρεὰ, ἡ πρᾶσις, ἡ ἐμφύτευσις, ἡ ἀνταλλαγὴ, καὶ τὰ ὅμοια· ἔκδοσις δὲ, ἡ ἐπὶ προσώποις, ἢ χρόνοις ὡρισμένοις παραπομπή· καταχρηστικῶς δὲ καὶ ἡ ἔκδοσις ἐκποίησις λέγεται, καὶ ἡ ἐκποίησις ἔκδοσις· ὅτι δὲ τὰ πρόσοδον ἔχοντα οὐκ ἐκποιοῦνται, τὰ δὲ ἀπρόσοδα διὰ κατεπείγουσαν ἀνάγκην ταῖς ἐκκλησίαις ἐκποιοῦνται, παρίσταται ἀπὸ τοῦ κθ'. κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου, ἐπιτρέποντος τοῦτο μετὰ διαστίξεως· ὃν καὶ ἀνάγνωθι. Ἀλλὰ καὶ ὁ μέγας Κύριλλος, ἐν τῷ ϐ'. κεφ. τῆς πρὸς Δόμνον ἐπιστολῆς αὐτοῦ, ἀνεκποίητα εἶναι διορίζεται τὰ κειμήλια, ἤγουν τὰ ἱερὰ, καὶ τὰς ἀκινήτους κτήσεις τῶν ἐκκλησιῶν· πλὴν καὶ τοῦτο κατὰ τὸν κανόνα τῆς ἐν

---

(1) Χ. Τρ. Ε. — ἐκ τοῦ ἡγουμενείου Βευερ. — (2) Χ. Τρ. — οὐ κεῖται παρὰ Ε. τὸ, μηδὲ ἐκδίδοσθαι.

Καρθαγένη συνόδου ἑρμήνευσον (1). Ἐπισκόπου δέ τινος αὐτουργιον ἐκκλησιαστικὸν ἐκδεδωκότος πρὸς ἀρχοντικὸν πρόσωπον, καὶ τῆς ἐκδόσεως διὰ τὸν κανόνα τοῦτον ἀκυρωθείσης, εἶπόν τινες, ὀφείλειν ἐκβληθῆναι τὸν ἐπίσκοπον ἐκ τῆς ἐπισκοπῆς, κατὰ τὴν τοῦ κανόνος περίληψιν· ἐμοὶ δὲ οὐ δοκεῖ· ὁ γὰρ κανὼν οὐ παρακελεύεται ἐκβάλλεσθαι τὸν ἐπίσκοπον ἐκ τοῦ ἐπισκοπείου, ὅτε ἄκυρον ἐκποίησιν αὐτουργίου διαπράξοιτο, ἀλλ' ὅτε μετὰ δόλου ἔκδοσιν ἀκινήτου ἐκκλησιαστικοῦ ποιήσει· καὶ τῇ μὲν ἀληθείᾳ θέλει (2) περιελθεῖν τοῦτο εἰς δυνατὸν πρόσωπον, κατὰ δὲ ῥᾳδιουργίαν παραπέμψει αὐτὸ πρὸς κληρικὸν, ἢ γεωργὸν, προφασισάμενος εἶναι ἀπρόσοδον, ὡς ἂν ἐξ ἐκείνου περιέλθῃ εἰς τὸν δυνατόν· οὐ γὰρ διὰ τὴν ἐκποίησιν, ἀλλὰ διὰ τὴν πανουργίαν ἐπεψηφίσθη τούτῳ ἡ ἐκ τοῦ ἐπισκοπείου ἐκβολή. Καὶ δηλοῦται τοῦτο ἀπὸ τοῦ ἀποστολικοῦ λη'. κανόνος, τοῦ καταστρωθέντος εἰς τὸν παρόντα κανόνα, καὶ μὴ κολάζοντος τὸν ἐπίσκοπον, τὸν δίχα δόλου χρώμενον κακῶς τοῖς ἐκκλησιαστικοῖς πράγμασιν· ὡσαύτως καὶ ἀπὸ τῆς ρκ'. Ἰουστινιανείου νεαρᾶς, ἤτοι τοῦ κγ'. κεφ. τοῦ β'. τίτλ. τοῦ έ. βιβλίου τῶν βασιλικῶν, τοῦ διοριζομένου τὰ τοιαῦτα συναλλάγματα ἀκυροῦσθαι. Περὶ δὲ τοῦ τιμωρεῖσθαι τὸν ἐπίσκοπον, ἢ τὸν ἡγούμενον, μηδέν τι διαλαμβάνοντος, ἀλλὰ τὸν συμβολαιογράφον μόνον εἰς ἐξορίαν καταδικάζοντος. Ἐπεὶ δὲ ἡ ῥηθεῖσα νεαρὰ, ἤτοι ὁ β'. (3) τίτλος τοῦ έ. βιβλίου θεσπίζει, ἔστιν ὅτε μὴ μόνον ἀπρόσοδα, ἀλλὰ καὶ εὐπρόσοδα ἀκίνητα ἐκκλησιῶν καὶ μοναστηρίων, καὶ αὐτῆς τῆς Μεγάλης Ἐκκλησίας, καὶ τῶν ἄλλων εὐαγῶν οἴκων, ἐκποιεῖσθαι καὶ ἐκδίδοσθαι μετὰ διαστίξεων δηλουμένων ἐν αὐτῇ· προσέτι γε μὴν καὶ ἱερά τινα ἐπιτρέπει, καιροῦ καλοῦντος, ἐκποιεῖσθαι· ἀνάγνωθι ταύτην, μεγάλην οὖσαν, καὶ πολυσχιδῆ, καὶ πολυδιάστικτον, καὶ οἰκονόμει γίνεσθαι, ἢ μὴ γίνεσθαι παρά τε τῶν ἐκκλησιῶν καὶ τῶν μοναστηρίων τὰς ἐκποιήσεις καὶ ἐκδόσεις τῶν ἱερῶν, καὶ τῶν ἀκινήτων αὐτῶν, κατὰ τὴν ταύτης περίληψιν, καὶ φυλαχθήσῃ

(1) τὸ, ἑρμήνευσον, οὐ κεῖται ἐν Χ. Τρ. — (2) τὸ, θέλει, οὐ κεῖται ἐν Χ. Τρ. (3) Χ. Τρ. — ὁ ὅλος τίτλος Ἐ. Βευερ.

ἀκαταιτίατος. Οὐδὲ γὰρ ἐναντιωθῇ σοι ὁ παρὼν κανὼν, ὅτι καὶ ἡ νεαρὰ, τὴν χωρὶς εὐλόγου καὶ ἀναγκαστικῆς αἰτίας ἐκποίησιν ἢ ἔκδοσιν τῶν ἐκκλησιαστικῶν, ἢ μοναστικῶν ἀκινήτων, παρομοίως τῷ παρόντι κανόνι κωλύει. Τί δέ; τῆς ἐκποιήσεως ἀκυρουμένης, ὡς εἴρηται, καὶ τοῦ ἐκκλησιαστικοῦ πράγματος ἀντιστρεφομένου πρὸς τὴν ἐκκλησίαν, ἢ τὸ μοναστήριον, ἀναγκασθήσεται τὸ μέρος αὐτῶν, ἃ χάριν τούτου ἔλαβε νομίσματα ἢ πράγματα, δοῦναι; Λύσις. Οὐδαμῶς· φησὶ γὰρ ἡ ῥηθεῖσα νεαρὰ ῥητῶς ταῦτα. Εἰ δὲ παρὰ τὰ διηγορευμένα ἡμῖν τῷ παρόντι νόμῳ, συνάλλαγμά τι γένηται ἐπὶ τοῖς διαφέρουσι πράγμασι, κινητοῖς τε καὶ ἀκινήτοις, ἑνὶ τῶν (1) εὐαγῶν οἴκων, ἀναδίδοσθαι μὲν τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, ἤτοι τῷ εὐαγεῖ οἴκῳ, τὸ πρᾶγμα, ἐφ' ᾧ τοιοῦτόν τι παρηκολούθησε, μετὰ τῶν τοῦ μέσου χρόνου (2) καρπῶν, μενέτω δὲ παρ' αὐτῇ καὶ τὸ τίμημα, ἢ τὸ ἀντίδωρον, ἢ τὸ ὑπὲρ ἀμείψεως, ἢ ἄλλης οἱασοῦν αἰτίας αὐτῇ δεδομένον. Εἰ δὲ ἐμφύτευσις πραχθείη παρὰ τὰ διηγορευμένα ἡμῖν, ἀναδίδοσθαι τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, ἢ τοῖς εὐαγέσι τόποις, τὸ αὐτὸ πρᾶγμα κελεύομεν, καὶ τὸν ἐμφυτευτὴν τὸ πάκτον τελεῖν κατὰ τὴν δύναμιν τῶν ἐμφυτευτικῶν συμβολαίων. Εἰ δὲ δωρηθείη πρᾶγμα ἐκκλησιαστικὸν, ἢ ἑτέρου εὐαγοῦς οἴκου, καὶ αὐτὸ ἀναδίδοσθαι τῇ ἁγιωτάτῃ (3) ἐκκλησίᾳ, ἢ τοῖς ἄλλοις εὐαγέσιν οἴκοις (4) μετὰ τῶν τοῦ μέσου χρόνου καρπῶν, καὶ τοσοῦτον ἕτερον, ὅσου ἄξιόν ἐστι τὸ αὐτὸ πρᾶγμα. Εἰ δὲ ὑποθήκη παρὰ ταῦτα δοθείη, ὁ δανειστὴς τὸ ἐποφειλόμενον ἀπολλύτω, καὶ τὸ αὐτὸ πρᾶγμα τῷ εὐαγεῖ τόπῳ ἀποδιδότω· τῶν συμβολαιογράφων, τῶν θαῤῥούντων παρὰ τόνδε (5) ἡμῶν τὸν νόμον τοιούτοις ὑπουργεῖν συμβολαίοις, διηνεκεῖ ἐξορίᾳ καταδικαζομένων. Ἐρωτήσει δέ τις καὶ τοῦτο, τοῦ κανόνος λέγοντος, ἐκβάλλεσθαι τὸν ἐπίσκοπον τοῦ ἐπισκοπείου, καὶ τὸν ἡγούμενον ἐκ τοῦ μοναστηρίου, ὡς λυμεῶνας καὶ δολεροὺς, ἐπακολουθήσει τῇ ἐξωθήσει καὶ καθαίρεσις, ἢ οὐχί; καί τινες μὲν εἶπον, ὡς τῶν ἁγίων Πατέρων μηδέν τι τοιοῦτον διοριζο-

---

(1) τῶν εἰρημένων Ν. Ἰουστ. ρκ'. — (2) Χ. Τρ. Ἐ. — τὸ, χρόνου, οὐ κεῖται παρὰ Βευερ. — (3) Μεγάλῃ Ἐκκλησίᾳ Ν. Ἰουστ. ρκ'. — (4) τόποις, Ν.
(5) Χ. Τρ. — παρὰ τὸν ἡμῖν Βευερ. Ἐ.

μένων, προβήσεται μόνον ἐξώθησις· ἐμοὶ δὲ δοκεῖ, ὡς τῆς ἐξωθήσεως γενομένης διὰ δόλον, ἐξ ἀνάγκης παρέπεται καὶ καθαίρεσις· οὐδεὶς γὰρ ἐξ ἀτιμοποιοῦ αἰτίας καταδικαζόμενος, ἔντιμός ἐστιν. Εὐχαριστητέον οὖν τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ, τῷ συντηρήσαντι ἀκολούθως τῷ ἀποστολικῷ κανόνι καὶ τῷ παρόντι διορισμῷ, τὰ τῶν ἐκκλησιῶν καὶ τῶν κατὰ πόλιν τέως μοναστηρίων ἀκίνητα, ἀνέπαφα ἐκ τῆς χειρὸς τοῦ δημοσίου, διὰ τριῶν χρυσοβούλλων τῆς ἁγίας βασιλείας αὐτοῦ, ἀφ᾽ ὧν τὸ μὲν κατὰ τὸν Ἰούλιον μῆνα τῆς ά. Ἰνδικτιῶνος τοῦ ͵ςχνδ'. ἔτους γεγονὸς, καὶ διοριζόμενον, μὴ βλάπτεσθαι τὰ μοναστήρια ἐκ τοῦ ἴσως χωλεύειν κατά τι τὰ προσόντα τούτοις δικαιώματα· καὶ τὸ κατὰ τὸν Ὀκτώβριον μῆνα τῆς ζ'. Ἰνδικτιῶνος τοῦ ͵ςχξζ'. ἔτους ἀπολυθὲν, καὶ παρακελευόμενον ἔχειν τὰ μοναστήρια κατὰ τὸ ἀναπόσπαστον τὰ ἀκίνητα τούτων, κἂν διαγνώσεις ἐδόθησαν αὐτοῖς παρὰ τῶν ἀναγραφέων, δικαιοῦσαι τὸν δημόσιον, ἅτινα οὐ κατεστρώθησαν ἐνταῦθα, διὰ τὸ αἰωνίζουσαν ὠφέλειαν ἐκ τούτων μὴ ἐπιχορηγεῖσθαι ταῖς μοναῖς, ἀλλὰ καιρικήν. Τὸ δὲ κατὰ τὸν Μάρτιον μῆνα τῆς ς'. Ἰνδικτιῶνος τοῦ ͵ςχξς'. ἔτους ἐξενεχθὲν καὶ καταστρωθὲν ἐν πᾶσι τοῖς σεκρέτοις, παρακελεύεται μετὰ τὸ προοίμιον ταῦτα ῥητῶς· Ἔφθασε μὲν οὖν πρὸ χρόνων τινῶν χρυσόβουλλον λόγον ἐπιβραβεῦσαι ἡ βασιλεία μου τοῖς τε κατ᾽ αὐτὴν τὴν βασιλίδα τῶν πόλεων διακειμένοις εὐαγεστάτοις μοναστηρίοις, καὶ τοῖς κατὰ τὸ δυτικὸν μέρος τοῦ Στενοῦ, ὅσον τε κατ᾽ αἰγιαλὸν, καὶ ὅσον πόῤῥωθεν· ὡσαύτως καὶ τοῖς περὶ τὸν κόλπον τῆς Νικομηδείας, καὶ μέχρι καὶ αὐτῆς τῆς Νικομηδείας, καὶ τοῖς ἐν ταῖς νήσοις, τῇ Ὀξείᾳ, τῇ Πρώτῃ, τῇ Χάλκῃ, τῇ Πλατείᾳ, τῇ ἁγίᾳ Γλυκερίᾳ, τῇ Πριγκίπῳ, τῇ τοῦ Ἀντιγόνου, τῷ Τραγονησίῳ(1), τῇ Τερεβίνθῳ, τῷ ἁγίῳ Ἀνδρέᾳ, τῷ ἁγίῳ Τρύφωνι, τῷ ἁγίῳ Ἐλευθερίῳ τῷ Κωδωνᾷ (2), τῷ Πελαγίῳ (3), τῇ Θεοτόκῳ, τῷ Μεσονησίῳ (4), τῇ Ἰάτρῳ (5), καὶ τῷ ἁγίῳ Δημητρίῳ, καὶ τοῖς ἐν ταῖς κτήσεσι τῶν

---

(1) Λεΰγκλ. Τόμ. Ά. σελ. 156. — τῷ Τραχονησίῳ Χ. Τρ. — (2) Χ. Τρ. — τῷ Κωδώνης Ἐ. Βευεp. — τῷ Κώδωνι, Λεΰγκλ. Τόμ. Ά. σελ. 156. Τανῦν, Κωδωνᾷ. — (3) Χ. Τρ. — τῷ Πελάγει Βευερ. Ἐ. Λεΰγκλ. — (4) Χ. Τρ. — τῷ Μεσόνης Ἐ. Βευερ. — (5) Λεΰγκλ. — τῇ Γάτρῳ Χ. Τρ.

πορτῶν, καὶ ἄχρι τῆς περιοχῆς τοῦ Ἀθύρα· καὶ ἁπλῶς τοῖς πέριξ τῆς βασιλίδος τῶν πόλεων ἀσκουμένοις μοναχοῖς, ἀνδράσι τε καὶ γυναιξὶ, πολλὰ τούτοις φιλοτιμησαμένη δίκαια, καὶ τὸ ἀδιάσειστον αὐτοῖς δωρησαμένη ἐπὶ τῇ κατοχῇ καὶ δεσποτείᾳ τῶν ἀκινήτων, τῶν ἀπό τινων δικαιωμάτων διαφερόντων τούτοις, καθὼς ὁ τοιοῦτος χρυσόβουλλος λόγος πλατύτερον ταῦτα διέξεισιν. Ἐπεὶ δὲ τοὺς θηρολέκτας οὐκ ἦν ἠρεμεῖν, ἀλλὰ τῷ τοῦ δημοσίου προσχήματι βαρεῖαν τούτοις ἐπῆγον οὗτοι τὴν κάκωσιν, ἡ βασιλεία μου ἅμα μὲν τὸ θεῖον ἐξευμενίσαι θελήσασα* (1) καὶ ἐξιλεώσασθαι, ἐφ' οἷς ὡς ἄνθρωπος τούτῳ προσκέκρουκεν· ἅμα δὲ βουλομένη καὶ τοὺς στρατιώτας τοῦ μεγάλου βασιλέως, Χριστοῦ δηλονότι, τοὺς δι' αὐτὸν τὸν μονήρη βίον προελομένους, καὶ τὴν πανοπλίαν ἐνδυσαμένους τοῦ Πνεύματος, συμμάχους ἔχειν, καὶ συνασπιστὰς ἰσχυροὺς κατὰ τῶν ὁρωμένων καὶ ἀοράτων ἐχθρῶν, τῷ ἀγαθῷ ἐκείνῳ θεμελίῳ καὶ ὄροφον ἐπιθεῖναι ἀνάλογον ἠρετίσατο, καὶ τὸν παρόντα χρυσόβουλλον ἀπολέλυκεν εὐλόγως, δι' οὗ θεσπίζει καὶ διορίζεται, πάντα τὰ σήμερον νεμόμενα ἀκίνητα παρὰ τῶν ἄνωθεν ἀριθμηθέντων μοναστηρίων, ἢ καὶ ἡσυχαστηρίων, ἢ καὶ ἀναχωρητικῶν κελλίων, ἢ λαυρῶν, καὶ ἁπλῶς κατοικητηρίων μοναχικῶν, κἂν οἵῳ ἂν καλοῖντο ὀνόματι, τούς τε παροίκους, τὰ αὐτούργια(2), τὰς πανηγύρεις, τοὺς φόρους, τοὺς πόρους, τὰς λίμνας, τοὺς ποταμοὺς, τὰ θαλάσσια δίκαια, καὶ καθολικῷ λόγῳ, οἱονδηποτοῦν δίκαιον ἐν ἀκινήτοις κτήμασι θεωρούμενον, καὶ ἐν οἱῳδήτινι τόπῳ διακείμενον, παρ' αὐτῶν κατεχόμενον νῦν, ἐφ' ᾧ δηλονότι μέχρι τοῦ νῦν οὐκ ἐδόθη τούτοις διάγνωσις παρὰ τῶν κατὰ χώραν ἀναγραφέων, τὸ τοῦ δημοσίου μέρος ἐπὶ τούτῳ προσδικαιοῦσα, ἔχειν τὰς ῥηθείσας μονὰς κατὰ διηνεκῆ δεσποτείαν, ὡς δῶρον καὶ φιλοτίμημα τῆς βασιλείας μου, καὶ δεσπόζειν αὐτῶν εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, κἂν εὐλόγως, κἂν παραλόγως τούτων τινὰ, ἢ τὰ ὅλα ἴσως ἕως τοῦ νῦν κατεῖχον, κἂν δίχα τινὸς δι-

(1) Χ. Τρ. — οὐ κεῖται παρὰ Βευερ. Λεΰγκλ. καὶ Ἐ. — (2) Λεΰγκλ. Βευερ. Ἐ. — τούς τε περὶ τὰ αὐτούργια Χ. Τρ. τὸ δὲ, παροίκους, οὐ κεῖται.

καιώματος, ἢ ἀπὸ δικαιωμάτων μὲν, κακῶς δὲ ἐχόντων, ἢ ψευδῶς συντεθέντων. Πάντα γὰρ τὰ παρ' αὐτῶν κατεχόμενα ἐν οἱῳδήτινι θέματι κατά τε δύσιν καὶ ἀνατολὴν, κἂν ἐξ αὐτῶν τῶν εἰς ἐνδιαίτημα ὄντων (1) τῶν κατὰ τὴν ἡμέραν βασιλέων, κἂν ἀπὸ κλασμάτων ὦσι, κἂν ἀπὸ συμπαθειῶν, ἢ ἀποκεκινημένων, ἢ ὁλοπτώτων, ἢ ἀπὸ ταπεινῶν τελουμένων διαρίων, ἢ ἀπὸ ταπεινῶν κλασματισθέντων, ἢ καὶ δυνατοῖς διαπραθέντων, ἢ τοὐναντίον, ἢ ἐξ ὀρθώσεων κακῶς γεγονυιῶν διαπράσεων, κἂν ἐν ἄλλοις τόποις ὁρισθέντων δωρηθῆναι, ἐν ἄλλοις παρεδόθησαν, ἢ δωρηθέντα οὐ παρεδόθησαν, ἢ παραδοθέντα οὐκ ἐδωρήθησαν, ἢ καθ' ἕτερόν (2) τινα λόγον κακῶς παρ' αὐτῶν κατέχωνται, ἀδιασείστως καὶ ἀπολυπραγμονήτως κατέχεσθαι παρὰ τῶν ῥηθεισῶν πασῶν μονῶν, ἡ βασιλεία μου βούλεται εἰς τὸν αἰῶνα τὸν ἅπαντα, ὡς δῶρον τῆς βασιλείας μου, καὶ καθαρὸν φιλοτίμημα· μόνης γὰρ τῆς παρ' αὐτοῖς εὑρισκομένης νῦν κατοχῆς τῶν ἀκινήτων ὀφειλούσης ἀρκεῖν αὐτοῖς ἀντὶ παντὸς δικαιώματος, περιττόν ἐστι τὸ πολυπραγμονεῖν περὶ ἑτέρων. Ἐπὶ πᾶσι γὰρ οἷς κατέχουσι σήμερον, (ἄνευ μέντοι τῶν ἐφ' οἷς ἐδόθησαν αὐτοῖς διαγνώσεις παρὰ τῶν κατὰ χώραν ἀναγραφέων, τὸν δημόσιον δικαιοῦσαι, ὡς εἴρηται), ὀφείλει ἀρκεῖν ἡ παροῦσα χρυσόβουλλος γραφὴ τῆς βασιλείας μου, καὶ ἀντὶ δωρεᾶς, καὶ ἀντὶ πράσεως (3), καὶ ἀνθ' ἑτέρου παντὸς δικαιώματος, κἂν οἱονδηποτοῦν σέκρετον ἐπ' αὐτῷ δικαιοῖτο· οὐδὲ ἀναγκασθήσονται αἱ μοναὶ, ἐφ' οἷς κατέχουσι νῦν ἀκινήτοις, προκομίζειν ἕτερα παλαιγενῆ προσόντα αὐταῖς δικαιώματα· ἀλλὰ τῇ παρούσῃ χρυσοβούλλῳ γραφῇ τῆς βασιλείας μου ἀντὶ παντὸς δικαιώματος χρώμεναι, ἀρκεσθήσονται ταύτῃ καὶ μόνῃ, ὀφειλούσῃ ἀρκεῖν αὐταῖς, ὡς προεγράφη, καὶ ἀντὶ δωρεᾶς, καὶ ἀντὶ παραδόσεως, καὶ ἀντὶ παντὸς ἑτέρου δικαιώματος. Εἰ δ' ἴσως, καιροῦ καλοῦντος, θελήσει οἱονδηποτοῦν μοναστήριον χρήσασθαι καὶ τοῖς προσοῦσιν αὐτῷ δικαιώμασιν, ὑπὲρ ἑαυτοῦ ταῦτα προκομίζον, παρ' οἱουδήτινος πρὸς τοῦτο οὐ κωλυθήσεται· ἀναγκαστικῶς γὰρ τοῦτο οὐ ποιήσει. Εἰ δὲ οἰκείῳ θελήματι αὐτὸ αἱρετίσεται,

(1) Χ. Τρ. — τὸ, ὄντων, οὐ κεῖται παρα Ἑ. Βευερ. Λεῦγκλ. — (2) ἢ καὶ καθ' ἑκάτερον Χ Τρ. — (3) Βευερ. Ἑ. — πρακτικοῦ Λεῦγκλ. — πρακτικῆς Χ. Τρ.

οὐδεὶς ὁ ἐμποδίζων ἐσεῖται. Οὐ μόνον δὲ ἐπὶ τῇ δικαιώσει τῆς γῆς συμβαλεῖται τοῖς μοναστηρίοις ἡ παροῦσα χρυσόβουλλος γραφὴ, ἀλλὰ καὶ ἐπὶ τοῖς παροίκοις, τοῖς νῦν παρ' αὐτῶν κατεχομένοις, καὶ τοῖς αὐτουργίοις, φόροις, πανηγύρεσι, διαβατοῖς, λίμναις, ποταμοῖς, θαλασσίοις δικαίοις, καὶ ἑτέρῳ οἱῳδήτινι δικαίῳ παρ' αὐτῶν κατεχομένῳ, ἄνευ μέντοι τῶν ἐφ' οἷς ἔλαβον διαγνώσεις ὑπὲρ τοῦ δημοσίου, ὡς πολλάκις ἀνωτέρω διείληπται. Εἰ δὲ καὶ προσετάχθησαν λογισθῆναι, ἢ ἐκκοπῆναί τινα τελέσματα, ἢ πάκτα, ἢ στρατεῖαι, ἢ δημόσια, ἢ λιβελλικὰ (1), ἢ ἕτερόν τι τῷ δημοσίῳ ἀνῆκον, καὶ οὐ γέγονε τὸ λελογισμένον(2), ἢ ἕτερόν τι ἔχει ἐπιλήψιμον τὸ δικαίωμα, οὐδέν τι ἐκ τούτου βλαβήσεται τὰ μοναστήρια. Τί δὲ χρὴ τὰ πολλὰ καταλέγειν, καὶ ἀπαριθμεῖσθαι, καὶ χάριν παραδείγματος ἀπογράφεσθαι; τὴν πολυλογίαν ἡ βασιλεία μου παρατρέχουσα, ἵνα μή τις τῶν περὶ ταῦτα δεινῶν, τινῶν μὲν ἐκφωνηθέντων ἐκ τῶν τὰ ἀκίνητα κατασειόντων αἰτίων, τινῶν δὲ παρασιωπηθέντων, ἐπιδράττοιτο τῶν ῥημάτων, καὶ κατ' Ἰουδαίους τῷ γράμματι ἐπικάθηται, καὶ ἐπιχειρεῖ ἐπὶ τοῖς μὴ ἐκφωνηθεῖσι διασείειν, καὶ παρενοχλεῖν ταῖς μοναῖς· καθολικῷ λόγῳ καὶ περιεκτικῷ τοῦτο ἡ βασιλεία μου βούλεταί τε καὶ διορίζεται, ὡς ἂν πᾶν ὅπερ ἐπὶ τοῖς σήμερον παρὰ τῶν μοναστηρίων κατεχομένοις, ἢ ἐπ' αὐταῖς ταῖς καθέδραις τῶν μοναστηρίων νοηθῇ ὑπὲρ τοῦ δημοσίου, παρά τινος, ἢ νῦν, ἢ ὁτεδήποτε, αὐτὸ τοῦτο δεδωρημένον λογίζεσθαι τῇ μονῇ. Καὶ ἅμα τις τοῦτο διανοήσεταί τε καὶ φθέγξεται, καὶ εὐθὺς ἀντιλήψεται αὐτοῦ ἡ μονὴ, ὡς σήμερον δεδωρημένον ταύτῃ παρὰ τῆς βασιλείας μου. Ὅσον γὰρ ἐφ' οἷς κατέχουσι νῦν ἀκινήτοις, περὶ ὧν διαγνώσεις ὑπὲρ τοῦ δημοσίου οὐκ ἔλαβον τὰ προγραφέντα μοναστήρια, δημόσιον βούλεται ἡ βασιλεία μου λογίζεσθαι ἓν ἕκαστον τούτων, κατὰ μόνον τὸ ἔχειν τὸ ἀδιάσειστον, καὶ μὴ ὑπ' οὐδενὸς ἀνακρίνεσθαι. Καὶ ὃν τρόπον ὁ δημόσιος οὐ πολυπραγμονεῖται ὑφ' ἑαυτοῦ, οὕτως οὐδὲ τὰ ἱερὰ σεμνεῖα, ἢ ἡσυχαστήρια, μοναστήριά τε, καὶ λοιπὰ, ὑπό τινος τῶν τοῦ δημοσίου φροντιστῶν ἀνακριθήσεται· κἄν τι εὔλογον δικαιο-

(1) Χ. Τρ. — λίβελλοι Λεύγκλ. — (2) τὸ λογίσιμον Χ. Τρ.

λογῆταί τις, κἂν παράλογον, κἂν ὁποῖον ἂν εἴη τὸ λαληθησόμενον· πᾶς γὰρ ὁ τοιοῦτόν τι ἐπιχειρήσων ποιῆσαι, ἀνίσχυρα δόξει λέγων, καὶ τῳόντι ἀβέβαια· καὶ ἀσυμπαθῶς ἡ τούτου περιουσία τῷ δημοσίῳ καθοσιωθήσεται, καὶ αὐτὸς ἄτιμος ἐσεῖται παντάπασιν, ὡς ἀντιπίπτων βασιλεῖ, εὐσεβῶς τε καὶ φιλοθέως τὸ ἀνενόχλητον ταῖς μοναῖς ἀποχαριζομένῳ, ἐπὶ τοῖς δεδωρημένοις αὐταῖς διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου, καὶ δι᾽ αὐτοῦ βραχύ τι δῶρον προσάγοντι τῷ Θεῷ, ἀνθ᾽ ὧν μυρίων εὐεργεσιῶν παρὰ τῆς πλουσιοπαρόχου δεξιᾶς αὐτοῦ παραπήλαυσεν. Οὐκ ἐξέσαι οὖν οὔτε ἀναγραφῇ, ἢ προκαθημένου οἱουδήτινος σεκρέτου, ἢ ἐξισωτῇ, ἢ ἑτέρῳ τινὶ ἐνεργοῦντι προσώπῳ τοῦ δημοσίου, τὰ τῶν μοναστηρίων ἀκίνητα ἀναγράφεσθαι, ἢ καπνολογεῖν, ἢ ἀναζητεῖν μέτρα γῆς, ἢ ποσότητας, ἢ γῆς τὸ ὑπέρπλεον, ἢ ὑπέρτιμον (1), ἢ τὸ ἀδίκως κατεχόμενον ἐξετάζειν. Ἀλλ᾽ ἐπεὶ ἐκ προστάξεως τῆς βασιλείας μου μέλλουσι γενέσθαι πρακτικὰ τῶν σήμερον κατεχομένων παρὰ τῶν μονῶν ἀκινήτων καὶ παροίκων, τότε μόνον ὀχληθήσεται ἡ μονή, καὶ τὸ ἀδίκως κατεχόμενον ἀφαιρεθήσεται, ὅτε ὁ ἀναγραφεὺς δεικνύει, ὡς ἐπέκεινα τοῦ περιορισμοῦ κατέχει ἡ μονὴ τόπια, ἢ παροίκους, ἢ ἕτερα δικαια. Οὐδὲ γὰρ ἐπ᾽ ἀδείας ἕξουσιν αἱ μοναὶ τὰ σήμερον παρ᾽ αὐτῶν κατεχόμενα, εἴτε πάροικοι εἶεν, εἴτε τόποι, εἴτε αὐτούργια, ἐπαύξειν, καὶ εἰς πληθυσμὸν ἄγειν πλείονα· πλὴν τῇ τοιαύτῃ προφάσει οὐκ ἐξέσται πράκτορι, ἢ ἀναγραφεῖ οἱωδήτινι, ἢ καπνικὸν, ἢ μετρητίκιον, ἢ ἕτερόν τι ἀναγραφικὸν, ἢ πρακτορικὸν φορολόγημα ἀπὸ τῶν ὑποκειμένων ταῖς δηλωθείσαις μοναῖς ἀκινήτων ἀναλαμβάνεσθαι. Εἰδέναι γὰρ ὀφείλει ὁ τοῦτο τολμήσων, ὡς οὐ μόνον ἐπὶ τὸ πολλαπλοῦν ἀντιστρέψει, ὅπερ ἂν ἀναλάβηται, ἀλλὰ καὶ τελείᾳ δημεύσει ὑποβληθήσεται, καὶ ἄτιμος ἔσται, καὶ ἀπολίτευτος. Οὕτω γὰρ θέλει ἡ βασιλεία μου, τὰ τῶν δηλωθεισῶν μονῶν ἀκίνητα πάντα λογίζεσθαι ὑφ᾽ ἑκάστου τῶν πρακτόρων, ὡς μὴ ὄντα ὑπὸ τὴν ἑαυτοῦ ἀρχήν τε καὶ ἐξουσίαν· καὶ ὃν τρόπον οἱ πράκτορες ἐπὶ τοῖς μὴ ὑποκειμένοις αὐτοῖς θέμασιν οὐδέν τι δίκαιον ἔχουσιν ἐνεργεῖν, ἢ ὅλως ποιεῖν τι

(1) Χ Τρ. — οὐ κεῖται τὸ, ἢ ὑπέρτιμον, παρὰ Βευερ. καὶ Ε.

ἐπ' αὐτοῖς· οὕτως οὐδὲ ἐπὶ τοῖς τῶν μοναστηρίων ἀκινήτοις οἱ πράκτορες τῶν θεμάτων, ὑφ' οὓς τελοῦσι τὰ τοιαῦτα ἀκίνητα, πράκτορες λογισθήσονται. Τὰ μέντοι γενησόμενα πρακτικὰ, καὶ οἱ περιορισμοὶ, παρ' ὧν ἂν ὁρίσει ἡ βασιλεία μου εἰς παράστασιν τῶν σήμερον παρὰ τῶν μοναστηρίων νεμομένων (1) τοῖς προσφόροις σεκρέτοις δι' εἴδησιν ἐγκαταστρωθήσονται. Ὀφείλουσι δὲ εἰδέναι πάντα τὰ μοναστήρια, ὡς, οἷον ἂν ἐξ αὐτῶν εὑρεθῇ ῥαδιουργίαν τινὰ ποιησάμενον ἐπὶ τοῖς σήμερον παρ' αὐτῶν κατεχομένοις ἀκινήτοις(2), ἢ συμπαιγνίαν, ἢ δόλον πλημμελῆσάν τινα, οὐ μόνον ἀπὸ τῆς παρὰ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου ὠφελείας οὐκ εὐμοιρήσει τὸ σύνολον, ἀλλὰ καὶ τοῦ προφιλοτιμηθέντος(3) αὐτῷ ἐκπεσεῖται δικαίου, διὰ τοῦ προγεγονότος πᾶσι ταῖς δηλωθείσαις μοναῖς ἑτέρου χρυσοβούλλου λόγου τῆς βασιλείας μου. Ἐφεξῆς δὲ ἀνεῖλε τὸ τοιοῦτον χρυσόβουλλον, καὶ πᾶσαν πρόσταξιν ἐναντιουμένην τούτῳ γεγονυῖαν δηλονότι, ἢ καὶ γενησομένην, καὶ διωρίσατο χρῆσθαι τὰς μονὰς καὶ τοῖς παλαιγενέσιν αὐτῶν δικαιώμασιν. Ἐπεὶ δὲ ἐκ προσαγγελίας χαιρεκάκων τινῶν ἀπελύθη κατὰ τὸν Ἰούνιον μῆνα τῆς θ'. Ἰνδικτιῶνος τοῦ ,ϛχπδ'. ἔτους πρόσταγμα βασιλικὸν, ἀνατρέπον σχεδὸν τὸ τοιοῦτον εὐσεβέστατον καὶ εὐεργετικώτατον χρυσόβουλλον, καὶ διὰ τοῦτο πάντα τὰ μοναστηριακὰ ἀκίνητα ὑπὸ τῶν ἀναγραφέων ἡρπάζοντο, ἀπελύθη κατὰ τὸν Ἰούλιον μῆνα τῆς δ'. Ἰνδικτιῶνος τοῦ ,ϛχπθ'. λύσις προσκυνητὴ τῶν θεοστέπτων, κρατίστων, καὶ ἁγίων ἡμῶν βασιλέων, ἐπὶ ὑπομνήσει τῶν μοναστηρίων, ἐκκόπτουσα τὴν πραιτωρικὴν χρείαν καὶ τὴν κατεπανικὴν, καὶ διοριζομένη ἔχειν τὸ ἐνεργὸν τὰ προγεγονότα χρυσόβουλλα, χάριν τοῦ μὴ ἀναγράφεσθαι τὰ τῶν μοναστηρίων ἀκίνητα, κατὰ ῥῆμα οὕτω διαλαμβάνουσα· Ἡ βασιλεία μου τῆς ἐκ τῶν ἡμετέρων εὐχῶν συνάρσεως χρήζουσα, καὶ ἐν πᾶσι κατ' ἴχνος βαίνειν τοῦ ἐν μακαρίᾳ τῇ λήξει βασιλέως αὐθέντου καὶ πατρὸς αὐτῆς θέλουσα, καὶ τὸ περὶ τοὺς ἀνατεθειμένους ὑμᾶς τῷ Θεῷ εὐεργετικὸν ἐκείνου μιμεῖσθαι προείρηται· ταύτῃ τοι

---

(1) γινομένων Χ. Τρ. — (2) Λεϋγκλ. — τὸ, ἀκινήτοις, οὐ κεῖται παρὰ Ἑ. Βευερ. καὶ Χ. Τρ. — (3) Χ. Τρ. — προτιμηθέντος Βευερ. Ἑ.

καὶ διὰ μιᾶς ταύτης τῆς ἐφ' ὑμῖν ἀγαθοποιΐας, καὶ τῷ βασιλεύσαντι ταύτην Θεῷ χαρίζεται, καὶ τῇ τοῦ αὐθέντου καὶ πατρὸς τῆς βασιλείας μου ἁγίᾳ ψυχῇ, καὶ τῷ ἡμετέρῳ δὲ κράτει τῆς εἰς τὸ ἀγαθὸν προκοπῆς ὑποβάθρα καὶ θεμέλιος τίθεται· καὶ ἐπικλινὴς τῇ ὑμῶν γενομένῃ αἰτήσει, τὸ ἐνεργὸν ἔχειν καὶ ἀπαράθραυστον (1), καὶ ἀμετακίνητον, τοὺς ἐπ' εὐεργεσίᾳ τῶν καθ' ἡμᾶς μονῶν ἀπολυθέντας τρεῖς χρυσοβούλλους λόγους παρὰ τῆς ἁγίας ἐκείνου βασιλείας διορίζεται, καὶ ἐπὶ τῆς αὐτῆς ἀμετακινήτως μένειν δυνάμεως, ἐφ' οἷς κατὰ τὴν ἀρχὴν ἐξετέθησαν, καὶ τὰ ἀκολούθως δὲ τούτοις συμβάντα τῆς παραδόσεως πρακτικὰ τὸ ἀσφαλὲς ἀποφέρεσθαι· κἂν μετὰ διετίαν γεγόνασι, κἂν ἴσως τινὰ τούτων τοῖς προσφόροις σεκρέτοις καταστρωθῆναι οὐκ ἔφθασαν, τῶν εἰς ἑρμηνείαν ἢ ἀνατροπὴν τῆς τῶν χρυσοβούλλων δυνάμεως μερικὴν ἢ καθόλου ἀπολυθέντων παντοίων προσταγμάτων, τῶν καὶ ἐν τῇ ὑπομνήσει ἡμῶν δηλουμένων, κἂν ὅπως ἄρα καὶ ἀπελύθησαν, τὸ ἄπρακτον καὶ ἀνίσχυρον ἀποφερομένων διὰ τῆς παρούσης λύσεως, καὶ, ὥσπερ εἰ μηδὲ ὅλως γεγόνασι, λογιζομένων. Ἀργήσει δὲ καὶ ἡ μέχρι τοῦ νῦν ἐπεισκωμάσασα τοῖς ὑπὸ τὰς καθ' ὑμᾶς μονὰς ἀκινήτοις, τοῖς κατὰ τὸ θέμα Θρᾴκης καὶ Μακεδονίας διακειμένοις, ἀπαίτησις τῆς τε πρακτορικῆς καὶ κατεπανικῆς γύρας καὶ (2) χρείας, καὶ ἡ τοῦ στυππίου καὶ ἀξουγγίου ἐξώνησις, ἢ ἀπαίτησις, ὡς διὰ τῆς παρούσης λύσεως ἐκκοπτόμεναι, καὶ ῥιζοτομούμεναι, καὶ εἰς τὸ ἀνύπαρκτον καὶ ἀνονόμαστον ἀποκαθιστάμεναι· τῶν πραιτώρων καὶ πρακτόρων καὶ κατεπάνων, καὶ τῶν τὴν ἐξώνησιν, ἢ ἀπαίτησιν τοῦ στυππίου καὶ τοῦ ἀξουγγίου κατὰ καιροὺς ποιουμένων, καὶ τῶν ἐξυπηρετούντων αὐτοῖς, οὕτω παρατρέχειν *τὰ τοιαῦτα ἀκίνητα ὀφειλόντων, ὡς εἰ μηδὲ ὅλως ἐν τοῖς ὑπ' αὐτοὺς θέμασι ταῦτα διέκειντο*(3)· ἅτε καὶ αὐτῶν ἀκαταζητήτων μελλόντων διατηρεῖσθαι ἀπὸ τοῦ δημοσίου, ἐπὶ πᾶσι τοῖς τοιουτοτρόπως

(1) Χ. Τρ. — ἀπαρασάλευτον Βευερ. Ἐ. Λεϋγκλ. — (2) Ἐ. Βευερ. Χ. Τρ. — τὸ, γύρας καὶ, οὐ κεῖται παρὰ Λεϋγκλ. — (3) τὰ μεταξὺ τῶν * οὐ κεῖνται παρὰ Βευερ. Ἑ. οὐδὲ Λεϋγκλ. ὅστις σημειοῖ διὰ 3 ἀστερίσκων ὅτι ἐλλιπὲς τὸ χωρίον· ἀναγινώσκονται δὲ ἐν Χ. Τρ. καὶ ἐν τῇ λατινικῇ μεταφράσει τοῦ Ἑρβέτου.

ἐπιγνωσθεῖσιν αὐτῷ, ἀπ' ἀρχῆς τῆς σήμερον ἀπαιτουμένης ἐγχρονίας, καὶ εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, δεχομένοις ἀναντιῤῥήτως, καὶ ὡς μηδὲ ἐν δημοσιακοῖς πρακτικοῖς καταγραφεῖναι λογιζομένοις. Κἂν μὴ κατεγράφησαν δὲ ἐν πρακτικοῖς, ἄλλως δέ πως ἐπεγνώσθησαν, δεχομένοις καὶ οὕτω· τοῦ κατατολμήσοντος ἕτερόν τι παρὰ τὰ διωρισμένα τοῖς τοιούτοις χρυσοβούλλοις, καὶ τῇ παρούσῃ λύσει τῆς βασιλείας μου, ἐπὶ ταῖς ὑπὸ τὰς καθ' ὑμᾶς μονὰς παντοίαις ἀκινήτοις κτήσεσι διαπράξασθαι, σὺν τῷ καὶ καθοσιώσει ὑποπίπτειν, (καθὼς διὰ τῶν τοιούτων χρυσοβούλλων διωρίσθη), καὶ παρὰ τοῦ κατὰ τὴν ἡμέραν μεγαλεπιφανεστάτου Μυστικοῦ, καταναγκαζομένου εἰς τὴν ἐπενεχθεῖσάν τινι τῶν ὑφ' ὑμᾶς κτήσεων βλάβην ἀποθεραπεύειν αὐτῇ. Μελήσει μέν τοι καὶ τῷ μέρει τῶν μονῶν πασῶν, τῶν τε ἐντὸς τῆς μεγαλοπόλεως καὶ ἐκτὸς, ὑπὸ τοὺς ἐμπεριειλημμένους μέντοι ὅρους τοῖς τοιούτοις χρυσοβούλλοις διακειμένων, τοῦ ἐν τοῖς μνημοσύνοις τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου αὐθέντου καὶ πατρὸς τῆς βασιλείας μου, ἐκτελεῖν ὅσα ἐν τῇ ὑπομνήσει ὑμῶν δεδήλωται, εἰ μὴ βούλονται τῆς τοιαύτης ἐξκουσείας διαπεσεῖν, ἐκ τοῦ ἅπαξ τούτων καταμελῆσαι. Ἀλλὰ καὶ τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ Μεγάλῃ Ἐκκλησίᾳ ἐπωρέχθη χρυσόβουλλον τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, ταῦτα κατὰ ῥῆμα διαλαμβάνον· Καὶ τῷ παλαιῷ μὲν ἐκείνῳ καὶ περιπύστῳ τῆς τοῦ Σολομῶντος Σοφίας ναῷ τὸ κατὰ δύναμιν προσέφερον ξύμπαντες. Καὶ τῷ ἱερῷ δὲ τούτῳ καὶ παμμεγίστῳ τεμένει, τῷ ἐπ' ὀνόματι τῆς τοῦ Θεοῦ Σοφίας, τοῦ καὶ ἐκ Σολομῶντος κατηγμένου καὶ ἐκ Δαβὶδ, κατὰ τὸ ἀνθρώπινον, φιλοτίμως ὄντως ἐνιδρυμένῳ καὶ τῷόντι βασιλικῶς, οὗ κἀκεῖνος ἦν ὁ Σολομώντειος προεκτύπωμα, τῇ νέᾳ λέγω Σιὼν, τῇ τοῦ ἁγιάσματος Κιβωτῷ, τῇ τοῦ Σωτῆρος ἡμῶν ἐκκλησίᾳ, ἣν τῇ πέτρᾳ ἐπῳκοδόμησε τῶν ἀποστολικῶν διατάξεων τὸ Πνεῦμα τὸ ἅγιον οὕτως ἀῤῥαγῆ καὶ ἀκλόνητον, διάφορα πολλοὶ προσήγαγον ἀναθήματα, ἐν ἀκινήτοις θεωρούμενα κτήσεσι, κατά τε τὴν ἕω διακειμέναις καὶ πρὸς δυσμὰς, ἀλλὰ δὴ καὶ κατὰ τῶν νήσων τινάς. Εἰσὶ δ' ἃ περιῆλθον τούτῳ καὶ κατ' ἐξώνησιν· τούτων πολλὰ (ἵνα μὴ λέγω τὰ πλείω) ἐκ διαφόρων αἰτιαμά-

των τῷ δημοσίῳ προσαρμόττειν διεγινώσκοντο παρά τε τῶν ἑκασταχοῦ ἀναγραφέων, καὶ τῶν ἄλλως περὶ ταῦτα δεινῶν. Ἐπεὶ δὲ τοῦτο ταῖς ἀκοαῖς ἐνηχήθη τῆς βασιλείας μου, ἐξ ἀναφορᾶς τῶν κατὰ τὸν μέγιστον τοῦτον καὶ θεῖον οἰκονομούντων ναὸν, αὐτίκα μηδὲν μελῆσαν τὸ ἡμέτερον κράτος, τὸν παρόντα χρυσόβουλλον λόγον τῷ πανσέπτῳ τούτῳ σηκῷ ἐπεβράβευσε, δι' οὗ καθαρῶς αὐτῷ δωρεῖταί τε καὶ ἀποχαρίζεται ἡ ἡμετέρα εὐσέβεια ἅπαντα τὰ τῷ δημοσίῳ ὁπωςδήποτε διαφέροντα, ἀπό τε τῶν ἐν τῇ ἀνατολῇ καὶ τῇ δύσει καὶ ταῖς ὅλαις νήσοις κατεχομένων παρ' αὐτοῖς παντοίων ἀκινήτων ἐπικτήσεων, ὡς δῶρον ταύτης καὶ ἱερόν τι ἀνάθημα, κἂν πάροικοι ὦσι, κἂν γῆ, ἀρόσιμος, τυχὸν, ἢ λιβαδιαία, ἢ ὑπάμπελος, ἢ κηπεύσιμος, κἂν αὐτούργια οἱαδήτινα, κἂν ἔνοικοι πραγματευταὶ, ἢ ἐργαστηριακοὶ, κἂν κάστρα ἔν τισι τούτων ᾠκοδομήθησαν, κἂν ἕτερόν τι ὁποιονδηποτοῦν τῷ δημοσίῳ διαφέρον ἐν τούτοις ἐξεύρηται. Ἐπανορθοῖ δὲ ἡ βασιλεία μου, διὰ τοῦ παρόντος εὐσεβοῦς χρυσοβούλλου λόγου, καὶ ὅσα που χωλεύοντα εὑρίσκονται ἐπὶ τοῖς προσοῦσι τῇ διαληφθείσῃ τοῦ Θεοῦ Μεγάλῃ Ἐκκλησίᾳ δικαιώμασιν, ἐν πᾶσι τοῖς τοιούτοις ἀκινήτοις, ὁποῖα ἂν καὶ ὦσι· καὶ πάντα τὰ προσόντα αὐτῇ κατά τε δύσιν καὶ ἀνατολὴν, καὶ τὰς ὅλας νήσους, ὡς νῦν παρὰ τῆς βασιλείας μου δωρούμενα καὶ παραδιδόμενα, ταύτῃ λογίζεσθαι διὰ τῆς παρούσης εὐσεβοῦς χρυσοβούλλου γραφῆς ἡ γαληνότης ἡμῶν θεσπίζει καὶ διορίζεται· διὰ γὰρ τοῦτο καὶ περιορισμοὺς προβῆναι λεπτομερεῖς, παντοίων ἀκινήτων δηλωτικοὺς, καὶ τῶν ἐν αὐτοῖς προσκαθημένων παροίκων τε καὶ ἐνοίκων· ἔτι δὲ καὶ τῶν ἐν τούτοις εὑρισκομένων παντοίων αὐτουργίων, παρὰ τῶν κατὰ τόπους ἀναγραφέων, καὶ ταῖς ἐκείνων πιστωθῆναι ὑπογραφαῖς, καὶ τῷ μέρει τῆς ἁγιωτάτης Μεγάλης Ἐκκλησίας ἐπιδοθῆναι εἰς ἀσφάλειαν αἰωνίζουσαν, τὸ κράτος ἡμῶν ἐγκελεύεται· ὡς ἂν ὦσι δῆλα καὶ ἀναμφίλεκτα ξύμπαντα, καὶ μηδέποτε τῶν καιρῶν ὑπ' ἀνάκρισιν ἄγοιντο παρ' οὑτινοσοῦν τῶν κατὰ καιροὺς ἀναγραφέων, ἢ ἐποπτῶν, ἢ ἐξισωτῶν καὶ τῶν ἄλλως ἀνερευνώντων τὰ δημοσιακὰ, τῶν δηλωθέντων περιορισμῶν ἐγκαταστρωθῆναι ὀφειλόντων τοῖς προσφόροις σεκρέτοις δι' εἴδησιν. Οὐδὲ γὰρ ἐξέ-

σται τινὶ τούτων ἐν οἱῳδήποτε χρόνῳ καθ' οἱονδήτινα τρόπον ἐν τοῖς τοιούτοις πᾶσιν ἀκινήτοις εἰσέρχεσθαι ὁπωσδήποτε, ἢ ταῦθ' ὑπὸ ζήτησιν ἄγειν καὶ ἐξέτασιν οἱανδήτινα. Ἀλλ' οὐδὲ δικαιώματα ἐπὶ τούτοις ἐπιζητητέον, οὐ καπνικὸν ἀναλαμβάνεσθαι, οὐ μετρητίκιον, οὐχ ἕτερόν τι οἱονδηποτοῦν φορολόγημα, εἰς κέρδος τοῖς ἀναγραφεῦσιν ἐπινοούμενον, ἀποτρεπομένοις (1) τῇ ἐμφανείᾳ καὶ μόνῃ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου, καὶ τῶν προβησομένων περιορισμῶν, ὡς διείληπται. Πᾶσα δὲ πρόσταξις γεγονυῖα, εἴτε περὶ προαφωρισμένων, εἴτε περὶ κλασμάτων, εἴτε περὶ συμπαθειῶν, εἴτε περὶ τῶν ἀπὸ ταπεινῶν στίχων, εἴτε περὶ τῶν ὑποκειμένων ταῖς χαραγαῖς, εἴτε περὶ στρατειῶν συμπεπαθημένων, κἂν μὴ ἀντισήκωσις τούτων ἐγένετο, εἴτε περὶ τοῦ τὰς ἀπόσους μὴ στέργειν δωρεὰς, εἴτε περὶ οἱουδήτινος ἑτέρου κεφαλαίου ἐξεφωνήθη, καὶ κατά τι ἐναντιοῦται τῷ παρόντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου, ὅσον ἐπ' αὐτῷ, ἀποίσεται τὸ ἀνίσχυρον, κἂν τὸ μὴ ἀνατρέπεσθαι ἔχῃ ἐγκείμενον ἐν αὐτῇ, εἰ μὴ ῥητῶς ἐκφωνηθῇ. Ἐν εἰδήσει γὰρ πασῶν τῶν γεγενημένων προστάξεων ἡ ἡμετέρα τυγχάνουσα (2) θεοσέβεια, τὸ κατὰ μέρος ταύτας ἀπαριθμήσασθαι παρέλκον ἡγήσατο, καὶ ὡς ἰδιαιτάτως ἀριθμηθείσας, καὶ ἀνατραπείσας, ὅσον ἐπὶ τῷ παρόντι χρυσοβούλλῳ λόγῳ, λογίζεσθαι ταύτας θεσπίζει ἡ βασιλεία μου. Ἀλλ' οὐδὲ γενησομένη οἱαδήτις ἑτέρα πρόσταξις τῆς παρούσης εὐσεβοῦς κατισχύσει χρυσοβούλλου γραφῆς· ἀλλὰ κἀκείνη, ἐφ' οἷς ἐναντιοῦται τῷ παρόντι τῆς βασιλείας μου ὁρισμῷ, ὅσον ἐπ' αὐτῷ, τὸ ἀνίσχυρον (3) ἀποίσεται καὶ ἄκυρον, κἂν τὸ μὴ ἀνατρέπεσθαι ἔχῃ ἐγκείμενον ἐν αὐτῇ, (εἰ μὴ ῥητῶς ἐκφωνηθῇ) κἂν ἑτέραν διάστιξιν οἱανδήτινα. Ἵν' οὖν δῆλα εἴη τὰ προσόντα τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ Μεγάλῃ Ἐκκλησίᾳ ἀκίνητα ἅπαντα, ἐν τῷ παρόντι χρυσοβούλλῳ λόγῳ ῥητῶς ἐνεγράφησαν, ἃ καὶ ἔχουσιν οὕτω πρὸς ὄνομα. Ἐν τῷ θέματι Θρᾴκης καὶ Μακεδονίας, τὸ δεῖνα καὶ δεῖνα, καὶ ἐφεξῆς

---

(1) ἀποτρεπόμενον Χ. Τρ. — (2) Χ. Τρ. — τυγχάνει Λεΰγκλ. — οὐ κεῖται τὸ, τυγχάνουσα παρὰ Βευερ. Ἐ. — (3) ἄπρακτον Χ. Τρ.

καταλέγει τὰ ἀκίνητα πάντα· καὶ μετὰ τὴν τούτων ἀπαρίθμησίν, φησιν· Οἱ πανταχοῦ εὑρισκόμενοι Στροβιλιῶται Ἰουδαῖοι, καὶ ἐξκουσεία πλοίων χωρήσεως χιλιάδων τριάκοντα. Ἐπὶ τούτοις πᾶσι τὸ ἀπερικλόνητον ἔχειν πάντη καὶ ἀδιάσειστον τὴν ἁγιωτάτην Μεγάλην Ἐκκλησίαν, καὶ τὸ μέρος ἅπαν αὐτῆς, θεσπίζει τὸ κράτος ἡμῶν· περιορισμῶν ὀφειλόντων προβῆναι λεπτομερῶν, παρὰ τῶν κατὰ τόπους ἀναγραφέων, ὡς πολλάκις διείληπται. Πλὴν τῇ τοιαύτῃ προφάσει οὐκ ἐξέςαι τοῖς δηλωθεῖσιν ἀναγραφεῦσιν ἢ καπνικὸν ἀπαιτῆσαι, ἢ μετρητικὸν, ἢ χρειῶν δόσιν, ἢ ἑτέραν ὁποιανδήτινα εἴσπραξιν, ἀπὸ τῶν ὁπουδήποτε ἀκινήτων αὐτοῖς· ἀλλ᾽ ἄνευ τῆς οἱασοῦν συνεισφορᾶς τε καὶ ἀπαιτήσεως τοὺς δηλωθέντας περιορισμοὺς συντελέσουσι· τοῦ κατατολμήσοντος ἀθετῆσαί τι τῶν διωρισμένων τῷ παρόντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου, πρὸς τῷ τὴν βασιλικὴν ὑποστήσεσθαι ἀγανάκτησιν, ὑποστῆναι ὑφορωμένου καὶ δόσιν προστίμου λιτρῶν ὑπερπύρων (1) τριάκοντα, ἀπαιτηθησομένων ἀσυμπαθῶς ἐξ αὐτοῦ παρὰ τοῦ σεκρέτου τῶν οἰκειακῶν, ἐκ προσελεύσεως τῆς ἁγιωτάτης Μεγάλης Ἐκκλησίας, ὡς βεβαίου καὶ ἀσφαλοῦς τοῦ παρόντος χρυσοβούλλου λόγου τυγχάνοντος, γεγενημένου κατὰ τὸν Αὔγουστον μῆνα τῆς ά. Ἰνδικτιῶνος, τοῦ ,ςχξά. ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος. Προσέτι τούτοις ἀπελύθη καὶ ἕτερος χρυσόβουλλος λόγος τοῦ αὐτοῦ κραταιοῦ ἁγίου ἡμῶν βασιλέως, κατὰ μῆνα Φεβρουάριον Ἰνδικτιῶνος ιά. τοῦ ,ςχνς'. ἔτους, ὁ καὶ ἰατὴρ λεγόμενος, ὡς ἰώμενος τὰ χωλεύοντα ἴσως δικαιώματα τῶν ἁπανταχοῦ ἐκκλησιῶν, ἐπισκοπῶν δηλονότι, καὶ μητροπόλεων, καὶ αὐτῆς τῆς Μεγάλης Ἐκκλησίας, ὃς καὶ κατὰ ῥῆμα οὑτωσὶ διαλαμβάνει· Ὁ μὲν μετὰ Μωσέα τοῦ ἐκλεκτοῦ λαοῦ ἐκεῖνος στρατηγὸς Ἰησοῦς, τὰ Ἰεριχούντεια καθελεῖν ἐπειγόμενος ὀχυρώματα, τοῖς ἱερεῦσι κύκλῳ σαλπίζειν ἐκέλευε, καὶ οὕτω παραδόξως τὰς τῶν τειχῶν ἐπάλξεις κατέῤῥιπτε. Τῇ δὲ τοῦ νέου τῷ Θεῷ ἐκλεκτοῦ καθηγουμένῃ τούτου λαοῦ βασιλείᾳ μου, μετὰ τὸν ἐν βασιλεῦσιν ἐκεῖνον ἄλλον Μωσέα, τοῦ λαοῦ σωτῆρα καὶ ὁδηγὸν, τὸν ἀοίδιμον λέ-

(1) ἀντὶ ὑπερπύρων, ἀναγινώσκεται νομισμάτων παρὰ Λεῦγκλ.

γω αὐθέντην τῆς βασιλείας μου καὶ γεννήτορα, ὥσπερ τινὰ τείχη καθελεῖν ἐπειγομένη Ἱεριχούντεια, τὰς τοῦ κοινοῦ τῶν Χριστιανῶν ἐχθροῦ ὀχυρώσεις, (τοῦ δυτικοῦ λέγω δράκοντος, τοῦ τῆς Σικελικῆς κατατυραννοῦντος γῆς, κἀκεῖθεν κατὰ τῆς τῶν Ῥωμαίων ἐπικρατείας λάθρα ἑρπύσαντος), ἀναλόγως, οἷα πνευματικάς τινας σάλπιγγας, τὰς τῶν τὸν Θεὸν ἐξιλεουμένων καθ' ἑκάστην ὑπὲρ ἡμῶν ἀρχιερέων εὐχάς, πρὸς ἐκείνου καθαίρεσιν συνεργούσας ἐδέησεν. Ἀλλὰ καὶ αὐτὸς ὁ θεόπτης Μωσῆς, ὁπηνίκα τῷ Ἀμαλὴκ συνεκρότει μάχην, ἱερεῦσιν ἑκατέρωθεν στηριζόμενος, οὕτω τοῦτον κατετροποῦτο, καὶ ὑπερίσχυε. Κατ' ἐκεῖνον οὖν καὶ ἡ βασιλεία μου τοῦ ἀρχιερατικοῦ δεομένη ὑποστηρίγματος, εἰς τὴν κατὰ τοῦ νέου τούτου Ἀμαλὴκ προκειμένην ἀντιπαράταξιν, καὶ ὥσπερ τινὰ στύλον φωτὸς τοῦ νέου Ἰσραὴλ προηγούμενον, καὶ τὰ τούτου κατευθύνοντα διαβήματα, τὰς τούτων ἔχειν εὐχὰς ἐθέλουσα, τὸν παρόντα χρυσόβουλλον λόγον τῇ μητρὶ πασῶν τῶν ἐκκλησιῶν, τῇ νέᾳ Σιών, τῷ τῆς τοῦ Θεοῦ σοφίας ἐνδιαιτήματι, καὶ τοῖς κατὰ τὰς νήσους πάσας, καὶ τὴν ἀνατολήν, καὶ τὴν δύσιν, ἀρχιερεῦσιν(1) ἐβράβευσε, τὰς ὑπὲρ τῆς βασιλείας μου τούτων εὐχὰς ἐπὶ πλέον ἀναῤῥωννύουσα. Ἀκριβῶς γὰρ οἶδεν ἡ βασιλεία μου, ὡς, οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ ὡς, γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ· ψευδὴς δὲ ἵππος εἰς σωτηρίαν, κατὰ τὸν θεῖον φάναι προφήτην, καὶ ψαλμογράφον, καὶ θεοπάτορα. Τοιγάρτοι καὶ τὸ ἀπερικλόνητον πάντη παραφυλάττεσθαι θέλουσα, τῇ τε πασῶν προκαθημένῃ ἐκκλησιῶν, καὶ τοῖς μνημονευθεῖσι πᾶσιν ἀρχιερεῦσι τῶν ὁπουδήποτε ἁγίων ἐκκλησιῶν, καὶ τὸ ἀσφαλὲς τῶν προσόντων ταύταις δικαιωμάτων, ἐπὶ τῇ κατοχῇ τῶν ἀκινήτων αὐτῶν βεβαιότερον καθιστῶσα· προσεπανορθοῦσα δὲ καὶ εἴτι που χωλεῦον ἴσως ἐστὶν ἐν τοῖς αὐτῶν δικαιώμασι, καὶ τῆς ἀκριβείας λειπόμενον· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ εἴτι που ὀφεῖλον ἐπακολουθῆσαι δικαίωμα, πρὸς τὴν ἀσφαλῆ τῶν τοιούτων ἀκινήτων δεσποτείαν, κατοχήν τε καὶ κυριότητα, γενέσθαι ἴσως οὐκ ἔφθασεν. Αὐτὸν δὴ τὸν παρόντα χρυσόβουλλον λόγον, ἰατῆρα ἡ βασιλεία μου τούτου δὴ τοῦ ἐλλείποντος αὐτοῖς ἐπιδέδωκεν, οἷον

(1) Χ. Τρ. Λεϋγκλ. — οὐ κεῖται τό, ἀρχιερεῦσι, παρὰ Βευερ. καὶ Ἑ.

ἄρτιον καὶ ὁλομελὲς δεικνύντα τὸ ἐπὶ τούτοις δίκαιον, καὶ εἰς τὸ παντελὲς ἀδιάσειστον. Δὶ οὗ καὶ βεβαιοῖ μὲν, καὶ ἀσφαλέςερον τίθησι πᾶν προσὸν ταῖς κατ' αὐτοὺς ἁγιωτάταις τοῦ Θεοῦ ἐκκλησίαις, καὶ αὐτῇ τῇ τούτων προκαθημένῃ, δικαίωμα ἐπὶ τοῖς αὐτῶν ἀκινήτοις, ὁποῖον ἂν καθέστηκε, κἂν ὁπουδήποτε ταῦτα διάκεινται, καὶ τὸ καλὸν κάλλιον τίθησι τῇ ἐπικρίσει τε καὶ ψήφῳ τῆς βασιλείας μου. Πᾶν δὲ ἐν αὐτοῖς, ἐν ὁποίοις εἴποι τις, θεωρούμενον, εἴτε ἐν χρυσοβούλλοις λόγοις διαφόρων βασιλέων, εἴτε ἐν σιγιλλίοις, εἴτε ἐν ἁπλαῖς προστάξεσιν, εἴτε ἐν λύσεσιν, εἴτε ἐν πρακτικοῖς ὑποσκάζον, καὶ κατά τι τοῦ ἀκριβοῦς καὶ τῆς ὀφειλομένης ἀκολουθίας λειπόμενον, ἀπό τε βασιλικῶν προσταγμάτων καὶ νόμων, ἐπανορθοῖ, καὶ διορίζεται, μὴ κατά τι πρόκριμα ἐκ τούτων εἶναι ταῖς δηλωθείσαις πάσαις ἁγιωτάταις ἐκκλησίαις εἰς τὸν αἰῶνα τὸν ἅπαντα· ἀλλὰ τὸ ὑπόσαθρον ἐκείνων καὶ ἀσθενὲς, εὐτονώτατον εἶναι καὶ ἀνάλωτον πάσῃ δικαιολογίᾳ τοῦ βουλομένου λέγειν τι ὑπὲρ τοῦ δημοσίου, τῷ παρόντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου ῥωννύμενον, καὶ σφόδρα ἐνδυναμούμενον· καὶ ἵνα ἀπὸ τῶν πολλῶν, ὧν ἄν τις ἐννοήσειεν, ὀλίγων τινῶν ἡ βασιλεία μου ἐπιμνησθείη, ἐὰν τυχὸν δωρεὰ αὐτοῖς παροίκων ἄποσος εἴη, ἢ μέτρων γῆς, ἢ αὐτουργιά τινα ἐκαίνισαν ἐν τοῖς τοιούτοις κτήμασι, τυχὸν μὴ δεδωρημένα αὐτοῖς· ἢ ἐδωρήθησαν μὲν, οὐκ ἀνετράπησαν δὲ αἱ περὶ τούτων προστάξεις· ἢ ἐπὶ προαφωρισμένοις δεδωρημένοις αὐτοῖς, αἱ περὶ προαφωρισμένων προστάξεις οὐκ ἀνετράπησαν· ἤ τινα τῶν ὁρισθέντων αὐτοῖς βασιλικῶν προσταγμάτων οὐδόλως κατεστρώθησαν· ἢ κατεστρώθησαν μὲν εἴς τινα τῶν σεκρέτων, οὐ μήν γε καὶ ἐπὶ τοῖς προσφόροις σεκρέτοις· ἢ καταστρωθέντα ἀπώλοντο, ἴσα δὲ τούτων πεπιστωμένα εὑρίσκονται· ἢ πρακτικὰ ὀφείλοντα προβῆναι, οὐ προέβησαν· ἢ προβάντα, οὐ κατεστρώθησαν· ἢ ὁρισθέντα γενέσθαι λογίσιμα, οὐκ ἐγένοντο· ἢ κατά τινα ἴσως ἄλλην, ὁποίαν ἄν τις εἴποι, αἰτίαν, εἴτε κατὰ μέρος, εἴτε καὶ καθ' ὁλόκληρον, τὰ προσόντα ταῖς πολλάκις διαληφθείσαις ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις, καὶ τῇ μητρὶ πασῶν, χωλεύουσι δικαιώματα, κἀντεῦθεν οὐκ ἔχουσι τὸ ἀπερικλόνητον· κἂν μὴ ῥητῶς ἐνταῦθα πᾶσα ὁποιαδήτις αἰτία, ὑποσκά-

ζειν ποιοῦσα τὰ δικαιώματα, ἐκπεφώνηται, ἢ ὤφειλον, τυχὸν, καὶ ἕτερα δικαιώματα προσεπορεχθῆναι αὐταῖς ἐπὶ τοῖς τοιούτοις ἀκινήτοις, ὥς τινων πάντως προβάντων ἐν αὐταῖς· (εἰ γὰρ μηδόλως τι δικαίωμα ἐπί τινι τῶν προσόντων αὐταῖς ἀκινήτων κέκτηνται, οὐδέν τι ἀπὸ τοῦ παρόντος χρυσοβούλλου λόγου ὠφεληθήσονται), κατὰ μηδέν τι ταῦτα πάντα, καὶ ὅσα ἄν τις ἄλλα εἰς νοῦν λάβῃ ποτὲ ὑπὲρ τοῦ δημοσίου ἀγωνιζόμενος, καταβλάψαι ποτὲ τὰς τοῦ Θεοῦ ἁγιωτάτας ἐκκλησίας, τόν τε τῆς τοῦ Θεοῦ Σοφίας οἶκον, καὶ τὰς λοιπὰς μητροπόλεις, ἀρχιεπισκοπὰς, καὶ ἐπισκοπὰς, δυνήσεται ἐπὶ τοῖς, ὡς εἴρηται, διαφέρουσιν αὐταῖς ἀκινήτοις· ἀφ' οἱωνδήποτε δικαιωμάτων. Εἰ γὰρ μηδέν τι μηδαμῶς δικαίωμα ἐκτήσαντο ἐπί τισιν ἴσως τῶν προσόντων αὐταῖς ἀκινήτων, οὐδεμίαν ἀπὸ τοῦ παρόντος χρυσοβούλλου λόγου ὠφέλειαν ἕξουσιν· ὥσπερ οὐδὲ ἐφ' οἷς ἔσχε τὴν κατοχὴν ὁ δημόσιος, ἀφ' οἱασδήτινος εὐλόγου αἰτίας μέχρι τῆς σήμερον· ἐπὶ τούτοις γὰρ πᾶσι τὸ ἀκριβὲς παραφυλαχθήσεται. Εἴ τις οὖν θελήσει διὰ φιλοχρηματίαν, ἢ δι'ἑτέραν αἰτίαν τινὰ, καταφρονῆσαι τῶν ἐν τῷ παρόντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου διωρισμένων, πρῶτα μὲν τὸ τῆς ἁγίας Τριάδος φέγγος, ὅτε παριστάμεθα τῷ φοβερῷ βήματι, μὴ θεάσαιτο· ἐκπέσοι δὲ καὶ τῆς τῶν Χριστιανῶν μερίδος, ὡς ὁ Ἰούδας τῆς δωδεκάδος· προσεπιτούτοις καὶ τὴν ἀρὰν ἐπισπάσαιτο τῶν ἀπ' αἰῶνος προκεκοιμημένων πρωτοτόκων ἁγίων, δικαίων, καὶ θεοφόρων Πατέρων.

ΑΡΙΣΤ. Κατὰ τὸ δόξαν τοῖς ἁγίοις Ἀποστόλοις, τὸ ἐκποιηθὲν παρὰ ἐπισκόπου, ἢ ἡγουμένου, πρᾶγμα τῆς ἐπισκοπῆς, ἢ τοῦ μοναστηρίου, ἄκυρον ἔστω· καὶ ὁ τοῦτο ποιῶν ἐπίσκοπος, ἢ ἡγούμενος, ἐκδιωκέσθω.

Τὰ τῶν ἐκκλησιῶν πράγματα ἀνεκποίητα εἶναι ὀφείλουσι, καὶ μάλιστα τὰ αὐτούργια. Ὅσα δὲ τῶν ἀκινήτων εἰσὶν ἀκερδῆ, καὶ ζημίαν τῇ ἐκκλησίᾳ ἐπάγοντα, οὐ τοῖς κατὰ τόπον ἄρχουσιν ἐκδοθήσονται, ἀλλὰ κληρικοῖς, ἢ γεωργοῖς. Ὁ δὲ παραβαίνων τὰ ὁρισθέντα, εἰ μὲν ἐπίσκοπός ἐστιν, ἐκδιωχθήσεται τοῦ ἐπισκοπείου· εἰ δὲ ἡγούμενος, τοῦ μοναστηρίου· ὡς διασκορπίζοντες κακῶς ἃ οὐ συνήγαγον.

Κανὼν ΙΓ'.

Ἐπειδὴ διὰ τὴν γενομένην κατὰ τὰς ἁμαρτίας ἡμῶν συμφορὰν ἐν ταῖς ἐκκλησίαις, καθηρπάγησάν τινες εὐαγεῖς οἶκοι ὑπό τινων ἀνδρῶν (1), ἐπισκοπεῖά τε, καὶ μοναστήρια, καὶ ἐγένοντο κοινὰ καταγώγια· εἰ μὲν οἱ διακρατοῦντες ταῦτα, προαιροῦνται ἀποδιδόναι, ἵνα κατὰ τὸ ἀρχαῖον ἀποκατασταθῶσιν, εὖ καὶ καλῶς ἔχει· εἰ δὲ μήγε, εἰ μὲν τοῦ καταλόγου τοῦ ἱερατικοῦ εἰσι, τούτους καθαιρεῖσθαι προστάσσομεν· εἰ δὲ μοναχοί, ἢ λαϊκοί, ἀφορίζεσθαι· ὡς ὄντας κατακρίτους ἀπὸ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· καὶ τετάχθωσαν, ὅπου ὁ σκώληξ οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται (2)· ὅτι τῇ τοῦ Κυρίου φωνῇ ἐναντιοῦνται, τῇ λεγούσῃ· Μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου (3).

ΖΩΝΑΡ. Ἐν τῷ καιρῷ τῆς αἱρέσεως τῶν Εἰκονομάχων πολλὰ ἐτολμήθησαν κατὰ τῶν ὀρθοδόξων. Πλέον δὲ τῶν ἄλλων οἱ ἱερωμένοι καὶ οἱ μοναχοὶ ἐδιώχθησαν, ὡς καὶ τὰς ἐκκλησίας αὐτῶν, καὶ τὰ μοναστήρια, τοὺς πλείονας καταλιπεῖν καὶ φυγεῖν. Ἐρήμων τοίνυν τῶν ἐκκλησιῶν καὶ τῶν μονῶν καταλιμπανομένων, κατεῖχόν τινες καὶ ᾠκειοῦντο αὐτὰς, καὶ εἰς κοσμικὰ μετεποίουν καταγώγια. Φησὶν οὖν περὶ τῶν τοιούτων ὁ κανὼν, ὅτι, εἰ μὲν οἱ ἔχοντες ταῦτα βούλονται ἀποδοῦναι αὐτὰ, ἵνα ἀποκαταστῶσιν, οἷα πρότερον ἦσαν, ἤγουν ἐπισκοπαὶ καὶ μοναστήρια, καλῶς ἂν ἔχοι, ἀντὶ τοῦ, καλῶς ποιήσουσιν· εἰ δὲ ἀντέχονται τούτων, εἰ μὲν ἱερατικοί εἰσι, καθαιρείσθωσαν· εἰ δὲ μοναχοὶ, ἢ λαϊκοὶ, ἀφοριζέσθωσαν· ὡς ἀπὸ τῆς ἁγίας Τριάδος διὰ τοῦτο κατακεκριμένοι.

ΒΑΛΣ. Διὰ τὴν τῶν Εἰκονομάχων μανίαν, πολλοὶ ὀρθόδοξοι ἐκ τῶν ἐπισκοπῶν καὶ τῶν μοναστηρίων αὐτῶν φυγόντες, τὰ ὄρη κατέλαβον. Κατεσχέθησαν οὖν οἱ εὐαγεῖς οὗτοι οἶκοι, καὶ

(1) οὐ κεῖται τὸ, ἀνδρῶν, ἐν Χ. Τρ. — (2) Ἠσ. ΞϚ', 24. — (3) Μάρκ. Θ', 44. 46. — Ἰω. Β', 16.

ἕτερα ἱερὰ φροντιστήρια παρά τινων, καὶ ἐγένοντο κοσμικὰ καταγώγια. Διὸ καὶ ὥρισαν οἱ Πατέρες, ἀποκατασταθῆναι αὐτὰ εἰς τὴν ἀρχαίαν κατάστασιν· τοὺς δὲ μὴ εὐπειθοῦντας πρὸς τοῦτο, ἀλλὰ ἀντεχομένους τοῦ κακοῦ, ἱερωμένους μὲν ὄντας, καθαιρεῖσθαι· λαϊκοὺς δὲ, ἢ μοναχοὺς, ἀφορίζεσθαι· καὶ ταῦτα μὲν ἐξεφωνήθησαν πρὸς τὴν τότε κατάστασιν. Ἕλκυσον δὲ τὸν κανόνα καὶ εἰς τοὺς κατέχοντας ἱερὰ φροντιστήρια σήμερον, κοινωθέντα ἐξ ἐπιδρομῆς ἐθνῶν· οὐδὲ γὰρ ἔχουσιν εἰπεῖν, μὴ παρ' αὐτῶν τολμηθῆναι τὸ κακὸν, κἀντεῦθεν μηδὲ ὀφείλειν ποιῆσαι τὴν ἀποκατάστασιν· ὡσαύτως οὐδὲ χρόνων πολλῶν προβαλοῦνται παραδρομὴν, εἰς τὸ κυρωθῆναι τὸ ἀνυπόστατον, καὶ κοινωθῆναι τὸ ἅγιον. Ταῦτα γὰρ ἐπὶ τῶν ἄλλων ἔχουσι χώραν, τῶν ἀνθρωπίνων δηλαδὴ πραγμάτων, οὐ μὴν ἐπὶ τῶν ἁγίων καὶ ἱερῶν. Σημείωσαι ταῦτα, διὰ τοὺς ἀνατολικοὺς μητροπολίτας, τοὺς ἀνακαλουμένους τὰς οἰκείας ἐπισκοπὰς καὶ τὰ μοναστήρια ἀπὸ τῶν κατεχόντων αὐτὰ λαϊκῶν, καὶ ἀκούοντας τοιαῦτα. Ἆρα δὲ τῶν ἁγίων τούτων φροντιστηρίων μὴ κοινωθέντων, ἀλλὰ συντηρουμένων, καθὼς καὶ πρότερον, ἀναγκασθήσονται οἱ κατέχοντες τοιαῦτα, ποιῆσαι τὴν ἀποκατάστασιν τούτων;

Λύσις. Αἱ μὲν ἐπισκοπαὶ ἐξ ἀνάγκης εἰς τοὺς ἐπισκόπους ἵνα περιέλθωσι, καὶ διὰ χρόνου τινὸς οὐκ ἀποκλεισθήσονται εἰς τὴν τούτων ἀποκατάστασιν οἱ ψηφισθέντες· καθὼς γέγονε καὶ εἰς τὴν ἐπισκοπὴν τῶν Μεγάρων, τὴν πρὸ χρόνων ἀμνημονεύτων ἀμαυρωθεῖσαν, καὶ διὰ προστάξεως βασιλικῆς, καὶ συνοδικῆς πράξεως, πρὸ μικροῦ ἐπανασωθεῖσαν τῇ μητροπόλει Ἀθηνῶν. Τὰ μοναστήρια δὲ, ὡς ἐμοὶ δοκεῖ, ἐὰν κατεσχέθησαν πρὸ τεσσαρακονταετίας παρά τινων, οὐκ εὐχερῶς ἵνα περιέλθωσιν εἰς τοὺς προκατέχοντας αὐτά· ἐὰν ἔχωσιν εἴδησιν δηλονότι παρὰ τίνων κατέχονται, καὶ κατὰ ῥᾳθυμίαν μὴ ἀνακαλεσαμένους αὐτὰ ἐπὶ τοσοῦτον καιρόν. Ἐπεὶ δὲ ὁ μὲν παρὼν κανὼν ἐξηνέχθη ἀκολούθως τῷ κδ'. κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου· ὁ δὲ μθ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου, τὰ αὐτὰ διοριζόμενος, προστίθησι, μὴ ἐκδίδοσθαι κοσμικοῖς ἀνδράσι τὰ μοναστήρια· ἐλαλήθη ποτὲ, ὡς ὀφείλουσιν, ἀκολούθως τῷ τοιούτῳ κανόνι, καὶ τῷ παρόντι, ἀνατραπῆναι αἱ προγενόμεναι πα-

τριαρχικαὶ δωρεαὶ μοναστηρίων πρὸς κοσμικοὺς, ἀλλὰ μὴν καὶ αἱ ἐπιδόσεις τῶν προσκυρωθέντων ἑτέραις μοναῖς μοναστηρίων, καὶ ἐπανασωθῆναι τῇ Μεγάλῃ Ἐκκλησίᾳ. Ἀνεγνώσθη δὲ καὶ τόμος τοῦ πατριάρχου ἐκείνου κυροῦ Σισινίου, τὰ αὐτὰ διοριζόμενος, καὶ τάχα ἔμελλε τοῦτο καὶ εἰς ἔργον ἐλθεῖν. Ὅτι καὶ προεκομίσθη ἕτερος τόμος τοῦ πατριάρχου ἐκείνου κυροῦ Σεργίου, γενόμενος κατὰ μῆνα Μάϊον Ἰνδικτιῶνος ιδʹ. ἔτους ͵ςφκδʹ. ὑπογραφῇ βασιλικῇ κατησφαλισμένος, ἑρμηνεύων τε τὸν μθʹ. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ γνωματεύων, τὴν ἔκδοσιν μὴ ἐκλαμβάνεσθαι εἰς τὰς δωρεὰς τὰς συντηρούσας τὴν τῶν μοναστηρίων κατάστασιν· ἀλλ' εἰς τοὺς λαμβάνοντας μοναστήρια, ἐφ' ᾧ ἔχειν αὐτὰ κοσμικὰ καταγώγια· περὶ δὲ τὸ τέλος καὶ ταῦτα ῥητῶς διεξιών· Ἀνατρέπομεν οὖν συνοδικῶς, διὰ τῆς δοθείσης ἡμῖν παρὰ τοῦ ἁγίου Πνεύματος ἐξουσίας, τὴν τὰς δωρεὰς καὶ τὰς ἐπιδόσεις ἀναιροῦσαν ἐκείνην πρᾶξιν, ὡς ἐξ οὐδεμιᾶς ἐπισκοπικῆς συναινέσεως, ἐξ αὐτονόμου δὲ γνώμης γεγενημένην, καὶ μηδὲ βασιλεῖ τῷ φιλοχρίστῳ δεχθεῖσαν, καθὸ φαίνεται καὶ αὐτὸς δωρούμενος μοναστήρια παρὰ τὴν ταύτης ἰσχὺν, καὶ προσέτι φανεῖσαν ἀπ' αὐτῶν τῶν πραγμάτων, οὐ πρὸς ὠφέλειαν τῶν μοναστηρίων, ἀλλὰ πρὸς τέλειον ὄλεθρον καὶ ἀφανισμόν. Ἐπιβεβαιοῦντες δὲ καὶ ἐπικυροῦντες τὸ παλαιὸν καὶ καινὸν λυσιτελὲς ἔθος τῶν μακαρίων καὶ θεοφόρων Πατέρων ἡμῶν, ὁρίζομεν γίνεσθαι δωρεὰς καὶ ἐπιδόσεις ἀκωλύτως, ἐπὶ συστάσει καὶ βελτιώσει τῶν ἐπιδιδομένων καὶ δωρουμένων φροντιστηρίων. Ἔδοξε δὴ τὰ τῶν ῥηθέντων κανόνων ὀφείλειν ἑρμηνεύεσθαι κατὰ τὸν παρόντα τόμον, καὶ τὰς πρὸς κοσμικοὺς γινομένας δωρεὰς τῶν μοναστηρίων, πολλῷ δὲ πλέον τὰς ἐπιδόσεις, ἔχειν τὸ ἀπαρεγχείρητον· διὸ καὶ μέχρι τοῦ νῦν ἀκωλύτως τοιαῦτα γίνονται. Τὰ ἐν τῇ ἐξηγήσει τοῦ παρόντος κανόνος γεγραμμένα παρ' ἡμῶν ἀρκέσουσι τῷ βουλομένῳ, εἰς τὸ μὴ προσέχειν τοῖς παρὰ τοῦ πατριάρχου ἐκείνου Ἀντιοχείας Ἰωάννου γραφεῖσι, χάριν τοῦ μὴ δίδοσθαι προσώποις μοναστήρια, καὶ ὀνομάζουσι τὸ ἔργον τοῦτο ἀσέβειαν. Πάντως γὰρ κατακρατήσει τούτων ὁ παρὰ τοῦ ἁγιωτάτου οἰκουμενικοῦ πατριάρχου κυροῦ Σεργίου γεγονὼς τόμος μετὰ

συνοδικῆς συμπράξεως (1), ἑρμηνεύων πῶς ὀφείλουσι νοεῖσθαι τὰ τῶν κανόνων.

ΑΡΙΣΤ. Οἱ κοινώσαντες ἐπισκοπεῖα, ἢ μοναστήρια, εἰ μὴ ἀποκαθισταῖεν παρὰ ἐπισκόπῳ, ἢ ἡγουμένῳ, [τὸ] πρᾶγμα τῆς ἐπισκοπῆς, ἢ τοῦ μοναστηρίου, ἄκυρον ἔστω· καὶ ἱερατικοὶ μὲν ὄντες, καθαιρείσθωσαν· λαϊκοὶ δὲ, ἢ μοναχοὶ, ἀφοριζέσθωσαν.

Εἰ τὰ τῶν ἐκκλησιῶν πράγματα ἀνεκποίητα εἶναι ὀφείλουσι, πολλῷ μᾶλλον οὐ δεῖ κοινοῦσθαι τὰς ἐκκλησίας αὐτὰς, καὶ τὰ μοναστήρια, καὶ κοινὰ γίνεσθαι καταγώγια. Οἱ οὖν διακατέχοντες ταῦτα, εἰ οὐ βούλονται εἰς τὸ ἀρχαῖον ἀποκαταστῆσαι σχῆμα, τοῦ μὲν ἱερατικοῦ καταλόγου ὄντες, καθαιρεθήσονται· εἰ δὲ λαϊκοὶ, ἢ μοναχοὶ τυγχάνουσιν, ἀφορισθήσονται· ὡς τὸν οἶκον τοῦ Θεοῦ οἶκον ἐμπορίου ποιοῦντες.

Κανὼν ΙΔ'.

Ὅτι τάξις ἐμπολιτεύεται τῇ ἱερωσύνῃ, πᾶσιν ἀρίδηλόν ἐστι (2). Καὶ τὸ σὺν ἀκριβείᾳ διατηρεῖν τὰς τῆς ἱερωσύνης ἐγχειρήσεις, Θεῷ εὐάρεστον. Ἐπεὶ οὖν ὁρῶμεν ἐκτὸς χειροθεσίας νηπιόθεν τὴν κουρὰν τοῦ κλήρου λαμβάνοντάς τινας, μήπω δὲ (3) παρ' ἐπισκόπων χειροθεσίαν λαβόντας, καὶ ἀναγινώσκοντας ἐν τῇ συνάξει ἐπ' ἄμβωνος, ἀκανονίστως δὲ τοῦτο ποιοῦντας, ἐπιτρέπομεν ἀπὸ τοῦ παρόντος τοῦτο μὴ γίνεσθαι· τὸ αὐτὸ δὲ φυλάττεσθαι καὶ ἐπὶ μοναχῶν (4). Ἀναγνώστου δὲ χειροθεσίαν, ἄδειά ἐστι ἐν ἰδίῳ μοναστηρίῳ καὶ μόνῳ, ἑκάστῳ ἡγουμένῳ ποιεῖν, εἰ αὐτῷ τῷ ἡγουμένῳ ἐπετέθη χειροθεσία παρ' ἐπισκόπου πρὸς προεδρίαν ἡγουμένου, δηλονότι ὄντος αὐτοῦ πρεσβυτέρου. Ὡσαύτως καὶ, κατὰ τὸ ἀρχαῖον ἔθος, τοὺς χωρεπισκόπους κατ' ἐπιτροπὴν τοῦ ἐπισκόπου δεῖ προχειρίζεσθαι ἀναγνώστας.

—

(1) Χ. Τρ. — παρὰ δὲ Βευερ. τὸ, μετὰ συνοδικῆς συμπράξεως, μετετέθη εἰς τὸ τέλος. — (2) Π. Χ. Τρ. — ἐν ἱερωσύνῃ πάσῃ, ἀρίδηλόν ἐστι Βευερ. Ἐ. Κ.
(3) Π. Βευερ. — ὁ, δὲ, οὐ κεῖται ἐν Χ. Τρ. — (4) ἐπὶ τῶν μοναχῶν Βευερ.

ΖΩΝΑΡ. Τινὲς μὴ τυχόντες χειροθεσίας, ἤτοι προχειρίσεως ἀναγνώστου, ἐν ταῖς συνάξεσιν ἀνιόντες ἐν ἄμβωνι, ὑπανεγίνωσκον τὰς βίβλους τὰς ἱεράς. Τοῦτο οὖν κωλύει γίνεσθαι ὁ παρὼν κανὼν, λέγων· ὅτι ἀρίδηλόν ἐστιν, ἀντὶ τοῦ, πάνυ φανερὸν, καὶ πρόδηλον, ὅτι τάξις ἐν ἱερωσύνῃ πάσῃ πολιτεύεται· τὸν δὲ μὴ τυχόντα χειροθεσίας, μηδὲ τοῖς ἀναγνώσταις συντεταγμένον, οἷοί εἰσιν, ὅσοι νηπιόθεν τῷ Θεῷ τάχα ἀφορισθέντες, κουρὰν μόνον ἔσχον ἐπὶ τῆς κορυφῆς, καὶ πλέον οὐδὲν, ἐπ' ἄμβωνος ἀναγινώσκειν τῷ λαῷ τὰ τῆς θεοπνεύστου Γραφῆς, ἀταξίας ἐστί. Κωλύει οὖν μηκέτι τοῦτο γίνεσθαι· τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν μοναχῶν. Καὶ ἀναγνώστου δὲ χειροθεσίαν, φησὶ, δύναται καὶ ἡγούμενος ποιεῖν ἐν μόνῳ τῷ οἰκείῳ μοναστηρίῳ, εἰ σφραγίδα ἔχει ἀρχιερέως *ἐπὶ τῇ ἡγουμενείᾳ* (1), καὶ ἱερεύς ἐστι. Καὶ οἱ χωρεπίσκοποι δὲ μετ' ἐπιτροπῆς τοῦ ἐπισκόπου, ὑφ' ὃν τελοῦσι, δύνανται ἀναγνώστας χειροθετεῖν. Κατὰ δὲ τὸν δέκατον κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου, οἱ χωρεπίσκοποι καὶ ὑποδιακόνους χειροθετοῦσι, καὶ ἐφορκιστὰς, *καὶ εἰρηνικὰς διδόασιν ἐπιστολὰς, κατὰ τὸν κανόνα* (2).

ΒΑΛΣ. Τάξις συνέχει πάντα τὰ οὐράνια καὶ τὰ ἐπίγεια· πολλῷ δὲ πλέον τὸ τῆς εὐταξίας καλὸν, εἰς τοὺς ἱερουργοῦντας πολιτευόμενον, θεραπεύει τὸν Θεόν. Ἐπεὶ οὖν, φασὶν οἱ ἅγιοι Πατέρες, ὁρῶμέν τινας νηπιόθεν μελανειμονήσαντας, ὡς τῷ Θεῷ ἀφιερωθέντας, καὶ κουρὰν δεξαμένους μὴ διὰ χειροθεσίας τοῦ ἐγχωρίου ἐπισκόπου, τολμῶντας (3) μετὰ τὸ ἐνηλικιωθῆναι ἐπ' ἄμβωνος ἀναγινώσκειν τὰς θείας Γραφὰς ἀκανονίστως, θεσπίζομεν μὴ γίνεσθαι τοῦτο, ὡς παραίτιον ἀταξίας· μηδὲ ἄλλως ἀναγινώσκειν ἐπ' ἄμβωνος τὰς θείας Γραφάς τινα, εἰ μὴ λάβῃ σφραγίδα ἐπικουρίδος διὰ χειροθεσίας ἐπισκοπικῆς· τὸ αὐτὸ δὲ φυλάττεσθαι καὶ ἐπὶ μοναχῶν. Ὅτι δὲ, ὡς ἔοικε, δυσχερὲς εἶναι τοῦτο τοῖς μοναχοῖς ἐνομίσθη, τὰς ἐρήμους κατοικοῦσι κατὰ πολὺ, καὶ μὴ δυναμένοις τὰς πόλεις περιέρχεσθαι, καὶ τοῖς ἐπισκόποις ἐντυγχάνειν εὐχερῶς, ἐνεδόθη τοῖς ἡγουμένοις, τοῖς σφραγισθεῖσι

(1) Χ. Τρ. — τὸ, ἐπὶ τῇ ἡγουμενείᾳ οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. — (2) τὰ μεταξὺ τῶν * εὕρηται ἐν Χ. Τρ. οὐ κεῖται δὲ παρὰ Βευερ. καὶ Κ. — (3) τολμῶντας; δὲ Βευερ.

παρὰ τῶν ἐπισκόπων, πρεσβυτέροις οὖσιν, ἐξ ἀνάγκης ἀναγνώστας ποιεῖν μοναχοὺς ἐν τῷ ἰδίῳ μοναστηρίῳ, ἐφ' ᾧ ἀκωλύτως ἀναγινώσκειν τούτους ἐπ' ἄμβωνος τὰς θείας Γραφάς. Ὡσαύτως ἐνεδόθη καὶ τοῖς χωρεπισκόποις, ἀναγνώστας προχειρίζεσθαι κατ' ἐπιτροπὴν ἐπισκοπικήν· καὶ ὁ μὲν κανὼν ταῦτα. Λέλυται δὲ ἀπὸ τούτου μεγάλη ἔνστασις τῶν λεγόντων μὴ εἶναι κληρικοὺς τοὺς μόνην ἐπικουρίδα ἔχοντας διὰ χειροθεσίας ἀρχιερατικῆς, καὶ μήπω καταταχθέντας ἐν κλήρῳ, ὥστε ἔχειν ἐπ' ἀδείας αὐτοὺς μετασχηματίζεσθαι εἰς λαϊκούς. Παρίσταται γὰρ ἀριδήλως, ὡς ἡνίκα τις δέξεται χειροθεσίαν ἐπικουρίδος παρὰ ἀρχιερέως, αὐτίκα κληρικός ἐστιν, ὡς καὶ ἐκχωρούμενος ἀναγινώσκειν ἐπ' ἄμβωνος. Ἐμοὶ δὲ δοκεῖ, ὅτι καὶ ὁ ἁπλῶς μελαλειμονήσας ἐπὶ σκοπῷ (1) τοῦ κληρωθῆναι, μετασχηματισθῆναι οὐ δύναται, ὡς προθέμενος ἀφιερωθῆναι τῷ Θεῷ· κἀντεῦθεν μὴ ἰσχύων τὴν πρὸς Θεὸν ὑπόσχεσιν ἀθετῆσαι, καὶ ἐμπαῖξαι τὸ ἅγιον σχῆμα, κατὰ τοὺς σκηνικούς, ὅπερ καὶ περὶ τῶν μοναχῶν πολλάκις εἶπον· τοὺς δὲ μετὰ τρισαγίου μελανειμονήσαντας, ἀδιαστίκτως λέγω, μὴ δύνασθαι μετασχηματίζεσθαι. Τοῦ κανόνος λέγοντος, ἐπ' ἀδείας ἔχειν πάντα καθηγούμενον, σφραγισθέντα παρὰ ἀρχιερέως, ἱερέα δηλονότι ὄντα, ἀναγνώστας ποιεῖν μοναχοὺς ἐντὸς τῆς οἰκείας μονῆς καὶ μόνης· ἐζήτησάν τινες, εἰ ἐφεῖται αὐτῷ, ἅμα τῷ σφραγισθῆναι, τοῦτο ποιεῖν, καὶ δίχα ῥητῆς τοῦ ἀρχιερέως ἐπιτροπῆς; Καί τινες μὲν εἶπον, ἐπακολουθεῖν σιωπηρῶς καὶ τοῦτο τῇ χειροθεσίᾳ τῆς ἡγουμενείας, ὡς τοῦ κανόνος πλέον τι μὴ προστιθεμένου (2), χρώμενοι καὶ τῷ κδ'. κανόνι τῆς ἐν Λαοδικείᾳ συνόδου, εἰς συγκρότησιν τοῦ λόγου αὐτῶν. Ἀντέθεντο δὲ ἕτεροι, ὡς, ἐπεὶ καὶ ὁ ἀναγνώστης κληρικός ἐστιν, ὀφείλει ἐξ ἀνάγκης μετὰ χειροθεσίας ἐπισκόπου, ἢ ἐπιτροπῆς αὐτοῦ, σφραγίζεσθαι· ὅθεν καὶ ὁ καθηγούμενος τότε ἀναγνώστου χειροθεσίαν ποιήσει ἐν τῷ ἰδίῳ μοναστηρίῳ, ὅταν καὶ τοῦτο παρὰ τοῦ ἰδίου (3) ἀρχιερέως ἐπιτραπῇ. Εἰ μὴ γὰρ

---

(1) Χ. Τρ. — Οἱ δὲ Βευερ. καὶ Ἑ. οὐκ ὀρθῶς ἀνέγνωσαν, ἐπισκόπῳ· καὶ αὐτὴ δὲ ἡ λατινικὴ μετάφρασις φέρει, ἐναντίον τῆς προδήλου ἐννοίας τοῦ Βαλσαμῶνος· qui etiam nigris simpliciter vestibus fuerit indutus ab episcopo.

(2) μὴ προθεμένου Χ. Τρ. — (3) τὸ, ἰδίου, οὐ κεῖται ἐν Χ. Τρ.

τοῦτο εἴπωμεν, δικαιώσομεν ἐξ ἀνάγκης αὐτὸν δέχεσθαι, χωρὶς ἐπιτροπῆς ἀρχιερατικῆς, καὶ τοὺς λογισμοὺς τῶν μοναχῶν αὐτοῦ, καὶ ἑτέρων, ὅπερ ἀδύνατον. Μόνοις γὰρ τοῖς ἀρχιερεῦσι, καὶ τοῖς ἐκχωρηθεῖσι παρὰ τούτων ἱερεῦσιν, ἐφιλοτιμήθη ἄνωθεν τὸ δεσμεῖν καὶ λύειν. Τῶν δὲ ἀντιθέτων εἰπόντων, ὡς, εἰ χρεία ἐστὶ τῷ καθηγουμένῳ πρὸς τοῦτο καὶ ἰδικῆς ἐπιτροπῆς τοῦ ἐγχωρίου ἐπισκόπου, εἰς τὸ μηδὲν καταντᾷ τὸ παρὰ τοῦ κανόνος ἐπιφιλοτιμηθὲν τῷ καθηγουμένῳ· ἀντεῖπον ἐκεῖνοι, ὅτι καὶ οὕτω μέγα δίκαιον δέδοται τῷ καθηγουμένῳ· μηδενὸς γὰρ ἱερέως δυναμένου, ἀναγνώστου χειροθεσίαν ποιεῖν, κἂν ἐπιτραπῇ τοῦτο παρὰ ἀρχιερέως, οἱ ῥηθέντες καθηγούμενοι, καθ' ὁρισμὸν ἀρχιερατικὸν τοῦτο ἐνεργοῦσιν, ὅπερ ἐστὶ φιλοτίμημα ἰδικόν· ἐμοὶ δὲ κατανοεῖται ἀδιαστίκτως ἐνδοθῆναι τοῦτο τοῖς ἡγουμένοις παρὰ τοῦ κανόνος. Ἔτι ἀμφιβολίας γενομένης περὶ τοῦ, εἰ γίνονται ἡγούμενοι ἀνίεροι, εἰπόν τινες, ὡς, ἐπεὶ κατὰ δοκιμασίαν τοῦ ἐπισκόπου σφραγίζονται, πάντως ἐκεῖνον (1) ἐπιλέξεται ὁ ἐπίσκοπος τὸν εὐδοκιμοῦντα πρὸς ἰατρείαν ψυχῶν, κἂν ἀνίερός ἐστιν· οὐ μὴν τὸν χειροτονηθέντα καὶ μὴ εὐδοκιμοῦντα. Ὥσπερ οὐδὲ ὁ νοσῶν σωματικῶς ἵνα ἐπιλέξηται πρὸς θεραπείαν τὸν ἀνεπιστήμονα περὶ τὰ ἰατρικά, διὰ τὸ ἀρχιϊατρὸν αὐτὸν χειροτονηθῆναι, καὶ παραδράμῃ τὸν δεξιὸν καὶ ἐπιστήμονα, ὡς ἀχειροτόνητον· ὅτι μηδὲ ἡ χειροτονία, ἀλλ' ἡ ἀκριβὴς ἐπιστήμη τὴν θεραπείαν δίδωσιν. Ἕτεροι δὲ ἀντέθεντο, ὡς, τοῦ κανόνος διοριζομένου, ἐκείνους ἔχειν τοῦτο τὸ δίκαιον, τοὺς σφραγισθέντας ἡγουμένους παρὰ ἐπισκόπων, δηλονότι ὄντας ἱερεῖς, ἀναφαίνεται μὴ σφραγίζεσθαι καθηγούμενον, εἰ μὴ καὶ ἱερεύς ἐστιν· ὅπερ ἐμοὶ τέως οὐ δοκεῖ. Οὐδὲ γὰρ διὰ τὴν ἡγουμενείαν προσετέθη παρὰ τῶν ἁγίων Πατέρων, τὸ εἶναι πάντως ἱερεῖς τοὺς ἡγουμένους, ἀλλὰ διὰ τὴν τοῦ ἀναγνώστου σφραγίδα, ὡς δυνατοῦ μὴ ὄντος παρὰ ἀνιέρου ἡγουμένου ἀναγνώστην σφραγισθῆναι. Λέγε οὖν ἀπό τε τοῦ παρόντος κανόνος, καὶ ἀπὸ τοῦ ιθ', καλῶς προχειρίζεσθαι καὶ ἀνιέρους καθηγουμένους, ὅτι καὶ γυναῖκες ἡγουμενεύουσι· καὶ ὥσπερ ἐκεῖναι οὔτε λογισμοὺς ἀναδέχονται, οὔτε

(1) τὸ, ἐκεῖνον, οὐ κεῖται παρὰ Βευερ. καὶ Ἑ.

ἀναγνώστας ποιοῦσιν, οὕτως οὐδὲ οἱ ἀνίεροι μοναχοὶ καὶ καθηγούμενοι τοιοῦτόν τι ἐνεργοῦσι, διὰ τὸ μηδὲ πεφυκέναι τοιούτου τινὸς ἐπιτροπὴν λαβεῖν αὐτοὺς ἀπὸ τοῦ ἐπισκόπου. Τί δέ; τῆς Ἰουστινιανείου νεαρᾶς, ὡς πολλάκις εἴπομεν, λεγούσης, μὴ γίνεσθαί τινα ἀναγνώστην, εἰ μὴ ὀκτωκαιδεκαετής ἐστιν, ἐάν τις, νήπιος ὤν, δέξηται χειροθεσίαν ἀναγνώστου ὑπὸ ἀρχιερέως, ἀρκεσθήσεται ταύτῃ; ἢ μετὰ τὸν ὀκτωκαιδέκατον χρόνον, ἑτέρας σφραγίδος ἀρχιερατικῆς δεηθείη; Λύσις. Εἰ δοθῇ σφραγίζεσθαι καὶ αὖθις τοῦτον, ὡς τῆς πρώτης σφραγίδος οὔσης ἀνυποστάτου, ἕξει ἐπ᾿ ἀδείας πρὸ τῆς δευτέρας μετασχηματίζεσθαι· ὅπερ ἄτοπον. Διὸ καὶ ἀρκέσει τῷ νηπιόθεν σφραγισθέντι, ὡς ἐμοὶ δοκεῖ, ἡ πρώτη σφραγὶς ὑπὸ τοῦ ἀρχιερέως δεχομένη, καὶ λογιζομένη, ὥσπερ εἰ μετὰ τὸν ὀκτωκαιδέκατον χρόνον γέγονε παρ᾿ αὐτοῦ· καὶ μᾶλλον, ἐπεὶ οὐδὲ κανὼν εὑρίσκεται λέγων προκριματίζεσθαι τὸν πρὸ τοῦ τοιούτου χρόνου λαβόντα χειροθεσίαν ἀναγνώστου. Περὶ μέντοι τῶν προνομίων τοῦ χωρεπισκόπου, ἀνάγνωθι τὸν ι. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου.

ΑΡΙΣΤ. Ἐκτὸς χειροθεσίας ἐπισκόπου, οὐκ ἀναγνώσεταί τις ἐπ᾿ ἄμβωνος· κρατήσει τοῦτο καὶ ἐπὶ μοναχῶν. Ἡγούμενος δὲ, χειροθεσίαν ἔχων ἐπισκόπου, ἐν μόνῳ τῷ ἰδίῳ μοναστηρίῳ χειροθετήσει ἀναγνώστην. Προχειρίσεται ἀναγνώστην καὶ χωρεπίσκοπος.

Κἂν κουράν τις ἱερατικὴν ἔχῃ, εἰ μὴ καὶ παρ᾿ ἐπισκόπου χειροθεσίαν δέξεται, οὐκ ἀναγνώσεται ἐν τῇ συνάξει ἐπ᾿ ἄμβωνος τὰς ἱερὰς τοῦ Θεοῦ βίβλους· ὡσαύτως οὐδὲ μοναχὸς τοῦτο ποιήσει. Τοῖς δὲ ἡγουμένοις, πρεσβυτέροις οὖσι, καὶ παρὰ ἐπισκόπου διὰ χειροθεσίας αὐτοῦ τὴν προστασίαν τῆς μονῆς ἀναδεξαμένοις, ἄδεια δίδοται χειροθετεῖν ἀναγνώστην ἐν μόνῳ τῷ ἰδίῳ μοναστηρίῳ. Ἀλλὰ καὶ οἱ χωρεπίσκοποι ἀναγνώστας χειροτονήσουσιν. Ὡς δὲ ὁ δέκατος κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου διαλαμβάνει, καὶ ὑποδιακόνους, καὶ ἐφορκιστὰς οὗτοι καθιστῶσιν· εἰ καὶ ὁ μέγας Βασίλειος οὐ συγχωρεῖ αὐτοῖς, ἄνευ γνώμης αὐτοῦ εἰς ἐκκλησιαστικὴν ὑπηρεσίαν τινὰ παραδέχεσθαι, διὰ τὸ καταφρονητικῶς αὐτοὺς καὶ ῥαθύμως περὶ τὴν ἐπιλογὴν τῶν τοιούτων διατίθεσθαι.

Κανὼν ΙΕ'.

Κληρικὸς ἀπὸ τοῦ παρόντος μὴ καταταττέσθω ἐν δυσὶν ἐκκλησίαις· ἐμπορίας γὰρ καὶ αἰσχροκερδείας τοῦτο ἴδιον, καὶ ἀλλότριον ἐκκλησιαστικῆς συνηθείας. Ἠκούσαμεν γὰρ ἐξ αὐτῆς τῆς Κυριακῆς φωνῆς, ὅτι, Οὐ δύναταί τις δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ τοῦ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει(1). Ἕκαστος οὖν, κατὰ τὴν ἀποστολικὴν φωνὴν (2), ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ ὀφείλει μένειν, καὶ προσεδρεύειν ἐν μιᾷ ἐκκλησίᾳ. Τὰ γὰρ δι' αἰσχροκέρδειαν γινόμενα ἐπὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων, ἀλλότρια τοῦ Θεοῦ καθεστήκασι. Πρὸς δὲ τὴν τοῦ βίου τούτου χρείαν, ἐπιτηδεύματά εἰσι διάφορα. Ἐξ αὐτῶν οὖν, εἴτις βούλοιτο, τὰ χρειώδη τοῦ σώματος ποριζέσθω· ἔφη γὰρ ὁ Ἀπόστολος(3), Ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ, ὑπηρέτησαν αἱ χεῖρες αὗται. Καὶ ταῦτα μὲν ἐν ταύτῃ τῇ Θεοφυλάκτῳ πόλει· ἐν δὲ τοῖς ἔξω χωρίοις, διὰ τὴν ἔλλειψιν τῶν ἀνθρώπων, παραχωρείσθω.

ΖΩΝΑΡ. Τὸ ἐν δύο ἐκκλησίαις τάττεσθαι κληρικὸν τὸν αὐτὸν, ἀπαγορεύει ὁ κανὼν, αἰσχροκέρδειαν τοῦτο καλῶν καὶ ἐμπορίαν. Οὐδεὶς γὰρ δύναται δυσὶ κυρίοις δουλεύειν· καὶ ἕκαςος, φησὶ, κατὰ τὸν Ἀπόστολον, ἐν ᾗ ἐκλήθη τάξει, ἐν ταύτῃ μενέτω· καὶ προσεδρεύειν κελεύει τῇ ἐκκλησίᾳ, ἐν ᾗ ἐξ ἀρχῆς ἐκληρώθη. Ὅσα γὰρ δι' αἰσχροκέρδειαν γίνονται ἐπὶ τῶν ἐκκλησιαστικῶν, ἀλλοτριοῦσι τοῦ Θεοῦ. Τὸ δὲ ἐν δύο ἐκκλησίαις τάττεσθαι, πάντως διὰ τὸ ἀμφοτέρωθεν λαμβάνειν σιτηρέσια γίνεται· ὅπερ κέρδους αἰσχροῦ ἐστιν. Ὥσπερ δέ τινος ἀντειπόντος· ὅτι, καὶ πῶς ζήσονται οἱ κεκληρωμένοι, μὴ ἀρκούμενοι τοῖς δεδομένοις αὐτοῖς ἐκ τῆς μιᾶς ἐκκλησίας; ἀντιτιθέασιν οἱ ποιηταὶ τοῦ κανόνος, ὅτι διάφορά εἰσιν ἐπιτηδεύματα πρὸς

---

(1) Ματθ. ς', 24, — (2) α'. Κορ. Ζ', 21. — (3) Πράξ. Κ', 34.

τὴν τοῦ βίου χρείαν· καὶ ἐκ τούτων τινὰ μετερχέσθωσαν, ἵνα, ὧν χρήζουσι, διὰ τούτων ταῦτα πορίζωνται· καὶ ἐκ τοῦ Ἀποστόλου χρῆσιν παράγουσιν· Αἱ χεῖρες μου, εἰπόντος, ὑπηρέτησαν ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ, ὡς ἐν ταῖς Πράξεσι γέγραπται. Ταῦτα δέ, φασι, λέγομεν γίνεσθαι ἐν ταύτῃ τῇ βασιλευούσῃ πόλει, διὰ τὴν πολυπλήθειαν τῶν ἐν αὐτῇ· ἐν δὲ ταῖς ἔξω χώραις, ἔνθα ἔλλειψις ἀνθρώπων ἐστὶ, παραχωρείσθω τὸν ἕνα ἐν δύο ἐκκλησίαις κατατάττεσθαι.

ΒΑΛΣ. Σαφής ἐστιν ὁ κανών· διορίζεται γάρ, μὴ κατατάττεσθαί τινα κληρικὸν εἰς δύο ἐκκλησίας, διὰ τὸ εἶναι τοῦτο αἰσχροκέρδειαν καὶ ἐμπορίαν. Ὡς δέ τινος εἰπόντος, καὶ πόθεν τὰ πρὸς ζωάρκειαν ἕξουσιν οἱ κληρικοὶ ἀνενδεῶς; εἶπον οἱ Πατέρες, πολλὰ εἶναι καὶ διάφορα ἐπιτηδεύματα ἐλευθέρια καὶ ἀκατάγνωστα· καὶ πορίζέσθωσαν δι' αὐτῶν τὰ χρειώδη. Παρήγαγον δὲ καὶ χρήσεις χάριν τούτου ἀπὸ τῶν Πράξεων τῶν Ἀποστόλων, καὶ εὐαγγελικάς. Εἰς μέν τοι τὰς ἔξω τῆς βασιλευούσης πόλεως χώρας, ἔνθα λεῖψις ἀνθρώπων εἰδότων γράμματά ἐστι, παρεχώρησαν καὶ εἰς δύο ἐκκλησίας κατατάττεσθαί τινα κληρικόν. Γίνεται δὲ σήμερον τὸ ἀνάπαλιν· ἐν γὰρ ταῖς ἔξω χώραις, διὰ τὴν βασιλικὴν ἐξκουσσείαν τῶν ἱερέων, πλείους εἰσὶν οἱ κληρικοὶ παρὰ τὰς ἐκκλησίας, καὶ διὰ τοῦτο οὐδεὶς κατατάττεται εἰς δύο ἐκκλησίας, ἐν δὲ τῇ βασιλευούσῃ τῶν πόλεων οὐ μόνον εἰς δύο ἐκκλησίας, ἀλλὰ καὶ εἰς τρεῖς οἱ πλείους κατατάττονται. Ὡς ἔοικε δὲ, κατεφρονήθησαν τὰ τοῦ παρόντος κανόνος, διὰ τὸ μὴ κολάζεσθαι τοὺς τούτου καταφρονητάς· ἢ διὰ τὸ πλῆθος τῶν ἐκκλησιῶν, καὶ τὴν στενοχωρίαν τῶν ἀξιολογωτέρων, καὶ τῶν πραγμάτων. Οἱ δὲ λέγοντες τὸν κανόνα διαλαμβάνειν περὶ τῶν βουλομένων εἰς δύο πόλεων κατατάττεσθαι κλήρους, κακῶς λέγουσι· τοῦτο γὰρ καὶ ἕτεροι διάφοροι κανόνες μετὰ σφοδρότητος ἐκόλασαν.

ΑΡΙΣΤ. Κληρικὸς ἐν δυσὶν ἐκκλησίαις τὸ λοιπὸν μὴ καταταττέσθω ἐν Κωνσταντινουπόλει· ἔξω δὲ ταύτης παραχωρείσθω, διὰ τῶν ἀνθρώπων τὴν ἔλλειψιν.

Οὐ δύναταί τις δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισή-

σει, κατὰ τὴν Κυριακὴν φωνὴν, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ τοῦ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. Διὰ τοῦτο καὶ τὰ δι' αἰσχροκέρδειαν ἐπὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων γινόμενα, ὡς ἀλλότρια Θεοῦ, ἡ σύνοδος αὕτη ἀποβάλλει· καὶ οὐ συγχωρεῖ ἐν Κωνσταντινουπόλει, ἔνθα πλῆθος ἱερωμένων ἐστὶν, ἐν δυσὶν ἐκκλησίαις ἕνα κληρικὸν κατατάττεσθαι, ἀλλ' ἐν μιᾷ προσεδρεύειν ἐκκλησίᾳ. Εἰ δὲ οὐκ ἀρκεῖται πρὸς τὴν τοῦ βίου χρείαν τοῖς διδομένοις αὐτῷ, ἐπιτήδευμά τι ἕτερον μετέρχεσθαι τὸν τοιοῦτον διορίζεται, καὶ ἐξ αὐτοῦ πορίζεσθαι τὰ χρειώδη τοῦ σώματος· καὶ γὰρ οὕτως ἐποίει καὶ ὁ Ἀπόστολος, ὡς αὐτὸς λέγει· Ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ, ὑπηρέτησαν αἱ χεῖρες αὗται.

Κανὼν ΙϚ'.

Πᾶσα βλακεία, καὶ κόσμησις σωματική(1), ἀλλότριαί εἰσι τῆς ἱερατικῆς τάξεως, καὶ καταστάσεως(2). Τοὺς οὖν ἑαυτοὺς κοσμοῦντας ἐπισκόπους, ἢ κληρικοὺς, δι' ἐσθήτων λαμπρῶν καὶ περιφανῶν, τούτους διορθοῦσθαι χρή· εἰ δ' ἐπιμένοιεν, ἐπιτιμίῳ παραδίδοσθαι· ὡσαύτως καὶ τοὺς τὰ μύρα χριομένους. Ἐπεὶ δὲ ῥίζα πικρίας ἄνω φύουσα, μίασμα γέγονε τῇ καθολικῇ ἐκκλησίᾳ, ἡ τῶν χριστιανοκατηγόρων αἵρεσις, καὶ οἱ ταύτην δεξάμενοι, οὐ μόνον τὰς εἰκονικὰς ἀναζωγραφήσεις ἐβδελύξαντο, ἀλλὰ καὶ πᾶσαν εὐλάβειαν ἀπώσαντο, τοῖς σεμνῶς καὶ εὐσεβῶς βιοῦσι(3) προσοχθίζοντες· καὶ πεπλήρωται ἐπ' αὐτοῖς τὸ γεγραμμένον· Βδέλυγμα ἁμαρτωλῷ (4) θεοσέβεια· εἰ εὑρεθῶσι τοίνυν τινὲς ἐγγελῶντες τοῖς τὴν εὐτελῆ καὶ σεμνὴν ἀμφίασιν περικειμένοις, δι' ἐπιτιμίου διορθούσθωσαν. Ἐκ γὰρ τῶν ἄνωθεν χρόνων, πᾶς ἱερατικὸς ἀνὴρ μετὰ μετρίας καὶ σεμνῆς ἀμφιάσεως ἐπολιτεύετο. Πᾶν γὰρ ὃ μὴ διὰ

(1) Τρ. Χρ. Βενετ. — σώματος Π. — (2) Χ. Τρ. Βενετ. — τὸ, καὶ καταστάσεως, οὐ κεῖται ἐν Π. — (3) Π. Σ. Ῥ. Χ. Τρ. — τοὺς σεμνῶς βιοῦντας προσοχθίζοντες Βενετ. — (4) Π. Σ. Ῥ. Χ. Τρ. — ἁμαρτωλῶν Βενετ. Ἑ. — Σειρὰχ Ά, 25.

χρείαν, ἀλλὰ διὰ καλλωπισμὸν παραλαμβάνεται, περπερείας ἔχει κατηγορίαν, ὡς ὁ μέγας ἔφη Βασίλειος· ἀλλ' οὐδὲ ἐκ σηρικῶν ὑφασμάτων πεποικιλμένην ἐσθῆτα ἐνεδέδυντο (1), οὐδέ τινα προσετίθεσαν ἑτερόχροα ἐπιβλήματα ἐν τοῖς ἄκροις τῶν ἱματίων. Ἤκουσαν γὰρ ἐκ τῆς θεοφθόγγου γλώσσης, ὅτι οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν (2).

ΖΩΝΑΡ. Καὶ ὁ εἰκοστὸς ἕβδομος κανὼν τῆς ἕκτης συνόδου περὶ ἀμφιάσεως ἱερατικῆς διατάττεται. Ἀλλὰ τῶν Εἰκονομάχων συγχεάντων τὰ ἔθη τὰ ἐκκλησιαστικά, ἦλθε καὶ ἡ παροῦσα σύνοδος εἰς τὴν περὶ τούτου θεσμοθεσίαν· καὶ κελεύει, τοὺς ἑαυτοὺς καλλωπίζοντας διὰ λαμπρῶν ἱματίων ἐπισκόπους, ἢ κληρικούς, διορθοῦσθαι· ἢ ἐπιμένοντας, ἐπιτιμᾶσθαι· ὁμοίως καὶ τοὺς τὰ μύρα χριομένους. Ἐπεὶ δέ, φησιν, ἡ τῶν χριστιανοκατηγόρων αἵρεσις, καὶ οἱ ταύτην δεξάμενοι, καὶ τὰς σεπτὰς εἰκόνας ἐβδελύξαντο, ἀπώσαντο δὲ καὶ πᾶσαν εὐλάβειαν, μισοῦντες καὶ ἀποστρεφόμενοι τοὺς σεμνῶς βιοῦντας, εἰ εὑρεθῶσιν ἐγγελῶντες τοῖς εὐτελῆ καὶ σεμνὰ ἐνδεδυμένοις, ἐπιτιμάσθωσαν, ἵνα διορθωθῶσιν. Ἐκ γὰρ τῶν ἀρχαίων χρόνων, φησὶν ἡ σύνοδος, οἱ ἱερατικοὶ ἄνδρες μετρίως καὶ σεμνῶς ἐπολιτεύοντο· εἶτα καὶ τὸν μέγαν Βασίλειον εἰς μαρτυρίαν παράγει, ἑρμηνεύοντα, τί ἐστι περπέρεια· ὅς φησιν, ὅτι πᾶν, ὃ μὴ διὰ χρείαν, ἀλλὰ διὰ καλλωπισμὸν παραλαμβάνεται, περπερείας ἔχει κατηγορίαν (3). Οὔτε δὲ ἐκ μετάξης ἐσθῆτας πεποικιλμένας (αὗται γὰρ αἱ σηρικαί, ὡς διὰ σηρῶν γινόμεναι· σῆρες γὰρ οἱ σκώληκες λέγονται·) οἱ ἱερατικοὶ πάλαι ἐνεδέδυντο, λέγει ἡ σύνοδος, οὔτε τινὰ ἑτερόχροα ἐπιβλήματα προσετίθεσαν ἐν τοῖς ἄκροις τῶν ἱματίων αὐτῶν· καὶ ἑξῆς ἐπιφέρει τὸ εὐαγγελικὸν ῥητόν.

ΒΑΛΣ. Τῶν Εἰκονομάχων μεταβαλόντων πᾶσαν ἐκκλησιαστικὴν κατάστασιν καὶ εὐλάβειαν, πρὸς ἀκαταστασίαν καὶ ἀνευλά-

---

(1) Π. Χ. Τρ. — ἐνεδέδυτό τις. Βευερ. — (2) Ματθ. ΙΑ', 8. — (3) Τὸ Χ. Τρ. προστίθησι· περπέρεια δὲ λέγεται μὲν καὶ ἡ προπέτεια, λέγεται δὲ καὶ ἡ βλακεία.

δειαν, ὡς τῶν αὐτοῖς προσερχομένων κληρικῶν καὶ ἐπισκόπων, ἀνευλαβῶς καὶ ἀδιαφόρως ἐκχωρηθέντων πολιτεύεσθαι, ἵνα τοῖς θελήμασιν αὐτῶν ὑπείκωσι, καὶ διὰ τοῦτο καὶ τῆς ἱερατικῆς ἐνδυμενίας πρὸς τὸ βλακικώτερον μεταβληθείσης καὶ κοσμικώτερον· διωρίσαντο οἱ θεοφόροι Πατέρες, ἐπιτιμᾶσθαι τοὺς καλλωπίζοντας ἑαυτοὺς διὰ ἐνδυμενίας λαμπρᾶς, καὶ μὴ διορθουμένους μετὰ παραγγελίαν· ὡσαύτως κολάζεσθαι καὶ τοὺς τὰ μύρα χριομένους. Ἐπεὶ δὲ οἱ αὐτοὶ αἱρετικοὶ πρὸς τούτοις κατεγέλων τῶν βιούντων μετὰ σεμνότητος καὶ εὐλαβείας, καὶ ἐνδύμασι χρωμένων εὐτελεστέροις διὰ ταπείνωσιν· ὥρισαν οἱ θεῖοι Πατέρες, τοὺς τοιοῦτόν τι ποιοῦντας δι' ἐπιτιμίων διορθοῦσθαι· ὅτι, φασίν, οἱ ἱερεῖς ἀείποτε μετὰ μετρίας καὶ σεμνῆς διαγωγῆς ἐπολιτεύοντο, (καὶ τὸν μὴ διὰ χρείαν τοῦ σώματος λαμπρότερον ἱματισμόν, περπέρειαν, ἤγουν βλακείαν, ὠνόμαζεν ὁ μέγας Βασίλειος)· ἀλλ' οὐδὲ ἐσθῆτα σηρικήν, ἤγουν μεταξωτὴν (σῆρες γὰρ οἱ σκώληκες) ἐνεδέδυντο ἱερατικοὶ ἄνδρες, οὔτε τινὰ ἑτερόχροα ἐπιβλήματα προσετίθεσαν ἐν τοῖς ἄκροις τῶν ἱματίων αὐτῶν, ἤγουν μαργέλια· καὶ ἐφεξῆς ἐπιφέρουσι τὸ εὐαγγελικὸν ῥητόν· ἀνάγνωθι καὶ τὸν κζ'. κανόνα τῆς ϛ'. συνόδου. Αἰτιωμένων δὲ τῶν λαμπρειμονούντων κληρικῶν διὰ ἱματίων λεγομένων ἑξαμίτων, ἐχόντων οὐ μόνον ἑτερόχροα ἀντίπανα, ἀλλὰ καὶ χρυσόπαστα, πρὸς δὲ καὶ γράμματα πολυτελῆ χρυσᾶ, εἶπόν τινες τὸν κανόνα ἐκφωνηθῆναι διὰ τὴν τότε οὖσαν ἀταξίαν εἰς τὰς ἐκκλησίας, καὶ τὴν πολλὴν ἀνευλάβειαν τῶν κληρικῶν. Σήμερον δὲ μὴ ἔχειν χώραν τὰ τοῦ κανόνος, ὅτε, Θεοῦ χάριτι πᾶσά ἐστιν ἐκκλησιαστικὴ κατάστασις καὶ εὐλάβεια, καὶ πρὸς τιμὴν Θεοῦ οἱ κληρικοὶ μετὰ ἱματίων λαμπροτέρων πολιτεύονται· ἤκουσαν δέ, μὴ καλῶς λέγειν· καθολικὸς γάρ ἐστιν ὁ κανών· καὶ εἰς αἰῶνας αἰώνων τὰ ἐν αὐτῷ κρατεῖν καὶ ἐνεργεῖν ὀφείλουσιν· οἱ δὲ παρὰ τοῦτον πολιτευόμενοι, καλῶς ἐπιτιμηθήσονται, εἰ μὴ διορθωθῶσιν.

ΑΡΙΣΤ. Ἐπίσκοποι, ἢ κληρικοί, λαμπραῖς ἑαυτοὺς κοσμοῦντες ἐσθῆσιν, ἢ μύρα χριόμενοι, διορθούσθωσαν· ἐπιμένοντες δέ, ἐπιτιμάσθωσαν. Σαφής.

Κανὼν ΙΖ'.

Τινὲς τῶν μοναχῶν καταλιπόντες τὰ ἑαυτῶν μοναστήρια, ὡς ἐφιέμενοι (1) τοῦ ἄρχειν, καὶ τὸ ὑπακούειν ἀπαναινόμενοι, ἐγχειροῦσι κτίζειν εὐκτηρίους οἴκους, τὰ πρὸς ἀπαρτισμὸν μὴ ἔχοντες. Εἴ τις οὖν τοῦτο ἐπιχειρήσοι ποιεῖν, κωλυέσθω ὑπὸ τοῦ κατὰ τόπον ἐπισκόπου· εἰ δὲ τὰ πρὸς ἀπαρτισμὸν ἔχοι, τὰ βεβουλευμένα αὐτῷ εἰς πέρας ἀγέσθωσαν. Τὸ αὐτὸ δὲ φυλαττέσθω καὶ ἐπὶ λαϊκῶν, καὶ κληρικῶν.

ΖΩΝΑΡ. Κωλύει ὁ κανὼν τὸ παρὰ μοναχῶν κτίζεσθαι μοναστήρια, φιλαρχίας λέγων εἶναι τοῦτο καὶ ἀνυποταξίας. Ἀπαναινόμενοι γάρ, φησι, τουτέστιν ἀρνούμενοι τὴν ὑπακοὴν, ἐπιχειροῦσι κτίζειν· καὶ μὴ εὐποροῦντες ἀπαρτίσαι αὐτὰ, καταλιμπάνουσιν ἀτελῆ. Τοῦτο κωλύεσθαι παρὰ τῶν ἐπισκόπων ὁρίζει. Εἰ δὲ ἔχει ἀρκοῦσαν δαπάνην εἰς τὸ ποιῆσαι τέλειον ἔργον, ὃ ἐβουλεύσατο γινέσθω. Τὸ αὐτὸ δὲ διορίζεται κρατεῖν καὶ ἐπὶ κληρικῶν καὶ λαϊκῶν.

ΒΑΛΣ. Καὶ πάλιν οἱ ἅγιοι Πατέρες, μὴ ἀνεχόμενοι ὅλως παρρησιάζεσθαι τὸ τῆς φιλοδοξίας πάθος εἰς τοὺς πολιτευομένους κατὰ Θεὸν, διωρίσαντο, τοὺς καταλιμπάνοντας μοναχοὺς τὰ οἰκεῖα μοναστήρια διὰ φιλοδοξίαν, ἢ ἀνυποταξίαν, καὶ ἐγχειροῦντας μὲν κτίζειν εὐκτηρίους οἴκους, μὴ ἔχοντας δὲ αὐτάρκειαν πρὸς ἀπαρτισμὸν, κωλύεσθαι παρὰ τοῦ κατὰ χώραν ἐπισκόπου, ὥσπερ συγκροτεῖσθαι τοὺς ἔχοντας ἀνενδεῶς· τὸ αὐτὸ δὲ γίνεσθαι καὶ ἐπὶ λαϊκῶν, καὶ κληρικῶν. Σὺ δὲ, εἰ θέλεις μαθεῖν πλατύτερον, πῶς καὶ παρὰ τίνων κτίζονται τὰ μοναστήρια, ζήτει κεφ. ά. τοῦ ά. τίτ. τοῦ δ'. βιβλίου τῶν βασιλικῶν, ὅπερ ἐστὶ μέρος τῆς ρκγ'. Ἰουστιανείου νεαρᾶς, καὶ τὸ ὅλον ά. κεφ. τοῦ ιά. τίτ. τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ· ὡσαύτως καὶ τὸν ά. κανόνα τῆς ἁγίας καὶ μεγάλης ά. καὶ β'. συνό-

---

(1) Σ. Ρ. Χ. Τρ. — τὸ, ὡς, οὐ κεῖται ἐν Π. Βευερ. Ἐ. Κ.

δου, τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης, καὶ μάθῃς πάντα τὰ περὶ τῆς οἰκοδομῆς τῶν μοναστηρίων. Τὸ μέν τοι προοιμιασθὲν (1) παρὰ τῶν ἁγίων Πατέρων, μὴ ἐξακουόμενον καὶ ἐπὶ λαϊκῶν, καὶ κληρικῶν, ἐκλαβοῦ εἰς μόνους τοὺς μοναχούς. Τὸ δὲ κωλύεσθαι τοὺς κτίζοντας μοναστήρια, καὶ μὴ ἔχοντας ἀρκοῦσαν δαπάνην, ἕλκυσον εἰς πάντας, ἤγουν εἰς λαϊκοὺς, κληρικοὺς, ἐπισκόπους, μοναχοὺς καὶ λοιπούς. Ἐρωτήσει δέ τις, καὶ πόσην (2) δαπάνην ἀπαιτηθήσεται ὁ θέλων κτίσαι μοναστήριον; ἆρα χρυσίου πολλά τινα τάλαντα, ἢ μετρίους στατῆρας; Λύσις. Οὐδὲν ἐξ ἀμφοῖν· οὔτε γὰρ ἀναγκάζεταί τις προσαγαγεῖν τῷ Θεῷ μεγαλοπρεπῆ καὶ ἀξίαν προσαγωγὴν, οὔτε μικροπρεπὲς χρυσίου κερμάτιον, μὴ ἀρκοῦν εἰς ὃ προέθετο, προσφέρων(3) εἰσακουσθήσεται. Ἀλλ' ἐπεὶ τὸ ἐλάχιςον ὑπὸ τριῶν μοναχῶν συνίσταται μοναστήριον, ἀναγκασθήσεται ὁ κτίσαι μέλλων προσαγαγεῖν, εἰμὴ πλείονα, τέως δὲ τὰ ἀρκοῦντα εἰς ἀπαρτισμὸν ναοῦ καὶ οἰκονομίαν αὐτοῦ, καὶ τριῶν μοναχῶν. Φησὶ γὰρ ἡ ιδ'. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ Φιλοσόφου, μετὰ τὸ προοίμιον, ταῦτα· Φαμὲν οὖν, ὡς ἐπεὶ τὸ θεῖον ὑπεῖπε(4) στόμα, Ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ ὀνόματί μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν(5), χρῆναι τὸ ἐλάχιστον τρισὶν ἐπαρκεῖν τὸ μοναστηρίου κλῆσιν ὑποδυόμενον ἔργον, δηλονότι καὶ τῶν ἄλλων ἱερῶν κειμηλίων, ὅσα τε πρὸς ἁγιστείαν καὶ δοξολογίαν ὁρῶσιν, ὑπαρχούσης τῆς εὐπορίας. Τῷ μὲν οὖν πρὸς ἀνιέρωσιν μοναστηρίου ἀκώλυτον ἔξοντι τὴν ἐπιχείρησιν, εἰς τοσοῦτον δεήσει τὸ ἐλάχιςον τὸ ἀφιέρωμα συντελεῖν. Ὅτι δὲ πλεῖςοι πρὸς τὴν τοιαύτην ἐπιχείρησιν ἑαυτοὺς ἐπιδιδόντες, ἐνίοτε ὀπίσω βουλῆς ἀπολείπονται, προλαμβάνοντος τοῦ θανάτου, καὶ τῆς ἐν ἀνθρώποις αὐτοὺς συναναστροφῆς ἐξαφανίζοντος, ἐκεῖνο ἡμῖν θεσπίζεται, ὡς διατυπώσεως προελθούσης, τὰ ἐν ταύτῃ διορισθέντα ἔσται τῆς ἐκκλησίας. Εἰ δὲ, ὁποῖα πολλὰ φέρει τὸ ἄδηλον, πρὸ τῆς τῶν οἰκείων ἀναρπασθείη διατυπώσεως, παίδων μὲν ὑπόν-

(1) Χ. Τρ. — προκομισθὲν, Βευερ. Ἐ. — (2) Χ. Τρ. — πῶς τὴν, Ἐ. Βευερ. — (3) Χ. Τρ. — προφέρων Βευερ. Ἐ. — (4) Χ. Τρ. — ὑπῆγε Βευερ. Ἐ. — ὑπεῖπε Ν. ιδ'. Λέοντ. — (5) Ματθ. ΙΗ', 20.

των ἄχρι τριῶν, τὸ τέταρτον μέρος τῆς ὑπάρξεως οἰκειώσεται ἡ μονή· ἐπέκεινα δὲ τοῦ τρίτου ἀριθμοῦ προϊόντος τοῦ τῆς γονῆς πλήθους, συγκαταλέξεται τὸ μοναστήριον τοῖς παισί, καὶ τὰ ἴσα ἑνὶ τούτων ἑκάστῳ λήψεται ἐκ πάσης περιουσίας, ἧς οὐχ ἅπτεται χρέα τοῦ τεθνηκότος. Ἄπαιδος δὲ ὑπάρχοντος τοῦ τὸν βίον ἀπολιπόντος, ἐπὶ γονεῦσι δὲ λιπόντος, διχῇ τῶν προσόντων διαιρουμένων, ἡ μὲν τοῖς γονεῦσιν, ἡ δ' ἑτέρα μοῖρα τῷ μοναστηρίῳ παρασχεθήσεται. Εἰ δ' ἔρημος εἴη κληρονόμων ἀνιόντων καὶ κατιόντων, τοὺς ἐκ πλαγίου δὲ εἰσιόντας ὁ κλῆρος προσίεται· αὐτοὶ μέν, ὅσοι ἂν καὶ ὦσι, τὸ τρίτον μέρος διανεμήσονται, τὸ δίμοιρον δὲ προχωρήσει τῇ ἐκκλησίᾳ· καὶ ταῦτα μὲν εἰς τοὺς κτίζοντας μοναστήρια. Ἐρώτησις. Εἰ δέ τις εὐκτήριον οἶκον, οὐχὶ μοναστήριον, θελήσει κτίσαι, τοσαύτην δαπάνην προσαγαγεῖν ἀπαιτηθήσεται; Λύσις. Οὐδαμῶς· περὶ γὰρ μοναστηρίων μόνον ταῦτα νενομοθέτηται. Ἀναγκασθήσεται οὖν ὁ κτίσαι μέλλων προσαγαγεῖν, κατὰ δοκιμασίαν τοῦ ἐπισκόπου, τὸ ἀρκοῦν. Τούτων δὲ οὕτως ἐχόντων, ἐν μὲν τῇ βασιλευούσῃ τῶν πόλεων ἄλλως σταυροπήγιον, παρὰ τοῦ κατὰ καιροὺς χαρτοφύλακος, οὐ δίδοταί τινι, ἔξω τῆς πόλεως ταύτης ἀνεγεῖραι θέλοντι ναόν, εἰμὴ κατὰ τὸν ά. κανόνα τῆς πρώτης καὶ δευτέρας συνόδου κατάθηται δι' ἐγγραφῆς, προσενεγκεῖν πάντα τὰ πρὸς ἀπαρτισμὸν τούτου, ὡς εἴρηται, καὶ βεβαιώσῃ αὐτὰ κατὰ λεπτὸν ἐν τῷ ἐκκλησιαστικῷ κώδικι. Ἐν δὲ ταῖς ἔξω χώραις, ὡς ἐμοὶ δοκεῖ, οὐδέν τι τοιοῦτον ἀκριβολογεῖται, ἀλλὰ παντὶ τῷ βουλομένῳ ἐφεῖται ἀπολυπραγμονήτως κτίζειν εὐκτήρια. Καὶ ἐνταῦθα δὲ οἱ πλείους χωρὶς εἰδήσεως ἐπισκοπικῆς πολλὰ τολμῶσι τοιαῦτα. Ἐπεὶ δὲ μόνης δαπάνης τοῦ ναοῦ ἐμνήσθη ὁ κανών, τῷ ὀνόματι δὲ τῆς δαπάνης πάντα τὰ χρειώδη τῷ μοναστηρίῳ καὶ τοῖς ἀσκουμένοις ἐν αὐτῷ συμπεριλαμβάνονται, ὀφείλεις καὶ σὺ οὕτως ἐκλαβέσθαι τὴν δαπάνην.

ΑΡΙΣΤ. Ὁ βουλόμενος κτίσαι μοναστήριον, εἰ μὲν ἔχοι τὰ πρὸς ἀπαρτισμόν, ἀρχέσθω τοῦ ἔργου, καὶ εἰς πέρας ἀγέσθω τοῦτο· εἰ δὲ μή, κωλυέσθω παρὰ τοῦ κατὰ χώραν ἐπισκόπου· τούτου κρατοῦντος καὶ ἐπὶ λαϊκῶν, καὶ μοναχῶν.

Κανὼν ΙΗ'.

Ἀπρόσκοποι γίνεσθε καὶ τοῖς ἔξωθεν, φησὶν ὁ θεῖος Ἀπόςολος(1). Τὸ δὲ γυναῖκας ἐνδιαιτᾶσθαι ἐν ἐπισκοπείοις, ἢ μοναστηρίοις (2), παντὸς προσκόμματος αἴτιον. Εἴ τις οὖν δούλην, ἢ ἐλευθέραν ἐν (3) ἐπισκοπείῳ κτώμενος φωραθείη, ἢ ἐν μοναστηρίῳ, πρὸς ἐγχείρησιν διακονίας τινὸς, ἐπιτιμάσθω· ἐπιμένων δὲ, καθαιρείσθω. Εἰ δὲ καὶ τύχοι ἐν προαστείοις γυναῖκας εἶναι, καὶ θελήσοι ἐπίσκοπος, ἢ ἡγούμενος, πορείαν ἐν τοῖς ἐκεῖσε ποιήσασθαι, παρόντος ἐπισκόπου, ἢ ἡγουμένου, μηδόλως ἐγχείρησιν διακονίας ποιείσθω κατ' ἐκεῖνον τὸν καιρὸν γυνὴ (4), ἀλλ' ἰδιαζέτω ἐν ἑτέρῳ τόπῳ, ἕως ἂν τὴν ἐπαναχώρησιν (5) ποιήσηται ὁ ἐπίσκοπος, διὰ τὸ ἀνεπίληπτον.

ΖΩΝΑΡ. Καὶ ὁ τρίτος κανὼν τῆς πρώτης συνόδου, καὶ ὁ πέμπτος τῆς ἕκτης, περὶ συνεισάκτων γυναικῶν διαλέγονται. Καὶ οὗτος δὲ ὁ κανὼν κωλύει τὸ ἐν ἐπισκοπείῳ, ἢ ἐν ἀνδρῴᾳ μονῇ διάγειν γυναῖκα, καὶ τὸν ἐν ἐπισκοπείῳ χάριν ὑποθέσεώς τινος, ἢ ἐν μοναστηρίῳ ἔχοντα γυναῖκας, ἐπιτιμᾶσθαι κελεύει· καὶ εἰ μὴ ἐκβάλοι αὐτὰς, καὶ καθαιρεῖσθαι τοὺς ἱερωμένους. Ἀλλ' οὐδὲ ἐν προαστείοις, ἔνθα γυναῖκές εἰσιν ὑπηρετοῦσαι, ἀπιέναι βούλεται ἐπίσκοπον, ἢ ἡγούμενον, εἰ μὴ ἐκεῖναι ἐν ἑτέρῳ τόπῳ μεταστῶσιν, ἕως ἂν ἐκεῖθεν ὁ ἐπίσκοπος, ἢ ὁ ἡγούμενος, ὑποχωρήσωσιν. Ἀναγνωστέον καὶ τὸν ιθ'. κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου.

ΒΑΛΣ. Μαθόντες, ὡς ἔοικεν, οἱ ἅγιοι Πατέρες, ὅτι εἰς ἐπισκοπεῖα καὶ εἰς μοναστήρια διάγουσι γυναῖκες, εἶπον, ὡς, ἐπεὶ ὁ μέγας Ἀπόστολος Παῦλος, πρὸς Κορινθίους ἐπιστέλλων, διωρίσατο ἀπροσκόπους εἶναι ἡμᾶς, μὴ μόνοις τοῖς ἐντὸς, ἀλλὰ καὶ τοῖς ἔξωθεν, ἤγουν μὴ μόνοις τοῖς πιστοῖς, ἀλλὰ καὶ τοῖς ἀπίστοις· τὸ δὲ συνδιάγειν μετὰ γυναικῶν ἐπισκόπους, ἢ ἡγου-

---

(1) ά. Κορ. Ί, 32. — (2) Χ. Τρ. Βευερ. — ἢ καὶ μοναστηρίοις Π. Ἐ. Κ. (3) Χ. Τρ. — ἐν τῷ, Π. Βευερ. Ἐ. Κ. — (4) ποιεῖσθαι . . . γυναικὶ Σ. Ῥ. (5) Ἐ. Κ. Βευερ. — ὑπαναχώρησιν Χ. Τρ. — ἀναχώρησιν Π.

μένους, ἐν μοναστηρίῳ, ἢ ἐν ἐπισκοπείῳ, παντός ἐστι προσκόμματος αἴτιον, καὶ λοιδορία οὐ τυχοῦσα τῆς ἐκκλησιαστικῆς καταστάσεως· ὀφείλουσιν ἐπιτιμᾶσθαι οἱ τοιοῦτόν τι ποιήσοντες· ἐπιμένοντες δὲ, καὶ καθαιρεῖσθαι. Ὡς δέ τινος εἰπόντος, ἀδιάκριτον εἶναι τὸ κολάζεσθαι τούτους, ὁπωσδήποτε μετὰ γυναικῶν συνδιαιτωμένους, (συμβαίνει γάρ τινα ἐξ αὐτῶν κατὰ πάροδον καταλῦσαι εἰς προάστειόν τι γυναῖκας ἔχον, καὶ οὐ δύναται ὁ ἐπίσκοπος τὴν μετὰ τούτων διαγωγὴν ἀποπέμψασθαι), ὥρισαν, εἰ συμβῇ τοῦτο, μηδόλως ὁρῶντος τοῦ ἐπισκόπου, ἢ τοῦ ἡγουμένου, διακονεῖν τὰς γυναῖκας, ἀλλ' ἐν τόπῳ ἑτέρῳ ταύτας ἀναχωρεῖν, καὶ ἡσυχάζειν, ἔστ' ἂν οὗτοι ἀποχωρήσωσι· τὴν δὲ τούτων διακονίαν γίνεσθαι παρὰ ἀνδρῶν πάντως· οὕτω γὰρ τὸ ἀνεπίληπτον, ἤτοι ἀσκανδάλιστον, ἐπ' αὐτοῖς συντηρηθείη. Ἆρα δὲ, ἐὰν ἐξ ἀντιδιαστολῆς ἐν ἐπισκοπείῳ, ἢ μοναστηρίῳ, μὴ συνδιάγωσι μετὰ γυναικῶν, ἀλλ' ἐν ἑτέρᾳ κατοικίᾳ, συγγνωμονηθήσονται; Λύσις. Οἱ μὲν κανόνες, καθὼς πολλάκις εἴπομεν, καὶ τὸ ιζ'. κεφ. τοῦ ά. τίτ. τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, ἀπαγορεύουσιν ἱερωμένον τινὰ μετὰ ὑπόπτου γυναικὸς συνδιάγειν, ἄνευ μητρὸς, θυγατρὸς, ἀδελφῆς καὶ τῶν λοιπῶν ἀνυπόπτων προσώπων· τὸ δὲ νζ'. κεφ. αὐτοῦ, μέρος ὂν τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς, λέγει ταῦτα ῥητῶς· Ἐπίσκοπον δὲ μηδεμίαν παντελῶς γυναῖκα ἔχειν, ἢ μετ' αὐτῆς οἰκεῖν συγχωροῦμεν. Εἰ δὲ ἀποδειχθείη τοῦτο, τῆς ἐπισκοπῆς ἐκβαλλέσθω. Εἰ γοῦν ὁ ἁπλῶς συνοικῶν ἐπίσκοπος μετὰ γυναικὸς οἱασδήτινος καθαιρεῖται, πολλῷ πλέον ὁ ἐν ἐπισκοπείῳ τοιοῦτόν τι ποιήσας ἀπεντεῦθεν καθαιρεθήσεται, ὡς ἐμοὶ δοκεῖ, διὰ τὸ τῆς νεαρᾶς ἀδιάστικτον. Τὸ μέντοι ιέ. κεφ. τοῦ ά. τίτλου τοῦ δ'. βιβλίου κωλύει, οὐ μόνον τὸ καταμεῖναι γυναῖκα ἐν ἀνδρῴῳ μοναστηρίῳ, ἢ τὸ ἀνάπαλιν, ἀλλὰ καὶ τὸ ὅλως εἰσελθεῖν ἐν αὐτῷ, χάριν οἱασδήτινος ὑποθέσεως. Σημείωσαι οὖν τὸν κανόνα λέγοντα, ὅτι οὐδὲ δούλη, οὐδὲ ἐλευθέρα ὀφείλει συνδιάγειν μετὰ ἐπισκόπου, ἢ ἡγουμένου, καθ' οἱονδήτινα λόγον. Τὰ μέντοι περὶ τῶν ἐν προαστείοις οὐσῶν γυναικῶν εἰρημένα, ἀπολυπραγμονήτως ἐκληφθήσονται εἰς προάστεια, δεσποτικῶς τῷ ἐπισκοπείῳ ἢ καὶ τῇ μονῇ διαφέροντα· εἰ γὰρ καταλύσουσιν οὗτοι εἰς ξενο-

δοχεῖα, ἢ εἰς ἀλλότρια προάστεια, δυσχερές ἐστιν, ὡς νομίζω, τὰ τοῦ κανόνος ἐνεργηθῆναι.

ΑΡΙΣΤ. Οὐ δεῖ γυναῖκας ἐνδιαιτᾶσθαι ἐπισκοπείοις, ἢ μοναστηρίοις. Εἴ τις οὖν τοῦτο τολμήσει, ἐπιτιμάσθω· εἰ δ' ἐπιμένει, καθαιρείσθω. Ἀλλὰ καὶ ἔνθα παραβάλλει ἐπίσκοπος, ἢ ἡγούμενος, μηδεμία γυνὴ διακονείτω, ἢ φαινέσθω, ἀλλ' ἰδιαζέτω μέχρις ἀναχωρήσεως.

Ἀπροσκόπους δεῖ ἡμᾶς γίνεσθαι καὶ τοῖς ἔξωθεν, κατὰ τὸν θεῖον Ἀπόστολον· καὶ διὰ τοῦτο οὐ δεῖ γυναῖκας οἰκεῖν ἐν ἐπισκοπείοις, ἢ ἀνδρῴοις μοναστηρίοις· ἀλλὰ τὸν τολμήσαντα ἔχειν δούλην, ἢ ἐλευθέραν, ἐν τῷ ἐπισκοπείῳ, ἢ ἐν τῷ μοναστηρίῳ διά τινα ὑπηρεσίαν, ἐπιτιμᾶσθαι προστάττουσιν οἱ Πατέρες. Τὸν δὲ μετὰ τὴν ἐπιτίμησιν μὴ διώκοντα ταύτας, ἀλλ' ἐν τῇ ἐπισκοπῇ, ἢ τῇ μονῇ, καὶ εἰσέτι μένειν συγχωροῦντα, καθαιρεῖσθαι διορίζονται. Εἰ δὲ ἐν προαστείῳ τῆς ἐπισκοπῆς, ἢ τοῦ μοναστηρίου, ἐπίσκοπος, ἢ ἡγούμενος ἀπέλθοι, καὶ τύχοιεν εἶναι ἐκεῖσε γυναῖκες, μὴ διακονείτωσαν αὗται, μέχρις ἂν ἐνδημῶσιν οὗτοι ἐκεῖσε, ἀλλ' ἐν ἑτέρῳ τόπῳ ἰδιαζόντως ἔστωσαν, μέχρι τῆς αὐτῶν ἀναχωρήσεως, διὰ τὸ ἀνεπίληπτον.

Κανὼν ΙΘ'.

Τοσοῦτον κατενεμήθη τῆς φιλαργυρίας τὸ μῦσος εἰς τοὺς ἡγήτορας τῶν ἐκκλησιῶν, ὥστε καί τινας τῶν λεγομένων εὐλαβῶν ἀνδρῶν τε καὶ γυναικῶν, ἐπιλαθομένους τῆς ἐντολῆς (1) τοῦ Κυρίου, ἐξαπατηθῆναι, καὶ διὰ χρυσίου τας εἰσδοχὰς τῶν προσερχομένων τῷ ἱερατικῷ τάγματι, καὶ τῷ μονήρει βίῳ, ποιεῖσθαι. Καὶ γίνεται, ὧν ἡ ἀρχὴ ἀδόκιμος, καὶ τὸ πᾶν ἀπόβλητον, ὥς φησιν ὁ μέγας Βασίλειος· οὐδὲ γὰρ Θεῷ, καὶ μαμωνᾷ δουλεύειν ἔξεστιν (2). Εἴ τις οὖν εὑρεθῇ τοῦτο ποιῶν, εἰ μὲν ἐπίσκοπός ἐστιν, ἢ ἡγούμενος, ἤ τις τοῦ ἱερατικοῦ (3), ἢ παυσάσθω, ἢ καθαιρείσθω, κατὰ τὸν δεύτερον κανό-

(1) τῶν ἐντολῶν Σ. 'Ρ. — (2) Ματθ. ϛ', 24. — (3) τυγχάνει Σ. Ῥ.

να τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου. Εἰ δὲ ἡγουμένη, ἐκδιωχθήτω τοῦ μοναστηρίου, καὶ παραδοθήτω ἐν ἑτέρῳ μοναστηρίῳ πρὸς ὑποταγήν. Ὡσαύτως καὶ ἡγούμενος, μὴ ἔχων χειροτονίαν πρεσβυτέρου. Ἐπὶ δὲ τῶν παρὰ γονέων παραδεδομένων (1) δίκην προικῴων τοῖς τέκνοις, ἢ ἰδιοκτήτων αὐτῶν πραγμάτων, προσαγομένων, ὁμολογούντων τῶν προσαγόντων ταῦτα εἶναι ἀφιερωμένα τῷ Θεῷ, ὡρίσαμεν, κἄν τε μείνῃ, κἄν τε ἐξέλθῃ, μένειν αὐτὰ ἐν τῷ μοναστηρίῳ, κατὰ τὴν ὑπόσχεσιν αὐτοῦ, εἰ μὴ εἴη αἰτία τοῦ προεστῶτος (2).

ΖΩΝΑΡ. Καὶ τὸ εἰς κλῆρον κατατάττεσθαί τινας, καὶ εἰς μοναστήριά τινας δέχεσθαι διὰ προσαγωγῆς χρημάτων (3) τοὺς ἡγήτορας τῶν ἐκκλησιῶν, ἤγουν τοὺς ἐπισκόπους καὶ ἡγουμένους, (οὗτοι γὰρ προηγεῖσθαι ἐτάχθησαν τῶν πιστῶν, εἰς πίςιν ὀρθὴν, καὶ βίον σεμνὸν, καὶ κατόρθωσιν ἀρετῆς), ἀπηγόρευται. Ὁ δὲ κανὼν λέγει, ὅτι ἐπράττετο τοῦτο τότε, καί τινες τῶν εὐλαβῶν ἀνδρῶν τε καὶ γυναικῶν τὰς εἰσδοχὰς, εἴς τε τὰ ἱερατικὰ τάγματα, καὶ εἰς τὰ μοναστήρια, διὰ δόσεως ἐποιοῦντο χρημάτων, ὡς συμβαίνειν πληροῦσθαι τὴν τοῦ μεγάλου Βασιλείου ἀπόφασιν, λέγοντος· οὗ ἡ ἀρχὴ ἀδόκιμος, τὸ πᾶν ἀπόβλητον. Τοὺς οὖν τοῦτο ποιοῦντας, ὁ κανὼν οὗτος ἢ παύσασθαι κελεύει, εἰ ἐπίσκοποι εἶεν, ἢ ἡγούμενοι ἱερεῖς (4), ἢ ἐκ τοῦ ἱερατικοῦ τινες, ἢ καθαιρεῖσθαι· καὶ μέμνηται τοῦ δευτέρου κανόνος τῆς ἐν Χαλκηδόνι συνόδου, ὃς οὐδὲ οἰκονόμον, ἢ ἔκδικον, ἢ παραμονάριον, ἢ ὅλως τινὰ τοῦ κανόνος προβάλλεσθαι ἀνέχεται ἐπὶ χρήμασιν. Εἰ δὲ ἡγούμενος εἴη ὁ τοῦτο ποιήσας, μὴ ὢν ἱερεὺς (5), ἐκδιώκεσθαι τοῦ μοναστηρίου αὐτὸν διατάττεται, καὶ ἐν ἑτέρῳ μοναστηρίῳ παραδίδοσθαι εἰς ὑποταγὴν (6). Πῶς δὲ τοῦ κανόνος

---

(1) Βευερ. Π. — διδομένων Σ. 'Ρ. Χ. Τρ. — (2) τοῦ ἐξελθεῖν αὐτὸν, δηλονότι. Σ. 'Ρ. — (3) τὸ, διὰ προσαγωγῆς χρημάτων, οὐ κεῖται παρὰ Ε. εἰμὴ λατινιστί. — (4) τὸ, ἢ ἡγούμενοι ἱερεῖς, κεῖται μόνον παρὰ Βευερ. καὶ λατινιστὶ παρὰ Κ. — (5) τὸ, μὴ ὢν ἱερεὺς, οὐ κεῖται παρὰ Κ. — (6) Χ. Τρ. — παρὰ δὲ Βευερ. ἀναγινώσκεται ἐνταῦθα καὶ ἡ ἑξῆς φράσις· ἐκδιώκεσθαι δὲ βούλεται τοὺς μὴ ἔχοντας ἡγουμένους χειροτονίαν πρεσβυτέρου.

τῆς δ'. συνόδου, οὗ ἐμνήσθησαν οἱ Πατέρες οὗτοι, τὸν ἐπὶ χρήμασι χειροτονήσαντα καθαιροῦντος αὐτίκα καὶ τὸν χειροτονηθέντα, οὗτος τὸν εἰς κλῆρον διὰ χρημάτων τάττοντα, ἢ παύσασθαι, ἢ καθαιρεῖσθαι κελεύει; Εἴποιμεν οὖν, ὅτι οὐ περὶ χειροτονούντων οὗτος ὁ κανὼν λέγει, ὡς ἐκεῖνος, ἀλλὰ περὶ τῶν τοὺς ἤδη κεχειροτονημένους δεχομένων, καὶ κατατακτόντων αὐτοὺς εἰς κλῆρον (1). Εἶτά φησιν, ὅτι ἃ οἱ γονεῖς εἰς προῖκα, ἢ εἰς κλῆρον τοῖς παισὶν ἀφορίζουσι, ταῦτα εἰ προσάγοιντο, καὶ ἀφιεροῦνται τῷ Θεῷ, ὡρίσαμεν ἀναφαίρετα εἶναι αὐτὰ, κἂν τε ὁ ἀφιερώσας αὐτὰ μείνῃ ἐν τῷ μοναστηρίῳ, κἂν τε ἐξέλθῃ· εἰ μὴ ἡ αἰτία τῆς ἐκ τῆς μονῆς αὐτοῦ ὑποχωρήσεως γένηται ἐκ τοῦ ἡγουμένου. Τοῦτο οὖν ἐστι νοηθῆναι ἐκ τοῦ παρόντος κανόνος, ὅτι ἀπαιτεῖσθαι τὸν εἰς κλῆρον, ἢ εἰς μονὴν δεχόμενον χρήματα οὐ χρή· εἰ δὲ ἐκεῖνος ἑκὼν (2) προσαγάγῃ τινὰ, ὡς ἀφιερῶν αὐτὰ τῷ Θεῷ, ὁ ταῦτα δεξάμενος ἀνεύθυνος ἔσται.

ΒΑΛΣ. Ἐν τῷ ε. κανόνι τῆς παρούσης συνόδου, ὡρίσθησαν παρὰ τῶν ἁγίων Πατέρων διάφορά τινα, χάριν τῶν διὰ δόσεως χρημάτων κατατασσομένων, ἢ χειροτονουμένων, ἐν κλήρῳ οἱῳδήτινι. Ἀκολούθως οὖν αὐτῷ καὶ ὁ παρὼν κανὼν, ὀνειδίζων τοὺς ἐπισκόπους καὶ καθηγουμένους, τοὺς διὰ φιλαργυρίαν δεχομένους τινὰς μετὰ προσενέξεως χρημάτων, (οὗτοι γάρ εἰσιν οἱ ἡγήτορες, καὶ οἷον ὁδηγοὶ τοῦ λαοῦ), διορίζεται, μὴ συναριθμεῖσθαί τινα ἐν ἀδελφότητι μονῆς, ἢ ἐν κλήρῳ ναοῦ, διὰ δόσεως χρημάτων· τοὺς δὲ τούτους δεχομένους, ἐπισκόπους μὲν ὄντας καὶ ἡγουμένους ἱερωμένους, ἢ παύεσθαι μετὰ παραγγελίαν, ἢ καθαιρεῖσθαι· εἰ δὲ μονάζουσαι, ἢ ἡγούμενοι ἀνίεροι, ἐκδιώκεσθαι ἀπὸ τοῦ μοναστηρίου, καὶ παραδίδοσθαι ἐν ἑτέρᾳ μονῇ, ἐφ' ᾧ ὑποτακτικοὺς εἶναι. Τὰ μέντοι παρά τινων προσφερόμενα τῷ Θεῷ αὐτοπροαιρέτως, καὶ ἀπὸ γονέων αὐτοῖς διαφέροντα, ἢ καὶ ἀλλαχόθεν ποθὲν, ἀναφαίρετα εἶναι παρὰ τῇ μονῇ, κἂν τε μείνῃ ἐν τῷ

(1) Τὰ ἀπὸ τοῦ, Πῶς δὲ τοῦ κανόνος τῆς Δ'. συνόδου, ἕως τοῦ εἰς κλῆρον, καὶ τὰ ἀπὸ τοῦ, Τοῦτο οὖν ἐστι νοηθῆναι, ἕως τοῦ, ἀνεύθυνος ἔσται, ἀναγινώσκονται ἐν Χ. Τρ. παρὰ δὲ Βευερ. καὶ Κ. προστέθεινται ἐν ταῖς Σημειώσεσιν αὐτῶν, ὡς ἐξ ἄλλων χειρογράφων. — (2) τὸ, ἑκὼν, κεῖται μόνον ἐν Χ. Τρ.

μοναστηρίῳ ὁ ἀφιερώσας ταῦτα, κἂν τε ἐξέλθῃ· εἰ μήπω αἴτιος τῆς ἐξελεύσεως ὁ καθηγούμενος γένηται. Εἶπον οὖν τινες, ὡς ταῦτα πάντα κατὰ τὸ ἀναμφίβολον ἕξουσι χώραν εἰς τὰ κοινοβιακὰ(1) μοναστήρια· εἰς δὲ τὰ κελλιωτικὰ, οὐκ ἐνεργήσουσι, διὰ τὸ σιτηρέσια ἐξωνεῖσθαι τοὺς ἀδελφάτορας (2), μὴ μέντοι γε καὶ δίκαιον ἀποκάρσεως, ἢ κληρώσεως. Ἤκουσαν δὲ, ἐπὶ πᾶσι καὶ εἰς πάντας τοὺς μοναχοὺς τὸν κανόνα ἐξακούεσθαι, διὰ τὸ μὴ διαφορὰν εἶναι μοναχῶν καὶ μοναστηρίων ἀπὸ τῶν κανόνων. Ἠρώτησε δέ τις, ὡς, τοῦ ε. κανόνος διοριζομένου ἀπεντεῦθεν καθαιρεῖσθαι τὸν οὕτω χειροτονήσαντα, πῶς ὁ παρὼν κανὼν διορίζεται, ἢ παύεσθαι, ἢ καθαιρεῖσθαι τὸν διὰ δόσεως χρημάτων δεχόμενον οἱονδήτινα κληρικὸν, ἢ μοναχόν; Λύσις· ὅτε μὲν χειροτονία οἱαδήτις γένηται μετὰ δόσεως χρημάτων, κατὰ τὸν ε. κανόνα, ἀπεντεῦθεν καθαιρεθήσεται ὁ χειροτονήσας· ὅτε δὲ μόνη δοχὴ προσώπου γένηται, εἴτε ἐν κλήρῳ, εἴτε ἐν μοναστηρίῳ διὰ χρημάτων, ἄλλως οὐ καθαιρεθήσεται ὁ τὸ κακὸν ποιήσας, εἰ μὴ μετὰ ἐπιφώνησιν ἐμμένει ἐπὶ τῷ κακῷ· ὅτι καὶ οἱ κανόνες διάφοροί εἰσιν· ὁ μὲν γὰρ περὶ χειροτονίας ἀθέσμου διδάσκει· ὁ δὲ περὶ δοχῆς παραλόγου. Καὶ ταῦτα μὲν περὶ τῶν χειροτονησάντων, ἢ δεξαμένων τινὰς, παρὰ τὴν τῶν κανόνων περίληψιν διὰ δόσεως χρημάτων. Οἱ δὲ χειροτονηθέντες, ἢ δεχθέντες, πῶς κολασθήσονται; Λύσις. Ὁ μὲν χειροτονηθεὶς, κατὰ τὸν ῥηθέντα κανόνα, καθαιρεθήσεται, ἀπολέσει δὲ καὶ τὰ παρ' αὐτοῦ δοθέντα· ὁ δὲ δεχθεὶς κακῶς, ἀπολέσει τὰ παρ' αὐτοῦ δοθέντα καὶ μόνον, κατὰ τὸν νόμον, τὸν λέγοντα· Ὁ ἐπὶ αἰσχρᾷ αἰτίᾳ διδοὺς οὐκ ἀναλαμβάνει. Ἐπεὶ δὲ, ὡς ἀπὸ τοῦ παρόντος κανόνος ἀναφαίνεται, εἰς δύο διαιροῦνται οἱ καθηγούμενοι, εἰς ἱερωμένους καὶ ἀνιέρους· (οἱ μὲν γὰρ καθαιροῦνται, οἱ δὲ διώκονται ἀπὸ τοῦ μοναστηρίου)· φαμὲν καλῶς προχειρίζεσθαί τινας εἰς ἡγουμενείας, καὶ ὄντας ἀνιέρους. Ἐπὶ τούτοις ἠρώτησέ τις, ὡς, τοῦ κανόνος διοριζομένου, ἀναφαίρετα εἶναι παρὰ τῇ μονῇ τὰ ἀφιερωθέντα τῷ Θεῷ αὐτοπροαιρέτως παρά τινος, κἂν τε ὁ προσαγαγὼν αὐτά ἐστι παρὰ

(1) κοινόβια καὶ μοναστήρια Χ. Τρ. — (2) Χ. Τρ. — τῆς ἀδελφατρίας 'Ε. —τοὺς ἀδελφατρίους Βεμερ.

τῇ μονῇ, κἄν τε καὶ μὴ, πῶς ἐν τῷ τέλει γέγραπται ἀντιστρέφεσθαι αὐτὰ, ἐὰν ἐξ αἰτίας τοῦ προεστῶτος ὁ προσαγαγὼν ταῦτα ἀναχωρήσῃ ἀπὸ τῆς μονῆς, ὀφείλοντος μᾶλλον τοῦ καθηγουμένου, τοῦ ὑπαιτίου ὄντος, εὐθύνεσθαι; Λύσις. Ἐνταῦθα τὰ προσενεχθέντα τῷ Θεῷ, οὔτε ἐξ ὀρθοῦ προσηνέχθησαν, ὥστε ἐκ πάσης αἰτίας ἀναφαίρετα εἶναι τῇ μονῇ, οὔτε χάριν τοῦ ἀποκαρῆναί τινα, ὥστε καὶ οὕτως εἶναι παρὰ τῇ μονῇ, κατὰ πᾶσαν πρόφασιν, κατὰ τὸν νόμον τὸν λέγοντα· Τὰ ἐπὶ ἴσῃ αἰτίᾳ τοῦ διδόντος καὶ τοῦ λαμβάνοντος δοθέντα, οὐ ῥεπετιτεύονται· ἀλλὰ τῇ προσαγωγῇ τῇ κατὰ Θεὸν ἐπετέθη βάρος, οἷον ἡ τοῦ προσαγαγόντος εἰς τὸ μοναστήριον ἄσκησις. Εἰ μὲν οὖν οἰκειοθελῶς ὑποχωρήσει ἐκ τῆς μονῆς ὁ ταῦτα δοὺς, οὐδέν τι τούτῳ ἀντιστραφήσεται διὰ τὰ ποῤῥηθέντα· εἰ δὲ ἐξ αἰτίας τοῦ καθηγουμένου ἀναχωρήσει, πάντως ἀντιςραφήσεται αὐτῷ τὰ χάριν τοῦ διάγειν τοῦτον εἰς τὴν μονὴν δοθέντα. Ἐπεὶ δὲ, χάριν τῶν προσενέξεων καὶ ἑτέρων ἐκκλησιαστικῶν δικαίων, ἀπελύθη πρόσταξις τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, ἐπὶ ὑπομνήσει τινῶν ἐκκλησιαστικῶν διακόνων, ἀναδεξαμένων τῷ τότε τὴν φροντίδα τῶν πατριαρχικῶν μοναστηρίων ἀπὸ τῆς πατριαρχικῆς μεγαλειότητος, μηνολόγημα φέρουσα τὸν Δεκέμβριον μῆνα τῆς ε. Ἰνδικτιῶνος,ὀφείλεις εἰδέναι καὶ ταύτην, τάδε κατὰ ῥῆμα δικλαμβάνουσαν· Τὴν ἐπιτήρησιν καὶ διόρθωσιν τῶν ψυχικῶν σφαλμάτων ἀναμφίβολον ἔχειν τὸν κατὰ τὴν ἡμέραν ἁγιώτατον πατριάρχην καὶ ἐπὶ τοῖς ἐλευθέροις μοναστηρίοις, καὶ ἐπὶ τοῖς δωρηθεῖσι, καὶ ἐπὶ τοῖς κατ' ἐφορείαν, ἢ οἰκονομίαν δοθεῖσι· δίκαιον γὰρ κέκτηται εἰσέρχεσθαι, καὶ ἀναψηλαφᾷν τὰ ψυχικὰ σφάλματα, καὶ εἰς τὰ κοσμικὰ, καὶ εἰς τὰ τοῦ δημοσίου μοναστήρια, καὶ ἁπλῶς εἰπεῖν,εἰς τὰ ὑπὸ τὴν ἐνορίαν αὐτοῦ πάντα, κἄν τε πατριαρχικὰ ὦσι, κἄν τε βασιλικὰ καὶ αὐτοδέσποτα. Καὶ εἰς μὲν τὰ οἰκεῖα, ἃ οὐκ ἐξέδοντο οἱ πρώην πατριάρχαι εἰς ἐπιδόσεις, ἀκωλύτως ὅταν βούληται εἰσελεύσεται, εἴτε αὐτὸς δι' ἑαυτοῦ, εἴτε διὰ προτροπῆς αὐτοῦ, ὃν ἂν οὗτος ἀπὸ τῶν ἐκκλησιαστικῶν ἐκλέξηται, καὶ διακρίνῃ εἶναι ἄξιον τοῦ ἐρευνᾷν ταῦτα. Εἰς δὲ τὰ ἐλεύθερα καὶ αὐτεξούσια μοναστήρια, ὅταν τις προσέλθῃ, καὶ εἴπῃ τῷ ἁγιωτάτῳ μου δεσπότῃ καὶ πατριάρχῃ γινόμενον σφάλμα εἰς μοναστήριον,

ἢ καὶ ἄλλως ἀπὸ φήμης τινῶν, ἢ καὶ ἑνὸς ἀκούσῃ, τότε εἰσελεύσεται, ὡς εἴρηται, καὶ ἐρευνήσει τὰ ψυχικὰ σφάλματα, κἂν μὴ ὁ εἰπὼν βούληται ὑπεισελθεῖν ἀγῶνα ἀποδείξεως· ὁ γὰρ Χριστιανὸς ἄνθρωπος χρέος ἔχει, ὅταν τι ἀκούσῃ γινόμενον ἐναντίον, λέγειν τοῦτο τῷ κοινῷ πνευματικῷ πατρὶ καὶ ἀρχιερεῖ· ἴσως δὲ οὐ μὴ βούλεται ὑπεισελθεῖν τὸν ἀγῶνα τοῦτον· καὶ τὸ καταλιμπάνεσθαι διὰ τὴν τοιαύτην αἰτίαν τὰ ψυχικὰ σφάλματα ἀνεπιτήρητα καὶ ἀδιόρθωτα, ἔστι τοῦτο πάντη ἄτοπον, μηδενὸς ἐγγράφου οἱουδήτινος βασιλικοῦ, ἢ πατριαρχικοῦ, κωλύοντος εἰς τοῦτο. Πλὴν τὰ μοναστήρια ὀφείλουσι διατηρεῖσθαι ἀκαινοτόμητα ἐν ταῖς ἐρεύναις τῶν ἀποστελλομένων, μηδεμιᾶς ἐντεῦθεν διδομένης δαπάνης· τότε γὰρ καὶ ἡ διόρθωσις τῶν ψυχικῶν σφαλμάτων εὐκόλως σὺν Θεῷ γενήσεται. Ἐπὶ δέ γε τοῖς κατ' ἐπίδοσιν δοθεῖσι μοναστηρίοις καὶ κατ' ἐφορείαν ἢ οἰκονομίαν, ἢ παντελῆ (1) ἐλευθερίαν, οὐ μόνον τὰ ἄλλα ψυχικὰ σφάλματα ἐπιζητήσει, ἀλλὰ καὶ εἰ κατελύθησαν, ἢ καταλύονται μερικῶς, ἢ καθόλου, παρὰ τῶν λαβόντων ταῦτα. Καὶ εἰ εὑρήσει τινὰς μειώσεις ἐν αὐτοῖς γινομένας, καταναγκάσει τοὺς ταῦτα κατέχοντας ἀποκαθιστᾷν ταῦτα, καθὼς παρέλαβον, καὶ κατὰ τὴν εὐπορίαν τοῦ μοναστηρίου, πλὴν ἐπ' ἐκείνοις τοῖς ἐνδεῶς ἔχουσι πρὸς τὴν κατάστασιν, καθ' ἣν ταῦτα παρέλαβον. Τὰ δέ γε βελτιωθέντα καὶ ἐπαυξηθέντα, καλῶς ἔχοντα, οὐκ ἐλαττωθήσονται, ἀλλὰ μενοῦσιν ὡς ἔχουσιν. Οἱ δὲ κατ' ἐφορείαν καιρικὴν, καὶ ἑτέραν οἰκονομίαν ἐκδοθέντα κατέχοντες, καὶ καταλυμηνάμενοι ταῦτα, εἰ μὴ βούλονται ἀποκαθιστᾷν ταῦτα εἰς ὃ παρέλαβον σχῆμα, ἵνα ἀφαιρῶνται, μὴ ὠφελούμενοι ἀφ' ὧν ἔχουσιν ἐγγράφων, προθεσμίας διδομένης αὐτοῖς ἁρμοζούσης. Μεταξὺ δὲ τῆς προθεσμίας ὀφείλουσιν (2) ἐπιτηρεῖσθαι, εἰ φροντίζουσιν ἔργοις αὐτοῖς, περὶ τῆς εἰς τὸ ἀρχαῖον αὐτῶν καταστάσεως, ὡς δεδήλωται· τότε γὰρ καὶ ἡ προθεσμία φυλαχθήσεται. Αἱ δὲ ἀποταγαὶ, ἐπεὶ παρὰ κανόνας δίδονται καὶ λαμβάνονται, σχολάσουσι παντελῶς ἀπὸ τοῦ νῦν, καὶ ὁ εὑρισκόμενος λαμβάνων ἢ διδοὺς, εἰ μέν ἐστιν ἡγούμενος, ἵνα

(1) παντελῶς Βευερ. Ἐ. Λεϋγκλ. — (2) ὀφειλούσης Λεϋγκλ.

ἐκδιώκηται ἀπὸ τῆς ἡγουμενείας· εἰ δὲ χαριστικάριος, ἐκδιωχθήσεται ἀπὸ τῆς μονῆς. Αἱ δὲ ἀπὸ τῶν προσερχομένων εἰς ἀπόκαρσιν γινόμεναι ἑκουσίως καὶ κατὰ γνώμην τῶν προσφερόντων προσενέξεις, προσδεχθήσονται, καὶ ἀπογραφήσονται ἐν τῷ βρεβίῳ τῆς μονῆς· εἰδήσεως διδομένης περὶ τῶν προσφερομένων καὶ τῷ ἁγιωτάτῳ πατριάρχῃ, κἂν οἱ τὰ μοναστήρια ἔχοντες ὑπομνήματα κέκτηνται περὶ τοῦ λαμβάνειν ἀποταγὰς καὶ προσενέξεις, καὶ ἀποκερδαίνειν ταύτας· τοῦτο γὰρ ἀπὸ τοῦ νῦν ὀφείλει σχολάσαι, καὶ γίνεσθαι καθὼς ἄνωθεν εἴρηται· ἀλλὰ καὶ αἱ σωζόμεναι προσενέξεις οὐκ ὀφείλουσιν ἐκποιηθῆναι τῇ ἀφορμῇ τῶν ὑπομνημάτων. Ἡ μέν τοι φροντὶς οὐ μόνον τῶν ψυχῶν τῶν μοναχῶν, ἀλλὰ καὶ αὐτῶν τῶν κοσμικῶν, τῷ ἁγιωτάτῳ πατριάρχῃ ἐπίκειται· καὶ ὅταν θεάσηταί τινα τῶν κοσμικῶν, διψῶντα τὴν οἰκείαν σωτηρίαν, πῶς ἐνδέχεται ἵνα κωλύηται τοῦ τάσσειν ἐν τῇ μονῇ, ἐπὶ ψυχικῇ σωτηρίᾳ τοῦ προσερχομένου; Ἔξει γὰρ ἀκώλυτον ὁ ἁγιώτατος πατριάρχης τὸ τάσσειν, μᾶλλον (1) ἤπερ οἱ χαριστικάριοι, κἂν ὑπομνήματα ἔχωσι. Πλὴν εἰ κελεύει ὁ ἁγιώτατός μου δεσπότης λαμβάνειν χρείας ἀδελφάτου τινὰ κοσμικὸν ὄντα, ἢ καὶ μοναχὸν ἀπὸ ἑτέρου μοναστηρίου διαφέροντος αὐτῷ, ἵνα μὴ δίδωσι κοσμικῷ, ἢ μοναχῷ ἐξωμονιτάτον, ὡς ἂν μὴ ἐπιβαρύνηται ἡ μονὴ ἀπὸ τοῦ ἀδελφάτου· εἰ γὰρ ἐπιβαρύνηται, λείψει πάντως καὶ τοῖς ἐσωμονίταις (2), καὶ γίνεται ἀντὶ μισθοῦ, κρίμα. Εἰ δ' ἴσως προσέρχεταί τις τῶν λαϊκῶν, ἀδύνατος πάντη καὶ πένης, τῷ ἁγιωτάτῳ μου δεσπότῃ, ἢ καὶ ἀπὸ τῶν ἀρχιερέων τῶν ἀπολεσάντων τοὺς θρόνους αὐτῶν, καὶ δεομένων, καὶ θελήσει τυπῶσαι (3) αὐτὸν λαμβάνειν χρείαν ἀπό τινος τῶν εὐπορωτέρων μοναστηρίων, ποιήσει τοῦτο καλῶς, μὴ ὑπὲρ τὴν δύναμιν τῆς μονῆς τοῦ ἀριθμοῦ τῶν τασσομένων ὄντος· προτιμότεροι γὰρ ὀφείλουσιν εἶναι οἱ ἐσωμονῖται τῶν ἄλλων ἁπάντων, εἰς τὸ λαμβάνειν τὰς χρείας αὐτῶν.

ΑΡΙΣΤ. Ὁ διὰ χρυσίου προσιέμενος τοὺς προσιόντας ἱερατικῷ τάγματι, ἢ μονήρει βίῳ, ἐπίσκοπος μέν, ἢ ἡγούμενος, ἢ ὅλως ἱερα-

---

(1) Λεύγκλ. — τὸ, μᾶλλον, οὐ κεῖται ἐν Χ. Τρ. Βευερ. Ἑ. — (2) Χ. Τρ. — πάντως καὶ τὸ ἐσωμονιτάτον Βευερ. Ἑ. — (3) Χ. Τρ. — τυποῦν Βευερ. Ἑ.

τικὸς ὤν, ἢ παυσάσθω, ἢ καθαιρείσθω· ἡγουμένη δὲ, ἐκδιωκέσθω, καὶ διδόσθω εἰς ὑποταγήν· ὡσαύτως καὶ ἡγούμενος ὁ μὴ ἱερεύς. Τὰ δὲ ἀφιερούμενα παρὰ τῶν προσιόντων μενέτω, κἂν ἐπιμένοιεν, κἂν μή· εἰ μὴ αἰτία εἴη τοῦ προεστῶτος.

Οἱ ἀπαιτοῦντες χρυσίον τοὺς προσερχομένους τῷ ἱερατικῷ τάγματι, ἢ τῷ μονήρει βίῳ, εἴτε ἐπίσκοποί εἰσιν, εἴτε ἡγούμενοι, εἴτε ὅλως τοῦ ἱερατικοῦ καταλόγου, ἢ παυσάσθωσαν τοῦτο ποιοῦντες, ἢ καθαιρείσθωσαν. Εἰ δὲ ἡγουμένη ἐστὶν ἡ τοῦτο ποιοῦσα, καὶ ἀποταγὰς ἀπαιτοῦσα τὰς ἐπὶ τὸ μονάσαι προσερχομένας, ἐκδιωχθήσεται τῆς μονῆς, καὶ ἐν ἑτέρῳ μοναστηρίῳ παραδοθήσεται εἰς ὑποταγήν. Ἐκδιωχθήσεται δὲ ὡσαύτως καὶ ὁ μὴ ὢν ἱερεὺς ἡγούμενος, καὶ τὴν ἐν ἑτέρῳ μοναστηρίῳ ὑποταγὴν ὑπενέγκοι· τῷ γὰρ ὄντι ἱερεῖ ἀρκοῦσα καταδίκη ἐστὶν ἡ καθαίρεσις. Ὅσα δέ τινες ἑκουσίως, ἢ ὑπὲρ ἑαυτῶν, ἢ ὑπὲρ τῶν ἰδίων τέκνων, προσαγάγοιεν πράγματα τῇ μονῇ, καὶ τῷ Θεῷ ταῦτα ἀφιερώσουσιν, ὀφείλουσι ταῦτα μένειν ἐν τῷ μοναστηρίῳ, κατὰ τὴν ὑπόσχεσιν αὐτῶν, κἄν τε αὐτοὶ οἱ προσάγοντες αὐτὰ ἐκεῖσε προσκαρτερήσωσι, κἄν τε ἐξέλθοιεν ἐκ τῆς μονῆς· εἰ μήπου δι' αἰτίαν τοῦ προεστῶτος ἐξῆλθον.

Κανὼν Κ'.

Ἀπὸ τοῦ παρόντος (1) ὁρίζομεν, μὴ γίνεσθαι διπλοῦν μοναστήριον, ὅτι σκάνδαλον καὶ πρόσκομμα τοῖς πολλοῖς γίνεται τοῦτο. Εἰ δέ τινες μετὰ συγγενῶν προαιροῦνται ἀποτάξασθαι, καὶ τῷ μονήρει βίῳ (2) κατακολουθεῖν, τοὺς μὲν ἄνδρας δεῖ ἀπιέναι εἰς ἀνδρῷον μοναστήριον, τὰς δὲ (3) γυναῖκας εἰσιέναι ἐν γυναικείῳ μοναστηρίῳ· ἐπὶ τούτῳ γὰρ εὐαρεστεῖται ὁ Θεός. Τὰ δὲ ὄντα ἕως τοῦ νῦν διπλᾶ κρατείτωσαν, κατὰ τὸν κανόνα τοῦ ἁγίου Πατρὸς ἡμῶν Βασιλείου, καὶ κατὰ τὴν διαταγὴν αὐτοῦ, οὕτω διατυπούσθωσαν. Μὴ διαιτάσθωσαν δὲ ἐν ἑνὶ μοναστηρίῳ μο-

(1) Ἀπὸ τοῦ παρόντος κανόνος Χ. Τρ. — (2) Σ. 'Ρ. Χ. Τρ. Π. — τὸν μονήρη βίον Βευερ. — (3) καὶ τὰς γυναῖκας Π.

ναχοί, καὶ μονάστριαι· μοιχεία γὰρ μεσολαβεῖ τὴν συνδιαίτησιν. Μὴ ἐχέτω μοναχὸς παῤῥησίαν πρὸς μονάστριαν, ἢ μονάστρια πρὸς μοναχὸν, ἰδίᾳ προσομιλεῖν· μηδὲ κοιταζέσθω μοναχὸς ἐν γυναικείῳ μοναστηρίῳ· μηδὲ συνεσθιέτω μονάστρια κατὰ μόνας. Καὶ ὅτε τὰ ἀναγκαῖα τοῦ βίου παρὰ τοῦ ἀνδρῴου μέρους πρὸς τὰς κανονικὰς ἀποκομίζονται, ἔξωθεν τῆς πύλης ταῦτα λαμβανέτω ἡ ἡγουμένη τοῦ γυναικείου (1) μοναστηρίου, μετὰ γραός τινος μοναστρίας. Εἰ δὲ συμβῇ, συγγενῆ τινα ἐθέλειν (2) θεάσασθαι μοναχὸν, ἐπὶ παρουσίᾳ τῆς ἡγουμένης, ταύτῃ προσομιλείτω διὰ μικρῶν καὶ βραχέων λόγων, καὶ συντόμως ἐξ αὐτῆς ὑπαναχωρείτω (3).

ΖΩΝΑΡ. Κωλύει ὁ κανὼν διπλᾶ γίνεσθαι μοναστήρια· οὐχ ὁμοῦ δὲ διῆγον τοῖς μονασταῖς αἱ μονάζουσαι ἐν τοῖς τοιούτοις μοναστηρίοις, ἀλλ' ἔγγιστα κατῴκουν ἀλλήλων, ὥστε καὶ ἄμφω ἀλλήλων ἀκούειν. Τοῦτο οὖν, ὑποκνίζον εἰς λογισμοὺς ἐμπαθεῖς, ἢ καὶ εἰς τὰ πάθη αὐτὰ, καὶ εἰς σκάνδαλον δὲ τοῖς πολλοῖς γινόμενον, ὁρῶσι σχεδὸν συνοικούσας ἀνδράσι γυναῖκας, διὰ τὴν πάνυ τῶν κατοικιῶν ἑκατέρων ἐγγύτητα, ἀποτρέπει ἡ σύνοδος γίνεσθαι. Εἰ δέ τινές, φησι, μετὰ συγγενῶν προαιροῦνται ἀποτάξασθαι, οἱ μὲν ἄνδρες εἰς ἀνδρῷον ἀπερχέσθωσαν μοναστήριον, αἱ δὲ γυναῖκες, εἰς γυναικεῖον· οὕτω γὰρ εὐαρεστεῖται ὁ Θεὸς, ἀντὶ τοῦ, οὕτως εὐαρέστως δουλεύσουσι τῷ Θεῷ, ἰδίᾳ ζῶντες (4), καὶ ἀπ' ἀλλήλων κεχωρισμένοι, ὥστε μήτε ἀλλήλοις εἰς παροξυσμὸν εἶναι βιοτῆς ἐμπαθοῦς, μήτε ἄλλοις εἰς σκάνδαλον. Ὅσα δὲ ἤδη γεγόνασι διπλᾶ μοναστήρια, ἔστωσάν, φησι, καὶ οἰκονομείσθωσαν κατὰ τὴν διαταγὴν καὶ τὸν τύπον τοῦ μεγάλου Βασιλείου, καὶ μὴ διαιτάσθωσαν ἐν ἑνὶ μοναστηρίῳ μοναχοὶ καὶ μονάστριαι· δίαιτα δ' ἐνταῦθα, οὐ τὸ συνεσθίειν ὁμοῦ καλεῖται, ἀλλ' ἡ μετ' ἀλλήλων συνδιαγωγὴ καὶ

---

(1) τοῦ οἰκείου Χ. Τρ. — (2) Εἰ δὲ συμβῇ, καὶ συγγενῆ Χ. Τρ. Βευερ. — (3) Χ. Τρ. Βευερ. Σ. Ῥ. Κ. — τὸ, καὶ συντόμως ἐξ αὐτῆς ὑπαναχωρείτω, οὐ κεῖται ἐν Π. ἀλλ' ἐν ταῖς σημειώσεσιν αὐτοῦ. — (4) ἰδιάζοντες Χ. Τρ.

ἀναστροφή. Μηδ᾽ ἐχέτωσαν πρὸς ἀλλήλους παῤῥησίαν μοναχός τε καὶ μοναχὴ, ὥστε συνιέναι ὅτε βούλοιντο, καὶ ἀλλήλοις προσομιλεῖν· μηδὲ κοιταζέσθω μοναχὸς ἐν γυναικείῳ μοναστηρίῳ, μηδὲ συνεσθιέτω κατὰ μόνας μοναζούσῃ· ἀλλὰ κἂν χορηγεῖν αὐταῖς τὰ ἀναγκαῖα μέλλοιεν ἐκ τῆς ἀνδρῴας μονῆς, μὴ εἰσίτωσαν μοναχοὶ ἐντὸς τοῦ γυναικείου μοναστηρίου, ἀλλὰ μέχρι τῆς πύλης ἐλθόντες προσμενέτωσαν ἔξω· ἡ δὲ προεστῶσα μετὰ γηραιῶν μοναζουσῶν ἐλθοῦσα πρὸς τὴν πύλην, λαμβανέτω τὰ κομισθέντα. Εἰ δὲ καὶ συγγενῆ οἰκείαν ἰδεῖν ζητεῖ μοναχὸς, παρούσης τῆς ἡγουμένης θεασάσθω αὐτὴν, καὶ προσομιλείτω δι᾽ ὀλίγων λόγων, ὥστε ταχέως ὑποχωρεῖν.

ΒΑΛΣ. Ἐν μὲν τῷ ά. κεφ. τοῦ ιϐ΄. τίτλου τοῦ παρόντος συντάγματος, κατεστρώθησαν διάφορα νόμιμα χάριν τῶν μοναστηρίων· ὁ δὲ παρὼν κανὼν διορίζεται, μὴ γίνεσθαι διπλᾶ μοναστήρια, διὰ τὸ μὴ σκανδαλίζεσθαι ἐκ τούτου τοὺς πολλούς. Ὡς δέ τινος εἰπόντος, καλὸν εἶναι καὶ εὐπαράδεκτον τοῦτο, ὅταν ὑποψία τις ὑποτρέχῃ διὰ τὰ ἀστήρικτα πρόσωπα· (εἰ γὰρ ἀνύποπτοι, συγγενεῖς τυχὸν, ἢ ἀδελφοὶ, ἢ ἕτεροι τοιοῦτοι θελήσουσι μονάσαι, ἵνα τί οὐ παραχωρηθήσονται εἰς διπλοῦν κατοικεῖν μοναστήριον;) φασὶν οἱ Πατέρες, ὡς οὐδὲ τηνικαῦτα τοὺς προσγενεῖς δέον ἐστὶ συνοικεῖν, ἵνα μὴ ἐκ τούτου προσκόπτωσί τινες· ἀλλ᾽ ὁ μὲν ἀνὴρ ἀπιέτω εἰς ἀνδρῷον μοναστήριον ἰδιαίτατον· ἡ δὲ γυνὴ εἰς γυναικεῖον· οὕτω γὰρ ζῶντες κεχωρισμένοι, εὐαρέστως δουλεύσουσι τῷ Θεῷ. Τὰ μέντοι προγεγονότα διπλᾶ μοναστήρια, παρεκελεύσαντο πολιτεύεσθαι κατὰ τὸν ὁρισμὸν καὶ τὴν διαταγὴν τοῦ μεγάλου πατρὸς Βασιλείου· ἤγουν μὴ συνδιαιτᾶσθαι, τουτέστι, μὴ συνοικεῖν ἄνδρας καὶ γυναῖκας ἐν ἑνὶ μοναστηρίῳ· ὅτι ὑποψία ἐστὶ μοιχείας ἀπὸ τῆς συνοικήσεως. Ἀλλὰ μηδὲ μοναχὸς ἐχέτω ἄδειαν μετὰ μοναχῆς κατ᾽ ἰδίαν προσομιλεῖν, ἢ συνεσθίειν, ἢ ἐν γυναικείῳ μοναστηρίῳ διανυκτερεύειν· ὥσπερ οὐδὲ τὸ ἀνάπαλιν. Τὰ δὲ ἀναγκαῖα ταῖς μοναζούσαις ἀποκομίζεσθαι δι᾽ ἀνδρῶν, οὐχὶ ἐντὸς τοῦ μοναστηρίου, ἀλλ᾽ ἐκτὸς τῆς πύλης αὐτοῦ, διὰ χειρὸς τῆς ἡγουμένης καὶ μοναστρίας γραός. Εἰ δέ ποτέ τις μοναχὸς θελήσει

θεάσασθαι μονάζουσαν συγγενῆ αὐτοῦ, μὴ παραχωρείσθω κατ᾽ ἰδίαν μετ᾽ αὐτῆς συναίρειν λόγους· ἀλλὰ κατὰ παρουσίαν τῆς ἡγουμένης, καὶ ἐν συντόμῳ ἀναχωρεῖν. Τὸ ὄνομα δὲ τῆς διαίτης οὐκ ἐκλαμβάνεται εἰς εὐωχίαν, κατὰ τοὺς γραμματικοὺς, ἀλλ᾽ εἰς κατοίκησιν· δίαιτα γὰρ παρὰ τοῖς νομικοῖς ἡ κατοικία ἐστί. Διπλᾶ δὲ μοναστήρια εἶπόν τινες λέγεσθαι, οὐ τὰ ἔχοντα ἐνταυτῷ καὶ ἄνδρας καὶ γυναῖκας, ἀλλὰ τὰ πλησίον καὶ ἡνωμένως κτισθέντα, καὶ λογιζόμενα ἓν, ὡσανεὶ διὰ τὴν πολλὴν ἑνότητα. Ἀπὸ δὲ τοῦ κανόνος ἀναφαίνεται μὴ λέγεσθαι διὰ τοῦτο διπλᾶ μοναστήρια, ἀλλ᾽ ὅτι ἐν ἑνὶ καὶ τῷ αὐτῷ μοναστηρίῳ κατῴκουν ποτὲ, ὡς ἔοικεν, ἄνδρες καὶ γυναῖκες· διορίζεται γὰρ τοὺς προσγενεῖς ἀφίστασθαι εἰς ἀνδρῷα καὶ γυναικεῖα μοναστήρια, ὡς οὔσης κεκωλυμένης τῆς εἰς τὸ αὐτὸ καὶ ἐν κατοικίας τούτων. Ὡσαύτως παρακελεύεται, μὴ διαιτᾶσθαι, τουτέστι μὴ συνοικεῖν ἐν ἑνὶ μοναστηρίῳ ἄνδρας καὶ γυναῖκας. Ἀνάγνωθι καὶ τὸν ὅλον πρῶτον τίτλον τοῦ δ'. βιβλίου, διδάσκοντα περὶ τοιούτων πολλῶν, καὶ διοριζόμενον, μήτε μοναχὸν, μήτε λαϊκὸν εἰσιέναι εἰς γυναικεῖον μοναστήριον, χάριν οἱασδήτινος αἰτίας· διατυποῦντα δὲ καὶ τὰ περὶ τῶν ὀφειλόντων ἱερουργεῖν ἐν ταῖς γυναικείαις μοναῖς, καὶ τὰ περὶ τῶν ἀποκρισιαρίων αὐτῶν, καὶ λοιπῶν διακονητῶν.

ΑΡΙΣΤ. Μὴ ἤτω διπλᾶ μοναστήρια, μηδὲ διαιτάσθωσαν ἐν ταὐτῷ μοναχοὶ καὶ μονάστριαι, μηδὲ καταμόνας ὁμιλείτωσαν· ἀλλὰ καὶ εἴ τι διακομίσει ἀνὴρ κανονικῇ, ἔξω μένων διδότω, καὶ τὴν συγγενῆ ἐπὶ παρουσίᾳ τῆς ἡγουμένης θεάσθω.

Πᾶσαν ἀσφάλειαν ἔθεντο οἱ Πατέρες, ἵνα μὴ τῇ μοναδικῇ πολιτείᾳ μῶμός τις ἐπιτρίβηται· καὶ προσέταξαν, μὴ ἐνταυτῷ συνεσθίειν μοναχοὺς καὶ μοναστρίας, μηδὲ πρὸς ἀλλήλους ὁμιλεῖν κατ᾽ ἰδίαν· ἀλλὰ κἂν συγγενῆ τινα θέλῃ θεάσασθαι μοναχὸς, παρουσίᾳ τῆς ἡγουμένης ταύτῃ προσομιλεῖν. Καὶ εἴ τι τῶν ἀναγκαίων τοῦ βίου ἀπὸ τοῦ ἀνδρῴου μοναστηρίου διακομίσῃ πρὸς τὰς μοναζούσας ὁ μοναχὸς, ἔξω τῆς μονῆς ἐσῶτα διδόναι τοῦτο τῇ ἡγουμένῃ.

Κανὼν ΚΑ'.

Οὐ δεῖ μοναχὸν, ἢ μονάστριαν (1), καταλιμπάνειν τὴν οἰκείαν μονὴν, καὶ ἐν ἑτέρᾳ ἀπέρχεσθαι. Εἰ δὲ συμβῇ τοῦτο, ξενοδοχεῖσθαι αὐτὸν, ἀναγκαῖον· προλαμβάνεσθαι δὲ ἄνευ γνώμης τοῦ ἡγουμένου αὐτοῦ, οὐ προσήκει.

—

ΖΩΝΑΡ. Τοὺς μοναχοὺς, ἔνθα ἀπετάξαντο τῷ κόσμῳ, συνετάξαντο δὲ τῇ μοναχικῇ πολιτείᾳ, προσμένειν προσήκει, καὶ μὴ ἐκεῖθεν ἀναχωρεῖν. Εἰ δέ τις ἀναχωρήσῃ, καὶ εἰς ἑτέραν ἀπέλθῃ μονὴν, ξενοδοχεῖσθαι μὲν τοῦτον ἀναγκαῖον, ἵνα μὴ βιασθῇ εἰς κοσμικοὺς ἀπιέναι, καὶ συνδιάγειν τοῖς ζῶσιν ἀδιαφόρως· προσλαμβάνεσθαι δὲ αὐτὸν καὶ κατατάττειν τῇ ἀδελφότητι οὐ δεῖ, εἰ μὴ ὁ ἡγούμενος ἐπιτρέψῃ τῆς μονῆς, ἀφ' ἧς ἐξῆλθεν. Ὁ μὲν οὖν κανὼν οὗτος ἀδιάστικτον ἔχει τὴν κώλυσιν τῆς ἀναχωρήσεως. Ὁ δὲ μέγας Βασίλειος, ἐν τοῖς ἀσκητικοῖς αὐτοῦ κεφαλαίοις, διαστίζει περὶ τῆς τῶν μοναχῶν ἀναχωρήσεως, καὶ οὐκ ἄλλως αὐτοῖς ἀναχωρεῖν δίδωσιν, εἰ μὴ εἰ ψυχικῶς βλάπτοιντο· καὶ τότε δὲ τὴν αἰτίαν τῆς βλάβης ἀπαγγέλλειν τῷ ἡγουμένῳ· καὶ εἰ μὲν θεραπεύοιτο τὸ αἴτιον, αὖθις διάγειν βούλεται ἕκαστον ἐν τῇ οἰκείᾳ μονῇ· εἰ δὲ ἀθεράπευτον ἢ τὸ κακὸν, λέγειν τοῦτο ἐπὶ τῆς ἀδελφότητος.

ΒΑΛΣ. Μετὰ τὸ δοῦναί τινα συνθήκας καὶ ὁμολογίας εἰς Θεὸν, χάριν τοῦ προσμένειν ἐν ᾗ ἀπεκάρη μονῇ, πῶς παραχωρηθήσεται τὴν οἰκείαν ἀθετῆσαι ὁμολογίαν, καὶ εἰς ἑτέραν ἀπελθεῖν μονήν; Διορίζεται οὖν ὁ κανὼν, μήτε μοναχὸν, μήτε μονάςριαν, ἀσυντάκτως ἀναχωρεῖν ἀπὸ τῆς οἰκείας μονῆς, καὶ εἰς ἕτερον ἀπέρχεσθαι μοναστήριον, χάριν τοῦ καταταγῆναι ἐν αὐτῷ. Εἰ δὲ πολλάκις διὰ μικροψυχίαν γένηται τοῦτο, μὴ προσλαμβάνεσθαι αὐτὸν παρὰ τοῦ προεστῶτος, ἄνευ εἰδήσεως τοῦ κουρεύσαντος αὐτὸν ἡγουμένου, δηλονότι χωρὶς ἀπολυτικῆς γραφῆς αὐτοῦ, ἀλλὰ μόνον ξενοδοχεῖσθαι· ἵνα μὴ βιασθῇ εἰς κοσμικοὺς ἀπιέναι, καὶ διάγειν

---

(1) Χ. Τρ. Σ. Ρ. Κ. Βευερ. — Μὴ δεῖν μονάστριαν Π.

μετὰ λαϊκῶν. Ὁ μέντοι μέγας Βασίλειος ἐν τοῖς ἀσκητικοῖς αὐτοῦ κεφαλαίοις(1), διορίζεται τὸν μοναχὸν βλαπτόμενον ψυχικῶς, ἀναχωρεῖν ἀφ' ἧς ἀπεκάρη μονῆς· καὶ τοῦτο δὲ ποιεῖν, μετὰ τὸ εἰπεῖν καὶ ἅπαξ καὶ δὶς τὰ περὶ τούτου πρὸς τὸν καθηγούμενον καὶ τοὺς μοναχοὺς, καὶ μὴ διορθωθῆναι τὸ κακόν. Τῷ ὀνόματι δὲ τῆς ξενοδοχίας, μὴ εἴπῃς ἐπὶ πολὺν καιρὸν τὸν ξενοκουρίτην μοναχὸν διάγειν εἰς ἀλλοτρίαν μονήν· τοῦτο γὰρ περιγραφὴ τοῦ κανόνος ἐστίν· ἀλλ' ἐφ' ἡμέραις μετρίαις. Μὴ θαυμάσῃς δὲ, πῶς οὐ κολάζεται παρὰ τοῦ κανόνος ὁ παραβάτης τούτου· ἀνάγνωθι γὰρ τὸν πή. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ μάθῃς, ὅπως οἱ ξενοκουρῖται κολάζονται, καὶ οἱ τούτους δεχόμενοι.

ΑΡΙΣΤ. Μοναχὸν, ἢ μονάςριαν, μὴ ἐξέστω καταλιμπάνειν τὴν οἰκείαν μονὴν, καὶ ἑτέρᾳ προσιέναι· εἰ δ' ἀφίκοιτο, ξενοδοχείσθω· μὴ μέν τοι προσδεχέσθω, καὶ ξενοδοχείσθω, παρὰ γνώμην τοῦ ἡγουμένου.

Τὸ μὲν ὑποδέχεσθαι, καὶ ξενοδοχεῖσθαι μοναχὸν, ἢ μοναχὴν, ἐν ἑτέρᾳ μονῇ ἀπιοῦσαν, ὁ παρὼν κανὼν ἐπιτρέπει, ἵνα μὴ δι' ἀνάγκην εἰς κοσμικοὺς ἀπέλθῃ, ἢ μείνῃ· τὸ δὲ προσλαβεῖν, καὶ προσδέξασθαι αὐτὴν, καὶ συντάξαι τῇ ἀδελφότητι, παρὰ γνώμην τῆς ἡγουμένης, οὐκ ἐπιτρέπει.

Κανὼν ΚΒ'.

Θεῷ μὲν τὸ πᾶν ἀνατίθεσθαι, καὶ οὐ τοῖς ἰδίοις θελήμασι δουλοῦσθαι, μέγα χρῆμα τυγχάνει. Εἴτε γὰρ ἐσθίετε, εἴτε πίνετε, ὁ θεῖος Ἀπόστολός φησι, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε(2). Χριστὸς δὲ(3) ὁ Θεὸς ἡμῶν, ἐν τοῖς Εὐαγγελίοις αὐτοῦ, τὰς ἀρχὰς τῶν ἁμαρτημάτων ἐκκόπτειν προστέταχεν· οὐ γὰρ ἡ μοιχεία μόνον παρ' αὐτοῦ κολάζεται, ἀλλὰ καὶ ἡ κίνησις τοῦ λογισμοῦ πρὸς τὴν τῆς μοιχείας ἐγχείρησιν κατακέκριται· λέγοντος αὐτοῦ· Ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη

(1) κανόσι. Ε. — (2) α'. Κορ. Ι, 31. — (3) Χ. Τρ. Βευερ.—Χριστὸς οὖν Π. Ε. Κ.

ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ (1). Ἔνθεν οὖν μαθητευθέντες, λογισμοὺς ὀφείλομεν καθαιρεῖν(2). Εἰ γὰρ καὶ πάντα ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει (3), ὡς ἐξ ἀποστολικῆς φωνῆς διδασκόμεθα. Ἐπάναγκες οὖν ἐστι παντὶ ἀνδρὶ διὰ τὸ ζῆν ἐσθίειν. Καὶ οἷς μὲν ὁ βίος ἐστὶ γάμου, καὶ τέκνων, καὶ λαϊκῆς διαθέσεως, ἀναμὶξ ἐσθίειν ἄνδρας καὶ γυναῖκας, τῶν ἀδιαβλήτων ἐστι, μόνον τῷ διδόντι τροφὴν τὴν εὐχαριστίαν προσάγοντας· μὴ μετά τινων (4) θυμελικῶν ἐπιτηδευμάτων, εἴτουν σατανικῶν ᾀσμάτων, κιθαρῶν τε, καὶ πορνικῶν λυγισμάτων, οἷς ἐπέρχεται ἡ προφητικὴ ἀρὰ, οὑτωσὶ λέγουσα· Οὐαὶ οἱ μετὰ κιθάρας, καὶ ψαλτηρίου, τὸν οἶνον πίνοντες, τὰ δὲ ἔργα Κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι (5). Καὶ εἴπου ποτὲ εἶεν τοιοῦτοι ἐν τοῖς Χριστιανοῖς, διορθούσθωσαν· εἰ δὲ μή γε, κρατείτωσαν ἐπ' αὐτοῖς τα παρὰ τῶν πρὸ ἡμῶν κανονικῶς ἐκτεθέντα. Οἷς δὲ ὁ βίος ἐστὶν ἡσύχιος καὶ μονότροπος, ὁ συνταξάμενος (6) Κυρίῳ τῷ Θεῷ (7) ζυγὸν μονήρη ἆραι, καθίσεται κατὰ μόνας καὶ σιωπήσει. Ἀλλὰ μὴν καὶ τοῖς ἱερατικὸν ἐκλεξαμένοις βίον, οὐδόλως ἔξεστι κατ' ἰδίαν γυναιξὶ συνεσθίειν, εἰ μή που μετά τινων θεοφόβων (8) καὶ εὐλαβῶν ἀνδρῶν, καὶ γυναικῶν (9)· ἵνα καὶ αὐτὴ ἡ συνεστίασις πρὸς κατόρθωσιν πνευματικὴν ἀπάγῃ. Καὶ ἐπὶ συγγενῶν δὲ τὸ αὐτὸ ποιείτω(10). Εἰ δὲ καὶ αὖθις ἐν ὁδοιπορίᾳ συμβῇ τὰ τῆς ἀναγκαίας χρείας μὴ ἐπιφέρεσθαι μοναχὸν, ἢ ἱερατικὸν ἄνδρα, καὶ διὰ τὸ ἀναγκαῖον καταλῦσαι βούλεται, εἴτε ἐν πανδοχείῳ, εἴτε ἐν οἴκῳ τινὸς, ἄδειαν ἔχειν αὐτὸν τοῦτο

---

(1) Ματθ. Ἐ. 28. — (2) Π. — καθαίρειν Βευερ. Χ. Τρ. Κ. Ἐ. — (3) ά. Κορ. Ἰ. 23. — (4) Χ. Τρ. — καὶ μὴ διά τινων Σ Ρ. — (5) Ἡσ. Ἐ, 12. — (6) Π. Βευερ. — ὡς συνταξαμένοις Σ. Ρ. — ᾧ δ' ὁ βίος ἐστὶν ἡσύχιος καὶ μονότροπος, ὡς συνταξάμενος Χ. Τρ. — (7) ἡμῶν Σ. Ρ. — (8) Σ Ρ. Χ. Τρ. — θεοφόρων Π. Βευερ. — (9) ἢ καὶ γυναικῶν Σ. Ρ. — (10) ποιείτωσαν Σ. Ρ.

ποιεῖν, ὡς τῆς χρείας κατεπειγούσης, μόνον μετ' εὐλαβείας (1).

—

ΖΩΝΑΡ. Ὁ παρὼν κανὼν κωλύει, μοναχοὺς καὶ ἱερωμένους κατ' ἰδίαν συνεσθίειν γυναιξί· προοιμιάζεται δὲ, καί φησιν, ὅτι πάντα χρὴ τῷ Θεῷ ἀνατίθεσθαι, καὶ χρῆσιν ἐκ τοῦ Ἀποςόλου παράγει, λέγοντος (2)· Εἴτε ἐσθίετε, εἴτε πίνετε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. Εἶτα μεταχειρίζεται τὸν λόγον, φάσκων, ὅτι ὁ Χριστὸς τὰς ἀρχὰς τῶν ἁμαρτημάτων περιαιρεῖν τοὺς πιστοὺς κελεύει· ἐν γὰρ τῷ λέγειν· Ὁ ἐμβλέψας γυναικὶ, πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ, οὐ τὴν μοιχείαν κολάζει μόνον, ἀλλὰ καὶ αὐτὴν τὴν τοῦ πάθους ἀρχήν. Ὅταν γάρ τις περιέργως ἴδῃ, δεξάμενος τὴν τοῦ πάθους ἀρχὴν, τὴν ἐπιθυμίαν δηλαδὴ, τότε αὐτῷ ὁ λογισμὸς κινεῖται πρὸς τὸ ἁμάρτημα· ἔνθεν, φησὶ, λογισμοὺς ὀφείλομεν καθαιρεῖν· καὶ τοῦτο δὲ ἀποστολικὸν, τουτέστι, διὰ τοῦτο χρεωστοῦμεν καταβάλλειν τοὺς λογισμοὺς, καὶ μὴ ἐᾷν αὐτοὺς ἐπαίρεσθ αι καὶ κατεξανίστασθαι ἡμῶν· ἢ καθαίρειν· γράφεται γὰρ καὶ οὕτως, ἀντὶ τοῦ μὴ ἐᾷν μολύνεσθαι τὸν λογισμὸν δι' ἐνθυμήσεων πονηρῶν, ἀλλ' ἀποπέμπεσθαι ταύτας· ἢ καὶ διὰ τῆς παραδοχῆς τῶν ἀτόπων (3) διαλογισμῶν μολυνθέντα καθαίρειν αὐτὸν, ἐκπλύνειν τοῦ μολυσμοῦ διὰ μετανοίας, καὶ μὴ ἐᾷν περαιτέρω χωρῆσαι. Εἰ γὰρ καὶ πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· καὶ ταῦτα τοῦ μεγάλου Παύλου τὰ ῥήματα. Ἔξεστιν οὖν, φησι, τὸ ἐσθίειν διὰ τὸ ζῆν· καὶ οἱ μὲν κατὰ κόσμον βιοῦντες, καὶ γυναιξὶ συζῶντες καὶ τέκνοις, οὐ κωλύονται γυναιξὶ συνεσθίειν, οὐδὲ διαβολῆς αὐτοῖς αἴτιον τοῦτο, εἰ μετ' εὐχαριστίας τῆς πρὸς Θεὸν γίνοιτο, καὶ οὐ μεσολαβοῦσιν ἐν ταῖς τραπέζαις αὐτῶν θυμελικὰ ἐπιτηδεύματα, ἤγουν σατανικὰ ᾄσματα. Τί δὲ ταῦτά εἰσι; Κιθάραι, καὶ λυγίσματα πορνικά· διὰ δὲ τῶν λυγισμάτων, ἢ τὰς ἀσέμνους ὀρχήσεις ᾐνίξατο, ἢ τὰ ἐν ταῖς ᾠδαῖς λυγί-

---

(1) Χ. Τρ. — τὸ, μόνον μετ' εὐλαβείας, οὐ κεῖται παρὰ Π. Βευερ. Σ. Ρ. 'Ε. Κ.
(2) ά. Κορ. Ί, 31. — (3) Χ. Τρ Κ. ὑπόπτων Βευερ.

σματα τῶν φωνῶν· οἷς ἐπέρχεταί, φησι, προφητικὴ ἀρὰ, τὸ, Οὐαὶ οἱ μετὰ κιθάρας καὶ ψαλτηρίου τὸν οἶνον πίνοντες, καὶ τὰ ἑξῆς(1). Εἰ οὖν εἰσι τοιοῦτοί τινες ἐν Χριστιανοῖς, διορθούσθωσαν· εἰ δὲ μὴ, οἱ παλαιοὶ κανόνες κρατείτωσαν ἐπ᾽ αὐτοῖς· καὶ ταῦτα μὲν περὶ λαϊκῶν ὁ κανὼν διετάξατο. Οἷς δέ, φησιν, ὁ βίος ἡσύχιος καὶ μονότροπος, ἀλλὰ μὴν καὶ τοῖς ἱερατικοῖς, οὐκ ἔξεστι κατ᾽ ἰδίαν γυναιξὶ συνεσθίειν. Εἰ δέ ποτε τοῦτο γενέσθαι δεήσει, συμπαρόντων αὐτοῖς τιμίων ἀνδρῶν τε καὶ γυναικῶν, συνεστιαθήσονται γυναιξὶν, ἵνα καὶ ἡ συνεστίασις πρὸς κατόρθωσιν πνευματικὴν ἀπάγῃ· κατορθοῖ γὰρ ὁ οὕτως ἀνυπόπτως συνεσθίων γυναιξὶ, τὸ δοξάζεσθαι τὸν Θεόν. Οἱ γὰρ ὁρῶντες αὐτὸν ἔξω πάσης διατηροῦντα ἑαυτὸν ὑποψίας, δοξάζουσι τὸν Θεὸν, κατὰ τὸν εὐαγγελικὸν λόγον τὸν λέγοντα· Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Καὶ οὐ μόνον ἀλλοτρίαις γυναιξὶ συνεσθίειν ὁ μοναχὸς, ἢ ὁ ἱερωμένος, ἐπὶ παρουσίᾳ τινῶν εὐλαβῶν ἀπαιτεῖται, ἀλλὰ καὶ ὅτε συγγενέσι γυναιξὶ συνεσθίει. Ἐν δὲ ὁδοιπορίαις ἱερωμένος, ἢ μοναχὸς, εἰ μὴ ἔχοι ὅπου ἀναπαύσεται, ἄδεια ἔσται αὐτῷ καὶ ἐν πανδοχείῳ, καὶ ἐν οἴκῳ τινὸς καταλῦσαι, χρείας κατεπειγούσης· πλὴν κἀκεῖ μετ᾽ εὐλαβείας βούλεται ὁ κανὼν καὶ σωφρόνως αὐτοὺς τὴν διαγωγὴν ποιεῖσθαι.


ΒΑΛΣ. Ὁ παρὼν κανὼν κωλύει τοὺς λαϊκοὺς μετὰ θυμελικῶν παιγνίων καὶ ὀρχήσεων ἐσθίειν, καὶ παρεγγυᾶται τοῖς τοιοῦτόν τι ποιοῦσι Χριστιανοῖς διορθοῦσθαι· εἰ δὲ μὴ, κρατεῖν ἐπ᾽ αὐτοῖς τὰ παρὰ τῶν κανόνων προορισθέντα. Τοὺς μέντοι μοναχοὺς, καὶ τοὺς ἱερωμένους, παρακελεύεται μὴ συνεσθίειν μετὰ γυναικῶν κατ᾽ ἰδίαν, κἂν τῇ ἀληθείᾳ ὦσι προσγενεῖς τούτων· ἀλλ᾽ ἐν φωτὶ, καὶ μετὰ εὐλαβῶν τινων, διὰ τὸ μήτε αὐτοὺς ὑπὸ λογισμῶν ἐναντίων κατασείεσθαι (2), μήτε ἄλλους σκανδαλίζειν. Ἐν ὁδοιπορίᾳ δὲ, ἢ ἐν ἑτέρᾳ ἀναγκαίᾳ διακονίᾳ ἀποδημοῦντά τινα ἐκ τούτων, καὶ τὰ πρὸς ζωὴν ἐπιτήδεια μὴ ἔχοντα, διωρίσατο ἀπροκριματίστως καταλύειν ἐν ξενοδοχείῳ, ἢ ἐν ἀλλο-

(1) Ἡσ. Ε΄, 12. — (2) κατασύρεσθαι Χ Τρ.

τρίῳ οἴκῳ, διὰ τὸ κατεπεῖγον τῆς σωματικῆς τροφῆς καὶ ἀναπαύσεως. Καὶ ὁ μὲν σκοπὸς τοῦ κανόνος οὗτος· τὸ προοίμιον δ' αὐτοῦ ἐστιν ἀπὸ τῆς πρὸς Κορινθίους πρώτης ἐπιστολῆς τοῦ μεγάλου Ἀποστόλου Παύλου, οὕτω λεγούσης ἐν μέρει· Εἴτε ἐσθίετε, εἴτε πίνετε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. Τὸ, Ὀφείλομεν καθαίρειν λογισμοὺς, ἀπὸ τῆς πρὸς Κορινθίους δευτέρας ἐπιστολῆς· τὸ, Πάντα ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει, ἀπὸ τῆς πρὸς Κορινθίους πρώτης ἐπιστολῆς· καὶ τὸ, Οὐαὶ οἱ μετὰ κιθάρας καὶ ψαλτηρίου τὸν οἶνον πίνοντες, καὶ τὰ ἑξῆς, ἐκ τῆς τοῦ Ἡσαΐου προφητείας· κανονικὰς δὲ παραδόσεις οἱ Πατέρες φασὶ, τὸν μδ'. καὶ μγ'. τῶν ἁγίων Ἀποστόλων· τὸν ξ'. τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ τὸν ξδ'. τῆς ἐν τῷ Τρούλλῳ.

ΑΡΙΣΤ. Λαϊκοὺς μὲν ἄνδρας συνεσθίειν γυναιξὶν, ἀδιάβλητον· μονοτρόποις δὲ, οὐκ ἔξεστι κατ' ἰδίαν γυναιξὶ συνεσθίειν, εἰ μή που μετὰ θεοφόβων καὶ εὐλαβῶν ἀνδρῶν τε καὶ γυναικῶν. Ἐν ὁδῷ δὲ μοναχὸς, ἢ ἱερατικὸς ἀνὴρ, μὴ ἐπιφερόμενοι τὰ ἀναγκαῖα, ἐν πανδοχείῳ καταλύσουσιν.

Τὸ μὲν μετ' εὐχαριστίας καὶ φόβου Θεοῦ, μὴ διά τινων θυμελικῶν καὶ σατανικῶν ᾀσμάτων, λαϊκοὺς ἄνδρας γυναιξὶ συνεθίειν, τῶν ἀδιαβλήτων ἐστί· τοῖς καὶ βίον ἡσύχιον ἔχουσι, καὶ μονοτρόπως, ὡς συνταξαμένοις Θεῷ καὶ κατὰ μόνας καθίσαι, καὶ σιωπῆσαι, κατ' ἰδίαν ὅλως οὐκ ἔξεστι γυναιξὶ συνεσθίειν, εἰ μή που μετά τινων θεοφόβων ἀνδρῶν τε καὶ γυναικῶν συνεστιαθῆναι θελήσουσιν· ἵνα καὶ αὐτὴ ἡ συνεστίασις πρὸς κατόρθωσιν πνευματικὴν γένηται. Ἐν ὁδῷ δὲ, εἰ τὰ ἀναγκαῖα οὐκ ἐπιφέρονται, ἄδεια δίδοται καὶ μοναχῷ, καὶ ἱερατικῷ ἀνδρὶ, ἐν πανδοχείῳ, εἴτε καὶ ἐν οἴκῳ καταλύειν διὰ τὴν κατεπείγουσαν χρείαν.



ΚΑΝΟΝΕΣ

ΕΚΤΕΘΕΝΤΕΣ ΠΑΡΑ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΜΕΓΑΛΗΣ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

Α΄. ΚΑΙ Β΄. ΣΥΝΟΔΟΥ,

ΤΗΣ ΣΥΣΤΑΣΗΣ ΕΝ ΤΩ ΠΑΝΣΕΠΤΩ ΝΑΩ ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΠΑΝΕΥΦΗΜΩΝ ΑΠΟΣΤΟΛΩΝ.

ΖΩΝΑΡ. Ἡ σύνοδος αὕτη ἐπιγέγραπται οὕτως· Ἡ ἁγία καὶ μεγάλη πρώτη καὶ δευτέρα σύνοδος, ἡ ἐν Κωνσταντινουπόλει συστᾶσα ἐν τῷ πανσέπτῳ ναῷ τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων. Ἀπορεῖν τοίνυν ποιεῖ τοὺς τὴν ἐπιγραφὴν ἀναγινώσκοντας ταύτην (1), πῶς μία οὖσα, *ἡ παροῦσα σύνοδος* (2) πρώτη καὶ δευτέρα καλεῖται. Λέγεται (3) τοίνυν σύνοδον ἐν τῷ ῥηθέντι ναῷ τῶν ἁγίων Ἀποστόλων συγκροτηθῆναι, καὶ διαλεχθῆναι τοὺς ὀρθοδόξους τοῖς ἑτεροδόξοις, καὶ δόξαι τοὺς ὀρθοδόξους ἐπικρατεστέρους, μέλλειν τε γραφῇ παραδοθῆναι τὰ λαληθέντα· τοὺς δὲ αἱρετικοὺς μὴ ἀνασχέσθαι γραφῆναι τὰ δόξαντα, ἵνα μὴ φανεῖεν ἡττηθέντες, καὶ ἐκκηρυχθῶσι τῆς τῶν πιστῶν ὁμηγύρεως· καὶ στασιάσαι διὰ τοῦτο, καὶ ἐς τοσοῦτον τὴν στάσιν αὐτοῖς προελθεῖν, ὡς καὶ μέχρι ξιφουλκίας καὶ φόνων χωρῆσαι, καὶ οὕτω διαλυθῆναι τὴν πρώτην ἐκείνην συνέ-

---

(1) Κ. Βευερ. — Ἀπορεῖν ἐστιν ἐνταῦθα, πῶς κτλ. Χ. Τρ. — (2) Χ. Τρ. οὐ κεῖται τὰ μεταξὺ τῶν * παρὰ Βευερ. καὶ Κ. — (3) Οὕτως ἔχει τὸ προοίμιον τοῦ Ζωναρᾶ παρὰ Κ. ἐν δὲ Χ. Τρ. μετὰ τὸ, δευτέρα λέγεται, ἀναγινώσκεται οὕτω· — Τόδ' ἔχει οὕτως· Σύνοδος ἐν τῷ ῥηθέντι συνεκροτήθη ναῷ, καὶ διειλέχθησαν ὀρθόδοξοι τοῖς ἑτεροδόξοις, καὶ δοξάντων τῶν ὀρθοδόξων ἐπικρατεστέρων, ἔμελλε γραφῆναι τὰ λαληθέντα· ἀλλ' οὐκ ἠνέσχοντο οἱ ἑτερόδοξοι γενέσθαι τοῦτο. εἰς τοσοῦτον δ' ἀντέστησαν πρὸς τὸ γραφῆναι, ὡς καὶ μέχρι ξιφῶν προελθεῖν τοὺς μαχομένους· καὶ οὕτω διελύθη ἡ σύνοδος ἐκείνη, ἀγράφων μεινάντων τῶν λαληθέντων, εἶτ' αὖθις παραῤῥυέντος καιροῦ κτλ. ὡς ἐν τῷ κειμένῳ.

λευσιν, μὴ σχοῦσαν δῆλόν τι ἀποτέλεσμα. Εἶτ' αὖθις παραρρυέντος καιροῦ, δευτέραν ἐν τῷ αὐτῷ ναῷ γενέσθαι συνέλευσιν, καὶ πάλιν περὶ τῶν αὐτῶν γενέσθαι διάλογον, καὶ τότε συγγραφῆναι τὰ λαληθέντα περὶ δογμάτων· καὶ διὰ τοῦτό φασιν αὐτήν, μίαν οὖσαν κυρίως, πρώτην καὶ δευτέραν ὀνομασθῆναι, ὡς δὶς μὲν γεγονυίας τῆς συνελεύσεως τῶν Πατέρων· ἐν δὲ τῇ δευτέρᾳ συγγραφέντων τῶν λαληθέντων καὶ συνδοξάντων, ὅτε καὶ οἱ ὑποτεταγμένοι κανόνες ἐξεφωνήθησαν.

ΒΑΛΣ. Τινὲς τὴν ἐπιγραφὴν ἀναγινώσκοντες, ἀποροῦσι, πῶς μία οὖσα αὕτη ἡ σύνοδος, πρώτη καὶ δευτέρα λέγεται. Λύσις. Ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Φωτίου, τοῦ τὸ νομοκάνονον συνθεμένου, συνεκροτήθη κατὰ τοῦ μακαριωτάτου πατριάρχου Ἰγνατίου οἰκουμενικὴ σύνοδος. Λαληθεισῶν δὲ καὶ δογματικῶν ὑποθέσεων, καὶ ἀλλοίων ἐκκλησιαστικῶν, γέγονε διάστασις καὶ μερισμὸς τῆς συνόδου, ὡς τῶν ἑτεροδόξων μὴ ἀνασχομένων διὰ τὴν ἧτταν ὁμογνωμονῆσαι τοῖς ὀρθοδόξοις. Διά τοι τοῦτο καὶ ἐδέησε τοῖς θείοις Πατράσι γενέσθαι καὶ δευτέραν συνέλευσιν, καὶ γραφῆναι τὰ προλαληθέντα καὶ κυρωθέντα. Ὠνομάσθη οὖν ἐντεῦθεν ἡ τοιαύτη σύνοδος πρώτη καὶ δευτέρα, καὶ οἱ ὑποτεταγμένοι κανόνες ἐξετέθησαν.

Κανὼν Α'.

Πρᾶγμα σεμνὸν οὕτω καὶ τίμιον, καὶ τοῖς μακαρίοις καὶ ὁσίοις Πατράσιν ἡμῶν πάλαι καλῶς ἐπινοηθέν, ἡ τῶν μοναστηρίων οἰκοδομή, κακῶς ὁρᾶται πραττόμενον σήμερον. Τινὲς γὰρ ὄνομα μοναστηρίου ταῖς οἰκείαις περιουσίαις καὶ ὑπάρξεσι περιθέμενοι, καὶ Θεῷ καθαγιάζειν ταύτας ἐπαγγελλόμενοι, κυρίους τε τῶν ἀφιερωθέντων ἑαυτοὺς ἀναγράφουσι, καὶ μόνῃ τῇ προσηγορίᾳ τὸ Θεῖον ἀφοσιοῦν ἐκμηχανᾶσθαι διεγνώκασι. Τὴν αὐτὴν γὰρ ἐξουσίαν καὶ μετὰ τὴν ἀφιέρωσιν, οὐκ ἐρυθριῶσι σφετερίζεσθαι, ἥνπερ ἔχειν οὐκ ἐκωλύοντο πρότερον. Καὶ τοσαύτη καπηλεία προσετρίβη τῷ πράγματι, ὥστε πολλὰ τῶν ἀφιερω-

θέντων, παρ' αὐτῶν γε τῶν ἀφιερωσάντων, καθορᾶται(1) πιπρασκόμενα, θάμβος ὁμοῦ καὶ μῖσος τοῖς ὁρῶσι παρεχόμενα. Καὶ οὐ μόνον οὐκ ἔστιν αὐτοῖς μεταμέλεια, ἐφ' οἷς τῶν ἅπαξ ἀνατεθειμένων Θεῷ, τὴν ἐξουσίαν ἑαυτοῖς ἐπιτρέπουσιν, ἀλλὰ καὶ ἑτέροις ταύτην ἀδεῶς παραπέμπουσιν. Ὥρισεν οὖν διὰ ταῦτα ἡ ἁγία σύνοδος, μηδενὶ ἐξεῖναι μοναστήριον οἰκοδομεῖν ἄνευ τῆς τοῦ ἐπισκόπου γνώμης καὶ βουλῆς. Ἐκείνου δὲ συνειδότος, καὶ ἐπιτρέποντος, καὶ τὴν ὀφειλομένην ἐπιτελοῦντος εὐχὴν, ὡς τοῖς πάλαι θεοφιλῶς νενομοθέτηται, οἰκοδομεῖσθαι μὲν τὸ μοναστήριον, πάντα δὲ τὰ ἐν αὐτῷ προσήκοντα (2), σὺν αὐτῷ ἐκείνῳ, βρεβίῳ ἐγκαταγράφεσθαι, καὶ τοῖς ἐπισκοπικοῖς ἀρχείοις ἐναποτίθεσθαι· μηδαμῶς ἄδειαν ἔχοντος τοῦ ἀφιεροῦντος, παρὰ γνώμην τοῦ ἐπισκόπου, ἑαυτὸν ἡγούμενον, ἢ ἀνθ' ἑαυτοῦ, ἕτερον καθιστᾷν. Εἰ γὰρ ἅπερ τις ἀνθρώπῳ χαρίζεται, τούτων οὐκέτι κύριος εἶναι δύναται, πῶς ἅπερ τις Θεῷ καθαγιάζει καὶ ἀνατίθησι, τούτων ὑφαρπάζειν τὴν κυριότητα παραχωρηθήσεται;

ΖΩΝΑΡ. Ὁ κανὼν οὗτος τοὺς βουλομένους μοναστήρια συνιστᾷν, καὶ ἀφιεροῦν δι' αὐτῶν τὰς οἰκείας περιουσίας Θεῷ, κελεύει μὴ ἄλλως δύνασθαι ἄρχεσθαι τῆς τοῦ μοναστηρίου οἰκοδομῆς, εἰ μὴ ἐν γνώσει γενόμενος ὁ ἐπίσκοπος ὁ κατὰ τόπον, ἐπιτρέψει τὴν οἰκοδομὴν, ποιήσας καὶ τὴν ὀφειλομένην εὐχήν. Καὶ οὕτω τὸ μὲν ἀπαρτίζεσθαι, βρέβιον δὲ γίνεσθαι· καὶ ἐν ἐκείνῳ αὐτό τε τὸ μοναστήριον καταγράφεσθαι, καὶ τὰ ἐν αὐτῷ ἀνήκοντα πάντα, καὶ τὸ βρέβιον τῇ ἐπισκοπῇ ἐναποτίθεσθαι· ὥστε μή τι δύνασθαι ἔκτοτε τὸν τοῦ μοναστηρίου δομήτορα ἀφαιρεῖσθαί τι τῶν παρ' αὐτοῦ ἀφιερωθέντων ἐν αὐτῷ· ἃ γάρ τις τῷ Θεῷ διὰ τῆς μονῆς ἀνατέθεικεν, ἀπεξένωσε τῆς ἐξουσίας αὐτοῦ, καὶ οὐκέτι κύριος αὐτῶν ἐστι. Πῶς οὖν ἐπ' αὐτοῖς

(1) Π. Σ. Ῥ. Κ. Ἑ. — ὁρᾶται Χ. Τρ. — ὁρᾶσθαι Βευερ. — (2) Βευερ Σ. Ῥ. — μετὰ πάντων δὲ τῶν ἐν αὐτῷ προσηκόντων Χ. Τρ. Π. Ἑ. Κ.

τι ὡς δεσπότης ἔκτοτε δυνήσεται διαπράξασθαι; Τοσοῦτον δὲ αὐτὸν ἀπαλλοτριοῖ τῆς μονῆς ὁ κανὼν, ὥστε οὐδὲ ἡγούμενον αὐτὸν ἐᾷ γίνεσθαι τῆς μονῆς παρὰ γνώμην τοῦ ἐπισκόπου, οὐδὲ ἕτερον ἀνθ' ἑαυτοῦ ἡγούμενον προχειρίζεσθαι. Εἰ γὰρ τὰ ἀνθρώποις δωρούμενα οὐκέτι ἀναιτίως ἀφελέσθαι ὁ δωρησάμενος δύναται, τὴν δεσποτείαν τούτων ἐφ' ἕτερον ἀφ' ἑαυτοῦ μεταθεὶς, πῶς τὰ τῷ Θεῷ ἀνατεθειμένα ὑφαρπάσει, καὶ αὖθις πρὸς ἑαυτὸν ἐπισπάσεται τὴν αὐτῶν κυριότητα; Καὶ βιβλίον δὲ τῶν βασιλικῶν δ'. τίτ. ά. κεφ. ά. ἤγουν νεαρὰ έ. περὶ οἰκοδομῆς μοναστηρίων θεσπίζει, καὶ βιβλίον έ. τίτ. β'. κεφάλαιον ιδ'.

ΒΑΛΣ. Ἐν τῷ ζ'. κανόνι τῆς ζ'. συνόδου ἐγράψαμεν διάφορά τινα περὶ τοῦ, πῶς ὀφείλουσι γίνεσθαι τὰ μοναστήρια, καὶ ἀνάγνωθι ταῦτα. Ὁ δὲ παρὼν κανὼν φησιν· ὡς, ἐπεί τινες ὀνόματι μόνῳ μοναστηρίου τὸν Θεὸν δεξιοῦνται, τοῖς πράγμασι δὲ καὶ τῇ ἀληθείᾳ θέλουσι πάλιν κατεξουσιάζειν τῶν ἀφιερωθέντων αὐτῷ, ἐκποιούμενοι ταῦτα καθὼς ἂν θελήσωσιν, οὐκ ὀφείλουσιν ἀνεγείρεσθαι μοναστήρια ἄνευ εἰδήσεως τοῦ ἐγχωρίου ἐπισκόπου. Οὗτος γὰρ, μετὰ τὸ ποιῆσαι τὴν ὀφειλομένην εὐχὴν ἐπὶ τῷ θεμελίῳ, ἤγουν τῷ σταυροπηγίῳ, ἐπιτρέψει μὲν τὴν οἰκοδομὴν, ἐγκαταγράψεται δὲ καὶ ἐν βρεβίῳ τὰ πρὸς οἰκονομίαν τῆς μονῆς καὶ αὐτάρκειαν τῶν μοναχῶν μέλλοντα δοθῆναι παρὰ τοῦ δομήτορος, καὶ αὐτὸ τὸ μοναστήριον, ἐφ' ᾧ ἀποκεῖσθαι τὸ βρέβιον ἐν τῇ ἐπισκοπῇ, καὶ ἀπαλλοτριωθῆναι τὸν προσάγοντα ἐκ τῆς τῶν ἀφιερωθέντων τῷ Θεῷ κυριότητος. Προστίθησι δὲ, ὡς τοσοῦτον ὀφείλει ἀπέχειν ὁ προσαγαγὼν ἐκ τῆς δεσποτείας τῶν προσαχθέντων τῷ Θεῷ, ὡς μηδὲ ἡγουμενεύειν παρὰ γνώμην τοῦ ἐπισκόπου ἐν τῷ μοναστηρίῳ, ἀλλ' οὐδὲ ἕτερον καθιστᾷν ἡγούμενον. Εἰ γὰρ, φησι, τὰ τοῖς ἀνθρώποις δωρούμενα, οὐκέτι ἀφελέσθαι ὁ δωρησάμενος δύναται, πῶς τὰ τῷ Θεῷ ἀνατεθειμένα ὑφαρπάσει, καὶ αὖθις ὑφ' ἑαυτὸν ποιήσεται; Ἠρώτησεν οὖν τις, πῶς παρὰ τὴν τούτου περίληψιν οἱ τῶν μοναστηρίων δομήτορες τυπικά τε ἐκτιθέασι, καὶ οὐ μόνον ἡγουμένους, ἀλλὰ καὶ ἐφόρους ἐν αὐτοῖς καθιστῶσι, καὶ ἔστιν ὅτε ὑποτυποῦσι, σὺν ἑτέροις ἀκανονίστοις τισὶ, καὶ τὸ μὴ ἔχειν πάροδον ἐν αὐτῇ

τὸν κατὰ χώραν ἐπίσκοπον; Καί τινες μὲν εἶπον, πάντα τὰ τυπικὰ, κἂν ὅπως ἔχωσι περιλήψεως, εἶναι ἀνίσχυρα· καὶ τὸ ἅπαξ ἀνατεθὲν τῷ Θεῷ, τελεῖν ἀπολυπραγμονήτως ὑπὸ τὰ ἐπισκοπικὰ δίκαια, κατὰ τὴν τοῦ παρόντος κανόνος περίληψιν. Ἕτεροι δὲ εἶπον, ὀφείλειν κρατεῖν αὐτὰ, ὅτε τοῖς νόμοις καὶ τοῖς κανόσιν ἀκολούθως γεγράφαται. Ἄλλοι δὲ ἤθελον, τότε ταῦτα ἔχειν τὸ ἐνεργὸν, ὅτε σὺν τῷ κανονικῶς τε καὶ νομίμως ἐκτεθῆναι, καὶ παρὰ χειρὸς βασιλικῆς ἐπικυρωθῶσιν. Ἐμοὶ δὲ δοκεῖ, ὡς, ἐπεὶ τὸ ζ΄. κεφ. τοῦ ά. τίτλου τοῦ έ. βιβλίου τῶν βασιλικῶν φησιν· Ὁ συστησάμενος δωρεατικὸν ἐπὶ τῷ εὐκτήριον οἶκον κτισθῆναι, ἢ ξενῶνα, ἢ νοσοκομεῖον, ἀπαιτείσθω καὶ αὐτὸς καὶ οἱ κληρονόμοι αὐτοῦ παρὰ τῶν ἐπισκόπων καὶ οἰκονόμων τὰ ὑποσχεθέντα· διοικούμενα μέντοι κατὰ τὸ δοκοῦν αὐτῷ ἐπ᾽ ἀδείας, ἔχουσιν οἱ δομήτορες τούτων τυπικὰ ἐκτίθεσθαι. Πλὴν ἀπὸ τοῦ λέγειν τὸν νόμον, διοικεῖσθαι τοὺς εὐαγεῖς οἴκους κατὰ τὸ δοκοῦν τῷ κτήτορι, οὐκ ἐφεῖται αὐτῷ ἀκανόνιστά τινα καὶ παράνομα διατάττεσθαι. Φησὶ γὰρ τὸ λθ΄. κεφ. τοῦ ά. τίτ. τοῦ γ΄. βιβλίου τῶν βασιλικῶν· Τοὺς παρὰ τῶν κτητόρων ἐπιλεγέντας εἰς τόπον κληρικῶν, ἀναξίους εὑρισκομένους, ἐκβάλλεσθαι, καὶ ἑτέρους παρὰ τῶν ἐπισκόπων χειροτονεῖσθαι· καὶ τὸ ζ΄. κεφ. τοῦ γ΄. τίτλου τοῦ έ. βιβλίου διορίζεται περὶ τὸ τέλος ταῦτα ῥητῶς· Τῶν κατὰ τόπον ἐπισκόπων ἐποπτευόντων, εἰ καλῶς ἡ διοίκησις προβαίνει, καὶ εἰ εὕρωσι μὴ χρησίμους ὄντας τοὺς διοικητὰς, ἄδειαν ἐχόντων ἄνευ ζημίας ἄλλους ἀντὶ τούτων ἐπιτηδείους ποιεῖν· ὥστε, κἂν ὅπως ἐπιστηριχθῶσι τὰ παρανόμως καὶ ἀκανονίστως τοῖς τυπικοῖς περιεχόμενα, οὐ κρατήσουσιν. Ἔτι ἐρωτήσει τις, εἰ ἄρα ἀπὸ τοῦ διορίζεσθαι τὸν κανόνα, ἔχειν τὸν ἐπίσκοπον τοιαῦτα δίκαια ἐν τῷ κτισθέντι παρά τινος μοναστηρίῳ εἰς τὴν ἐνορίαν αὐτοῦ, καὶ ἀποκεῖσθαι ἐν τοῖς ἀρχείοις τῆς ἐπισκοπῆς τὸ βρέβιον τοῦτο, ἐκχωρεῖται αὐτῷ παραπέμπειν τοῦτο ἔνθα βούλεται, καὶ ἁπλῶς κυριαρχικὸν δίκαιον ἔχειν ἐπ᾽ αὐτῷ; Νομίζω οὖν, ὡς ἐκ τοῦ κανόνος τούτου, οὐκ ἐνεδόθη τῷ ἐπισκόπῳ κατεξουσιάζειν τοῦ μοναστηρίου, ὡς δεσποτικῶς διαφέροντος τῇ ἐκκλησίᾳ αὐτοῦ· ἀλλ᾽ ἔχειν μόνα δίκαια ἐπισκοπικὰ ἐπ᾽ αὐτῷ,

Εἰσὶ, δὲ ταῦτα· ἀνάκρισις τῶν ψυχικῶν σφαλμάτων, ἐπιτήρησις τῶν διοικούντων αὐτὸ, ἀναφορὰ τοῦ ὀνόματος τούτου, καὶ σφραγὶς τοῦ ἡγουμένου. Συντηρηθήσεται οὖν ἡ μονὴ ἐλευθέρα, καὶ καθ' ἑαυτὴν διεξαγομένη, ἀνεκποίητος καὶ ἀδώρητος. Ὁ δὲ κατὰ χώραν ἀρχιερεὺς ἕξει ἐπ' αὐτῇ μόνα τὰ ῥηθέντα ἐπισκοπικὰ δίκαια. Καὶ ἀπὸ μὲν τοῦ παρόντος κανόνος, καὶ ἐξ ἑτέρων διαφόρων νόμων καὶ κανόνων, ἐξεχωρήθη, παρὰ τοῦ βουλομένου ἀνεγείρεσθαι μοναστήριον ἐκ καινῆς, κατὰ τὴν παροῦσαν θεσμοθεσίαν· Ἡ δὲ νεαρὰ τοῦ βασιλέως κυροῦ Νικηφόρου τοῦ Φωκᾶ διορίζεται, μὴ κατασκευάζεσθαι νεωστὶ μοναστήρια, ἢ ξενῶνας, ἢ γηροκομεῖα, ἢ ἄλλους εὐαγεῖς οἴκους, ἀλλὰ τῶν παρόντων ἐπιμελεῖσθαι· καὶ προστίθησι περὶ τὸ τέλος ταῦτα ῥητῶς· Ὥστε ἀπὸ τοῦ νῦν, ὅπερ ἐστὶν ἡ ἀρχὴ τῆς ζ'. Ἰνδικτιῶνος, μηδενὶ ἐξέστω, μὴ τόπους, μὴ ἀγροὺς μοναστηρίοις, ἢ γηροκομείοις, ἢ (1) ξενῶσιν ὁπωσοῦν παραπέμπειν· ἀλλ' οὐδὲ μητροπόλεσιν, ἢ ἐπισκοπαῖς· οὐδὲν γὰρ οὐδὲ ἐν ἐκείναις λυσιτελεῖ (2). Εἰ δέ τινα τῶν φθασάντων εὐαγῶν οἴκων, εἴτε μὴν ἐπισκοπῶν, ἢ μοναστηρίων, τοιαύτης φαύλης ἔτυχον χειρὸς καὶ προνοίας, ὡς ἔρημα τόπων καταλελεῖφθαι, τούτοις γνώμῃ βασιλικῇ καὶ δοκιμασίᾳ ἡ τῶν ἀρκούντων κτῆσις οὐ κωλυθήσεται. Κελλία δὲ, καὶ τὰς καλουμένας Λαύρας ἐν ἐρήμοις οἰκοδομεῖν, μὴ πρὸς κτήσεις καὶ ἀγροὺς ἑτέρους ἐκτεινομένας, ἀλλὰ τῇ περιοχῇ μόνῃ τῇ ἰδίᾳ ὁριζομένας, τοσούτῳ τοὺς βουλομένους οὐκ εἴργομεν, ὅσῳ καὶ δι' ἐπαίνου μᾶλλον τὸ πρᾶγμα τίθεμεν. Ἣν δὴ νεαρὰν ὁ Πορφυρογέννητος κυρὸς Βασίλειος ὁ νέος ἀνῄρεσε διὰ νεαρᾶς αὐτοῦ, ἀπολυθείσης κατὰ μῆνα Ἀπρίλλιον, Ἰνδικτιῶνος ά. ἔτους ,ςυϞέ. καὶ διαλαμβανούσης ταῦτα ῥητῶς· Ἡ ἐκ Θεοῦ βασιλεία ἡμῶν, καὶ παρὰ μοναχῶν ἐπ' εὐλαβείᾳ καὶ ἀρετῇ μαρτυρουμένων, καὶ παρὰ πολλῶν ἄλλων ἀναμαθοῦσα τὴν περὶ τῶν ἐκκλησιῶν τοῦ Θεοῦ καὶ τῶν εὐαγῶν οἴκων, ἢ κατὰ τῶν ἐκκλησιῶν μᾶλλον καὶ τῶν τοιούτων οἴκων, παρὰ τοῦ τῆς βασιλείας ἐπιβάντος κυροῦ Νικηφόρου

(1) Χ. Τρ. — τὸ, ἢ γηροκομείοις, οὐ κεῖται παρὰ Βευερ. καὶ Ἑ. — (2) Χ. Τρ. — λυσιτελὲς Βευερ. Ἑ.

τεθεῖσαν νομοθεσίαν, αἰτίαν καὶ ῥίζαν τῶν παρόντων γενέσθαι κακῶν, καὶ τῆς οἰκουμενικῆς ταύτης ἀνατροπῆς καὶ συγχύσεως, ἅτε μὴ πρὸς ἀδικίαν καὶ ὕβριν τῶν ἐκκλησιῶν μόνον καὶ τῶν εὐαγῶν οἴκων, ἀλλὰ καὶ αὐτοῦ τοῦ Θεοῦ γενομένην, ἄλλως τε δὲ καὶ ἔργῳ τοῦτο βεβαιωθεῖσαν (1)· (ἐξ ὅτου γὰρ τὰ τῆς τοιαύτης ἐκράτησαν νομοθεσίας, οὐδοπωσοῦν οὐδοτιοῦν χρηστὸν ἄχρι καὶ σήμερον τὸ καθ' ἡμᾶς ἀπήντησε βίῳ· ἀλλὰ τοὐναντίον, συμφορᾶς μᾶλλον ἐπέλιπεν εἶδος ὅλως οὐδέν)· θεσπίζει διὰ τοῦ παρόντος ἐνυπογράφου χρυσοβούλλου τὸ, τὴν παροῦσαν νομοθεσίαν ἀργεῖν ἀπὸ τῆς παρούσης ταύτης ἡμέρας, ἀκυρόν τε καὶ ἄπρακτον τοῦ λοιποῦ διαμένειν. Ἐνεργεῖν δὲ τοὺς πρὸ ταύτης κειμένους, περί τε τῶν ἐκκλησιῶν τοῦ Θεοῦ(2) καὶ τῶν εὐαγῶν οἴκων, νόμους. Πρὸς τούτοις γίνωσκε, ὅτι ὁ τρισμακάριστος βασιλεὺς κυρὸς Μανουὴλ ὁ Κομνηνὸς, δωρίσατο διὰ προστάξεως ἀπολυθείσης κατὰ Σεπτέμβριον μῆνα, Ἰνδικτιῶνος ζ'. μὴ ἔχειν ἐπ' ἀδείας τινὰς, λαβόντας, ἢ λαμβάνοντας δωρεὰς ἀκινήτων παρὰ βασιλέων, παραπέμπειν αὐτὰς ἀλλαχοῦ που καθ' οἱονδήτινα τρόπον, εἰ μὴ εἰς πρόσωπα ἀπὸ τῆς συγκλήτου, ἢ ἀπὸ τοῦ στρατιωτικοῦ καταλό γου τυγχάνοντα· εἰ δὲ παρὰ τοῦτο (3) γένηται, ἵνα περιέρχηται τὰ ἀκίνητα εἰς τὸ δημόσιον. Ὡσαύτως καὶ κατὰ τὸν Φεβρουάριον μῆνα τῆς γ'. Ἰνδικτιῶνος, νεαρὰ νομοθεσία γέγονε τοῦ αὐτοῦ βασιλέως τῆς αὐτῆς σχεδὸν περιλήψεως, ἅτινα δὴ προστάγματα ἀνῃρέθησαν διὰ μεταγενεστέρου χρυσοβούλλου τοῦ υἱοῦ αὐτοῦ τοῦ ἀοιδίμου Πορφυρογεννήτου καὶ βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, ἀπολυθέντος κατὰ μῆνα Δεκέμβριον τῆς ά. Ἰνδικτιῶνος τοῦ ‚ςχϞά. ἔτους.

ΑΡΙΣΤ. Παρὰ γνώμην τοῦ ἐπισκόπου, μηδενὶ ἐξέστω μοναστήριον οἰκοδομεῖν· εἰδότος δὲ, καὶ εὐχὴν τελοῦντος, τὸ κτισθὲν μετὰ τῶν αὐτῷ διαφερόντων βρεβίῳ ἐγγραφέσθω· καὶ τῇ ἐπισκοπῇ ἐναποτιθέσθω· καὶ παρὰ γνώμην τοῦ ἐπισκόπου μὴ ἐξέστω τῷ κτίσαντι, ἢ ἡγουμενεύειν, ἢ ἡγούμενον ποιεῖν.

---

(1) Χ. Τρ. — βεβαιωθὲν Ἐ. — (2) Χ. Τρ. — οὐ κεῖται παρὰ Βευερ. καὶ Ἐ. ἀλλὰ λατινιστί. — (3) Χ. Τρ. Ἐ. — εἰ δὲ μὴ οὕτω παρὰ Βευερ.

Κανὼν Β΄.

Ἐπειδή τινες τὸν μονήρη βίον ὑποδύεσθαι σχηματίζονται, οὐχ ἵνα Θεῷ καθαρῶς δουλεύσωσιν, ἀλλ' ἵνα τῇ σεμνότητι τοῦ σχήματος δόξαν εὐλαβείας προσλάβωσι, καὶ τῶν οἰκείων ἐντεῦθεν ἡδονῶν ἄφθονον εὑρήσωσι τὴν ἀπόλαυσιν· (τῶν τριχῶν γὰρ μόνων(1) τὴν ἀποβολὴν ποιούμενοι, ἐν τοῖς οἰκείοις οἴκοις παρεδρεύουσι, μηδεμίαν τῶν μοναχῶν ἀποπληροῦντες ἀκολουθίαν, ἢ κατάστασιν)· ὥρισεν ἡ ἁγία σύνοδος, μηδένα τῶν ἁπάντων τοῦ μοναχικοῦ σχήματος ἀξιοῦν, ἄνευ παρουσίας τοῦ ὀφείλοντος αὐτὸν εἰς ὑποταγὴν ἀναδέχεσθαι, καὶ τὴν ἐπ' αὐτῷ ἡγεμονίαν, καὶ τῆς ψυχικῆς αὐτοῦ σωτηρίας τὴν πρόνοιαν ἐπαγγέλλεσθαι, ἀνδρὸς ὄντος δηλονότι θεοφιλοῦς, καὶ μονῆς προεστηκότος, καὶ ἱκανοῦ σώζειν ψυχὴν, ἀρτίως τῷ Θεῷ(2) προσαγομένην. Εἰ δέ τις φωραθείη ἀποκουρεύων τινὰ χωρὶς, παρουσίας τοῦ εἰς ὑποταγὴν αὐτὸν ὀφείλοντος ἀναλαμβάνειν ἡγουμένου, τοῦτον μὲν καθαιρέσει καθυποβάλλεσθαι, ὡς ἀπειθοῦντα τοῖς κανόσι, καὶ τὴν μοναδικὴν εὐταξίαν διαλύοντα(3)· τὸν δὲ παραλόγως καὶ ἀτάκτως ἀποκουρευθέντα, ἐν ὑποταγῇ καὶ μοναστηρίῳ, ἐν ᾧ ἂν ὁ κατὰ τόπον ἐπίσκοπος δοκιμάσῃ, παραδίδοσθαι. Αἱ γὰρ ἄκριτοι καὶ ἐπισφαλεῖς ἀποκουραὶ, καὶ τὸ μοναχικὸν σχῆμα ἠτίμωσαν, καὶ τὸ τοῦ Χριστοῦ ὄνομα βλασφημεῖσθαι πεποιήκασιν.

—

ΖΩΝΑΡ. Τινὲς διὰ νόσον ἴσως, ἢ διὰ λύπην, ἀποκειρόμενοι, ἢ καὶ διὰ τὴν παρὰ τοῦ κανόνος εἰσαχθεῖσαν αἰτίαν (4), πάλιν ἐν τοῖς οἰκείοις οἴκοις διέτριβον, μή τι μοναχοῖς πληροῦντες ἁρμόδιον. Διὰ τοῦτο τοίνυν ὁ κανὼν οὗτος τῆς συνόδου ἐκπεφώνηται, κελεύων μὴ ἄλλως τινὰ ἀποκείρεσθαι μοναχὸν, εἰ μὴ

(1) καὶ τῶν τριχῶν καὶ μόνων Π. — (2) Χ. Τρ. Βευερ. — τῷ Χριστῷ Π. — (3) Χ. Τρ. Βευερ. — καταλύοντα Π. — (4) τὸ, ἢ καὶ διὰ τὴν . . . αἰτίαν, οὐ κεῖται παρὰ Κ.

παρῇ ὁ ὀφείλων αὐτὸν εἰς ὑποταγὴν ἀναδέξασθαι, καὶ τῆς ψυχικῆς αὐτοῦ σωτηρίας φροντίζειν ἐπαγγελλόμενος, ἀνὴρ δηλαδὴ μονῆς προεστὼς, ἀρετῆς ἐργάτης, ψυχὴν ἄρτι προσερχομένην Θεῷ οἰκονομεῖν πρὸς σωτηρίαν δυνάμενος. Εἰ δέ τις, φησὶ, φωραθείη ἀποκείρων τινὰ, μὴ παρόντος ἡγουμένου τοῦ τοῦτον ἀναδέξασθαι μέλλοντος εἰς ὑποταγὴν, αὐτὸς μὲν καθαιρείσθω, ὡς τοὺς κανόνας παραβαίνων, καὶ τὴν μοναχικὴν εὐταξίαν ἀνατρέπων· ὁ δὲ παραλόγως καὶ μὴ κατὰ τάξιν κανονικὴν ἀποκαρεὶς, εἰς ὑποταγὴν ἐν μοναστηρίῳ παραδιδόσθω, ἐν ᾧ ἂν ὁ ἐπίσκοπος δοκιμάσῃ. Οὕτω γὰρ διὰ τὰς ἀκρίτους καὶ ἐσφαλμένας ἀποκάρσεις, τὸ μὲν μοναχικὸν σχῆμα ἠτίμωται, τὸ δὲ ὄνομα τοῦ Χριστοῦ βλασφημεῖσθαι παρὰ τῶν ἀπίστων συμβαίνει, ὁρώντων μοναχοὺς ζῶντας ἀδιαφόρως καὶ ἀμελῶς· ὥσπερ δοξάζεται παρὰ πάντων ὁ Κύριος, ὅταν ἐναρέτως ὁρῶσι ζῶντας τοὺς ἀνατεθειμένους αὐτῷ, κατὰ τὸ, Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

ΒΑΛΣ. Ἡ ἐν ὑποκρίσει εὐλάβεια μεγάλως κατακρίνεται, καὶ διὰ εὐαγγελικῶν θείων παραγγελμάτων, καὶ διὰ γραφικῶν παραδόσεων. Φασὶν οὖν οἱ Πατέρες· ὡς, ἐπεί τινες εὐλάβειαν ὑποκρινόμενοι, ὑπεισέρχονται τὸν μονήρη βίον, οὐ διὰ τὴν τοῦ Θεοῦ ἐντολὴν, ἀλλὰ διὰ ἀπόλαυσιν τῶν οἰκείων ἡδονῶν, καὶ ἵνα ἀπὸ μόνου τοῦ ἁγίου σχήματος σεμνύνωνται (1), (κάθηνται γὰρ καὶ μετὰ τὴν ἀπόκαρσιν εἰς τὰς κοσμικὰς κατοικίας αὐτῶν), χρεὼν ἐστι μηδένα παρά τινος ἀποκείρεσθαι, εἰ μὴ κατὰ παρουσίαν τοῦ ὀφείλοντος αὐτὸν ἀναδέξασθαι ἡγουμένου, καὶ μέλλοντος κατατάξαι τῇ ἀδελφότητι τοῦ μοναστηρίου αὐτοῦ· ὁ δὲ παρὰ τὴν διαταγὴν ταύτην ποιήσας ἀπόκαρσιν, καθαιρείσθω· καὶ ὁ ἀποκαρεὶς εἰς ὑποταγὴν μοναστηρίου (2) παραδοθήτω, κατὰ δοκιμασίαν τοῦ ἐπισκόπου, ἵνα μὴ, ἐκ τοῦ βλέπειν τοὺς ἀπίστους τὰ τοιαῦτα τολμήματα, βλασφημῆται μὲν τὸ τοῦ Χριστοῦ ὄνομα, ἀτιμάζηται δὲ καὶ τὸ ἅγιον σχῆμα· καὶ ταῦτα μὲν, ὅταν τις καθ' ὑπόκρισιν ἀποκαρῇ. Εἰ δὲ διὰ νόσον, ἢ διὰ λύπην,

(1) Χ. Τρ. — σεμνῶνται Βευερ. 'Ε. — (2) Χ. Τρ. — τοῦ μοναστηρίου Βευερ.

τοῦτο ποιήσει, παραχωρηθήσεται διάγειν εἰς τὰ κοσμικὰ, ἢ μετασχηματισθῆναι; Λύσις. Οὐδαμῶς· ὁ γὰρ κανὼν καθολικῶς ἐξεφωνήθη, καὶ διὰ πάντας τοὺς ὁπωσδήποτε ἀποκειρομένους· ἴδομεν δὲ καὶ πολλοὺς εἰς τὰς τελευταίας σχεδὸν αὐτῶν ἀναπνοὰς ἀποκαρέντας, καὶ μηδὲ εἰδότας διὰ τὴν νόσον τὸ γινόμενον ἐπ᾽ αὐτοῖς, καὶ ὕστερον πολλὰ σπουδάσαντας μετασχηματισθῆναι, διὰ τὴν ἄγνοιαν καὶ τὴν ἀπὸ τῆς νόσου κακότητα, καὶ θέλοντας εἰς τὰ κοσμικὰ διάγειν, καὶ μὴ παραχωρηθέντας, ἀλλὰ καὶ ἐπιτιμηθέντας· ἄλλους δὲ ἀσυμβούλως μετασχηματισθέντας, καὶ αὖθις εἰς τὴν προτέραν μοναδικὴν κατάστασιν καὶ ἄκοντας ὑποστρέψαντας· Τί δέ; ὁ παραλόγως ἀποκαρεὶς, ἤτοι δίχα παρουσίας τοῦ μέλλοντος τοῦτον ἀναδέξασθαι ἡγουμένου, καὶ μέλλων κατὰ δοκιμασίαν τοῦ ἐπισκόπου νῦν πρώτως κατταγῆναι ἐν μοναστηρίῳ, ἀναγκασθήσεται συνθήκας ἑτέρας δοῦναι, καὶ ὁμολογῆσαι προσμένειν ἐν αὐτῷ, ἐφ᾽ ᾧ καὶ ἐσωκουρίτην λογίζεσθαι, ἢ ταῖς προτέραις ἀρκεσθήσεται; Λύσις. Ὁ τοιοῦτος δοκεῖ τὰς συνθήκας δοῦναι εἰς ὃ πρώτως κατετάγη μοναστήριον μετὰ τὴν ἀπόκαρσιν, καὶ ἑτέρας συνθήκας δοῦναι οὐκ ἀναγκασθήσεται· διὰ γὰρ τοῦτο, ὡς ἔοικε, καὶ εἰς πᾶσαν ἀπόκαρσιν πᾶσαι αἱ ἐρωτήσεις καὶ αἱ συνθῆκαι ἐκφωνοῦνται.

ΑΡΙΣΤ. Εἴ τις φωραθείη ἀποκείρων τινὰ, χωρὶς παρουσίας τοῦ ὀφείλοντος αὐτὸν παραλαβεῖν εἰς ὑποταγὴν ἡγουμένου, αὐτὸς μὲν καθαιρείσθω· ὁ δὲ ἀποκαρεὶς, ἐν ὑποταγῇ καὶ μοναστηρίῳ παρὰ τοῦ ἐπισκόπου διδόσθω.

Κανὼν Γ'.

Καὶ τοῦτο κακῶς πραττόμενον, κατὰ πολὺ δὲ χεῖρον παροράσει καὶ ἀμελείᾳ παραπεμπόμενον, τυχεῖν ἐκρίθη διορθώσεως. Εἴ τις (1) οὖν μονῆς προϊστάμενος, τοὺς ὑπ᾽ αὐτὸν τεταγμένους μοναχοὺς ἀποδιδράσκοντας, οὐ μετὰ πολλῆς τῆς ἐπιμελείας ἀναζητείη, ἢ ἐφευρίσκων, οὐκ ἀναλαμβάνοιτο, καὶ τῇ προσηκούσῃ καὶ καταλλήλῳ τοῦ

(1) Τρ. Χρ. — Ἵνα εἴ τις Π. Σ. Ρ. Ε. Κ.

πταίσματος ἰατρείᾳ τὸ νενοσηκὸς ἀνακτᾶσθαι καὶ ἐπιῤῥωννύειν ἀγωνίζοιτο, τοῦτον ὥρισεν ἡ ἁγία σύνοδος ἀφορισμῷ ὑποκεῖσθαι. Εἰ γὰρ ὁ ζώων ἀλόγων τὴν προστασίαν ἐγχειριζόμενος, καὶ τοῦ ποιμνίου καταμελῶν, οὐκ ἀτιμώρητος καταλιμπάνεται· ὁ τῶν τοῦ Χριστοῦ θρεμμάτων τὴν ποιμαντικὴν ἀρχὴν καταπιστευθείς, καὶ ῥᾳστώνῃ καὶ ῥᾳθυμίᾳ τὴν αὐτῶν σωτηρίαν ἀπεμπολῶν, πῶς οὐ δίκας τοῦ τολμήματος εἰσπραχθήσεται (1);

—

ΖΩΝΑΡ. Κανόνες διάφοροι ὥρισαν, μὴ δύνασθαι τοὺς μοναχοὺς τά, ἐν οἷς ἀπεκάρησαν, μοναστήρια καταλιμπάνοντας ἐν ἄλλαις ἀπιέναι μοναῖς, ἢ τῇ δε κἀκεῖσε περιπλανᾶσθαι· ἀλλὰ τοῦτο, φησὶν ὁ κανὼν οὗτος, κακῶς πραττόμενον, χειρόνως δὲ παρορώμενον, διορθούμεθα. Καὶ εἰ μὴ οἱ τῶν μονῶν προϊστάμενοι, ἀφ' ὧν ὑποχωροῦσιν οἱ μοναχοί, πολλὴν ἐπιμέλειαν ποιοῦνται εἰς τὸ ἀναζητεῖν καὶ εὑρίσκειν αὐτούς, καὶ ἀναλαμβάνεσθαι, καὶ ἀγωνίζοιντο καταλλήλως τῷ πταίσματι θεραπεύειν τὸν νοσοῦντα, καὶ σπεύδειν ἀνακτᾶσθαι αὐτὸν καὶ ἐπιῤῥωννύειν, ἀφορίζεσθαι κελεύει αὐτούς. Τοσοῦτον δὲ τοὺς μοναχοὺς ἀπαιτεῖ προσμένειν ταῖς μοναῖς, ὡς τὴν ἐκεῖθεν αὐτῶν ἀναχώρησιν, ἀπόδρασιν ὀνομάσαι, ὅπερ ἐπὶ δούλων καὶ τῶν ἐν εἱρκταῖς, ἢ καὶ δεσμοῖς κατεχομένων, εἴωθε λέγεσθαι. Εἰ γὰρ ὁ ζώων ἀλόγων ποιμὴν ἢ βουκόλος, τῶν ὑπ' αὐτοῦ νεμομένων (2) καταμελῶν, οὐκ ἀτιμώρητος ἐᾶται, πόσῳ μᾶλλον δίκας δώσουσιν οἱ τῶν λογικῶν τοῦ Χριστοῦ θρεμμάτων τὴν ποιμαντικὴν ἐγχειρισθέντες, καὶ ῥαθύμως περὶ τὴν τούτων σωτηρίαν διατιθέμενοι;

ΒΑΛΣ. Ὁ μὲν κά. κανὼν τῆς ζ'. συνόδου οὐ παραχωρεῖ καταλιμπάνειν μοναχούς, ἢ μονασρίας, τὰς ἐν αἷς ἀπεκάρησαν μονάς, καὶ εἰς ἕτερον ἀπέρχεσθαι μοναστήριον, ἄνευ ἀπολυτικῆς γραφῆς τῶν ἡγουμένων αὐτῶν· πλὴν οὐ τιμωρεῖ τούτους. Ὁ δὲ παρὼν κανὼν ἀφορισμῷ καθυποβάλλει τοὺς ἡγουμένους τοὺς μὴ

---

(1) Χ. Τρ. Βευερ. Ἐ. Κ. — Ἐν δὲ Π. ἀναγινώσκεται ἐν τέλει καὶ ταῦτα· Ἀπειθῶν δὲ ὁ ἀνακαλούμενος μοναχός, πρὸς τοῦ ἐπισκόπου ἀφορισθήσεται. — (2) Χ. Τρ. — γενομένων Ἐ. Βευερ.

μετ' ἐπιμελείας ζητοῦντας τοὺς ὑπ' αὐτοὺς μοναχοὺς, μηδὲ ἀναλαμβάνοντας τοὺς ὁπουδήποτε εὑρισκομένους, μήτε μὴν ἀνακτωμένους τὰ ψυχικὰ τούτων ἀῤῥωστήματα. Τοσοῦτον δὲ τοὺς μοναχοὺς ἀπαιτεῖ προσμένειν ταῖς ἰδίαις μοναῖς, ὡς τὴν ἐκεῖθεν αὐτῶν ἀναχώρησιν, ἀπόδρασιν ὀνομάσαι· ὅπερ ἐπὶ δούλων καὶ τῶν ἐν εἱρκταῖς, ἢ δεσμοῖς κατεχομένων, εἴωθε λέγεσθαι. Ὁ μέντοι π'. κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου τιμωρεῖ τὸν ἐπίσκοπον τὸν ἐγκαταστήσαντα μοναχόν τινα ἀπὸ ἑτέρας μονῆς, ἑτέρᾳ ἐνορίᾳ ὑποκειμένης, εἰς ἑτέραν, κληρικὸν ἢ ἡγούμενον· κολάζει δὲ καὶ αὐτὸν τὸν μοναχόν· καὶ ἀνάγνωθι τοῦτον. Τί δέ; τοῦ καθηγουμένου ἀναζητοῦντος τὸν οἰκεῖον μοναχὸν, ἐὰν αὐτὸς ἀποδυσπετῇ, τί γενήσεται; Λύσις. Δι' ἐπισκοπικῶν ἐπιτιμίων ἀναγκασθήσεται ὑποστρέψαι εἰς τὴν ἐν ᾗ ἀπεκάρη μονὴν, εἰ μήπου λέγει τι εὔλογον. Σημείωσαι ταῦτα διὰ τοὺς ξενοκουρίτας μοναχούς· ἀνάγνωθι καὶ τὸν ἐπιόντα κανόνα.

ΑΡΙΣΤ. Εἴ τις ἡγούμενος, τοὺς ἀποδιδράσκοντας μοναχοὺς μὴ ἀναζητείη καὶ ἀναλαμβάνοι καὶ ἰατρεύοι, ἀφοριζέσθω.

Κανὼν Δ'.

Πολυτρόπως ὁ πονηρὸς τοῦ μοναχικοῦ σχήματος τὸ σεβάσμιον ἐπονείδιςον θεῖναι κατηγωνίσατο(1), καὶ πολλὴν(2) εὗρεν εἰς τοῦτο συνδρομὴν, τῆς προκατασχούσης αἱρέσεως τὸν καιρόν. Τὰς γὰρ ἰδίας μονὰς τῇ ἀνάγκῃ τῆς αἱρέσεως οἱ μονάζοντες καταλιμπάνοντες, οἱ μὲν εἰς ἑτέρας, οἱ δὲ εἰς κοσμικῶν ἀνδρῶν μετέπιπτον καταγώγια. Ἀλλὰ γὰρ, ὅπερ αὐτοὺς δι' εὐσέβειαν (3) τότε πραττόμενον μακαριστοὺς ἀπέφαινεν, εἰς ἔθος ἄλογον μεταπεσὸν, καταγελάστους παρίστησι. Πανταχοῦ γὰρ νῦν τῆς εὐσεβείας ἐξηπλωμένης, καὶ σκανδάλων τῆς ἐκκλησίας ἀπηλλαγμένης, ἔτι τινὲς τῶν οἰκείων μοναστηρίων ἀποφοιτῶντες, καὶ, καθάπερ τι ῥεῦμα δυσκάθεκτον, ὧδε κἀ-

(1) ἠγωνίσατο Π. — (2) τὸ, πολλὴν, οὐ κεῖται ἐν Π. — (3) Π. Χ. Τρ. — εὐλάβειαν Βευηρ.

κεῖσε μεταγγιζόμενοί τε καὶ μεταῤῥέοντες, πολλῆς μὲν πληροῦσι τῆς ἀκοσμίας τὰ μοναστήρια, πολλὴν δὲ τὴν ἀταξίαν ἑαυτοῖς συνεισκωμάζουσι, καὶ τῆς ὑποταγῆς τὸ σεμνὸν διασπῶσί τε καὶ καταλυμαίνονται. Ἀλλὰ τούτων τὸ ἄστατον τῆς ὁρμῆς καὶ ἀνυπότακτον ἡ ἁγία σύνοδος ἀνακόπτουσα, ὥρισεν· ἵνα, εἴ τις μοναχὸς τῆς ἰδίας ἀποδράσας μονῆς, εἰς ἕτερον μεταπέσῃ μοναστήριον, ἢ εἰς κοσμικὸν εἰσκωμάσῃ καταγώγιον, αὐτός τε καὶ ὁ τοῦτον ὑποδεξάμενος ἀφωρισμένος εἴη, ἕως ἂν ὁ ἀποφυγὼν ἐπανέλθῃ, ἐξ ἧς κακῶς ἐξέπεσε μονῆς. Εἰ μέντοι γε ὁ ἐπίσκοπός τινας τῶν μοναχῶν, ἐπὶ εὐλαβείᾳ καὶ βίου σεμνότητι μαρτυρουμένους, εἰς ἕτερον μοναστήριον ἐπὶ καταστάσει τῆς μονῆς θελήσει μετακομίσαι, ἢ καὶ εἰς κοσμικὴν οἰκίαν, ἐπὶ σωτηρίᾳ τῶν ἐνοικούντων, δοκιμάσει καταστῆσαι, ἢ ἀλλαχόσε εὐδοκήσει ἐπιστῆσαι (1), τοῦτο, οὔτε τοὺς ὑποδεχομένους, οὔτε τοὺς μοναχοὺς ὑποδίκους ποιεῖ (2).

—

ΖΩΝΑΡ. Τῆς τῶν Εἰκονομάχων ἐπικρατούσης αἱρέσεως, καὶ πάντες μὲν οἱ τῶν σεπτῶν εἰκόνων προσκυνηταὶ καὶ ἐζητοῦντο, καὶ ἐκολάζοντο, πολλῷ δὲ πλέον οἱ μοναχοί. Διὸ καταλιμπάνοντες τὰ ἑαυτῶν μοναστήρια, ἢ εἰς ἑτέρας ἀπῄεσαν μονὰς, ἐκεῖσε κρυπτόμενοι, ἢ καὶ εἰς κοσμικῶν οἰκίας μετέπιπτον. Ἀλλὰ τοῦτο, φασὶν οἱ τῆς συνόδου Πατέρες, μακαρίους μὲν τότε ἐποίει, καλῶς γινόμενον καὶ κατὰ καιρόν· νῦν δὲ εἰς ἔθος γενόμενον ἄλογον, καταγελάστους τοὺς ποιοῦντας αὐτὸ τίθησι. Τῆς ζάλης γὰρ τῆς αἱρέσεως παρελθούσης, καὶ τῆς εὐσεβείας παῤῥησίαν λαβούσης, καὶ πάλιν τῶν οἰκείων ὑποχωροῦντες μονῶν, ὧδε κἀκεῖσε μεταγγίζονται, καθάπερ τι ῥεῦμα μὴ δυνάμενον κατασχεθῆναι, καὶ μεταῤῥέουσι, καὶ πολλῆς ἀκοσμίας πληροῦσι τὰ μοναστήρια. Κόσμος γάρ ἐστι τῶν μονῶν τὸ τοὺς τροφίμους αὐτῶν ἐν ἡσυχίᾳ διάγειν, καὶ προσμένειν αὐταῖς, μηδὲ

(1) Π. Ἐ. Κ. — ἐπιστατῆσαι Χ. Τρ. Βευερ. — (2) ποιῆσαι Σ. Ῥ.

συνεχῶς προϊέναι. Πολλὴν δὲ τὴν ἀταξίαν ἑαυτοῖς συνεισκωμάζουσι, τουτέστιν ἀτάκτως εἰσφέρουσιν. Ἵνα γὰρ δείξῃ τὸ, ἡδέως αὐτοὺς πρὸς τὴν ἀταξίαν διακεῖσθαι, τῇ λέξει τοῦ κωμάζειν ἐχρήσατο· κωμάζειν γάρ ἐστι τὸ μετὰ αὐλῶν καὶ κιθάρας καὶ ᾠδῶν τὸν οἶνον πίνειν. Ὡς γοῦν οἱ οὕτω πίνοντες ἥδονται, τὸν ὅμοιον τρόπον, φασὶ, καὶ οὗτοι πρὸς τὴν ἀτιμίαν ἡδέως διάκεινται, καὶ τῆς ὑποταγῆς τὸ σεμνὸν διασπῶσι, καὶ καταλυμαίνονται. Ἓν γὰρ σῶμα τῆς ἀδελφότητος οὔσης, ἧς ἡ ὑποταγὴ σεμνότης καὶ καύχημα, οἱ ἐκ ταύτης ἀποῤῥηγνύμενοι διασπῶσι τὸ σεμνύνον αὐτὴν, καὶ εἰς λύμην τοῦ ὅλου σώματος γίνονται. Διό, φασιν, ὥρισεν ἡ ἁγία σύνοδος, τοὺς τῶν ἰδίων μονῶν ἐκδιδράσκοντας, κἂν εἰς ἕτερα μεταπέσωσι μοναστήρια, κἂν εἰς κοσμικὰ εἰσκωμάσωσι καταγώγια, κἀκείνους καὶ τοὺς ὑποδεξαμένους αὐτοὺς ἀφωρισμένους εἶναι, ἕως ἂν ἐπανέλθωσιν οἱ ἀποφυγόντες εἰς τὴν οἰκείαν μονήν. Εἰ δὲ ὁ κατὰ χώραν ἐπίσκοπός τινας τῶν μοναχῶν ἐπ' ἀρετῇ μαρτυρουμένους συνίδῃ εἰς ἑτέραν μονὴν ἐπὶ καταστάσει αὐτῆς καὶ ὠφελείᾳ τῶν ἐν αὐτῇ μεταγαγεῖν, ἢ καὶ εἰς κοσμικὴν οἰκίαν δοκιμάσῃ καταστῆσαι, ἢ ἀλλαχόσε εὐδοκήσει ἐπιστῆσαι, οὔτε οἱ μοναχοὶ, οἱ οὕτω μετατιθέμενοι, οὔτε οἱ τούτους δεχόμενοι, τῷ ἀφορισμῷ ὑπόδικοι ἔσονται.

ΒΑΛΣ. Τὰ διὰ τὴν κακίαν καὶ τὴν ἐπίθεσιν τῶν Εἰκονομάχων συμπεσόντα δεινὰ τοῖς μοναχοῖς, ἐπονείδιστον ἀπειργάσαντο τὸ μοναχικὸν σεβάσμιον σχῆμα, φησὶν ὁ κανών. Κατέλιπον γὰρ τὰς ἰδίας μονὰς οἱ μονάζοντες διὰ τὴν τῶν αἱρετικῶν ἀπειλήν· καὶ οἱ μὲν εἰς ἕτερα μετέπεσον μοναστήρια· οἱ δὲ εἰς κοσμικὰ κατέλυσαν καταγώγια. Καὶ τότε μὲν ἀνεύθυνον ὑπῆρχε τὸ γινόμενον· κατήντησε δὲ τοῦτο εἰς γέλωτα τοῖς πολλοῖς· Παυθείσης γὰρ τῆς ἀπὸ τοῦ διωγμοῦ τῶν Χριστιανῶν ἀπειλῆς, διὰ τὸ ὑφαπλωθῆναι τὴν ὀρθοδοξίαν, τινὲς τῶν μοναχῶν ἀνερυθριάστως τολμῶσι ποιεῖν, ἅπερ διὰ τὴν ἀνάγκην ἀκινδύνως ἐγίνοντο παρά τινων. Τῷ τοι καὶ ὑποχωρεῖν(1) ἐκ τῶν οἰ-

(1) ὑποχωροῦσιν Χ. Τρ.

κείων ἀποκάρσεων, καὶ παρὰ ταῖς πόλεσι μετὰ λαϊκῶν διατρίβειν οὐκ αἰσχύνονται, προφασιζόμενοι καὶ παρὰ τῶν πρὸ αὐτῶν μοναχῶν τοιαῦτα πολλὰ γίνεσθαι. Καὶ ἐπεὶ τοῦτο ἀνυποταξίαν κατηγορεῖ τῶν μοναχῶν, καὶ τὴν κατάστασιν τῶν μοναστηρίων λυμαίνεται, ὥρισεν ἀφωρισμένους εἶναι, τόν τε ἀπὸ τῆς ἐν ᾗ ἀπετάξατο μονῆς ἀποδράσαντα μοναχὸν, καὶ εἰς ἕτερον δεχθέντα μοναστήριον, ἀλλὰ μὴν καὶ τὸν τοῦτον δεξάμενον καθηγούμενον, ἕς τ᾽ ἂν ὁ ἀποφυγὼν μοναχὸς ὑποστρέψῃ εἰς τὴν οἰκείαν μονήν. Καὶ ταῦτα μὲν, ὅταν τοιοῦτόν τι γένηται χωρὶς ἐπισκοπικῆς εἰδήσεως. Εἰ δὲ ὁ κατὰ χώραν ἐπίσκοπος κατανοήσει τήνδε, τυχὸν, τὴν μονὴν μὴ ἔχειν μοναχοὺς εὐλαβεῖς, καὶ ἱκανοὺς ἐκ τῶν οἰκείων πράξεων καὶ ἄλλους πρὸς σωτηρίαν μεταγαγεῖν, καὶ δοκιμάσει συμφέρον εἶναι μετενεχθῆναι τόνδε τὸν μοναχὸν ἀφ᾽ ἧς ἀπεκάρη μονῆς εἰς ἑτέραν, ἢ καὶ ἐγκαταστῆσαι εἰς κοσμικὰς οἰκίας οἰκονόμους, διὰ σωτηρίαν τῶν κατοικούντων ἐν αὐτῇ, ἢ καὶ ἀλλαχοῦ που ἐπιστατῆσαι, γενήσεται τοῦτο ἀπαρεμποδίστως· μήτε τῶν μοναχῶν, μήτε τῶν ὑποδεχομένων αὐτοὺς ὀφειλόντων ὅλως προκριματισθῆναι. Τούτων οὕτως ἐχόντων, εἶπόν τινες ἐναντιοῦσθαι ταῦτα τοῖς θεσπισθεῖσι ὑπὸ τοῦ π΄. κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ διοριζομένοις, τὸν τοιοῦτόν τι ποιοῦντα ἐπίσκοπον, καὶ ὑποδεχόμενον ἀπὸ ἀλλοτρίου μοναστηρίου μοναχὸν, καὶ ποιοῦντα αὐτὸν κληρικὸν, ἢ καθηγούμενον, ἀπὸ τῆς τῶν λοιπῶν ἀδελφῶν κοινωνίας χωρίζεσθαι, καὶ τῇ τοῦ ἰδίου λαοῦ κοινωνίᾳ ἀρκεῖσθαι· τὸν δὲ μοναχὸν, μηδὲ κληρικὸν εἶναι μηδὲ καθηγούμενον. Ἀλλ᾽ οὐκ εἰσὶν, ὡς ἐμοὶ δοκεῖ, ἐναντία· ἐκεῖνος μὲν γὰρ ὁ κανὼν κολάζει τὸν ἐπίσκοπον τὸν ἀπὸ ἀλλοτρίας ἐνορίας δεχόμενον οἱονδήτινα μοναχὸν, καὶ καθιστῶντα τοῦτον πρὸς κλήρωσιν, ἢ ἡγουμενείαν μονῆς διαφερούσης αὐτῷ, χωρὶς εἰδήσεως τοῦ προτέρου ἐπισκόπου αὐτοῦ· ὡσαύτως τιμωρεῖ καὶ τὸν μοναχόν. Ὁ δὲ παρὼν ἐκχωρεῖ τῷ ἐπισκόπῳ, ἀπὸ μονῶν δύο, διαφερουσῶν αὐτῷ (1), μεταθέσεις ποιεῖν μοναχῶν κατὰ τὸ δόξαν τούτῳ. Γίνωσκε δὲ ὅτι γέγονε καὶ σημείωμα

(1) Χ. Τρ. — ἀπὸ τῶν δύο διαφερουσῶν αὐτοῦ Βευερ. (αὐτῷ) Ἐ.

συνοδικὸν, ἐπὶ τῆς ἐφημερίας τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Λουκᾶ, χάριν τοῦ ἀποκριματίστως καθίστασθαι* (1) καθηγουμένους εἰς μοναστήρια ὑποκείμενα τῇ ἐνορίᾳ τοῦ πατριάρχου, μὴ ἔχοντα ἱκανοὺς εἰς προστασίαν μοναχοὺς, ἀπὸ ἑτέρας μονῆς, οὔσης ἐκ τῆς αὐτῆς ἐνορίας, κἂν τὰ τυπικὰ τούτων διορίζωνται ξενοκουρίτην μὴ γίνεσθαι καθηγούμενον. Τὸ μέντοι παρὰ τοῦ κανόνος διορισθὲν περὶ τοῦ κατατάττεσθαι εἰς κοσμικὰς κατοικίας (2), ἢ ἀλλαχοῦ, παρὰ τοῦ ἐπισκόπου μοναχόν τινα ἐνάρετον, ὑποκείμενον αὐτῷ, διὰ ψυχικὴν σωτηρίαν τῶν ἐν αὐτῇ, μὴ δόξῃ σοι καινόν. Τοῖς γὰρ ἱεροῖς καὶ θείοις κανόσι μόνης τῆς ψυχικῆς τῶν ἀνθρώπων σωτηρίας ἐμέλησε, καὶ ἑτέρου παντελῶς οὐδενός. Ὁ γοῦν κατὰ Θεὸν ἀναστρεφόμενος, ἀπὸ τοῦ τόπου οὐ παραβλαβήσεται, ἀλλὰ καὶ τοὺς σὺν αὐτῷ ὠφελήσει τὰ μέγιστα. Ἵνα τί γοῦν οὐ γενήσεται κατὰ τὸν κανόνα; Διὰ γὰρ τοῦτο καὶ ὁ αὐτὸς ἁγιώτατος πατριάρχης κὺρ Λουκᾶς ἐπέτρεψε τῷ μοναχῷ καὶ ἱερεῖ ἐκείνῳ κυρῷ **Μακαρίῳ**, τῷ Ἱεροσολυμίτῃ, διάγειν διηνεκῶς μετὰ τοῦ μακαρίτου πρωτονοβιλισιμοϋπερτάτου (3) καὶ λογοθέτου τοῦ δρόμου, κυροῦ Μιχαὴλ τοῦ Ἁγιοθεοδωρίτου, καὶ συνταξειδεύειν μετ' αὐτοῦ, καὶ τὰ τῶν γραμματικῶν(4) ἐνεργεῖν. Σημείωσαι οὖν, ὅτι κατὰ προτροπὴν καὶ δοκιμασίαν ἐπισκοπικὴν, πολλῷ δὲ πλέον κατὰ βασιλικὴν, καὶ μοναχοὶ καὶ κληρικοὶ ἀποκριματίστως ἐνεργήσουσι τὰ τούτοις ἐπιτραπησόμενα, οἷα καὶ ἂν ὦσιν.

ΑΡΙΣΤ. Εἴ τις μοναχὸς, τῆς ἰδίας ἀποδράσας μονῆς, ἢ εἰς ἕτερον μεταπέσοι μοναστήριον, ἢ εἰς κοσμικὸν εἰσκωμάσοι καταγώγιον, αὐτός τε, καὶ ὁ ὑποδεξάμενος, ἀφοριζέσθω, ἕως ἐπανέλθοι· ὁ δὲ παρ' ἐπισκόπου ὁπουδήποτε καταστὰς, ἀναιτίατος.

Κανὼν Ε΄.

Τὰς ἀκρίτους καὶ ἀδοκιμάστους ἀποταγὰς ἐπὶ πολὺ τὴν μοναχικὴν εὐταξίαν λυμαινομένας εὑρίσκομεν. Προπε-

(1) Χ. Τρ. — οὐ κεῖται παρὰ Βευερ. καὶ Ἐ. — (2) Χ. Τρ. Κ. — εἰς κοσμικὸν καταγώγιον Βευερ. — (3) Βευερ. — παρὰ δὲ Ἐ. οὕτω· ἀπ. ἡγουμ. ὑπερτ. ἐν δὲ, Χ. Τρ. εὕρηται γρῖφος δυσανάγνωστος. — (4) γραφέων Ἐ.

τῶς γάρ τινες εἰς τὸν μονήρη βίον ἑαυτοὺς ἐπιῤῥίπτοντες, καὶ πρὸς τὸ τραχὺ καὶ ἐπίπονον κατολιγωροῦντες τῆς ἀσκήσεως, ἐπὶ τὸν φιλόσαρκον καὶ ἡδονικὸν(1) βίον, ἀθλίως πάλιν ἐπαναστρέφουσιν. Ὥρισεν οὖν διὰ τοῦτο ἡ ἁγία σύνοδος, μηδένα τοῦ μοναχικοῦ καταξιοῦσθαι σχήματος, πρὶν ἂν ὁ τῆς τριετίας χρόνος εἰς πεῖραν αὐτοῖς ἀφεθεὶς, δοκίμους αὐτοὺς καὶ ἀξίους τῆς τηλικαύτης βιοτῆς παραστήσῃ(2). Καὶ τοῦτο κρατεῖν παντὶ τρόπῳ παρεκελεύσατο· πλὴν, εἰ μήπου τις βαρεῖα προσπεσοῦσα νόσος, τὸν χρόνον ἀναγκάσῃ συσταλῆναι τῆς δοκιμασίας· ἢ εἰ μή που τις εἴη ἀνὴρ εὐλαβὴς, καὶ τὸν μοναχικὸν βίον ἐν τῷ κοσμικῷ διανύων σχήματι. Ἐπὶ γὰρ τοῦ τοιούτου ἀνδρὸς, εἰς ἀπόπειραν παντελῆ καὶ ὁ ἑξαμηνιαῖος ἀρκέσει χρόνος. Εἰ δέ τις παρὰ ταῦτα διαπράξεται, τὸν μὲν ἡγούμενον τῆς ἡγουμενείας ἐκπίπτοντα, παιδείαν τῆς ἀταξίας τὴν ἐν ὑποταγῇ διαγωγὴν ἐφευρίσκειν· τὸν δὲ μονάσαντα, ἐν ἑτέρᾳ μονῇ, τὴν μοναχικὴν ἀκρίβειαν φυλαττούσῃ, παραδίδοσθαι·

ΖΩΝΑΡ. Ὁ παρὼν κανὼν οὐδένα βούλεται ἀποκείρεσθαι, πρὶν ἢ δοκίμιον ἑαυτοῦ δώσῃ. Τινὲς γάρ, φησι, προπετῶς εἰς τὸν μοναχικὸν βίον ἑαυτοὺς ἐπιῤῥίπτοντες, ἀντὶ τοῦ, οὐ μετὰ κρίσεως, ἀλλ' ἀπροσέκτως εἰσωθοῦντες· ὥσπερ γὰρ τὸ ῥιπτόμενον οὐκ εὐκόσμως, ἀλλ' ὡς ἔτυχε κεῖται, οὕτω κἀκεῖνοι ὡς ἐῤῥιμένοι εἰσὶ, καὶ οὐ κατὰ κόσμον καὶ τάξιν διάγουσιν. Ἀπαγορεύοντες γὰρ πρὸς τὸ τραχὺ καὶ ἐπίπονον τῆς ἀσκήσεως, πάλιν ἐπὶ τὸν φιλόσαρκον καὶ φιλήδονον βίον ἐπαναστρέφουσι. Διὸ, ἵνα μὴ ταῦτα γίνωνται, ὥρισεν ἡ σύνοδος ἐπὶ τριετίαν δοκιμάζεσθαι τοὺς προσερχομένους ἐπὶ τὸ μονάσαι· καὶ ὅταν διὰ τοῦ τοσούτου χρόνου δῶσι πεῖραν ἑαυτῶν, καὶ δόκιμοι φανῶσι, καὶ ἄξιοι τοῦ μοναχικοῦ βίου, τότε τοῦ σχήματος αὐτοὺς ἀξιοῦσθαι, εἰ μή-

---

(1) Π. — φιλήδονον Ἑ. Κ. — (2) Βευερ. Χ. Τρ. — καταστήσῃ Π. Ἑ. Κ.

που τις ἐν τῷ μέσῳ συμβαίη βαρεῖα νόσος, καὶ θάνατον ἀπειλοῦσα· τότε γὰρ ὁ τῆς δοκιμασίας καιρὸς συσταλήσεται. Εἰ δέ τις ἀνὴρ προσέλθῃ εὐλαβής, καὶ ἐν τῷ κόσμῳ κατὰ μοναχοὺς ζῶν, καὶ δῆλος κἀκεῖνος ᾖ, καὶ τὸ θεοφιλὲς τῆς αὐτοῦ βιοτῆς, τηνικαῦτα εἰς ἀπόπειραν αὐτοῦ καὶ δοκιμασίαν ἡ σύνοδος ἀρκοῦντα ἐδοκίμασε τὸν ἑξαμηνιαῖον χρόνον (1). Ἀλλ' ἔνιοι τῶν ἡγουμένων νυνὶ τὰ οἰκεῖα θελήματα πρὸ τῶν κανόνων τιθέασι, καὶ τοὺς μὲν ἄρτι ἐπιδημήσαντας αὐτίκα κείρουσι· τοὺς δὲ, μετὰ βραχείας ἡμέρας, καὶ ταῦτα ἀνθρώπους οὐδ' ὅ, τι ἐστὶ τὸ μοναχικὸν εἰδότας ἐπάγγελμα· καὶ οὐδὲ τὸ ἐπιτίμιον τοῦ κανόνος ἀναστέλλει αὐτοὺς τῆς ἀλόγου ὁρμῆς αὐτῶν, ὅπερ ἐστὶ τῆς ἡγουμενείας ἔκπτωσις, καὶ εἰς ὑποταγὴν αὖθις ἀναστροφὴ, διὰ παιδείαν τῆς ἀταξίας. Τὸν δὲ ἀκρίτως μονάσαντα καὶ παρὰ τὸν τεταγμένον καιρὸν, ὁ κανὼν εἰς ἑτέραν κελεύει μονὴν παραδίδοσθαι, μοναχικὴν τηροῦσαν ἀκρίβειαν.

ΒΑΛΣ. Πολλάκις τινὲς, φασὶν οἱ Πατέρες, διὰ θλίψιν, ἢ ἑτέραν ὀλιγωρίαν τινὰ, τὸν μονήρη βίον προπετῶς ὑποδυόμενοι, καὶ μὴ δυνάμενοι καρτερῆσαι τὸ ἐπίπονον τῆς ἀσκήσεως, μεταμέλονται, καὶ πρὸς τὴν προτέραν κοσμικὴν διαγωγὴν κακῶς ὑποστρέφουσιν. Ὥρισαν οὖν, μηδένα καταξιοῦσθαι τοῦ μοναχικοῦ σχήματος πρὸ δοκιμασίας καὶ ἐξετάσεως (2) τῆς διαγωγῆς τοῦ ζητοῦντος αὐτὸ, ἀλλ' ἐπὶ τριετίαν δοκιμάζεσθαι, καὶ οὕτω λαμβάνειν τὸ μοναχικὸν σχῆμα. Τούτου γὰρ οὕτω γινομένου, αὐτός τε διὰ τὴν ὀλιγωρίαν οὐ μεταμεληθήσεται, ἀλλ' ὁλοψύχως τὸ μοναχικὸν ἀναδέξεται σχῆμα, καὶ εἰ ἀπαρέσκεται, ἀπροκριματίστως ἀναχωρήσει ἀπὸ τῆς μονῆς, καὶ πρὸς τὸν κοσμικὸν ὑποστρέψει βίον· καὶ ὁ καθηγούμενος δὲ, ἀπόπειραν λαβὼν ἀκριβῆ διὰ τοῦ τοσούτου χρόνου τῆς τούτου ἀναστροφῆς, ἓν ἐκ τῶν δύο προέληται, δηλονότι, ἢ ἀποκείρῃ αὐτὸν, ὡς ἄξιον, ἢ ἐπιτρέψῃ ὑποχωρῆσαι, ὡς ἀδόκιμον· τοῦτο δὲ παρεκελεύσαντο κρατεῖν εἰς τοὺς ὑγιαίνοντας. Εἰ γάρ τις διὰ νόσον βαρεῖαν θελήσει ἀποκαρῆναι, οὐ κωλυθήσεται διὰ τὸν χρόνον

(1) Βευερ. Κ. — καιρὸν, Χ. Τρ. — (2) Χ. Τρ. — κατεξετάσεως Ἐ. Βευερ.

τοῦτο ποιῆσαι, ἀλλ' ἀπεντεῦθεν μετασχηματισθήσεται. Εἰ μέντοι βούληταί τις εὐλαβὴς μονάσαι, καὶ ἀπὸ τῆς ἐν τῷ κόσμῳ διαγωγῆς αὐτοῦ κρίνεται πρὸς τοῦτο ἄξιος, τοῦτον οὐκ ἐπὶ τριετῆ χρόνον, ἀλλ' ἐπὶ ἑξαμηνιαῖον δοκιμάζεσθαι χρή. Τὸν δὲ παρὰ ταῦτα διαπραξάμενον καθηγούμενον, ὥρισαν ἐκπίπτειν ἀπὸ τῆς ἡγουμενείας, καὶ γίνεσθαι ὑποτακτικόν· ἀλλὰ καὶ τὸν ἀποκαρέντα παραδίδοσθαι εἰς ἑτέραν ἀκριβεστέραν μονήν. Ταῦτα τοῦ κανόνος διοριζομένου, λόγος ἐγένετο κατὰ διαφόρους καιρούς, περὶ τοῦ πῶς ὀφείλουσι δοκιμάζεσθαι οἱ τὸν μονήρη βίον ἐπιλεξάμενοι. Τινῶν γὰρ εἰσελθόντων εἰς μοναστήρια, καὶ ῥασοφορησάντων, ἴσως καὶ μετὰ τρισαγίου ἐν ναῷ, καὶ μετονομασθέντων, καὶ ἁπλῶς κατὰ μοναχοὺς ἀναστρεφομένων ἐντός τε καὶ ἐκτὸς τῆς μονῆς· πρὸ δὲ τοῦ τελειωθῆναι διὰ τῆς μοναχικῆς (1) ἀποκάρσεως, μετασχηματισθέντων, καὶ εἰς κοσμικὴν ὑποστρεψάντων διαγωγήν, ἔστι δ' ὅτε καὶ νομίμως γυναιξὶ συζευχθέντων, εἶπόν τινες, μηδὲν αὐτοὺς ἀπεικὸς ποιῆσαι, ἀλλ' ἔχειν ἐπ' ἀδείας, ἐντὸς τῆς κανονικῆς τριετίας, πρὸ τῆς ἀποκάρσεως δηλαδή, ἐξέρχεσθαι τῆς μονῆς ἀπροκριματίστως, καὶ ἀποτίθεσθαι μὲν τὰ μοναχικὰ ἄμφια, λαϊκὰ δὲ ἐνδύεσθαι· ὅτι καὶ ὁ κανὼν περὶ τῶν ἀποκειρομένων πρὸ τῆς τριετίας θεσπίζει, οὐ μὴν περὶ τῶν δοκιμαζομένων, καὶ ἔτι ὄντων ῥασοφόρων. Ἕτεροι δὲ εἶπον, ὡς ὁ κανὼν μὲν μοναχικὸν σχῆμα καλεῖ τὴν ἀπόκαρσιν· οὐ διορίζεται δὲ τὴν δοκιμὴν γίνεσθαι μετὰ μοναχικῶν, καὶ ῥίπτειν ταῦτα, καὶ κοσμικὰ ἐνδύεσθαι, καὶ ἀναχωρεῖν· τῷ τοι καὶ ἀναφαίνεται ὀφείλειν τὸν δοκιμαζόμενον μετὰ λαϊκῶν ἀμφίων δοκιμάζεσθαι· ὁ γὰρ ἅπαξ τὰ μοναχικὰ ἐνδυσάμενος, οὐ παραχωρηθήσεται, χθὲς μὲν κατὰ μοναχοὺς ἐπὶ ἀγορᾶς ἀναστρέφεσθαι, σήμερον δὲ κατὰ λαϊκοὺς θεατρίζεσθαι, καὶ οἷον ἐμπαίζειν, κατὰ σκηνικούς, τὸ ἅγιον σχῆμα· μᾶλλον μὲν οὖν ἀναγκασθήσεται καὶ ἄκων ἀποκαρῆναι. Λέγοντες δὲ ταῦτα, κατεσκεύαζον τὸν λόγον αὐτῶν ἀπὸ τοῦ γ'. κεφ. τοῦ ιά. τίτλου τοῦ παρόντος συντάγματος, λέγοντος περὶ τὰς ἀρχὰς οὕτως· Ἡ δὲ ιγ'. διάτ. τοῦ ά. τίτλου τῶν νεαρῶν φησιν, ὅτι οἱ παραγ-

(1) Ἐ. Χ. Τρ. — μοναδικῆς Βευερ.

γέλλοντες (1) εἰς μονήρη βίον, εἴτε ἐλεύθεροι, εἴτε δοῦλοι, πρότερον τριετίαν προσκαρτερείτωσαν, κουρᾷ τε καὶ ἐσθῆτι χρώμενοι τῶν λαϊκῶν, καὶ τὰς Γραφὰς μανθάνοντες, καὶ τὴν τύχην αὐτῶν ὁμολογοῦντες, καὶ τὴν αἰτίαν τοῦ θέλειν μονάσαι, μήποτε πονηρά ἐστι, καὶ νουθετείσθωσαν. Καὶ εἰ προσκαρτερήσουσι τὴν τριετίαν, καὶ ἄξιοι φανῶσι τοῦ μονάσαι, τότε κειρέσθωσαν· καὶ ἤθελον ἐκ ταύτης τῆς νεαρᾶς, οὔσης Ἰουστινιανείου, τὴν δοκιμὴν γίνεσθαι μετὰ λαϊκῶν ἀμφίων. Προσετίθουν δὲ, ὡς, ἐπεὶ τὸ ιγ'. κεφ. τοῦ ά. τίτλου τοῦ δ'. βιβλίου τῶν βασιλικῶν, ὅπερ ἐστὶ κεφ. ξδ'. τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς, διορίζεται τοὺς τολμήσαντας μιμήσασθαι σχῆμα μοναχοῦ, ἢ ἀσκητρίας, καὶ κατὰ σκηνικοὺς ἐμπαῖξαι τοῦτο οἱῳδήτινι τρόπῳ, σωματικῶς τιμωρεῖσθαι, καὶ ἐξορίζεσθαι· πολλῷ δὲ πλέον κολασθήσεται ὁ ἐπαγγειλάμενος μοναδικὴν διαγωγὴν, καὶ εἰς μοναστήριον ἀπελθὼν, καὶ μοναχικὴν ἐσθῆτα περιβαλλόμενος, ἐὰν ὕστερον ἀνερυθριάστως εἰς λαϊκοὺς μετασχηματισθῇ. Ἄλλοι δὲ εἶπον, ὡς οἱ ῥασοφορήσαντες μετὰ τρισαγίου, οὐ παραχωρηθήσονται μετασχηματισθῆναι εἰς λαϊκούς· οἱ δὲ χωρὶς τούτου μετασχηματισθέντες, ἀδιστάκτως ἐντὸς τῆς τριετίας, τῶν μὲν μοναχικῶν ἀμφίων σχολὴν καταψηφίσονται, ἐνδυθήσονται δὲ λαϊκά· ὅτι καὶ γυναῖκες πενθοῦσαι τοὺς ἀποβεβιωκότας ἄνδρας αὐτῶν, μελανειμονοῦσιν ἐπὶ καιρὸν, καὶ ἀκινδύνως αὖθις τὰ κοσμικὰ περιτίθενται· καὶ αὐτοὶ μὲν ταῦτα. Τοῖς πλείοσι δὲ καὶ εὐλαβεστέροις, οὐ δοκεῖ τὸ ἔχειν ἐπ' ἀδείας τὸν εἰσελθόντα εἰς μοναστήριον, καὶ, ὡς ἂν ἔχῃ τὸ πρᾶγμα, μελανειμονήσαντα, καὶ κατὰ μοναχοὺς διατρίβοντα, μετασχηματισθῆναι εἰς λαϊκούς· ἐξῆν γάρ, φασιν, αὐτῷ, μετὰ λαϊκῶν ἐσθήτων δοκιμασθῆναι κατὰ τὸν τῆς τριετίας καιρόν. Ἐπεὶ δὲ μοναχικὰ ἐνεδύσατο, ἀναγκασθήσεται περατῶσαι τὴν οἰκείαν πρόθεσιν· εἰ δὲ πρὸς τοῦτο ἀποδυσπετήσει, τιμωρηθήσεται, καθὼς ὁ νόμος φησὶν ἐν τῷ ά. τίτλῳ τοῦ δ'. βιβλίου. Ἐπεὶ δὲ ἤκουσά τινων μεμφομένων τοὺς καθηγουμένους, τοὺς μὴ μετὰ δοκιμασίαν ἀποκείροντας τοὺς προσερχομένους αὐτοῖς, καὶ κατὰ τοῦτο παραβαίνοντας ὡσανεὶ τὸν παρόντα κανόνα, νομί-

(1) Χ. Τρ. Ἑ. — παραμένοντες Βευερ.

ζω, ὅτι τὸ γ'. κεφ. τοῦ ά. τίτλου τοῦ δ'. βιβλίου, ὅπερ ἐστὶ δ'. κεφ. τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς, λύει καὶ τὸ τοιοῦτον ἀμφίβολον. Φησὶ γάρ· Εἴ τις δὲ εἰς μοναχικὸν βίον ἐλθεῖν βουληθείη, κελεύομεν, ἵνα, εἰ μὲν γνώριμός ἐστιν, ὅτι οὐδεμιᾷ τύχῃ ὑπόκειται, ὁ ἡγούμενος τοῦ μοναστηρίου, ὅτε συνίδῃ, τὸ σχῆμα αὐτῷ παράσχῃ· εἰ δὲ μὴ γνωρίζεται, ἣ οἱᾳδήποτε ὑπόκειται τύχῃ, ἐντὸς τριῶν ἐνιαυτῶν μὴ λαμβάνειν αὐτὸν τὸ μοναχικὸν σχῆμα· ἀλλ' ἐντὸς τοῦ εἰρημένου χρόνου ἀποπειράσθω(1) τῆς τούτου ἀναστροφῆς ὁ τοῦ μοναστηρίου ἡγούμενος· καὶ τὰ ἑξῆς. Ὥςε καλῶς ὁ καθηγούμενος ἀποκείρει, ὅτε συνίδῃ, τὸν προσελθόντα αὐτῷ· καὶ ἡ δοκιμασία γίνεται εἰς μόνους τοὺς ἀμφιβόλους, δούλους τυχὸν, καὶ λοιποὺς, τῷ αὐτῷ κεφαλαίῳ περιεχομένους.

ΑΡΙΣΤ. Μηδεὶς ἀξιούσθω τοῦ μοναχικοῦ σχήματος, εἰ μὴ, ἐπὶ τριετίαν δοκιμασθεὶς, ἄξιος ἀναφανείη· πλὴν, εἰ μὴ βαρεῖα νόσος τὸν χρόνον συστείλειε. Καὶ εἰς ἄνδρα δὲ εὐλαβῆ, καὶ κατὰ μοναχοὺς ζῶντα, ἀρκέσει ὁ ἑξαμηνιαῖος χρόνος. Εἰ δὲ παρὰ τοῦτο γένηται, ἐκπεσεῖται μὲν τῆς ἡγουμενείας ὁ ἡγούμενος, καὶ εἰς ὑποταγὴν ἔσται· ὁ δὲ μονάσας, εἰς ἀκριβὲς μοναστήριον ἀπενεχθήσεται.

Κανὼν ϛ'.

Οἱ μοναχοὶ οὐδὲν ἴδιον ὀφείλουσιν ἔχειν, πάντα δὲ τὰ αὐτῶν προσκυροῦσθαι(2) τῷ μοναςηρίῳ. Φησὶ γὰρ ὁ μακάριος Λουκᾶς περὶ τῶν εἰς Χριστὸν πιστευόντων, καὶ τὴν τῶν μοναχῶν(3) πολιτείαν διατυπούντων, ὡς οὐδείς τι τῶν ὑπαρχόντων αὐτῷ(4) ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. Διὸ τοῖς ἐθέλουσι μονάζειν, ἄδειαν δίδοται, περὶ τῶν ὑπαρχόντων αὐτοῖς διατίθεσθαι πρότερον, καὶ οἷς ἂν βούλοιντο προσώποις, μὴ κεκωλυμένοις δηλονότι παρὰ τοῦ νόμου, τὰ αὐτῶν παραπέμπεσθαι. Μετὰ γάρ τοι τὸ μονάσαι, τῶν προσόντων αὐτοῖς ἁπάντων τὸ μοναστήριον

(1) Χ. Τρ. — ἀποκειράσθω Ἑ. Βευερ. — (2) Π. Χ. Τρ. — προσκληροῦται Βευερ. — (3) μοναστῶν Χ. Τρ. — (4) Π. τὸ, αὐτῷ οὐ κεῖται ἐν Χ. Τρ. καὶ Βευερ.

ἔχει τὴν κυριότητα, καὶ οὐδὲν περὶ τῶν οἰκείων φροντίζειν, ἢ διατίθεσθαι(1), τούτοις παρακεχώρηται. Εἰ δέ τις φωραθείη κτῆσίν τινα, ἥτις οὐκ ἀπεκληρώθη (2) τῷ μοναστηρίῳ, ἰδιοποιούμενος, καὶ φιλοκτησίας πάθει δουλούμενος· ταύτην μὲν παρὰ τοῦ ἡγουμένου, ἢ τοῦ ἐπισκόπου ἀναλαμβάνεσθαι, καὶ πολλῶν παρουσίᾳ πιπρασκομένην(3), πτωχοῖς καὶ ἀπόροις διανέμεσθαι. Τὸν δέ γε τὴν τοιαύτην κτῆσιν, κατὰ τὸν πάλαι Ἀνανίαν, ὑποσυλᾷν μελετήσαντα, τῷ προσήκοντι ἐπιτιμίῳ ἡ ἁγία σύνοδος ὥρισε σωφρονίζεσθαι. Δῆλον δὲ, ὡς, ἅτινα περὶ μοναζόντων ἀνδρῶν ἡ ἁγία σύνοδος ἐκανόνισε, τὰ αὐτὰ καὶ περὶ μοναζουσῶν γυναικῶν κρατεῖν ἐδικαίωσεν.

ΖΩΝΑΡ. Οἱ τῇ μοναχικῇ ζωῇ συντασσόμενοι, ὡς τεθνηκότες (4) τῷ βίῳ λογίζονται. Ὥσπερ οὖν οἱ θανόντες οὐδὲν ἔχουσιν, οὕτω καὶ τοὺς μονάζοντας ὁ κανὼν ἀπαιτεῖ μηδὲν κεκτῆσθαι· καὶ ἐκ τῶν Πράξεων μαρτυρίαν ἐπάγει, ἐν αἷς ὁ θεῖος Λουκᾶς ἱστορεῖ, ὅτι τῶν πιστευόντων οὐδεὶς ἔλεγεν ἴδιόν τι ἔχειν τῶν ὑπαρχόντων αὐτῷ, ἀλλ' ἦν ἅπαντα κοινά. Διὸ τοῖς ἀπονεύουσιν εἰς μοναχικὴν διαγωγὴν, ἐνδίδωσιν ὁ κανὼν, πρὸ τοῦ μονάσαι, διατίθεσθαι περὶ τῶν προσόντων αὐτοῖς, καὶ οἰκονομεῖν τὰ οἰκεῖα, ὡς βούλονται· ἵνα μέντοι μὴ κεκωλυμένοις προσώποις αὐτὰ καταλείψωσιν, οἷον αἱρετικοῖς, ἢ νόθοις παισὶ, πλέον τοῦ δωδεκάτου μέρους τῆς περιουσίας αὐτῶν, ὅταν καὶ γνησίους ἔχωσι παῖδας. Εἰ δὲ μονάσουσι πρὸ τοῦ διαθέσθαι, ἡ μονὴ τῶν ἐκείνου πάντων κυρία ἔσται, καὶ οὐκέτι αὐτῷ ἐκκεχώρηται οἰκονομεῖν περὶ τῶν οἰκείων. Ταῦτα δὲ οὕτω γίνονται, ὅταν μὴ ἀναγκαίους τὸ μονάσαν πρόσωπον ἔχῃ κληρονόμους, ἤτοι παῖδας, ἢ γονεῖς, οἷς ἐξ ἀνάγκης ἔχει τὸ νόμιμον καταλιμπάνειν μέρος. Ἡ γὰρ ρκγ΄. νεαρὰ, κειμένη εἰς βιβλίον τῶν βασιλικῶν δ΄. τίτλον ά. φησὶ πρὸς τοῖς ἄλλοις, ὅτι, Εἰ

---

(1) Π. — διατάσσεσθαι Χ. Τρ. Βευερ. — (2) Βευερ. Χ. Τρ. — κατεκληρώθη. Π. (3) πιπράσκεσθαι καὶ, Σ. Ρ. — (4) Χ. Τρ. — θνήσκοντες Βευερ. Ε.

παῖδας ἔχει ὁ πρὸ τοῦ οἰκονομῆσαι τὰ κατ' αὐτὸν εἰσελθὼν εἰς τὸ μοναςήριον, ἐξέςω αὐτῷ καὶ μετὰ τὸ καρῆναι τὴν οἰκείαν οὐσίαν εἰς τοὺς παῖδας αὐτοῦ διελεῖν, καὶ ἑκάστῳ προσκληρῶσαι τὸ νόμιμον μέρος ἀκαινοτόμητον· τὸ δὲ περιττεῦον μετὰ τὴν εἰς τοὺς παῖδας διανομὴν προσκυροῦσθαι τῷ μοναστηρίῳ. Εἰ δὲ βούλοιτο ὁ μονάσας πᾶσαν τὴν ἰδίαν οὐσίαν καταλιπεῖν τοῖς παισὶ, κελεύει ἡ νεαρὰ συναριθμεῖσθαι κἀκεῖνον τοῖς ἑαυτοῦ παισίν· ὥστε, εἰ τρεῖς τυχὸν εἴησαν οἱ παῖδες, συναριθμεῖσθαι αὐτοῖς καὶ τὸ μονάσαν πρόσωπον, καὶ εἰ ἑκατὸν νομισμάτων ἦν ἡ περιουσία, μὴ ἀνὰ τρίτον τῶν ἑκατὸν τοὺς παῖδας λαβεῖν, ἀλλὰ τετάρτην ἕκαστον μερίδα, ὥστε καὶ τῷ πατρὶ αὐτῶν ἴσην ἀπονεμηθῆναι μοῖραν, καὶ ταύτην λαβεῖν τὴν μονήν. Εἰ δὲ ὁ ἀποκαρεὶς τελευτήσει ἐν τῷ μοναστηρίῳ πρὸ τοῦ διανείμασθαι τοῖς παισὶ τὴν περιουσίαν, τότε οἱ μὲν παῖδες τὸ νόμιμον λήψονται μέρος, τὸ δὲ λοιπὸν ἔσεται τῆς μονῆς. Εἰ δέ τις εὑρεθείη, φησὶν ὁ κανὼν, κτῆσιν ἔχων τινὰ μετὰ τὸ καρῆναι, τὴν μὲν κτῆσιν ὁ ἡγούμενος τῆς μονῆς, ἢ ὁ τῆς χώρας ἐπίσκοπος λαβὼν, καὶ πωλήσας παρουσίᾳ πολλῶν, ὥστε δῆλον εἶναι πόσου ἐπράθη, (ἵνα μὴ ὑποψίαν καθ' ἑαυτοῦ δῷ ὁ ἡγούμενος, ἢ ὁ ἐπίσκοπος), διανειμάτω πτωχοῖς· τὸν δὲ τὴν κτῆσιν παρακρατήσαντα, καὶ οἷον ὑποσυλήσαντα, ἐπιτιμίῳ τῷ προσήκοντι σωφρονησάτω. Τὰ αὐτὰ δέ, φησι, καὶ περὶ μοναζουσῶν κρατείτω, ὅσα περὶ μοναχῶν κεκανόνισται.

ΒΑΛΣ. Καὶ ἕτεροι κανόνες διορίζονται ἀκτήμονας εἶναι τοὺς μοναχούς. Φησὶ γοῦν καὶ ὁ παρὼν, ὡς ὁ μακάριος Ἀπόστολος Λουκᾶς, ὑποτυπῶν τὴν τῶν μοναχῶν πολιτείαν, ἔγραψεν ἐν ταῖς Πράξεσι, μὴ ἔχειν τοὺς πιστεύσαντας (1) εἰς Χριστὸν ἴδιόν τι· ἀλλ' ἦσαν αὐτοῖς τὰ πάντα κοινά· διὸ καὶ οἱ μοναχοὶ ὀφείλουσιν οὕτω ποιεῖν, καὶ προσάγειν τῇ μονῇ τὰ προσόντα αὐτοῖς, ἐφ' ᾧ εἶναι κοινά. Ἵνα δὲ μὴ γένηται τοῦτο εἰς παρεμποδισμὸν τοῖς θέλουσι μονάσαι, (εἰκὸς γάρ ἐστιν εἶναί τινας πολυκτήμονας ἐν τῷ βίῳ, καὶ ἔχοντας θέλημα πρός τινας περιελ-

(1) Χ. Τρ. Ἐ. — πιστεύοντας Βευερ.

θεῖν τὰ οἰκεῖα), ὥρισαν οἱ Πατέρες ἔχειν ἐπ' ἀδείας τὸν μονάσαι ὀφείλοντα, διατίθεσθαι νομίμως πρὸ τῆς ἀποκάρσεως, διὰ τὸ πρὸς τὴν νεκροποιὸν διαγωγὴν ὁδεύειν· καὶ παραπέμπειν τὰ ἀνήκοντα αὐτῷ πρὸς τὰ αὐτῷ βουλητέα(1) μέρη, συγγενικὰ δηλονότι, καὶ ἀλλοῖα, δυνάμενα λαμβάνειν ἀπὸ διαθήκης ληγάτα, ἢ κληρονομίας. Εἰσὶ γάρ τινες μὴ δυνάμενοι ἀπὸ διαθήκης λαμβάνειν τι, αἱρετικοὶ δηλονότι καὶ ἕτεροί τινες. Εἰ δὲ πρὸ τῆς ἀποκάρσεως οὐ ποιήσει τοῦτο, ἀλλ' ἀποκαρῇ· ἡ μὲν τοῦ διατίθεσθαι ἐξουσία ἀφῄρηται ἀπ' αὐτοῦ, τὰ δὲ πράγματα τούτου τῷ μοναστηρίῳ διαφέρουσιν. Εἰ δέ τις, παρὰ τὴν τοῦ κανόνος περίληψιν, ἐπιχειρήσει μετὰ τὸ μονάσαι ἐκ τῶν πραγμάτων τούτων τινὰ ἰδιώσασθαι· ταῦτα μὲν ὁ ἐπίσκοπος, ἢ ὁ ἡγούμενος, ἵνα ἀναλάβηται, καὶ πωλήσῃ κατὰ παρουσίαν πολλῶν ἀνθρώπων διὰ τὸ ἀδιάβλητον, καὶ διανείμῃ πτωχοῖς τὸ τίμημα· ὁ δὲ μοναχὸς, ὁ ἀποσυλήσας τὰ τῷ Θεῷ ἀνήκοντα, κατὰ τὸν Ἀνανίαν ἐκεῖνον, δι' ἐπιτιμίου σωφρονισθήσεται. Ταῦτα τοῦ κανόνος διοριζομένου, εἶπόν τινες ἐναντιοῦσθαι τούτοις τὸ ζ'. κεφ. τοῦ ά. τίτ. τοῦ δ'. βιβλίου τῶν βασιλικῶν, κεφάλαιον ὂν νή. τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς, καὶ οὕτω λέγον· Εἰ δὲ γυνὴ, ἢ ἀνὴρ, τὸν μοναχικὸν ἐπιλέξηται βίον, καὶ εἰσέλθῃ εἰς τὸ μοναστήριον, παίδων οὐχ ὑπόντων, τῷ μοναστηρίῳ, ἐν ᾧ εἰσῆλθε, τὰ πράγματα αὐτοῦ διαφέρειν κελεύομεν· εἰ δὲ τὸ τοιοῦτον πρόσωπον παῖδας ἔχει, καὶ πρὶν εἰσέλθῃ εἰς τὸ μοναστήριον περὶ τῶν οἰκείων πραγμάτων μὴ ποιήσει διατύπωσιν, καὶ τὸ νόμιμον μέρος τοῖς παισὶν ἀφορίσει, καὶ οὕτως ἐξέστω αὐτῷ καὶ μετὰ τὸ εἰσελθεῖν εἰς τὸ μοναστήριον, τὴν ἰδίαν οὐσίαν εἰς τοὺς οἰκείους διελεῖν παῖδας· οὕτω μέντοι γε, ὥστε μηδὲ ἐπὶ ἑνὶ τῶν ἑαυτοῦ παίδων ἐλαττῶσαι τὸ νόμιμον μέρος· τὸ δὲ μὴ διδόμενον τοῖς παισὶ μέρος, τῷ μοναστηρίῳ διαφερέτω. Εἰ δὲ πᾶσαν τὴν οὐσίαν μεταξὺ τῶν παίδων διελεῖν βουληθείη, τοῦ οἰκείου αὐτοῦ προσώπου τοῖς παισὶ συναριθμουμένου, ἐν ἑαυτῷ μέρος πᾶσι τρόποις παρακρατείτω,

(1) Ἐ. Βευερ. — παραπέμπειν τὰ οἰκεῖα πρὸς τὰ αὐτῷ βουλητὰ, συγγενικὰ κτλ. Χ. Τρ.

ὀφεῖλον τῷ δικαίῳ τοῦ μοναστηρίου διαφέρειν. Εἰ δὲ ἐν τῷ μοναστηρίῳ διάγων τελευτήσει, πρὶν μεταξὺ τῶν οἰκείων παίδων τὰ ἴδια διανείμῃ πράγματα, τὸ νόμιμον μέρος οἱ παῖδες λήψονται· τὸ δὲ λοιπὸν τῆς οὐσίας τῷ μοναστηρίῳ διαφερέτω. Ἐμοὶ δὲ οὐ δοκεῖ ἐναντιοῦσθαι ταῦτα τοῖς ἐν τῷ κανόνι διορισθεῖσιν. Ὁ μὲν γὰρ κανὼν μόνων ἐμνήσθη τῶν μὴ ἐξ ἀνάγκης γραφομένων κληρονόμων, δηλονότι τῶν ἐκ πλαγίου συγγενῶν, καὶ ἀλλοτρίων· ἡ δὲ νεαρὰ, εἰποῦσα καὶ τὰ περὶ τοῦ κανόνος, δηλονότι τὸ ἔχειν ἐπ' ἀδείας τὸν θέλοντα μονάσαι, πρὸ τῆς ἀποκάρσεως διατίθεσθαι, καὶ παραπέμπειν τὰ οἰκεῖα ἔνθα βούλεται· μετὰ δὲ τὴν ἀπόκαρσιν μὴ ἐξεῖναι αὐτῷ τοιοῦτόν τι ποιεῖν, διὰ τὸ ἐοικέναι νεκρῷ· τὸν δὲ νεκρὸν μήτε πράγματα ἔχειν, μήτε δύνασθαι λέγειν τι περὶ τούτου· ἀλλὰ γίνεσθαι τὰ πράγματα τούτου τῆς δεσποτείας τοῦ μοναστηρίου· προσέθετο ταῦτα φυλάττεσθαι, ὅταν οὐκ ἔχῃ ὁ μονάσας παῖδας· εἰ γὰρ ἔχει, διαθήκην τε ποιήσει, ὡς ἡ νεαρὰ διαστίζει· καὶ μὴ ποιήσας, πάλιν ὑπὸ τῶν οἰκείων παίδων κληρονομηθήσεται· καὶ τὰ λοιπὰ γενήσεται τὰ τῇ καταστρωθείσῃ νεαρᾷ περιεχόμενα. Οὕτω γοῦν τῆς ἐναντιοφανείας λυομένης, ἐρωτήσει τις, τί ὀφείλει γίνεσθαι ἐπὶ τοῖς πράγμασι τοῦ ἀποκαρέντος, ἐὰν παῖδας οὐκ ἔχῃ, ἀλλὰ γονεῖς; Λύσις. Τὸ αὐτὸ δίκαιον ἔχουσιν οἱ παῖδες καὶ οἱ γονεῖς ἐπ' ἀλλήλοις, ὅσον εἰς τὸν λόγον τῆς κληρονομίας. Εἴ τι γοῦν γέγραπται γενέσθαι μετὰ τὴν ἀπόκαρσιν εἰς τοὺς παῖδας, γενήσεται καὶ εἰς τοὺς γονεῖς· εἰ δὲ καὶ παῖδας ἔχει καὶ γονεῖς, τί ὀφείλει γενέσθαι; Λύσις. Ἡ ριη. Ἰουστινιάνειος νεαρὰ, ἡ κειμένη ἐν τῷ τέλει τοῦ γ'. τίτλου τοῦ μέ. βιβλίου, πρῶτον τοὺς παῖδας διορίζεται γράφεσθαι ἐξ ἀνάγκης κληρονόμους· παίδων δὲ μὴ ὑπόντων, τοὺς γονεῖς· ἕτερον δὲ οὐδένα ἀναγκαζόμεθα καὶ ἄκοντες γράφειν κληρονόμον. Εἰ δὲ ἀδιάθετος τελευτήσει τις, ἔχων γονεῖς καὶ ἀδελφοὺς, ἐπίσης παρὰ τούτων κληρονομηθήσεται· καὶ ἀνάγνωθι τὴν ῥηθεῖσαν νεαρὰν, ἀναγκαίαν οὖσαν. Καὶ ταῦτα μὲν γενήσεται ἐπὶ τοῖς πρὸ τῆς ἀποκάρσεως προσοῦσι τῷ μέλλοντι μονάσαι πράγμασιν. Εἰς δὲ τὰ μετὰ τὴν ἀπόκαρσιν περιελθόντα εἰς αὐτὸν ἀπὸ διαθήκης, ἢ ἐξ ἀδιαθέτου τελευτησάντων προσγενῶν

αὐτοῦ, ἢ ἑτέρωθέν ποθεν, τί γενήσεται; Λύσις. Ἀνάγνωθι τὴν έ. νεαρὰν τοῦ ἀοιδίμου βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, διαλαμβάνουσαν ἐν ἐπιτόμῳ καὶ τὰ ῥηθέντα μὲν ἄνωθεν, ἐν τῷ τέλει δὲ, καὶ περὶ τοῦ μὴ καθόλου ἀπείργεσθαι τοὺς μοναχοὺς ἐκ τοῦ δικαίου τῆς διαθήκης, εὐπορήσαντας ἴσως μετὰ τὸ μονάσαι πραγμάτων. Ἀλλ' εἰ μὲν ὤφθησάν τι προκαταβαλόντες τῷ μοναστηρίῳ, κατὰ τὸν καιρὸν ὅτε τούτῳ προσήρχοντο, εἶναι αὐτοὺς περὶ τῶν ὕστερον ἐπικτηθέντων κυρίους, ὥστε διοικεῖν αὐτὰ καθὼς αἱροῦνται· εἰ δ' οὐδὲν προκατεβάλοντο πρὸς τὴν μονὴν, αὐτοὺς μὲν περὶ τοῦ διμοίρου ἔχειν ἄδειαν ὁρίζειν καὶ διατίθεσθαι κατὰ νόμους· τὸ μοναστήριον δὲ, τὸ ἄλλο μέρος, ἤτοι τὸ τρίτον ἀναλαμβάνεσθαι. Τὶ δέ; εἰ μὴ θελήσει ὁ μοναχὸς περὶ τῶν ἐπικτηθέντων μετὰ τὴν ἀπόκαρσιν ὁρίσαι τι, ἀνθέξεται πάντων τῶν πραγμάτων ἡ μονὴ, ἢ μᾶλλον οἱ καλούμενοι ἐξ ἀδιαθέτου τὰ τοιαῦτα πράγματα ἀναλάβωνται, καὶ μᾶλλον, εἴπερ ὁ τελευτήσας προσήνεγκέ τι τῷ μοναστηρίῳ; Λύσις. Ἡ μὲν νεαρὰ τοῦ Φιλοσόφου οὐδέν τι περὶ τούτου ἐθέσπισεν· ἐμοὶ δὲ δοκεῖ, ὡς ἐκεῖνα τηνικαῦτα γενήσεται, ὅσα ἡ ἄνωθεν καταστρωθεῖσα νεαρὰ διορίζεται γενέσθαι, εἰς τὰ πρὸς τῆς ἀποκάρσεως προσόντα πράγματα τῷ μοναχῷ, ὁπηνίκα οὗτος τελευτήσει ἀδιάθετος. Λόγος δὲ γέγονε ποτὲ εἰς τὸ δικαστήριον περὶ τῶν ἀσωμάτων δικαίων τοῦ μοναχοῦ, τῶν μὴ φθασάντων πρὸ τῆς ἀποκάρσεως οἰκονομηθῆναι παρὰ τούτου. Μοναχοῦ γάρ τινος ἑλκύσαντος εἰς δικαστήριον περὶ δάνους τινὰ, συνεζητήθη, εἰ δύναται ὁ μοναχὸς ἐνάγειν, καὶ ἔδοξεν ἀπαράδεκτος εἰς τοῦτο. Ἐλθούσης δὲ τῆς μονῆς εἰς τὸ δικαστήριον, καὶ προβαλλομένης τὰ δίκαια τοῦ μοναχοῦ, ὡς ἐκ τοῦ κανόνος περιελθόντα (1) εἰς αὐτὴν, διὰ τὸ μὴ διοικηθῆναι πρὸ τῆς ἀποκάρσεως, εἶπον οἱ περὶ τοὺς ἐναγομένους, ὅτι οὔτε ἡ μονὴ, οὔτε ὁ μοναχὸς ἐνάγειν δύνανται. Ὁ μὲν γὰρ, ὡς ἤδη τελευτήσας καὶ πράγματα μὴ ἔχων, ἀπαράδεκτός ἐστιν εἰς τὸ δικάσασθαι· ἡ δὲ, ὡς μὴ ἐκχωρηθεῖσα τὸ ἀσώματον δίκαιον τῆς ἀγωγῆς, ἀμετόχως ἐνάγει. Ἐμέμνηντο

(1) Βευερ. Ἐ. — προελθόντα Χ. Τρ.

δὲ καὶ νόμου λέγοντος, Τὸ ἀσώματον δίκαιον, εἰ μὴ ἐκχωρηθῇ, οὐ μεταβαίνει εἰς ἕτερον. Καὶ ἤθελον μὴ ἕλκεσθαι τὸν ἐναγόμενον, διὰ τὸ τοιουτοτρόπως σβεσθῆναι τάχα τὴν ἀγωγήν· ἀλλ' οὐκ ἤρεσαν, ταῦτα λέγοντες. Διεγνώσθη γὰρ, ὡς, ἐπεὶ οὐ κατὰ προαίρεσιν τοῦ ἔχοντος τὸ ἀσώματον δίκαιον μοναχοῦ μεταβαίνουσι τὰ πράγματα τούτου εἰς τὴν μονὴν, ἀλλ' ἀπὸ τῆς αὐθεντίας τοῦ νόμου, ἐνδυνάμως καὶ χωρὶς ἐκχωρήσεως οἰκειώσεται αὕτη τὴν ἀγωγήν. Ἔτι εἰπόν τινες, ὡς ταῦτα πάντα ἔχουσι τὸ ἐνεργὸν εἰς τοὺς κοινοβιώτας μοναχοὺς, οὐ μὴν καὶ εἰς τοὺς κελλιώτας· ἤκουσαν δὲ, μὴ καλῶς λέγειν, ὅτι οὐδέ ἐστι διαφορὰ μοναστηρίων καὶ μοναχῶν ἀπὸ νόμων, ἢ κανόνων.

ΑΡΙΣΤ. Ἐξὸν ὂν τοῖς μονάσαι βουλομένοις διαθέσθαι πρότερον· εἰ μὴ διάθοιντο, τῶν αὐτοῖς προσόντων κυριεύσει τὸ μοναστήριον. Εἰ δέ τι ἰδιοποιήσαιτο, καὶ μὴ ἀποκληρώσειε τὸ μοναστήριον, παρὰ τοῦ ἡγουμένου, ἢ τοῦ ἐπισκόπου, φανερῶς πιπρασκόμενον, πτωχοῖς διανεμηθήσεται· καὶ ὁ νοσφισάμενος, ἐπιτιμηθήσεται. Κρατήσει ταῦτα καὶ εἰς μοναζούσας.

Κανὼν Ζ'.

Πολλὰς τῶν ἐπισκοπῶν ὁρῶμεν καταπιπτούσας, καὶ ἀφανισμῷ τελείῳ κινδυνευούσας παραδίδοσθαι, ὅτι περ οἱ τούτων προεστηκότες τὴν περὶ αὐτῶν φροντίδα καὶ ἐπιμέλειαν εἰς νεουργίας μοναστηρίων καταναλίσκουσι· καὶ ταύτας (1) διασπῶντες, καὶ τὸν σφετερισμὸν τῶν εἰσόδων ἐκμηχανώμενοι, τὴν ἐκείνων ἐπαύξησιν πραγματεύονται. Ὥρισεν οὖν διὰ τοῦτο ἡ ἁγία σύνοδος, μηδενὶ τῶν ἐπισκόπων ἐξεῖναι, μοναστήριον ἴδιον ἐπὶ καταλύσει τῆς οἰκείας ἐπισκοπῆς νεουργεῖν. Εἰ δέ τις φωραθείη τοῦτο τολμῶν, αὐτὸν μὲν τῷ προσήκοντι ἐπιτιμίῳ καθυποβάλλεσθαι· τὸ δὲ νεουργηθὲν ὑπ' αὐτοῦ, ὡς μηδὲ τὴν ἀρχὴν μοναστηρίου δίκαιον ἀπειληφὸς, ὡς ἰδιόκτητον (2) τῷ ἐπι-

(1) Π Βευερ. — ταῦτα Χ. Τρ. — (2) Χ. Τρ. Π. — ὡς ἰδιωτικὸν Βευερ.

σκοπείῳ προσκυροῦσθαι. Οὐδὲν γὰρ τῶν παρανόμως καὶ ἀτάκτως παρυφισταμένων, τὸ πρόκριμα τῶν κανονικῶς συνισταμένων ἀποφέρεσθαι δύναται.

—

ΖΩΝΑΡ. Τὸ παρ᾽ ἐπισκόπων κτίζεσθαι μοναστήρια κωλύει ὁ κανών· ἵνα μὴ τὰ τῶν ἐπισκοπῶν αὐτῶν σφετερίζωνται, καὶ εἰς τὰς οἰκοδομὰς τῶν μονῶν δαπανῶσιν αὐτά, καὶ τὰς ἐπισκοπὰς διασπῶντες, τὴν τῶν μονῶν ἐπαύξησιν πραγματεύωνται· διὰ τοῦ, διασπῶντες, τὴν τῶν ἐπισκοπῶν παραδηλώσας πτῶσιν, καὶ τὸν ἀφανισμόν· τὸ γὰρ διασπώμενον, κἂν ζῶον εἴη, κἂν ἄψυχόν τι, εἰς φθορὰν συνελαύνεται. Καὶ ἀπαγορεύει καθόλου, μή τινι τῶν ἐπισκόπων ἐξεῖναι μοναστήριον ἴδιον νεουργεῖν, ὡς ἐπὶ καταλύσει τῆς ἐπισκοπῆς τῆς συστάσεως τῆς μονῆς ἐσομένης· εἰ δὲ τοῦτο τολμήσει, φησίν, αὐτὸς μὲν ἐπιτιμηθήσεται παρὰ τοῦ χειροτονοῦντος αὐτόν· τὸ δὲ νεουργηθὲν παρ᾽ αὐτοῦ, τῇ ἐπισκοπῇ προσκυρωθήσεται, καὶ ἔσται αὐτῇ ἰδιόκτητον, ὥσπερ εἰ μηδὲ μοναστήριον ἐγένετο. Τὰ γὰρ παρανόμως γινόμενα οὐκ ἔσονται εἰς βλάβην καὶ ἀνατροπὴν τῶν πραττομένων κανονικῶς.

ΒΑΛΣ. Ἐπισκόπων τινῶν, ὡς ἔοικε, νεουργούντων μοναστήρια, καὶ καταναλισκόντων τὰς εἰσόδους τῶν ἐπισκοπῶν, ἅσπερ ὤφειλον μετὰ τὴν ἀναγκαίαν τούτων δαπάνην εἰς τὴν περιποίησιν τῶν τῆς ἐπισκοπῆς ταμιεύειν, κατὰ τὸν ἀποστολικὸν κανόνα, κἀντεῦθεν τῶν ἐκκλησιῶν αὐτῶν καταπιπτουσῶν, καὶ εἰς τὸ μηδὲν σχεδὸν περιϊσταμένων· ὥρισαν οἱ Πατέρες, μὴ νεουργεῖν ἐπίσκοπον μοναστήριον ἴδιον, διὰ τὸ ἐπὶ καταλύσει τῆς ἐπισκοπῆς τοῦτο καινίζεσθαι. Εἰ δὲ παρὰ ταῦτά τις ἐπίσκοπος ποιήσει, αὐτὸς μὲν ἐπιτιμίῳ καθυποβληθήσεται· τὸ δὲ νεουργηθὲν(1) μοναστήριον ὑπὸ τὴν κυριότητα ἔσεῖται τῆς ἐπισκοπῆς· καὶ ὁ μὲν κανὼν ἐν τούτοις. Καλῶς δὲ εἶπε, μὴ ἔχειν ἐπ᾽ ἀδείας τὸν ἐπίσκοπον ἐκ νέου καινίζειν μοναστήριον ἐπὶ καταλύσει τῆς ἰδίας ἐπισκοπῆς· εἰ γὰρ τὸ προὸν μοναστήριον ἀνακαινίζει τις, φθάσαν καταπτωθῆναι, καὶ μηδὲ τὰ τῆς ἐπισκοπῆς

(1) Χ. Τρ. — καινουργηθὲν Βευερ. Ἐ.

αὐτοῦ λυμαίνεται, οὐ κωλυθήσεται ποιῆσαι τὰ βουλητέα αὐτῷ, ὥσπερ οὐ κωλυθήσεται, ὡς ἐμοὶ δοκεῖ, καὶ μοναστήριον ἐκ καινῆς ἀνεγεῖραι, εἴπερ τὰ τῆς ἐπισκοπῆς οὐ λυμαίνεται, ἀλλ' οἴκοθεν τὴν δαπάνην ποιεῖ. Τὸ γὰρ ἀδιαστίκτως οὕτω, καὶ ὅτε μὴ βλάπτεται ἡ ἐπισκοπὴ, κωλύεσθαι τὸν ἐπίσκοπον καινουργεῖν μοναστήριον εἰς δοξολογίαν Θεοῦ καὶ σωτηρίαν ψυχῶν, οὐκ ἔστιν εὐπαράδεκτον, οὐδὲ τῆς τῶν Πατέρων διακρίσεως ἐπάξιον. Καὶ αὐτὸς γὰρ ὁ τῆς παρούσης συνόδου πρῶτος, ὁ μακαριώτατος Φώτιος, τὴν τοῦ Μανουὴλ μονὴν ἐκ κρηπίδων αὐτῶν σχεδὸν, εἰς ὃ νῦν κάλλος καὶ μέγεθος ὁρᾶται, κατέστησε. Καὶ ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης κυρὸς Ἀλέξιος μετὰ ταῦτα τὴν μονὴν τὴν λεγομένην τοῦ κυροῦ Ἀλεξίου ἀνήγειρε· καὶ ὁ ὁσιώτατος (1) πατριάρχης κυρὸς Θεοφύλακτος τὴν περιβόητον μονὴν τῶν Ῥουφινιανῶν. Καὶ ἄλλοι δὲ πατριάρχαι, μητροπολῖταί τε καὶ ἐπίσκοποι, διάφορα μοναστήρια ἐκαινούργησαν ἔν τε τῇ βασιλευούσῃ τῶν πόλεων καὶ ἔξωθεν, καὶ οὐδὲν ἐκ τούτων κατὰ τὴν τοῦ κανόνος περίληψιν εἰς τὰ δίκαια τῶν ἐπισκοπῶν περιῆλθε· πάντως, διὰ τὸ μὴ γενέσθαι τὴν τούτων ἀνέγερσιν παρὰ τῶν ἀρχιερέων ἐπὶ καταλύσει τῶν οἰκείων ἐπισκοπῶν. Ὥσπερ δέ τινος εἰπόντος, ἵνα τί ἡ παρὰ τοῦ ἐπισκόπου ἀνεγερθεῖσα μονὴ οὐ συντηρεῖται ὑπὸ τὰ δίκαια τούτου, ἢ κἂν ἐλευθέρα, ἀλλ' ὑπὸ τὴν ἐπισκοπικὴν μεταβαίνει κυριαρχίαν; Εἶπον οἱ Πατέρες, ὡς, ἐπεὶ ἀρχῆθεν καὶ ἐκ κρηπίδων αὐτῶν ὑπεναντίως τοῖς κανόσι συνέστη τὸ τοιοῦτον εὐαγὲς φροντιστήριον, ὀφείλει λογίζεσθαι, ὥσπερ εἰ μηδὲ ἐκτίσθη παρὰ τοῦ ἐπισκόπου· καὶ ἐπεὶ τὰ παρά τινων προσαγόμενα τῷ Θεῷ οὐκ εἰσὶ τῆς τοῦ κτίζοντος κυριότητος, ἀλλὰ τῆς τοῦ Θεοῦ, καὶ ἀπὸ τῶν εἰσόδων δὲ τῆς ἐπισκοπῆς ἐκτίσθη, ὀφείλει καὶ τὸ τοιοῦτον, ὡς ἰδιόκτητον, τῇ ἐπισκοπῇ προσκυροῦσθαι. Ἐρωτήσει δέ τις, εἰς ποῖον ἐπίσκοπον ὀφείλει τὸ μοναστήριον περιέρχεσθαι, εἰς τὸν διαδεξάμενον τὸν κτίσαντα τοῦτο ἀρχιερέα, ἢ εἰς τὸν ἐγχώριον ἐπίσκοπον; Λύσις. Τὰ δαπανηθέντα εἰς ἀνέγερσιν τοῦ μοναστηρίου, ὡς ἀπὸ τοῦ κανόνος ἀναφαίνεται, ἀπὸ τῶν εἰσόδων ἦσαν τῆς ἐπισκοπῆς·

---

(1) Χ. Τρ. — ἁγιώτατος Βευερ. Ε.

διὸ καὶ ὀφείλει τοῦτο εἰς τὴν ἐπισκοπὴν ταύτην περιέρχεσθαι, ὡς δικαιουμένην ἐπ' αὐτῷ, διὰ τὸ κτισθῆναι ἀπὸ τῶν εἰσόδων ταύτης. Καὶ εἰ μὲν ἐκτίσθη εἰς τὴν ἐνορίαν αὐτῆς, λόγος οὐδείς· εἰ δὲ καὶ εἰς ἑτέραν ἐνορίαν, καὶ οὕτω τὸ μὲν μοναστήριον περιελεύσεται εἰς τὴν ἐπισκοπὴν(1), ὁ δὲ κατὰ χώραν ἐπίσκοπος ἕξει ἐπ' αὐτῷ μόνα τὰ ἀρχιερατικὰ δίκαια· καὶ ἡ μὲν ἑρμηνεία τοῦ κανόνος ἐν τούτοις. Ἔχε δὲ ἐπὶ μνήμης, ὅτι ὁ ἅγιος Χρυσόστομος, ἐν τῇ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἑρμηνείᾳ αὐτοῦ, λέγει· ὡς ἐάν τις ἐρωτήσῃ σε, ποῖόν ἐστι κρεῖττον, προσενεγκεῖν ἐκκλησίᾳ δῶρον, ἢ χαρίσασθαι πτωχοῖς; εἰπέ, προτιμήσασθαι τοὺς πτωχούς· ὅτι, φησί, τὰ μὲν τῶν ἐκκλησιῶν, καὶ χρόνος φθείρει, καὶ τύραννοι ἀφαιροῦνται· τὰ δὲ δοθέντα πτωχοῖς, οὐδὲ ὁ διάβολος δύναται ἀφελέσθαι. Ἐὰν δὲ πρόθηταί(2) τις δωρήσασθαι ἐκκλησίᾳ, οὐκ ὀφείλει περικόπτεσθαι, χάριν τοῦ προτιμηθῆναι τοὺς πτωχούς· καὶ ὅτι ἡ ἀνακαίνισις τῶν ἐκκλησιῶν προτιμοτέρα ἐστὶ τῶν πτωχῶν· οὐ μὴν ἡ πρώτη νεουργία.

ΑΡΙΣΤ. Μηδενὶ τῶν ἐπισκόπων ἐξέστω μοναστήριον ἴδιον, ἐπὶ καταλύσει τῆς ἰδίας ἐπισκοπῆς, νεουργεῖν. Ὁ δὲ τοῦτο τολμῶν, ἐπιτιμάσθω· καὶ τὸ νεουργηθέν, ὡς ἰδιωτικόν, τῇ ἐπισκοπῇ προσκυρούσθω.

Κανὼν Η'.

Ὁ θεῖος καὶ ἱερὸς τῶν ἁγίων Ἀποστόλων κανών, τοὺς ἐκτέμνοντας ἑαυτούς, αὐτοφονευτὰς κρίνει· καὶ ἱερεῖς μὲν ὄντας, καθαιρεῖ· μὴ ὄντας (3) δέ, τῆς ἐπὶ τὴν ἱερωσύνην προκοπῆς ἀπείργει· δῆλον ἐντεῦθεν καθιστῶν, ὡς, εἴπερ ὁ ἑαυτὸν ἐκτέμνων, αὐτοφονευτής ἐστιν, ὁ ἕτερον ἐκτέμνων πάντως φονευτής ἐστι. Θείη δ' ἄν τις τὸν τοιοῦτον δικαίως καὶ τῆς δημιουργίας αὐτῆς ὑβριστήν. Διόπερ ὥρισεν ἡ ἁγία σύνοδος, ὡς, εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, εὐνουχίζων τινὰ ἐλεγχθείη, ἢ αὐτο-

(1) ἐπίσκοπον Χ. Τρ. — (2) Χ. Τρ. — πρόσθηται Βευερ. Ἐ. — (3) μέλλοντας δέ, Χ. Τρ.

χειρίᾳ, ἢ ἐξ ἐπιτάγματος, τοῦτον καθαιρέσει καθυποβάλλεσθαι· εἰ δὲ λαϊκὸς εἴη, ἀφορίζεσθαι· πλὴν, εἰ μήπου νόσημά τι περιπεσὸν πρὸς ἐκτομὴν τοῦ πεπονθότος ἐκβιάζοιτο (1). Ὥσπερ γὰρ ὁ τῆς ἐν Νικαίᾳ συνόδου πρῶτος κανὼν τοὺς ἐν νόσῳ χειρουργηθέντας οὐ κολάζει, διὰ τὸ νόσημα· οὕτω καὶ ἡμεῖς, οὔτε τοὺς ἱερεῖς, ἐπιτάσσοντας εὐνουχίζεσθαι τοὺς νοσοῦντας, κατακρίνομεν, οὔτε μὴν τοὺς λαϊκοὺς, αὐτοχειρίᾳ πρὸς τὴν ἐκτομὴν χρωμένους αἰτιώμεθα· τοῦτο γὰρ ἰατρείαν τοῦ νοσήματος(2), ἀλλ᾽οὐκ ἐπιβουλὴν τοῦ πλάσματος, ἢ τῆς πλάσεως ὕβριν λογιζόμεθα.

—

ΖΩΝΑΡ. Τὸ εὐνουχίζειν καὶ τοῖς πολιτικοῖς νόμοις ἀπηγόρευται. Ὁ μὲν οὖν ἑαυτὸν ἐκτέμνων, καθὼς ἐν τῷ πρώτῳ κανόνι τῆς οἰκουμενικῆς πρώτης συνόδου εἴπομεν, ἱερωμένος ὢν, καθαιρεῖται, μέλλων δὲ ἱερωθῆναι κωλύεται, ὡς αὐτοφονευτής. Εἰ δὲ ἐκεῖνος ὡς αὐτοφονευτὴς κρίνοιτο, ὁ ἄλλον εὐνουχίζων πάντως ἂν λογίζοιτο φονευτής· εἴη δ᾽ ἂν καὶ τῆς τοῦ Θεοῦ δημιουργίας ὑβριστής· ὃν γὰρ ἐκεῖνος εἰς ἀνδρῴαν φύσιν προσήνεγκε, τοῦτον οὗτος εἰς φύσιν ἄλλην μεταμείβει ἀλλόκοτον· οὔτε γὰρ ἀνδρῷας ἐστὶ φύσεως ὁ ἐκτετμημένος, ἐπεὶ συνουσιάζων οὐ δύναται τέκνον ἐγεῖραι· οὔτ᾽ αὖθις γυναικείας ἐστὶν, ἐπεὶ μὴ τίκτει. Διὰ ταῦτά φησιν ὁ κανών· Εἴ τις ἱερωμένος εὐνουχίζων τινὰ ἐλεγχθείη, εἴτε δι᾽ ἑαυτοῦ, εἴτε δι᾽ ἑτέρου, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. Εἰ δέ τις περιπέσῃ νοσήματι, ἐξ οὗ βιάζοιτο ἐκτμηθῆναι, τότε ἐφίησιν αὐτὸν εὐνουχίζεσθαι, καὶ οὔτε τοὺς χειρουργοῦντας, οὔτε τοὺς ἐπιτάττοντας κολάζει· οὐ γὰρ ὕβρις τοῦ πλάστου τοῦτό ἐστιν, οὔτε μὴν ἐπιβουλὴ τοῦ πλάσματος, ἀλλὰ νόσου θεραπεία.

ΒΑΛΣ. Ἀποστολικὸν κανόνα, φασὶν οἱ Πατέρες τὸν κα΄. κβ΄. κγ΄. καὶ κδ΄. οὗτοι γὰρ διορίζονται, πῶς ὀφείλουσι κολάζεσθαι οἱ τοὺς διδύμους ἑαυτῶν ἐκτέμνοντες. Ὁ δὲ παρὼν κανὼν θεσπίζει, πῶς τιμωρεῖσθαι μέλλουσιν οἱ ἑτέρους εὐνουχίζοντες αὐ-

(1) Π. Χ. Τρ. — βιάζοιτο Βευηρ. — (2) Π. Χ. Τρ. Ἐ. Κ. — σώματος Βευηρ.

τοχείρως, καὶ οἱ τοῦτο ἐπιτρέποντες. Φησὶ γοῦν, ὡς, ἐπεὶ ὁ ἐκτεμὼν ἑαυτὸν, αὐτοφονευτής ἐστι, πάντως ὁ ἕτερον ἐκτεμὼν, ἢ ἐπιτρέψας ἐκτμηθῆναι, φονεύς ἐστιν. Ἀποκαλεῖ δ' αὐτοὺς καὶ ὑβριστὰς τοῦ Θεοῦ· οὓς γὰρ ὁ Θεὸς διὰ τῆς παιδογονίας (1) ἀθανάτους σχεδὸν ἀπειργάσατο, καὶ εἰς ἄρσεν καὶ θῆλυ ἐδημιούργησεν, εἰπὼν πρὸς τούτους, Αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν οἰκουμένην· αὐτοὶ, ὑπεναντίως τῷ προστάγματι τοῦ Θεοῦ, ἕτερόν τι τούτους εἶναι πεποιήκασι διὰ τῆς τῶν διδύμων ἀφαιρέσεως· ὡς τῶν ἐκτετμημένων, μήτε ἀνδρῶν ὄντων, διὰ τὸ μὴ παιδογονεῖν, μήτε γυναικῶν, διὰ τὸ μὴ τίκτειν. Ὥρισαν οὖν οἱ Πατέρες, τοὺς τολμήσοντας εὐνουχίσαι οἱονδήτινα, ἢ αὐτοχείρως, ἢ διὰ προτροπῆς, ἱερωμένους μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἀφορίζεσθαι, εἰ μήπου εἰς νοσοῦντάς τινας τοιοῦτόν τι διαπράξωνται· τούτους γὰρ ἀνευθύνους εἶναι παρεκελεύσαντο· ὅτι ἰατρεία τοῦ πλάσματος τοῦ Θεοῦ, οὐχὶ ὕβρις ἐστὶ, τὸ διὰ νόσον οὕτω γινόμενον. Ἀνάγνωθι τὰ ἐν τοῖς ῥηθεῖσιν ἀποστολικοῖς κανόσι γραφέντα· καὶ τὸν ά. κανόνα τῆς πρώτης συνόδου, καὶ τὰ ἐν αὐτῷ, καὶ τὴν ρμϐ'. Ἰουστινιάνειον νεαρὰν, καταστρωθεῖσαν ἔξωθεν τοῦ ιδ'. κεφ. τοῦ ά. τίτ. τοῦ παρόντος συντάγματος. Σημείωσαι δέ τι καινὸν ἀπὸ τῆς τοῦ κανόνος περιλήψεως ἀναφαινόμενον· ἄνωθεν μὲν γὰρ τοὺς ἱερωμένους εὐνουχίζοντας, ἢ αὐτοχείρως, ἢ ἐξ ἐπιτροπῆς, καθαιρεῖσθαι διορίζονται οἱ Πατέρες· κάτω δὲ, περὶ τῶν διὰ νόσον ἀκρωτηριαζομένων τὸν λόγον ποιούμενοι, τοὺς μὲν λαϊκοὺς, αὐτοχείρως εὐνουχίζοντας, ἢ τὸν ἀκρωτηριασμὸν ἐπιτρέποντας, οὐκ αἰτιῶνται· τοὺς δὲ ἱερωμένους, ἐπιτάττοντας καὶ μόνον, οὐ κατακρίνουσι· μὴ μέντοι γε καὶ αὐτόχειρας τοῦ ἀκρωτηριασμοῦ γενομένους. Σημείωσαι οὖν τοῦτο, ὀφεῖλον συμβαλέσθαι σοι πολλὰ, εἰς τὸ μὴ εἶναι ἀτιμωρήτους τοὺς ἱερωμένους, διὰ νόσον προδιδόντας εἰς ἐκτομὴν ἑαυτοὺς δίχα ἐπιτροπῆς ἐκκλησιαστικῆς. Εἰ γὰρ τιμωρεῖται ὁ ἱερωμένος, ὁ ἕτερον αὐτοχείρως διὰ νόσον ἐκτέμνων, πολλῷ πλέον τιμωρηθήσεται ὁ ἑαυτὸν ἀκρωτηριάζων ἱερωμένος διὰ νόσον.

(1) Χ. Τρ. — παιδοποιίας Βενετ. Ἐ.

ΑΡΙΣΤ. Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, εὐνουχίσειέ τινα, ἢ αὐτοχειρίᾳ, ἢ ἐπιτάγματι, καθαιρείσθω· εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω. Πλὴν εἰ μὴ νοσήματι πρὸς τὴν ἐκτομὴν ἐκβιάζοιτο· ἰατρεία γὰρ τοῦτο, οὐκ ἐπιβουλή.

Κανὼν Θ'.

Τοῦ ἀποστολικοῦ καὶ θείου κανόνος τοὺς ἱερεῖς, τύπτειν ἐπιχειροῦντας πιστοὺς ἁμαρτήσαντας, ἢ ἀπίστους ἀδικήσαντας, καθαιρέσει καθυποβάλλοντος(1), οἱ τὸν οἰκεῖον ἀποθεραπεύειν μηχανώμενοι(2) θυμὸν, καὶ τὰς ἀποςολικὰς διατάξεις παραχαράσσοντες, τοὺς αὐτοχειρίᾳ τύπτοντας ἐξειλήφασι, μήτε τοῦ κανόνος μηδὲν(3) τοιοῦτον ὑποσημαίνοντος, μήτε τοῦ ὀρθοῦ λόγου τοῦτο νοεῖν ἐπιτρέποντος. Μάταιον γὰρ ὡς ἀληθῶς, καὶ λίαν ἐπισφαλὲς, τὸν αὐτοχειρίᾳ μὲν ἐν τῷ τύπτειν τρὶς, ἢ τετράκις πλήξαντα, καθαιρεῖσθαι· ἀδείας δὲ διδομένης τύπτειν ἐξ ἐπιτάγματος, τὸν ἀπηνῶς καὶ μέχρι θανάτου τὴν τιμωρίαν ἐπαύξοντα, παρορᾶσθαι ἀτιμώρητον. Διόπερ, τοῦ κανόνος τὸ τύπτειν ἁπλῶς κολάζοντος, καὶ ἡμεῖς οὕτω συμψηφιζόμεθα. Χρὴ γὰρ τὸν τοῦ Θεοῦ ἱερέα, διδασκαλίαις καὶ νουθεσίαις, ἐσθ' ὅτε δὲ καὶ τοῖς ἐκκλησιαστικοῖς ἐπιτιμίοις, τὸν ἀτακτοῦντα παιδαγωγεῖν, ἀλλὰ μὴ ταῖς μάστιξι καὶ ταῖς πληγαῖς εἰς τὰ τῶν ἀνθρώπων σώματα ἐπιπηδᾶν. Εἰ δέ τινες εἶεν παντελῶς ἀνυποτακτοῦντες, καὶ τῷ σωφρονισμῷ τῶν ἐπιτιμίων μὴ ὑπείκοντες, τούτους, διὰ τῆς πρὸς τοὺς κατὰ τόπον ἄρχοντας ἐγκλήσεως, οὐδεὶς κωλύει σωφρονίζεσθαι. Καὶ γὰρ καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ συνόδου πέμπτος κανὼν, τοὺς θορυβοῦντας (4), καὶ στάσεις τῇ ἐκκλησίᾳ παρεισάγοντας, διὰ τῆς ἔξωθεν χειρὸς ἐκανόνισεν ἐπιστρέφεσθαι.

—

(1) Χ. Τρ. Βευερ. — καθυποβάλλεσθαι διοριζομένου Π. Ε. Κ. — (2) Π. Βευερ. Ε. Κ. — ἐκμηναχώμενοι Χ. Τρ. — (3) Χ. Τρ. Βευερ. Κ. Ε. — τοῦ κανόνος τὶ τοιοῦτον Π. — (4) Χ. Τρ. Βευερ. Κ. — τοὺς θορύβους Π.

ΖΩΝΑΡ. Ὁ τῶν ἁγίων Ἀποστόλων εἰκοστὸς ἕβδομος κανὼν, οὔτε ἐπίσκοπον, οὔτε πρεσβύτερον, οὔτε διάκονον ἐᾷ τύπτειν τοὺς ἁμαρτάνοντας· καθαιρεῖσθαι γὰρ τὸν τοῦτο ποιοῦντα κελεύει. Τινὲς οὖν παρερμηνεύοντες τὸν κανόνα, ἔλεγον, ὅτι διὰ τῶν οἰκείων χειρῶν τύπτειν τοὺς ἱερωμένους ἐκώλυσεν ὁ κανών· ἑτέρῳ δὲ προστάσσειν, καὶ δι' ἐκείνου τύπτειν, ἀκώλυτον. Τοῦτο οὖν ὁ παρὼν κανὼν διορθούμενος, λέγει, ἄτοπον εἶναι καὶ ἐπισφαλὲς τὸ οἴεσθαι τοὺς ἱεροὺς Ἀποστόλους προστάξαι, τὸν μὲν διὰ τῶν οἰκείων χειρῶν τρὶς, ἢ τετράκις πλήξαντα καθαιρεῖσθαι· τὸν δὲ ἐξ ἐπιτάγματος δι' ἑτέρου τύπτοντα ἀπηνῶς καὶ λίαν σφοδρότατα, (τοῦτο γὰρ τὸ, μέχρι θανάτου δηλοῖ), ἀτιμώρητον ἐᾶσθαι· καὶ ταῦτα τοῦ ἀποστολικοῦ κανόνος μὴ διαστίζοντος, ἀλλ' ἁπλῶς τὸ τύπτειν κολάζοντος. Διό φασιν οἱ τῆς συνόδου Πατέρες, καὶ ἡμεῖς ὁμοίως τοῖς Ἀποστόλοις ψηφιζόμεθα· ἵνα μήτε διὰ τῶν οἰκείων χειρῶν οἱ ἱερωμένοι, μήτε ἐξ ἐπιταγῆς δι' ἑτέρου τύπτωσί τινα ἁμαρτήσαντα. Τοὺς γὰρ τοῦ Θεοῦ ἱερεῖς διδασκαλίαις καὶ νουθεσίαις χρὴ παιδεύειν καὶ σωφρονίζειν τοὺς σφαλλομένους· ἐσθ' ὅτε δὲ καὶ τοῖς ἐκκλησιαστικοῖς ἐπιτιμίοις, τουτέστιν, ὅτε μὴ, διδασκόμενοι καὶ νουθετούμενοι, οἱ ἁμαρτάνοντες σωφρονίζονται. Οὐ γὰρ ἐξ ἐπιτιμίων ἄρχεσθαι τῆς παιδείας καὶ τῆς διορθώσεως δεῖ, ἀλλὰ διδάσκειν αὐτοὺς πρότερον καὶ νουθετεῖν, καὶ οὕτω τὴν δραστικωτέραν καὶ ἐπιπονωτέραν ἰατρείαν ἐπάγειν· τὸ δὲ μαστίζειν, καὶ πληγὰς ἐπιτιθέναι τοῖς τῶν ἀνθρώπων σώμασι, καὶ τοῦτον αὐτοῖς ἐπιπηδᾷν τὸν τρόπον, τελείως ἀπαγορεύει· διὰ τοῦ ἐπιπηδᾷν δὲ, τὴν μανικὴν αὐτῶν καὶ ὀργίλον φορὰν ἠνίξατό τε καὶ ὑπέφηνεν. Εἰ δέ τινές, φησι, μήτε διδασκαλίαις, μήτε νουθεσίαις, μήτε μὴν ἐπιτιμίοις κανονικοῖς διορθοῦνται, τοὺς τοιούτους διὰ τῶν κατὰ τόπους ἀρχόντων σωφρονίζεσθαι δεῖ, ὑπομιμνησκομένων παρὰ τῶν ἱερέων, οἷς νουθετοῦσι καὶ ἠπίως θεραπεύουσιν οὐκ ἐπείσθησαν. Τὸ δὲ διὰ τῶν ἀρχόντων τοὺς ἀτάκτους σωφρονίζεσθαι καὶ ἐπιστρέφεσθαι, καὶ πάλαι δεικνύουσιν ὁρισθὲν παρὰ τῆς ἐν Ἀντιοχείᾳ συνόδου, ἐν πέμπτῳ αὐτῆς κανόνι.

ΒΑΛΣ. Ὁ μὲν κζ', ἀποστολικὸς κανὼν καθαιρεῖσθαι διορί-

ζεται τοὺς ἱερωμένους τύπτοντας οἱονδήτινα πιστὸν, ἢ ἄπιστον, ἀδικήσαντα, ἢ ἁμαρτήσαντα. Ὁ δὲ παρὼν κανών φησιν, ὡς τινὲς ἱερωμένοι τὴν ἀπὸ τοῦ κανόνος ἐπαγομένην ἐκ τούτου καθαίρεσιν πτοούμενοι, αὐτοχείρως μὲν οὐ πλήττουσι· τὸν δὲ οἰκεῖον θυμὸν θεραπεύοντες, δι ἑτέρων τύπτουσιν· ὡς τοῦ ἀποστολικοῦ κανόνος μὴ ῥητῶς τάχα κωλύσαντος καὶ τοῦτο· κἀντεῦθεν περιγράφουσι τὴν ἀποστολικὴν παραγγελίαν. Ἔστι δὲ καὶ ἐπισφαλὲς, μᾶλλον μὲν οὖν, καὶ ἄτοπον, τὸ λέγειν περὶ τῶν Ἀποστόλων, ὡς τιμωροῦσι μὲν τὸν ἅπαξ, ἢ δὶς τυχὸν οἰκειοχείρως πλήξαντα· τὸν δὲ ἐξ ἐπιτροπῆς θανασίμους καὶ πολλὰς πληγάς τινι ἐπάγοντα μὴ κολάζεσθαι. Διὸ καὶ ὥρισαν οἱ Πατέρες, ἀκολούθως τοῖς παρὰ τῶν ἁγίων Ἀποστόλων διορισθεῖσι, μήτε αὐτοχείρως τοὺς ἱερωμένους κολάζειν οἱονδήτινα, μήτε δι ἑτέρας χειρὸς, ἀλλὰ διὰ νουθεσιῶν, ἢ καὶ ἐπιτιμίων, παιδεύειν τοὺς ἁμαρτάνοντας· τοὺς δὲ μὴ ἐπιστρέφοντας διὰ τούτων, διὰ προσελεύσεως ἀρχοντικῆς τιμωρεῖσθαι. Ὥσπερ δέ τινος εἰπόντος, καὶ τοῦτο ἀπρεπὲς εἶναι καὶ ἀνοίκειον τοῖς ἱερωμένοις· φησὶν ὁ κανὼν, ὡς ἡ ἐν Ἀντιοχείᾳ σύνοδος, ἐν πέμπτῳ κανόνι, τοὺς θορυβοῦντας τὴν ἐκκλησίαν κληρικοὺς σωφρονίζεσθαι διὰ τῆς ἔξωθεν χειρὸς, ἤτοι τῆς πολιτικῆς, διωρίσατο. Εἴποι δέ τις, καὶ πῶς, τοῦ κανόνος ταῦτα διοριζομένου, οἱ τῶν ἐλευθερίων σπουδασμάτων διδάσκαλοι, γραμματικοὶ δηλονότι καὶ τοιοῦτοι ἕτεροι, ἱερωμένοι ὄντες, ἀπροκριματίσως τύπτουσι τοὺς μαθητὰς αὐτῶν; Λύσις. Τὸ ἐξ ἀμύνης καὶ θυμοῦ τύπτειν κολάζεται, οὐ μὴν ἡ διὰ παίδευσιν καὶ μάθησιν μετὰ λόγου καὶ χειρὸς μετρία παίδευσις τῶν διδασκάλων. Διὰ τοῦτο γὰρ καὶ ὁ κανὼν εἶπε κολάζεσθαι τὸ ἐπιπηδᾷν τοὺς ἱερωμένους εἰς τὰ τῶν ἀνθρώπων σώματα· παριστῶν διὰ τοῦ ἐπιπηδᾷν ῥήματος τὴν κατὰ μαινομένους ἄλογον ὄρεξιν τῶν μετὰ θυμοῦ τυπτόντων. Ἐπείτοι γε εἰ ἐκωλύετο ἡ τοιαύτη τῶν διδασκάλων πληγὴ, οὐδὲ οἱ ἐκκλησιαστικοὶ κληρικοὶ διὰ σκυτάλης ἵνα ἐσωφρόνιζον, κατὰ προτροπὴν πρωτεκδικικὴν, τοὺς ἁμαρτάνοντας δούλους καὶ ἐλευθέρους, τῷ πρωτεκδίκῳ προσερχομένους· ἀλλ' ὅμως τοῦτο ἀπροκριματίστως γίνεται. Ὥστε, εἴ τις ἱερωμένος τύψει τινὰ διὰ τῆς πρωτεκδικικῆς σκυ-

τάλης μετὰ θυμοῦ καὶ μανίας, ὡς καὶ ἄλλοτέ ποτε συνέβη ἐπὶ τῆς ἱερατείας τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Λουκᾶ, οὐκ ἐκφευξεῖται τὴν κόλασιν· καὶ αὖθις, εἰ μετὰ θυμοῦ τύψει τὸν μαθητὴν ὁ διδάσκαλος, φονευτηρίῳ ῥοπάλῳ χρησάμενος, οὐκ ἀτιμώρητος ἔσται.

ΑΡΙΣΤ. Οἱ ἱερεῖς, ἢ πιστοὺς ἁμαρτήσαντας, ἢ ἀπίστους ἀδικήσαντας τύπτοντες, ἢ αὐτοχειρίᾳ, ἢ ἐπιτάγματι, καθαιρείσθωσαν. Χρὴ γὰρ διδασκαλίαις, νουθεσίαις, καὶ ἐκκλησιαστικοῖς ἐπιτιμίοις τοὺς ἀτάκτους παιδαγωγεῖν, οὐ μάστιξιν, ἢ πληγαῖς· εἰ δὲ μὴ ὑπακούοιεν, διὰ τῆς πρὸς τοὺς ἄρχοντας ἐγκλήσεως αὐτοὺς σωφρονίζειν.

Κανὼν Ι'.

Οἱ τοῖς πάθεσιν ἑαυτοὺς ἐκδότους παραστήσαντες, οὐ μόνον τὴν ἀπὸ τῶν ἱερῶν κανόνων τιμωρίαν οὐ φρίττουσιν, ἀλλὰ καὶ αὐτῶν ἐκείνων κατορχεῖσθαι τετολμήκασι. Στρεβλοῦσι γὰρ αὐτοὺς (1), καὶ πρὸς τὸ ἐμπαθὲς αὐτῶν ἀποκιβδηλεύουσι τοῦ θελήματος· ἵνα τῇ φιλοτιμίᾳ τῆς ἐμπαθείας, κατὰ τὸν Θεολόγον Γρηγόριον, μὴ μόνον ἀνεύθυνον αὐτοῖς ᾖ τὸ κακὸν, ἀλλὰ καὶ θεῖον νομίζοιτο. Τὸν γὰρ ἀποστολικὸν κανόνα, τὸν λέγοντα (2), Σκεῦος χρυσοῦν, ἢ ἀργυροῦν, ἁγιασθὲν, ἢ ὀθόνην, μηδεὶς ἔτι εἰς οἰκείαν χρείαν σφετεριζέσθω· παράνομον γάρ· εἰ δέ τις φωραθείη, ἐπιτιμάσθω ἀφορισμῷ. Τοῦτο οὖν εἰς συνηγορίαν τῶν οἰκείων παρανομημάτων(3) ἐκλαμβάνοντες, οὔ, φασὶ, δεῖν καθαιρέσεως ἀξίους κρίνεσθαι τοὺς τὴν σεβασμίαν τῆς ἁγίας τραπέζης ἐνδυτὴν εἰς οἰκεῖον χιτῶνα, ἢ εἰς ἕτερόν τι (4) τῶν ἀμφίων μετασχηματίζοντας· οὐ μὴν, ἀλλ' οὐδὲ τοὺς τὸ ἅγιον ποτήριον, ὢ τῆς ἀσεβείας! ἢ τὸν σεπτὸν δίσκον, ἢ τὰ τούτοις παραπλήσια, εἰς ἰδίαν ἐκ-

(1) Χ. Τρ. Βευερ. Ἐ. Κ. — ἑαυτοὺς Π. — (2) Ἀποστ. Καν. οβ', ογ'. — τοῦ Νύσσης ή. — (3) Χ. Τρ. Βευερ. Ἑ. Κ. — εἰς οἰκείαν συνηγορίαν τῶν ἑαυτῶν παρανομημάτων Π. — (4) Χ. Τρ. Βευερ. Ἑ. Κ. — ἢ ἕτερόν τι Π.

δαπανῶντας χρείαν, ἢ καταχραίνοντας· ὁ γὰρ κανών, φασι, τοὺς εἰς τοῦτο περιπίπτοντας, ἀφορισμῷ μὲν καθυποβάλλεσθαι, ἀλλ' οὐ καθαιρέσει ἐδικαίωσεν. Ἀλλὰ τίς ἂν ἀνάσχοιτο τῆς τοσαύτης παραποιήσεως καὶ δυσσεβείας (1) τὸ μέγεθος; Τοῦ γὰρ κανόνος τοῖς τὸ μόνον (2) ἁγιασθὲν εἰς χρῆσιν, ἀλλ' οὐκ εἰς τελείαν ἁρπαγὴν, σφετεριζομένοις, τὸν ἀφορισμὸν ἐπιπέμποντος, αὐτοὶ καὶ τοὺς καθαρπάζοντας, καὶ ἱεροσυλοῦντας τὰ τῶν ἁγίων ἅγια, ἐλευθεροῦσι τῆς καθαιρέσεως, καὶ τοὺς εἰς βρωμάτων ὑπηρεσίαν, ὅσον γε τῇ ἐφ' ἑαυτοὺς (3) κρίσει, τοὺς σεβασμίους δίσκους, ἢ τὰ ἱερὰ ποτήρια καταμολύνοντας (4), ἀκαθαιρέτους εἰσάγουσι. Καίτοι φανεροῦ καθεστηκότος τοῦ μιάσματος, καὶ δῆλον ὂν, ὡς οἱ τὰ τοιαῦτα πράττοντες, οὐ μόνον καθαιρέσεως, ἀλλὰ καὶ τῆς ἐσχάτης δυσσεβείας· τῷ ἐγκλήματι περιπίπτουσι. Διόπερ ὥρισεν ἡ ἁγία σύνοδος, τοὺς τὸ ἅγιον ποτήριον, ἢ τὸν δίσκον, ἢ τὴν λαβίδα, ἢ τὴν σεβασμίαν ἐνδυτὴν, ἢ τὸν λεγόμενον ἀέρα, ἢ ἁπλῶς (5) τοὺς ἕν τι τῶν ἐν τῷ θυσιαστηρίῳ ἱερῶν καὶ ἁγίων σκευῶν, ἢ ἀμφιασμάτων, εἰς ἴδιον κέρδος ὑφαρπάζοντας, ἢ εἰς χρῆσιν ἀποχρωμένους ἀνίερον, παντελεῖ καθαιρέσει καθυποβάλλεσθαι. Τὸ μὲν γάρ ἐστι βεβηλῶσαι, τὸ δὲ, συλῆσαι τὰ ἅγια. Τοὺς μέντοι τὰ ἔξωθεν τοῦ θυσιαστηρίου ἀφωρισμένα σκεύη τινὰ, ἢ ἄμφια, εἰς χρῆσιν ἀνίερον ἑαυτοῖς, ἢ ἑτέροις παρέχοντας, τούτους καὶ ὁ κανὼν ἀφορίζει, καὶ ἡμεῖς συναφορίζομεν· τοὺς δὲ παντελῶς ἀφαρπάζοντας, τῇ τῶν ἱεροσύλων καταδίκῃ καθυποβάλλομεν.

—

ΖΩΝΑΡ. Ὁ ἑβδομηκοστὸς τρίτος τῶν ἁγίων Ἀποστόλων κα-

(1) Π. Βευερ. Κ. — δυσμενείας Χ. Τρ. — (2) Ἴσ. τοῖς μόνον τό. — (3) Χ. Τρ. — ὑφ' ἑαυτῶν Π. Βευερ. — ἐφ' ἑαυτοῖς Σ. Ῥ. — (4) καταμολύνοντας, ἢ καταλύοντας Σ. Ῥ. — (5) Π. Χ. Τρ. Σ. Ῥ. Ἀριστην. — οὐ κεῖται παρὰ Βευερ. τὰ ἀπὸ τοῦ, τοὺς τὸ ἅγιον ποτήριον . . . ἕως τοῦ, ἢ ἁπλῶς.

νὼν φησι· Σκεῦος χρυσοῦν, ἢ ἀργυροῦν, ἁγιασθὲν, ἢ ὀθόνην, μηδεὶς ἔτι εἰς οἰκείαν χρῆσιν σφετεριζέσθω, παράνομον γάρ. Εἰ δέ τις φωραθείη, ἐπιτιμάσθω ἀφορισμῷ. Τούτῳ οὖν τῷ κανόνι κεχρημένοι τινὲς ἔλεγον· ὅτι, τὸν τὰ ἅγια, ὁποῖα ἂν εἶεν, εἰς οἰκείαν μετασχηματίζοντα χρείαν, ἀφορίζεσθαι, ἀλλ' οὐ καθαιρεῖσθαι χρεὼν, στρεβλοῦντες καὶ διαστρέφοντες τὴν τούτου διάνοιαν. Τοὺς γοῦν οὕτως ἐκλαμβάνοντας τὸν κανόνα, κακίζων ὁ παρὼν κανὼν, διαστίζει τοὺς κοινοῦντας τὰ ἅγια· καὶ αὐτὰ δὲ τὰ ἱερὰ διαστίζει ἀπ' ἀλλήλων. Τὰ μὲν γὰρ, φησιν, ἐνεργοῦσι περὶ τὸ θυσιαστήριον, οἷον δίσκος ἱερὸς, καὶ ποτήριον, καὶ τὰ τῆς παναγοῦς τραπέζης ἐνδύματα, καὶ ὅσα τοιαῦτα· τὰ δὲ ἔξω που τὸν ναὸν κοσμοῦσιν, ὡς αἱ λυχνίαι, καὶ τὰ περὶ τὸν ναὸν αἰωρούμενα ἔπιπλα, καὶ ἄλλα τοιαῦτα. Τοὺς μὲν οὖν τὰ περὶ τὸν ναὸν εἰς οἰκείαν χρείαν (1) λαμβάνοντας, ἢ ἑτέροις παρέχοντας, καὶ οὕτω κοινοῦντας αὐτὰ, ἀφορίζεσθαι διορίζεται· περὶ τούτων γάρ, φησι, καὶ τὸν ἀποστολικὸν διατάττεσθαι κανόνα, ὡς ἁπλῶς ἁγιασθέντων τῇ πρὸς τὸν ναὸν ἀναθέσει. Τοὺς δὲ ἐκ τῶν τοῦ θυσιαστηρίου λαμβάνοντάς τι καὶ νοσφιζομένους αὐτὸ, ἢ εἰς χρῆσιν μετάγοντας κοινὴν καὶ ἀνίερον, καθαιρεῖσθαι κελεύει. Τὸ μὲν γὰρ ἰδιώσασθαι ταῦτα, συλῆσαί ἐστι τὰ ἅγια, καὶ ἱερόσυλος ὁ τοιοῦτος κρίνεται· τὸ δὲ χρήσασθαι αὐτοῖς, καὶ κοινῶσαι, βεβηλῶσαί ἐστι τὰ ἅγια, καὶ ἑκατέρωθεν τοῖς τοιούτοις δικαίως ἐπάγεται ἡ καθαίρεσις. Εἰ δὲ καὶ ἐκ τῶν ἔξω καὶ περὶ τὸν ναὸν ὄντων σκευῶν, ἢ ἀμφίων, ἤγουν ἐνδυμάτων, ὑφαρπάσουσί τινές τι, ἵνα κέρδος αὐτὸ ποιήσωνται, καὶ ἐκείνους ὡς ἱεροσύλους ὁ κανὼν οὗτος καταδικάζει.

ΒΑΛΣ. Τινὲς καθαρπάζοντες τὰ ἅγια, καὶ κοινοποιοῦντες αὐτὰ, ὡς, τυχὸν, τὴν ἐνδυτὴν τῆς ἁγίας τραπέζης εἰς ἐνδυμενίαν μεταποιούμενοι, κἀντεῦθεν καθαιρέσει καθυποβαλλόμενοι, τῷ ογ'. ἀποστολικῷ κανόνι ἐχρῶντο, λέγοντι· Σκεῦος χρυσοῦν, ἢ ἀργυροῦν, ἁγιασθὲν, ἢ ὀθόνην, μηδεὶς ἔτι εἰς οἰκείαν χρείαν σφετεριζέσθω· εἰ δὲ μὴ, ἀφοριζέσθω· καὶ ἤθελον διὰ μόνου ἀφορισμοῦ

(1) Χ. Τρ. Ἐ. — χρῆσιν Βευερ.

κολασθῆναι. Φησὶ γοῦν ὁ παρὼν κανὼν, καθαιρεῖσθαι τοὺς εἰς ἴδιον κέρδος ἀφαρπάζοντας καὶ κοινοποιοῦντας, ἢ ἀποχρωμένους εἰς κοινὴν καὶ ἀνίερον χρῆσιν ἅγιόν τι σκεῦος ἐκ τῶν τοῦ ἁγίου θυσιαστηρίου. Τοὺς μέντοι κοινοποιοῦντας διὰ χρήσεως ἀνιέρου, ἢ ἑτέροις διδόντας χάριν ὁμοίας χρήσεως τὰ ἐκτὸς τοῦ βήματος ἱερὰ σκεύη καὶ ἔπιπλα, διορίζεται εἶναι ἀφωρισμένους· τοὺς δὲ ἀφαρπάζοντας αὐτὰ, ὡς ἱεροσύλους κατακρίνεσθαι. Τούτων οὕτως ἐχόντων, ἠρώτησέ τις, εἰ ἆρα πλέον τι παρὰ τὸν ἀποστολικὸν κανόνα, διορίζεται ὁ κανὼν οὗτος; Λύσις. Ὁ μὲν ἀποστολικὸς κανὼν περὶ τῶν κοινοποιούντων μόνον, μὴ μέντοι καὶ ἰδιουμένων τὰ ἱερὰ θεσπίζει· ὁ δὲ παρὼν, περὶ τῶν σφετεριζομένων, ἢ καταχραινόντων, ἢ μεταμειβόντων αὐτὰ εἰς ἰδιωτικὴν χρῆσιν· καὶ διὰ τοῦτο, ἐκεῖνος μὲν δι' ἀφορισμοῦ μόνου κολάζει τὸν ἡμαρτηκότα· οὗτος δὲ διὰ καθαιρέσεως, πλέον ἐκείνου λιπαίνων τὴν κόλασιν. Ὅτι τοίνυν εἰσὶ τὰ ἁμαρτήματα διάφορα, ἔχουσι καὶ τὴν κόλασιν διάφορον· ἐκεῖνος γάρ, φησιν ὁ κανὼν, ἐβεβήλωσε μόνον τὸ ἅγιον, οὐ μὴν καὶ μετεποίησεν· οὗτος δὲ ἔκλεψε καὶ ἠχρείωσεν αὐτό· διὸ καὶ καθαιρέσει καθυποβληθήσεται. Ἔτι ἠρώτησέ τις· διὰ τί περὶ τὸ τέλος τὸν λόγον ποιούμενος ὁ κανὼν χάριν τῶν ἔξωθεν τοῦ βήματος ἱερῶν, τοὺς μὲν κοινοποιοῦντας αὐτὰ ἀφορίζει, τοὺς δὲ ἀφαρπάζοντας, ὡς ἱεροσύλους κατακρίνει; ὤφειλεν εἰπεῖν καὶ τούτους καθαιρεῖσθαι· Λύσις. Ταυτόν ἐστι τὸ καθαιρεῖσθαι τὸν ἁρπάζοντα, καὶ τὸ καταδικάζεσθαι ὡς ἱερόσυλον· ὅτι καὶ ὁ ἱερόσυλος ἀτιμοῦται, τῇ δὲ ἀτιμίᾳ ἕπεται καὶ καθαίρεσις· ἀνάγνωθι καὶ τό β'. κεφ. τοῦ δευτέρου τίτλου τοῦ παρόντος συντάγματος, περὶ ἱερῶν σκευῶν καὶ ἀναθημάτων, διδάσκον πλατύτερον, καὶ τὰ ἐν αὐτῷ παρ' ἡμῶν γραφέντα· ἐξαιρέτως δὲ ἀνάγνωθι τὸ κά. κεφ. τοῦ β'. τίτλου τοῦ έ. βιβλίου τῶν βασιλικῶν, οὗ ἡ δύναμις κατεστρώθη παρὰ Φωτίου ἐν τῷ β'. κεφ. τοῦ β'. τίτλου τοῦ παρόντος συντάγματος.

ΑΡΙΣΤ. Οἱ τὸ ἅγιον ποτήριον, ἢ τὸν δίσκον, ἢ ἐνδυτὴν, ἢ λαβίδα, ἢ τὸν λεγόμενον ἀέρα, ἢ ἁπλῶς ἕν τι τῶν ἱερῶν σκευῶν, ἢ ἀμφιασμάτων, εἰς ἴδιον κέρδος ὑφαρπάζοντες, ἢ εἰς

χρῆσιν ἀνίερον ἀποχρώμενοι, καθαιρείσθωσαν. Τὸ μὲν γάρ ἐςι βεβηλῶσαι, τὸ δὲ, ἱεροσυλῆσαι. Οἱ δὲ τὰ ἔξω τοῦ θυσιαστηρίου σκεύη, ἢ ἄμφια, εἰς χρῆσιν ἀνίερον ἑαυτοῖς, ἢ ἄλλοις, παρέχοντες, ἀφοριζέσθωσαν· οἱ δὲ παντελῶς ἀφαρπάζοντες, ὡς ἱερόσυλοι καταδικαζέσθωσαν.

Κανὼν ΙΑ΄.

Τοὺς πρεσβυτέρους, ἢ διακόνους, κοσμικὰς ἀρχὰς, ἢ φροντίδας ἀναδεχομένους, ἢ τὰς ἐν τοῖς οἴκοις τῶν ἀρχόντων λεγομένας κουρατωρείας, οἱ θεῖοι καὶ ἱεροὶ κανόνες καθαιρέσει καθυποβάλλουσι. Τοῦτο οὖν καὶ ἡμεῖς ἐπικυροῦντες, καὶ περὶ τῶν λοιπῶν, τῶν ἐν κλήρῳ κατειλεγμένων διοριζόμεθα· ὡς, εἴτις αὐτῶν κοσμικὰς ἀρχὰς μεταχειρίζοιτο, ἢ τὰς ἐν τοῖς τῶν ἀρχόντων οἴκοις, ἢ προαστείοις λεγομένας κουρατωρείας ἀναδέχοιτο, τοῦτον τοῦ οἰκείου κλήρου ἐκδιώκεσθαι· οὐδεὶς γὰρ δύναται, κατὰ τὴν τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν αὐτόλεκτον καὶ ἀψευδεστάτην φωνὴν, δυσὶ κυρίοις δουλεύειν (1).

ΖΩΝΑΡ. Πολλὴν ἔθεντο σπουδὴν καὶ οἱ σεπτοὶ Ἀπόστολοι, καὶ οἱ τῶν συνόδων Πατέρες, τοὺς ἱερωμένους κοσμικὰς ἀρχὰς, ἢ διοικήσεις πραγμάτων μὴ ἀναδέχεσθαι· καὶ διάφοροι κανόνες περὶ τούτου ἐξεφωνήθησαν, οὓς οἱ Πατέρες οὗτοι διὰ τοῦ παρόντος κανόνος ἐπικρατύνουσι, προστιθέντες καί τι πλέον παρὰ τὰ ἐκείνοις διωρισμένα. Οἱ μὲν γὰρ περὶ ἱερέων καὶ διακόνων τοὺς κανόνας ἐξέθεντο, κωλύοντας αὐτοὺς ἀρχὰς καὶ φροντίδας ἀναδέχεσθαι κοσμικάς· οὗτοι δὲ καὶ πάντα κληρικὸν διορίζονται μὴ μεταχειρίζεσθαι κοσμικὰς ἀρχὰς, ἢ τὰς ἐν οἴκοις ἀρχοντικοῖς καὶ ἀγροῖς καλουμένας κουρατωρείας· τοὺς δὲ τὸν κανόνα παραβαίνοντας, ἐκδιώκεσθαι τοῦ κλήρου κε-

---

(1) Ματθ. ς΄. 24. — Λουκ. ιϛ΄. 13.

λεύουσι. Οὐδεὶς γὰρ δύναταί, φασι, δυσὶ κυρίοις δουλεύειν, κατὰ τὴν παρ' αὐτοῦ λεχθεῖσαν τοῦ Κυρίου φωνήν.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἐπικρατύνων τοὺς προεκφωνηθέντας κανόνας, χάριν τοῦ μὴ ἐνεργεῖν τοὺς ἱερωμένους κοσμικὰς δουλείας (1), προστίθησι, μὴ μόνον τοὺς ἐντὸς τοῦ ἁγίου βήματος, ἀλλὰ καὶ τοὺς ἐκτὸς αὐτοῦ κληρικοὺς, τοιοῦτόν τι ποιοῦντας, ἐκ τοῦ κλήρου διώκεσθαι. Ἐπεὶ δὲ ἐν τῷ ϛ'. ἀποστολικῷ κανόνι, καὶ ἐν τῷ πα'. καὶ ἐν ἑτέροις κανόσιν, ἀλλὰ μὴν καὶ ἐν τῷ ιγ'. κεφ. τοῦ ή. τίτλου τοῦ παρόντος συντάγματος, ἱκανῶς περὶ τούτου ἐγράψαμεν, ἀνάγνωθι ταῦτα, καὶ ἀρκέσουσιν εἰς ἑρμηνείαν.

ΑΡΙΣΤ. Εἴ τις τῶν ἐν κλήρῳ κατειλεγμένων κοσμικὰς ἀρχὰς μεταχειρίζοιτο, ἢ τὰς ἐν τοῖς οἴκοις, ἢ προαστείοις κουρατωρείας, ἐκδιωκέσθω τοῦ κλήρου· οὐ γὰρ δύναται Θεῷ δουλεύειν καὶ μαμωνᾷ.

Κανὼν ΙΒ'.

Τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου, τοὺς ἐν τοῖς εὐκτηρίοις οἴκοις, ἔνδον οἰκίας οὖσι, λειτουργοῦντας, ἢ βαπτίζοντας κληρικοὺς, παρὰ γνώμην τοῦ ἐπισκόπου, καθαιρέσει καθυποβαλλούσης, καὶ ἡμεῖς τούτῳ συμψηφιζόμεθα. Τῆς γὰρ ἁγίας ἐκκλησίας ὀρθοτομούσης, καὶ τὸν ἀληθῆ πρεσβευούσης (2) λόγον, καὶ τὸ σεμνὸν τῆς πολιτείας συντηρούσης τε καὶ ἐκδιδασκούσης, ἀπηχὲς καὶ ἀνόσιον παραχωρεῖν τοὺς ἀπαιδευσίᾳ καὶ ἀναρχίᾳ (3) συζῶντας, εἰς τὰς οἰκίας ὑποδυομένους, τὴν ταύτης εὐταξίαν διασπᾶν, καὶ πολλῆς ταραχῆς καὶ σκανδάλων ἀποπληροῦν. Διόπερ ἡ νῦν ἱερὰ καὶ θεοσυνέργητος σύνοδος, τῇ οἰκουμενικῇ καὶ ἁγίᾳ ἕκτῃ συνόδῳ συμφωνοῦσα, ἀποκεκληρωμένους εἶναι τοὺς ἐν τοῖς εὐκτηρίοις οἴκοις, ἔνδον οἰκίας οὖσι, λειτουργοῦντας,

(1) Χ. Τρ. — κοσμικαῖς δουλείαις Βευερ. 'Ε. — (2) Σ. Ρ. Χ. Τρ. Βευερ. Ε. Κ. — πρεσβευούσης καὶ ἐκδιδούσης; Π. — (3) Ε. Κ. Σ. 'Ρ. — τὸ, καὶ ἀναρχίᾳ, οὐ κεῖται ἐν Π.

διωρίσατο, τῆς ἀποκληρώσεως δηλονότι παρὰ τοῦ κατὰ τὸν τόπον ἐπισκόπου αὐτοῖς ἀπονεμηθείσης (1). Εἰ δέ τινες παρὰ τούτους, τοῦ ἐπισκόπου μὴ εὐδοκοῦντος, εἰς τὰς οἰκίας εἰσπίπτοντες (2) ἅπτεσθαι τῆς λειτουργίας ἀποτολμῶσι, τούτους μὲν καθαιρεῖσθαι, τοὺς δὲ τῆς αὐτῶν κοινωνίας μετασχόντας, τῷ ἀφορισμῷ καθυποβάλλεσθαι.

—

ΖΩΝΑΡ. Ὁ τῆς ἕκτης συνόδου τριακοστὸς πρῶτος κανών, οὗ μέμνηται ὁ κανὼν οὗτος, ἡρμήνευται ἐκεῖ, ᾧ σύμψηφοι γεγόνασι καὶ οἱ τοῦτον ἐκθέμενοι τὸν κανόνα, ὁρίσαντες ἀποκεκληρωμένους εἶναι, ἤγουν ὡρισμένους καὶ ἐπιτετραμμένους, ἐκκεχωρημένους, τοὺς ἐν εὐκτηρίοις ἐντὸς οἴκων οὖσι λειτουργεῖν μέλλοντας, τῆς ἀποκληρώσεως, τουτέστι τῆς ἐκχωρήσεως, παρὰ τοῦ κατὰ χώραν ἐπισκόπου γινομένης. Εἰ δ' ἕτεροί τινες παρὰ τοὺς ἐκχωρηθέντας τολμήσουσι λειτουργῆσαι ἐν εὐκτηρίοις οὖσιν ἐντὸς οἰκιῶν, ἄνευ γνώμης τοῦ ἐπισκόπου, ἐκείνους μὲν καθαιρεῖσθαι, τοὺς δὲ συγκοινωνήσαντας αὐτοῖς ἀφορίζεσθαι.

ΒΑΛΣ. Καὶ ὁ παρὼν κανών, παρακελευόμενος καθαιρεῖσθαι τοὺς λειτουργοῦντας ἢ βαπτίζοντας εἰς εὐκτήρια παρὰ γνώμην τοῦ ἐπισκόπου, ἡρμηνεύθη ἐν τῷ λά. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ ἐν τῷ ἀποστολικῷ λά. κανόνι· καὶ ἀνάγνωθι τὰ ἐν ἐκείνοις γραφέντα.

ΑΡΙΣΤ. Μηδεὶς ἐν ναῷ, ἔνδον οἰκίας τυγχάνοντι, λειτουργείτω, ἢ βαπτιζέτω κληρικός, παρὰ γνώμην τοῦ ἐπισκόπου· καθαιρεῖται γάρ. Ἀποκεκληρωμένοι οὖν παρὰ τοῦ ἐπισκόπου ἔστωσαν οἱ ἐν εὐκτηρίοις ἔνδον οἴκων οὖσι λειτουργοῦντες. Οἱ δὲ παρὰ τοῦτο τολμῶντες, καθαιρείσθωσαν· καὶ οἱ κοινωνοῦντες, ἀφοριζέσθωσαν.

Κανὼν ΙΓ'.

Τὰς τῶν αἱρετικῶν ζιζανίων ἐπισπορὰς ἐν τῇ τοῦ

(1) Π. Κ. Ἐ. — ἐπινεμηθείσης Βευερ. — (2) Χ. Τρ. Βευερ. 'Ε. Κ. Σ. Ρ. — ἐμπίπτοντες Π.

Χριστοῦ ἐκκλησίᾳ ὁ παμπόνηρος καταβαλών, καὶ ταύτας ὁρῶν τῇ μαχαίρᾳ τοῦ Πνεύματος τεμνομένας (1) προῤῥίζους, ἐφ' ἑτέραν ἦλθε μεθοδείας ὁδόν, τῇ τῶν σχισματικῶν μανίᾳ τὸ τοῦ Χριστοῦ σῶμα μερίζειν ἐπιχειρῶν. Ἀλλὰ καὶ ταύτην αὐτοῦ τὴν ἐπιβουλὴν ἡ ἁγία σύνοδος ἀναστέλλουσα παντελῶς, ὥρισε τοῦ λοιποῦ, ἵνα, εἴτις πρεσβύτερος, ἢ διάκονος, ὡς δῆθεν ἐπὶ ἐγκλήμασι τισι τοῦ οἰκείου κατεγνωκὼς ἐπισκόπου, πρὸ συνοδικῆς διαγνώσεως καὶ ἐξετάσεως, καὶ τῆς ἐπ' αὐτῷ τελείας κατακρίσεως, ἀποστῆναι τολμήσοι τῆς αὐτοῦ κοινωνίας, καὶ τὸ ὄνομα αὐτοῦ ἐν ταῖς ἱεραῖς τῶν λειτουργιῶν εὐχαῖς, κατὰ τὸ παραδεδομένον τῇ ἐκκλησίᾳ, μὴ ἀναφέροι, τοῦτον ὑποκεῖσθαι καθαιρέσει, καὶ πάσης ἱερατικῆς ἀποστερεῖσθαι τιμῆς. Ὁ γὰρ ἐν πρεσβυτέρου τάξει τεταγμένος, καὶ τῶν μητροπολιτῶν ἁρπάζων τὴν κρίσιν, καὶ πρὸ κρίσεως αὐτὸς κατακρίνων, ὅσον τὸ ἐπ' αὐτῷ, τὸν οἰκεῖον πατέρα καὶ ἐπίσκοπον, οὗτος οὐδὲ τῆς τοῦ πρεσβυτέρου ἐστὶν ἄξιος τιμῆς ἢ ὀνομασίας. Οἱ δὲ τούτῳ (2) συνεπόμενοι, εἰ μὲν τῶν ἱερωμένων εἶέν τινες, καὶ αὐτοὶ τῆς οἰκείας τιμῆς ἐκπιπτέτωσαν· εἰ δὲ μοναχοί, ἢ λαϊκοί, ἀφοριζέσθωσαν παντελῶς τῆς ἐκκλησίας, μέχρις ἂν τὴν πρὸς τοὺς σχισματικοὺς συνάφειαν διαπτύσαντες, πρὸς τὸν οἰκεῖον ἐπίσκοπον ἐπιστραφεῖεν (3).

—

ΖΩΝΑΡ. Ποικίλως, φησὶν ὁ κανών, ἐπιβουλεύει τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ ὁ πονηρός. Ἐπεὶ γὰρ τὰ ζιζάνια τῶν αἱρέσεων εἶδεν ἐκτετμημένα τῇ μαχαίρᾳ τοῦ Πνεύματος, ἑτέραν ἐμηχανήσατο μέθοδον, ἵνα τὸ σῶμα τῆς ἐκκλησίας μερίσῃ (4), καὶ διασπάσῃ τὴν ἕνωσιν. Αὕτη δ' ἐστὶν ἡ τῶν σχισματικῶν μανία, ἣν ἀναστέλλοντές, φασιν οἱ τῆς συνόδου, ὁρίζομεν, μηδένα

(1) Χ. Τρ. Βεβερ. Ἑ. Κ. — ἐκτεμνομένας Π. — (2) Π. — τούτοις Χ. Τρ. Βευερ. Ἑ. Κ. — (3) Χ. Τρ. Βευερ. — ἐπιστραφεῖεν ἐπίσκοπον Π. — (4) μελίσῃ Χ. Τρ.

πρεσβύτερον, ἢ διάκονον τολμᾷν ἀφίςασθαι τοῦ ἐπισκόπου, ὑφ᾽ὃν τελεῖ, καὶ μὴ συγκοινωνεῖν αὐτῷ, μηδὲ ἀναφέρειν τὸ ὄνομα αὐτοῦ, κατὰ τὸ ἔθος, ὡς τάχα κατεγνωκότα τοῦ ἐπισκόπου αὐτοῦ, πρὶν ἢ συνοδικῶς ζητηθῇ ἡ κατὰ τοῦ ἐπισκόπου φερομένη αἰτία, καὶ τελεία προσενεχθῇ ψῆφος, κατακρίνουσα αὐτόν· τὸν δὲ τοῦτο ποιήσαντα καθαιρεῖσθαι. Ὁ γὰρ ἐν πρεσβυτέρου ἀξίᾳ ὢν, καὶ τῶν μητροπολιτῶν ἁρπάζων τὴν κρίσιν, (τοὺς γὰρ ἐπισκόπους οἱ μητροπολῖται κρίνουσι), καὶ πρὸ κρίσεως τὸν οἰκεῖον ἐπίσκοπον, ὃς πατήρ ἐστιν αὐτοῦ κατὰ πνεῦμα, κρίνων, οὐκ ἔστιν ἄξιος ὡς πρεσβύτερος τιμᾶσθαι, ἢ ὀνομάζεσθαι· καὶ οἱ συνεπόμενοι δὲ τῷ σχισματικῷ, καὶ ἀποσχίζοντες καὶ αὐτοὶ, ἱερωμένοι μὲν ὄντες, καθαιρείσθωσαν· λαϊκοὶ δὲ τυγχάνοντες, ἢ μοναχοὶ, ἀφοριζέσθωσαν παντελῶς τῆς ἐκκλησίας, ἀντὶ τοῦ, ἐξωθείσθωσαν, ὥστε μηδὲ εἰσιέναι εἰς ἐκκλησίαν. Ἔστι γὰρ ἀφορισμὸς, καὶ τὸ μόνης εἴργεσθαι τῆς μεταλήψεως τῶν θείων μυστηρίων· ἔστι δὲ, καὶ τὸ ἔξω τῆς ἐκκλησίας εἶναι, ὃν παντελῆ ὠνόμασαν, ὡς βαρύτερον, *καὶ τελείως χωρίζοντα τῶν πιστῶν τὸν οὕτως ἀφορισθέντα* (1)· καιρὸν δὲ τῷ ἀφορισμῷ τούτῳ ὁρίζουσι τὴν ἐκείνων ἐπιστροφήν. Ἔσονται γάρ, φησιν, ἀφωρισμένοι, μέχρις ἂν τῷ οἰκείῳ ἐπισκόπῳ προσέλθωσι, μισήσαντες τὴν πρὸς τοὺς σχισματικοὺς οἰκείωσιν.

ΒΑΛΣ. Παυθείσης τῇ χάριτι τοῦ Θεοῦ τῆς ἀπὸ τῶν αἱρέσεων διαστάσεως, ἑώρων οἱ Πατέρες τινὰς ἱερωμένους ὑποκλεπτομένους κατὰ μεθοδείαν σατανικὴν εἰς τὴν τῶν σχισματικῶν μανίαν, ὡς ἀφισταμένους ἀπὸ τῆς τῶν ἐπισκόπων αὐτῶν κοινωνίας, μὴ ὄντων ἀσεβῶν, ἢ ἀδίκων, κατὰ τὸν λά. ἀποστολικὸν κανόνα· διὰ μόνον δὲ τὸ λαληθῆναί τινα ἴσως ἐγκληματικὰ κατ᾽ αὐτῶν. Τοῦτο γοῦν, ὡς καταμερίζον τὸ σῶμα τοῦ Χριστοῦ, ἤτοι τὴν ἐκκλησίαν, διορθούμενοι, ὥρισαν καθαιρεῖσθαι τοὺς τολμήσοντας ἱερεῖς, ἢ διακόνους, ἀνευλόγως

---

(1) τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Κ. καὶ Βευερ. ἀλλ᾽ ἐν Χ. Τρ. καὶ λατινιστὶ παρὰ Κ,

οὕτως ἀποστῆναι τῆς μετὰ τοῦ ἐπισκόπου αὐτῶν κοινωνίας, πρὸ ἐντελοῦς συνοδικῆς καταδίκης τούτου, καὶ μὴ ἀναφέρειν ἐν ταῖς θείαις ἱεροτελεστίαις τὸ ὄνομα αὐτοῦ, κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν. Ὅτι, φασὶν, οὐκ ἔστιν ἄξιος πρεσβυτέρου ὄνομα ἢ τιμὴν ἔχειν ὁ ἁρπάζων ἀναιδῶς τὴν τοῦ μητροπολίτου κρίσιν, ἣν ἔμελλε κατὰ τοῦ ἐπισκόπου ἴσως ἐξαγαγεῖν, καὶ κατακρίνων, ὅσον κατὰ τὸ οἰκεῖον συνειδὸς, τὸν οἰκεῖον πατέρα, τὸν ἐπίσκοπον, διὰ τοῦ μὴ συγκοινωνεῖν αὐτῷ, ὡς δῆθεν ἀληθῶς ὄντι κατακεκριμένῳ. Καὶ οὐ μόνον τούτους, ἀλλὰ καὶ τοὺς συνακολουθήσαντας αὐτοῖς, ἱερωμένους μὲν ὄντας, διορίζονται καθαιρεῖσθαι· λαϊκοὺς δὲ, ἀφορίζεσθαι, καὶ εἶναι ἐπιτετιμημένους, μέχρις ἂν ἐν ἐπιγνώσει τοῦ κακοῦ γένωνται, καὶ τῷ οἰκείῳ ἐπισκόπῳ προσέλθωσιν. Ἀνάγνωθι καὶ τὸ ά. κεφ. τοῦ ιβ'. τίτλου τοῦ παρόντος συντάγματος· καὶ τὸν ά. κανόνα τοῦ ἁγίου Βασιλείου. Ἐρωτήσει δέ τις, ὡς, τοῦ κανόνος μόνους κολάζοντος τοὺς σχισματικοὺς πρεσβυτέρους καὶ διακόνους, ἐὰν ἕτερός τις κληρικὸς παρὰ τούτους ἀποστῇ ἐκ τῆς τοῦ ἐπισκόπου αὐτοῦ κοινωνίας, κολασθήσεται, ἢ οὔ; Λύσις. Τοῦ κανόνος ἐφεξῆς καθαιροῦντος μὴ μόνους τοὺς πρωταιτίους ἱερωμένους, ἀλλὰ καὶ τοὺς συνεπομένους αὐτοῖς, ἐξ ἀνάγκης πάντες οἱ πρωταίτιοι τοῦ σχίσματος κληρικοὶ, οἷοι ἂν καὶ ὦσιν, ἐκ τῶν οἰκείων βαθμῶν διωχθήσονται. Καλῶς δὲ πρεσβυτέρων καὶ διακόνων μόνων ἐμνήσθη ὁ κανὼν, ὅτι κυρίως τὸ σχίσμα παρὰ τούτων γίνεται, ὡς ἐνεργούντων τὰ τοῦ ἁγίου θυσιαστηρίου, καὶ δυναμένων ἀναφέρειν, ἢ μὴ ἀναφέρειν τὸ ὄνομα τοῦ ἐπισκόπου. Καὶ μή μοι εἴπῃς, καὶ πῶς ὑποκατιὼν ὁ κανὼν πρεσβυτέρου μόνου ἐμνήσθη, οὐ μὴν καὶ διακόνου; Ἀκούσεις γὰρ, ὅτι τοῖς ἱερεῦσι πάλιν πλέον τῶν διακόνων, τὰ περὶ τῆς ἀναφορᾶς τῶν ἐπισκόπων ἀνήκουσι· καὶ διὰ τοῦτο περὶ αὐτῶν ἐποίησε τὸν πλείονα λόγον.

ΑΡΙΣΤ. Εἴ τις πρεσβύτερος, ἢ διάκονος, ὡς δῆθεν ἐπ' ἐγκλήματι τοῦ οἰκείου κατεγνωκὼς ἐπισκόπου, πρὸ συνοδικῆς διαγνώσεως, ἀποστῇ τῆς αὐτοῦ κοινωνίας, καὶ μὴ ἀναφέρῃ αὐτοῦ τὸ ὄνομα, καθαιρείσθω, καὶ πάσης ἱερατικῆς στερείσθω τιμῆς.

Οἱ δὲ συνεπόμενοι, ἱερατικοὶ μὲν ὄντες, τῆς οἰκείας τιμῆς ἐκπιπτέτωσαν· μοναχοὶ δὲ, ἢ λαϊκοὶ, ἀφοριζέσθωσαν, μέχρις ἐπιστραφεῖεν.

Κανὼν ΙΔ'.

Εἴ τις ἐπίσκοπος ἐγκλήματος πρόφασιν ποιούμενος κατὰ (1) τοῦ οἰκείου μητροπολίτου, πρὸ συνοδικῆς διαγνώσεως, ἀποστήσει ἑαυτὸν τῆς πρὸς αὐτὸν κοινωνίας, καὶ μὴ ἀναφέρει τὸ ὄνομα αὐτοῦ, κατὰ τὸ εἰθισμένον, ἐν τῇ θείᾳ μυσταγωγίᾳ, τοῦτον ὥρισεν ἡ ἁγία σύνοδος καθῃρημένον εἶναι· εἰ μόνον ἀποστὰς τοῦ οἰκείου μητροπολίτου σχίσμα ποιήσοι (2). Δεῖ γὰρ ἕκαστον τὰ οἰκεῖα μέτρα γινώσκειν, καὶ μήτε τὸν πρεσβύτερον καταφρονεῖν τοῦ οἰκείου ἐπισκόπου, μήτε τὸν ἐπίσκοπον τοῦ οἰκείου μητροπολίτου (3).

—

ΖΩΝΑΡ. Τὰ αὐτὰ τῷ ἀνωτέρω κανόνι καὶ ὁ κανὼν οὗτος, περὶ ἐπισκόπων ἀποσχιζόντων ἐκ τῶν ἰδίων μητροπολιτῶν, καὶ μὴ κοινωνούντων αὐτοῖς, μηδὲ ἀναφερόντων αὐτοὺς, διορίζεται.

ΒΑΛΣ. Καὶ ὁ παρὼν κανὼν ὅμοιος κατὰ πάντα ἐστὶ τῷ πρὸ αὐτοῦ, κἂν διαλλάττῃ περὶ τὰ πρόσωπα.

ΑΡΙΣΤ. Καὶ εἴτις ἐπίσκοπος αὐτὸ τοῦτο τολμήσει κατὰ τοῦ οἰκείου μητροπολίτου, καθαιρείσθω. Δεῖ γὰρ ἕκαστον τὰ οἰκεῖα μέτρα γινώσκειν.

Κανὼν ΙΕ'.

Τὰ ὁρισθέντα ἐπὶ (4) πρεσβυτέρων, καὶ ἐπισκόπων, καὶ μητροπολιτῶν, πολλῷ μᾶλλον καὶ (5) ἐπὶ πατριαρχῶν ἁρμόζει. Ὥστε, εἴ τις πρεσβύτερος, ἢ ἐπίσκοπος, ἢ μητροπολίτης τολμήσειεν ἀποστῆναι τῆς πρὸς τὸν οἰκεῖον πα-

---

(1) Π. Βευερ. — ἢ, κατὰ, οὐ κεῖται παρὰ Ἐ. Κ. Χ. Τρ. — (2) Π. Χ. Τρ. Κ. Ἑ. — Εἰ μόνον ἐλεγχθείη ἀποστὰς τοῦ οἰκείου μητροπολίτου καὶ σχίσμα ποιήσας Βευερ. Σ. Ῥ. — (3) μήτε τὸν μητροπολίτην τοῦ οἰκείου πατριάρχου Σ. Ῥ. — (4) Χ. Τρ. Βευερ. Ἑ. Κ. — περὶ, Π. — (5) Χ. Τρ. Βευερ. — ὁ, καὶ, οὐ κεῖται ἐν Π. Δ. Ἑ.

τριάρχην κοινωνίας, καὶ μὴ ἀναφέροι τὸ ὄνομα αὐτοῦ, κατὰ τὸ ὡρισμένον καὶ τεταγμένον (1), ἐν τῇ θείᾳ μυσταγωγίᾳ, ἀλλὰ πρὸ ἐμφανείας συνοδικῆς καὶ τελείας αὐτοῦ κατακρίσεως, σχίσμα ποιήσει, τοῦτον ὥρισεν ἡ ἁγία σύνοδος, πάσης ἱερατείας παντελῶς ἀλλότριον εἶναι, εἰ μόνον ἐλεγχθείη τοῦτο παρανομήσας. Καὶ ταῦτα μὲν ὥρισται καὶ ἐσφράγισται(2) περὶ τῶν προφάσει τινῶν ἐγκλημάτων τῶν οἰκείων ἀφισταμένων προέδρων, καὶ σχίσμα ποιούντων, καὶ τὴν ἕνωσιν τῆς ἐκκλησίας διασπώντων. Οἱ γὰρ δι' αἵρεσίν τινα, παρὰ τῶν ἁγίων συνόδων, ἢ Πατέρων κατεγνωσμένην, τῆς πρὸς τὸν πρόεδρον κοινωνίας ἑαυτοὺς διαστέλλοντες, ἐκείνου τὴν αἵρεσιν δηλονότι δημοσίᾳ κηρύττοντος, καὶ γυμνῇ τῇ κεφαλῇ ἐπ' ἐκκλησίας διδάσκοντος, οἱ τοιοῦτοι, οὐ μόνον τῇ κανονικῇ ἐπιτιμήσει οὐχ ὑποκείσονται (3), πρὸ συνοδικῆς διαγνώσεως ἑαυτοὺς τῆς πρὸς τὸν καλούμενον ἐπίσκοπον κοινωνίας ἀποτειχίζοντες, ἀλλὰ καὶ τῆς πρεπούσης (4) τιμῆς τοῖς ὀρθοδόξοις ἀξιωθήσονται. Οὐ γὰρ ἐπισκόπων, ἀλλὰ ψευδεπισκόπων καὶ ψευδοδιδασκάλων(5) κατέγνωσαν, καὶ οὐ σχίσματι τὴν ἕνωσιν τῆς ἐκκλησίας κατέτεμον, ἀλλὰ σχισμάτων (6) καὶ μερισμῶν τὴν ἐκκλησίαν ἐσπούδασαν ῥύσασθαι.

ΖΩΝΑΡ. Ἅπερ ὥρισαν οἱ τῆς συνόδου Πατέρες περὶ μητροπολιτῶν καὶ ἐπισκόπων, ταῦτα λέγουσι πλέον ἁρμόζειν καὶ περὶ πατριαρχῶν. Εἰ γάρ τις, φασί, μητροπολίτης, ἢ ἐπίσκοπος, ἢ πρεσβύτερος, τολμήσει ἀποστῆναι τοῦ συγκοινωνεῖν τῷ πατριάρχῃ αὐτοῦ, καὶ ἀναφέρειν τὸ ὄνομα αὐτοῦ, πρὶν ἢ ἐμφανίσῃ τῇ συνόδῳ κατὰ τοῦ πατριάρχου, καὶ πρὸ τοῦ ἐξετασθῆναι ταῦτα, καὶ κατακριθῆναι (7) ἴσως αὐτὸν, ὁ τοιοῦτος, ὡς σχίσμα

---

(1) Π. Χ. Τρ. — διατεταγμένον Βευερ. Ἑ. Κ. — (2) Χ. Τρ. Βευερ. — ἐσφράγισταί τε καὶ ὥρισται Π. Ἑ Κ. — (3) ὑπόκεινται Π. — (4) Π. Βευερ. Ἑ. Κ. — προσηκούσης Χ. Τρ. — (5) Π. Ἑ. Κ. Σ. Ῥ. — καὶ ψευδεπισκόπων διδασκάλων Χ. Τρ. — ἀλλὰ ψευδεπισκόπων διδασκάλων Βευερ. — (6) καὶ σχισμάτων Χ. Τρ. — (7) κριθῆναι Χ. Τρ.

ποιήσας, πάσης ἱερατείας ἀλλότριος ἔσται παντελῶς. Εἴρηται δὲ τὸ, πάσης, ἀντὶ τοῦ, οἱ μὲν ἀρχιερεῖς, τῆς ἀρχιερατικῆς, οἱ δὲ ἱερεῖς, τῆς ἱερατικῆς· τὸ δὲ παντελῶς, ὅτι οὐκ ἐπί τινα χρόνον εἰρχθήσονται τοῦ ἱερουργεῖν, εἶτα ἀποκαταστήσονται αὖθις εἰς τὴν οἰκείαν τιμήν· ἀλλὰ τελείως ἐκπεσοῦνται τῆς ἀξίας αὐτῶν, καὶ οὐδὲ τιμὴν ἕξουσι μόνην ἀρχιερεῦσι καὶ ἱερεῦσιν ἀνήκουσαν. Εἶτα ἐπάγουσιν, ὅτι ταῦτα μὲν ὥρισται καὶ ἐσφράγισται, τουτέστι, βεβαίως τετύπωται, (ἡ γὰρ σφραγὶς εἰς βεβαίωσίν ἐστι τῶν σφραγιζομένων καὶ φυλακήν· *ὅτι καὶ τὰ φυλακῆς ἄξια σφραγίζονται ἵν' εἶεν ἀνεπιβούλευτα*) (1) περὶ τῶν προφάσει τινῶν ἐγκλημάτων τῶν οἰκείων ἀφισταμένων προέδρων, καὶ τὴν ἕνωσιν διασπώντων τῆς ἐκκλησίας, ὅτε δηλαδὴ πορνείαν ἴσως τῷ αἰτιωμένῳ προσάπτουσιν, ἢ ἱεροσυλίαν, ἢ ἐπὶ χρήμασι χειροθεσίαν, ἢ ἄλλα τοιαῦτά τινα. Εἰ δ' ὁ πατριάρχης τυχὸν, ἢ ὁ μητροπολίτης, ἢ ὁ ἐπίσκοπος αἱρετικὸς εἴη, καὶ τοιοῦτος, ὡς δημοσίᾳ κηρύττειν τὴν αἵρεσιν, καὶ γυμνῇ τῇ κεφαλῇ, ἀντὶ τοῦ, ἀνυποστόλως καὶ μετὰ παῤῥησίας, διδάσκει τὰ αἱρετικὰ δόγματα, οἱ ἀποσχίζοντες αὐτοῦ, ὁποῖοι ἂν εἶεν, οὐ μόνον κολάσεως ἄξιοι οὐκ ἔσονται διὰ τοῦτο, ἀλλὰ καὶ τιμῆς, ὡς ὀρθόδοξοι, ἀξιωθήσονται, χωρίζοντες ἑαυτοὺς τῆς τῶν αἱρετικῶν κοινωνίας· τοῦτο γὰρ δηλοῖ, τὸ, ἀποτειχίζοντες· (τὸ γὰρ τεῖχος τῶν ἐντὸς αὐτοῦ πρὸς τοὺς ἐκτὸς χωρισμός ἐστιν)· οὐ γὰρ ἐπισκόπου ἀπέστησαν, ἀλλὰ ψευδεπισκόπου καὶ ψευδοδιδασκάλου· οὐδὲ σχίσμα κατὰ τῆς ἐκκλησίας ἐποίησαν, ἀλλὰ μᾶλλον σχισμάτων τὴν ἐκκλησίαν ἀπήλλαξαν, ὅσον τὸ ἐπ' αὐτοῖς.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν τὰ αὐτὰ τῷ ιγ'. καὶ ιδ'. κανόνι παρακελεύεται μέχρι τινός. Φησὶ γὰρ, πλέον ἁρμόζειν τὰ προσδιορισθέντα καὶ ἐπὶ πατριάρχου, ὅταν ἐκ τῆς τούτου κοινωνίας ἀποστήσῃ τις ἑαυτὸν τολμηρῶς. Ὡς δέ τινος εἰπόντος, ἐὰν ἐξ εὐλόγου αἰτίας, τυχὸν προφάσει αἱρέσεως, ἀποστῇ τις (2) ἀπὸ τῆς τοῦ ἀρχιερέως κοινωνίας, διὰ τί κολασθήσεται; Ἐπάγουσιν οἱ Πατέρες, ὡς ταῦτα πάντα τότε γίνονται, ὅταν

---

(1) Χ. Τρ. — Τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. ἀλλὰ μόνον λατινιστὶ παρὰ Κ. — (2) Βευερ. — ἀποστήσῃ τις Χ. Τρ. 'Ε.

προφάσει ἐγκληματικῆς τινος ὑποθέσεως καθ' ἑαυτόν τις τοῦ οἰκείου ποιμένος καταγνώσηται, καὶ ἀποσχίσῃ ἑαυτὸν ἐκ τούτου, καὶ τοιουτοτρόπως διαῤῥήξῃ τὴν ἕνωσιν τῆς ἐκκλησίας. Εἰ γὰρ μὴ διὰ ἐγκληματικὴν αἰτίασιν, ἀλλὰ διὰ αἵρεσιν χωρίσῃ τις ἑαυτὸν ἀπὸ τοῦ ἐπισκόπου αὐτοῦ, ἢ τοῦ μητροπολίτου, ἢ τοῦ πατριάρχου, ὡς ἐπ' ἐκκλησίας διδάσκοντος ἀνερυθριάστως διδάγματά τινα ἀπηλλοτριωμένα τοῦ ὀρθοῦ δόγματος, ὁ τοιοῦτος καὶ πρὸ ἐντελοῦς διαγνώσεως, πολλῷ δὲ πλέον καὶ μετὰ διάγνωσιν, ἐὰν ἑαυτὸν ἀποτειχίσῃ, ἤγουν χωρίσῃ ἀπὸ τῆς κοινωνίας τοῦ πρώτου αὐτοῦ, οὐ μόνον οὐ τιμωρηθήσεται, ἀλλὰ καὶ τιμηθήσεται, ὡς ὀρθόδοξος· οὐ γὰρ ἀπέσχισεν αὐτὸν ἀπὸ ἐπισκόπου, ἀλλ' ἀπὸ ψευδεπισκόπου καὶ ψευδοδιδασκάλου· καὶ τὸ παρὰ τούτου γεγονὸς ἐπαίνου ἄξιόν ἐστιν, ὡς μὴ κατατέμνον τὴν ἐκκλησίαν, ἀλλὰ μᾶλλον συνάπτον αὐτὴν, καὶ τοῦ μερισμοῦ ἀπαλλάττον. Εἴρηται δὲ τῷ κανόνι τὸ, πάσης ἱερατείας παντελῶς ἀλλότριον εἶναι τὸν σχισματικὸν, διὰ τοὺς λέγοντας ὀφείλειν τοὺς τοιούτους ἐπὶ καιρόν τινα τῆς ἱερατείας παύεσθαι, καὶ μὴ καθαιρεῖσθαι. Ἐγκληματικὰ δὲ αἰτιάματά εἰσι, πορνεία, ἱεροσυλία, καὶ τῶν κανόνων ἀθετήσεις. Καλῶς δὲ εἶπεν ὁ κανὼν ἐπαινετέους εἶναι τοὺς ἀποσχίζοντας ἑαυτοὺς καὶ πρὸ καταδίκης, ἀπὸ τῶν διδασκόντων αἱρετικὰ διδάγματα, καὶ ὄντων προφανῶς αἱρετικῶν. Εἰ γὰρ κρύφα (1) καὶ μετὰ ὑποστολῆς ψιθυρίζονται τὰ τῆς αἱρέσεως παρὰ τοῦ πρώτου, ὡς ἀμφιβάλλοντος, οὐκ ὀφείλει τις ἐξ αὐτοῦ πρὸ καταδίκης ἀποσχισθῆναι· εἰκὸς γάρ ἐστι μεταῤῥυθμισθῆναι τοῦτον πρὸς τὸ ὀρθόδοξον, πρὸ τῆς ἐντελοῦς ἀποφάσεως, καὶ ἀποστῆναι τῆς αἱρέσεως. Σημείωσαι ταῦτα, ἴσως ὠφελήσοντα κατὰ τῶν λεγόντων, μὴ καλῶς ἡμᾶς ἀποσχισθῆναι ἀπὸ τοῦ θρόνου τῆς παλαιᾶς Ῥώμης, πρὸ τοῦ καταδικασθῆναι τοὺς περὶ ταύτην ὡς κακόφρονας. Καὶ ὁ μὲν παρὼν κανὼν τοὺς διὰ δογματικὴν αἰτίαν ἀποσχίζοντας (2) οὐ κολάζει· ὁ δὲ λά. ἀποστολικὸς κανὼν, καὶ τοὺς κατεγνωκότας τῶν οἰκείων ἐπι-

(1) Χ. Τρ. Ἑ. — εἰ γὰρ ἀποκρύφα καὶ μετὰ ἀποστολῆς Βευερ. — (2) Χ' Τρ. Ἑ. — ἀποτειχίζοντας Βευερ.

σκόπων, ὡς προδήλως ἀδικούντων, καὶ ἀποσχίσαντας ἐξ αὐτῶν, ἀνευθύνους συντηρεῖ.

ΑΡΙΣΤ. Ὡσαύτως καὶ εἴ τις ἐπίσκοπος, ἢ μητροπολίτης, κατὰ τοῦ πατριάρχου τοιαῦτα τολμήσει, πάσης ἱερατείας ἀλλοτριούσθω. Εἰ δέ τινες ἀποσταῖέν τινος, οὐ διὰ πρόφασιν ἐγκλήματος, ἀλλὰ διὰ αἵρεσιν, ὑπὸ συνόδου, ἢ ἁγίων Πατέρων κατεγνωσμένην, τιμῆς καὶ ἀποδοχῆς ἄξιοι, ὡς ὀρθόδοξοι.

Κανὼν ΙϚ'.

Διὰ τὰς φιλονεικίας τε καὶ ταραχὰς, τὰς ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ συμβαινούσας, καὶ τοῦτο ὁρίσαι ἀναγκαῖόν ἐςι· τὸ, μηδενὶ τρόπῳ ἐπίσκοπον καταστῆναι ἐν τῇ ἐκκλησίᾳ, ἧς ἔτι ὁ προεστὼς ζῇ, καὶ ἐν τῇ ἰδίᾳ συνίσταται τιμῇ, εἰμὴ αὐτὸς ἑκὼν τὴν ἐπισκοπὴν παραιτήσεται. Χρὴ γὰρ πρότερον τὴν αἰτίαν τοῦ μέλλοντος τῆς ἐπισκοπῆς ἐκδιώκεσθαι, κανονικῶς ἐξεταζομένην, εἰς πέρας ἄγεσθαι· εἶθ' οὕτω, μετὰ τὴν αὐτοῦ καθαίρεσιν, ἕτερον ἀντ' αὐτοῦ εἰς τὴν ἐπισκοπὴν προβιβάζεσθαι. Εἰ δέ τις τῶν ἐπισκόπων ἐν τῇ ἰδίᾳ συνιστάμενος τιμῇ, μήτε παραιτεῖσθαι βούλοιτο, μήτε τὸν οἰκεῖον ἐθέλοι(1) ποιμαίνειν λαὸν, ἀλλὰ τῆς οἰκείας ἀποστὰς ἐπισκοπῆς, ὑπὲρ τὸ ἑξάμηνον ἐν ἑτέρῳ διατρίβοι τόπῳ, μήτε βασιλικῷ προστάγματι κατεχόμενος, μήτε ταῖς τοῦ οἰκείου πατριάρχου λειτουργίαις ὑπηρετούμενος, μήτε μὴν ὑπὸ νόσου χαλεπῆς τε, καὶ ἀκινησίαν ἐμποιούσης παντελῆ συνεχόμενος· ὁ τοιοῦτος οὖν, ὁ κατὰ μηδεμίαν τῶν εἰρημένων προφάσεων κωλυόμενος, τῆς οἰκείας ἀφιστάμενος ἐπισκοπῆς, καὶ ὑπὲρ τὸν ἑξαμηνιαῖον χρόνον ἐν ἑτέρῳ διατρίβων(2) τόπῳ, τῆς τοῦ ἐπισκόπου τιμῆς τε καὶ ἀξίας ἀλλοτριωθήσεται παντελῶς. Τὸν γὰρ τῆς ἐμπιστευθείσης αὐτῷ καταμελοῦντα ποίμνης, καὶ ἐν ἑτέρῳ ὑπὲρ τὸ ἑξάμηνον χρονοτριβοῦντα τόπῳ, ὥρισεν

(1) Χ. Τρ. Βευερ. Ἑ. Κ. — τὸ, ἐθέλοι, οὐ κεῖται ἐν τῷ Π. — (2) Π. ἐν ἑτέρῳ τόπῳ χρονοτριβῶν Κ. Ἑ.

ἡ ἁγία σύνοδος τῆς ἀρχιερωσύνης (1), δι' ἧς ποιμαίνειν ἐτάχθη, παντελῶς ἀλλότριον καθιστάναι, καὶ εἰς τὸν αὐτοῦ τῆς ἐπισκοπῆς τόπον ἕτερον ἀντ' αὐτοῦ προχειρίζεσθαι (2).

ΖΩΝΑΡ. Τινὲς, ὡς ἔοικε, πάλαι, ἢ αἰτιαμάτων ἁπλῶς (3) λαληθέντων κατ' ἐπισκόπων, ἢ παραιτήσεων παρ' αὐτῶν δοθεισῶν, πρὸ τοῦ τὰ αἰτιάματα ἐξετασθῆναι, ἢ τὰς αἰτίας σκοπηθῆναι τῶν παραιτήσεων, ἑτέρους εἰς τὰς ἐκκλησίας τῶν αἰτιαθέντων, ἢ παραιτησαμένων, ἐχειροτόνουν, ὅπερ στάσεις καὶ θορύβους ἐνεποίει ταῖς ἐκκλησίαις. Διὰ ταῦτα τοίνυν ἡ σύνοδος ὥρισε, μὴ χειροτονεῖσθαι ἐπίσκοπον ἐν ἐκκλησίᾳ, ἧς ὁ ἐπίσκοπος ζῇ, καὶ οὐκ ἀπεκινήθη τῆς ἰδίας τιμῆς, ἤγουν τῆς ἐπισκοπικῆς ἀξίας· δεῖ γάρ, φησι, πρότερον κανονικῶς ἐξετάζεσθαι τὴν αἰτίαν τὴν κατ' αὐτοῦ ἐπαγομένην, καὶ εἰς πέρας ἄγεσθαι, τουτέστιν εἰς ἀπόφασιν· καὶ ὅτε κανονικῶς ἐκεῖνος καθαιρεθῇ, ἕτερον χειροτονεῖσθαι εἰς τὴν ἐπισκοπήν· ὁμοίως φησὶ καὶ ὁ τέταρτος κανὼν τῆς ἐν Σαρδικῇ συνόδου. Εἰ δέ τις ἐπίσκοπος, τοῦ δικαίου τῆς ἐπισκοπῆς ἀντεχόμενος, οὔτε τὸν οἰκεῖον ποιμαίνει λαὸν, οὔτε παραιτεῖται, εἰ εὔλογον αἰτίαν ἴσως ἔχει παραιτήσεως, ἀλλὰ πλέον ἓξ μηνῶν ἐν ἑτέρῳ διατρίβει τόπῳ, ἐκπεσεῖται καὶ τῆς ἐπισκοπῆς, καὶ τῆς ἀξίας αὐτῆς, εἰ μήπου, ἢ ἐκ βασιλικοῦ προστάγματος κατέχεται διά τινα χρείαν, ἢ τῷ οἰκείῳ πατριάρχῃ ἀναγκαίως ὑπηρετεῖ, ἢ νόσῳ τινὶ χαλεπῇ καὶ βαρείᾳ συνέχεται, καὶ τοιαύτῃ, ὡς ἀκινησίας αὐτῷ αἰτίαν γίνεσθαι· τότε γὰρ συγγνώμην ἕξει ἀποδημῶν τῆς ἐκκλησίας αὐτοῦ· ἄνευ δὲ τῶν τοιούτων αἰτιῶν ἀποδημῶν ὑπὲρ τὸ ἑξάμηνον, καὶ ἀλλαχοῦ διατρίβων, ἀλλοτριωθήσεται τῆς ἀρχιερωσύνης, καὶ ἕτερος εἰς τὴν ἐπισκοπὴν ἐκείνην ἀντεισαχθήσεται.

ΒΑΛΣ. Πολλάκις τινὲς ἐπίσκοποι διὰ ἐπηρείας πρακτορικὰς (4),

---

(1) Χ. Τρ. Βευερ. Σ. 'Ρ. — καὶ τῆς ἀρχιερωσύνης Π. — (2) Χ. Τρ. Βευερ. — καταλέγεσθαι Π. Ἐ. Κ. — (3) Βευερ. Κ. — αἰτιαμάτων αὐτοῖς λαληθέντων Χ. Τρ. (4) Χ. Τρ. — πρακτορικὰς Βευερ. 'Ε.

ἢ διὰ ἐπιθέσεις γειτονούντων, ἢ δι' ἀνυποταξίαν λαοῦ, παρῃτοῦντο (1) ἀπὸ μικροψυχίας τὰς οἰκείας ἐπισκοπάς. Οἱ γοῦν μητροπολῖται τὰς τοιαύτας παραιτήσεις δεχόμενοι, ἑτέρους ἐπισκόπους ἐχειροτόνουν· ἔστι δ' ὅτε καὶ πρὸ τοῦ κατεξετασθῆναι τὰ παρά τινων κατ' αὐτῶν εἰσαγόμενα ἐγκληματικὰ αἰτιάματα, ἑτέρους ἐψηφίζοντο. Φασὶ γοῦν οἱ Πατέρες, ὡς ἐπεὶ τοῦτο στάσεων καὶ θορύβων ἐκκλησιαστικῶν ἐστι παραίτιον, ὁρίζομεν, μὴ ψηφίζεσθαι ἐπίσκοπον, ζῶντος τοῦ προέδρου τῆς ἐκκλησίας, εἰ μήπω ἀπὸ κατεξετάσεως ἀναφανῇ δεκτὴ ἡ τοῦ ζῶντος παραίτησις, ἢ καταδικασθῇ ἀπὸ συνοδικῆς ἀποφάσεως· τηνικαῦτα γὰρ καὶ ζῶντος τούτου χειροτονηθήσεται ἕτερος. Ὡς δέ τινος εἰπόντος, τί δὲ γενήσεται εἰς τὸν λαὸν τῆς ἐπισκοπῆς, ἐὰν ὁ προϊστάμενος ταύτης οὐ ποιεῖ παραίτησιν κανονικήν, ἀλλὰ χρονοτριβεῖ ἔξω τῆς οἰκείας ἐπισκοπῆς; ἐπήγαγον· ὡς, εἴ τις ἐπίσκοπος ὑπὲρ τὸ ἑξάμηνον ἀποδημήσει ἐκ τῆς ἐκκλησίας αὐτοῦ, χωρὶς βασιλικῆς ἢ πατριαρχικῆς προστάξεως, ἢ δίχα βαρείας νόσου, μὴ παραχωρούσης αὐτῷ ἐκ τόπου εἰς τόπον μεταβαίνειν, ἀλλότριος τῆς ἀρχιερωσύνης γενήσεται, καὶ ἀντ' αὐτοῦ χειροτονηθήσεται ἕτερος. Ἐπεὶ δὲ ἐκ τούτων μὲν ἀναφαίνεται παραδεκτέας εἶναι τὰς παρὰ τῶν ἐπισκόπων ὁπωσδήποτε γινομένας παραιτήσεις· ἕτεροι δὲ κανόνες, καὶ αὐτὴ (2) ἡ πρὸς Δόμνον ἐπιστολὴ τοῦ ἁγίου Κυρίλλου, ἤτοι τὸ ά. καὶ γ'. κεφ. αὐτῆς, διορίζονται, μὴ ἀπεριμερίμνως τὰς τῶν ἐπισκόπων παραιτήσεις δέχεσθαι· ὀφείλεις καὶ τὸν παρόντα κανόνα πρὸς ἐκεῖνα συμβιβάσαι· ἀνάγνωθι καὶ τὸ ιά. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ. Ὅτι δὲ τὸ μὲν ϐ'. κεφ. τοῦ ή. τίτλου τοῦ παρόντος συντάγματος, ἤτοι τὸ ἐν τούτῳ περιεχόμενον ιή. καὶ ιθ'. κεφ. τοῦ ά. τίτλου τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, ὅπερ ἐστὶ μέρος τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς, δοκεῖ ἐναντιοῦσθαι τῷ παρόντι κανόνι, συνεζητήθη παρά τινων, τίνι προσέχειν ὀφείλομεν; Δοκοῦσι δὲ ἐναντιοῦσθαι ἐν τούτοις· ὁ κανὼν ἐφιλοτιμήσατο εἰς ἀποδημίαν τῷ ἐπισκόπῳ ἑξαμηνιαῖον καιρόν· ἡ νεαρὰ εἰς χρονιαῖον διάστημα τοῦτον ἐφήπλω-

(1) Χ. Τρ. Ἐ. — παραιτοῦνται Βευερ. — (2) τὸ, αὐτὴ, οὐ κεῖται ἐν Χ. Τρ.

σεν. Ἔτι ὁ κανὼν τοὺς ὑπὲρ τὸ ἑξάμηνον ἀποδημοῦντας ἐκ τῶν οἰκείων ἐκκλησιῶν ἀρχιερεῖς, ἀσυζητήτως ἐξ αὐτῶν ἀλλοτριοῦσθαι διωρίσατο· ἡ νεαρὰ πρότερον δαπάνας ἀρχιερεῦσι μὴ χορηγεῖσθαι παρὰ τῶν οἰκονόμων, μετὰ τὴν τοῦ χρόνου παραδρομὴν, παρεκελεύσατο, καὶ οὕτω μετακαλεῖσθαι αὐτοὺς ὑπὸ τῶν οἰκείων κληρικῶν· καὶ εἰ μηδὲ οὕτω πεισθῶσιν, ἑτέρους χειροτονεῖσθαι. Ὁ κανὼν ἐκχωρεῖ τοῖς ἀρχιερεῦσι καὶ πλέον τοῦ ἐνιαυτοῦ ἀποδημεῖν, παρὰ βασιλέων, ἢ πατριαρχῶν κατεχομένοις, ἢ διὰ νόσον βαρεῖαν κωλυομένοις· ἡ νεαρὰ οὐδέν τι τοιοῦτον διαλαμβάνει· μᾶλλον μὲν οὖν τὸ ἐν μέρει τῆς ϛ'. Ἰουστινιανείου νεαρᾶς, περὶ μόνου τοῦ βασιλέως περιεχόμενον, καὶ καταστρωθὲν παρὰ τοῦ πατριάρχου (1) ἐν τῷ ῥηθέντι 6'. κεφ. τοῦ ή. τίτλου τοῦ παρόντος συντάγματος, ἡ ἀνακάθαρσις οὐκ ἐδέξατο, ἀλλ' ἐδίωξεν· ἔδοξε γοῦν τὰ τοῦ κανόνος μᾶλλον ὀφείλειν κρατεῖν· ἐγὼ δὲ καὶ ἔτι ἀμφιβάλλω. Καθὸ (2) μὲν γάρ ἐστι τὸ ζήτημα ἐκκλησιαστικὸν, πρόσκειμαι τοῖς λέγουσιν ὀφείλειν μᾶλλον τὰ τοῦ κανόνος κρατεῖν· καθὸ δὲ τὰ βασιλικὰ ἀνεκαθάρθησαν μετὰ τὴν τοῦ νομοκανόνος ποίησιν, καὶ τὴν τοῦ κανόνος τούτου ἀπόλυσιν, πρόσκειμαι τῇ ἑτέρᾳ γνώμῃ.

Ἑτέρα ἑρμηνεία.

Ἐντὸς (3) μὲν ἐγράψαμεν, ὀφείλειν τὰ τῷ παρόντι κανόνι περιεχόμενα, χάριν τῶν παραιτουμένων ἐπισκόπων, ἐξακούεσθαι πρὸς τὰ κανονισθέντα (4) παρὰ τοῦ ἁγίου Κυρίλλου, ἐν τῇ πρὸς Δόμνον ἐπιστολῇ· ὡς συγκροτούμενα καὶ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς τρίτης συνόδου, διὰ τῆς γενομένης τηνικαῦτα ἐπιστολῆς πρὸς τὴν ἐν Παμφυλίᾳ σύνοδον. Σὺ δὲ γίνωσκε, ὅτι ταῦτα τὰ παρὰ τοῦ ἁγίου Κυρίλλου διορισθέντα, οὐκ οἶδ' ὅπως παραβλέπονται. Πολλοὶ μὲν γὰρ καὶ τὰς ὁπωσδήποτε γινομένας παρὰ τῶν ἐπισκόπων παραιτήσεις, δεκτέας εἶναι θέλουσι, κατὰ τὸν παρόντα κανόνα. Οἱ ἀκριβέστεροι δὲ, ἐκείνας τὰς παραιτήσεις λέγουσιν εἶναι δεκτὰς, τὰς διαλαμβανούσας γίνεσθαι ταύτας διὰ τὴν ἀναξιότητα τῶν παραιτουμένων. Ἐγὼ δὲ

(1) Χ. Τρ. 'Ε. — παρὰ τοῦ Φωτίου Βευερ. — (2) Χ. Τρ. 'Ε. — καθὼς Βευερ. — (3) Χ. Τρ. — ἐν τοῖς, Βευερ. οὐ κεῖται ἡ ἑτέρα ἑρμηνεία παρὰ 'Ε. — (4) καινισθέντα Χ. Τρ.

τοῖς παρὰ τοῦ ἁγίου Κυρίλλου διορισθεῖσιν ἕπομαι· εἰ γὰρ δοθῇ ἀπολυπραγμονήτως* (1) παραιτήσεις ἐπισκόπων δέχεσθαι, πλείους τῶν ἐπισκόπων οἱ ἀποεπίσκοποι ἔσονται (2) διὰ τὴν τῶν πράγμάτων ἀνωμαλίαν, ὅπερ πρὸς μεγάλην ὕδριν ἀφορᾷ τῆς ἐκκλησιαστικῆς εὐταξίας· ἐῶ γὰρ λέγειν, καὶ τοῦ Θεοῦ. Εἰ δὲ παραιτεῖσθαι θέλεις ἐπισκόπους δι᾽ ἀποκάρσεως, καὶ διὰ τοῦ ἐπιλέξασθαι διαγωγὴν μοναδικὴν, καθὼς καὶ ὁ μέγας Γρηγόριος ὁ Θεολόγος ἐποίησε, καὶ περὶ τοιούτων παραιτήσεων λέγεις τὸν κανόνα τοῦτον (3) διαλαμβάνειν, συντίθεμαι καὶ αὐτός. Ἡ μέντοι παραίτησις τοῦ Μάκρης ἐκείνου Θεοδούλου, δεχθεῖσα συνοδικῶς παρὰ τοῦ ἁγιωτάτου (4) πατριάρχου κυροῦ Λουκᾶ, μετὰ ἡμέρας ἠπράκτησεν ἐκ παρακλήσεως τοῦ ἐπισκόπου διὰ ψήφου συνοδικῆς, πατριαρχεύοντος τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Μιχαὴλ τοῦ Ἀγχιάλου. Ἰδὼν γὰρ ὁ τοιοῦτος πατριάρχης τὴν παραίτησιν τοῦ ἐπισκόπου, μὴ διαλαμβάνουσαν παραιτεῖσθαι τὸν ἐπίσκοπον ὡς ἀνάξιον, ἀλλ᾽ ὡς μὴ ἄξιον, εἶπεν, ὅτι ἀπαράδεκτος ἡ τοιαύτη παραίτησίς (5) ἐςιν· οὐδὲ γὰρ ὁ μὴ ἄξιος εἰς τὸ ἱερουργεῖν, ἤδη καὶ ἀνάξιός ἐστι· καθὼς τοῦτο καὶ ὁ μέγας Βασίλειος, ἐν μιᾷ τῶν ἁγίων εὐχῶν τῆς ἱερᾶς ἁγιστείας (6), φησὶν, οὕτω πως διαλαμβανούσης· Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι καὶ προσεγγίζειν, ἢ λειτουργεῖν σοι, Βασιλεῦ τῆς δόξης· καὶ διαγνοὺς, τὸν μὲν εἰπόντα ἑαυτὸν ἀνάξιον, αὐτοκατάκριτον εἶναι· τὸν δὲ μὴ ἄξιον, εὐχαριστητέον ὡς ταπεινόφρονα, ἐδικαίωσε τὸν ἐπίσκοπον ἱερατεύειν, ὡς μὴ κατὰ κανόνας παραιτησάμενον. Οἱ δὲ λέγοντες, ὀφείλειν ὡς κανόνα τὴν περὶ τῶν παραιτήσεων μακρὰν συνήθειαν κρατεῖν, οὐ καλῶς (7) λέγουσι· μακρὰ γὰρ συνήθεια ἄγραφος οὐ κρατεῖ, ἔνθα ἐγγράφῳ νόμῳ, ἢ κανόνι ἐναντιοῦται· καὶ ζήτει τὰ γραφέντα παρ᾽ ἡμῶν, χάριν τούτου, εἰς κεφ. γ΄. τοῦ ά. τίτλου τοῦ παρόντος συντάγματος.

---

(1) Χ. Τρ. — τὸ, ἀπολυπραγμονήτως, οὐ κεῖται παρὰ Βευερ. ἀλλὰ μόνον λατινιστί. — Ἅπασα δὲ ἡ β΄. ἑρμηνεία οὐ κεῖται παρὰ Ἑ. — (2) Βευερ. — πλείους τῶν ἐπισκόπων ἀπεπίσκοποι ἔσονται Χ. Τρ. — (3) Χ. Τρ. — ταῦτα Βευερ. — (4) Χ. Τρ. — ἐκείνου πατριάρχου Βευερ. — (5) Χ. Τρ. — ἀπαίτησις Βευερ. (6) Χ. Τρ. — ἁγιαστείας Βευερ. — (7) Χ. Τρ. — κακῶς λέγουσι Βευερ.

ΑΡΙΣΓ. Κατὰ μηδένα τρόπον ἐπιβαινέτω τις ἐπισκοπῆς, ἧς ὁ προεστὼς ἔτι ζῇ. Δεῖ γὰρ τὴν αἰτίαν πρότερον ζητεῖσθαι τοῦ μέλλοντος ἐκδιώκεσθαι, καὶ μετὰ καθαίρεσιν ἕτερον προβιβάζεσθαι. Εἰ δέ τις ἀμελοίη τῆς ἰδίας ποίμνης, καὶ μήτε νόσῳ, ἢ βασιλικῷ, ἢ πατριαρχικῷ κελεύσματι κατεχόμενος, ὑπὲρ ἑξαμηνιαῖον ἀποδημήσει χρόνον, τῆς τοῦ ἐπισκόπου ἀξίας καὶ τιμῆς ἤτω ἀλλότριος.

Κανὼν ΙΖ'.

Ἐν πᾶσι τῆς ἐκκλησιαστικῆς εὐταξίας φροντίζοντες, καὶ τοῦτο ὁρίσαι ἀναγκαῖον ἐθέμεθα. Ὥστε τοῦ λοιποῦ μηδένα τῶν λαϊκῶν, ἢ μοναχῶν, ἀθρόον εἰς τὸ τῆς ἐπισκοπῆς ὕψος ἀνάγεσθαι, ἀλλ' ἐν τοῖς ἐκκλησιαστικοῖς βαθμοῖς ἐξεταζόμενον πρότερον, οὕτω τῆς ἐπισκοπῆς τὴν χειροτονίαν ὑποδέχεσθαι. Εἰ γὰρ καὶ μέχρι τοῦ νῦν ἀπὸ τῶν λαϊκῶν, ἢ μοναχῶν τινες, ἀπαιτούσης χρείας, παραυτίκα τιμῆς ἄξιοι γεγόνασιν ἐπισκοπικῆς, ἀρετῇ τε διαπρέψαντες, καὶ τὰς κατ' αὐτοὺς ἐκκλησίας (1) ὑψώσαντες, ἀλλὰ τό γε σπάνιον οὐδαμοῦ νόμον τῆς ἐκκλησίας τιθέμενοι, ὁρίζομεν τοῦ λοιποῦ μηκέτι τοῦτο γίνεσθαι· εἰ μὴ κατὰ λόγον ὁ χειροτονούμενος διὰ τῶν ἱερατικῶν προέλθοι βαθμῶν, ἐν ἑκάστῳ τάγματι τὸν νενομισμένον χρόνον ἀποπληρῶν.

ΖΩΝΑΡ. Κωλύει ὁ κανὼν τὸ εἰς ἐπίσκοπον χειροτονεῖσθαί τινα λαϊκὸν, ἢ μοναχὸν, μὴ πρότερον ἐν τοῖς ἐκκλησιαστικοῖς βαθμοῖς ἐξετασθέντα, ἤγουν ταχθέντα, δοκιμασθέντα. Βούλεται γὰρ τὸν εἰς ἐπισκοπὴν προβιβασθήσεσθαι μέλλοντα, κατὰ τάξιν εἰς ἕκαστον τῶν ἱερατικῶν βαθμῶν προχειρίζεσθαι, καὶ πληροῦν ἐν ἑκάστῳ τάγματι τὸν νενομισμένον χρόνον, καὶ οὕτως εἰς τὸ τῆς ἐπισκοπῆς ἀνάγεσθαι ὕψος. Εἰ γὰρ καὶ ἔφθασάν, φησί, τινὲς ἀπὸ λαϊκῶν, ἢ μοναχῶν αὐτίκα εἰς ἐπισκοπικὸν ἀναχθῆναι ἀξίωμα, καὶ ἀρετῇ τε διέλαμψαν, καὶ τὰς ἐκκλησίας ἐκό-

(1) Π. — τὴν ἐκκλησίαν Χ. Τρ. Βευερ. Ε. Κ.

σμησαν, ὧν προέστησαν· ἀλλὰ τὸ σπανίως συμβὰν, οὐ νόμον τῆς ἐκκλησίας τιθέμεθα, ὥστε τούτῳ ἀκολουθεῖν· καὶ ὁ δέκατος δὲ κανὼν τῆς ἐν Σαρδικῇ συνόδου ὁμοίως διετάξατο.

ΒΑΛΣ. Ἀταξίαν ἐκκλησιαστικὴν οἱ Πατέρες καλοῦσι τὸ ἀπερισκέπτως καὶ δίχα δοκιμασίας γίνεσθαί τινα μοναχὸν, ἢ λαϊκὸν, ἀρχιερέα. Διό, φασι, μὴ προαναβιβάζεσθαί τινα ἐξ αὐτῶν εἰς τὸ τῆς ἐπισκοπῆς ὕψος, εἰ μὴ πάντας πρότερον τοὺς ἐκκλησιαστικοὺς βαθμοὺς διέλθῃ διὰ τοῦ νενομισμένου καὶ ἀρκοῦντος καιροῦ ἐν ἑκάστῳ τάγματι. Προστιθέασι δὲ, ὡς εἰ καὶ πρότερον γέγονέ τι τοιοῦτον διὰ κατεπείγουσαν χρείαν, καὶ οἱ ἐκλεγέντες, καὶ αὐθημερὸν χειροτονηθέντες διέλαμψαν ἐπ' ἀρετῇ, καὶ τὰς ἐκκλησίας ἐκόσμησαν, ὧν προέστησαν, ἀλλὰ τὸ σπανίως γινόμενον, νόμος τῆς ἐκκλησίας οὐκ ἔστιν, ὥστε τούτῳ ἀκολουθεῖν ἡμᾶς καὶ ἐφεξῆς. Ἐπεὶ δὲ γέγονε πολλάκις ἀμφιβολία, περὶ τοῦ πόσος ἐστὶν ὁ τῷ κανόνι δηλούμενος νενομισμένος καιρός· τινὲς μὲν εἶπον, ὡς, ἐπεὶ ὁ ἐν Θεολογίᾳ διαλάμψας μέγας Γρηγόριος, ἐν τῷ εἰς τὴν Πεντηκοστὴν λόγῳ (1) αὐτοῦ, λέγει, τελειοῦσθαι δἰ ἑπτὰ ἡμερῶν τὸν ἱερέα, ὀφείλομεν παρατηρεῖν καὶ ἡμεῖς, εἰ καὶ μὴ πλείονα, ἀλλ' ἐξ ἀνάγκης τέως τὸν αὐτὸν καιρὸν ἐφ' ἑκάστῳ βαθμῷ. Ἕτεροι εἶπον, ὡς ὁ ί. κανὼν τῆς ἐν Σαρδικῇ συνόδου διορίζεται, μηδένα πλούσιον, ἢ σχολαστικὸν, ἀπὸ τῆς ἀγορᾶς καθίστασθαι ἐπίσκοπον, εἰ μὴ ἀναγνώστου καὶ πρεσβυτέρου καὶ διακόνου ὑπηρεσίαν ἐκτελέσει, ἐν ἑκάστου τάγματος βαθμῷ (2) οὐκ ἐλαχίστου χρόνου διαβιβαζομένου. Ἐχρήσαντο δὲ καὶ τῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ ά. τίτλου τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, ὅπερ ἐστὶ κεφάλαιον β'. τῆς ρλζ'. Ἰουστινιανείου νεαρᾶς, λέγοντι ἐν μέρει, μὴ ψηφίζεσθαι ταξεώτην, ἢ πολιτευόμενον ἄλλως, εἰ μὴ ἐν μοναστηρίῳ οὐχ ἧττον δεκαπέντε ἐτῶν μοναχικὸν βίον ἀδιαβλήτως ἐξετέλεσε. Καὶ ἐνέστησαν εἶναι νενομισμένον καιρὸν, τὸν πεντεκαιδεκαετῆ. Ἐμοὶ δὲ δοκεῖ, ὡς ἡ μὲν νεαρὰ περὶ ταξεωτῶν καὶ πολιτευομένων τὸν λόγον ποιεῖται· ὁ δὲ κανὼν τῆς ἐν Σαρ-

---

(1) Χ. Τρ. 'Ε. — ἐν τοῖς περὶ ἱερωσύνης λόγοις Βευερ. — (2) 'Ε. Βευερ. — ἐν ἑκάστῳ τάγματι τῷ βαθμῷ Χ. Τρ.

δικῇ συνόδου, περὶ τῶν ἀπὸ ἀγορᾶς πλουσίων, καὶ περὶ τοὺς λόγους σχολαστικῶν, διαλαμβάνει· οὐ μέντοι γε καὶ περὶ πάντων τῶν μοναχῶν, ἢ τῶν λαϊκῶν· καὶ εἰσὶν ἄμφω ἀμέτοχα (1). Ἀνάγνωθι οὖν τὴν ρκγ'. Ἰουστινιάνειον νεαρὰν περὶ τὰς ἀρχὰς λέγουσαν οὕτω· Διδόαμεν δὲ ἄδειαν τοῖς τὰ ψηφίσματα ποιουμένοις, εἴ τινα κοσμικὸν, δίχα βουλευτοῦ(2) καὶ ταξεώτου, ἄξιον τῆς προειρημένης ἐπιλογῆς εἶναι νομίσουσι, τὸν τοιοῦτον ἅμα ἄλλοις δυσὶ κληρικοῖς, ἢ μοναχοῖς, ἐπιλέξασθαι· οὕτω μέντοι, ἵνα κοσμικὸς, ὁ τούτῳ τῷ τρόπῳ εἰς ἐπισκοπὴν ἐπιλεγεὶς, μὴ εὐθέως ἐπίσκοπος χειροτονηθῇ, ἀλλὰ πρῶτον τοῖς κληρικοῖς οὐκ ἔλαττον τριῶν μηνῶν συναριθμηθῇ, καὶ οὕτω τοὺς ἁγίους κανόνας καὶ τὴν ἱερὰν τῆς ἐκκλησίας λειτουργίαν διδαχθεὶς, ἐπίσκοπος χειροτονηθῇ. Καὶ μετά τινα πάλιν, ταῦτά φησιν· Εἰ δέ τις παρὰ τὴν μνημονευθεῖσαν παραφυλακὴν ἐπίσκοπος χειροτονηθῇ, κελεύομεν τοῦτον πᾶσι τρόποις τῆς ἐπισκοπῆς ἐκβάλλεσθαι· ἀλλὰ κἀκεῖνον, ὅστις παρὰ ταῦτα ἐτόλμησε χειροτονῆσαι, χωρίζεσθαι ἐπὶ ἕνα ἐνιαυτὸν τῆς ἱερατικῆς λειτουργίας, καὶ πᾶσαν αὐτοῦ τὴν περιουσίαν, ἥτις καθ' οἱονδήτινα χρόνον, ἢ τρόπον, εἰς τὴν αὐτοῦ δεσποτείαν περιῆλθε, διὰ τὸ πταῖσμα, ὃ ἐποίησε, τῇ δεσποτείᾳ τῆς ἐκκλησίας, ἧς ἐπίσκοπός ἐστιν, ἐκδικεῖσθαι. Ὥστε, εἰ μὴ ἐμποδίζοι τὸ μὴ καταστρωθῆναι τὴν τοιαύτην νεαρὰν εἰς τὰ βασιλικὰ, ἐκ ταύτης τέως τὸ περὶ τῶν λαϊκῶν ἀμφίβολον λύεται. Νομίζω δὲ ἐκ τούτου, μηδὲν εἶναι τὸ ἐμποδὼν τῇ ἐπιλύσει τῆς ἀμφιβολίας· διὸ καὶ καταφεύγω εἰς τὸ παρὰ τοῦ ἁγίου Πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου ὑποτυπωθὲν χάριν τῆς τελειώσεως τῶν ἱερέων, καὶ λέγω, ἐξ ἀνάγκης ὀφείλειν δι' ἑπτὰ ἡμερῶν τὴν ἑκάστου βαθμοῦ τελειοῦσθαι χειροτονίαν· καὶ μᾶλλον, ὅτι καὶ ἡ ἄγραφος ἐκκλησιαστικὴ συνήθεια τοῦτο παραδεξαμένη, οὕτω τὰς τῶν βαθμῶν χειροτονίας ἐνεργεῖ (3). Ἀνάγνωθι καὶ τὸ κγ'. κεφ. τοῦ ά. τίτλου τοῦ παρόντος συντάγματος· καὶ σημείωσαι ἀπὸ τοῦ

---

(1) Βευερ. Ἑ. — ἀμέτοχοι Χ. Τρ. — (2) Χ. Τρ. Ἑ. — δίχα κοσμικοῦ Βευερ. (3) Χ. Τρ. — ὁ δὲ Βευερ. ἄνευ τοῦ οὕτω — τὰ ἀπὸ τοῦ, Διὸ καὶ καταφεύγω, ἕως τοῦ ἐνεργεῖ, οὐ κεῖται παρὰ Ἑ.

παρόντος κανόνος, ὅτι ἐν τοῖς ἐκκλησιαστικοῖς τάγμασιν, οἱ μὴ δεξάμενοι μοναχοὶ σφραγίδα ἐπισκοπικὴν, λαϊκοῦ τόπον ἐπέχουσιν (1).

ΑΡΙΣΤ. Ὁ χειροτονηθησόμενος ἐπίσκοπος μὴ ἀθρόον ἐκ λαϊκῶν, ἢ μοναχῶν ὑψούσθω· ἀλλ' ἐν ἑκάστῳ τάγματι τῶν ἱερατικῶν βαθμῶν τὸν νενομισμένον ἀποπληρούτω χρόνον. Εἰ γὰρ καί τινες ἀθρόον ὑψωθέντες διέπρεψαν, ἀλλ' οὐ νόμος ἐκκλησίας τὸ σπάνιον.

---

(1) Χ. Τ. — ὅτι ἐν τοῖς ἐκκλησιαστικοῖς τάγμασιν, οἱ μοναχοὶ οἱ μὲν δεξάμενοι σφραγίδα ἐπισκόπου, λαϊκοῦ τόπον ἐπέχουσι. Βευερ. — ὅτι ἐν τοῖς ἐκκλησιαστικοῖς τάγμασιν, οἱ μοναχοὶ λαϊκοῦ τόπον ἐπέχουσι. Ἑ. καὶ λατινιστὶ ὡσαύτως.

ΚΑΝΟΝΕΣ

ΕΚΤΕΘΕΝΤΕΣ ΠΑΡΑ ΤΗΣ ΑΓΙΑΣ ΣΥΝΟΔΟΥ, ΤΗΣ ΕΝ ΤΩ ΠΕΡΙΩΝΥΜΩ(1) ΝΑΩ ΤΗΣ ΤΟΥ ΘΕΟΥ ΛΟΓΟΥ ΣΟΦΙΑΣ ΣΥΣΤΑΣΗΣ, ΚΑΙ ΤΗΝ Ζ΄. ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗΝ ΣΥΝΟΔΟΝ ΕΠΙΒΕΒΑΙΩΣΑΣΗΣ, ΠΑΣΑΝ ΔΕ ΣΧΙΣΜΑΤΙΚΗΝ ΚΑΙ ΑΙΡΕΤΙΚΗΝ ΠΛΑΝΗΝ ΑΠΕΛΑΣΑΣΗΣ.

Κανὼν Α΄.

ΩΡΙΣΕΝ ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ὥστε, εἴ τινες τῶν ἐξ Ἰταλίας κληρικῶν, ἢ λαϊκῶν, ἢ ἐπισκόπων, ἐν τῇ Ἀσίᾳ, ἢ Εὐρώπῃ, ἢ Λιβύῃ διατρίβοντες, ὑπὸ δεσμὸν, ἢ καθαίρεσιν, ἢ ἀναθεματισμὸν, παρὰ τοῦ ἁγιωτάτου Πάπα Ἰωάννου ἐγένοντο, ἵνα ὦσι οἱ τοιοῦτοι καὶ παρὰ Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου Κωσταντινουπόλεως ἐν τῷ αὐτῷ τῆς ἐπιτιμίας ὅρῳ, τουτέστιν, ἢ καθῃρημένοι, ἢ ἀναθεματισμένοι, ἢ ἀφωρισμένοι. Οὓς (2) μέντοι Φώτιος, ὁ ἁγιώτατος ἡμῶν πατριάρχης, κληρικοὺς, ἢ λαϊκοὺς, ἢ τοῦ ἀρχιερατικοῦ τάγματος, καὶ ἱερατικοῦ, ἐν διαδήποτε παροικίᾳ, ὑπὸ ἀφορισμὸν, ἢ καθαίρεσιν, ἢ ἀναθεματισμὸν ποιήσει, ἵνα ἔχῃ αὐτοὺς καὶ ὁ ἁγιώτατος πάπας Ἰωάννης, καὶ ἡ κατ' αὐτὸν ἁγία τοῦ Θεοῦ Ῥωμαίων ἐκκλησία, ἐν τῷ αὐτῷ τῆς ἐπιτιμίας κρίματι, μηδὲν τῶν προσόντων πρεσβείων τῷ ἁγιωτάτῳ θρόνῳ τῆς Ῥωμαίων ἐκκλησίας, μηδὲ (3) τῷ ταύτης προέδρῳ τὸ σύνολον καινοτομουμένων, μηδὲ νῦν, μήτε εἰς τὸ μετέπειτα.

—

(1) καὶ ἐπωνύμῳ Χ. Τρ. Ε. Κ. — (2) Π. Χ. Τρ. — καὶ οὓς Βευερ. — (3) Π. Χ. Τρ. — καὶ τῷ ταύτης Βευερ.

ΖΩΝΑΡ. Μὴ διαφέρεσθαι θέλοντες οἱ τῆς συνόδου πρὸς ἀλλήλους τόν τε τῆς πρεσβυτέρας Ῥώμης Πάπαν, καὶ τὸν τῆς νέας ταύτης τῆς Κωνσταντινουπόλεως πατριάρχην, ἀλλ' ὁμονοεῖν ἀλλήλοις· ἔτι γὰρ ἦσαν ὁμόδοξοι καὶ ὁμόθρονοι· ὥρισαν, καὶ τοὺς ὑπὸ τοῦ Πάπα δεδεσμημένους, ἤγουν ἀφωρισμένους, καὶ τοὺς καθῃρημένους, καὶ τοὺς ἀναθέματι ὑποβεβλημένους, ἐκ τῶν ἐξ Ἰταλίας κληρικῶν, ἢ λαϊκῶν, ἢ ἐπισκόπων, κἂν ἐν τῇ Ἀσίᾳ διάγοιεν, ἤγουν τῇ Ἀνατολῇ, κἂν ἐν τῇ Εὐρώπῃ, ἤγουν τῇ Δύσει, κἂν ἐν τῇ Λιβύῃ, (κἀκείνη γὰρ τότε ὑπὸ τὰ δίκαια τῆς βασιλείας ταύτης ἐτέλει), εἶναι ὑπὸ τὸ αὐτὸ ἐπιτίμιον τοῦ ἀφορισμοῦ, ἢ τῆς καθαιρέσεως, ἢ τοῦ ἀναθέματος, καὶ παρὰ Φωτίῳ τῷ τότε πατριαρχοῦντι ἐν Κωνσταντινουπόλει. Ἰταλία δ' ἐστὶν ἡ πᾶσα χώρα ἡ περὶ τὴν Ῥώμην, καὶ ἡ κατὰ ταύτην διοίκησις. Ῥώμη δὲ καλεῖται ἡ πόλις ἐκ τοῦ ταύτην δομησαμένου Ῥωμύλου κληρωσαμένη τὸ ὄνομα. Καὶ αὖθις δὲ τοὺς ὑπὸ τοῦ πατριάρχου Φωτίου ἁπανταχοῦ, φασι, κληρικούς, ἢ λαϊκούς, ἢ τοὺς ἐξ ἱεραρχικοῦ τάγματος γενησομένους ὑπὸ ἀφορισμόν, ἢ καθαίρεσιν, ἢ ἀνάθεμα, ἔχειν αὐτοὺς καὶ τὸν ἁγιώτατον Πάπαν, καὶ τὴν τῶν Ῥωμαίων ἐκκλησίαν, ἐν τῷ αὐτῷ ἐπιτιμίῳ. Τὰ δὲ πρεσβεῖα, ἤγουν τὴν προτίμησιν, καὶ τὰ προνόμια, ὧν ἠξιώθη, ἔχειν τὴν Ῥωμαίων ἐκκλησίαν ἀκαινοτόμητα. Ἀλλὰ ταῦτα τότε, ὅτε οὔπω περὶ τὴν πίστιν ἡ Ῥωμαίων ἐκκλησία ἐσφάλλετο, καὶ πρὸς ἡμᾶς διεφέρετο· νῦν δὲ ἡμῖν τὰ πρὸς ἐκείνην ἀσύμβατα.

ΒΑΛΣ. Τινὲς κατακρινόμενοι ἀκοινωνησίᾳ, ἢ ἑτέρᾳ καταδίκῃ ἐπιτιμίου ἐκκλησιαστικοῦ καθυποβαλλόμενοι παρὰ τοῦ θρόνου τῆς Παλαιᾶς Ῥώμης, προσήρχοντο τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως, καὶ τὸ ἀνάπαλιν. Καὶ ἐπεὶ ἐκ τούτου σκάνδαλα μέσον τῶν δύο ἐκκλησιῶν ἀνεφύοντο, ἐλαλήθησαν τὰ περὶ τούτου κατὰ τὸν καιρὸν τῆς οἰκουμενικῆς ταύτης συνόδου. Εἰς περιαίρεσιν οὖν σκανδάλου παντός, ὥρισαν οἱ Πατέρες, τοὺς ὁπωσδήποτε κατακριθέντας παρὰ τοῦ Πάπα, εἶναι καὶ παρὰ τῷ πατριάρχῃ Κωνσταντινουπόλεως καταδεδικασμένους· καὶ τὸ ἀνάπαλιν. Ὡς δέ τινος τῶν ἐξ Ἰταλίας εἰπόντος, ἐπὶ περιγραφῇ

τῶν προνομίων τοῦ θρόνου τῆς Παλαιᾶς Ῥώμης ταῦτα θεσπίζεσθαι, διὰ τὴν ἐξίσωσιν, προσέθεντο ἀκαινοτόμητα συντηρεῖσθαι εἰς τὸ ἑξῆς τὰ πρεσβεῖα, καὶ τὴν τιμὴν τοῦ προέδρου αὐτῆς. Ἐπεὶ δὲ ἠρώτησάν τινες, ὡς τοῦ κανόνος μόνων τῶν δύο μεγάλων ἀρχιερέων μεμνημένου, τί γενήσεται εἰς τοὺς ἄλλους πατριάρχας; φαμὲν, κοινῶς καὶ διὰ πάντας ἐκφωνηθῆναι τὸν κανόνα· ὅτι καὶ ἕτεροι κανόνες παρομοίως διορίζονται, ἀκοινώνητον εἶναι τὸν προσδεχόμενον ἐπίσκοπον τοὺς παρ᾽ ἑτέρου ἐπισκόπου ἀφορισθέντας, ἢ καὶ ἄλλως ἐπιτιμηθέντας, διὰ τὸ ἓν σῶμα λογίζεσθαι πάσας τὰς τοῦ Θεοῦ ἐκκλησίας. Ἐγράφησαν δὲ τὰ ἐν τῷ παρόντι κανόνι ἰδικῶς, διὰ τὰ τότε συμπεσόντα σκάνδαλα ἐκ τοῦ πολλάκις καταβιβασθῆναι τὸν πατριάρχην Φώτιον ἐκ τοῦ πατριαρχικοῦ θρόνου, καὶ πολλάκις ἀποκαταστῆναι· κἀντεῦθεν πολλὰ σχίσματα συμπεσεῖν.

ΑΡΙΣΤ. Ὁ ὑπὸ δεσμὸν, ἢ καθαίρεσιν, ἢ ἀνάθεμα, παρά τε Ῥώμης γενόμενος, καὶ παρὰ Κωνσταντινουπόλεως, οὕτω μενέτω.

Κανὼν Β'.

Εἰ καὶ μέχρι τοῦ (1) νῦν ἔνιοι τῶν ἀρχιερέων εἰς τὸ τῶν μοναχῶν κατιόντες σχῆμα, ἐπὶ τῷ (2) τῆς ἀρχιερωσύνης ἐβιάζοντο διαμένειν ὕψει, καὶ τοῦτο πράττοντες, παρεωρῶντο· ἀλλ᾽ οὖν ἡ ἁγία καὶ οἰκουμενικὴ αὕτη σύνοδος, καὶ τοῦτο ῥυθμίζουσα τὸ παρόραμα, καὶ πρὸς τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς τὴν ἄτακτον ταύτην ἐπανάγουσα πρᾶξιν, ὥρισεν· ἵνα, εἴ τις ἐπίσκοπος, ἢ εἴ τις ἄλλος τοῦ ἀρχιερατικοῦ ἀξιώματος, πρὸς τὸν μοναδικὸν θελήσοι κατελθεῖν βίον, καὶ τὸν τῆς μετανοίας τόπον ἀναπληρῶσαι, μηκέτι τοῦτον (3) τῆς ἀρχιερατικῆς ἀντιποιεῖσθαι ἀξίας. Αἱ γὰρ τῶν μοναχῶν συνθῆκαι ὑποταγῆς λόγον ἐπέχουσι καὶ μαθητείας, ἀλλ᾽

(1) Π. — μέχρι νῦν Χ. Τρ. Ἐ. Βευερ. — (2) Π. Χ. Τρ. Κ. Ἑ. — ἐν τῷ Βευερ. — (3) Π. Χ. Τρ. — μηκέτι λοιπὸν Βευερ.

οὐχὶ διδασκαλίας, ἢ προεδρίας· οὐδὲ ποιμαίνειν ἄλλους, ἀλλὰ ποιμαίνεσθαι ἐπαγγέλλονται. Διὸ, καθ' ἃ προείρηται, θεσπίζομεν, μηκέτι τινὰ τῶν ἐν ἀρχιερατικῷ καταλόγῳ καὶ ποιμένων ἐξεταζομένων, εἰς τὴν τῶν ποιμαινομένων καὶ μετανοούντων χώραν ἑαυτὸν καταβιβάζειν. Εἰ δέ τις τοῦτο τολμήσειε πρᾶξαι, μετὰ τὴν ἐκφώνησιν καὶ διάγνωσιν τῆς νῦν ἐκπεφωνημένης ψήφου, αὐτὸς ἑαυτὸν τοῦ ἀρχιερατικοῦ ἀποστερήσας βαθμοῦ, οὐκέτι πρὸς τὸ πρότερον, ὅπερ δι' αὐτῶν(2) τῶν ἔργων ἠθέτησεν, ἀξίωμα ἐπαναστρέψει.

—

ΖΩΝΑΡ. Οὗτος ὁ κανὼν οὐ παραχωρεῖ ἀρχιερεῖ οἱῳδήτινι μετὰ τὸ ἀποκαρῆναι αὖθις ἐνεργεῖν τι ἀρχιερατικὸν δίκαιον· καί φησιν, ὅτι, εἰ καὶ (3) ἕως ἄρτι τινὲς τῶν ἀρχιερέων εἰς τὸ μοναχικὸν κατιόντες σχῆμα, πάλιν τὰ τῆς ἀρχιερωσύνης ποιεῖν ἐβιάζοντο· (προσφόρως δὲ τὸ κατιόντες ἐτέθη· ἐκ γὰρ τῆς ἀρχιερατικῆς περιωπῆς κατέρχεται ὁ ἀποκειρόμενος εἰς τὴν τῆς ταπεινώσεως χθαμαλότητα, καὶ ἐκ τοῦ πατρικοῦ καὶ διδασκαλικοῦ ἀξιώματος, εἰς υἱοῦ τάξιν καὶ μαθητοῦ)· ἀλλ' ὥρισε νῦν ἡ σύνοδος τοὺς ἀρχιερατικοῦ ἀξιώματος τυγχάνοντας, εἶτα εἰς τὸν μονήρη βίον θελήσαντας ἀποκλῖναι, μηκέτι τῆς ἀρχιερατικῆς ἀξίας ἀντιποιεῖσθαι· καὶ τὴν αἰτίαν ἐπάγει, λέγων, ὅτι ὁ κειρόμενος ταπείνωσιν ἐπαγγέλλεται, καὶ μαθητὴς εἶναι συντίθεται, καὶ ποιμαίνεσθαι, ἀλλ' οὐχὶ ποιμαίνειν. Πῶς οὖν ὁ αὐτὸς, καὶ προεδρεύων ἔσται διὰ τὴν ἀρχιερωσύνην, καὶ διὰ τὸ σχῆμα τὸ μοναχικὸν ταπεινούμενος; Πῶς δὲ διδάσκων ἔςαι καὶ διδασκόμενος; *Πῶς δὲ ποιμαίνων καὶ ποιμαινόμενος* (4); Διό, φησι, θεσπίζομεν, τοὺς ἀρχιερεῖς μηκέτι καταβιβάζειν ἑαυτοὺς εἰς τόπον μετανοούντων· (μετανοίας γὰρ ὁ μοναχικὸς

---

(1) Χ. Τρ. Βευερ. Ἑ. Κ. — ἐκφωνουμένης Π. — (2) Π. Χ. Τρ. Ἑ. Κ. — διὰ τῶν ἔργων Βευερ. — (3) Χ. Τρ. — τὸ, καί φησιν, ὅτι εἰ καὶ, οὐ κεῖται παρὰ Βευερ. — (4) Χ. Τρ. — τὰ μεταξὺ τῶν * οὐ κεῖται παρὰ Βευερ. καὶ Κ. ἀλλὰ λατινιστὶ μόνον.

βίος ἐπάγγελμα)· εἰ δὲ τοῦτό τις πράξῃ, αὐτὸς ἑαυτὸν ἀποστερεῖ τῆς ἀρχιερατικῆς ἀξίας, καὶ οὐκέτι πρὸς τὸ πρότερον τῆς ἀρχιερωσύνης ἐπαναστρέψει ἀξίωμα. Ταῦτα δὲ, ἤγουν τὸ μὴ καταβιβάζειν ἑαυτοὺς εἰς χώραν μετανοούντων, καὶ τὸ, εἰ δέ τις τολμήσειε τοῦτο πρᾶξαι, οὐκ ἀπαγορεύοντα τὴν μετάνοιαν τοῖς ἀρχιερεῦσιν εἴρηται, ἀλλ' ἐκδείκνυσι, τοιούτους εἶναι δεῖν τοὺς ἀρχιερεῖς, καὶ οὕτω βιοῦν, ὡς μηδὲ δεῖσθαι μετανοίας σχεδὸν, ἀλλὰ καὶ τοῖς ἄλλοις διὰ τῶν οἰκείων ἐντεύξεων τὸ Θεῖον ἐξιλεοῦν.

ΒΑΛΣ. Περὶ ἐπισκόπων θελόντων καὶ μετὰ τὴν ἀπόκαρσιν ἐνεργεῖν ἀρχιερατικὰ δίκαια, οὐκ ἐγράφη κανών· καὶ διὰ τοῦτο ἐπεχείρουν τινὲς ἐπίσκοποι, μετὰ τὸ ἀποκαρῆναι, ἔχειν τὰ τῶν ἐπισκόπων προνόμια, παρὰ τὴν κρατήσασαν ἄγραφον ἐκκλησιαστικὴν συνήθειαν. Τοῦτο οὖν διορθούμενοι οἱ ἅγιοι Πατέρες, εἶπον· ὡς, ἐπεὶ τὸ μὲν ὕψος τῆς ἀρχιερωσύνης διδασκαλικόν ἐστιν ἀξίωμα, τὸ δὲ μοναχικὸν ἐπάγγελμα μαθητείας καὶ ὑποταγῆς ἔργον, καὶ ἀδύνατόν ἐστι τὸν ὑποτακτικὸν ἐπὶ θρόνου καθῆσθαι καὶ διδάσκειν, χρεών ἐστι τὸν ἀποστάντα ἐκ τοῦ ὕψους τῆς ἀρχιερωσύνης, καὶ καταγνόντα οἷον ἑαυτοῦ, καὶ πρὸς μετάνοιαν ἀποδιδόντα, καὶ διὰ τοῦ μοναχικοῦ σχήματος ὑποταγὴν ἐπαγγειλάμενον, μὴ ἐνεργεῖν διδασκαλικόν τι, καὶ ἀντὶ τοῦ ποιμαίνεσθαι, ἐπιχειρεῖν ἄλλους ποιμαίνειν. Τὸν δὲ τοῦτο ποιῆσαι ἐπιχειρήσαντα, μὴ παραχωρεῖσθαι ἀρχιερατικόν τι ἐνεργεῖν, ὅτι αὐτὸς ἑαυτὸν διὰ τῆς ἀποκάρσεως ἐκ τούτου ἀπεξένωσεν. Εἶπον δὲ οἱ Πατέρες περὶ τῶν ἀρχιερέων τὸ, μὴ καταβιβάζειν ἑαυτοὺς εἰς χώραν μετανοούντων, καὶ τὸ, εἰ δέ τις τολμήσειε τοῦτο πρᾶξαι, οὐκ ἀπαγορεύοντες τὴν μετάνοιαν ὡς στυγητόν τι πρᾶγμα καὶ ἀποτρόπαιον· (τοῦτο γὰρ καὶ πολλοῦ ἐπαίνου ἐστὶν ἄξιον), ἀλλὰ παραγγέλλοντες τοιούτους εἶναι τοὺς ἀρχιερεῖς, καὶ οὕτω βιοῦν, ὡς μὴ δεῖσθαι μετανοίας σχεδὸν, ἀλλὰ καὶ τοῖς ἄλλοις διὰ τῶν οἰκείων ἐντεύξεων τὸ Θεῖον ἐξιλεοῦν. Ἐζητήθη δὲ, εἰ μοναχὸς, μετὰ τὴν ἀρχιερωσύνην ἀξιωθεὶς τοῦ μεγάλου σχήματος, δύναταί τι ἐνεργεῖν ἐπισκοπικόν· εἶπον γάρ τινες, ὡς, ἐπεὶ ὁ τοιοῦτος πρὸ τοῦ ψηφισθῆναι ἀπεκάρη, οὐκ ἐδεῖ-

το καὶ δευτέρας ἀποκάρσεως, κἀντεῦθεν οὐδὲ ἔχουσιν ἐπ' αὐτῷ χώραν τὰ τοῦ κανόνος· οὐκ ἤρεσαν δὲ ταῦτα λέγοντες· ἀλλ' ἤκουσαν, ὡς κυρίως ἀπόκαρσις ἡ τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος περιβολή ἐστι· τὸ γὰρ μικρὸν σχῆμα, ἀῤῥαβὼν ἐκείνου τοῦ τελείου λέγεται. Εἰ γοῦν τὸ μικρὸν σχῆμα τὴν ἀρχιερωσύνην παύοι, πολλῷ πλέον σχολάσει ταύτην ἡ τελεία ἀπόκαρσις. Εἰ δέ τις καὶ περὶ τῶν ἀποκειρομένων ἱερέων ἐρωτήσει, πῶς μετὰ τὴν ἀπόκαρσιν ἱερουργοῦσι, καὶ οὐ παύονται, ἀκούσει μὴ διδασκάλους εἶναι τοὺς ἱερεῖς, καὶ διὰ τοῦτο μηδὲ τὰ τοῦ κανόνος χώραν ἔχειν ἐπ' αὐτοῖς.

ΑΡΙΣΤ. Εἴ τις ἀπὸ ἱεραρχικοῦ ὕψους, εἰς τὸν μοναδικὸν, καὶ ἔμπαλιν, κατέλθοι βίον, μηκέτι τῆς ἱεραρχικῆς ἀντιποιείσθω ἀξίας.

Κανὼν Γ'.

Εἴ τις τῶν λαϊκῶν αὐθεντήσας, καὶ καταφρονήσας μὲν τῶν θείων καὶ βασιλικῶν προσταγμάτων, καταγελάσας δὲ καὶ τῶν φρικτῶν τῆς ἐκκλησίας θεσμῶν τε καὶ νόμων, τολμήσειεν ἐπίσκοπόν τινα τύψαι, ἢ φυλακίσαι, ἢ χωρὶς αἰτίας, ἢ καὶ συμπλασάμενος αἰτίαν, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

ΖΩΝΑΡ. Οὐδέποτε τῷ βίῳ ἐνέλιπον τὰ κακά· ἀληθὴς δ' ἄρα καὶ ἀσφαλὴς ἡ τοῦ σοφοῦ γνώμη, ἡ τοὺς πλείονας ἀποφηναμένη κακούς. Ἰδοὺ γὰρ καὶ πάλαι παρὰ λαϊκῶν ἐτύπτοντο ἀρχιερεῖς, καὶ εἱρκταῖς συνεκλείοντο· ὅθεν ἡ σύνοδος αὕτη διατάττεται, ὡς, εἴ τις τῶν λαϊκῶν αὐθεντήσας, τουτέστιν ἀρχικῆς ἐξουσίας καὶ αὐθεντίας δραξάμενος, ἢ ἑαυτῷ ψυχικοῦ θανάτου γενόμενος αἴτιος, (λέγεται γὰρ αὐθέντης καὶ ὁ αὐτοφονευτής), καὶ καταφρονήσας τῶν βασιλικῶν προσταγμάτων, καταγελάσας δὲ καὶ τῶν φρικτῶν τῆς ἐκκλησίας θεσμῶν καὶ νόμων, (θεσμοὺς δὲ τοὺς ἀγράφους τύπους λέγει, καὶ τὰς ἀρχαίας παραδόσεις ἐνταῦθα, νόμους δὲ τοὺς ἐγγράφους), τολμήσειεν ἐπίσκοπόν τινα τύψαι, (τόλμης γὰρ ὄντως καὶ ἀμέτρου θρασύτητος τὸ τύψαι ἐπίσκοπόν τινα, διὰ δὲ τοῦ εἰπεῖν τινα, ἐνέφηνεν, ὅτι οὐ

μόνον ἐπίσημον ἐπίσκοπον οὐ δεῖ τύπτεσθαι, ἢ καθείργνυσθαι, ἀλλ' οὐδὲ τὸν τυχόντα καὶ ἄσημον, καὶ τοῖς πλείοσιν ἄγνωστον, ἤγουν εὐτελῆ καὶ πενέστατον), ἢ ἄνευ αἰτίας, ἢ καὶ συμπλασάμενος αἰτίαν, ὁ τοιοῦτος ἀνάθεμα ἔστω, ἤγουν κεχωρισμένος ἔστω τοῦ Θεοῦ. Ὡς γὰρ τὰ ἀναθήματα, προσαγόμενα τῷ Θεῷ, χωρίζονται ἀπὸ τῶν κοινῶν καὶ ἀνθρωπίνων πραγμάτων· οὕτω καὶ ὁ ἀνάθεμα γενόμενος ἐκκόπτεται καὶ ἀποδιαιρεῖται ἀπὸ τῆς τῶν πιστῶν ὁμηγύρεως, τῶν ἀνατεθειμένων καὶ ἀφωσιωμένων τῷ Θεῷ, καὶ ἀπ' αὐτοῦ τοῦ Θεοῦ, καὶ προσκληροῦται τῷ διαβόλῳ, ἢ ἀνατίθησιν αὐτὸς ἑαυτόν. Εἰ γὰρ ὁ μόνον ἀφορισθεὶς παραδίδοται τῷ Σατανᾷ, κατὰ τὸν μέγαν Παῦλον γράψαντα Κορινθίοις (1) περὶ τοῦ πεπορνευκότος εἰς τὴν ἑαυτοῦ μητρυιὰν, ὅτι, παράδοτε αὐτὸν τῷ Σατανᾷ· καὶ ἐπιστείλαντα Τιμοθέῳ περὶ Ὑμεναίου καὶ Ἀλεξάνδρου (2), οὓς παρέδωκε τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν· πολλῷ δὴ τῷ μέσῳ μᾶλλον ὁ ὑπὸ ἀνάθεμα γεγονὼς, ἀποδιαιρεῖται μὲν τοῦ Θεοῦ, προσενοῦται δὲ καὶ προσκληροῦται τῷ Σατανᾷ, καὶ ἀνάθημα ἐκείνου αὐτὸς ἑαυτὸν ποιεῖ.

ΒΑΛΣ. Τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα, σχεδὸν ὑπέρκειται πάσης τιμῆς· τῆς γὰρ ἀποστολικῆς ἀξίας ἰσοστάσιόν ἐστι, διὰ τὸ τῆς διδασκαλίας ἐπάγγελμα. Ἐπεὶ οὖν τινες αὐθάδεις καὶ καταφρονηταὶ τῶν θείων παραγγελμάτων, ἐκκλησιαστικῶν δηλονότι καὶ βασιλικῶν, ἄτοπά τινα καὶ ἐφύβριστα εἴς τινας εἰργάσαντο ἀρχιερεῖς, ὥρισαν οἱ ἅγιοι Πατέρες, ὡς, εἴ τις λαϊκὸς αὐθεντήσας, ἤγουν ἀρχοντικῆς αὐθεντίας καὶ ἐξουσίας δραξάμενος, δικαστὴς τυχὸν, ἢ πράκτωρ κατασχὰς, τολμηρῶς οἱονδήτινα ἐπίσκοπον τύψει, ἢ ἐν φυλακῇ ἀποκλείσει, ἢ χωρὶς αἰτίας, ἢ μετὰ ἐπιπλάστου καὶ ψευδοῦς αἰτίας, τουτέστιν ἀνευλόγως, ὁ τοιοῦτος ἀνάθεμα ἔστω, ἤγουν κεχωρισμένος ἀπὸ τοῦ Θεοῦ ἔστω, καὶ παραδιδόσθω τῷ δαίμονι, ὡς ἀνάθημα. Ἀκούων δὲ τοῦ κανόνος λέγοντος, ὡς ἐκεῖνος ὁ λαϊκὸς ἀναθεματίζεται, ὁ χωρὶς αἰτίας, ἢ μετὰ αἰτίας πεπλασμένης, τουτέστιν ἀνευλόγως, κατὰ μόνην αὐθεντίαν ἀρχοντικὴν τύψας, ἢ φυλακίσας ἐπίσκοπον, μὴ εἴπῃς ἐξ ἀντιδιαστολῆς ἔχειν ἐπ'

(1) α'. Κορ, Ε', 5. — (2) β'. Κορ. Δ', 14.

ἀδείας τοὺς λαϊκοὺς ἄρχοντας ἐξ εὐλόγου αἰτίας τύπτειν καὶ φυλακίζειν τοὺς ἐπισκόπους. Ἀπὸ γὰρ διαφόρων κανόνων καὶ νεαρῶν θεσπισμάτων ἔμαθες, ὡς κατὰ ἐπισκόπων οἱ λαϊκοὶ ἄρχοντες οὐδεμίαν δικαιοδοσίαν ἔχουσιν· ὅθεν ὁ τύπτων λαϊκὸς, ἢ φυλακίζων τὸν τυχόντα ἀρχιερέα, κἂν ἐξ αἰτίας πάντη εὐλογωτάτης, κἂν τὴν μείζονα ἀρχὴν ἔχῃ, κολασθήσεται· καὶ τὸ εὔλογον τῆς αἰτίας οὐκ ὠφελήσει αὐτόν· ἀκούσεις γὰρ ὡς ταῖς συνόδοις καὶ μόναις ἐνεδόθη τοὺς ἀρχιερεῖς κολάζειν· καὶ ὤφειλε τὴν τοῦ ἀρχιερέως ἀνάκρισιν πρὸς τὴν πρόσφορον σύνοδον ἀποστεῖλαι, καὶ ἑαυτὸν διατηρῆσαι ἀμέτοχον τῆς ἀρχιερατικῆς ἀνακρίσεως. Προσετέθη δὲ τῷ κανόνι τὸ, χωρὶς εὐλόγου αἰτίας, καὶ τὰ λοιπὰ, διὰ τὸν ἀναθεματισμόν· οὐδὲ γὰρ ἦν δίκαιον ἀναθεματισθῆναι τὸν ἄρχοντα, τὸν προφάσει δικαίας αἰτίας τοιοῦτόν τι ἐφύβριστον πεποιηκότα πρὸς ἐπίσκοπον, ἀλλὰ ἀλλοτρόπως κολασθῆναι· τὸ ἀνάθεμα δὲ, χωρισμὸς ἐστι τοῦ Θεοῦ. Ὡς γὰρ τὰ προσαγόμενα ἀναθήματα τῷ Θεῷ χωρίζονται ἀπὸ τῶν κοινῶν τε καὶ ἀνθρωπίνων πραγμάτων· οὕτω καὶ ὁ ἀνάθεμα γενόμενος, ἐκκόπτεται καὶ διαιρεῖται ἀπὸ τῆς τῶν πιστῶν ὁμηγύρεως τῶν ἀνατεθειμένων καὶ ἀφωσιωμένων (1) τῷ Θεῷ, καὶ ἀπ' αὐτοῦ τοῦ Θεοῦ, καὶ προσκληροῦται τῷ Σατανᾷ, κατὰ τὸν μέγαν Παῦλον, γράψαντα Κορινθίοις περὶ τοῦ πεπορνευκότος εἰς τὴν ἑαυτοῦ μητρυιὰν, ὅτι, παράδοτε αὐτὸν τῷ Σατανᾷ· καὶ ἐπιστείλαντα Τιμοθέῳ περὶ Ὑμεναίου καὶ Ἀλεξάνδρου, οὓς παρέδωκα τῷ Σατανᾷ, ἵνα μὴ βλασφημεῖν παιδευθῶσιν. Εἰ δὲ ταῦτα οὕτως ἔχει, πολλῷ γε μᾶλλον ὁ ὑπὸ ἀνάθεμα γεγονὼς ἀποδιΐσταται μὲν τοῦ Θεοῦ, προσενοῦται δὲ καὶ προσκληροῦται(2) τῷ Σατανᾷ, καὶ ἀνάθημα ἐκείνου αὐτὸς ἑαυτὸν ποιεῖ. Καλῶς δὲ ἐμνήσθη ὁ κανὼν αὐθεντίας ἀρχοντικῆς· ὁ γὰρ μὴ προφάσει τοιαύτῃ, ἀλλ' ἰδιοῤῥύθμου κακίας, τοιοῦτόν τι τολμήσας, κἂν ἐξ εὐλόγου αἰτίας τοῦτο ποιήσῃ, μειζόνως κολασθήσεται διὰ τὴν ἄκραν ἀναίδειαν.

ΑΡΙΣΤ Εἴ τις τῶν λαϊκῶν, ἐπίσκοπον φυλακίσειεν, ἢ τυπτήσειεν, χωρὶς αἰτίας, ἢ καὶ συμπλασάμενος, εἴη ἀνάθεμα.

---

(1) Χ. Τρ. — ἀφωρισμένων Βευερ. Ἐ — (2) Χ. Τρ.—προσκυροῦται Βευερ. Ἐ.

ΠΙΝΑΞ ΑΝΑΛΥΤΙΚΟΣ

ΑΠΑΝΤΩΝ ΤΩΝ ΕΝ ΤΩ ΠΑΡΟΝΤΙ ΤΟΜΩ

ΙΕΡΩΝ ΚΑΝΟΝΩΝ,

ΜΕΤΑ ΤΗΣ ΣΥΜΦΩΝΙΑΣ ΑΥΤΩΝ.

ΚΑΝΟΝΕΣ ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ.

Α'. Περὶ τοῦ, ὅτι ὑπὸ τριῶν, ἢ δύω, ὁ ἐπίσκοπος χειροτονεῖται. — Τῆς Α'. δ'. τῆς Ζ'. γ'. Ἀντιοχ. ιθ'. Καρθ. ιγ'. νή. Λαοδ. ιϐ'. Σαρδ. ϛ'. Σελ. 1

Β'. Ὁ δὲ κληρικὸς ὑφ' ἑνός. — Θεοφ. ζ'. 4

Γ'. Τίνα προσάγονται εἰς θυσίαν. — Ἀπ. δ'. τῆς ϛ'. κή. νζ'. ϟθ'. Καρθ. μδ'. Θεοφίλ. ή. 4

Δ'. Αἱ ἀπαρχαὶ τῶν ὀπωρῶν ποῦ ἀποςέλλονται, καὶ τίσι διανέμονται; — Ἀπ. γ'. τῆς ϛ'. κή. νζ'. ϟθ'. Καρθ. μδ'. Θεοφ. ή. 6

Ε'. Περὶ τῶν τὰς ἑαυτῶν γυναῖκας ἐκϐαλλόντων ἱερατικῶν. — Τῆς ϛ'. ιγ'. μή. Γάγγρ. δ'. Καρθ. δ'. λγ'. 7

Ϛ'. Περὶ τῶν ἀναδεχομένων φροντίδας κοσμικὰς ἱερατικῶν. — Ἀπ. πά. πγ'. τῆς Δ'. γ'. ζ'. τῆς Ζ'. ί. τῆς ΑΒ'. ιά. Καρθ. ιή. 9

Ζ'. Περὶ τῶν Ἑβραϊκῶς τελούντων τὸ Πάσχα ἱερατικῶν. — Ἀπ. ξέ. ό. οά. τῆς ϛ'. ιά. Ἀντιοχ. ά. Λαοδ. λζ'. λή. Καρθ. ξ'. πά. ριζ'. 10

Η'. Περὶ τῶν μὴ μεταλαμϐανόντων ἱερατικῶν ἐν τῇ λειτουργίᾳ. — Ἀπ. θ'. τῆς ϛ'. ξϛ'. Ἀντιοχ. ϐ'. Τιμοθ. γ'. 11

Θ'. Περὶ τῶν μὴ παραμενόντων τῇ προσευχῇ καὶ τῇ μεταλήψει. — Τῆς ϛ'. ξϛ'. Ἀντιοχ. ϐ'. Τιμοθ. γ'. ιγ'. 13

Ι. Περὶ τοῦ συνευχομένου ἀκοινωνήτῳ. — Ἀπ. ιά. ιϐ'. Ἀντιοχ. ϐ'. Καρθ. θ'. 14

ΙΑ'. Περὶ τοῦ συνευχομένου κληρικοῦ καθηρημένῳ. — Ἀπ. ί. Αν-

τιοχ. ϐ'. Καρθ. θ'. Σελ. 15

ΙΒ'. Περὶ τοῦ δεξαμένου τὸν ἄδεκτον. — Ἀπ. λϐ'. λγ'. τῆς Δ'. ιά. ιγ'. τῆς ϛ'. ιζ'. Ἀντιοχ. ϛ'. ζ'. ή. ιά. Σαρδ. ζ'. ή. θ'. Καρθ. ξγ'. ξή. ρις'. Λαοδ. μά. μϐ'. Σοφ. ά. 15

ΙΓ'. Ὅτι ἐπιτείνεται ὁ ἀφορισμὸς τῷ ἀφωρισμένῳ, εἴγε ἀπατήσει εἰς τὸ δεχθῆναι. — Ἀπ. ιϐ'. Καρθ. ρις'. 16

ΙΔ'. Περὶ ἐπισκόπου, ἐπιπηδῶντος ἑτέρᾳ ἐπαρχίᾳ. — Ἀπ. λέ. τῆς Α'. ιέ. τῆς Β'. ϐ'. τῆς Δ'. έ. τῆς ϛ'. κ'. Ἀντιοχ. ιγ'. ιϛ'. κά. Σαρδ. ά. γ'. Καρθ. νζ'. 18

ΙΕ'. Περὶ τοῦ ἀποσκιρτήσαντος κληρικοῦ ἀπὸ τοῦ οἰκείου ἐπισκόπου. — Τῆς Α'. ιέ. ιϛ'. τῆς Δ'. έ. ί. κ'. κγ'. τῆς ϛ'. ιζ'. ιή. τῆς Ζ'. ί. ιέ. Ἀντιοχ. γ'. Σαρδ. ιέ. ιϛ'. ιζ'. Καρθ. ξγ'. ξή. 20

Ιϛ'. Περὶ τοῦ τὸν ἀποσκιρτήσαντα κληρικὸν δεξαμένου ἐπισκόπου. — Ἀπ. ί. ιϐ'. τῆς ϛ'. ιζ'. ιή. Ἀντιοχ. γ'. Καρθ. ξγ'. ξδ'. 22

ΙΖ'. Περὶ τοῦ δυσὶ γάμοις, ἢ παλλακῇ, συμπλακέντος μετὰ τὸ βάπτισμα. — Τῆς ϛ'. γ'. Νεοκ. γ'. ζ'. Βασιλ. δ'. ιϐ'. ν'. π'. 23

ΙΗ'. Περὶ τοῦ χήρᾳ ἢ ἄλλως ἀτίμῳ γυναικὶ συμπλακέντος. — Τῆς ϛ'. γ'. κϛ'. Βασιλ. κζ'. 25

ΙΘ'. Περὶ τοῦ δύο ἀδελφὰς, ἢ ἀδελφιδῆν ἀγαγομένου. — Τῆς ϛ'. γ'. κϛ'. Νεοκ. ϐ'. Βασιλ. κγ'. οή. Θεοφ. έ. 26

Κ'. Περὶ τοῦ ἐγγύας διδόντος κληρικοῦ. — Τῆς Δ'. λ'. 27

ΚΑ'. Περὶ τοῦ κατὰ φύσιν, ἢ ἐξ ἐπηρείας εὐνουχισθέντος. — Ἀπ. κϐ'. κγ'. κδ'. τῆς Α'. ά. τῆς ΑΒ'. ή. 29

ΚΒ'. Περὶ τοῦ ὅτι οὐ κληροῦται ὅστις ἑαυτὸν ἠκρωτηριάσατο. — Ἀπ. κά. κγ'. κδ'. τῆς Α'. ά. τῆς ΑΒ'. ή. 30

ΚΓ'. Περὶ κληρικοῦ τὸ αὐτὸ ποιήσαντος. — Ἀπ. κά. κϐ'. κδ'. τῆς Α'. ά. τῆς ΑΒ'. ή. 31

ΚΔ'. Περὶ λαϊκοῦ τὸ αὐτὸ ἐνεργήσαντος. — Ἀπ. κά. κϐ'. κγ'. τῆς Α'. ά. τῆς ΑΒ'. ή. 31

ΚΕ'. Περὶ ἱερατικῶν ἐπὶ μεγάλοις ἁμαρτήμασιν ἁλόντων. — Ἀπ. λ'. τῆς Α'. θ'. τῆς ϛ'. δ'. κά. Νεοκ. ά. θ'. Καρθ. λέ. Βασιλ. γ'. ιζ'. λϐ'. μδ'. νά. ό. 32

ΚϚʹ. Ποῖοι μετὰ τὸ κληρωθῆναι γαμοῦσιν. — Τῆς Δʹ. ιδʹ. τῆς ϛʹ. ϛʹ. Καρθ. ιθʹ. λγʹ. Βασιλ. ξθʹ. Σελ. 33

ΚΖʹ. Περὶ ἱερατικοῦ τύπτοντος. — Τῆς ΑΒʹ. θʹ. Ἀντιοχ. έ. Καρθ. νζʹ. ξϐʹ. οϛʹ. πγʹ. ϟθʹ. ρʹ. ρϛʹ. ρζʹ. 34

ΚΗʹ. Περὶ τοῦ δικαίως καθαιρεθέντος. — Ἀντιοχ. δʹ. ιϐʹ. ιέ. Σαρδ. ιδʹ. ἐπιστ. Βασιλ. πρὸς Γρηγόρ. ἡ κανὼν πή. 36

ΚΘʹ. Περὶ τοῦ διὰ χρημάτων προϐιϐασμοῦ. — Τῆς Δʹ. ϐʹ. τῆς ϛʹ. κϐʹ. κγʹ. τῆς Ζʹ. δʹ. έ. ιθʹ. Βασιλ. ϟʹ. ἐπιστ. Γενναδ. καὶ Ταρασίου. 37

Λʹ. Περὶ τοῦ δι' ἀρχόντων. — Τῆς Δʹ. ϐʹ. τῆς Ζʹ. γʹ. έ. Λαοδ. ιϐʹ. ιγʹ. 37

ΛΑʹ. Περὶ τῶν παρὰ γνώμην τοῦ οἰκείου ἐπισκόπου παρασυναγόντων. — Τῆς Δʹ. ιή. τῆς ϛʹ. λά. λδʹ. τῆς ΑΒʹ. ιγʹ. ιδʹ. ιέ. Γάγγρ. ϛʹ. Ἀντιοχ. έ. Καρθ. ί. ιά. ξϐʹ. 39

ΛΒʹ. Περὶ τοῦ μὴ προσλαμϐάνεσθαι τὸν ἀφωρισμένον παρ' ἄλλου ἐπισκόπου. — Ἀποστ. ιϐʹ. ιγʹ. τῆς Αʹ. έ. Ἀγ. Σοφ. ά. Ἀντιοχ. ϛʹ. Σαρδ. ιδʹ. Καρθ. ιά. λζʹ. ρμά. 42

ΛΓʹ. Περὶ τοῦ μὴ δέχεσθαι κληρικὸν χωρὶς συστατικοῦ. — Ἀπος. ιϐʹ. τῆς Δʹ. ιά. ιγʹ. τῆς ϛʹ. ιδʹ. Ἀντιοχ. ζʹ. ή. Λαοδ. μά. Καρθ. λά. ζζʹ. 43

ΛΔʹ. Εἰδέναι χρὴ τοὺς ἐπισκόπους τὸν ἑαυτῶν πρῶτον. — Τῆς Ά. ϛʹ. ζʹ. τῆς Βʹ. ϐʹ. γʹ. τῆς Γʹ. ή. τῆς Δʹ. κή. τῆς ϛʹ. λϛʹ. λθʹ. Ἀντιοχ. θʹ. Καρθ. μϛʹ. 45

ΛΕʹ. Περὶ ὑπερορίου χειροτονίας. — Ἀπ. ιδʹ. τῆς Βʹ. ϐʹ. τῆς Γʹ. ή. τῆς ϛʹ. κʹ. Ἀντιοχ. ιγʹ. κϐʹ. Σαρδ. γʹ. ιά. ιϐʹ. 47

ΛϚʹ. Περὶ τοῦ εἰς ἐκκλησίαν διορισθέντος ἐκκλησιαστικοῦ, καὶ μὴ πειθομένου. — Τῆς ϛʹ. λζʹ. Ἀγκ. ιή. Ἀντιοχ. ιζʹ. ιή. Καρθ. λθʹ. 48

ΛΖʹ. Περὶ Συνόδων. — Τῆς Αʹ. έ. τῆς Δʹ. ιθʹ. τῆς ϛʹ. ή. τῆς Ζʹ. ϛʹ. Ἀντιοχ. κʹ. Λαοδ. μʹ. Καρθ. κϛʹ. ξʹ. ξά. πά. πδʹ. πέ. ρδʹ. 50

ΛΗʹ. Χωρὶς γνώμης τοῦ ἐπισκόπου μηδὲν ποιεῖν τοὺς ὑποϐεϐηκότας ἐκκλησιαστικούς. — Ἀπος. λθʹ. μά. τῆς Δʹ. κϛʹ. τῆς Ζʹ. ιά. ιϐʹ. τῆς ΑΒʹ. ζʹ. Ἀγκ. ιέ. Γαγγρ. ζʹ. ή. Ἀντιοχ. κδʹ. κέ. Λαοδ. νζʹ. Καρθ. ϛʹ. ζʹ. λδʹ. μά. Θεοφ. ά. Κυρίλλ. ϐʹ. 52

ΛΘ'. Ἐπὶ τῷ ἐπισκόπῳ κείσθωσαν τὰ τῆς ἐκκλησίας.—Τῆς Ζ'. ιδ'. Ἀντιοχ. κδ'. κέ. Λαοδ. νζ'. Καρθ. ϛ'. ζ'. λδ'. μά. ν'. Ἀγκ. ιέ. Σελ. 54
Μ'. Διακρινέσθωσαν τῶν ἐκκλησιαστικῶν τὰ τοῦ ἐπισκόπου πράγματα.—Τῆς Δ'.κϐ'.τῆς ϛ'. λέ. Ἀντιοχ. κδ'. Καρθ. λ'. μ'. πθ'. 55
ΜΑ'. Ὁ ἐπίσκοπος, ἐξουσιαζέτω τὰ τῆς ἐκκλησίας.—Ἀποστ. λή. τῆς Δ'. κϛ'. τῆς Ζ'. ιϐ'. Ἀντιοχ. κδ'. κέ. Θεοφ. ί. ιά. Κυρίλ. ϐ'. 57
ΜΒ'. Περὶ κυβεύοντος, ἢ μεθύοντος ἱερατικοῦ. — Ἀπ. μγ'. νδ'. τῆς ϛ'. θ'. ν'. τῆς Ζ'. κϐ'. Λαοδ. κδ'. νέ. Καρθ. μζ'. ξθ'. 58
ΜΓ'. Ὡσαύτως καὶ περὶ ὑποδιακόνου, ἢ ψάλτου κτλ.—Ἀποσ. νδ'. τῆς ϛ'. θ'. ν'. Λαοδ. κϛ'. νέ. Καρθ. μζ'. ξθ'. 58
ΜΔ'. Περὶ τοκίζοντος ἱερατικοῦ. —Τῆς Α'. ιζ'. τῆς ϛ'. ί. Λαοδ. δ'. Καρθ. έ. κ'. Βασιλ. ιδ'. 59
ΜΕ'. Περὶ συνευξαμένου ἱερατικοῦ αἱρετικοῖς.—Ἀποσ. ί. μϛ'. ξδ'. τῆς Γ'. ϐ'. δ'. Λαοδ. ϛ'. θ'. λϐ'. λγ'. λδ'. λζ'. Τιμ. θ'. 60
Μϛ'. Μὴ δέχεσθαι βάπτισμα ἢ θυσίαν αἱρετικῶν.—Ἀπ. μζ'. ξή. τῆς Β'. ζ'. τῆς ϛ'. ϟέ. Καρθ. ά. Βασιλ. ά. κ'. μζ'. 61
ΜΖ'. Πῶς χρηστέον τοῖς ἀληθὲς ἔχουσι βάπτισμα, ἢ μή.—Ἀπ. μϛ'. ξή. τῆς Β'. ζ'. τῆς ϛ'. πδ'. ϟέ. Καρχ. ά. Καρθ. λέ. νϐ'. νζ'. π'. Βασιλ. ά. κ'. μζ'. 62
ΜΗ'. Περὶ τοῦ ἐκϐάλλειν τινὰ, ἢ εἰσοικίζειν ἑτέραν γυναῖκα, ἢ ἀπολελυμένην. — Τῆς ϛ'. ιγ'. πζ'. Ἀγκ. κ'. Καρθ. ριγ'. Βασ. θ'. κά. λέ. λθ'. οζ'. Τιμοθ. ιέ. 63
ΜΘ'. Περὶ τοῦ μὴ βαπτίζοντος εἰς τὴν ἁγίαν Τριάδα. 65
Ν'. Περὶ τῶν ἐν τῷ βαπτίσματι καταδύσεων.—Τῆς Β'. ζ'. 66
ΝΑ'. Περὶ τοῦ βδελυττομένου γάμον, καὶ οἶνον, καὶ κρέα. Ἀπ. νγ'. τῆς ϛ'. ιγ'. Ἀγκ. ιδ'. Γαγγρ. ά. θ'. ιδ'. κά. Βασιλ. πϛ'. 67
ΝΒ'. Περὶ ἱερατικῶν μὴ δεχομένων τὸν μετανοοῦντα. — Καρθ. ϛ'. ζ'. ν'. νγ'. οϐ'. 68
ΝΓ'. Περὶ ἱερατικῶν μὴ μεταλαμϐανόντων κρεῶν, καὶ οἴνου ἐν ἑορταῖς. —Ἀπ. νά. Ἀγκ. ιδ'. Γαγγρ. ά. ϐ'. θ'. ιδ'. ιή. Βασιλ. πϛ'. 70
ΝΔ'. Περὶ τοῦ ἐν καπηλείῳ ἐσθίοντος κληρικοῦ.—Ἀπ. μϐ', μγ',

τῆς ϛ'. θ'. τῆς Ζ'. κϐ'. Λαοδ. κδ'. Καρθ. μζ'. ξθ'. Σελ. 71
ΝΕ'. Περὶ τοῦ ὑϐρίζοντος ἐπίσκοπον κληρικοῦ. — Ἁγ. Σοφ. γ'. 73
Νϛ'. Περὶ τοῦ ὑϐρίζοντος πρεσϐύτερον ἢ διάκονον κληρικοῦ. 73
ΝΖ'. Περὶ τοῦ χλευάζοντος πεπηρωμένον. 74
ΝΗ'. Περὶ ἱερατικοῦ ἀμελοῦντος τοῦ ἰδίου κλήρου.—Τῆς Δ'. κέ. τῆς ϛ'. ιθ'. π'. τῆς ΑΒ'. ιϛ'. Σαρδ. ιά. ιϐ'. Καρθ. οθ'. πϐ'. πϛ'. ρλά. ρλϐ'. ρλγ'. Νύσσ. ϛ'. Πέτρου ί. 75
ΝΘ'. Περὶ ἱερατικοῦ μὴ ἐλεοῦντος τοὺς ἐνδεεῖς κληρικούς.—Ἀπ. δ'. μά. 76
Ξ'. Περὶ τῶν ψευδεπίγραφα ἀναγινωσκόντων ἐπ' ἐκκλησίας βιϐλία. — Τῆς ϛ'. ϐ'. ξγ'. τῆς Ζ'. θ'. Λαοδ. νά. 77
ΞΑ'. Περὶ τοῦ ἐλεγχθέντος εἰς ἀπηγορευμένας πράξεις.—τῆς Β'. ϛ'. Καρθ. νθ'. ρλή. 79
ΞΒ'. Περὶ τῶν ἀρνησαμένων τὸν Χριστὸν, ἢ τὴν ἰδίαν κλήρωσιν. —Τῆς Α'. ιά. Ἀγκ. ά. ϐ'. γ'. ιϐ'. Πέτρου ί. ιδ'. Ἀθανασίου ἐπιϛολὴ πρὸς Ῥουφινιανόν. Βασιλ. μέ. ογ'. 80
ΞΓ'. Περὶ τοῦ μὴ τρώγειν αἷμα ζώου, ἢ πνικτόν.—Τῆς ϛ'. ξζ'. Γάγγρ. ϐ'. 81
ΞΔ'. Περὶ τοῦ προσευξαμένου κληρικοῦ ἐν συναγωγῇ αἱρετικῶν. — Ἀπ. μέ. οά. τῆς ϛ'. ιά. νέ. νϛ'. Λαοδ. ϛ'. κθ'. λϐ'. λγ'. λζ'. λή. 81
ΞΕ'. Περὶ τοῦ ἅπαξ πλήξαντος καὶ θανατώσαντος κληρικοῦ. — Ἀπ. κζ'. τῆς ϛ'. ϟά. Ἀγκύρ. κά. κϐ'. κγ'. Ἀθαν. ἐπιστολὴ πρὸς Ἀμμούν. Βασιλ. ϐ'. ή. ιά. ιγ'. μγ'. νδ'. νϛ'. νζ'. Νύσσ. έ. Ἀντιοχ. ά. 83
Ξϛ'. Περὶ τῶν τὰς Κυριακὰς, ἢ σάϐϐατα νηστευόντων. — Τῆς ϛ'. νέ. πθ'. Γάγγρ. ιή. Πέτρου ιέ. Θεοφ. ά. 84
ΞΖ'. Περὶ τοῦ φθείροντος παρθένον.—Βασιλ. κϐ'. κέ. κϛ'. λ'. 85
ΞΗ'. Περὶ ἀναχειροτονηθέντος.—Ἀπ. μϛ'. μζ'. τῆς Α'. ή. τῆς Β'. ζ'. τῆς ϛ'. ϟέ. Καρθ. νζ'. οζ'. ρά. 87
ΞΘ'. Περὶ τοῦ μὴ ἐν ταῖς νηστίμοις νηστεύοντος. — Τῆς ϛ'. κθ'. πθ'. Λαοδ. μθ'. ν'. Πέτρ. ιέ. Διον. ά. Τιμ. ή. ί. 88
Ο'. Περὶ τῶν μετὰ Ἰουδαίων νηστευόντων. — Ἀπ. ζ'. οά. τῆς ϛ'. ιά. Ἀντιοχ. ά. Λαοδ. κθ'. λζ'. λή. Καρθ. ξθ'. 90

ΟΑ'. Περὶ τοῦ ἔλαιον προσφέροντος ἢ λυχναπτοῦντος ἐν τοῖς βεβήλοις ναοῖς. — Ἀπ. ζ'. ξέ. ό. τῆς ϛ'. ιά. Ἀντιοχ. ά. Λαοδ. κθ'. λζ'. λή. Καρθ. νθ'. πϐ'. ρκγ'. Σελ. 91

ΟΒ'. Περὶ τοῦ ἀπὸ ἐκκλησίας τι ἀλλοτριοῦντος. — Ἀπος. ογ'. τῆς ΑΒ'. ί. τοῦ Νύσσ. ή. 92

ΟΓ'. Περὶ τοῦ ἱερόν τι εἰς οἰκείαν χρῆσιν λαμβάνοντος. — Ἀπ. οϐ'. τῆς ΑΒ'. ί. τοῦ Νύσσ. ή. 93

ΟΔ'. Ὁ κατηγορούμενος ἐπίσκοπος πῶς προσκαλεῖται ὑπὸ τῆς συνόδου. — Τῆς Β'. ϛ'. τῆς Δ'. θ'. ιζ'. κά. Ἀντιοχ. ιδ'. ιέ. Σαρδ. δ'. Καρθ. ή. κζ'. λή. οδ'. ϟϛ'. 93

ΟΕ'. Τίνας δεκτέον εἰς κατηγορίαν ἐπισκόπου. — Τῆς Α'. ϐ'. τῆς Β'. ϛ'. Καρθ. μ'. ρλζ'. ρλή. Θεοφ. θ'. 96

Οϛ'. Περὶ ἐπισκόπου τοῖς οἰκείοις κληροδοτοῦντος τὴν ἐπισκοπήν. — Ἀντιοχ. κγ'. Καρθ. μ'. 97

ΟΖ'. Ὁ τῶν ὀφθαλμῶν, ἢ τῶν ποδῶν τὸν ἕτερον πεπηρωμένος ἱερᾶται. 99

ΟΗ'. Ὁ δὲ τυφλὸς, ἢ κωφὸς, οὐκέτι. 100

ΟΘ'. Ὁ δαιμονῶν οὔτε κληροῦται, οὔτε συνεύχεται. — Τῆς ϛ'. ξ'. Τιμοθ. ϐ'. γ'. ιέ. 101

Π'. Περὶ τοῦ μὴ εὐθέως ἱερᾶσθαι τοὺς νεοφωτίστους. — Τῆς Α'. ϐ'. τῆς ΑΒ'. ιζ'. Νεοκαισ. ιϐ'. Σαρδ. ί. Λαοδ. γ'. Κυρίλλ. δ'. 103

ΠΑ'. Περὶ ἱερατικῶν προσανεχόντων κοσμικαῖς φροντίσι. — Ἀπ. ϛ'. πγ'. τῆς Δ'. γ'. ζ'. τῆς Ζ'. ί. τῆς ΑΒ'. ιά. Καρθ. ιή. 104

ΠΒ'. Περὶ δούλων κληρώσεως. — Τῆς Δ'. δ'. τῆς ϛ'. πέ. Γαγγρ. γ'. Βασιλ. μ'. μά. μϐ'. ἐπιστολ. πρὸς Φιλήμ. 105

ΠΓ'. Περὶ τῶν μὴ ἀπεχομένων τῆς στρατείας κληρικῶν. — Ἀπ. ϛ'. πά. τῆς Δ'. γ'. ζ'. τῆς Ζ'. ί. τῆς ΑΒ'. ιά. Καρθ. ιή. 107

ΠΔ'. Περὶ ὑβριζόντων παρὰ τὸ δίκαιον βασιλέα. 108

ΠΕ'. Περὶ ἁγίων βιβλίων. — Ἀπ. ξ'. τῆς ϛ'. ϐ'. Λαοδ. νθ'. ξ'. Καρθ. λϐ'. νδ'. Ἀθαν. λθ'. ἑορτ. ἐπιστ. ϐ'. Γρηγ. Θεολ. ἐν τοῖς αὐτοῦ ἔπεσιν. Ἀμφιλόχιος πρὸς Σέλευκον. 109

ΚΑΝΟΝΕΣ ΤΗΣ Α΄. ΣΥΝΟΔΟΥ.

Α'. Περὶ τῶν παρ' ἄλλων εὐνουχισθέντων, εἰ κληροῦνται. — Ἀπ. κά. κϐ'. κγ'. κδ'. τῆς ΑΒ'. ή. Σελ. 114

Β. Περὶ τῶν μετὰ τὸ βάπτισμα εὐθὺς κληρουμένων. Ἀπος. π'. τῆς ΑΒ'. ιζ'. Σαρδικ. ί. Λαοδικ. γ'. Κυρίλλ. δ'. 116

Γ'. Περὶ τῶν παρὰ κληρικοῖς συνεισάκτων γυναικῶν. — Τῆς ς'. έ. τῆς Ζ'. ιή. κϐ'. Ἀγκ. ιθ'. Καρθ. μέ. Βασιλ. πή. 120

Δ'. Ὑπὸ πόσων καθίστασθαι τὸν ἐπίσκοπον. — Ἀπ. ά. τῆς Ζ'. γ'. Ἀντιοχ. ιθ'. Σαρδ. ς'. Λαοδ. ιϐ'. Καρθ. ιγ'. νή. νθ. 122

Ε'. Τοὺς ἀφωρισμένους μὴ δέχεσθαι παρ' ἄλλων ἐπισκόπων. — Ἀπ. ιϐ'. ιγ'. λϐ'. τῆς Δ'. ιθ'. τῆς ς'. ή. Ἀντιοχ. ς'. Σαρδικ. ιδ'. Καρθ. κς'. λζ'. ρις'. ρμά. 124

ς'. Πρῶτοι ἔστωσαν καὶ ἐπισκόπων καὶ μητροπολιτῶν. — Ἀπ. λδ'. τῆς Β'. ϐ'. γ'. τῆς Γ'. ή. τῆς Δ'. κή. τῆς ς'. ή. λς'. Ἀντιοχ. ιθ'. Καρθ. ιγ'. λς'. 128

Ζ'. Περὶ τῆς τιμῆς τοῦ Ἱεροσολύμων. — Ἀπ. λδ'. τῆς Β'. ϐ'. γ'. τῆς Γ'. ή. τῆς Δ'. κή. τῆς ς'. λς'. Ἀντιοχ. ιθ'. 131

Η'. Περὶ Ναυατιανῶν ἐπιστρεφόντων. — Ἀπ. μς'. μζ'. μή. τῆς Β'. ζ'. τῆς ς'. ϙέ. Λαοδ. ς'. ζ'. ή. Καρθ. ξς'. Βασιλ. ά. μζ'. Θεοφ. ιϐ'. Ἀγκ. ιγ'. Νεοκ. ιδ'. Ἀντ. ή. ί. 133

Θ'. Περὶ τῶν ἀνεξετάστως χειροτονουμένων πρεσϐυτέρων. — Ἀπ. κέ. ξά. τῆς ς'. δ'. Νεοκαισ. ά. θ'. ί. Θεοφ. γ'. έ. ς'. Βασιλ. γ'. ϛ. 137

Ι'. Περὶ χειροτονίας τῶν παραπεπτωκότων. — Ἀπ. ξϐ'. Ἀγκ. ά. ϐ'. ιϐ'. Πέτρου ί. 138

ΙΑ'. Περὶ τοῦ πῶς μετανοητέον τοὺς ἑκουσίως παραπεπτωκότας. — Τῆς ς'. ϙδ'. Ἀγκύρ. ς'. Πέτρου γ'. Βασιλ. ογ'. πά. Νύσσ. ϐ'. 139

ΙΒ'. Περὶ τῶν λειποστρατούντων, ὥστε μαρτυρῆσαι ὑπὲρ Χριστοῦ, καὶ εἶτα ἀναστρατευσάντων. — Πέτρου θ'. ιά. τῆς ς'. ρϐ'. Ἀγκ. ϐ'. έ. ζ'. Λαοδ. ά. ϐ'. Βασιλ. ϐ'. γ'. οδ'. πδ'. Νύσσ. δ'. έ. ζ'. ή. 140

ΙΓ'. Περὶ τῶν ἐν τῷ θανάτῳ ζητούντων μεταλαβεῖν, πρότερον

κεκωλυμένων. — Ἀγκ. ϛ'. Σελ. 143
ΙΔ'. Περὶ τῶν παραπεσόντων κατηχουμένων. — Νεοκαισ. έ. Λαοδ. ιθ'. Βασιλ. δ'. κ'. Τιμοθ. ϛ'. Κυρίλλ. έ. 144
ΙΕ'. Περὶ τοῦ μεταβαίνοντος ἀπὸ ἐκκλησίας εἰς ἐκκλησίαν κληρικοῦ. — Ἀποστ. ιδ'. ιέ. τῆς Δ'. ϛ'. Ἀντιοχ. γ'. κά. Σαρδ. ά. ιϛ'. Καρθ. νζ'. 145
Ιϛ'. Περὶ τοῦ ἐπιμένοντος τῇ τοιαύτῃ μεταβάσει. — Τῆς ά. ιέ. 148
ΙΖ'. Περὶ τῶν λαμβανόντων τόκους κληρικῶν. — Ἀπ. μδ'. τῆς ϛ'. ί. Λαοδ. δ'. Καρθ. έ. κ'. Βασιλ. ιδ'. 151
ΙΗ'. Περὶ διακόνων, ἵνα μὴ τῆς εὐχαριστίας μεταδιδῶσι τοῖς πρεσβυτέροις, καὶ ἵνα μὴ πρὸ τούτων κάθηνται. — Λαοδ. κ'. τῆς ϛ'. ζ'. 154
ΙΘ'. Ὅτι οἱ Παυλικιανοὶ ἀναβαπτίζονται. — Ἀπ. μζ'. τῆς Α'. β'. τῆς ϛ'. ϙέ. Λαοδ. ζ'. ή. Καρθ ξϛ'. 158
Κ. Ταῖς Κυριακαῖς καὶ τῇ Πεντηκοστῇ μὴ γονυκλιτεῖν. — Τῆς ϛ'. ϙ'. Πέτρου ιέ. 162

ΚΑΝΟΝΕΣ ΤΗΣ Β'. ΣΥΝΟΔΟΥ.

Α'. Φυλακτέον τῆς ἐν Νικαίᾳ Συνόδου τὴν πίστιν. — Τῆς Β'. έ. τῆς ϛ'. ά. Καρθ. β'. 165
Β'. Τὸν ἐπίσκοπον μὴ ἐπιέναι ἄκλητον εἰς ἄλλην παροικίαν. — Ἀπ. ιδ'. λδ'. λέ. Τῆς Α'. ϛ'. ζ'. τῆς Γ'. ή. τῆς Δ'. κή. τῆς ϛ'. κ'. λθ'. Ἀντιοχ. θ'. Σαρδ. γ'. ιά. ιβ'. 169
Γ'. Περὶ προνομίων τοῦ Κωνςαντινουπόλεως.—Τῆς Δ'. κή. 173
Δ'. Περὶ Μαξίμου, τοῦ Κυνικοῦ φιλοσόφου. 176
Ε'. Ὡς δέον ἀποδεχθῆναι τοὺς Ἀντιοχεῖς ὁμολογοῦντας.—Τῆς Β'. ά. τῆς ϛ'. ά. Καρθ. ά. β'. 178
ϛ'. Τίνες ἂν εἶεν οἱ κατηγοροῦντες ἐπισκόπους; — Ἀπ. οδ'. τῆς Δ'. θ'. ιζ'. κά. Καρθ. ή. ιβ'. ιδ'. ιέ. ιϛ'. κζ'. λϛ'. ϙϛ'. ρέ. ρλδ'. ρλζ'. ρλή. ρλθ'. Ἀντιοχ. ιβ'. ιδ'. ιέ. Σαρδ. δ'. 180
Ζ'. Περὶ τοῦ πῶς δεκτέον τοὺς αἱρετικούς.—Ἀπ. μϛ'. μζ'. ξή. τῆς Α'. ή. ιθ'. τῆς ϛ'. ϙέ. Λαοδ. ζ'. ή. Καρθ. ξϛ'. Βασιλ. ά. έ. μζ'. 187

ΚΑΝΟΝΕΣ ΤΗΣ Γ΄. ΣΥΝΟΔΟΥ.

Α΄. Περὶ Κελεστίου τοῦ αἱρετικοῦ, καὶ τῶν αὐτοῦ ὀπαδῶν. 192
Β΄. Περὶ ἀποστατῶν ἐπισκόπων. Σελ. 195
Γ΄. Περὶ κληρικῶν εὐσεβῶν καθαιρεθέντ. διὰ τὴν εὐσέβειαν. 196
Δ΄. Περὶ κληρικῶν Νεστοριανῶν καὶ Κελεστιανῶν. 197
Ε΄. Περὶ τῶν καθῃρημένων μὲν κληρικῶν, ἐκχωρηθέντων δὲ ὑπὸ τῶν Νεστοριανῶν. 197
ς΄. Περὶ τῶν πειρασαμένων ἀκυρῶσαι τὰ πρακτικὰ ταύτης τῆς συνόδου. — Καρθ. ϙδ΄. 199
Ζ΄. Περὶ τῶν ἐναλλασσόντων τὴν τῆς ἐν Νικαίᾳ πίστιν. 200
Η΄. Ὁ Ἀντιοχείας μὴ ἐκλεγέτω τοὺς Κύπρου ἐπισκόπους. — Ἀπ. λδ΄. λέ. τῆς Α. ς΄. ζ΄. τῆς Β΄. β΄. τῆς ς΄. κ΄. λς΄. λθ΄. Ἀντιοχ. θ΄. ιγ΄. κβ΄. Σαρδ. γ΄. ιά. ιβ΄. 203
Ἐπιστολὴ τῆς συνόδου περὶ παραιτήσεως ἐπισκόπων. — Τῆς ΑΒ΄. ις΄. Πέτρου ί. Κυρίλλ. β΄. γ΄. 206

ΚΑΝΟΝΕΣ ΤΗΣ Δ΄. ΣΥΝΟΔΟΥ.

Α΄. Περὶ φυλακῆς τῶν συνοδικῶν κανόνων. — Τῆς ς΄. β΄. τῆς Ζ΄. ά. 216
Β΄. Περὶ τοῦ μὴ χειροτονεῖν διὰ χρημάτων. — Ἀπ. κθ΄. λ΄. τῆς ς΄. κβ΄. κγ΄. τῆς Ζ΄. γ΄. δ΄. έ. ιθ΄. Βασιλ. ϙέ. Λαοδ. ιβ΄. Γενναδ. καὶ Ταρασίου ἐπιστολή. 217
Γ΄. Περὶ κληρικῶν, ἢ μοναχῶν, ἀναδεχομένων κοσμικὰς φροντίδας. — Ἀπ. ς΄. πά. πγ΄. τῆς Δ΄. ζ΄. τῆς Ζ΄. ί. τῆς ΑΒ΄. ιά. Καρθ. ιή. 220
Δ΄. Ὥστε μὴ συνιστᾷν μονὴν ἄνευ ἐπισκοπικῆς γνώμης. — Ἀπ. πβ΄. τῆς Δ΄. κδ΄. τῆς Ζ΄. ιζ΄. κά. τῆς ΑΒ΄. ά. Καρθ. ογ΄. ϙ΄. τῆς ς΄. πέ. Γάγγρ. γ΄. Βασιλ. μ΄. μβ΄. 225
Ε΄. Περὶ μεταβάσεως ἀπὸ ἄλλης εἰς ἄλλην ἐπαρχίαν. — Ἀπ. ιδ΄. ιέ. τῆς Α΄. ιέ. ις΄. τῆς ς΄. ιζ΄. Ἀντιοχ. γ΄. ις΄. κά. Σαρδ. ά. β΄. ιέ. ις΄. ιθ΄. Καρθ. νζ΄. ξγ΄. ϙή. 229
ς΄. Μὴ χειροτονεῖσθαί τινα ἀπολελυμένως. — Νεοκαισ. ιγ΄. τῆς Δ΄. ς΄. 230
Ζ΄. Κληρικοὺς, ἢ μοναχοὺς μὴ στρατεύεσθαι. — Ἀπ. ς΄. πά.

πγ'. τῆς Δ'. γ'. τῆς ΛΒ'. ιά. Καρθ. ιή. τῆς Ζ'. ί. Σελ. 232

Η'. Τοὺς κληρικοὺς τῶν πτωχοτροφείων, καὶ μοναστηρίων, ὑποτάσσεσθαι τῷ ἐπισκόπῳ. 234

Θ'. Οἱ κληρικοὶ διαφερόμενοι τῷ ἰδίῳ ἐπισκόπῳ δικαζέσθωσαν. — Ἀπ. οδ'. τῆς Β'. ς'. τῆς Δ'. ιζ'. κά. Ἀντιοχ. ιδ'. ιέ. Καρθ. ή. ιβ'. ιδ'. ιέ. ις'. κζ'. κή. λς'. πζ'. ϟς'. ρέ. ριέ. ριή. ρλδ'. ρλζ'. ρλή. ρλθ'. 237

Ι'. Περὶ κληρικοῦ τοῦ τὴν ἰδίαν ἐκκλησίαν καταλιπόντος. — Ἀπ. ιέ. τῆς Α'. ιέ. ις'. τῆς Δ'. έ. κ'. τῆς ς'. ιζ'. ιή. τῆς Ζ'. ιέ. Ἀντιοχ. γ'. Καρθ. ξγ'. ϟή. Σαρδ. ιέ. ις'. 240

ΙΑ'. Εἰρηνικὰς ἐπιστολὰς τίσι δοτέον. — Ἀπ. ιβ'. λγ'. τῆς Δ'. ιγ'. τῆς ς'. ιζ'. Ἀντιοχ. ζ'. ή. ιά. Λαοδ. μά. μβ'. Σαρδ. ζ'. ή. Καρθ. λά. ϟζ'. ριζ'. 243

ΙΒ'. Μὴ διαιρεῖν μίαν μητρόπολιν εἰς δύο. — Ἀπ. λδ'. τῆς Α'. ς'. ζ'. ή. τῆς Β'. β'. γ'. τῆς Γ'. ή. τῆς Δ'. κή. τῆς ς'. λς'. λθ'. 246

ΙΓ'. Τοὺς ξένους κληρικοὺς μὴ ἱερουργεῖν δίχα συστατικῶν. — Ἀπ. ιβ'. ιέ. 250

ΙΔ'. Μὴ συγγαμβρεύειν αἱρετικοῖς, ἢ Ἰουδαίοις. — Ἀπ. κς'. τῆς ς'. ς'. οβ'. Λαοδ. ί. λά. Καρθ. ιθ'. κθ'. λγ'. 251

ΙΕ'. Περὶ διακονισσῶν. — Α'. ιθ'. τῆς ς'. ιδ'. μ'. Βασιλ. μδ'. 254

Ις'. Ὅτι αἱ τῷ Θεῷ ἑαυτὰς ἀναθεῖσαι καὶ οἱ μονάζοντες γάμῳ οὐ προσομιλοῦσι. — Τῆς Δ'. ζ'. τῆς ς'. μδ'. Ἀγκ. ιθ'. Καρθ. ιθ'. Βασιλ. ς'. ιή. ιθ'. κ'. ξ'. 256

ΙΖ'. Μηδεμίαν παροικίαν ὑπό τινι ἐπαρχίᾳ λ'. ἔτη ὑποκειμένην εἰς ἄλλην μετακινεῖν. — Ἀπ. οδ'. τῆς Α'. ς'. τῆς Δ'. θ'. κά. τῆς ς'. κέ. λή. Ἀντιοχ. ιδ'. ιέ. Καρθ. ή. ιβ'. ιδ'. ιέ. ις'. κζ'. κή. λς'. πζ'. ϟς'. ρέ. ριέ. ριή. ρκή. ρκθ'. ρλ'. ρλζ'. ρλή. ρλθ'. 258

ΙΗ'. Περὶ συνωμοσίας κληρικῶν κατὰ τῶν οἰκείων ἐπισκόπων, ἢ συγκληρικῶν. — Απ. λά. τῆς ς'. λδ'. τῆς ΑΒ'. γ'. ιδ'. ιέ. Καρθ. ί. ξβ'. Γάγγρ. ς'. Ἀντιοχ. έ. 263

ΙΘ'. Περὶ συστάσεως συνόδου ἐν ἑκάστῃ ἐπαρχίᾳ. — Ἀπ. λζ'. τῆς Α'. έ. τῆς ς'. ή. τῆς Ζ'. ς'. Ἀντιοχ. κ'. Καρθ. κς'. πά. πδ'. πέ. ρδ'. 265

Κ. Περὶ τῶν δεχομένων ἐπισκόπων ξένους κληρικούς.—Ἀπ. ιέ. τῆς Α'. ιέ. ις'. τῆς Δ'. έ. ί. κγ'. τῆς ς'. ιζ'. ιή. τῆς Ζ'. ιέ. Ἀντιοχ. γ'. Καρθ. ξγ'. ϙή. Σαρδ. ιέ. ις'. Σελ. 266

ΚΑ'. Ἐξεταστέοι οἱ κατήγοροι ἐπισκόπων, ἢ κληρικῶν. — Ἀπ. οδ'. τῆς Β'. ς'. Καρθ. ή. κζ'. ρλζ'. ρλή. ρλθ'. 267

ΚΒ'. Περὶ τοῦ μὴ διαρπάζειν τοὺς κληρικοὺς τὴν οὐσίαν τῶν τεθνηκότων ἐπισκόπων.— Ἀπ. μ'. Ἀντιοχ. κδ'. τῆς ς'. λέ. Καρθ. λ'. πθ'. 267

ΚΓ'. Περὶ τοῦ μὴ διατρίβειν ἐν τῇ τοῦ Κωνσταντίνου τοὺς ἄλλοθεν ἀκοινωνήτους κληρικούς. — Ἀπ. ιέ. τῆς Α'. ιέ. ις'. τῆς Δ'. έ. ί. κ'. τῆς ς'. ιζ'. ιή. τῆς Ζ'. ιέ. Ἀντιοχ. γ'. Καρθ. ξγ'. ϙή. Σαρδ. ιέ. ις'. ιθ'. 269

ΚΔ'. Περὶ τοῦ μὴ μεταλλάττεσθαι τὰ μοναστήρια εἰς κοσμικὰ καταλύματα. — Τῆς Δ'. δ'. τῆς ς'. μθ'. τῆς Ζ'. ιϐ'. ιθ'. τῆς ΑΒ'. ά. Κυρίλλ. ϐ'. 271

ΚΕ'. Περὶ τοῦ μὴ ὑπὲρ τὸ τρίμηνον ὑπερτίθεσθαι τὰς τῶν ἐπισκόπων χειροτονίας. —Ἀπ. νή. τῆς ς'. ιθ'. τῆς ΑΒ'. ις'. Καρθ. οθ'. πϐ'. πς'. ρλά. ρλϐ'. ρλγ'. Πέτρου ί. 273

Κς'. Τοὺς ἐπισκόπους μὴ δίχα οἰκονόμων διοικεῖν τὰ τῆς ἐπισκοπῆς πράγματα. — Ἀπ. λή. λθ'. μά. τῆς Ζ'. ιά. ιϐ'. τῆς ΑΒ'. ζ'. Ἀντιοχ. κδ'. κέ. Καρθ. λδ'. μά. Γάγγρ. ζ'. Ἀγκύρ. ιέ. Θεοφίλ. ί. Κυρίλλ. ϐ'. 276

ΚΖ'. Περὶ ἁρπαζόντων γυναῖκας. — Τῆς ς'. ϙϐ'. Ἀγκύρ. ιά. Βασιλ. κϐ'. λ'. λή. μϐ'. νγ'. 279

ΚΗ. Περὶ τῶν τοῦ Κωνσταντινουπόλεως προνομίων. — Ἀπ. λδ'. τῆς Β'. γ'. τῆς ς'. λς'. 280

ΚΘ'. Οἱ ἐπίσκοποι οὐ καταβιϐάζονται εἰς πρεσϐυτέρους. 286

Λ'. Περὶ τῶν ἐν τῇ συνόδῳ μὴ ὑπογραφόντων Αἰγυπτίων ἐπισκόπων. — Ἀπ. κ'. λδ'. 288

ΚΑΝΟΝΕΣ ΤΗΣ ς'. ΣΥΝΟΔΟΥ.

Προσφωνητικὴ ἐπιστολὴ τῆς ἐν τῷ Τρούλλῳ συνόδου πρὸς Ἰουστινιανὸν τὸν Αὐτοκράτορα. 295

Α'. Περὶ τηρήσεως τῶν προτέρων ἱερῶν κανόνων.—Τῆς ς'. ϐ'. τῆς Ζ'. ά. 301

Β'. Τίνες οἱ δεκτοὶ κανόνες, καὶ περὶ τῶν διὰ Κλημέντος διαταγῶν. — Ἀπ. πέ. τῆς Δ'. α'. τῆς Ζ'. ά. 308

Γ'. Οἱ δίγαμοι κτλ. οὐχ ἱερῶνται. — Ἀπ. ιζ'. ιή. ιθ'. τῆς ς'. κς'. Βασιλ. ιβ'. κζ'. Σελ. 312

Δ'. Περὶ τῶν ταῖς ἱεραῖς παρθένοις μιγνυμένων. — Ἀπ. κέ. τῆς Α'. θ'. τῆς Δ'. ις'. τῆς ς'. κά. μδ'. Ἀγκύρ. ιθ'. Νεοκαισ. θ'. Βασιλ. γ'. ς'. ιή. ιθ'. κ'. λβ'. νά. ξ'. 315

Ε'. Περὶ συνεισάκτων γυναικῶν. — Τῆς Α'. γ'. τῆς Ζ'. ιή. κβ'. Ἀγκύρ. ιθ'. Καρθ. μέ. Βασιλ. πη'. 317

ς'. Ὑποδιάκονον, ἢ διάκονον, ἢ πρεσβύτερον μὴ γαμεῖν μετὰ τὴν ἱερωσύνην. — Ἀπ. κς'. τῆς Δ'. ιδ'. ιέ. Ἀγκύρ. ιγ'. Καρθ. ιθ'. λγ'. 318

Ζ'. Ὅτι ἀπαγορεύεται τοῖς διακόνοις προκαθέζεσθαι τῶν πρεσβυτέρων. — Τῆς Α'. ιή. Λαοδ. κ'. 320

Η'. Περὶ συγκροτήσεως μερικῆς συνόδου. — Ἀπ. λζ'. τῆς Α'. έ. τῆς Δ'. ιθ'. τῆς Ζ'. ς'. Ἀντιοχ. κ'. Καρθ. κς'. πά. πδ'. πέ. ρδ'. 324

Θ'. Μὴ ἐξεῖναι τοῖς κληρικοῖς καπηλικὸν ἔχειν ἐργαστήριον. — Ἀπ. μβ'. μγ'. νδ'. τῆς Ζ'. κβ'. Λαοδ. κδ'. Καρθ. ιή. μζ'. 326

Ι'. Μήτε ἑκατοστὰς λαμβάνειν. — Ἀπ. μδ'. τῆς Α'. ιζ'. Λαοδ. δ'. Καρθ. έ. κ'. Βασιλ. ιδ'. 328

ΙΑ'. Φεύγειν παντοίαν κοινωνίαν Ἰουδαίων. — Ἀπ. ζ'. ξδ'. ό. οά. Λαοδ. λζ'. λή. 328

ΙΒ'. Περὶ τοῦ μὴ συνοικεῖν τοὺς ἐπισκόπους ταῖς πρότερον οἰκείαις γυναιξίν. — Ἀπ. έ. τῆς ς'. λ'. μή. Γάγγρ. δ'. Καρθ. γ'. δ'. λγ'. 330

ΙΓ'. Οὐ διαζευκτέον τὰς γαμετὰς τῶν πρεσβυτέρων, διακόνων καὶ ὑποδιακόνων. — Ἀπ. έ. τῆς ς'. λ'. Γάγγρ. δ'. Καρθ. γ'. δ'. λγ'. Διον. γ'. Τιμοθ. έ. 333

ΙΔ'. Περὶ ἡλικίας πρεσβυτέρων καὶ διακόνων. — Τῆς Δ'. ιέ. τῆς ς'. ιέ. Νεοκαισ. ιά. Καρθ. κά. 337

ΙΕ'. Περὶ ἡλικίας ὑποδιακόνων. 337

Ις'. Ἀδιόριστον εἶναι τὸν τῶν διακόνων ἀριθμὸν ἐν ἑκάστῃ πόλει. — Νεοκαισ. ιέ. 339

ΙΖ'. Περὶ καταταγῆς κληρικῶν ἐν ἀλλοτρίαις ἐκκλησίαις. — Ἀπ. ιϐ'. ιέ. λγ'. τῆς Α'. ιέ. ις'. τῆς Δ'. έ. ί. ιά. ιγ'. κ'. κγ'. τῆς Ζ'. ιέ. Ἀντιοχ. γ'. ζ'. ή. ιά. Λαοδ. μά. μϐ'. Σαρδ. ζ'. ή. ιέ. ις'. ιθ'. Καρθ. λά. ξγ'. ϙή. ρις'. Σελ. 343

ΙΗ'. Περὶ τῶν προφάσει βαρϐαρικῆς καταδρομῆς ἀποδημούντων κληρικῶν. — Ἀπ. ιέ. τῆς Α'. ιέ. ις'. τῆς Δ'. έ. ί. κ'. κγ'. τῆς ϛ'. ιζ'. τῆς Ζ'. ιέ. Ἀντιοχ. γ'. Σαρδ. ιέ. ις'. ιθ'. Καρθ. ξγ'. ϙή. 344

ΙΘ'. Περὶ προεστώτων ἐκκλησιῶν, ὥστε ταῖς Κυριακαῖς διδάσκειν τοὺς ὑφ' ἑαυτούς. — Ἀπ. νή. τῆς Α'. ϐ'. ις'. Λαοδ. ιθ'. Καρθ. οθ'. ρλά. ρλϐ'. ρλγ'. Πέτρου ί. Νύσσης ϛ'. 346

Κ'. Τὸν διδάσκοντα εἰς ξένην ἐπίσκοπον, καταϐιϐάζεσθαι εἰς πρεσϐύτερον. — Ἀπ. λέ. τῆς Β'. ϐ'. τῆς Γ'. ή. Ἀντιοχ. ιγ'. κϐ'. Σαρδ. γ'. ιά. ιϐ'. 349

ΚΑ'. Τοὺς καθῃρημένους κληρικοὺς τίνι σχήματι διάγειν; — Ἀπ. κέ. τῆς Α'. θ'. τῆς ϛ'. δ'. Νεικαισ. θ'. Βασιλ. γ'. ιζ'. λϐ'. ν'. ό. 352

ΚΒ'. Περὶ τῶν ἐπὶ χρήμασι χειροτονηθέντων. — Ἀπ. κθ'. τῆς Δ'. ϐ'. τῆς ϛ'. κγ'. τῆς γ'. δ'. έ. ιθ'. Βασιλ. ϙ'. Γενναδίου καὶ Ταρασίου ἐπιστολή. 354

ΚΓ'. Μὴ χρηματίζεσθαι ἕνεκα τῆς μεταλήψεως. — Ἀπ. κθ'. τῆς Δ'. ϐ'. τῆς ϛ'. κϐ'. τῆς Ζ'. δ'. ιέ. ιθ'. Βασιλ. ϙ'. Γενναδίου καὶ Ταρασίου ἐπιστολή. 355

ΚΔ'. Τοὺς ἐκκλησιαστικοὺς μὴ θεωρεῖν ἱππηλασίας, ἢ θέατρα. — Ἀπ. μϐ'. μδ'. τῆς ϛ'. νά. ξϐ'. ξϛ'. τῆς Ζ'. κϐ'. Λαοδ. νδ'. Καρθ. ιζ'. ό. 356

ΚΕ'. Μηδεμίαν παροικίαν ὑπό τινι ἐπαρχίᾳ λ'. ἔτη κειμένην, εἰς ἄλλην διασπᾷν. — Τῆς Δ'. ιζ'. Καρθ. ρκθ'. ρλ'. 360

Κϛ'. Περὶ πρεσϐυτέρου ἀθέσμῳ γάμῳ κατ' ἄγνοιαν περιπαρέντος. — Ἀπ. ιθ'. τῆς ϛ'. γ'. Νεοκαισ. ϐ'. Βασιλ. κγ'. κϛ'. κζ'. οή. 361

ΚΖ'. Οἱ ἐν κλήρῳ τὰ πρέποντα ἀμφιεννύσθωσαν. — Τῆς Ζ'. ις'. Γάγγρας ιϐ'. κά. 364

ΚΗ'. Μὴ συνάπτειν σταφυλὴν τῇ φρικτῇ εὐχαριστίᾳ — Ἀπ.

γ'. δ'. τῆς ϛ'. λϐ'. νζ'. ϟθ'. Καρθ. μδ'. Σελ. 365
ΚΘ'. Ὥστε μὴ λύειν τὴν πέμπτην τῆς ἐσχάτης ἑϐδομάδος τῆς Μ'. — Ἀπος. ξθ'. τῆς ϛ'. πθ'. Λαοδ. μθ'. ν'. νά. νϐ'. Καρθ. μή. νϛ'. Διον. ά. Τιμοθ. ή. ί. 367
Λ'. Περὶ καταλείψεως γυναικῶν ὑπὸ πρεσϐυτέρων τῶν ἐν τῇ βαρϐαρικῇ. — Ἀπος. έ. τῆς ϛ'. ιϐ'. ιγ'. μή. Γάγγρ. δ'. Καρθ. γ'. δ'. λγ'. 369
ΛΑ'. Περὶ τῶν λειτουργούντων ἐν εὐκτηρίοις, μὴ ἐπιτρέψαντος τοῦ ἐπισκόπου. — Ἀπος. λά. τῆς Δ'. ιή. τῆς ϛ'. λδ'. νθ'. τῆς ΑΒ'. ιϐ'. ιγ'. ιδ'. ιέ. Γαγγρ. ϛ'. Ἀντιοχ. έ. Λαοδ. νή. Καρθ. ι'. 371
ΛΒ'. Περὶ τῶν μὴ μιγνύντων ὕδωρ τῷ οἴνῳ ἐν τῇ εὐχαριστίᾳ. 373
ΛΓ'. Οὐ γένος ἐπιζητεῖται τῶν ἐν κλήρῳ ταχθησομένων. — Ἀπ. οζ'. 379
ΛΔ'. Περὶ συνωμοσίας κληρικῶν κατὰ τῶν οἰκείων ἐπισκόπων καὶ συγκληρικῶν. — Ἀποστ. λά. τῆς Δ'. ιή. τῆς ΑΒ'. ιγ'. ιδ'. ιέ. Ἀντιοχ. έ. Καρθ. ί. ξϐ'. 382
ΛΕ'. Τὰ τοῦ θανόντος ἐπισκόπου πράγματα τῷ ἐπισκοπήσοντι τηρηθῆναι. — Ἀπ. μ'. τῆς Δ'. κϐ'. Ἀντιοχ. κδ'. Καρθ. λ'. πθ'. 383
Λϛ'. Περὶ προνομίων τοῦ τῆς Κωνσταντινουπόλεως. — Ἀπ. λδ'. τῆς Β'. γ'. τῆς Δ'. κή. 387
ΛΖ'. Περὶ ἐπισκόπων βαρϐαρικῇ ἐπιδρομῇ ἐμποδιζομένων τῆς σφῶν ἐπαρχίας. — Ἀπ. λϛ'. Ἀγκύρ. ιή. Ἀντιοχ. ιζ'. ιή. 388
ΛΗ'. Τὸν τύπον τῆς ἐκκλησίας τῷ τῆς καινισθείσης πόλεως ἀκολουθεῖν. — Τῆς Δ'. ιζ'. 392
ΛΘ'. Περὶ τῶν τοῦ ἐπισκόπου τῆς Νέας Ἰουστινιανῆς προνομίων. — Ἀπ. λδ'. τῆς Α. ϛ'. ζ'. τῆς Β'. ϐ'. γ'. τῆς Γ'. ή. τῆς Δ'. κή. τῆς ϛ'. λϛ'. Ἀντιοχ. θ'. 395
Μ'. Περὶ ἡλικίας καὶ δοκιμασίας μοναχῶν. — Τῆς Δ'. ιέ. τῆς ϛ'. ιδ'. Βασιλ. ιή. κδ'. 397
ΜΑ'. Περὶ τῶν μελλόντων ἐγκλεισθῆναι μοναχῶν. 401
ΜΒ'. Περὶ τῶν περιτρεχόντων τὰς πόλεις ἐρημιτῶν. 406
ΜΓ'. Περὶ τοῦ δύνασθαι μονάσαι οἱονδήτινα ἁμαρτωλόν. —

Τῆς ΑΒ'. β'. Σελ. 408
ΜΔ'. Περὶ πόρνου μοναχοῦ. — Τῆς Δ'. ιϛ'. Ἀγκ. ιθ'. Βασιλ. ϛ'. ιή. ιθ'. κ'. ξ'. 409
ΜΕ'. Περὶ γυναικῶν καλλωπιζομένων ἐνῷ μέλλουσι κείρεσθαι μοναχαί. — Καρθ. ρλέ. 411
Μϛ'. Περὶ μοναχῶν, ὅτι οὐ δεῖ αὐτοὺς ἐξέρχεσθαι τοῦ μοναστηρίου. — Τῆς ϛ'. μζ'. 414
ΜΖ'. Μήτε γυναῖκα ἐν ἀνδρῴα μονῇ, μήτε ἄνδρα ἐν γυναικείᾳ καθεύδειν. — Τῆς Ζ'. ιή. κ'. κβ'. 416
ΜΗ'. Περὶ γυναικὸς ἐπισκόπου, ὥςε ἐν μονῇ εἰσοικίζεσθαι. 419
ΜΘ'. Τὰ μοναστήρια μὴ μεταλλάττειν εἰς κοσμικὰ καταγώγια. — Τῆς Δ'. κδ'. τῆς Ζ'. ιγ'. 423
Ν'. Περὶ τοῦ μὴ κυβεύειν τοὺς Χριςιανούς. — Ἀπ. μβ'. μγ'. 424
ΝΑ'. Περὶ τοῦ μὴ προσέχειν μίμοις, καὶ θεάτροις, καὶ ἄλλοις προσομοίοις. — Τῆς ϛ'. κδ'. ξβ'. ξϛ'. Καρθ. ιζ'. ό. 424
ΝΒ'. Τῇ Τεσσαρακοστῇ τὴν προηγιασμένην λειτουργεῖν. — — Ἀπ. ξθ'. Λαοδ. μθ'. νά. 427
ΝΓ'. Περὶ πνευματικῆς συγγενείας. 428
ΝΔ'. Περὶ ἀθεμίτων γάμων. — Βασιλ. κζ'. ξή. πζ'. 432
ΝΕ'. Περὶ τοῦ μὴ νηστεύειν τοῖς σάββασι. — Ἀπ. ξϛ'. 434
Νϛ'. Περὶ τοῦ ἀπέχεσθαι τυροῦ ἐν τοῖς τῆς Μ'. σάββασι καὶ ταῖς Κυριακαῖς. — Ἀποϛ. ξθ'. Γάγγρ. ιθ'. 436
ΝΖ'. Γάλα, ἢ μέλι μὴ προσφέρειν τῷ θυσιαστηρίῳ. — Ἀπ. γ'. δ'. τῆς ϛ'. κή. Καρθ. μδ'. 437
ΝΗ'. Περὶ τοῦ μὴ μεταλαμβάνειν τοὺς κληρικοὺς ἀφ' ἑαυτῶν. 437
ΝΘ'. Περὶ τοῦ μὴ βαπτίζειν ἐν εὐκτηρίοις. — Τῆς ϛ'. λά. τῆς ΑΒ'. ιβ'. Λαοδ. νή. 438
Ξ'. Περὶ τῶν προσποιουμένων δαιμονᾷν. — Ἀπ. οθ'. Τιμοθ. β'. γ'. ιέ. 440
ΞΑ'. Περὶ γοητείας καὶ μαντείας. — Ἀγκ. κδ'. Λαοδ. λϛ'. Βασιλ. ζ'. ξέ. οβ'. πγ'. Νύσσ. γ'. 442
ΞΒ'. Περὶ τοῦ φεύγειν τὰς ἐθνικὰς δεισιδαιμονίας. — Τῆς ϛ'. κδ'. νά. ξϛ'. Λαοδ. νγ'. νδ'. Καρθ. ιζ'. ξθ'. Γάγγρ. ιγ'. 448
ΞΓ'. Κατακαίειν τὰ παρὰ τῶν αἱρετικῶν ψευδομαρτυρολόγια. — Τῆς Ζ'. θ'. 452

ΞΔ'. Περὶ τοῦ ὅτι οὐκ ἐπιτρέπεται τοῖς κοσμικοῖς διδάσκειν δημοσίᾳ. Σελ. 453
ΞΕ'. Μὴ ὑπεράλλεσθαι πυρκαϊῶν ἐν ταῖς νουμηνίαις. 456
Ξϛ'. Τὴν διακαινήσιμον ἑβδομάδα σχολάζειν ἐν ταῖς ἐκκλησίαις. — Τῆς ϛ'. κδ'. νά. Καρθ. ιζ'. ξθ'. ϐ. Ἀντιοχ. ϐ'. Λαοδ. νγ'. νδ'. 460
ΞΖ'. Ὅτι ὀφείλομεν ἀπέχεσθαι αἵματος καὶ πνικτοῦ.—Ἀπ. ξγ'. Γάγγρ. ϐ'. 462
ΞΗ'. Περὶ διαφθορᾶς τῶν ἱερῶν βιϐλίων. 463
ΞΘ'. Μὴ εἰσιέναι τοὺς λαϊκοὺς εἰς τὸ θυσιαστήριον — Λαοδ. μδ'. 466
Ο'. Τὰς γυναῖκας ἐν ἐκκλησίᾳ σιγᾶν. 467
ΟΑ'. Τοὺς διδασκομένους τοὺς πολιτικοὺς νόμους φεύγειν τὰς ἐθνικὰς δεισιδαιμονίας. 469
ΟΒ'. Μὴ συναλλάττεσθαι γάμον τοῖς αἱρετικοῖς.—Τῆς Δ'. ιδ'. Λαοδ. λά. Καρθ. κθ'. 471
ΟΓ'. Μὴ ἐγχαράττειν ἐν τῷ ἐδάφει σταυρόν. 474
ΟΔ'. Μὴ ποιεῖν ἀγάπας ἐν ταῖς ἐκκλησίαις. — Τῆς ϛ'. οϛ'. ϟζ'. 476
ΟΕ'. Ὅτι ὀφείλομεν μετὰ κατανύξεως ψάλλειν ἐν ἐκκλησίᾳ.— Λαοδ. ιέ. 478
Οϛ'. Περὶ τοῦ μὴ ποιεῖν πράσεις ἔνδον τῶν ἱερῶν περιϐόλων. — Τῆς ϛ'. οδ'. πή. ϟζ'. Λαοδ. κή. 480
ΟΖ'. Περὶ τοῦ μὴ συλλούεσθαι γυναιξὶ τοὺς Χριστιανούς.— Λαοδ. λ'. 483
ΟΗ'. Ὅτι δεῖ διδάσκεσθαι τοὺς βαπτισθησομένους τὴν πίστιν. Λαοδ. μέ. μϛ'. μζ'. 485
ΟΘ'. Περὶ τοῦ μὴ ἕψειν σεμίδαλιν τῶν λοχειῶν τῆς Θεοτόκου ἕνεκα. 486
Π'. Περὶ τοῦ μὴ ἀπολείπεσθαι τρεῖς Κυριακὰς τῆς ἐκκλησίας. Σαρδ. ιά. 489
ΠΑ'. Περὶ τῆς εἰς τὸ Τρισάγιον τιθεμένης προσθήκης. 490
ΠΒ'. Μὴ ζωγραφίζειν ἀμνὸν ἀντὶ τοῦ Χριστοῦ. 492
ΠΓ'. Τοῖς νεκροῖς μὴ κοινωνεῖν τῶν μυστηρίων.—Καρθ. κέ. 495
ΠΔ'. Οὓς ἀμφίβολον ὅτι ἐβαπτίσθησαν, βαπτιστέον.—Καρθ. π'. 496

ΠΕ΄. Περὶ μαρτυρίας τῶν ἐλευθερουμένων δούλων. —Ἀπ. πϐ΄. τῆς Δ΄. δ΄. Γάγγρ. γ΄. Καρθ. ογ΄. ϙ΄. Βασιλ. μ΄. μϐ΄. 498
Πς. Περὶ πορνοβοσκῶν. — Βασιλ. θ΄. Σελ. 503
ΠΖ΄. Περὶ καταλείψεως θατέρου τῶν ἐπὶ γάμῳ συνόντων.— Ἀπ. μή. Ἀγκ. κ΄. Καρθ. ριγ΄. Βασιλ. θ΄. κθ΄. λέ. λζ΄. οζ΄. Τιμοθ. ιέ. 505
ΠΗ΄. Περὶ εἰσόδου κτήνους ἐν ἐκκλησίᾳ. — Τῆς ς΄. οδ΄. Λαοδ. κή. 510
ΠΘ΄. Περὶ τοῦ δεῖν νηστεύειν ἕως μεσονυκτίου τοῦ μεγάλου Σαββάτου.—Διονυσ. ά. 512
ϙ΄. Περὶ τοῦ μὴ κλίνειν γόνυ ἐν ταῖς Κυριακαῖς. — Τῆς Α΄. κ΄. Πέτρου ιέ 516
ϙΑ΄. Περὶ ἐμβρυοκτονίας. — Ἀγκ. κά. κϐ΄. κγ΄. Βασιλ. ϐ΄. ή. Νύσσ. έ. Ἀθαν. Ἐπις. πρὸς Ἀμμούν. Νηστευτ. κ΄. 518
ϙΒ΄. Περὶ τῶν γυναῖκας ἁρπαζόντων. — Τῆς Δ΄. κζ΄. Ἀγκ. ιά. Βασιλ. κϐ΄. λ΄. λή. μϐ΄. νγ΄. 521
ϙΓ΄. Περὶ γυναικῶν, ὧν οὐ φαίνονται οἱ ἄνδρες. — Βασιλ. λά. λς΄. μς΄. 522
ϙΔ΄. Περὶ τῶν ὅρκους ἐθνικοὺς ὀμνυόντων. — Βασιλ. ί. κθ΄. πά. 528
ϙΕ΄. Πῶς δεκτέον τοὺς αἱρετικούς.—Τῆς Α΄. ιθ΄. Βασιλ. μζ΄. 529
ϙς΄. Περὶ τῶν εὐθετιζόντων τὴν κόμην. 533
ϙΖ΄. Περὶ τοῦ μὴ ποιεῖν κοινὰς τὰς περὶ τοὺς ἱεροὺς τόπους κατοικίας. — Τῆς ς΄. οδ΄. 536
ϙΗ΄. Περὶ τοῦ ἄλλῳ μνηςευσαμένην ἀγομένου. 538
ϙΘ΄. Περὶ τοῦ μὴ ἕψοντας κρέα, μέλη ἀφωρισμένα μερίζειν τοῖς ἱερεῦσιν ἐν ἐκκλησίᾳ. — Ἀπ. γ΄. 543
Ρ΄. Περὶ τῶν ἐν οἴκοις ἀσέμνων εἰκόνων. 545
ΡΑ΄. Περὶ τοῦ πῶς ὑποδεκτέον ταῖς χερσὶ τὴν θείαν εὐχαριστίαν. 546
ΡΒ΄. Μετὰ συνέσεως γινέσθω ἐν τῇ ἐξομολογήσει ἡ ἄφεσις τοῖς ἁμαρτάνουσιν. — Τῆς Α΄. ιϐ΄. Βασιλ. γ΄. 549

ΚΑΝΟΝΕΣ ΤΗΣ Ζ΄. ΣΥΝΟΔΟΥ.

Α΄. Περὶ φυλακῆς τῶν ἀρχαίων κανόνων. — Τῆς Δ΄. ά. τῆς

ς'. β'. Σελ. 555
Β'. Τίνα ἀπαιτοῦνται τοῖς ἐπισκοπήσουσιν. 560
Γ'. Οἱ ἐκκλησιαστικοὶ οὐχ ὑπὸ τῶν ἀρχόντων ψηφίζονται. — Ἀπ. ά. β'. λ'. ξά. τῆς Α'. δ'. Λαοδ. έ. ιγ'. Καρθ. νθ'. Τιμοθ. ζ'. 564
Δ'. Περὶ τοῦ ἐμπαθῶς ἀφορίζοντος ἐπισκόπου. 566
Ε'. Περὶ τῶν ὀνειδιζόντων τοὺς ἄνευ δόσεως κληρωθέντας. — Ἀπ. κθ'. τῆς Δ'. έ. 572
ς'. Περὶ συστάσεως τοπικῆς συνόδου. — Ἀπ. λζ'. τῆς Α'. έ. τῆς Δ'. ιθ'. τῆς ς'. ή. 577
Ζ'. Περὶ τῶν ἀπαιτουμένων ἐν τῇ καθιερώσει Ναοῦ μαρτυρικῶν λειψάνων. — Τιμοθ. έ. κδ'. Καρθ. μά. 580
Η'. Τοὺς Ἑβραίους, εἰ μὴ εἰλικρινῶς προσερχομένους, μὴ δέχεσθαι. 583
Θ'. Περὶ τῶν κρυπτόντων τὰ κατὰ τῶν εἰκόνων βιβλία. — Ἀπ. ξ'. τῆς ς'. β'. ξγ'. Λαοδ. νά. 585
Ι'. Περὶ κληρικῶν τῶν εἰς ἄλλην παροικίαν μεταπηδώντων.— Ἀπ. ς'. ιέ. πά. πγ'. τῆς Α'. ιέ. ις'. τῆς Δ'. έ. ί. κγ'. τῆς ς'. ιζ'. ιή. τῆς ΑΒ'. ιά. Καρθ. ιή. Ἀντιοχ. γ'. Σαρδ. ιέ. ις'. ιζ'. 587
ΙΑ'. Περὶ τοῦ ὅτι δέον εἶναι οἰκονόμους ἐν τοῖς ἐπισκοπείοις, καὶ μοναστηρίοις — Ἀπ. λή. μά. τῆς Δ'. κς' τῆς Ζ'. ιβ'. τῆς ΑΒ'. ζ'. Ἀγκύρ. ιέ. Γάγγρ. ζ'. Ἀντιοχ. κδ'. κέ. Καρθ. λδ'. μά. Θεοφ. ί. Κυρίλλ. β'. 590
ΙΒ'. Περὶ τοῦ μὴ πωλεῖσθαι προάστεια ἐκκλησίας. — Ἀπ. λή. μά. τῆς Δ'. κς'. τῆς Ζ'. ιβ'. τῆς ΑΒ'. ζ'. Ἀγκύρ. ιέ. Γάγγρ. ζ'. Ἀντιοχ. κδ'. κέ. Καρθ. λδ'. μά. Θεοφ. ί. Κυρίλλ. β'. 592
ΙΓ'. Περὶ κοινοποιήσεως μοναστηρίων. — Τῆς Δ'. δ'. κδ'. τῆς ς'. μθ'. τῆς Ζ'. ιβ'. ιθ'. τῆς ΑΒ'. ά. Κυρίλλ. β'. 612
ΙΔ'. Περὶ τοῦ μὴ ἀναγινώσκειν τινὰ ἐπ' ἄμβωνος ἀχειροθέτως. — Τῆς ς'. λγ'. Καρθ. κβ'. 615
ΙΕ'. Περὶ τοῦ μή τινα ἐν δυσὶ κληροῦσθαι ἐκκλησίαις. — Ἀπ. ιέ. ις'. τῆς Α'. ιέ. ις' τῆς Δ'. ί. κ'. κγ'. τῆς ς'. ιζ'. ιή. τῆς Ζ. ί. ιέ. Ἀντιοχ. γ'. Σαρδ. ιέ. ις'. ιζ'. Καρθ. ξγ'.

ηή. Σελ. 620

Ις'. Περὶ τῶν πολυτελῶς ἀμφιεννυμένων ἐκκλησιαστικῶν.—Τῆς ϛ'. κζ'. Γάγγρ. ιϐ'. κά. 622

ΙΖ'. Περὶ τοῦ μὴ ἐγχειρεῖν οἰκοδομῇ εὐκτηρίου χωρὶς παρασκευῆς. — Τῆς Δ'. κδ'. τῆς Ζ'. κά. τῆς ΑΒ'. ά. 625

ΙΗ'. Περὶ τοῦ μὴ ἐνδιαιτᾶσθαι γυναῖκας ἐν ἐπισκοπείοις. — Τῆς Α'. γ'. τῆς έ. τῆς Ζ'. κϐ'. Ἀγκύρ. ιθ'. Καρθ. μέ. Βασιλ. πθ'. 628

ΙΘ'. Περὶ τῶν ἐπὶ δόσει χρημάτων χειροτονούντων. — Ἀπ. κϑ τῆς Δ'. ϐ'. τῆς ϛ'. κϐ'. κγ'. Βασιλ. ϙ'. ἐπιστολὴ Γενναδίου καὶ Ταρασίου. 630

Κ'. Περὶ τοῦ μὴ γίνεσθαι διπλᾶ μοναστήρια. — Τῆς ϛ'. μϛ'. μζ'. τῆς Ζ'. ιι. κϐ'. 637

ΚΑ'. Περὶ τοῦ μεταβαίνειν τοὺς μοναχοὺς εἰς ἄλλα μοναστήρια.—Τῆς Δ'. δ'. τῆς Ζ'. ιθ'. τῆς ΑΒ'. γ'. δ'. έ. 641

ΚΒ'. Περὶ μοναχῶν καὶ ἱερατικῶν, ὥστε μὴ συνεσθίειν ἰδίᾳ.— Ἀπ. μϐ'. μγ'. τῆς Α'. γ'. τῆς ϛ'. έ. μϛ'. μζ'. τῆς Ζ'. ιή. κ'. Καρθ. μέ. ξθ'. Ἀγκ. ιθ'. Λαοδ. κδ'. Βασιλ. πθ'. 642

ΚΑΝΟΝΕΣ ΤΗΣ ΑΒ'. ΣΥΝΟΔΟΥ.

Α'. Γνώμῃ τοῦ ἐπισκόπου οἰκοδομείσθω μοναστήριον. — Τῆς Δ'. δ'. κδ'. τῆς ϛ'. μθ'. τῆς Ζ'. ιϐ'. ιγ'. ιζ'. Κυρίλλ. ϐ'. 648

Β'. Περὶ τοῦ ὅτι ἀπαιτεῖται ὁ ἀναδεξόμενος τὸν μοναχόν. 654

Γ'. Περὶ τοῦ ἀμελοῦντος τῶν ὑπὸ χεῖρα μοναχῶν. — Δ'. δ'. τῆς Ζ'. ιθ'. κά. Καρθ. πή. 656

Δ'. Περὶ τῶν καταλειπόντων τὰς οἰκείας μονάς, καὶ μὴ ἐπανελθόντων. — Τῆς Δ'. δ'. τῆς Ζ'. ιγ'. ιθ'. κά. τῆς ἐν Καρθ. πη'. 658

Ε'. Περὶ τοῦ τῆς πείρας χρόνου τῶν μονασόντων. 662

ϛ'. Περὶ τοῦ μὴ ἴδιόν τι ἔχειν τοὺς μοναχούς. 667

Ζ'. Περὶ τοῦ μὴ οἰκοδομεῖν μονὴν τὸν ἐπίσκοπον ἐπὶ καταλύσει τῆς ἐπισκοπῆς. — Ἀπ. λή. τῆς Δ'. κϛ'. τῆς Ζ'. ιά. ιϐ'. Ἀντιοχ. κδ'. κέ. Ἀγκ. ιέ. Γάγγρ. ζ'. Καρθ. λδ'. μά. Θεοφ. ί. Κυρίλλ. ϐ'. 673

Η'. Περὶ τῶν μὴ διὰ νόσημα εὐνουχιζόντων. — Ἀπ. κά. κϐ'.

κγ'. κδ'. τῆς Α'. ά. Σελ. 676

Θ'. Περὶ τῶν τυπτόντων ἀμέσως, ἢ ἐμμέσως ἱερέων. — Ἀπ. κζ'. Ἀντ. έ. Καρθ. νζ'. ξϐ'. ος'. πγ'. ϟθ'. ρ'. ρς'. ρζ'. 679

Ι'. Περὶ τῶν τοῖς ἱεροῖς εἰς οἰκείαν χρωμένων ὑπηρεσίαν. — Ἀπ. οϐ'. ογ'. 682

ΙΑ'. Περὶ κληρικῶν ἀξιώματα κοσμικὰ ἀναδεχομένων.—Ἀπ. ς'. πά. πγ'. τῆς Δ'. γ'. ζ'. τῆς Ζ'. ί. Καρθ. ιή. 686

ΙΒ'. Περὶ τῶν αὐτῶν ἐν εὐκτηρίοις λειτουργούντων, χωρὶς γνώμης τῶν ἐπισκόπων. — Ἀπ. λά. τῆς Δ'. ιή. τῆς ς'. λά. λδ'. νθ'. τῆς ΑΒ'. ιϐ'. ιγ'. ιδ'. ιέ. Γάγγρ. ς'. Καρθ. ι. ξϐ'. Ἀντιοχ. έ. Λαοδ. νή. 687

ΙΓ'. Περὶ σχίσματος κληρικῶν ἀπὸ τῶν ἰδίων επισκόπων. — Ἀπ. λά. τῆς Δ'. ιή. τῆς ς'. λά. λδ'. τῆς ΑΒ'. ιϐ'. ιδ'. ιέ. Ἀντιοχ. έ. Γάγγρ. ς'. Καρθ. ί. ιά. ξϐ'. 688

ΙΔ'. Περὶ σχίσματος ἐπισκόπων ἀπὸ τῶν ἰδίων μητροπολιτῶν. — Ἀπ. λά. τῆς Δ'. ιή. τῆς ς'. λά. λδ'. τῆς ΑΒ'. ιϐ'. ιγ'. ιέ. Ἀντιοχ. έ. Γάγγρ. ς'. Καρθ. ιά. ξϐ'. 692

ΙΕ'. Περὶ σχίσματος μητροπολιτῶν ἀπὸ τῶν ἰδίων Πατριαρχῶν. — Ἀπ. λά. τῆς Δ'. ιή. τῆς ς'. λά. λδ'. τῆς ΑΒ'. ιϐ'. ιγ'. ιδ'. Ἀντιοχ. έ. Γάγγρ. ς'. Καρθ. ί. ιά' ξϐ. 692

Ις'. Περὶ τοῦ μὴ ἐκλέγειν ἐπίσκοπον ζῶντος τοῦ πρώτου. — Ἀπ. νή. τῆς ς'. ιθ'. π'. Σαρδ. ιά. Καρθ. οθ'. πϐ'. πς'. ρλά. ρλϐ'. ρλγ'. Πέτρου ί. Νύσσ. ις'. Κυρίλλ. ά. 696

ΙΖ'. Περὶ τοῦ μὴ ἀθρόον λαϊκόν τινα, ἢ μοναχὸν ἐπισκοπεῖν.— Ἀπ. π'. τῆς Α'. ϐ'. Λαοδ. γ'. Σαρδ. ί. Νεοκαισ. ιϐ'. Κυρίλλ. δ'. 701

ΚΑΝ. ΤΗΣ ΕΝ ΤΩι ΝΑΩι ΤΗΣ ΑΓ. ΣΟΦΙΑΣ.

Α'. Περὶ τῶν ἐπιτιμηθέντων παρὰ τοῦ Ῥώμης, ὥςε οὕτως εἶναι καὶ παρὰ τοῦ Κωνςαντινουπόλεως, καὶ ἀνάπαλιν. — Ἀπ. ιϐ'. ιγ'. λϐ'. Ἀντ. ς'. Σαρδ. ιδ'. Καρθ. ιά. λζ'. ρμά. 705


Β'. Ὅτι οἱ μονάσαντες ἐπίσκοποι, ἐκπίπτουσι τῆς ἀξίας. 707

Γ'. Περὶ τῶν τυπτόντων ἐπισκόπους λαϊκῶν. — Ἀπ. νέ. 710

ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΟΜΟΥ.

Τυπογραφικῶν παροραμάτων διόρθωσις.

Σελ. 79 στίχ. 30 προσάγεται γράφε προάγεται. — Σελ. 86 στίχ. 26 τουτέ-στιν γρ. τουτέστιν — Σελ. 89 στίχ. 34 ἑόδομὰς γρ. ἑβδομὰς—Σελ. 108 στίχ. 9 λαϊκὰς γρ. λαϊκὸς, — Σελ. 124 στίχ. 4 ἐπαρχιωτῶν γρ. [τῶν] ἐπαρχιωτῶν.— Σελ. 167 στίχ. 6 Θεὸν γρ. Θεὸν, — Σελ. 167 στίχ. 9 λόγον γρ. Λόγον — Σελ. 16. στίχ. 26 κτίσμα γρ. κτίσμα, — Σελ. 187 στίχ. τελευτ. χιρομένους γρ. χρισμένους.—Σελ. 209 στίχ. 12 ἢ ἐπιτραπείη γρ. εἰ ἐπιτραπείη — Σελ. 211 στίχ. 31 διαιρουμένας κατ' ἐκείνους γρ. διαιρουμένας, κἀκείνους — Σελ. 273 στίχ. 20 ἐπειδή πέρ τινες γρ. ἐπειδή περ τινὲς — Σελ. 282 στίχ. 7 κατὰ τάξιν γρ. κατὰ [τὴν] τάξιν—Σελ. 285 στίχ. 22 βάντων γρ. βάνδων —Σελ. 286 στίχ. τελευτ. μετὰ τὸ, παράγραφος, πρόσθες, ὃς ἀνήκει εἰς τὰ τῆς Συνόδου πρακτικά. —Σελ. 307 στίχ. 31 μίαν ἐνέργειαν γρ. [καὶ] μίαν ἐνέργειαν—Σελ. 315 στίχ. 16 ἀλλ' ἧς γρ. ἀλλ' [ἐφ'] ἧς—Σελ. 315 στίχ. 23 τῶν σκηνῆς γρ. τῶν [τῆς] σκηνῆς—Σελ. 342 στίχ. 19 διακονουμένων ἴσ. γρ. διακονούντων—Σελ. 365 στίχ. 12 χρᾶσθαι γρ. χρῆσθαι—Σελ. 372 στίχ. 11 οἰκείαις γρ. οἰκίαις — Σελ. 373 στίχ. 15 καὶ ψιλὴν γρ. ψιλὴν — Σελ. 377 στίχ. 19 χρᾶσθαι γρ. χρῆσθαι — Σελ. 378 στίχ. τελευτ. τῇ καθαιρέσει γρ. καταθέσει ('Ερб. σελ. 1115). — Σελ. 383 στίχ. 25 μετέχειν γρ. μέτοχα — Σελ. 435 στίχ. 11 ἐξερχομένους γρ. ἐξεχομένους — Σελ. 447 στίχ. 10 χρᾶσθαι γρ. χρῆσθαι — Σελ. 451 στίχ. 25 τοῖς γνάθοις γρ. ταῖς γνάθοις — Σελ. 458 στίχ. 4 ἡμῶν γρ. ὑμῶν — Σελ. 458 στίχ. 20 Κληδών γρ. Κληδὼν — Σελ. 458 στίχ. 32 κληδόνες γρ. κληδόνες — Σελ. 500 στίχ. 20 Λόγου γρ. Λόγου—Σελ. 525 στίχ. 31 συμβιωτεύουσα γρ. συμβιοτεύουσα —Σελ. 549 στίχ. 3 λαμβάνων ἴσ. γραπτέον λαμβάνει.



Τιμᾶται δραχμῶν. : : : : : : : : 8.

